image
not
available

IOTHEEK GENT
9513
Digitized by Google

Digitized by Google

Digitized by Google

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM
TEUBNERIANA.

EUSEBII CAESARIENSIS OPERA.

RECOGNOVIT

GUILIELMUS DINDORFIUS.

VOL. III.

DEMONSTRATIONIS EVANGELICAE

LIBRI I—X.

Digitized by Google

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM TEUBNERIANA.

Herausgegeben von:

H. L. Ahrens (1) — Imm. Bekker (2) — C. Ed. Benseler (3) — Th. Bergk (4) — J. Bernays (5) — G. Bernhardy (6) — G. Boehme (7) — H. Bonitz (8) — E. Bonnell (9) — C. Daremberg (10) — R. Dietsch (11) — L. Dindorf (12) — W. Dindorf (13) — C. T. Dressler (14) — A. Fleckeisen (15) — H. E. Foss (16) — Fr. Franke (17) — R. Geier (18) — Fr. Haase (19) — C. A. Haeckermann (20) — K. Halm (21) — R. Hercher (22) — K. F. Hermann (23) — M. Hertz (24) — C. Jacobitz (25) — J. C. Jahn (26) — L. v. Jan (27) — J. Jeep (28) — H. Keil (29) — R. Klotz (30) — H. Köchly (31) — A. Meineke (32) — R. Merkel (33) — A. Nauck (34) — K. Nipperdey (35) — F. Oehler (36) — G. Queck (37) — Fr. Ritschl (38) — G. Roeper (39) — A. Rossbach (40) — C. L. Roth (41) — C. Scheibe (42) — Th. Schmid (43) — F. W. Schneidewin (44) — J. H. C. Schubart (45) — C. Sintenis (46) — L. Spengel (47) — L. Urlichs (48) — W. Weissenborn (49) — Fr. Wimmer (50) — E. Wölfflin (51) — A. Dederich (52) — G. F. Schoemann (53) — A. Kirchhoff (54) — E. Mehler (55) — A. Baumeister (56) — G. Thilo (57) — K. Schenkl (58) — E. Huschke (59) — G. Steinhart (60) — B. Dombart (61) — C. Wachsmuth (62) — A. v. Gutschmid (63) — Fr. Hultsch (64) — B. Dinter (65) — A. Kiessling (66) — H. Eyssenhardt (67) — H. Peter (68) — R. Hoche (69) O. Ribbeck (70) — G. Friedlein (71) — R. Peiper & G. Richter (72).

Erschienen sind bis jetzt (October 1867):

A. Griechische Autoren.

(*Die jedem einzelnen Autor beigefügte Zahl bezieht sich auf den Herausgeber, welcher darnach aus dem obenstehenden Verzeichnisse ersichtlich ist.*)

☞ **Die Ausgaben auf feinerem Papier sind verhältnismässig theurer.**

	Thlr.	Ngr.
Aeliani opera (22), 2 voll.	3	—
Aeschinis orationes (17)	—	7½
Aeschyli tragoediae (13)	—	10
— Jedes Stück einzeln . . à	—	3
Aesopicae fabulae (21)	—	7½
Apollodorus (2)	—	9
Apollonii Rhodii Argonaut. (33)	—	9
Appiani hist. Romana (2), 2 voll.	1	24
Aristophanis comoediae (4), 2 voll.	—	27
— Auch jedes Stück einzeln, à	—	5
Arriani expeditio Alex. (18) . .	—	9
— — — scripta minora (22) .	—	10
Athenaeus (32), 4 voll.	4	—
Babrii fabulae (44)	—	6
Bucolici Graeci (1)	—	5
Demosthenis orationes (13), 3 voll.	1	7½
(Auch in 6 einz. Abtheilgn.)		
Dio Cassius (12), 5 voll.	4	—
Dio Chrysostomus (12), 2 voll. .	[illegible]	18
Diodorus Siculus (12), Vol. I—III. à	1	—
Dionysius Halic. (66), Vol. I—III.	2	12
Erotici scriptores (22), 2 voll. .	2	12
Euripides (34), 2 voll.	—	27
Eusebius (13), Vol. I—III. . .	3	22½
Heliodorus (2)	—	22½
Herodianus (2)	—	12
Herodoti historiae (11), 2 voll. .	—	22½
Homeri Ilias (13), 2 voll. . . .	—	12½
— — mit Einleit. v. Sengebusch	—	18
— Odyssea (13), 2 voll.	—	12½
— — mit Einleit. v. Sengebusch	—	18
Hymni Homerici (56)	—	7½
Iliadis carmina XVI (31)	1	—
Iosephus, Flavius (2), 6 voll. .	3	18
Isaeus (41)	—	12
Isocratis orationes (5), 2 voll. .	—	22½

	Thlr.	Ngr.
Luciani opera (25), 3 voll. . . .	1	24
(Auch in 6 einz. Abtheilgn.)		
Lycurgus (42)	—	6
Lydus de ostentis (62)	—	27
Lysiae orationes (42)	—	11½
Manetho (31)	—	12
Metrologici scriptores (64), 2 voll.	1	21
Nicomachus Gerasenus (69) . . .	—	18
Nonnus (31), 2 voll.	3	—
Onosander (31)	—	12
Pausanias (45), 2 voll.	1	—
Pindari carmina (44)	—	9
Platonis dialogi (23), 6 voll. . .	2	27
(Auch in 15 klein. Abtheilgn.)		
Plotinus (54), 2 voll.	1	24
Plutarchi vitae (46), 5 voll. . .	2	9
(Auch in 14 einz. Abtheilgn.)		
Polyaenus (51)	1	15
Polybius (12), Vol. I—III. . à	—	27
Porphyrius (34)	—	18
Quintus Smyrnaeus (31)	—	12
Rhetores Graeci (47), 3 voll. . .	3	—
Sophoclis tragoediae (13)	—	12½
— Jedes Stück einzeln . . à	—	3½
Stobaei florilegium (33), 4 voll.	3	—
— eclogae (33), 2 voll.	2	—
Strabo (32), 3 voll.	1	21
Themistii paraphrases (47), 2 voll.	2	—
Theophrastus Eresius (50), 3 voll.	2	—
Theophrasti characteres (16) . .	—	12
Thucydides (7), 2 voll.	—	18
Xenophontis expeditio Cyri (12)	—	6½
— — historia graeca (12)	—	7½
— — institutio Cyri (12)	—	7½
— — commentarii (12)	—	3½
— — scripta minora (12)	—	7½

Digitized by Google

EUSEBII CAESARIENSIS OPERA.

RECOGNOVIT

GUILIELMUS DINDORFIUS.

VOL. III.

DEMONSTRATIONIS EVANGELICAE

LIBRI I—X.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXVII.

Digitized by Google

LIPSIAE: TYPIS B. G. TEUBNERI.

Digitized by Google

PRAEFATIO.

Absolutis Praeparationis Evangelicae libris quindecim Eusebius amplius scribendum suscepit Demonstrationis Evangelicae opus*) e libris viginti compositum, quibus religionis Christianae veritatem collectis e literis sacris et veteri maxime Testamento de Christo vaticiniis et testimoniis probare studuit. Hos libros omni ex parte integros legit Hieronymus, *qui eos* memorat Catalogi c. 81. librumque duodevigesimum, *in quo* Eusebius de Hosea propheta disputaverat, laudat in praefatione ad Hoseam, legitque scriptor commentarii in Danielem, qui libri quinti decimi fragmentum servavit, quod ex codice Vaticano edidit A. Maius in Scriptorum veterum nova collectione Tom. I. part. 2. p. 173 repetitum in nostra editione p. 689—691. Eosdem libros viginti integros habuit Photius, patriarcha Constantinopolitanus, qui seculo nono vixit, eorumque indicem in *Βιβλιοθήκην* ab se descriptam recepit cod. 10. p. 4, 28. *Ἀνεγνώσθη Εὐσεβίου ἡ Εὐαγγελικὴ Ἀπόδειξις ἐν βιβλίοις κ'.* Hodie vero dimidia tantum operis pars, servatis libris decem prioribus, superest, perpaucis ad nos propagata codicibus, qui tam leviter inter se dissentiunt ut omnes ex uno exemplari derivatos esse pateat. Codicum qui supersunt antiquissimus est olim Mediceus, nunc

*) Hoc Eusebius ipse testatur Praepar. Evang. 15, 1. vol. 2. p. 337, 19 ed. nostrae, *τούτου δὴ οὖν σὺν θεῷ διὰ τῆς ἀληθείας ἡμῖν ἐπισφραγισθέντος τὰ μὲν τῆς Προπαρασκευῆς ἐνταῦθά μοι περιγραφήσεται, μεταβὰς δὲ ἐπὶ τὴν ἐντελεστέραν ὑπόθεσιν τῆς Εὐαγγελικῆς Ἀποδείξεως ἀπὸ τοῦ λείποντος τῆς καθ' ἡμῶν κατηγορίας σκέμματος τὴν καταρχὴν τῆς δευτέρας ἐπισυνάψω πραγματείας.*

Digitized by Google

Parisinus 469, membraneus seculi duodecimi, qui innotuerat ex Catalogo Bibliothecae Parisinae vol. 2. p. 65, sed ab Thoma Gaisfordo demum cum editione Stephaniana collatus est, quum editionem Oxoniensem a. 1852. praepararet. Incipit ab verbis *ἡ παιδίσκη σοι* p. 17, 18 ed. nostrae, aliquot ab initio foliis defectus, finiturque verbis *τῆς τοῦ σωτῆρος ἡμῶν παρακελεύσεως* p. 688, 29 paucis tantum versibus (*φήσαντος* — *ἀληθείας* p. 688, 29—689, 3) amissis, qui in extremo codicis folio lecti fuerunt. Utrumque defectum ex codice Nicolai Maurocordati, Walachiae principis, supplevit I. A. Fabricius in *Delectu argumentorum et syllabo scriptorum, qui veritatem religionis Christianae adversus atheos — asseruerunt*, Hamburgi edito a. 1725, Stephani Bergleri, ut videtur, apographo usus, p. 1—22, sed mira negligentia ne verbum quidem de aetate et externa condicione codicis prodidit, qui post mortem Maurocordati (a. 1730) cum reliqua eius supellectile literaria evanuit*). Itaque suspicari tantum, non certo dicere licet, codicem illum similem fuisse Parisino 469, sive ex hoc ipso, quum adhuc integer esset, sive ex alio libro integriore descriptum: de quo certius iudicare liceret si Berglero vel Fabricio aliquot ab initio paginas cum libris editis comparare scripturaeque diversitatem proponere placuisset.

Ex codice Parisino 469 vel priore aliquo eius apographo descriptum est apographum Oxoniense in bibliotheca collegii S. Ioannis Baptistae servatum, chartaceum foliorum 264 formae maximae, seculi quinti decimi, numero 41 notatum in O. Coxii Catalogo p. 12, quod labore quam fructu maiore totum cum Roberti Stephani editione contulit Gaisfordus. Nihil enim liber ille praebet praeter paucas levissimorum vitiorum correctiones, quas quivis ipse faciat, proprios vero sibi habet errores librarii non paucos, versibus integris interdum omissis, praesertim ubi idem vocabulum post breve spatium rediens oculos librarii falleret, velut p. 1^b. 33^a. 177^b. 260^b. 317^b.

---

*) De codicibus ab Maurocordato, quum circa annum 1722 in Walachia regnaret, ex monasteriis Graecis, in Thessalia inprimis et in monte Atho collectis deque interitu amplissimae huius collectionis vid. C. B. Hasius in Commentario de Ioanne Lydo p. LXIX—LXXI.

322[b]. 332[d] nec laudi ei verti potest quod in locis biblicis unum alterumque vocabulum, quod exciderat in codice archetypo, ex vulgatis veteris Testamenti exemplaribus suppletum est, quod non infrequens etiam in aliorum scriptorum ecclesiasticorum codicibus recentioribus interpolationis genus est, quod saepe fraudi fuit utriusque Testamenti editoribus diversas ex Patrum operibus scripturas afferentibus quibus illos non esse usos antiquiorum codicum comparatio docet.

Eiusdem generis quattuor alia sunt apographa Parisina chartacea seculi sexti decimi numeris notata in Catalogo (vol. 2. p. 65, 66) 470, 471, 472, 473, quorum postremum, olim Mediceum, anni notam gerit 1543 (sive 1533 secundum Montefalconium in Diario Italico p. 408), scriptum Venetiis manu Valeriani Foroliviensis. Horum apographorum uno haud dubie usus est Robertus Stephanus, quum hoc Eusebii opus primum ederet Parisiis a. 1545. Sextum eiusdem generis apographum seculi quinti decimi in Bibliotheca servatur Ambrosiana Mediolanensi, memoratum ab Montefalconio in Bibliotheca Bibliothecarum vol. 1, p. 527. Quae apographa omnia ab iisdem quibus codex Parisinus 469 verbis incipiunt iisdemque quibus ille verbis terminantur, ut manifesta sit communis eorum origo. Nec melioris notae fuit apographum quod Ioannes Franciscus Mirandulensis princeps Bernardino Donato Veronensi suppeditavit, Latinae interpretationis praeparandae caussa, quae primum prodiit Romae a. 1498, saepius deinde repetita, Basileae a. 1542, 1549, 1559, 1570 et cum scholiis Io. Iac. Grynaei Parisiis a. 1587, et in editionibus Graeco-Latinis, Parisina a. 1628, recusa Coloniae sive Lipsiae a. 1688, et Oxoniensi Gaisfordi: in qua interpretatione plura temere sunt interpolata, ne Eusebius ab orthodoxa fide discrepare et Ariano dogmati magis favere videretur quam Concilii Nicaeni decretis: quae notavit Iac. Billius Observationum sacrarum libro 1. c. 27.

Apparet ex his quod supra dicebam, uno tantum nos hodie uti Demonstrationis Evangelicae codice Parisino 469, nullo lectorum incommodo, quum hoc opus Eusebii lectores multo quam reliqua eius scripta pauciores habuerit rariusque descriptum fere intactum manserit ab gravioribus librariorum

erroribus, exceptis lacunis nonnullis (p. 195[d]. 210[a]. 217[b]), et ab conatibus interpolatorum, qui tam licenter sunt grassati in Praeparatione Evangelica et Historia ecclesiastica. Coniecturis igitur criticorum vix usquam locus est in hoc Eusebii opere, quod maximam partem e locis biblicis est compositum, in quibus scriptura codicis unici vera pariter ac falsa accurate erat reddenda, ne primarius quem omnia huiusmodi excerpta hodie habent usus tolleretur, de quo dixi in Praefatione voluminis primi p. XVII.

CORRIGENDA.

Vol. 1. p. XXV, 6. Quaestionem — agitatam] Corrige Quaestio — agitata.

p. 48, 27. *Θαβίων, ὃς*] *Θαβίωνος*

p. 245, 16. *εἰδήμασι*] *οἰήμασι*

p. 256, 22. *Τυρταῖον — ἒκ*] *Τυρταίου — ἐκ*

p. 506, 31. *τὸν μὲν γεγῶθ'*] *ὃν μὲν τὸ γένος*

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩι ΠΡΩΤΩι ΣΥΓΓΡΑΜΜΑΤΙ ΤΗΣ ΕΥΑΓΓΕΛΙΚΗΣ ΤΟΥ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΑΠΟΔΕΙΞΕΩΣ.

α'. *Τίνα καὶ ὁπόσα ἐπαγγέλλεται ἡ πραγματεία* p. 3 ed. Fabr.

β'. *Τίς ὁ κατὰ τὸν Χριστιανισμὸν εὐσεβείας τρόπος* p. 11 ed. Fabr.

γ'. *Ὅτι μὴ πᾶσι τοῖς ἔθνεσι κατάλληλος ἦν ἡ κατὰ Μωσέα πολιτεία* . . . . p. 17 ed. Fabr.

δ'. *Τί δή ποτε τὰ παρὰ Ἰουδαίοις ἀποδεχόμενοι λόγια τὸν παρ' αὐτοῖς βίον παρῃτησάμεθα* . . . . p. 7 a. ed. Paris. a. 1628.

ε'. *Τίς ὁ τοῦ Χριστοῦ τῆς καινῆς διαθήκης τρόπος* p. 9 b.

ς'. *Τίς ὁ κατὰ τὴν καινὴν διαθήκην κατηγγελμένος ὑπὸ τοῦ Χριστοῦ πᾶσιν ἀνθρώποις βίος* . . . p. 12 c.

ζ'. *Πῶς ὁ Χριστὸς τὰ παρὰ Μωσεῖ πρότερον ἐκτελέσας καινῆς καὶ νέας εἰσαγωγεὺς κατέστη πολιτείας* . p. 25 b.

η'. *Ὡς εἰς δύο τρόπους ὁ κατὰ τὸν Χριστιανισμὸν διῄρηται βίος* . . . . p. 29 b.

θ'. *Τί δή ποτε μὴ ὁμοίως τοῖς παλαιοῖς καὶ παρ' ἡμῖν τὰ τῆς πολυπαιδίας σπουδάζεται* . . . . . p. 30 c.

ι'. *Τίνι λόγῳ μὴ καὶ ἡμῖν ὁμοίως τοῖς παλαιοῖς θυμιᾶν καὶ θύειν τῷ θεῷ τὰ γεώδη παραδέδοται* . . . p. 34 a.

ΕΝ ΤΩι ΔΕΥΤΕΡΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

Ὅτι μὴ ὡς ἔτυχεν μηδὲ μάτην τὰς παρ' Ἑβραίοις προφητικὰς βίβλους διὰ πάσης σπουδῆς περιέπομεν . p. 43 a.

α'. *Ὅπως τὰ χρηστότερα περὶ ἡμῶν τῶν ἀλλοφύλων ἐθνῶν*

προλαβόντες οἱ παρ' αὐτοῖς προφῆται ἐκήρυττον p. 44 a.

α'. β'. γ'. Ἀπὸ τῆς Γενέσεως . . p. 45 a.—46 a.
δ'. Ἀπὸ τοῦ Δευτερονομίου . . . . p. 46 b.
ε'. Ἀπὸ τοῦ κα' Ψαλμοῦ . . . . . p. 46 c.
ς'. Ἀπὸ τοῦ μς' Ψαλμοῦ . . . . . p. 46 d.
ζ'. Ἀπὸ τοῦ πε' Ψαλμοῦ . . . . . p. 47 a.
η'. Ἀπὸ τοῦ ϟε' Ψαλμοῦ . . . . . p. 47 b.
θ'. Ἀπὸ τοῦ Ζαχαρίου . . . . . . p. 47 c.
ι'. ια'. Ἀπὸ τοῦ Ἡσαΐου . . . . . p. 48 a. b.

β'. Ὅπως οἱ αὐτοὶ ἐπὶ τῇ τοῦ Χριστοῦ παρουσίᾳ τὴν τοῦ πάλαι παρ' Ἑβραίοις μόνου γιγνωσκομένου θεοῦ γνῶσίν τε καὶ εὐσέβειαν πάντα τὰ ἔθνη μαθήσεσθαι προεθέσπιζον . . . . p. 49 c.

ιβ'. Ἀπὸ τοῦ β' Ψαλμοῦ . . . . . p. 49 c.
ιγ'. Ἀπὸ τοῦ οα' Ψαλμοῦ . . . . . p. 49 d.
ιδ'. Ἀπὸ τοῦ ϟζ' Ψαλμοῦ . . . . . p. 50 a.
ιε'. Ἀπὸ τῆς Γενέσεως . . . . . . p. 50 c.
ις'. ιζ'. Ἀπὸ τοῦ Σοφονίου . . . . . p. 50 d.
ιη'. Ἀπὸ τοῦ Ζαχαρίου . . . . . . p. 51 b.
ιθ'. κ'. κα'. κβ'. κγ'. Ἀπὸ τοῦ Ἡσαΐου p. 51 c. — 53 c.

γ'. Ὅπως ἐπὶ τῇ τῶν ἐθνῶν κλήσει, τῇ διὰ τοῦ Χριστοῦ γενομένῃ, ἀπόπτωσις ἔμελλεν ἔσεσθαι τῆς κατὰ θεὸν εὐσεβείας τῷ Ἰουδαίων ἔθνει . . . . . p. 53 d.

κδ'. κε'. Ἀπὸ τοῦ Ἱερεμίου . . . 53 d. 54 a.
κς'. Ἀπὸ τοῦ Ἀμὼς . . . . p. 54 c.
κζ'. Ἀπὸ τοῦ Μιχαίου . . . . . . p. 55 a.
κη'. Ἀπὸ τοῦ Ζαχαρίου . . . . . p. 55 c.
κθ'. Ἀπὸ τοῦ Μαλαχίου . . . . . p. 55 d.
λ'. λα'. λβ'. λγ'. λδ. λε'. Ἀπὸ τοῦ Ἡσαΐου p. 56 a. — 58 d.

δ'. Ὅτι μὴ εἰς ἅπαν τὸ Ἰουδαίων ἔθνος, ἀλλ' εἰς ὀλίγους αὐτῶν διήκει τὰ τῶν θείων ἐπαγγελιῶν . . p. 63 b.

λς'. λζ'. λη'. λθ'. μ'. μα'. μβ'. μγ'. μδ'. με'. μς'. μζ'. μη'. μθ'. Ἀπὸ τοῦ Ἡσαΐου . p. 63 b. — 80 d.
ν'. να'. Ἀπὸ τοῦ Μιχαίου . . . p. 80 d. 81 b.
νβ'. Ἀπὸ τοῦ Σοφονίου . . . . . p. 82 c.

νγ΄. Ἀπὸ τοῦ Ζαχαρίου . . . . p. 83 a.
νδ΄. νε΄. Ἀπὸ τοῦ Ἱερεμίου . . . p. 83 b. 84 a.
νς΄. νζ΄. νη΄. νθ΄. ξ΄. Ἀπὸ τοῦ Ἰεζεκιήλου
— — p. 84 b. — 85 c.

ΕΝ ΤΩι ΤΡΙΤΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

α΄. Ὅπως οἱ παρ᾽ Ἑβραίοις προφῆται τὸ εὐαγγέλιον ἐκήρυττον . . . . p. 88 b.
β΄. Ὅπως περὶ τοῦ Χριστοῦ προανεφώνουν . . p. 89 d.
γ΄. Πῶς πρὸς τοὺς πλάνον ὑπειληφότας γεγονέναι αὐτὸν ἀντενεχθησόμεθα . . . . p. 102 d.
δ΄. Περὶ τῶν θειοτέρων ἔργων αὐτοῦ . . . p. 107 c.
ε΄. Ὅτι μὴ πλασάμενοι οἱ αὐτοῦ μαθηταὶ, τῇ δὲ ἀληθείᾳ ἐμαρτύρουν τὰς ὑπ᾽ αὐτοῦ πραχθείσας παραδοξοποιοὺς ἱστορίας . . . . p. 109 c.
ς΄. Ὅτι μὴ κατὰ γοητείαν, ἐνθέῳ δὲ ἀρετῇ καὶ δυνάμει τὰ παράδοξα διεπράξατο . . . . p. 125 b.
ζ΄. Ὡς καὶ ἀπὸ τῆς ἐνεργείας αὐτῆς συνορᾶται τοῖς φιλαληθέσιν τῆς περὶ αὐτὸν ἐνθέου δύναμις . p. 134 b.

ΕΝ ΤΩι ΤΕΤΑΡΤΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

α΄. Περὶ τῆς κατὰ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ μυστικῆς οἰκονομίας . . p. 144 a.
β΄. Ὅπως αὐτὸν πρὸ πάσης κτίσεως υἱὸν θεοῦ γεγονέναι φαμέν . . . . p. 146 a.
γ΄. Ὅτι μὴ πλείους υἱοὶ τοῦ ἐπὶ πάντων θεοῦ, μόνος δὲ εἷς ἐκ θεοῦ θεὸς εὐλόγως ἡμῖν ἀνηγόρευται . p. 147 a.
δ΄. Ὡς ἀναγκαία τῇ τῶν ὅλων συστάσει ἡ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ προΰπαρξις ἀποδίδοται . . p. 149 c.
ε΄. Ὡς μυρίας μὲν ὁμολογοῦμεν εἶναι γεννητὰς θείας δυνάμεις, μόνην δὲ τὴν τοῦ υἱοῦ δι᾽ ἣν ἐπάγεται εἰκόνα τοῦ θεοῦ πατρὸς θεολογοῦμεν . . . . . . p. 150 b.
ς΄. Ὡς ἀπὸ πρώτης συστάσεως τῶν ὅλων ἀφανῶς ὁ Χριστὸς τοῦ θεοῦ τῶν θεοφιλῶν ψυχῶν ἐπιστατεῖ . p. 153 d.
ζ΄. Ὡς μόνοις Ἑβραίοις τὸ παλαιὸν ἡ τοῦ τῶν ὅλων θεοῦ γνῶσις ἀποκεκάλυπτο διὰ τῆς ἐπιφανείας τοῦ Χριστοῦ γινωσκομένη . . . . p. 156 b.

η′. Ὡς μόνους τοὺς κατ᾽ οὐρανὸν φωστῆρας τὰ λοιπὰ τῶν ἐθνῶν ἔσεβον ἀγγέλοις τισὶν ἐγκεχωρισμένα p. 157 c.

θ′. Περὶ τῆς ἐχθρᾶς καὶ ἀντικειμένης τῷ θεῷ δυνάμεως καὶ τοῦ ταύτης ἐξάρχοντος, καὶ ὡς διὰ ταύτης τὸ πάντων ἀνθρώπων ὑπηγάγοντο γένος . . . p. 158 c.

ι′. Ὡς ἀναγκαίως ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τὴν εἰς ἀνθρώπους ἐποιήσατο πάροδον . . . . . p. 161 a.

ια′. Ὅπως τὸν ἐν ἀνθρώποις διεξῆλθε βίον . . p. 165 d.

ιβ′. Ὡς καὶ μέχρι τῶν πάλαι κατοιχομένων ἐκάλουν αὐτὸν οἱ τῆς φιλανθρωπίας νόμοι . . . . . p. 166 a.

ιγ′. Ὡς ἀπαθὴς καὶ ἀβλαβὴς καὶ ἀσώματος διέμεινεν καὶ καθ᾽ ὃν ἐνηνθρώπει καιρόν . . . . . p. 167 d.

ιδ′. Ὡς τὸν ἄνθρωπον ἀνανεωσάμενος πᾶσιν ἡμῖν τὴν τῶν αἰωνίων ἀγαθῶν παρέσχετο ἐλπίδα . . . p. 170 d.

ιε′. Τί βούλεται δηλοῦν ἡ τοῦ Χριστοῦ παρουσία, καὶ ὡς θεὸς καὶ κύριος καὶ ἀρχιερεὺς τοῦ τῶν ὅλων θεοῦ διὰ τῶν παρ᾽ Ἑβραίοις προφητῶν ὁ Χριστὸς ἀνηγορεύετο p. 171 a.

ιϛ′. Δι᾽ ὅσων προφητικῶν γραφῶν ὁ Χριστὸς ὀνομαστὶ προεκηρύττετο . . . . p. 182 b.

Ἀπὸ τοῦ β′ Ψαλμοῦ . . . . p. 182 b.

Ἀπὸ τοῦ ιθ′ Ψαλμοῦ . . . . p. 184 a.

Ἀπὸ τοῦ κζ′ Ψαλμοῦ . . . . p. 185 a.

Ἀπὸ τοῦ πγ′ Ψαλμοῦ . . . . p. 185 d.

Ἀπὸ τοῦ πη′ Ψαλμοῦ . . . . p. 186 d.

Ἀπὸ τοῦ ρλα′ Ψαλμοῦ . . . . . . p. 187 c.

Ἀπὸ τοῦ Ἀμώς . . . . p. 188 c.

Ἀπὸ τοῦ Ἀμβακούμ . . . . p. 189 c.

Ἀπὸ τῶν Ἱερεμίου Θρήνων . . . . p. 190 a.

Ἀπὸ τῆς πρώτης τῶν Βασιλειῶν . . . p. 191 a. c.

Ἀπὸ τοῦ μδ′ Ψαλμοῦ . . . . p. 192 b.

ιζ′. Ὅτι καὶ τὸ Ἰησοῦ ὄνομα παρὰ τοῖς πρόπαλαι τοῦ θεοῦ γνωρίμοις τετίμητο . . . . p. 195 b.

Ἀπὸ τῆς Ἐξόδου . . . . p. 196 b.

Ἀπὸ τοῦ Ζαχαρίου . . . . p. 196 d.

ΕΝ ΤΩι ΠΕΜΠΤΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

Τίς ὁ τρόπος ἦν καθ' ὃν οἱ παρὰ Ἑβραίοις προφῆται τὰ μέλλοντα προεθέσπιζον, καὶ τὴν ἀληθῆ θεολογίαν ἐφώτιζον. καὶ ὅσαι προφητικαὶ φωναὶ τῆς ἐνθέου προϋπάρξεως τοῦ σωτῆρος μνήμην ἐποιήσαντο . p. 202 d.
α'. Ἀπὸ τῶν Παροιμιῶν . . . . . p. 211 d.
β. Ἀπὸ τοῦ Ψαλμοῦ μδ' . . . . . p. 217 d.
γ'. Ψαλμοῦ ρθ' . . . . p. 219 d.
δ'. Τοῦ Ησαΐου . . . . p. 225 a.
ε'. Ψαλμοῦ λβ' . . . . p. 228 c.
ϛ'. Τοῦ Ἡσαΐου . . . . p. 230 d.
ζ'. η'. θ'. ι'. ια'. ιβ'. Τῆς Γενέσεως
p. 232 a. — 238 d.
ιγ'. ιδ'. ιε'. ιϛ'. ιζ'. Τῆς Ἐξόδου p. 239 b. — 243 b.
ιη'. Ἀπὸ τῶν Ἀριθμῶν . . . . . p. 244 c.
ιθ'. Τοῦ Ἰησοῦ τοῦ Ναυῆ . . . . p. 245 d.
κ'. Τοῦ Ἰώβ . . . . p. 247 a.
κα'. Ψαλμοῦ ϟ' . . . . p. 248 d.
κβ'. Τοῦ Ὡσηέ . . . . p. 249 c.
κγ'. Τοῦ Ἀμώς . . . . p. 250 a.
κδ'. Τοῦ Ἀβδιοῦ . . . . p. 251 a.
κε'. κϛ'. κζ'. Τοῦ Ζαχαρίου . p. 251 d. — 252 d.
κη'. κθ'. Τοῦ Μαλαχίου . . p. 252 b. — 254 a.
λ'. Τοῦ Ἱερεμίου . . . . 254 d.

ΕΝ ΤΩι ΕΚΤΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

Περὶ τῆς εἰς ἀνθρώπους ἐπιδημίας αὐτοῦ, ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν . . . . p. 257.
α'. Ἀπὸ Ψαλμοῦ ιζ' . . . . . . p. 258 a.
β'. Ἀπὸ Ψαλμοῦ μϛ' . . . . . . p. 259 a.
γ'. Ἀπὸ Ψαλμοῦ μθ' . . . . . . p. 261 b.
δ'. Ἀπὸ Ψαλμοῦ πγ' . . . . . . p. 262 b.
ε'. Ἀπὸ Ψαλμοῦ ϟε' . . . . . . p. 262 d.
ϛ'. Ἀπὸ Ψαλμοῦ ϟζ' . . . . . . p. 263 c.
ζ'. Ἀπὸ Ψαλμοῦ ρϛ' . . . . . . p. 264 c.
η'. Ἀπὸ Ψαλμοῦ ριζ' . . . . . . p. 265 d.

θ΄. Ἀπὸ Ψαλμοῦ ρμγ΄ . . . . p. 266 d.
ι΄. Ἀπὸ Ψαλμοῦ ρμζ΄ . . . . p. 267 d.
ια΄. Ἀπὸ τῶν Βασιλειῶν β΄ . . . . . p. 268 c.
ιβ΄. Ἀπὸ τῶν Βασιλειῶν γ΄ . . . . . p. 269 a.
ιγ΄. Ἀπὸ τοῦ Μιχαία . . . . p. 270 d.
ιδ΄. Ἀπὸ τοῦ Ἀμβακούμ . . . . . . p. 276 b.
ιε΄. Ἀπὸ τοῦ αὐτοῦ . . . . p. 278 c.
ις΄. ιζ΄. ιη΄. Ἀπὸ τοῦ Ζαχαρίου p. 281 d.—284 a.
ιθ΄. Ἀπὸ τοῦ Βαρούχ . . . . p. 295 a.
κ΄. κα΄. κβ΄. κγ΄. κδ΄. κε΄. Ἀπὸ τοῦ Ἡσαΐου p. 295 d.—305 d.

ΕΝ ΤΩι ΕΒΔΟΜΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

α΄. Τίς ὁ τρόπος τῆς τοῦ θεοῦ εἰς ἀνθρώπους ἐπιδημίας. ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν . . . p. 308.
α΄. β΄. γ΄. Ἀπὸ τοῦ Ἡσαΐου . p. 309 b. —336 a.
β΄. Ποῦ γῆς ὁ Χριστὸς γεννηθήσεσθαι προεφητεύετο p. 340.
δ΄. Ἀπὸ τοῦ Μιχαία . . . . p. 340 d.
ε΄. Ἀπὸ Ψαλμοῦ ρλα΄ . . . . p. 346 c.
γ΄. Ἀφ᾽ οἵου γένους προελεύσεσθαι ἐβοᾶτο . . p. 350 a.
ς΄. Ἀπὸ τῆς β΄ τῶν Παραλειπομένων . p. 350 d.
ζ΄. Ἀπὸ Ψαλμοῦ οα΄ . . . . p. 354 d.
η΄. Ἀπὸ τοῦ Ἡσαΐου . . . . p. 355 d.
θ΄. Ἀπὸ τοῦ Ἱερεμίου . . . . p. 357 a.
ι΄. Ἀπὸ τῆς Γενέσεως . . . . p. 360 a.

ΕΝ ΤΩι ΟΓΔΟΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

Περὶ τῶν χρόνων τῆς εἰς ἀνθρώπους ἐπιφανείας αὐτοῦ, ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν . . . . . p. 366.
α΄. Ἀπὸ τῆς Γενέσεως . . . . p. 366 a.
β΄. Ἀπὸ τοῦ Δανιήλ . . . . p. 381 a.
γ΄. Ἀπὸ τοῦ Μιχαία . . . . p. 404 d.
δ΄. Ἀπὸ τοῦ Ζαχαρίου . . . . . . p. 407 c.
ε΄. Ἀπὸ τοῦ Ἡσαΐου . . . . p. 413 b.

ΕΝ ΤΩι ΕΝΑΤΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

Περὶ τῶν κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ πραχθησομένων· ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν . . . p. 417.
α'. Ἀπὸ τῶν Ἀριθμῶν . . . . . p. 417 c.
β'. Ἀπὸ τοῦ Ἡσαΐου . . . . . . p. 421 b.
γ'. Ἀπὸ τῶν Ἀριθμῶν . . . . . p. 423 b.
δ'. Ἀπὸ τοῦ Ὡσηέ . . . . p. 426 b.
ε'. ϛ'. Ἀπὸ τοῦ Ἡσαΐου . . p. 428 a.—431 b.
ζ'. Ἀπὸ Ψαλμοῦ ϟ' . . . . p. 433 a.
η'. Ἀπὸ τοῦ Ἡσαΐου . . . . . . p. 438 a.
θ'. Ἀπὸ Ψαλμοῦ ξζ' . . . . p. 441 a.
ι'. Ἀπὸ τοῦ Ἡσαΐου . . . . . . p. 442 a.
ια'. Ἀπὸ τοῦ Δευτερονομίου . . . . p. 443 b.
ιβ'. Ἀπὸ τοῦ Ἰώβ . . . . p. 446 a.
ιγ'. ιδ'. ιε'. ιϛ'. Ἀπὸ τοῦ Ἡσαΐου p. 447 c.—454 a.
ιζ'. Ἀπὸ τοῦ Ζαχαρίου . . . . . . p. 455 d.
ιη'. Ἀπὸ Ψαλμοῦ ριζ' . . . . . . p. 459 a.

ΕΝ ΤΩι ΔΕΚΑΤΩι ΣΥΓΓΡΑΜΜΑΤΙ.

Περὶ τῆς Ἰούδα τοῦ προδότου καὶ τῶν σὺν αὐτῷ κατὰ τοῦ Χριστοῦ γενησομένης, ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν . . . . p. 462
α'. Ἀπὸ τοῦ Ψαλμοῦ μ' . . . . . p. 463 c.
β'. Ἀπὸ τοῦ Ψαλμοῦ νδ' . . . . . p. 471 a.
γ'. Ἀπὸ τοῦ Ψαλμοῦ ρη' . . . . . p. 474 c.
δ'. Ἀπὸ τοῦ Ζαχαρίου . . . . . . p. 478 d.
ε'. Ἀπὸ τοῦ Ἱερεμίου . . . . . . p. 484 c.
Περὶ τῶν ἀμφὶ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ συμβεβηκότων p. 485.
ϛ'. Ἀπὸ τοῦ Ἀμώς . . . . p. 485 c.
ζ'. Ἀπὸ τοῦ Ζαχαρίου . . . . . . p. 487 b.
η'. Ἀπὸ τοῦ Ψαλμοῦ κα' . . . . . p. 489 b.

Κεφαλαίων καταγραφή duplex in libris est, altera singulis libris praemissa, ab *τάδε ἔνεστιν ἐν τῷ . . . συγγράμματι* incipiens, quam supra exhibuimus p. VII—XIII, altera singulis capitibus iisdem quidem verbis praescripta, sed aucta Argumentis locorum quos Eusebius excerpsit biblicorum. Libri primi *κεφαλαίων καταγραφή* una cum primis operis ipsius paginis excidit ex codice Parisino eiusque apographis, quorum uno usus est Robertus Stephanus a. 1545: unde in editione Parisina a. 1628. trium primorum capitum *ὑπόθεσις* (supra p. VII. 5—9) ab editore composita est, reliquorum vero capitum inde ab quarto usque ad decimum (supra p. VII, 10—23) *ὑποθέσεις* ex altera suppletae sunt *κεφαλαίων καταγραφῇ*, quam singulis capitibus praescriptam in libris esse supra dicebam. Omnia haud dubie integra fuerunt in codice Maurocordati, ex quo Stephanus Berglerus initium operis ab se descriptum I. A. Fabricio edendum misit, de quo in Praefatione dixi, sed neglecta, quae in codice illo haud dubie praemissa fuit, *κεφαλαίων καταγραφῆ*.

Singulorum capitum Argumenta quum eadem sint quae libris singulis coniunctim sunt praemissa in codicibus, ego quoque ea in *κεφαλαίων καταγραφῇ* supra posita p. VII—XIII. coniunctim exhibui nec singulis capitibus iterum praemittenda esse putavi, servavi vero quae locis biblicis aliisque nonnullis praescriptae sunt *ὑποθέσεις*, quibus hae sunt addendae:

Pag. 161, 6. ed. nostrae. *Ὅτι οὐδὲν τῶν ἀπὸ γῆς χρὴ τῷ ἐπὶ πάντων θεῷ οὔτε θυμιᾶν οὔτε θύειν.*

161, 19. *Ἔτι περὶ αὐτοῦ.*

167, 6. *Πρὸς τοὺς ἀπειθοῦντας τῇ τῶν μαθητῶν τοῦ σωτῆρος ἡμῶν περὶ τῶν παραδόξων αὐτοῦ πράξεων διηγήσει.*

187, 11. *Ἰωσήπου περὶ τοῦ Χριστοῦ.*

---

3 *Συγγράμματα* hos libros Eusebius ipse constanter appellat. Sic p. 86 a. *διὰ τοῦ πρὸ τούτου συγγράμματος*. p. 103 b. *διὰ τοῦ πρώτου συγγράμματος τῆς παρούσης ὑποθέσεως*, pariterque p. 105 d. et p. 144 a.: *ἐν τῷ πρὸ τούτου συγγράμματι τρίτῳ ὄντι τῆς Εὐαγγελικῆς ὑποθέσεως*, et p. 202 a.

188, 22. *Πρὸς τοὺς οἰομένους γόητα γεγονέναι τὸν Χριστὸν τοῦ θεοῦ.*

200, 13. *Χρησμοὶ περὶ τοῦ Χριστοῦ.*

294, 23. *Ὡς ὁ παρ' Ἑβραίοις σοφώτατος Σολομὼν ἐν Παροιμίαις οἶδέ τινα πρωτότοκον τοῦ θεοῦ δύναμιν, ἣν καὶ σοφίαν θεοῦ καὶ γέννημα αὐτοῦ προσαγορεύει, ὥσπερ οὖν καὶ ἡμεῖς δοξάζομεν.*

305, 7. *Ὡς ὁ αὐτὸς προφήτης καὶ ἐν ρθ' Ψαλμῷ δύο κυρίους ἐμφανῶς ὁμολογεῖ, ἕνα τὸν πρῶτον καὶ ἀνωτάτω θεὸν, δεύτερον ὃν αὐτὸς ἑαυτοῦ ἀναγορεύει κύριον, καὶ ὡς γενέσθαι ὑπὸ τοῦ θεοῦ πρὸ τῆς τοῦ κόσμου συστάσεως, καὶ αὐτὸς τὸν δεύτερον κύριον οἶδε, καὶ ὡς αἰώνιον τοῦ πατρὸς ἱερέα, καὶ ὡς σύνθρονον τοῦ ἐπὶ πάντων θεοῦ, ὅμοια ἡμῖν περὶ τοῦ Χριστοῦ δοξάζων.*

312, 12. *Ὡς καὶ Ἡσαΐας προφητῶν μέγιστος σαφῶς οἶδε θεὸν ἐν θεῷ εἶναι, λέγων ὁμοίως ἡμῖν δοξάζουσι πατέρα ἐν υἱῷ καὶ υἱὸν ἐν πατρί.*

320, 3. *Ὡς καὶ Ἡσαΐας δύο κυρίους ὁμολογῶν, τὸν δεύτερον ὁμοίως τῷ Δαβὶδ δημιουργὸν εἶναι τῶν ὅλων, ὥσπερ οὖν καὶ αὐτοὶ δοξάζομεν.*

327, 5. *Ὡς καὶ Ἰακὼβ τὸν προδηλωθέντα καὶ θεὸν καὶ κύριον καὶ δὴ καὶ ἄγγελον ὁμοίως τῷ Ἀβραὰμ ἐν ἀνθρώπου σχήματι θεωρεῖ διὰ τῆς οὕτως ἐχούσης ἱστορίας.*

330, 3. *Ὡς αὖθις ἐπὶ τοῦ Ἰακὼβ δεύτερον θεὸν σαφῶς ὁ λόγος παρίστησιν.*

332, 26. *Ὡς καθάπερ τοῖς πατράσιν ἐν ἀνθρωπείῳ σχήματι, οὕτως ἐν εἴδει νεφέλης Μωσεῖ καὶ παντὶ τῷ λαῷ ὁ θεὸς λόγος ἐφαίνετο.*

333, 25. *Ὅτι μηδὲ ἀγγελικὴ φύσις ἦν ἡ τῷ Μωσεῖ χρηματίζουσα, κρείττων δέ τις ἦν ἢ κατ' ἄγγελον.*

334, 13. *Ὡς ὁ αὐτὸς κύριος περὶ ἑτέρου διδάσκει κυρίου.*

335, 1. *Ὡς αὐτὸς αὖθις ὁ τῷ Μωσεῖ χρηματίζων κύριος ἕτερον κύριον κρείττονα ἑαυτοῦ τὸν πατέρα γιγνώσκων, τοῦτον ἀληθινὸν θεὸν ἀνεκαλεῖτο.*

345, 12. *Ὁ αὐτὸς καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως.*

346, 23. *Ὡς αὖθις κύριος περὶ ἑτέρου κυρίου, δῆλον δὲ ὅτι περὶ τοῦ πατρὸς αὐτοῦ, διέξεισιν.*

348, 1. Ὡς ἥλιον δικαιοσύνης τὸν Χριστὸν ὁ τῶν ὅλων θεὸς ὀνομάζει.
351, 3. Περὶ τῆς τοῦ θεοῦ λόγου εἰς ἀνθρώπους ἐπιδημίας.
352, 10. Ἀνάβασις θεοῦ προκατεληλυθότος, καὶ ἐπὶ ταύτῃ κλῆσις ἐθνῶν ἁπάντων, τὸν ἕνα καὶ μόνον θεὸν ἐπιγνωσομένων.
354, 29. Ὡς ἐμφανῶς ἥξειν ὁ θεὸς εἰς ἀνθρώπους λέγεται, καὶ πᾶν γένος ἀνθρώπων πρὸς ἑαυτὸν ἀνακαλέσασθαι.
356, 6. Ὡς ἐπὶ γῆς ὀφθήσεσθαι ὁ θεὸς λέγεται διὰ τῆς τοῦ Χριστοῦ εἰς ἀνθρώπους ἐπιφανείας.
356, 21. Παρουσία κυρίου ἐπὶ γῆς, βασιλεία τε αὐτοῦ ἐπὶ τῶν ἐθνῶν, καινόν τε ᾆσμα οὐ τῷ Ἰσραὴλ, ἀλλὰ τοῖς ἔθνεσι δοθησόμενον.
357, 21. Ἆισμα καινὸν, γνῶσίς τε ἐθνῶν τῆς τοῦ κυρίου δικαιοσύνης, ἐρχόμενός τε αὐτὸς κριτὴς τῶν ὅλων.
358, 16. Λόγος θεοῦ εἰς ἀνθρώπους ἀποστελλόμενος ἐπὶ θεραπείᾳ καὶ σωτηρίᾳ ψυχῶν τῶν πάλαι ἐν κακίαις τετρυχωμένων.
360, 13. Ἐθνῶν κλῆσις θεός τε ἐπιφανὴς, καὶ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.
361, 14. Κύριος οὐρανόθεν κατιὼν ἀνθρώπων σωτηρίας ἕνεκεν, ᾠδή τε ἐπὶ τούτῳ ᾀδομένη καινὴ, ἡ τῆς καινῆς διαθήκης δηλαδή.
362, 20. Ὁ θεοῦ λόγος ἐπὶ γῆς ἀποστελλόμενος, καὶ ἐν βραχεῖ χρόνῳ πάντας ἀνθρώπους διατρέχων.
363, 8. Κύριος ἐξ οὐρανοῦ κατιὼν, ἡγούμενος τῶν πρὶν οὐκ ἐγνωκότων αὐτὸν ἐθνῶν, τὸ δὲ Ἰουδαίων ἔθνος ἀποστραφησόμενος.
364, 5. Θεὸς οὐρανόθεν κατιὼν καὶ μετ' ἀνθρώπων ἐπὶ γῆς κατοικῶν.
366, 11. Περὶ τῆς ἐξ οὐρανῶν εἰς ἀνθρώπους καθόδου, καὶ περὶ τῆς ἐπὶ τῆς παρουσίας αὐτοῦ γενομένης ἀποβολῆς μὲν τοῦ Ἰουδαίων ἔθνους, εἰσποιήσεως δὲ τῶν λοιπῶν ἁπάντων ἐθνῶν.
374, 7. Ὡς ἐρχόμενος ἥξειν καὶ οὐ χρονίσειν ὁ τοῦ θεοῦ λόγος προεφητεύετο.

376, 18. Ὡς ἐπίφοβος ἡ περὶ τῆς ἐξ οὐρανῶν καθόδου τοῦ κυρίου ἀκοὴ τυγχάνει, καὶ μετὰ ἐκπλήξεως τὰ ἔργα αὐτοῦ ἡ σύμπασα γῆ τῆς αἰνέσεως αὐτοῦ πλησθήσεται, ὅτε γε τῆς καινῆς διαθήκης αὐτοῦ λόγος εἰς πάντας ἀνθρώπους διαδραμεῖται.

381, 2. Ὡς ὁ κύριος ὁ παντοκράτωρ ὁμολογεῖ ὑφ' ἑτέρου κυρίου παντοκράτορος ἐπὶ καθαιρέσει τῶν φαύλων ἀπεστάλθαι.

382, 17. Ὡς αὐτὸς ὁ κύριος ἥξειν οὐρανόθεν, καὶ ἐν ἀνθρώποις κατασκηνώσειν, τά τε ἔθνη εἰς αὐτὸν καταφεύξεσθαι θεσπίζει, καὶ ὡς ἀπεστάλθαι ὑπό τινος κρείττονος κυρίου παντοκράτορος ὁμολογεῖ.

383, 27. Περὶ τῆς τοῦ κυρίου παρουσίας καὶ τῶν κατὰ τὸ πάθος αὐτοῦ συμβησομένων.

399, 9. Ὡς αὐτὸς ὁ τῶν προφητῶν θεὸς πᾶσαν ὁδὸν ἐπιστήμης διὰ τῆς κατὰ Μωσέα νομοθεσίας τοῖς ἐκ περιτομῆς διαταξάμενος, ὕστερόν ποτε ἐπὶ τῆς γῆς ὀφθήσεσθαι, καὶ ἐν τοῖς ἀνθρώποις συναναστραφήσεσθαι προφητεύεται.

402, 2. Ὡς ὁ Χριστὸς εἰς Αἴγυπτον ἥξειν προεφητεύετο, καὶ ὅσα ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ γενήσεσθαι ἔμελλεν.

406, 11. Ἀγαθῶν ἐπαγγελία τῇ πρὶν ἐρήμῳ ἐθνῶν ἐκκλησίᾳ, καὶ ταῖς κεκακωμέναις ψυχαῖς ἐμφανὴς θεοῦ παρουσία, σωτήριοί τε παραδοξοποιίαι.

408, 16. Ὡς ὁ πρῶτος καὶ εἰς τὸν αἰῶνα τοῦ θεοῦ λόγος, ὁ τῶν ὅλων δημιουργὸς, ὑπὸ κυρίου τοῦ πατρὸς καὶ νῦν ἀπεστάλθαι ἑαυτὸν ὁμολογεῖ.

408, 26. Ὡς αὐτὸς ὁ κύριος τὸ Ἰουδαίων ἔθνος ἀπελέγχει, ὅτι δὴ ἥξοντα αὐτὸν οὐ παραδέξονται, οὐδὲ καλοῦντι ὑπακούσονται, ὁποῖά τε πείσεται πρὸς αὐτῶν.

409, 28. Ὡς αὐτὸς ὁ ἐν τοῖς προφήταις πάλαι θεσπίζων κύριος ἥξειν εἰς ἀνθρώπους, καὶ αὐτοῖς ὀφθαλμοῖς θεαθήσεσθαι, καὶ τοῖς ἔθνεσι γνωσθήσεσθαι μελλήσει.

412, 29. Ὡς αὖθις κύριος ὁ τοῦ θεοῦ λόγος ἐρχόμενος καὶ τὰ ἔθνη συνάξειν θεσπίζεται.

421, 19. Τὰ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας.

442, 26. Ἐπὶ καινῆς γραφῆς, τῆς καινῆς δηλαδὴ διαθήκης, προφῆτις ἐξ ἁγίου πνεύματος συλλήψεσθαι καὶ τέξεσθαι υἱὸν λέγεται, ὃς τῶν ἐχθρῶν καὶ πολεμίων κρατήσας

ἀπιστηθήσεται μὲν ὑπὸ Ἰουδαίων, τοῖς δὲ ἔθνεσιν ἔσται σωτήριος. Οἷά τε πείσεται τὸ Ἰουδαίων ἔθνος μετὰ τὴν εἰς αὐτὸν ἀπιστίαν, κατὰ τὸ αὐτὸ δηλοῦται.

452, 25. *Ὡς ὁ τεχθησόμενος υἱὸς ἐκ τῆς προφητευομένης εἴτε παρθένου εἴτε προφήτιδος, θεὸς ὁμοῦ καὶ μεγάλης βουλῆς ἄγγελος, ἑτέραις τε παραδόξοις ἐπωνυμίαις ἀνηγόρευται· καὶ ὡς ἡ γένεσις αὐτοῦ φωτὸς εὐσεβείας παραιτία τοῖς ἔθνεσι καταστήσεται.*

459, 8. *Περὶ τοῦ τόπου τῆς γενέσεως τοῦ προκηρυττομένου θεοῦ· καὶ ὡς ἐκ Βηθλεὲμ, χωρίου τῆς Παλαιστίνης, ἐξ αἰῶνός τις προϋπάρχων, ἡγούμενος τοῦ τῶν θεοσεβῶν γένους προελεύσεται, καὶ ὡς αὐτὸς ὁ κύριος ποιμανεῖν θεσπίζεται τοὺς μέχρι τῶν ἐσχατιῶν τῆς γῆς εἰς αὐτὸν πεπιστευκότας.*

467, 2. *Πυθομένῳ τῷ Δαβὶδ ποῖος ἄρ' εἴη ὁ τῆς τοῦ προκηρυττομένου θεοῦ γενέσεως τόπος, ἡ Ἐφραθὰ, αὕτη δέ ἐστιν ἡ Βηθλεὲμ, διὰ τοῦ θείου πνεύματος φανεροῦται.*

473, 4. *Ἀπὸ ποίου γένους καὶ ἀπὸ ποίας Ἑβραίων φυλῆς προελεύσεσθαι ὁ Χριστὸς προεφητεύετο.*

477, 17. *Περὶ Σολόμωνος καὶ τοῦ ἐκ σπέρματος αὐτοῦ προελευσομένου.*

480, 2. *Περὶ Ἰεσσαὶ καὶ τοῦ ἐκ σπέρματος αὐτοῦ γενησομένου.*

482, 2. *Ἀνατολὴ δικαία ἐκ σπέρματος Δαβὶδ ἀνισταμένη, καὶ ἀνθρώπων ὁ αὐτὸς βασιλεὺς καινή τε προσηγορία τεθησομένη τοῖς ὑπ' αὐτῷ βασιλευθησομένοις, καὶ τῶν προτέρων ἁμαρτημάτων λύσις.*

486, 7. *Ὡς ἐκ φυλῆς Ἰούδα γεννηθήσονται, καὶ τῶν ἐθνῶν προσδοκία ὁ Χριστὸς τοῦ θεοῦ κατασταθήσεται.*

492, 10. *Ὡς καθ' οὓς χρόνους τὸ παρ' Ἑβραίοις ἐπιλείψει βασίλειον τοτηνικαῦτα ἡ τῶν ἐθνῶν ἐπιστήσεται προσδοκία, ὃ καὶ γέγονεν ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας.*

513, 19. *Ὡς μετὰ χρόνον ἐτῶν ἑβδομήκοντα ἑβδομάδων, ἃ γίνεται ἔτη τετρακόσια ἐνενήκοντα, τοῦ Χριστοῦ ἀνθρώποις ἐπιφανέντος, αἱ παρὰ Ἰουδαίοις προφητεῖαι, καὶ ἡ πάλαι διαπρέπουσα ἐν αὐτοῖς ἱερωσύνη καταλυθήσεται, καὶ αὐτοὶ μὲν κατακλυσμοῦ δίκην ἐπαλλήλοις πολιορκίαις ἁλώ-*

σονται, τὸ δὲ ἅγιον αὐτῶν ἱερὸν τὴν ἐσχάτην ἐρημίαν ὑπομενεῖ.

546, 9. *Σημεῖα χρόνων τῆς τοῦ κυρίου εἰς ἀνθρώπους καθόδου τάδε ἔσεσθαι ὁ προφήτης θεσπίζει, καθαίρεσιν παντελῆ τῶν παρὰ Ἰουδαίοις σεμνῶν ἐθῶν ἐπίγνωσιν τοῦ παρὰ τοῖς προφήταις καταγγελλομένου θεοῦ, εἰρήνην βαθυτάτην πάντων τῶν ἐθνῶν.*

550, 2. *Σημεῖα χρόνων τῆς τοῦ θεοῦ λόγου εἰς ἀνθρώπους παρουσίας, κλῆσίς τε ἐθνῶν, ὑστάτη τε καθαίρεσις τῆς Ἱερουσαλήμ.*

558, 10. *Σημεῖα χρόνων τῆς τοῦ κυρίου παρουσίας, Αἰγυπτίων ἐπίγνωσις τοῦ τῶν προφητῶν κυρίου.*

562, 3. *Περὶ τῶν κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ πραχθησομένων, καὶ περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει σωτῆρος ἡμῶν ἀστέρος.*

567, 7. *Ὡς ὁ κύριος ἐπιβὰς οὗ ἀνείληφεν ἐξ ἁγίας παρθένου σώματος, ἥξειν εἰς Αἴγυπτον ῥητῶς τε καὶ κατὰ διάνοιαν ἐθεσπίζετο, πᾶσά τε ἐπὶ τῆς παρουσίας αὐτοῦ καθαιρεθήσεσθαι τῶν ἐθνῶν δεισιδαιμονία.*

569, 22. *Ὡς ὁ Χριστὸς εἰς Αἴγυπτον ἥξειν κἀκεῖθεν ἐπανελεύσεσθαι προείρητο.*

573, 21. *Ἔτι περὶ τοῦ, ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου, καὶ περὶ Ἡρώδου τοῦ βασιλέως, καὶ περὶ τῆς καθαιρέσεως τῆς Ἰουδαίων βασιλείας.*

576, 9. *Περὶ τοῦ κατὰ τὴν ἔρημον Ἰωάννου κηρύγματος.*

580, 16. *Ἔτι περὶ τῆς ἐρήμου, καὶ αὐτοῦ δὴ ὀνομαστὶ τοῦ Ἰορδάνου ποταμοῦ, παρ᾽ ᾧ Ἰωάννης ἐβάπτιζεν.*

582, 27. *Περὶ τοῦ μετὰ τὸ βάπτισμα πειρασμοῦ τοῦ Χριστοῦ.*

589, 22. *Περὶ τῆς Γαλιλαίας τῶν ἐθνῶν, ἐφ᾽ ᾗ ὁ σωτὴρ ἡμῶν τὰ πλεῖστα τῶν παραδόξων εἰργάσατο, καὶ περὶ τῆς τῶν ἀποστόλων αὐτοῦ κλήσεως.*

594, 9. *Περὶ τῆς τῶν ἀποστόλων κλήσεως.*

595, 14. *Περὶ τῆς προφητικῆς ἀναγνώσεως, ἣν αὐτὸς ὁ κύριος ἡμῶν διῆλθεν ἐπὶ τῆς συναγωγῆς τῶν Ἰουδαίων.*

597, 4. *Περὶ τῆς κατὰ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ νομοθεσίας.*

601, 2. *Περὶ τῆς ἐν θαλάττῃ πορείας τοῦ Χριστοῦ.*

603, 2. *Περὶ τῶν ἐπιτελεσθέντων ὑπ᾽ αὐτοῦ παραδόξων.*

607, 4. *Περὶ τῶν σημείων καὶ τεράτων, ὧν κατειργάσατο.*

609, 4. *Περὶ τοῦ μὴ φανητιᾶν ἐν τῷ παραδοξοποιεῖν τὸν Χριστόν.*

612, 3. *Περὶ τοῦ μὴ πιστεύσειν εἰς αὐτὸν τὸν τῶν Ἰουδαίων λαόν.*

614, 9. *Ὡς ἐπὶ πῶλον ὀχούμενος ἐλάσειν εἰς τὰ Ἱεροσόλυμα προφητεύεται.*

618, 22. *Περὶ τοῦ ὡς ἀννὰ τῷ υἱῷ Δαβὶδ ἐπιφωνήματος.*

622, 24. *Περὶ Ἰούδα τοῦ προδότου, καὶ τῶν σὺν αὐτῷ τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλὴν συσκευασαμένων.*

633, 10. *Ἔτι περὶ τοῦ Ἰούδα, καὶ τῶν σὺν αὐτῷ τὴν κατὰ τοῦ Χριστοῦ συσκευὴν πεποιημένων.*

637, 26. *Ἔτι περὶ τοῦ Ἰούδα, καὶ τοῦ εἰς τὴν χώραν αὐτοῦ ἀντεισαχθέντος ἀποστόλου, καὶ περὶ τοῦ Ἰουδαίων ἔθνους.*

644, 2. *Ἔτι περὶ τοῦ Ἰούδα καὶ τῶν ἀργυρίων ἀνθ᾽ ὧν τὸν κύριον προύδωκε, καὶ περὶ τῆς ἀποβολῆς τῶν παρὰ Ἰουδαίοις ἀρχόντων τε καὶ ἀρχομένων.*

652, 2. *Ἔτι περὶ τοῦ Ἰούδα ὀνομαστί.*

653, 6. *Περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου τῆς ἐπὶ τῷ πάθει τοῦ σωτῆρος ἡμῶν γεγενημένης, καὶ περὶ τοῦ παντελοῦς ὀλέθρου τοῦ Ἰουδαίων ἔθνους.*

655, 23. *Ἔτι περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου καὶ τοῦ κατὰ τὸ σωτήριον πάθος καιροῦ.*

658, 20. *Περὶ τῶν κατὰ τὸ σωτήριον πάθος ἐπιτελεσθέντων. Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς.*

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ (1 ed. Fabr.)

ΕΥΑΓΓΕΛΙΚΗΣ ΑΠΟΔΕΙΞΕΩΣ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Ἰδοὺ δή σοι, θεῖον ἐπισκόπων χρῆμα, Θεόδοτε ἱερὲ θεοῦ ἄνθρωπε, σὺν θεῷ καὶ σὺν αὐτῷ γε τῷ σωτῆρι ἡμῶν τῷ τοῦ θεοῦ λόγῳ μετὰ τὴν πρώτην Προπαρασκευὴν τῆς Εὐαγγελικῆς ὑποθέσεως, ἐν ὅλοις πεντεκαίδεκα συγγράμμασι διαπεπονημένην ἡμῖν, (2) μέγα τοῦτο πρὸς ἡμῶν ἐξανύεται. δέχου δῆτα, ὦ φίλη κεφαλή, τὴν αἴτησιν, καὶ ταῖς εὐχαῖς ἡμῖν συμπόνει τὴν Εὐαγγελικὴν Ἀπόδειξιν ἤδη λοιπὸν ἐκ τῶν ἀνέκαθεν παρ' Ἑβραίοις ἀνακειμένων προρρήσεων παραστήσασθαι πειρωμένοις. 2. πῶς δὴ καὶ τίνα τρόπον; τοὺς θεοφιλεῖς ἐκείνους, οἶσθα δήπου τοὺς

---

4 *Ἰδοὺ* —] Initium operis (p. 1, 4—17, 18). *Ἰδοὺ — ὁ παῖς σου καὶ* ex codice Maurocordati primum edidit I. A. Fabricius in Delectu argumentorum et syllabo scriptorum de veritate religionis Christianae p. 1—22. cuius editionis paginarum numeros in margine posuimus. Editiones Roberti Stephani (a. 1545.) et Parisina a. 1628, quae ex codice Parisino 469, aliquot ab initio foliis defecto, fluxerunt, incipiunt ab verbis *ἡ παιδίσκη καὶ ὁ προσήλυτος* (p. 17, 18). Harum editionum paginarum numeros ipsos quoque in margine annotavimus, prioris uncis quadratis [ ] inclusos, alterius rotundis ( ).

βοωμένους παρὰ τοῖς ἀνδράσι, Μωσέα δὴ λέγω καὶ τοὺς μετ' αὐτὸν ἐκλάμψαντας θεοπρεπεῖς καὶ τοὺς μακαρίους προφήτας τε καὶ ἱεροφάντας, μάρτυσιν ἀποχρώμενοι, ἐξ αὐτῶν τ' ἐπιδεικνύναι προῃρημένοι τὰ μακροῖς ὕστερον αἰῶσιν εἰς φῶς ἐλθόντα, καὶ διὰ τῆς τοῦ σωτῆρος εὐαγγελικῆς ἀποδείξεως πραγματευθέντα, τά τε καθ' ἡμᾶς αὐτοὺς εἰσέτι νῦν πρὸ ὀφθαλμῶν συντελούμενα θείῳ πνεύματι προειληφότας, ὡς ἂν παρόντα τὰ μὴ παρόντα καὶ τὰ μηδέπω μηδαμῶς ὄντα ὡς ἐναργῶς ὄντα κατωπτευκότας, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα διὰ γραφῆς τὰ μέλλοντά ποτε ἔσεσθαι προμεμηνυκότας, ὥστε ἤδη καὶ ἑτέρους ἐξ αὐτῶν εἰδέναι τε καὶ γνωρίζειν τὸ μέλλον (3) δύνασθαι, ὁσημέραι τε προσδοκᾶν τῶν λογίων τὰ ἀποτελέσματα. 3. ποῖα δὲ ταῦτα; μυρία μὲν ἂν εἴη, καὶ ἄλλα παντοῖά τε καὶ περὶ πάντων, κοινῶν τε καὶ τῶν ἀνὰ μέρος, καθ' ἕκαστόν τε ἄνδρα καὶ περὶ τῶν καθόλου, ἰδίως τε ἀμφὶ τῶν καθ' Ἑβραίους πραγμάτων, καὶ αὖ πάλιν περὶ τῶν ἔξωθεν ἐθνῶν, οἷον δὴ πόλεων ἀναστάσεις, καιρῶν τε ἀλλαγὰς καὶ πραγμάτων μεταβολάς, μελλόντων τε ἀγαθῶν παρουσίας, καὶ τῶν ἐναντίων ἐπιφοράς, ἀνδραποδισμοὺς ἐθνῶν, πόλεων πολιορκίας, τῶν καθόλου βασιλείων μεταστάσεις τε καὶ καταστάσεις, καὶ ἄλλα μυρία περὶ τῶν ἔσεσθαι μακροῖς ὕστερον χρόνοις μελλόντων προεκήρυττον. 4. ἀλλ' οὐ τούτων ὅ γε παρὼν καιρὸς τὸν ἔλεγχον ἡμᾶς ἀπαιτεῖ παραστήσασθαι, τὰ πολλὰ δὲ εἰσαῦθις ὑπερθεμένους, ἐκ τῆς τῶν παρατεθησομένων ἀληθείας ἠρέμα καὶ τῶν ἀποσεσιωπημένων τὴν ἀπόδειξιν πιστώσεται.

I. Τίνα τοίνυν ἡμῖν ἐπὶ τοῦ παρόντος ἐκ τῶν προφητικῶν προρρήσεων εἰς τὴν εὐαγγελικὴν ἀπό-

δεῖξιν εὖ ἂν ἔχοι συντελεῖν καιρὸς ἂν εἴη λέγειν. 2. Χριστὸν ὀνομαστὶ καὶ θεοῦ λόγον, αὐτόν τε θεὸν καὶ κύριον, καί τινα μεγάλης βουλῆς ἄγγελον ἐπιδη- (4) μήσειν ποτὲ εἰς ἀνθρώπους ἔφασαν, πάντων τε τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐθνῶν Ἑλληνικῶν τε καὶ βαρβάρων διδάσκαλον ἀληθοῦς θεογνωσίας καὶ τῆς εἰς τὸν τῶν ὅλων δημιουργὸν θεὸν εὐσεβείας καταστήσεσθαι, ἣ τὸ εὐαγγελικὸν περιέχει κήρυγμα· καὶ τοῦτον αὐτὸν παιδίον ἔσεσθαι, καὶ υἱὸν ἀνθρώπου κληθήσεσθαι, γένος τε ὅθεν κατάξει, καί τινα ξένον ἐκ παρθένου τρόπον αὐτοῦ τῆς ἀποτέξεως, καὶ τό γε παραδοξότατον, ὅτι μὴ πᾶσι τοῖς ἐκ περάτων γῆς εἰσέτι σήμερον ἐπὶ θέαν σπεύδουσι βοώμενον τῆς ἐν Βηθλεὲμ γενέσεως αὐτοῦ χωρίον σιωπῇ δόντες παρῆλθον, ἀλλὰ καὶ τοῦτο λευκοῖς ὀνόμασιν ἐξεβόησαν, ὥσπερ οὖν καὶ τοὺς χρόνους τῆς ἐπιφανείας αὐτοῦ, καθ' οὓς ἀκριβῶς οὗτος ἐπεδήμει τῷ βίῳ, ὥσπερ φθάσαντες οἱ αὐτοὶ διὰ τῶν πραγμάτων ἐθέσπισαν. 3. πάρεστι δέ σοι μετὰ χεῖρας ἀναλαβόντι τὴν σπουδὴν ἐν ὀφθαλμοῖς ἰδεῖν ἐν ταῖς δηλουμέναις προφητικαῖς προρρήσεσι πάσας ὁμοῦ περιεχομένας τὰς ὑπὸ τῶν θεσπεσίων εὐαγγελιστῶν μαρτυρουμένας αὐτοῦ δὴ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ παραδόξους θαυματουργίας, καὶ τὰς ἐνθέους αὐτοῦ καὶ παναρέτους περὶ τῆς ἀληθοῦς εὐσεβείας διδασκαλίας. 4. καὶ τί δεῖ θαυμάζειν, ὅτε καὶ τὸν νέον τῆς εὐσεβείας τρόπον τὸν πρὸς αὐτοῦ πᾶσιν ἀνθρώποις κατηγγελμένον διαρρήδην ἀνακηρύττουσι, κλῆσίν τε μαθητῶν αὐτοῦ καὶ καινῆς διαθήκης διδασκαλίαν. 5. ναὶ (5) μὴν ἐπὶ τούτοις καὶ τὰς Ἰουδαίων εἰς αὐτὸν ἀπιστίας καὶ ἀντιλογίας ἀρχόντων τε ἐπαναστάσεις, διδασκάλων φθόνους, ἑνὸς μαθητοῦ προδοσίαν, ἐχθρῶν δια-

βολάς, συκοφαντῶν κατηγορίας, δικαστῶν κατακρίσεις, ὕβρεις ἀτίμους, μάστιγας ἐκτόπους, δυσφήμους λοιδορίας, ἐπὶ πᾶσι τὸν ἐπονείδιστον θάνατον, αὐτοῦ τε ἐπὶ τούτοις σιωπὴν θαυμάσιον, πρᾳότητά τε καὶ καρτερίαν, ἀμήχανόν τε ὅσην ὑπομονὴν καὶ ἀνεξικακίαν. 6. ταῦτα δὲ πάντα ἄντικρυς περὶ ἑνὸς ἐν ὑστάτοις ποτὲ χρόνοις ἥξοντος καὶ τοιαῦτα ἐν ἀνθρώποις πεισομένου σαφῶς δι' ὧν προειλήφασι τὰ παλαίτατα Ἑβραίων παρίστησι λόγια, ἐπιμαρτυρούμενα τὴν μετὰ θάνατον ἐκ νεκρῶν ἀναβίωσιν τοῦ δηλουμένου, τὴν τοῖς αὐτοῦ μαθηταῖς φανέρωσιν, τὴν τοῦ θείου πνεύματος εἰς αὐτοὺς μετάδοσιν, τὴν εἰς οὐρανοὺς ἄνοδον αὐτοῦ, τὴν πατρὸς ἔνθρονον βασιλείας ἵδρυσιν, τὴν ἐπὶ συντελείᾳ τοῦ βίου δευτέραν αὖθις ἐσομένην ἔνδοξον αὐτοῦ παρουσίαν. 7. ἐπὶ πᾶσι τούτοις θρήνους ἀκούσῃ καὶ ὀλοφυρμοὺς ἑκάστου τῶν προφητῶν διαφόρως ὀλοφυρομένου καὶ ἀποκλαιομένου ὅσα τὸ Ἰουδαίων ἔθνος τῆς εἰς τὸν προκηρυχθέντα δυσσεβείας ἕνεκα μετελεύσεσθαι κακὰ ἔμελλεν, ὡς τὸ βασίλειον αὐτῶν ἄνωθεν ἐκ πατέρων (6) εἰς ἐκείνους διαρκέσαν τοὺς καιροὺς παντελῆ καθαίρεσιν μετὰ τὴν κατὰ Χριστοῦ τόλμαν αὐτῶν ὑπομενεῖ, ὡς οἱ πάτριοι αὐτῶν νόμοι καταλυθήσονται, ὡς τῆς παλαιᾶς θρησκείας αὐτῶν ἀποστερήσονται, ὡς τῆς ἐκ προγόνων αὐτονομίας ἐκπεσοῦνται, ὡς ἀντ' ἐλευθέρων δοῦλοι τῶν ἐχθρῶν καταστήσονται, ὡς ἡ βασιλικὴ μητρόπολις αὐτῶν πυρίκαυστος γενήσεται, ὡς τὸ σεμνὸν αὐτῶν καὶ ἁγνὸν ἱερὸν ἐμπρησμὸν καὶ ἐσχάτην ἐρημίαν ὑπομενεῖ, ὡς ἀντὶ τῶν πάλαι οἰκητόρων ὑπὸ ἀλλοφύλων ἐθνῶν ἡ πόλις αὐτῶν κατοικισθήσεται, ὡς εἰς πάντα τὰ ἔθνη καθ' ὅλης οἰκουμένης διασπαρήσονται, ὡς οὐκέτ' αὐτοῖς ἡ τῶν κακῶν

παῦλα οὐδέ τις ἀνάπνευσις τῶν συμφορῶν ἐλπισθήσεται, ἃ καὶ τυφλῷ, φασί, δῆλα, εἰσέτι νῦν τὴν τῶν λόγων ὄψιν αὐτοῖς ἔργοις ἐνδείκνυται, ἐκ πρώτης αὐτῆς ἡμέρας ἐξ ἧς ἀθέους ἤραντο κατὰ Χριστοῦ χεῖρας τὴν τῶν κακῶν ἀρχὴν εἰς ἑαυτοὺς ἐπισπώμενοι. 8. οὐκ ἦν δ' ἄρα τοῖς θεσπεσίοις ἀνδράσιν ἐπὶ σκυθρωποῖς τὰ τῶν προρρήσεων ἱστάναι, οὐδὲ μέχρι τῶν λυπηρῶν ἐπιτείνεσθαι τὴν πρόγνωσιν, ἀλλὰ γὰρ εἰς τὸ φαιδρὸν μεταβάλλοντες αὖθις ἀγαθῶν ἀγγελίας ἀθρόως ἅπασιν ἀνθρώποις ἐπὶ τῇ τοῦ Χριστοῦ παρουσίᾳ προεκήρυττον, ἀντὶ τῆς ἑνὸς ἔθνους ἀποβολῆς πᾶν ἔθνος καὶ γένος ἀνθρώπων θεογνωσίαν εὐαγγελιζόμενοι, καὶ δαιμόνων ἀποφυγήν, ἀγνωσίας τε καὶ πλάνης ἀπαλλαγήν, φωτός τε καὶ εὐσεβείας (7) ἀνάλαμψιν, καὶ ὡς οἱ τοῦ Χριστοῦ μαθηταὶ τὸν πάντα κόσμον τῆς αὐτοῦ διδασκαλίας ἐμπλήσουσιν, ὅπως τε εἰς πάντας ἀνθρώπους τὸ εὐαγγέλιον αὐτῶν κηρυχθήσεται καινόν τινα καὶ ξενίζοντα τρόπον εὐσεβείας περιέχον, καὶ ὡς ἐκκλησίαι Χριστοῦ δι' αὐτῶν ἐν ὅλοις τοῖς ἔθνεσι συστήσονται, καὶ ὡς ἑνὸς ὁ Χριστιανῶν λαὸς καθ' ὅλης τῆς οἰκουμένης ὀνομασθήσεται, καὶ ὡς αἱ τῶν κατὰ χρόνους ἀρχόντων τε καὶ βασιλέων κατὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ ἐπαναστάσεις οὐδὲν εἰς τὸ καθελεῖν αὐτήν, ὡς ἂν ὑπὸ τοῦ θεοῦ κραταιουμένην, ἰσχύσουσι. 9. τοσούτων διὰ τῶν καθ' Ἑβραίους θεολόγων ἀναπεφωνημένων καὶ εἰς δεῦρο πᾶσιν εἰς φανερὸν τὰς ἐκβάσεις ἐπιδεικνυμένων, τίς οὐκ ἂν τὸ ἔνθεον ἀποθαυμάσειε τῶν ἀνδρῶν; τίς δ' οὐχὶ τῆς κατ' αὐτοὺς θεοσεβείας καὶ φιλοσοφίας τὰ μαθήματά τε καὶ τὰ δόγματα κύρια καὶ ἀληθῆ εἶναι ὁμολογήσει, τὴν ἀπόδειξιν παρεχόμενα οὐκ ἐν λέξεσι κεκομψευμέναις, οὐδ' ἐν δεινό-

τητι λόγων, ἢ κακοτέχνοις ἀπάταις συλλογισμῶν, ἐν
ἁπλῇ δὲ καὶ ἀπανούργῳ διδασκαλίᾳ, ἧς τὸ γνήσιον
καὶ εἰλικρινὲς τῆς ἀληθείας ἡ τῶν θεσπεσίων αὐτῶν
ἐκείνων ἀνδρῶν ἀρετή τε καὶ θεογνωσία παρίστησιν;
10. οἱ γοῦν τὰ μακροῖς αἰῶσιν ὕστερον εἰς φῶς ἐλ-
θόντα πόρρωθεν μυρίοις ἄνωθεν χρόνοις οὐκ ἀνθρω-
(8) πίνῳ, θείῳ δὲ πνεύματι κατοπτεῦσαι δεδυνημένοι,
πῶς οὐκ ἄξιοι ἂν εἶεν καὶ περὶ ὧν τοὺς φοιτητὰς
ἐξεπαίδευον δογμάτων πιστεύεσθαι; εὖ μὲν οὖν οἶδα
ἀκριβῶς ὅτι πρόχειρον ἅπασι τοῖς τὸν σωτῆρα καὶ
κύριον ἡμῶν Ἰησοῦν ὡς ἂν αὐτὸν ἀληθῶς ὄντα τὸν
Χριστὸν τοῦ θεοῦ γνησίως παραδεδεγμένοις, πρῶτον
μὲν πείθειν αὐτοὺς δοκεῖν ὅτι μὴ ἄλλως εἰς αὐτὸν
πεπιστεύκασιν ἢ ταῖς περὶ αὐτοῦ προφητικαῖς μαρ-
τυρίαις ἀκολούθως· ἔπειτα τοῦτ' αὐτὸ καὶ πᾶσιν, οἷς
ἂν εἰς λόγους καταβαίνοιεν, προβάλλεσθαι, μὴ μὴν
ῥᾳδίως τὸ ἐπάγγελμα πιστοῦσθαι ταῖς ἀποδείξεσι
δύνασθαι. 11. ὅθεν ἀναγκαίως ἐπὶ τοῦτ' αὐτὸς πα-
ρελθὼν, σὺν θεῷ βοηθῷ, κατὰ τὰ ἐπηγγελμένα
τὴν ἐντελῆ πάσης τῆς Εὐαγγελικῆς Ἀποδείξεως
πραγματείαν ἐξ αὐτῶν ἐκείνων τῶν παρ' Ἑβραίοις
θεολόγων παραστήσασθαι πειράσομαι. σπουδαιολο-
γεῖται δέ μοι ἡ γραφὴ οὐχ, ὡς ἄν τις φαίη, κατὰ
Ἰουδαίων, ἄπαγε, πολλοῦ γε καὶ δεῖ, πρὸς αὐτῶν
μὲν οὖν, εἰ εὐγνωμονοῖεν, τυγχάνει· συνίστησι γὰρ
τὰ μὲν Χριστιανῶν διὰ τῆς ἀνέκαθεν προρρήσεως
ἐπιμαρτυρίας, τὰ δ' ἐκείνων διὰ τῆς τῶν παρ' αὐ-
τοῖς προφητειῶν ἀποτελεσματικῆς συμπληρώσεως.
12. ἁρμόσειε δ' ἂν καὶ παισὶν Ἑλλήνων, εἰ εὐγνω-
μονοῖεν, διὰ τῆς παραδόξου τῶν μελλόντων προγνώ-
σεως, τῆς τε τῶν πραγμάτων κατὰ τὰς προρρήσεις
(9) ἐκβάσεως, ὁμοῦ μὲν τὸ ἔνθεον καὶ ἀψευδὲς τῆς καθ'

ἡμᾶς ἀληθείας ἐπιδεικνυμένη, ὁμοῦ δὲ καὶ τὰς τῶν ψευδηγόρων γλώττας ἐπιστομίζουσα διὰ τῆς λογικωτέρας ἀποδείξεως, ἧς οὐδαμῶς ἡμῖν οἱ συκοφάνται μετεῖναι διατείνονται, εὖ μάλα ὁσημέραι ταῖς καθ' ἡμῶν διατριβαῖς κατὰ κράτος ἐπεντριβόμενοι. οὐδὲν γοῦν ἡμᾶς δύνασθαί φασι δι' ἀποδείξεως παρέχειν, πίστει δὲ μόνῃ προσέχειν ἀξιοῦν τοὺς ἡμῖν προσιόντας. 13. καὶ πρὸς οὖν τὴν τοιαύτην διαβολὴν οὐκ ἂν γένοιτο ἡμῖν ἄλογος ἡ παροῦσα πραγματεία, ναὶ μὴν καὶ τῶν ἀθέων αἱρέσεων τὰς κατὰ τῶν θείων προφητῶν ψευδοδοξίας τε καὶ βλασφημίας ἀπελέγξει διὰ τῆς πρὸς τὰ νέα τῶν παλαιῶν συμφωνίας. 14. τὴν μὲν οὖν μακροτέραν καὶ διεξοδικὴν τῶν προφητικῶν φωνῶν ἑρμηνείαν τανῦν ὁ λόγος ὑπερθήσεται, τοῖς βουλομένοις τούτων ἐξετάζειν καταλιπών, οἳ οἷοί τ' ἂν εἶεν εἰπεῖν τὸν τρόπον, διδασκάλῳ δὲ χρώμενος παραγγέλματι θείῳ φάσκοντι "κεφαλαίωσον ἐν ὀλίγοις πολλά" τοῦτο ζηλῶσαι φιλοτιμήσεται, αὐτὸ μόνον ἀφορμὰς τῆς εἰς τόπους θεωρίας καὶ τῶν εἰς τὸ προκείμενον κατεπειγόντων τὴν εἰς τὸ σαφὲς ἑρμηνείαν παραθησόμενος.

15. Ἅλις μὲν δὴ προοιμίων· ἤδη δὲ καὶ τῶν ἀποδείξεων ἄρξομαι. ἐπειδὴ πολὺς ἦν ἐπιρρέων καθ' (10) ἡμῶν ὁ τῶν συκοφαντῶν ὄχλος, μηδὲν δύνασθαι φάσκων δι' ἀποδείξεων ἐναργὲς ἀληθείας παρέχειν δεῖγμα, πίστει δὲ μόνῃ προσέχειν ἀξιοῦν τοὺς ἡμῖν προσιόντας, τούτους δὲ καὶ πείθειν οὐδὲν πλέον ἢ σφᾶς αὐτοὺς θρεμμάτων ἀλόγων δίκην μύσαντας εὖ καὶ ἀνδρείως ἕπεσθαι δεῖν ἀνεξετάστως ἅπασι τοῖς παρ' ἡμῶν λεγομένοις, παρ' ὃ καὶ πιστοὺς χρηματί-

17 Sir. 32, 9.

ζειν τῆς ἀλόγου χάριν πίστεως, εἰκότως διελὼν τὰς καθ' ἡμῶν διαβολὰς ἐν τῇ Προπαρασκευῇ τοῦ παντὸς λόγου πρώτην μὲν τὴν τῶν πολυθέων ἐξεθέμην ἐθνῶν, ἐπεγκαλούντων ἡμῖν ὅτι δὴ τῶν πατρίων θεῶν ἀποστάται κατέστημεν, ἐπὶ μέγα φαμένων τε ὅτι τὰ βάρβαρα τῶν Ἑλλήνων προτετιμήκαμεν, τὰ παρ' Ἑβραίοις ἀσπασάμενοι λόγια· 16. δευτέραν δὲ τὴν αὐτῶν Ἰουδαίων κατηγορίαν, δι' ἧς καὶ αὐτοὶ δόξαιεν ἂν ἡμῖν ἐνδίκως ἐπιμέμφεσθαι, ὅτι δὴ ταῖς αὐτῶν γραφαῖς καταχρώμενοι οὐ τὸν ὅμοιον αὐτοῖς μέτιμεν τοῦ βίου τρόπον. 17. τούτων δ' οὕτως ἡμῖν διευκρινημένων πρὸς μὲν τὴν πρώτην, ὡς οἷόν τε ἦν, διὰ τῆς Εὐαγγελικῆς Προπαρασκευῆς ἀπηντήσαμεν, Ἕλληνες μὲν εἶναι τὸ πρὶν ὁμολογήσαντες καὶ ἐξ ἑτέρων ἐθνῶν τὰ Ἑλλήνων πεφρονηκότες, ἐκ πατέρων τε τῇ πολυθέῳ πλάνῃ δεδουλωμένοι, οὐ μὴν μέντοι ἀλόγῳ
(11) καὶ ἀνεξετάστῳ ὁρμῇ, κρίσει δὲ καὶ σώφρονι λογισμῷ μετατιθέμενοι, τήν τε περὶ τὰ Ἑβραίων λόγια σπουδὴν κεκριμένως ἡμῖν καὶ εὐλόγως γεγενημένην παραστήσαντες. 18. πρὸς δὲ τὴν δευτέραν ὥρα νῦν φράξασθαι καὶ τὸ λεῖπον ἐπελθεῖν σκέμμα· τοῦτο δ' ἦν πρὸς τοὺς ἐκ περιτομῆς, οὔπω καὶ νῦν ἐξητασμένον, ἐνταῦθα δέ που κατὰ καιρὸν ἐν τοῖς σπουδαζομένοις τῆς Εὐαγγελικῆς Ἀποδείξεως ἀναπληρωθησόμενον. 19. φέρε οὖν τὸν ἁπάντων Ἰουδαίων τε καὶ Ἑλλήνων θεὸν δι' αὐτοῦ τοῦ σωτῆρος ἡμῶν ἐπικαλεσάμενοι πρῶτον ἐκεῖνο διασκεψώμεθα, τίς ὁ τρόπος τυγχάνει τῆς καθ' ἡμᾶς αὐτοὺς θεοσεβείας· ἐν ταυτῷ δὲ καὶ τῶν ἐπιζητουμένων ἁπάντων ἐπιθήσομεν τὰς λύσεις.

II. Εἴρηται μὲν ἤδη καὶ πρότερον ἐν τῇ Προπαρασκευῇ ὡς ὁ Χριστιανισμὸς οὔτε Ἑλληνισμός τίς ἐστιν οὔτε Ἰουδαϊσμός, οἰκεῖον δέ τινα φέρων χαρα-

κτῆρα θεοσεβείας, καὶ τοῦτον οὐ νέον οὐδὲ ἐκτετοπισμένον, ἀλλ' εὖ μάλα παλαίτατον καὶ τοῖς πρὸ τῶν Μωσέως χρόνων θεοφιλέσιν ἐπ' εὐσεβείᾳ τε καὶ (12) δικαιοσύνῃ μεμαρτυρημένοις συνήθη καὶ γνώριμον. πλὴν ἀλλὰ καὶ νῦν ἐπιθεωρήσαντες τί ποτ' ἐστὶν ὅ τε Ἑλληνισμὸς καὶ Ἰουδαϊσμὸς σκεψώμεθα ποτέρῳ τούτων ὑπηγμένους τοὺς πρὸ Μωσέως θεοφιλεῖς ἄνδρας πρὸς αὐτοῦ Μωσέως θεοφιλεῖς καὶ ἐπ' εὐσεβείᾳ μεμαρτυρημένους εὕροιμεν ἄν. 2. τὸν μὲν Ἰουδαϊσμὸν εὐλόγως τις ἂν ὀνομάσειε τὴν κατὰ τὸν Μωυσέως νόμον διατεταγμένην πολιτείαν, ἑνὸς ἐξημμένην τοῦ ἐπὶ πάντων θεοῦ, τὸν δὲ Ἑλληνισμόν, ὡς ἐν κεφαλαίῳ φάναι, τὴν κατὰ τὰ πάτρια τῶν ἐθνῶν ἁπάντων εἰς πλείονας θεοὺς δεισιδαιμονίαν. 3. τί οὖν φήσαιμεν ἂν περὶ τῶν πρὸ Μωσέως καὶ πρὸ τοῦ Ἰουδαϊσμοῦ θεοφιλῶν ἀνδρῶν, ὧν ὁ Μωσῆς ἐμνημόνευσεν, οἷον περὶ Ἐνὼχ, ᾧ μαρτυρεῖ λέγων "εὐηρέστησε δὲ Ἐνὼχ τῷ θεῷ," καὶ περὶ τοῦ Νῶε, περὶ οὗ πάλιν φησὶ "Νῶε δὲ ἦν ἄνθρωπος δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ," περί τε τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ, περὶ ὧν ταῦτα ἀναγράφει "εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ·" 4. καὶ ἔτι πρὸς τούτοις περὶ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακὼβ, οἷς καὶ τὸν Ἰὼβ συναριθμεῖν εὔλογον, καὶ εἴ τινες ἄλλοι τὸν ἐμφερῆ τούτοις ἐζήλωσαν βίον; ἆρά γε Ἰουδαίους αὐτοὺς χρῆναι γεγονέναι ἢ Ἕλληνας; ἀλλὰ γὰρ Ἰουδαῖοι μὲν οὐκ ἂν εὐλόγως λεχθεῖεν, μήπω τῆς Μωσέως παρεισαχθείσης τῷ βίῳ νομοθεσίας. 5. εἰ γὰρ Ἰουδαϊσμὸς οὐδὲν (13) ἦν ἕτερον ἢ ἡ κατὰ Μωσέα πομπεία, Μωσῆς δὲ

17 εὐηρέστησε — ὁ θεὸς τῷ Ἰάφεθ] Gen. 5, 22. 24. 6, 9. 9, 26. 27.

μακροῖς ὕστερον χρόνοις τῶν εἰρημένων πέφηνε, δῆλον ὡς οὐκ ἂν εἶεν Ἰουδαῖοι οἱ πρὸ τῶν αὐτοῦ χρόνων ἐπ' εὐσεβείᾳ μεμαρτυρημένοι. ἀλλ' οὐδὲ Ἕλληνας προσήκει νομίζειν αὐτούς, μὴ τῇ πολυθέῳ δεισιδαιμονίᾳ κεκρατημένους. 6. ὅ τε γὰρ Ἀβραὰμ καταλεῖψαι τελέως λέγεται οἶκον πατρῷον καὶ συγγένειαν καὶ ἑνὶ μόνῳ προσεσχηκέναι θεῷ, ὃν καὶ ὁμολογεῖ φάσκων "ἐκτενῶ πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν." 7. ὅ τε Ἰακὼβ ἀναγέγραπται παρὰ τῷ Μωυσεῖ φήσας τῷ οἴκῳ καὶ πᾶσι τοῖς αὐτοῦ "ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βεθήλ, καὶ ποιήσομεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ καὶ ἔσωσέ με ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθην. καὶ ἔδωκαν τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν, καὶ ἔκρυψεν αὐτὰ Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις, καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας."

8. *Εἰ* δὴ οὖν καὶ τῆς εἰδωλολάτρου πλάνης ἀλλότριοι καθεστήκεσαν, καὶ Ἰουδαϊσμοῦ δὲ ἐκτὸς γεγονότες ἀπεδείχθησαν, ὅμως γε μὴν οὔτε Ἕλληνες οὔτε Ἰουδαῖοι φύντες θεοφιλεῖς γεγονέναι μεμαρτύρηνται καὶ δίκαιοι καὶ εὐσεβεῖς, εἰ καί τινες ἄλλοι, ὥρα τρίτον ἐπινοεῖν θεοσεβείας τρόπον, δι' οὗ κα-
(14) τορθῶσαι εἰκὸς ἦν αὐτούς. 9. σκόπει τοιγαροῦν εἰ μὴ τοῦτ' αὐτὸ ἦν τὸ μεταξὺ Ἰουδαϊσμοῦ καὶ Ἑλληνισμοῦ τρίτον ἡμῖν ἀποδεδειγμένον τάγμα, παλαίτατον μὲν καὶ πάντων τυγχάνον πρεσβύτατον, νεωστὶ

---

8 Gen. 14, 22. 11 Gen. 35, 2.

δὲ διὰ τοῦ ἡμετέρου σωτῆρος πᾶσι τοῖς ἔθνεσι κατηγγελμένον. 10. καὶ τοῦτ' ἂν εἴη ὁ Χριστιανισμός, οὔτε Ἑλληνισμός τις ὢν οὔτε Ἰουδαϊσμός, ἀλλὰ τὸ μεταξὺ τούτων, παλαίτατον εὐσεβείας πολίτευμα, καὶ ἀρχαιοτάτη μέν τις φιλοσοφία, πλὴν ἀλλὰ νεωστὶ πᾶσιν ἀνθρώποις τοῖς καθ' ὅλης τῆς οἰκουμένης νενομοθετημένη· ὥστε τὸν ἐξ Ἑλληνισμοῦ ἐπὶ τὸν Χριστιανισμὸν μετατιθέμενον οὐκ ἐπὶ Ἰουδαϊσμὸν ἐκπίπτειν, οὐδ' αὖ πάλιν ἐκ τῆς Ἰουδαϊκῆς ἐθελοθρησκείας ἀναχωροῦντα εὐθὺς Ἕλληνα γενέσθαι, τὸν δὲ ἐξ ἑκατέρου τάγματος, ἔκ τε Ἑλληνισμοῦ καὶ Ἰουδαϊσμοῦ, μεθιστάμενον ἐπὶ τὸν μέσον παριέναι νόμον τε καὶ βίον τὸν τῶν πάλαι θεοφιλῶν καὶ δικαίων ἀνδρῶν, ὃν ὁ σωτὴρ καὶ κύριος ἡμῶν μακρὸν ἐφησυχάσαντα χρόνον αὖθις ἀνενεώσατο ἀκολούθως τοῖς αὐτοῦ Μωυσέως καὶ τῶν λοιπῶν προφητῶν περὶ τούτων αὐτῶν θεσπίσμασιν. 11. ἐν γοῦν τοῖς πρὸς τὸν Ἀβραὰμ χρησμοῖς αὐτὸς ὁ Μωυσῆς ἀναγράφει θεσπίζων ὡς ὅτι μελλήσουσιν ἐν ὑστέροις ποτὲ χρόνοις οὐχ οἱ τοῦ Ἀβραὰμ ἀπόγονοι, οὐδ' οἱ ἐκ σπέρματος αὐτοῦ Ἰουδαῖοι, ἀλλὰ γὰρ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ πάντα τὰ ἔθνη ἐπὶ τῷ ὁμοίῳ τρόπῳ τῆς τοῦ Ἀβραὰμ θεοσεβείας εὐλογίας παρὰ θεοῦ καταξιωθήσεσθαι (15). 12. γράφει δὲ οὕτως "καὶ εἶπε κύριος τῷ Ἀβραάμ, ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος, καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε κατα-

19 Gen. 12, 1.

ράσομαι, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.” καὶ πάλιν ὁ θεὸς εἶπε “μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ; Ἀβραὰμ δὲ γενόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολὺ καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς.”

13. Πῶς δ' ἂν ἔμελλον τῷ Ἀβραὰμ ἐνευλογηθήσεσθαι πάντα τὰ ἔθνη καὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, εἰ μηδέν τι προσήκοντες ὑπῆρχον αὐτῷ, μήτε κατὰ ψυχῆς τρόπον μήτε κατὰ σώματος συγγένειαν; τῆς τε γὰρ κατὰ σάρκα συγγενείας τίς ἦν πρὸς τὸν Ἀβραὰμ συγγένεια Σκύθαις, φέρε εἰπεῖν, ἢ Αἰγυπτίοις, ἢ Αἰθίοψιν, ἢ Ἰνδοῖς, ἢ Βρεττανοῖς, ἢ Ἱσπανοῖς; ἢ πῶς ἂν ταῦτα τὰ ἔθνη καὶ τὰ ἔτι τούτων ἀπῳκισμένα τῆς πρὸς τὸν Ἀβραὰμ κατὰ σάρκα συγγενείας χάριν ἔμελλον εὐλογηθήσεσθαι; 14. ἀλλ' οὐδὲ τῆς κατὰ ψυχὴν εὐλογίας εἰκὸς ἦν κοινωνήσειν τῷ Ἀβραὰμ πάντα τὰ ἔθνη. πῶς γάρ, ὅτε τὰ μὲν αὐ-
(16) τῶν ἐκθέσμοις μητρογαμίαις καὶ θυγατρομιξίαις, τὰ δ' ἀκολάστοις ὁμιλίαις ἀρρένων πρὸς ἄρρενας ἀνεφύρετο, τὰ δὲ τὴν εὐσέβειαν ἐν ἀνθρωποθυσίαις καὶ ζῴων ἀλόγων θεοποιίαις, ἀψύχου τε ὕλης ἱδρύμασι, καὶ πνευμάτων πολυπλανῶν δεισιδαιμονίαις ἀνετίθετο, τὰ δε ζῶντας κατακαίειν τοὺς γεγηρακότας, τὰ δὲ περὶ τοὺς φιλτάτους παραδιδόναι, τὰ δὲ καὶ νεκρῶν ἀπογεύεσθαι καλὸν εἶναι καὶ εὐσεβὲς ἡγεῖτο; 15. πῶς οὖν τοὺς ἐν τῷ τοιούτῳ θηριώδει βίῳ προηγμένους τῆς τοῦ θεοφιλοῦς μετασχεῖν οἷόν τε ἦν εὐλογίας, εἰ μήποτ' ἄρα τῆς θηριωδίας μεταβα-

2 Gen. 18, 17.

λόντες τοῦ ὁμοίου τρόπου τῆς τοῦ Ἀβραὰμ θεοσεβείας ἤμελλόν ποτε μεταλήψεσθαι; ἐπεὶ κἀκεῖνος, ἀλλοεθνής τις ὢν καὶ ἀλλότριος ἧς ὕστερον μετῆλθεν εὐσεβείας, λέγεται μετατεθεῖσθαι, καὶ τῆς πατρικῆς δεισιδαιμονίας μεταβεβλῆσθαι, οἶκόν τε καὶ συγγένειαν καὶ ἔθη πάτρια, βίου τε ἀγωγὴν, ἐν ᾗ γεγέννητό τε καὶ τέθραπτο, καταλελοιπέναι, ἠκολουθηκέναι δὲ θεῷ, τῷ καὶ τοὺς χρησμοὺς αὐτῷ τοὺς ἀναγράπτους δεδωκότι. 16. εἰ μὲν οὖν Μωυσῆς μετὰ τὸν Ἀβραὰμ γενόμενος καὶ πολιτείαν τινὰ διὰ τῆς ἐκδοθείσης ὑπ' αὐτοῦ νομοθεσίας τῷ Ἰουδαίων ἔθνει καταβεβλημένος τοιαῦτα ἐνομοθέτησεν, οἷα καὶ τοῖς πρὸ αὐτοῦ θεοφιλέσι κατώρθωτο, καὶ οἷα δυνατὸν ἦν πᾶσι τοῖς ἔθνεσιν ἐφαρμόττειν, ὡς δύνασθαι κατὰ (17) τὴν Μωυσέως διαταγὴν πάσας τὰς φυλὰς τῆς γῆς καὶ πάντα τὰ ἔθνη θεοσεβεῖν, ἦν εἰπεῖν ὅτι διὰ τῆς Μωυσέως νομοθεσίας τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν θεοσεβήσαντας καὶ τὸν Ἰουδαϊσμὸν ζηλώσαντας, πρός αὐτούς τε γενησομένους κατὰ τὸν νόμον, εὐλογηθήσεσθαι τῇ τοῦ Ἀβραὰμ εὐλογίᾳ προηγόρευε τὰ λόγια, ἐχρῆν δὲ καὶ ἡμᾶς τὰ παρὰ Μωυσεῖ διατεταγμένα φυλάττειν· ἐπεὶ δὲ οὐκ ἦν ἡ κατὰ Μωυσέα πολιτεία κατάλληλος τοῖς λοιποῖς ἔθνεσιν ἀλλ' ἢ μόνοις Ἰουδαίοις, καὶ τούτοις οὐχὶ τοῖς πᾶσιν, ἀλλὰ τοῖς ἐπὶ τῆς Ἰουδαίας γῆς τὰς διατριβὰς ποιουμένοις, ἕτερον ἐχρῆν ἐξ ἅπαντος ὑποστῆναι τρόπον παρὰ τὸν Μωυσέως νόμον, καθ' ὃν ἔμελλον βιοῦντα ὁμοίως τῷ Ἀβραὰμ τὰ καθ' ὅλης οἰκουμένης ἔθνη τῆς ἴσης αὐτῷ κοινωνήσειν εὐλογίας.

III. Ὅτι δὲ ἡ κατὰ Μωυσέα διαταγὴ Ἰουδαίοις, ὡς ἔφην, καὶ τούτοις οὐχὶ πᾶσιν, οὐδὲ γὰρ τοῖς ἐν διασπορᾷ τυγχάνουσιν, ἀλλ' ἢ μόνοις τοῖς τὴν Πα-

(18) λαιστίνην οἰκοῦσιν ἐφήρμοζεν, ὧδέ σοι συλλογιζομένῳ φανερὸν ἔσται. φησί που Μωυσῆς νομοθετῶν "τρὶς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιον κυρίου τοῦ θεοῦ σου." καὶ ἔτι σαφέστερον ὅπου ἐχρῆν ἀπαντᾶν τοὺς πάντας τρὶς τοῦ ἔτους ἀφορίζει λέγων "τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐναντίον κυρίου τοῦ θεοῦ σου ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος."

2. Θεωρεῖς ὡς οὐκ ἐν πάσῃ πόλει, οὐδ' ὅπου ἔτυχεν, ἀπαντᾶν προστάττει, ἀλλ' ἐν τόπῳ ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου· ἔνθα τρισὶν ἑκάστου ἐνιαυτοῦ καιροῖς ἐπὶ ταυτὸ συνιέναι νομοθετεῖ, καὶ τοὺς καιροὺς ἀφορίζει, καθ' οὓς ἀπαντᾶν ἐχρῆν ἐν τῷ τόπῳ, ἐν ᾧ τὰ τῆς κατ' αὐτὸν λατρείας ἐπετελεῖτο, ἕνα μὲν τοῦ πάσχα, δεύτερον τὸν μετὰ πεντήκοντα ἡμέρας ἐπὶ τῆς ὀνομαζομένης Πεντηκοστῆς ἑορτῆς, καὶ τρίτον τῷ ἑβδόμῳ μηνὶ μετὰ τὸ πάσχα κατὰ τὴν τοῦ ἱλασμοῦ ἡμέραν, καθ' ἣν εἰσέτι νῦν Ἰουδαῖοι πάντες τὴν νηστείαν ἐπιτελοῦσιν· ἐπαρᾶταί τε τοῖς μὴ ἐμμένουσι τοῖς νομοθετουμένοις. 3. οὐκοῦν τοὺς μέλλοντας ἅπαντας ἀπαντᾶν τρὶς τοῦ ἔτους εἰς τὰ Ἱεροσόλυμα καὶ τὰ νόμιμα πληροῦν οὐ πόρρω που τῆς Ἰουδαίας ἐχρῆν δήπου οἰκεῖν· ἀλλ' εἰσὶν ἀμφὶ τοὺς ὅρους· εἰ δὲ δὴ τοῖς πορρωτάτω τῆς Παλαιστίνης οἰκοῦσιν Ἰουδαίοις ἀδύνατα
(19) ἦν τελεῖν τὰ νενομοθετημένα, πολλοῦ φάναι τοῖς πᾶσιν ἔθνεσι καὶ τοῖς ἐν ταῖς ἐσχατιαῖς τῆς γῆς ἐφαρμόζειν. 4. ἐπάκουσον δὲ τίνα τρόπον ὁ αὐτὸς πάλιν νομοθέτης τὴν ἀπὸ λέχους γυναῖκα ἀπαντᾶν προσ-

3 Exod. 23, 17. 6 Exod. 34, 23. Deut. 16, 16.
20 Deut. 27, 26.

τάττει καὶ θυσίας τῷ θεῷ προσφέρειν, λέγων οὕτως "καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν, λέγων λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, γυνὴ ἥτις ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας."

5. Εἶτα μεταξύ τινα εἰπὼν ἐπιφέρει "καὶ ὅταν πληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς ἐφ' υἱῷ ἢ ἐπὶ θυγατρὶ, προσοίσει ἀμνὸν ἐνιαύσιον εἰς ὁλοκάρπωμα, καὶ νεοσσὸν περιστερᾶς ἢ τρυγόνα περὶ ἁμαρτίας, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα προσοίσει αὐτὰ ἔναντι κυρίου. καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεὺς, καὶ καθαριεῖ αὐτὴν ἀπὸ τῆς πηγῆς τοῦ αἵματος αὐτῆς. οὗτος ὁ νόμος τῆς τικτούσης ἄρσεν ἢ θῆλυ."

6. Ἔτι πρὸς τούτοις ὁ αὐτὸς καὶ τὸν ἀπὸ κήδους καὶ νεκρῶν ἐπαφῆς προστάττει μὴ ἄλλως καθαίρεσθαι ἢ διά τινος σποδοῦ δαμάλεως, ἐφ' ὅλαις ἡμέραις ἑπτὰ τῶν συνήθων ἀποστάντα. 7 λέγει γοῦν "καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ καὶ τοῖς προσκειμένοις προσηλύτοις ἐν μέσῳ αὐτῶν νόμιμον αἰώνιον. ὁ ἁπτόμενος τοῦ τεθνηκότος πάσης ψυχῆς ἀνθρώπου ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας· ἁγνισθήσεται τῇ ἡμέρᾳ (20)
τῇ τρίτῃ καὶ τῇ ἑβδόμῃ καθαρισθήσεται· 8. ἐὰν δὲ μὴ ἀφαγνισθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἑβδόμῃ, οὐ καθαρὸς ἔσται. πᾶς ὁ ἁπτόμενος τοῦ τεθνηκότος ἀπὸ ψυχῆς ἀνθρώπου, ἐὰν ἀποθάνῃ καὶ μὴ ἁγνισθῇ, τὴν σκηνὴν τοῦ μαρτυρίου τοῦ κυρίου ἐμίανεν. ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραὴλ, ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιερραντίσθη ἐπ' αὐτόν· ἀκάθαρτός ἐστιν, ἀκαθαρσία ἐπ' αὐτῷ ἔσται. 9. καὶ οὗτος ὁ νόμος· ἄνθρωπος ἐὰν ἀποθάνῃ ἐν

---

2 et 6 Levit. 12, 1. 5, 6. 18 Num. 19, 10.

οἰκίᾳ, πᾶς εἰσπορευόμενος εἰς τὴν οἰκίαν καὶ πάντα ὅσα ἐστὶν ἐν τῇ οἰκίᾳ ἀκάθαρτά ἐστιν ἑπτὰ ἡμέρας. καὶ πᾶν σκεῦος ἀνεῳγμένον, ὅσα οὐχὶ δεσμῷ καταδέδεται, ἀκάθαρτα ἔσται, καὶ πᾶς ὃς ἂν ἅψηται ἐπὶ πρόσωπον τοῦ πεδίου τραυματίου ῥομφαίας, ἢ νεκροῦ, ἢ ὀστέου ἀνθρωπίνου, ἢ μνήματος, ἀκάθαρτός ἐστιν ἑπτὰ ἡμέρας, καὶ λήψονται τῷ ἀκαθάρτῳ ἀπὸ τῆς σποδιᾶς τῆς κατακεκαυμένης τοῦ ἁγνισμοῦ, καὶ ἐκχεοῦσιν αὐτὴν εἰς σκεῦος, καὶ λήψονται ὕσσωπον· καὶ βάψει ἀνὴρ καθαρὸς, καὶ περιρρανεῖ ἐπὶ τὸν οἶκον καὶ τὰ σκεύη καὶ τὰς ψυχὰς, ὅσοι ἐὰν ὦσιν ἐκεῖ, καὶ ἐπὶ τὸν ἡμμένον τοῦ ὀστέου τοῦ ἀνθρωπίνου, ἢ τοῦ τραυματίου, ἢ τοῦ τεθνηκότος, ἢ τοῦ μνήματος. 10. καὶ περιρρανεῖ ὁ καθαρὸς ἐπὶ τὸν ἀκάθαρτον ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ πλυνεῖ τὰ ἱμάτια ἑαυτοῦ, καὶ λούσεται τὸ σῶμα ὕδατι, (21) καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. καὶ ἄνθρωπος ἐὰν μιανθῇ καὶ μὴ ἀφαγνισθῇ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τῆς συναγωγῆς, ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιερραντίσθη ἐπ' αὐτόν. καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον."

11. Ταῦτα Μωυσῆς νομοθετήσας τὸν τρόπον τοῦ ὕδατος τοῦ ῥαντισμοῦ ἐπεκδιδάσκει, δάμαλιν πυρρὰν ἄμωμον ὁλοκαυτοῦσθαι προστάττων, καὶ ἀπὸ τῆς σποδιᾶς αὐτῆς ἐμβάλλεσθαι τῷ ὕδατι ἐξ οὗ χρῆναι καθαίρεσθαι τοὺς ἐπὶ νεκρῷ μεμολυσμένους. ποῦ δὲ χρὴ ὁλοκαυτοῦσθαι τὴν δάμαλιν, ποῦ δὲ τὴν ἐν λέχει προσφέρειν τὰς θυσίας, ποῦ δὲ τὰ λοιπὰ νόμιμα συντελεῖν, ὅτι μὴ ἀδιαφόρως ἐν παντὶ τόπῳ, ἀλλ' ἐν μόνῳ ἑνὶ ᾧ αὐτὸς ἀφορίζει, δῆλον ἀφ' ὧν νομοθετεῖ

24 Num. 19, 2.

λέγων "καὶ ἔσται ὁ τόπος ὃν ἐὰν ἐκλέξηται κύριος ὁ θεὸς ὑμῶν, ἐν αὐτῷ ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ, ἐκεῖ οἴσετε πάντα ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον."

13. Καὶ διαστέλλεται ἑξῆς ἀκριβῶς ἐπιλέγων "πρόσεχε σεαυτῷ μήποτε ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου, οὗ ἂν ἴδῃς, ἀλλ' ἢ εἰς τὸν τόπον ὃν ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν ἐν μιᾷ τῶν πόλεών σου, ἐκεῖ ἀνοίσεις τὰ ὁλοκαυτώματά σου, καὶ ἐκεῖ ποιήσεις πάντα ὅσα ἐντέλλομαι ὑμῖν σήμερον."

14. Καὶ προστίθησι λέγων "οὐ δυνήσῃ φαγεῖν ἐν πάσαις ταῖς πόλεσι τὸ ἐπιδέκατον τοῦ σίτου σου καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου σου, τὰ πρωτότοκα τῶν βοῶν σου καὶ τῶν προβάτων σου, καὶ πάσας τὰς (22)
εὐχάς σου ὅσας ἂν εὔξησθε, καὶ τὰς ὁμολογίας ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν, ἀλλ' ἢ ἐναντίον κυρίου τοῦ θεοῦ σου φαγῇ αὐτὰ ἐν ᾧ ἂν τόπῳ ἐκλέξηται κύριος ὁ θεός σου ἑαυτῷ, σὺ καὶ οἱ υἱοί σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, (3)
καὶ ὁ προσήλυτος ὁ ἐν ταῖς πόλεσί σου." (1)

15. Καὶ ἔτι προελθὼν ἐπασφαλίζεται τὸν λόγον ἐν ᾧ φησιν "πλὴν τὰ ἅγιά σου ἐὰν γένωνταί σοι, καὶ τὰς εὐχάς σου λαβὼν ἥξεις εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου ἑαυτῷ."

16. Καὶ πάλιν "δεκάτην ἀποδεκατώσεις παντὸς γεννήματος τοῦ σπέρματός σου· τὸ γέννημα τοῦ ἀγροῦ σου ἐνιαυτὸν κατ' ἐνιαυτόν. καὶ φαγῇ αὐτὸ ἐναντίον κυρίου τοῦ θεοῦ σου ἐν ᾧ ἂν τόπῳ ἐκλέξηται κύριος ὁ θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ." (2)

17. Εἶτ' ἐπιλογισάμενος τί δέοι πράττειν εἰ μακρὰν ἀφεστὼς εἴη ὁ πρὸς αὐτοῦ δηλούμενος τόπος,

1 Deut. 12, 11. 5 Deut. 5, 13. 10 Deut. 5, 17.
20 Deut. 12, 26. 24 Deut. 14, 22.

ὁ δὲ καρπὸς τῶν γεννημάτων πολὺς, πῶς δέοι παρακομίζειν οἴκοθεν εἰς τὸν τοῦ θεοῦ τόπον τοὺς ἐπετείους καρποὺς τῆς ὁλοκαυτώσεως, καὶ περὶ τούτου τόνδε τίθησι τὸν νόμον 18. "ἐὰν δὲ μακρὰν γένηται ἀπὸ σοῦ ἡ ὁδὸς, καὶ μὴ δυνήσῃ ἀναφέρειν αὐτὰ, ὅτι μακρὰν ἀπὸ σοῦ ὁ τόπος ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ὅτι εὐλογήσει σε κύριος ὁ θεός σου, καὶ ἀποδώσεις αὐτὰ
b ἀργυρίου, καὶ λήψῃ τὸ ἀργύριον ἐν ταῖς χερσί σου, καὶ πορεύσῃ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν, καὶ δώσεις τὸ ἀργύριον ἐπὶ παντὸς οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, ἐπὶ βουσὶν, ἢ ἐπὶ προβάτοις, ἢ ἐπὶ οἴνῳ, ἢ ἐπὶ σικέρᾳ, ἢ ἐπὶ παντὸς οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, καὶ φαγῇ ἐκεῖ ἐναντίον κυρίου τοῦ θεοῦ σου."

19. *Καὶ αὖθις τὸν τόπον ἐπισφραγίζεται ὧδέ πως* φάσκων "πᾶν πρωτότοκον ὃ ἐὰν τεχθῇ ἐν τοῖς βουσί σου, καὶ ἐν τοῖς προβάτοις σου, τὰ ἀρσενικὰ ἀποί-
c σεις κυρίῳ τῷ θεῷ σου. οὐκ ἐργᾷ ἐν τῷ πρωτοτόκῳ μόσχῳ σου, καὶ μὴ κείρῃς τὸ πρωτότοκον τῶν προβάτων σου· ἐναντίον κυρίου τοῦ θεοῦ σου φαγῇ αὐτὸ ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ, ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου, σὺ καὶ ὁ οἶκός σου."

20. *Μετὰ ταῦτα πάλιν θέα τίνα τρόπον καὶ τὰ* περὶ τῶν ἑορτῶν διαστέλλει οὐκ ἄλλοθι γῆς ἀλλ' ἢ ἐν μόνῳ τῷ δηλουμένῳ τόπῳ πανηγυρίζειν. λέγει δ' οὖν "φύλαξαι τὸν μῆνα τῶν νέων, καὶ ποιήσεις τὸ πάσχα κυρίῳ τῷ θεῷ σου, πρόβατα καὶ βόας ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτόν." 21. καὶ πάλιν ὑπομιμνήσκει λέγων "οὐ δυνήσῃ θῦσαι τὸ

---

4 Deut. 14, 24. 17 Deut. 15, 19. 27 Deut. 16, 1. 30 Deut. 16, 5.

πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεών σου, ὧν κύριος ὁ θεός σου δίδωσί σοι, ἀλλ' εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου, ἐκεῖ θύσεις τὸ πάσχα ἑσπέρας πρὸς δυσμαῖς ἡλίου, ἐν τῷ καιρῷ ᾧ ἐξῆλθες ἐκ γῆς Αἰγύπτου, καὶ ἑψήσεις, καὶ φαγῇ ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου." d

22. Ὁ μὲν δὴ τῆς τοῦ πάσχα ἑορτῆς νόμος τοιοῦτος· ὁ δὲ τῆς πεντηκοστῆς τί φησιν ἄκουσον "ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἐξαριθμήσεις σεαυτῷ, ἀρξαμένου σου δρέπανον ἐπ' ἀμητὸν, καὶ ποιήσεις ἑορτὴν ἑβδομάδων κυρίῳ τῷ θεῷ σου, καθὰ ἰσχύει ἡ χείρ σου, ὅσα ἂν δῷ σοι, καθ' ὅτι εὐλόγηκέν σε κύριος ὁ θεός σου. 23. καὶ εὐφρανθήσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σου, σὺ καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ [4]
παῖς σου, καὶ ἡ παιδίσκη σου, καὶ ὁ Λευίτης ὁ ἐν (3)
ταῖς πόλεσί σου, καὶ ὁ προσήλυτος, καὶ ὁ ὀρφανὸς, καὶ ἡ χήρα ἡ ἐν ὑμῖν, ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτῷ, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ." 24. καὶ τὴν τρίτην δ' ἑορτὴν ἔνθα προστάττει ἐκτελεῖν ἐπάκουσον "ἑορτὴν τῶν σκηνῶν ποιήσεις σεαυτῷ ἑπτὰ ἡμέρας, ἐν τῷ συναγαγεῖν σε ἀπὸ τῆς ἅλωνός σου καὶ ἀπὸ τῆς ληνοῦ σου, καὶ εὐφρανθήσῃ ἐν τῇ ἑορτῇ σου σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου καὶ ἡ χήρα, b
ἐν τῷ τόπῳ ᾧ ἐὰν ἐκλέξηται κύριος ὁ θεός σου ἑαυτῷ."

25. Διὰ τοσούτων οὖν τὸν τόπον ἐπισημαινόμενος, τοσαυτάκις τε εἰπὼν εἰς αὐτὸν ἀπαντᾶν παγγενὶ καὶ πανοικὶ, πῶς ἂν ἥρμοζε τοῖς τῆς Ἰουδαίας καὶ ἐπὶ μικρὸν διεστῶσι, μή τί γε τοῖς καθ' ὅλης τῆς οἰκουμένης ἔθνεσι; μάλιστα ὅτε οὐδὲ συγγνώμην τινὰ

8 Deut. 16, 9. 21 Deut. 16, 13.

νέμει τοῖς παραβαίνουσι τὰ διωρισμένα, ἀρὰν δὲ κατὰ πάντων τῶν μὴ τὰ πάντα τηρούντων ἐπάγει, ῥήμασιν αὐτοῖς λέγων "ἐπικατάρατος ὃς οὐκ ἐμμενεῖ
c πᾶσι τοῖς γεγραμμένοις ἐν τῷδε τῷ νόμῳ τοῦ ποιῆσαι αὐτά."

26. Θεώρησον δὲ καὶ ἄλλως τὰ ἀδύνατα πᾶσιν ἀνθρώποις τῆς Μωσέως νομοθεσίας. διαστειλάμενος τὰ ἑκούσια καὶ χαλεπὰ τῶν ἁμαρτημάτων, καὶ τιμωρίας περιθεὶς ἑκάστῳ τῶν μεγίστης κολάσεως ἀξίων, νόμους τίθησι, καθ' οὓς ἑτέρῳ τρόπῳ καὶ τοὺς ἀκουσίως πλημμελοῦντας ἐπιστρέφει. 27. ὧν ὁ μὲν οὕτως ἔχει "ἐὰν ψυχὴ μία ἁμάρτῃ ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς ἐν τῷ ποιῆσαι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσῃ, καὶ γνωσθῇ
d αὐτῷ ἡ ἁμαρτία ἣν ἥμαρτεν, καὶ οἴσει δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν ἄμωμον θήλειαν οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτεν, ἐν τῷ τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυτώματα, καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος."

28. Καὶ ὅρα γε ὡς καὶ ἐνταῦθα τὸν πταίσαντά τι παρὰ γνώμην ἐν τῷ τόπῳ δεῖ ἀπαντᾶν οὗ σφάζουσι τὰ ὁλοκαυτώματα· οὗτος δὲ ἦν οὗ διὰ πλείστων ἤδη πρότερον ἐμνήσθη λέγων "ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου."

29 Τοῦτο δ' ὅτι μὴ δυνατὸν πρὸς ἁπάντων τῶν ἐπὶ γῆς ἀνθρώπων ἐκτελεῖσθαι καὶ αὐτὸς ὁ νομοθέτης συνιδὼν ἀκριβῶς ἐπεσημήνατο, οὐκ ἀορίστως κατὰ πάντων προαγαγὼν τὸν νόμον, ἀλλ' ἐπειπὼν "ἐὰν ψυχὴ ἁμάρτῃ ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς."

30. Καὶ δεύτερον δὲ νόμον τίθησιν οὕτως ἔχοντα

---

3 Deut. 27, 26. 12 Levit. 4, 28. 30 Levit. 5, 1.

"ἐὰν δὲ ψυχὴ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς ἢ ἑώρακεν, ἢ σύνοιδεν, ἐὰν μὴ ἀπαγγείλῃ, λήψεται τὴν ἁμαρτίαν." (4)

Τί οὖν χρὴ τοῦτον ποιεῖν ἀλλ' ἢ λαβόντα μετὰ χεῖρας τὸ ἱερεῖον σπεύδειν ἐπὶ τὰ καθάρσια; ποῦ πάλιν ἀλλ' ἢ ἐν τῷ τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυτώματα; 31. καὶ τρίτον πάλιν "ψυχὴ, φησὶν, ἥτις ἂν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ τῶν θνησιμαίων τῶν κτηνῶν τῶν ἀκαθάρτων, καὶ λάβῃ ἀπ' αὐτοῦ, καὶ αὐτὸς μεμίανται, καὶ πλημμελήσῃ, ἢ ἅψηται ἀκαθαρσίας ἀνθρώπου, ἀπὸ πάσης ἀκαθαρσίας αὐτοῦ ἧς ἂν ἁψάμενος μιανθῇ, καὶ ἔλαθεν αὐτὸν, b
μετὰ τοῦτο δ' ἔγνω καὶ πλημμελήσῃ."

32. Τί δὴ οὖν καὶ τὸν μιανθέντα προσῆκον ἦν ποιεῖν ἀλλ' ἢ ἀπαντᾶν πάλιν ἐν τῷ τόπῳ, καὶ προσφέρειν περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε θῆλυ ἀπὸ τῶν προβάτων, ἢ ἀμνάδα, ἢ χίμαιραν ἐξ αἰγῶν, περὶ ἁμαρτίας; 33. ὁ δ' αὐτὸς ἦν νόμος καὶ ἐπὶ ψυχῆς ἣ ἂν ὀμόσῃ διαστέλλουσα τοῖς χείλεσι κακοποιῆσαι ἢ καλῶς ποιῆσαι κατὰ πάντα ὅσα ἂν διαστείλῃ ἄνθρωπος μεθ' ὅρκου καὶ λάθῃ αὐτὸν, καὶ οὗτος γνῷ καὶ ἁμάρτῃ ἕν τι τούτων, καὶ ἐξαγορεύσῃ τὴν ἁμαρτίαν περὶ ἧς ἥμαρτε, καὶ οὗτος δῆτα, φησὶν, τὸ αὐτὸ λαβὼν ἱερεῖον σπευδέτω ἐν τῷ τόπῳ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία. 34. καὶ ἄλλος παρὰ τοὺς εἰρημένους νόμος ὧδέ πη διορίζει "ψυχὴ ἣ ἂν λάθῃ [5]
αὐτὸν λήθῃ, καὶ ἁμάρτῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων κυρίου, καὶ εἰσοίσει κριὸν τῆς πλημμελείας αὐτοῦ

---

6 Levit. 5, 2. 27 Levit. 5, 15.

τῷ κυρίῳ. οἴσει δὲ πάλιν παρὰ τὸν ἀρχιερέα ἐν τῷ τόπῳ δηλαδὴ τῷ ἐξειλεγμένῳ."

d 35. Καὶ ἕκτον δὲ νόμον τούτοις προστίθησι λέγων "ψυχὴ ἂν ἁμάρτῃ καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ, καὶ λάβῃ τὴν ἁμαρτίαν αὐτοῦ, καὶ οἴσει πάλιν κριὸν τῷ ἀρχιερεῖ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς, περὶ τῆς ἀγνοίας αὐτοῦ ἧς ἠγνόησεν, καὶ οὗτος οὐκ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ."

36. Ἤδη δὲ ἕβδομόν φησι "ψυχὴ ἂν ἁμάρτῃ, καὶ παριδὼν παρίδῃ τὰς ἐντολὰς κυρίου, καὶ ψεύσηται πρὸς τὸν πλησίον αὐτοῦ ἐν παρακαταθήκῃ, περὶ κοινωνίας ἢ ἁρπαγῆς, ἢ ἠδίκησέ τι τὸν πλησίον, ἢ εὗρεν ἀπώλειαν, καὶ ψεύσηται περὶ αὐτῆς, καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ πάντων ὧν ἐὰν ποιήσῃ ἄνθρωπος, ὥστε ἁμαρτεῖν ἐν τούτοις, καὶ ἡνίκα ἂν ἁμάρτῃ καὶ πλημμελήσῃ καὶ ἀποδῷ τὸ ἅρπαγμα ὃ ἥρπασεν, ἢ τὸ ἀδίκημα ὃ ἠδίκησεν, ἢ τὴν παρακαταθήκην ἥτις
(5) παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν ἣν εὗρεν, ἀπὸ παντὸς πράγματος οὗ ὤμοσε περὶ αὐτοῦ ἀδίκως, καὶ ἀποτίσει αὐτὸ τὸ κεφάλαιον καὶ τὸ ἐπίπεμπτον."

37. Ἐχρῆν δ' ἂν μετὰ τὸ ἐξαγορεῦσαι τὸ ἁμάρτημα καὶ μετὰ τὸ ἀποτῖσαι σπεύδειν πάλιν πάντα ὑπερθέμενον εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεὸς, καὶ προσφέρειν γε περὶ τῆς πλημμελείας κριὸν ἄμωμον, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι
b κυρίου, καὶ ἀφεθήσεται αὐτῷ.

38. Ταῦτα καὶ περὶ τῶνδε ὁ θαυμάσιος Μωσῆς περί τε τῶν ἀκουσίως ἡμαρτηκότων καὶ περὶ τῶν κατ' ἄγνοιαν ἐξηκριβώσατο πόρρωθεν τῶν κατὰ προαιρε-

10 Levit. 6, 2.

σιν πλημμελημάτων, ἐφ' οἷς καὶ ἀπαραιτήτους ὁρίζει τιμωρίας τοὺς οἰκείους ἀναστέλλων. 39. ὁ γὰρ ἐπὶ τοῖς ἀκουσίοις μὴ πρότερον νείμας συγγνώμην ἢ ἐξαγορεῦσαι τὸ ἁμάρτημα, κἄπειτα ὥσπερ μικρὰν τιμωρίαν διὰ τῆς προστεταγμένης θυσίας εἰσπραξάμενος τὸν ἡμαρτηκότα, διά τε τῆς ἐπὶ τὸν ἁγνὸν τόπον c ἀμελλήτου πορείας τὴν σπουδὴν ὁμοῦ καὶ τὸ εὐλαβὲς ἐπιτείνας τῶν κατ' αὐτὸν θεοσεβεῖν προῃρημένων, πῶς οὐχὶ τῶν ἑκουσίως δρωμένων πολὺ πρότερον ἐπίσχοι ἂν τὰς ὁρμάς; τί δὴ οὖν πρὸς ταῦτα συλλογίζεσθαι χρῆν, ὅτε δή, ὡς εἴρηται, συγκεφαλαιούμενος τὰ πάντα ὁ Μωσῆς ἐπισκήπτει λέγων "ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμενεῖ ἐν πᾶσι τοῖς ἐγγεγραμμένοις τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά."

40. Ἆρα γὰρ τοὺς ἐκ περάτων γῆς μέλλοντας κατὰ Μωσέα θεοσεβεῖν, ὡς ἂν φύγοιεν μὲν τὴν κατάραν, τύχοιεν δὲ τῆς ἐπηγγελμένης πρὸς τὸν Ἀβραὰμ εὐλογίας, ταῦτα πάντα χρῆν πράττειν, καὶ τρὶς τοῦ ἔτους ἀπαντᾶν εἰς τὰ Ἱεροσόλυμα, καὶ τὰς ἐκ πάντων δὲ d τῶν ἐθνῶν θεοσεβεῖν προῃρημένας γυναῖκας, ἄρτι τόκων καὶ ὠδίνων παυσαμένας, τοσαύτην στέλλεσθαι πορείαν, ὡς ἂν τὴν προστεταγμένην ὑπὸ Μωσέως θυσίαν ἐφ' ἑκάστῳ τῶν γεννωμένων ἀνενέγκαιεν, ἢ τοὺς ἐφαψαμένους νεκροῦ σώματος, ἢ τοὺς ἐπίορκον ὀμωμοκότας, ἢ τοὺς ἀκούσιόν τι δεδρακότας, ἐκ περάτων γῆς ἥκειν, τρέχειν τε καὶ σπεύδειν ἐπὶ τὸν νενομοθετημένον καθαρισμόν, ὡς ἂν ἐκφύγοιεν τὴν τῆς κατάρας ἐπίσκηψιν; 41. ἀλλὰ συνορᾷς ὡς καὶ αὐτοῖς τοῖς ἀμφὶ τὰ Ἱεροσόλυμα κατοικοῦσι καὶ ἐπὶ μόνης τῆς Ἰουδαίας τὰς διατριβὰς ποιουμένοις ὁ κατὰ

---

12 Deut. 27, 26. Gal. 3, 10.

Μωσέα βίος δυσκατόρθωτος ἦν, μή τί γε δυνατὸς ἐπιτελεῖσθαι καὶ τοῖς λοιποῖς ἔθνεσιν· ἔνθεν εἰκότως ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ υἱὸς τοῦ θεοῦ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῖς αὐτοῦ μαθηταῖς (6) *εἰπὼν "πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη"* [6] *ἐπιλέγει "διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν."*

42. *Οὐ γὰρ τὰ Μωσέως νόμιμα διδάσκειν πάντα τὰ ἔθνη παρεκελεύσατο, ἀλλ' ὅσα αὐτὸς ἐνετείλατο· ταῦτα δ' ἦν τὰ ἐν τοῖς εὐαγγελίοις αὐτοῦ φερόμενα. εἰκότως οὖν καὶ οἱ αὐτοῦ μαθηταὶ καὶ οἱ ἀπόστολοι ἐν τῇ περὶ τῶν ἐθνῶν σκέψει ὁμολογοῦσι μὴ δύνασθαι τὰ Μωσέως νόμιμα τοῖς ἔθνεσιν ἐφαρμόζειν, ὅτε μήτε αὐτοῖς μήτε τοῖς πατράσιν αὐτῶν εὐκατόρ-* b *θωτα γέγονεν. λέγει δ' οὖν ἐν ταῖς Πράξεσιν ὁ Πέτρος "νῦν οὖν τί πειράζετε τὸν θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;"*

43. *Εἰκότως δὲ καὶ αὐτὸς ὁ Μωσῆς τούτων αὐτῶν ἕνεκεν ἕτερον παρ' ἑαυτὸν ἀναστήσεσθαι ἔφη προφήτην, καὶ τοῦτον νομοθέτην ἔσεσθαι τῶν ἐθνῶν ἁπάντων εὐαγγελίζεται, τὸν Χριστὸν αἰνιττόμενος, αὐτῷ τε πείθεσθαι τοῖς οἰκείοις παραινεῖ, ὧδέ πη* c *καὶ τοῦτο θεσπίζων "προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ ὑμῖν. ἔσται δέ, πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ γένους αὐτῆς."*

44. *Καὶ τοῦτον δὲ τὸν προφήτην, δηλονότι τὸν Χριστόν, ἐξ Ἰουδαίων προελθόντα, πάντων τῶν ἐθνῶν*

---

5 Matth. 28, 19. 15 Act. 15, 10. 24 Deut. 18, 18.

κατακρατήσειν πάλιν ἀναφωνεῖ λέγων "ὡς καλοὶ οἱ οἶκοί σου Ἰακὼβ, αἱ σκηναί σου Ἰσραὴλ, ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡσεὶ παράδεισος ἐπὶ ποταμὸν, ὡς σκηναὶ ἃς ἔπηξεν κύριος. ἐξελεύσεται ἄνθρωπος ἐκ [d] τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν, καὶ ὑψωθήσεται ἡ βασιλεία αὐτοῦ."

45. Ἀλλὰ καὶ ἐξ ὁποίας φυλῆς, δώδεκα τῶν ὅλων παρ' Ἑβραίοις οὐσῶν, ὅτι δὴ ἀπὸ τῆς Ἰούδα ὁ θεσπιζόμενος τῶν ἐθνῶν νομοθέτης Χριστὸς προελεύσεται, καὶ κατὰ ποίους χρόνους, ὅτι μετὰ τὴν ἔκλειψιν τῶν ἐκ προγόνων διαδοχῆς τοῦ Ἰουδαίων ἔθνους ἀρξάντων δηλοῖ λέγων "οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς προσδοκία ἐθνῶν."

46. Ποία δὲ προσδοκία ἦν ἀλλ' ἢ ἡ τῷ Ἀβραὰμ ἐπηγγελμένη περὶ τοῦ δεῖν εὐλογηθήσεσθαι ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς; πέφηνε τοιγαροῦν καὶ αὐτὸς ὁ Μωσῆς ἀκριβῶς ἐπιστάμενος τὴν μὲν πρὸς αὐτοῦ διαταγεῖσαν νομοθεσίαν ἐξασθενεῖν εἰς τὸ πᾶσιν [(7)] ἐφαρμόσαι τοῖς ἔθνεσιν, εἰς ἐκπλήρωσιν δὲ τῶν πρὸς τὸν Ἀβραὰμ χρησμῶν ἑτέρου δεῖσθαι προφήτου. 47. οὗτος δ' ἄρα ἦν, ὃν ἐξ Ἰούδα φυλῆς προελεύσεσθαι καὶ πολλῶν ἐθνῶν κυριεύσειν προμαρτυρόμενος εὐηγγελίζετο.

IV. Διὰ δὴ οὖν ταῦτα ὡς ἂν τὰ περὶ ἡμῶν τῶν [b] ἐθνῶν θεσπίσματα περιεχούσας τὰς παρ' Ἑβραίοις ἱερὰς βίβλους, ἅτε καὶ ἡμῶν οἰκείας οὔσας, εἰλάμεθά τε καὶ ἐστέρξαμεν, ὅτε μάλιστα οὐ μόνον Μωσῆς περὶ τοῦ μετ' αὐτὸν ἥξοντος νομοθέτου τῶν ἐθνῶν προαναφώνει, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν προφῆται συλλήβ- [c]

1 Num. 24, 5. 12 Gen. 49, 10.

δην εἰπεῖν ἅπαντες τὰ ὅμοια προεκήρυττον, ὥσπερ οὖν
ὁ Δαβὶδ φάσκων "κατάστησον, κύριε, νομοθέτην ἐπ'
αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν."

2. Ὅρα ὡς δευτέρου μέμνηται καὶ οὗτος νομοθέ-
του ἐθνῶν. διὸ καὶ ἐν ἑτέρῳ τοῖς ἔθνεσι προσφω-
νεῖ ᾄδειν οὐ τὸ παλαιὸν καὶ Μωσαϊκὸν ᾆσμα, ἀλλ'
ἕτερον καινόν, λέγων "ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν,
ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ· ἀναγγείλατε ἐν τοῖς
[7] ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυ-
μάσια αὐτοῦ. ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα,
d φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς. ὅτι πάντες
οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ κύριος τοὺς οὐρα-
νοὺς ἐποίησεν, ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν
ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ."

3. Καὶ πάλιν "εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι κύριος
ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην,
ἥτις οὐ σαλευθήσεται." 4. καὶ πάλιν "ᾄσατε τῷ κυρίῳ
ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν. ἐγνώρισεν
κύριος τὸ σωτήριον αὐτοῦ. ἐναντίον τῶν ἐθνῶν ἀπε-
κάλυψε τὴν δικαιοσύνην αὐτοῦ. εἴδοσαν πάντα τὰ
πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν."

5. Καὶ ὅρα τίνα τρόπον ἐν τούτοις τὸ καινὸν ᾆσμα
οὐ τῷ Ἰουδαίων ἔθνει, ἀλλὰ τοῖς πᾶσιν ἔθνεσι καταγ-
γέλλει, τοῦ διὰ Μωσέως παλαιοῦ μόνοις Ἰουδαίοις
προσήκοντος., τοῦτό τοι τὸ καινὸν ᾆσμα καινὴν δια-
(8) θήκην Ἱερεμίας, ἕτερος Ἑβραίων προφήτης, ἀποκαλεῖ
λέγων "ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ δια-
θήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθή-
κην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς

2 Psalm. 9, 20. 7 Psalm. 95, 1. 18 Psalm. 98, 1.
28 Jer. 31, 31.

πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει κύριος. ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ Ἰσραὴλ, λέγει κύριος, διδοὺς νόμους μου ἐπὶ τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας b αὐτῶν γράψω, καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μου λαός."

6. Ὁρᾷς καὶ τοῦτον ὡς διαστελλόμενος δύο διαθήκας τὴν μὲν παλαιὰν ὀνομάζει, τὴν δὲ καινὴν, καί φησιν τὴν καινὴν οὐ κατὰ τὴν παλαιὰν ἔσεσθαι, ἣν διέθετο τοῖς πατράσιν; ἡ μὲν γὰρ τοῖς ἀποπεσοῦσι τῆς τῶν προγόνων εὐσεβείας Ἰουδαίοις, τὸν Αἰγυπτιακὸν δὲ βίον καὶ τρόπον ζηλώσασιν, ἐπί τε τὴν πολύθεον πλάνην καὶ τὴν ἀμφὶ τὰ εἴδωλα τῶν ἐθνῶν δεισιδαιμονίαν ὀλισθήσασιν, νενομοθέτητο, ὡς ἂν c πεσόντας ἀνεγείρουσα καὶ ἀνορθοῦσα τοὺς πρηνεῖς κειμένους καταλλήλοις διδασκαλίαις. "δικαίοις γὰρ, φησὶ, νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, καὶ τοῖς παραπλησίοις."

7. Ἡ δὲ καινὴ τοὺς διὰ τοῦ σωτῆρος ἡμῶν χάριτι καὶ δωρεᾷ θεοῦ ἀνεγηγερμένους ἐπὶ τὸ βαδίζειν καὶ σπεύδειν εἰς τὴν ἐπηγγελμένην τοῦ θεοῦ βασιλείαν χειραγωγεῖ, πάντας ἐπ' ἴσης ἀνθρώπους εἰς μίαν καὶ τὴν αὐτὴν τῶν ἀγαθῶν μετουσίαν προκαλουμένη. ταύτην τὴν καινὴν διαθήκην αὖθις νόμον ὀνομάζει καινὸν Ἡσαΐας, ἄλλος πάλιν Ἑβραίων προφήτης, λέγων "ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυ- d ρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἥξουσι πάντα τὰ ἔθνη, καὶ συναχθήσονται πάν-

---

18 Tim. 1, 1, 9. 28 Jes. 2, 3.

τες οἱ λαοὶ καὶ ἐροῦσι, δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ."

8. Τίς δ' ἂν εἴη ὁ ἐκ Σιὼν προεληλυθὼς νόμος, ἕτερος ὢν τοῦ ἐπὶ τῆς ἐρήμου διὰ Μωσέως ἐν τῷ Σινᾶ ὄρει νενομοθετημένου, ἀλλ' ἢ ὁ εὐαγγελικὸς λόγος ὁ διὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων αὐτοῦ ἐκ τῆς Σιὼν προεληλυθὼς, καὶ διελθὼν πάντα τὰ ἔθνη; πρόδηλον γὰρ ὡς ἀπὸ τῆς Ἱερουσαλὴμ καὶ τοῦ ταύτῃ προσπαρακειμένου Σιὼν ὄρους, ἔνθα τὰς πλείστας διατριβάς τε καὶ δι-
(9) δασκαλίας ὁ σωτὴρ καὶ κύριος ἡμῶν πεποίητο, ὁ τῆς καινῆς διαθήκης αὐτοῦ ἀρξάμενος νόμος κἀκεῖθεν προελθὼν εἰς πάντας ἐξέλαμψεν ἀνθρώπους, ἀκολούθως ταῖς αὐτοῦ φωναῖς, ἃς πρὸς τοὺς αὐτοῦ μαθητὰς πεποίητο φήσας "πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν."

9. Τίνα δὲ ταῦτα ἦν ἀλλ' ἢ τὰ τῆς καινῆς δια-
[8] θήκης μαθήματά τε καὶ παιδεύματα; ἐπειδὴ τοίνυν ταῦθ' οὕτως ἔχειν ἀποδέδεικται, ὥρα νῦν ἰδεῖν τὸν τρόπον τῆς καινῆς διαθήκης καὶ τοῦ προκεκηρυγμένου καινοῦ ᾄσματός τε καὶ νόμου.

b V. Ἡ μὲν δὴ παλαιὰ διαθήκη καὶ ὁ διὰ Μωσέως νόμος μόνῳ τῷ Ἰουδαίων ἔθνει, καὶ τούτῳ ἐπὶ τῆς οἰκείας γῆς οἰκοῦντι, κατάλληλος ἀποδέδεικται, οὔτε
c δὲ τοῖς λοιποῖς ἔθνεσι τοῖς καθ' ὅλης τῆς οἰκουμένης οὔτε τοῖς ἐπὶ τῆς ἀλλοδαπῆς ἀπῳκισμένοις Ἰουδαίοις· τὸν δὲ τῆς καινῆς διαθήκης τρόπον πᾶσιν ἔθνεσιν βιωφελῆ χρῆν δήπου καταστῆναι, ὡς μηδαμῶς μηδαμόθεν παραποδίζεσθαι τοὺς κατὰ τοῦτον πολιτεύεσθαι

---

15 Matth. 28, 19.

μέλλοντας, μήτ' ἀπὸ χώρας μήτ' ἀπὸ γένους μήτ'
ἀπὸ τόπου μήτε ἔκ τινος ἑτέρου τὸ σύνολον. 2. τοι-
οῦτος δὲ πέφηνεν ὁ πρὸς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ νενομοθετημένος νόμος τε καὶ βίος, τὴν πα-
λαιτάτην καὶ πρεσβυτέραν Μωσέως εὐσέβειαν ἀνα-
νεούμενος, καθ' ἣν ὁ θεοφιλὴς Ἀβραὰμ καὶ οἱ τού-
του προπάτορες δείκνυνται πεπολιτευμένοι. 3. εἰ γοῦν d
ἐθελήσειας τόν τε Χριστιανῶν βίον καὶ τὴν ὑπὸ τοῦ
Χριστοῦ πᾶσιν ἔθνεσι καταβεβλημένην θεοσέβειαν
συνεξετάσαι τῷ τρόπῳ τῶν ἀμφὶ τὸν Ἀβραὰμ ἐπ'
εὐσεβείᾳ καὶ δικαιοσύνῃ μεμαρτυρημένων, ἕνα καὶ
τὸν αὐτὸν εὑρήσεις. 4. ἐκεῖνοί τε γὰρ τῆς πολυθέου
πλάνης ἀποχωρήσαντες, καὶ τὴν περὶ τὰ ἀγάλματα
δεισιδαιμονίαν ἀποστραφέντες, ὑπερκύψαντες δὲ καὶ
τὴν ὁρωμένην ἅπασαν κτίσιν, καὶ μήθ' ἥλιον μήτε
σελήνην μήτε τι τῶν μερῶν τοῦ παντὸς θεοποιήσαν-
τες, ἐφ' ἕνα τὸν ἀνωτάτω θεόν, αὐτὸν δὴ τὸν ὕψι-
στον τὸν οὐρανοῦ καὶ γῆς δημιουργόν, ἑαυτοὺς ἀνή- (10)
γαγον. 5. ὃ καὶ συνίστησιν αὐτὸς ὁ Μωσῆς ἐν ταῖς
τῆς ἀρχαιολογίας ἱστορίαις τὸν Ἀβραὰμ ἀναγράφων
φάσκοντα "ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν
ὕψιστον, ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ τὴν γῆν."

6. Καὶ πρό γε τούτου εἰσάγων τὸν Μελχισεδὲκ,
ὃν δή φησιν ἱερέα γεγονέναι τοῦ θεοῦ τοῦ ὑψίστου,
τὸν Ἀβραὰμ ὧδέ πως εὐλογοῦντα "εὐλογημένος Ἀβρα-
ὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ
τὴν γῆν."

7. Εὕροις δ' ἂν καὶ τὸν Ἐνὼχ καὶ τὸν Νῶε δι- b
καιωθέντας καὶ εὐαρεστήσαντας τῷ θεῷ κατὰ τὸν
αὐτὸν τῷ Ἀβραὰμ τρόπον. ἀλλὰ καὶ ὁ Ἰὼβ, ἄνθρωπος

---

21 Gen. 14, 22. 25 Gen. 14, 19.

δίκαιος, ἀληθινὸς, ἄμεμπτος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, πρὸ τῶν Μωσέως χρόνων μεμαρτύρηται· ὃς δὴ καὶ πεῖραν τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας δι' ἀθρόας τῆς τῶν ὑπαρχόντων ἀποβολῆς ὑποσχὼν μέγιστον εὐσεβοῦς ὑπόδειγμα τρόπου καὶ τοῖς μετ' αὐτὸν ἀπολέλοιπεν, τὸν φιλόσοφον ἐκεῖνον ἐπιφωνήσας λόγον "γυμνὸς ἐξῆλ-
c θον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο· ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον."

8. Καὶ τὸν ἁπάντων κύριον σέβων ταύτας ἠφίει τὰς φωνὰς, ἃς προϊὼν ὁ αὐτὸς διασαφεῖ δι' ὧν φησι "σοφὸς γάρ ἐστι διανοίᾳ, κραταιός τε καὶ μέγας, ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται, ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει, ὁ τανύσας τὸν οὐρανὸν μόνος."

9. Εἰ δὴ οὖν τοῦτον αὐτὸν ἐκεῖνον τῶν πάλαι καὶ
d πρὸ Μωσέως θεοφιλῶν θεὸν ἔναγχος πᾶσι τοῖς ἔθνεσιν ὁ Χριστοῦ λόγος ὁμοίως ἐκείνοις μόνον εὐσεβεῖν διετάξατο, πέφηνεν ὅπως κοινωνοὶ γεγενήμεθα τῆς ἴσης αὐτῶν ἐκείνων εὐσεβείας· τῆς δὲ εὐσεβείας
[9] μετασχόντες δῆλον ὡς καὶ τῆς εὐλογίας μεταληψόμεθα. 10. ἀλλὰ καὶ τὸν τοῦ θεοῦ λόγον, ὃν δὴ Χριστὸν ἡμῖν προσαγορεύειν φίλον, ὁμοίως κἀκεῖνοι γνόντες ἐμαρτυρήθησαν· οἵ γε καὶ πολὺ διαφερόντως τῆς ἐμφανοῦς αὐτοῦ παρουσίας τε καὶ θεοφανείας ἠξιώθησαν. 11. ἐπάκουσον γοῦν ὡς πάλιν αὐτὸς ὁ Μωσῆς τὸν ἐπιφανέντα τοῖς θεοφιλέσι

---

7 Job. 1, 21. 14 Job. 9, 4.

καὶ πολλάκις χρηματίσαντα αὐτοῖς τὰ ἀναγεγραμμένα ποτὲ μὲν θεὸν καὶ κύριον, ποτὲ δὲ καὶ ἄγγελον θεοῦ προσαγορεύει, ἄντικρυς παριστὰς ὅτι μὴ ὁ ἐπὶ πάντων θεὸς οὗτος ἦν, ἀλλά τις δεύτερος, θεὸς μὲν καὶ κύριος τῶν θεοφιλῶν ἀνδρῶν ἀνηγορευμένος, ἄγγελος δὲ τοῦ ἀνωτάτου πατρός. 12. λέγει δ' οὖν αὐ- (11) τοῖς ῥήμασι "καὶ ἐπορεύθη Ἰακὼβ εἰς Χαρὰν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ καὶ ἐνυπνιάσθη, καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανὸν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον ἐπ' αὐτήν. 13. ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν, ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου καὶ ὁ θεὸς Ἰσαάκ· μὴ φοβοῦ, ἡ γῆ, ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐ- b τὴν καὶ τῷ σπέρματί σου, καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς."

14. Οἷς ἑξῆς ἐπιλέγει "καὶ ἀνέστη Ἰακὼβ τὸ πρωῒ, καὶ ἔλαβε τὸν λίθον ὃν ὑπέθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην."

15 Εἶτα προϊὼν αὐτὸν δὴ τοῦτον τὸν ἐπιφανέντα αὐτῷ θεὸν καὶ κύριον ἄγγελον ὀνομάζει θεοῦ. φησὶ γοῦν ὁ Ἰακὼβ "καὶ εἶπέν μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ' ὕπνον, Ἰακώβ· ἐγὼ δὲ εἶπα, τί ἐστίν;"

16. καὶ ἑξῆς "ἑώρακα, φησὶ, πάντα ὅσα Λάβαν ποιεῖ σοι. ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ c οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι ἐκεῖ εὐχήν."

17. Ὁ δ' αὐτὸς οὗτος καὶ τῷ Ἀβραὰμ παραφανεὶς θεος

---

7 Gen. 28, 10. 19 Gen. 31, 11.

καὶ κύριος ἀνηγόρευται, μυσταγωγῶν τὸν θεοφιλῆ τὰς περὶ τοῦ πατρὸς αὐθεντίας, καί τινα ὡς περὶ ἑτέρου θεοῦ διδάσκων, ἃ καὶ κατὰ καιρὸν ἐπισκεψόμεθα. 18. ἀλλὰ καὶ τῷ Ἰὼβ οὐδένα ἢ τοῦτον εἶναι τὸν χρηματίσαντα μετὰ τὴν αὐτάρκη διαγυμνασίαν οὐ θεμιτὸν εἰπεῖν. πρότερον μὲν γὰρ διὰ λαίλαπος καὶ νεφῶν ἐπιφανεὶς αὐτῷ τὸν τῶν ὅλων θεὸν ἑαυτὸν ὄντα παρίστη, προϊὼν δὲ ἑξῆς ἑαυτὸν ἐπιδείκνυσι, d ὥστε φάναι τὸν Ἰὼβ "ἄκουσον δέ μου, κύριε, ἵνα κἀγὼ λαλήσω. ἀκοὴν μὲν φωνῆς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε."

19. Εἰ δὲ μὴ οἷόν τε τὸν ἐπέκεινα θεὸν, τὸν ἀόρατον καὶ ἀγέννητον καὶ παμβασιλέα τῶν ὅλων, θνητῇ φάναι θεωρεῖσθαι φύσει, τίς ἂν ὁ δηλούμενος εἴη πλὴν τοῦ πρὸς ἡμῶν μετὰ τὸν πατέρα κυριολογουμένου θεοῦ λόγου; καὶ τί δεῖ πλείονα περὶ τούτου συναγαγεῖν, παρὸν ἐκ τῶν ἱερῶν βίβλων τὰς τούτων συστάσεις λαμβάνειν, ἃς καὶ αὐτοὶ κατὰ τὴν προκειμένην ὑπόθεσιν ἐπὶ σχολῆς ἀναλεξόμεθα, εἰς ἀπόδειξιν τοῦ μηδὲ ἄλλον ἢ τὸν τοῦ θεοῦ λόγον εἶναι τὸν τοῖς θεοφιλέσι προπάτορσιν ἑωραμένον; 20. οὐκοῦν (12) μετὰ τὴν περὶ τοῦ τῶν ὅλων δημιουργοῦ διάληψιν καὶ τὰ περὶ τοῦ Χριστοῦ κοινῶς ἡμῖν τε κἀκείνοις παραδέδοται· ἔνθεν καὶ Χριστοὺς αὐτοὺς δὴ ἐκείνους τοὺς πρὸ Μωσέως θεοφιλεῖς, ὥσπερ οὖν ἡμᾶς Χριστιανοὺς, εὕροις ἂν κεκλημένους. καὶ τοῦτο δὲ ἐπάκουσον ὥς φησι περὶ αὐτῶν ἐν Ψαλμοῖς τὸ λόγιον "ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ, καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον, οὐκ ἀφῆκεν ἄν-

---

9 Gen. 42, 4. 27 Ps. 105, 12.

θρωπον ἀδικῆσαι αὐτοὺς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν b βασιλεῖς λέγων, μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.” 21. ταῦτα γὰρ ἐπὶ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακὼβ ἀνειρῆσθαι ἡ πᾶσα σύμφρασις τοῦ λόγου παρίστησιν· ὥστε καὶ τῆς τοῦ Χριστοῦ προσηγορίας ἡμῖν ὁμοίως ἐκοινώνουν.

VI. Ἀλλὰ καὶ ὁ κατ᾽ ἀρετὴν βίος ἥ τε κατὰ εὐσέ- c βειαν πολιτεία ὥσπερ τοῖς ἔθνεσιν ἅπασι διὰ τῆς τοῦ Χριστοῦ νουθεσίας κεκήρυκται δίχα τῆς κατὰ Μωσέα διαταγῆς, οὕτως καὶ τοῖς παλαιοῖς ἐκείνοις ὁ αὐτὸς τῆς εὐσεβείας κατωρθοῦτο τρόπος. 2. οὔτ᾽ οὖν σώ- [10] ματος αὐτοῖς περιτομῆς ἔμελεν, ὅτι μηδ᾽ ἡμῖν· οὔτε ἀποχῆς τῶν τοιῶνδε ζῴων βρώσεως, ὅτι μηδὲ ἡμῖν. αὐτίκα τὸν Μελχισεδὲκ ὁ Μωσῆς εἰσάγει ἱερέα τοῦ θεοῦ τοῦ ὑψίστου, οὐ τὸ σῶμα περιτετμημένον, οὐ μύρῳ σκευαστῷ κατὰ Μωσέα κεχρισμένον, οὐ σάββατον τί ποτ᾽ ἐστὶν εἰδότα, οὐδ᾽ ὅλως τι τῶν μετὰ ταῦτα τῷ παντὶ Ἰουδαίων ἔθνει διὰ Μωσέως παρηγγελμένων ἐπαΐοντα, ἄντικρυς δὲ κατὰ τὸ Χριστοῦ εὐαγγέλιον βιοῦντα. 3. πλὴν ἀλλ᾽ ὅμως ἱερέα τοῦ θεοῦ τοῦ ὑψίστου φησὶν αὐτὸν ὁ Μωσῆς γεγονέναι, καὶ τοῦ Ἀβραὰμ κρείττονα. εἰσῆκται γοῦν τὸν Ἀβραὰμ εὐλογῶν. τοιοῦτ́ς τις ἦν καὶ Νῶε, ἄνθρωπος δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ, ὃν καὶ ζώπυρον σπέρμα τῷ γένει τῶν ἀνθρώπων ἐν τῇ τοῦ κατακλυσμοῦ φθορᾷ (13) πάντων τῶν ἐπὶ γῆς ἀπολλυμένων ὁ τῶν ὅλων θεὸς διεφύλαξεν. 4. οὐδὲν γοῦν οὐδὲ οὗτος τῶν Ἰουδαϊκῶν ἐθῶν ἐπιστάμενος, οὔτε ἐν περιτομῇ σώματος οὔτ᾽ ἐν τοῖς ἄλλοις τοῖς ὑπὸ Μωσέως διατεταγμένοις, ὅμως δίκαιος, εἰ καί τις ἄλλος, ἀνηγόρευται. 5. καὶ πρό γε τούτου ὁ Ἐνὼχ, ὃς καὶ λέγεται εὐηρεστηκέναι τῷ θεῷ καὶ μετατεθεῖσθαι ὡς μὴ εὑρίσκεσθαι αὐτοῦ

θάνατον, τοιοῦτος δὲ καὶ οὗτος γεγονὼς οὔτε τὸ
σῶμα περιτέτμητο οὔτ' ἔτι τῆς Μωσέως μετῄει νο-
b μοθεσίας, ἄντικρυς δὲ Χριστιανικῶς, ἀλλ' οὐχὶ Ἰου-
δαϊκῶς ζῶν ἀναπέφηνε. καὶ αὐτὸς δ' ὁ Ἀβραὰμ μετὰ
τοὺς προωνομασμένους γεγονὼς καὶ νεώτερος παρ'
αὐτοὺς τοῖς χρόνοις, πρεσβύτης δὲ διὰ τὴν ἡλικίαν,
διὰ τοὺς μέλλοντας ἐξ αὐτοῦ φῦναι, ὥσπερ τινὰ σφρα-
γῖδα τὴν περιτομὴν πρῶτος ὑπέμεινε τοῦ σώματος,
γνώρισμα τῆς αὐτοῦ διαδοχῆς, τοῖς ἐξ αὐτοῦ κατὰ
σάρκα γενησομένοις τουτὶ τὸ σημεῖον παραδιδοὺς φέ-
ρειν· 6. πρὸ δέ γε τῆς παιδοποιίας καὶ πρὸ τῆς
περιτομῆς καὶ αὐτὸς διὰ τῆς τῶν εἰδώλων ἀναχωρή-
σεως, καὶ τῆς ἑνὸς τοῦ ἐπὶ πάντων θεοῦ ὁμολογίας,
c καὶ διὰ μόνου τοῦ κατ' ἀρετὴν βίου δείκνυται Χρι-
στιανικῶς, ἀλλ' οὐχὶ Ἰουδαϊκῶς βεβιωκώς. 7. μεμαρ-
τύρηται γοῦν τὰ προστάγματα καὶ τὰς ἐντολὰς τά τε
δικαιώματα καὶ τὰ νόμιμα τοῦ θεοῦ πρὸ τῆς Μωσέως
διαταγῆς πεφυλαγμένος. λέγει δ' οὖν πρὸς τὸν Ἰσαὰκ
ὁ χρηματίζων θεός "καὶ δώσω τῷ σπέρματί σου πᾶσαν
τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρ-
ματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσεν
Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε
τὰς ἐντολάς μου, καὶ τὰ προστάγματά μου, καὶ τὰ
d δικαιώματά μου, καὶ τὰ νόμιμά μου.

8. Ἦν γὰρ καὶ πρὸ τοῦ Μωσέως νόμου προστά-
γματα θεοῦ ἕτερα, καὶ δικαιώματα οὐχ ὅμοια τοῖς
παρὰ Μωσεῖ, νόμιμά τε ἄλλα καὶ ἐντολαὶ Χριστοῦ,
δι' ὧν ἐδικαιώθησαν. ὅτι δ' οὐ τὰ αὐτὰ ἦν τοῖς
διὰ Μωσέως νομοθετηθεῖσι σαφῶς ὁ Μωσῆς παρί-
στησιν ἐν οἷς φησιν πρὸς τὸν λαόν "ἄκουε Ἰσραὴλ
τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐγὼ λαλῶ ἐν τοῖς

19 Gen. 26, 4. 30 Deut. 5, 1.

ὠσὶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ μαθήσεσθε αὐτά, καὶ φυλάξασθε ποιεῖν αὐτά. κύριος ὁ θεὸς ὑμῶν διέθετο πρὸς ὑμᾶς ἐν Χωρὴβ διαθήκην, οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο κύριος τὴν διαθήκην ταύτην, ἀλλὰ πρὸς ὑμᾶς." (14)

9. Καὶ ὅρα γε ὅπως ἀκριβῶς φησι τὴν διαθήκην ταύτην, ἐπεὶ μὴ τὴν αὐτὴν τοῖς πατράσιν αὐτῶν διετέθειτο. εἰ δ' οὖν ἀπολύτως μὴ δεδόσθαι τοῖς πα- [11] τράσιν αὐτῶν διαθήκην εἰρήκει, ψευδὴς ἂν ἦν ὁ λόγος αὐτῷ. δέδοται γοῦν τῷ Ἀβραὰμ διαθήκη καὶ τῷ Νῶε, ὡς τὰ ἱερὰ μαρτυρεῖ λόγια. διὰ τοῦτο μετὰ προσθήκης ὁ Μωσῆς οὐ ταύτην φησὶ δεδόσθαι τοῖς πατράσιν αὐτῶν, ἑτέραν αἰνιττόμενος τὴν κρείττω καὶ διαφέρουσαν, δι' ἧς καὶ θεοφιλεῖς ἀπεφάνθησαν. 10. αὐτίκα τῷ Ἀβραὰμ διὰ τῆς εἰς τὸν τῶν ὅλων θεὸν πίστεως τὰ τῆς δικαιοσύνης κατωρθῶσθαι μεμαρτύ- b ρηται ὑπ' αὐτοῦ Μωσέως λέγοντος "ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην." 11. ὅτι δὲ μετὰ τὴν τῆς δικαιοσύνης κατόρθωσιν καὶ μετὰ τὴν ἐπ' εὐσεβείᾳ μαρτυρίαν τὸ τῆς περιτομῆς εἴληφε σημεῖον, καὶ μηδὲν πρὸς εὐσεβείας δικαίωσιν αὐτῷ τουτὶ συνεβάλλετο, σαφῶς ὁ λόγος παρίστησιν. εὕροις δ' ἂν καὶ τὸν Ἰωσὴφ πρὸ τῶν Μωσέως χρόνων ἐν τοῖς Αἰγυπτίων βασιλείοις ἀπαραφυλάκτως, ἀλλ' οὐκ Ἰουδαϊκῶς ἀχθέντα. 12. εἰ δὲ θέλεις, καὶ c τὸν κορυφαῖον αὐτὸν καὶ νομοθέτην τοῦ Ἰουδαίων ἔθνους Μωσέα γνοίης ἂν ἐξ ἔτι νηπίας ἡλικίας παρὰ τῇ τοῦ Αἰγυπτίου βασιλέως θυγατρὶ τὰς διατριβὰς πεποιημένον, τροφῆς τε τῆς Αἰγυπτίας ἀπαρατηρήτως μετειληχότα. 13. τί δεῖ λέγειν τὸν τρισμακάριον Ἰὼβ, τὸν ἀληθῆ ἄνθρωπον ἐκεῖνον, τὸν ἄμεμπτον,

17 Gen. 15, 6.

τὸν δίκαιον, τὸν θεοσεβῆ, τῆς εἰς ἄκρον εὐσεβείας αὐτῷ καὶ δικαιοπραγίας τίς ἄρα αἰτία ἦν, μή τί γε τὰ Μωσέως παραγγέλματα; οὐδαμῶς. ἀλλὰ σαββάτου ἡμέρας ἐπιτήρησις ἦν, ἤ τινος ἄλλης Ἰουδαϊκῆς ἐθε-
d λοθρησκείας φυλακή; πόθεν, πρεσβυτέρῳ τοῖς χρόνοις Μωσέως καὶ τῆς κατ' αὐτὸν νομοθεσίας γενομένῳ; ὁ μὲν γὰρ Μωσῆς ἕβδομος ἐξ Ἀβραὰμ γενεαλογεῖται, οὑτοσὶ δὲ πέμπτος, δυσὶ προτέραις τὸν Μωσέα γενεαῖς προάγων. 14. θέα δ' οὖν καὶ τούτου τὸν βίον, Μωσέως μὲν τῆς νομοθεσίας οὐδὲν ἐπαγόμενον, τῆς δὲ τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας οὐκ ἀλλότριον. λέγει δ' οὖν αὐτὸς τὸν ἑαυτοῦ διεξιὼν βίον ἐν τῇ πρὸς τοὺς ἑταίρους ἀπολογίᾳ "διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ ὀρφανῷ, ᾧ οὐκ ἦν βοηθός, ἐβοήθησα. στόμα δὲ χήρας με εὐλόγησεν, δικαιοσύνην δὲ ἐνεδεδύκειν. ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι, ὀφθαλμὸς ἤμην τυφλῶν,ποὺς δὲ χωλῶν, ἐγὼ ἤμην πατὴρ ἀδυνάτων."

(15) 15. *Αὐτὰ δὴ ταῦτα* ἄντικρυς τὰ πᾶσιν ἡμῖν διὰ τῆς εὐαγγελικῆς διδασκαλίας μαθήματα κηρυττόμενα. ἀλλὰ καὶ ὡς εἰδὼς εὖ μάλα τὸ κλαίειν μετὰ κλαιόντων, καὶ τὸ "μακάριοι οἱ κλαίοντες, ὅτι γελάσονται" καὶ τὸ "εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη ἐν τοῖς τῆς εὐαγγελικῆς διδασκαλίας μαθήμασιν περιεχόμενα, τὸ πρὸς τοὺς ἐν τῷ βίῳ ταλαιπωρουμένους φιλάνθρωπον ἐπεδείκνυε, λέγων "ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα· ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις."

b 16. *Εἶτα πάλιν* τῆς εὐαγγελικῆς διδασκαλίας τοὺς ἀσέμνους ἀπαγορευούσης γέλωτας, προλαβὼν ὁ μακά-

---

14 Job. 29, 12. 22 Rom. 12, 15. 23 Luc. 6, 21. 1. Cor. 12, 26. 26 Job. 30, 25.

ρὸς φησιν "εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν, εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον, ἔσταμαι δὲ ἐν ζυγῷ δικαίῳ, οἶδεν δὲ ὁ κύριος τὴν ἀκακίαν μου."

17. Ἐπειδὴ δὲ ὁ παρὰ Μωσεῖ λόγος νομοθετεῖ λέγων "οὐ μοιχεύσεις," θάνατόν τε κατὰ μοιχῶν ἐπιψηφίζεται, ὁ δὲ τῆς εὐαγγελικῆς διδασκαλίας τὸν νόμον ἐπιτείνων φησὶν "ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, μηδὲ τὴν ἀρχὴν ἐπιθυ- c
μεῖν. 18. σκέψασθε καλῶς τὸν περὶ οὗ νῦν ὁ λόγος, ὃς κατὰ τὸ Χριστοῦ βιοὺς εὐαγγέλιον καὶ τὸ μετ' ἐπιθυμίας ἀκολαστότερον ἐμβλέπειν παρεφυλάττετο, ἐφ' ᾧ καὶ ἐσεμνύνετο λέγων "εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου."

19. Καὶ τὸν λογισμὸν ἀποδίδωσιν ἑξῆς ἐπάγων "θυμὸς γὰρ ἀνδρὸς ἀκατάσχετος τὸ μιᾶναι ἀνδρὸς [12]
γυναῖκα. πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν μερῶν, οὗ δ' ἂν εἰσέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσεν."

20. Ἀλλὰ καὶ τὸ τοῦ τρόπου ἀδωροδόκητον παρίστησιν ὧδε "εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων, σπείραιμι ἄρα καὶ ἄλλοι φάγοισαν, ἄρριζος δὲ γενοίμην ἐπὶ γῆς."

21. Ὅπως δὲ καὶ τοῖς οἰκείοις προσεφέρετο μαθεῖν ἔστιν ἀφ' ὧν διδάσκει φάσκων "εἰ δὴ καὶ ἐφαύ- d
λισα κρίμα θεράποντός μου ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρὸς ἐμέ."

22. Καὶ πάλιν τὸν λογισμὸν ἀποδίδωσι "τί γὰρ ποιήσω ἐὰν ἔτασίν μου ποιῆται ὁ θεός; πότερον οὐχ ὡς ἐγὼ ἐγενόμην ἐν σαρκί, οὕτως κἀκεῖνοι γεγόνασι; γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ.

---

1 Job. 31, 5. 8 Matth. 5, 27. 13 Job. 31, 9. 16 Job. 31, 11. 20 Job. 31, 7. 24 Job. 31, 13. 27 Job. 31, 14.

23. *Τούτοις ἐπιλέγει "χήρας τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα. εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα, εἰ δὲ καὶ εἶδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίεσα."*

24. *Καὶ πάλιν ὑποβὰς λέγει "εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα, εἰ δὲ καὶ ηὐφράνθην πολλοῦ πλούτου μοι γενομένου, εἰ δὲ καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου."*

25. *Καὶ τὸν λογισμὸν αὖθις ἐπιλέγει "ἢ οὐχ ὁρῶ-*
(16) *μεν ἥλιον ἐπιφαύσκοντα καὶ ἐκλείποντα, καὶ σελήνην δὲ φθίνουσαν;"*

26. *Εἶτα πάλιν τῆς εὐαγγελικῆς διδασκαλίας φησάσης "ἐρρέθη τοῖς ἀρχαίοις, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν," αὐτοφυεῖ διδασκαλίᾳ προλαβὼν ὁ θαυμάσιος τοὔργον ἀπεπλήρου· διό φησιν "εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην ἐπὶ πτώματι ἐχθροῦ μου, καὶ εἶπεν ἡ καρδία μου, εὖ γε, ἀκούσαι*
b *ἄρα τὸ οὖς μου τὴν κατάραν μου."*

27. *Καὶ ἐπιλέγει "ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο," ἐπεὶ μὴ ἀλλότριος τοῦ φήσαντος "ξένος ἤμην, καὶ συνηγάγετέ με."* 28. *οἷα δὲ αὐτοῦ καὶ τὰ περὶ τῶν ἀκουσίων πλημμελημάτων ἐπάκουσον λέγοντος "εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου, οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους, τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν. εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν [τὴν θύραν μου] κόλπῳ κενῷ, χεῖρα δὲ κυρίου εἰ μὴ ἐδεδοίκειν, συγγραφὴν δὲ ἣν εἶχον κατά τινος εἰ μὴ*

---

1 Job. 31, 16. 5 Job. 31, 24. 9 Job. 31, 26. 13 Matth. 5, 43. 17 Job. 31, 29. 20 Job. 31, 32. 22 Matth. 25, 35. 24 Job. 31, 33.

ῥήξας αὐτὴν ἀπέδωκα, οὐδὲν λαβὼν παρὰ χρεωφειλέτου."

29. Ταῦτα ἦν καὶ τὰ τοιαῦτα τῶν πρὸ Μωσέως θεοφιλῶν ἀνδρῶν, (ἐξ ἑνὸς γὰρ καὶ τὸν τῶν λοιπῶν τεκμαίρεσθαι προσήκει βίον) τὰ περιύμνητα τῆς θεοσεβείας ἆθλα, δι' ἃ καὶ φίλοι θεοῦ καὶ προφῆται κατηξιώθησαν. 30. τοιούτοις δ' οὖσι τίς ἔτι χρεία ἦν τῶν παρὰ Μωσεῖ παραγγελμάτων φαύλοις ἀνδράσι καὶ μοχθηροῖς παραδεδομένων; οὐκοῦν διὰ τούτων ἁπάντων τὸν ἀρχαιότατον τῆς τῶν προπατόρων θεοσεβείας τρόπον ὁ Χριστοῦ λόγος πᾶσι καταγγείλας d τοῖς ἔθνεσι προφανῶς ἀποδέδεικται, ὡς εἶναι τὴν καινὴν διαθήκην οὐδ' ἄλλην ἐκείνης τῆς ἀρχαιοτάτης τῶν Μωσέως χρόνων εὐσεβοῦς πολιτείας, ὥστε ὁμοῦ καὶ παλαιὰν αὐτὴν εἶναι καὶ νέαν· παλαιτάτην μὲν διὰ τὰ ἀποδεδειγμένα, νέαν δὲ αὖθις διὰ τὸ μακροῖς τοῖς μεταξὺ χρόνοις ὥσπερ ἀποκρυβεῖσαν ἐξ ἀνθρώπων αὖθις ἀναβεβιωκέναι διὰ τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας. 31. τοῦτόν γέ τοι τὸν μεταξὺ δηλούμενον χρόνον ἕως συνέβαινε λανθάνειν ἀνθρώπους, καὶ ὥσπερ ἐφησυχάζειν τὸν τῆς καινῆς διαθήκης τρόπον, ὁ Μωσέως ἐν τῷ μεταξὺ παρεισελθὼν νόμος οἷά τις νηπίων καὶ ἀτελῶν ψυχῶν ἐπίτροπος καὶ οἰκονόμος, ἢ καὶ ἰατρὸς δεινῇ καὶ Αἰγυπτιακῇ νόσῳ τετρυ- (17) χωμένῳ τῷ παντὶ Ἰουδαίων ἔθνει, αὐτοῖς δὴ τοῖς τοῦ Ἀβραὰμ ἀπογόνοις, μὴ οἵοις τε οὖσιν ὁμοίως τοῖς προπάτορσι κατορθοῦν, τὸν ὑποβεβηκότα καὶ ἀτελῆ βίον παρεδίδου. 32. ἐπειδὴ γὰρ ἐν τῇ παρ' Αἰγυπτίοις διατριβῇ οὗτοι μετὰ τὴν τῶν θεοφιλῶν προπα- [13] τόρων τελευτὴν ταῖς Αἰγυπτιακαῖς ὁμοιοτροπίαις ἀπαχθέντες ἐπὶ τὴν πολύθεον, ὡς ἔφην, δεισιδαιμονίαν ἀποπεπτώκεσαν, ὡς μηδὲν τῶν Αἰγυπτίων πλέον

ἔχειν δοκεῖν, γεγονέναι δὲ κατὰ πάντα ὁμοίους αὐτοῖς, κατά τε τὴν τῶν εἰδώλων πλάνην, ἔν τε τοῖς
b ἄλλοις ἐγχειρήμασιν· εἰκότως, ὥσπερ ἐκ βυθοῦ κακῶν ἀνιμώμενος αὐτοὺς ὁ Μωσῆς, ἀφίστη μὲν τῆς ἀθέου πολυθεΐας, ἀνῆγε δὲ ἐπὶ τὸν πάντων δημιουργὸν θεόν, πρῶτον ἐκεῖνον βαθμὸν εὐσεβείας ὡς ἐν εἰσαγωγαῖς καὶ προθύροις τῶν τελεωτέρων προβεβλημένος. 33. ἔπειτα οὐ φονεύειν, οὐ μοιχεύειν, οὐ κλέπτειν, οὐκ ἐπιορκεῖν, οὐκ ἄρρενας ἄρρεσιν ἐπιμαίνεσθαι, οὐ μητράσιν, οὐκ ἀδελφαῖς, οὐ θυγατράσιν ἐπιμίγνυσθαι, οὐδ' ὅσα τοιαῦτα τοῖς τότε πράττειν ἐξῆν ἀφόβως, συνεχώρει. 34. παραλαβὼν δὲ ἐξ ἀνημέρου καὶ θηριώδους βίου λογικωτέραν καὶ
c εὔνομον ἐν τοῖς τότε χρόνοις πολιτείαν πρῶτος ἐπὶ γῆς διὰ γραφῆς συνεστήσατο, οὔπω τότε πᾶσιν ἀνθρώποις ἐκφανοῦς ὄντος οὐδὲ τοῦ τοιουδὶ τρόπου. 35. εἶτα δὲ ὡς ἂν ἀτελέσιν ἀπειπὼν τὴν εἰδωλολατρίαν, θυσίαις καί τισι σωματικωτέροις τὸν ἕνα καὶ ἐπὶ πάντων θεὸν θεραπεύειν παρεκέλευε, διά τινων ἀπορρητοτέρων ἰδίᾳ συμβόλων τὴν κατ' αὐτὸν θρησκείαν ἐπιτελεῖν νομοθετήσας, ἣν καὶ θαυμασίως τῷ θείῳ πνεύματι συνιδὼν οὐκ εἰς ἄπειρον δεῖν περιέ-
d πειν, ὑφ' ἕνα τόπον περιέγραψεν, ὁρίσας μὴ ἀλλαχόσε συντελεῖν τὰ κατ' αὐτὸν νόμιμα, ἢ ἐν μόνῳ ἑνὶ τόπῳ, οὗτος δ' ἦν ὁ ἐν Ἱεροσολύμοις, ἔξω δὲ τούτου μηκέτι. 36. ὅθεν εἰς ἔτι καὶ δεῦρο παισὶν Ἑβραίων οὐ θεμιτὸν ἄλλοσε ἐκτὸς τῆς καθῃρημένης αὐτῶν μητροπόλεως οὔτε θύειν κατὰ τὸν νόμον, οὔτε ἱερὸν οὔτε θυσιαστήριον ἐγείρειν, οὔτε χρίειν ἱερέας οὔτε βασιλέας, οὔτε τὰς κατὰ Μωσέα πανηγύρεις καὶ ἑορτὰς ἐκτελεῖν, οὐ μιασμοῦ καθαίρεσθαι, οὐ πλημμελείας ἀπολύεσθαι, οὐ δῶρα τῷ θεῷ προσφέρειν, οὐχ

ἱλεοῦσθαι κατὰ τὰ νενομοθετημένα. διόπερ καὶ τῇ Μωσέως εἰκότως ὑποβέβληνται κατάρᾳ, ἐν μέρει μὲν φυλάττειν τινὰ πειρώμενοι, ἐν δὲ τοῖς ὅλοις παρανομοῦντες, (18) διαρρήδην Μωσέως ἀποφηναμένου "ὅτι δὴ ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμενεῖ ἐν πᾶσι τοῖς ἐγγεγραμμένοις τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά."

38. Τούτοις δὲ πᾶσι περιπεπτώκασιν, αὐτοῦ Μωσέως θείῳ πνεύματι προειληφότος, ὅτι δὴ τῆς διὰ Χριστοῦ καινῆς διαθήκης ἀνανεωθείσης καὶ τοῖς πᾶσιν ἔθνεσι καταγγελθείσης περιττή τις ἔσται ἡ κατ' αὐτὸν νομοθεσία, ἣν εἰκότως ὑφ' ἕνα τόπον περιώρισεν, ἵνα, εἴ ποτε τούτου στερηθεῖεν καὶ ἀποκλεισθεῖεν b τῆς οἰκείας ἐλευθερίας, μηκέτ' αὐτοῖς ἐξὸν εἴη ἐπὶ τῆς ἀλλοδαπῆς τὰ κατ' αὐτὸν νόμιμα συντελεῖν, ὡς καὶ ἐξ ἀνάγκης τὴν δευτέραν διαθήκην τὴν διὰ Χριστοῦ κατηγγελμένην γενέσθαι παραδεκτέον. 39. αὐτὸ δὴ οὖν τοῦτο Μωσέως προηγορευκότος ὁμοῦ τε ὁ Χριστὸς ἐπεδήμει τῷ βίῳ καὶ τῆς καινῆς διαθήκης προεβάλλετο πᾶσι τοῖς ἔθνεσι διδασκαλία, παραχρῆμά τε Ῥωμαῖοι τὴν πόλιν ἑλόντες πολιορκίᾳ καθεῖλον τὰ Ἱεροσόλυμα καὶ τὸν αὐτόθι νεών· λέλυτό τε αὐτίκα πᾶσα ἡ Μωσέως διάταξις, καὶ τὰ τῆς παλαιᾶς c περιῄρητο διαθήκης, τά τε τῆς ἀρᾶς μετῄει τοὺς παρὰ καιρὸν τὰ Μωσέως πράττειν παρανομοῦντας, εἰς αὐτὰ βιαζομένους· ἀντεισήγετο δὲ ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ τῆς νέας καὶ ἐντελοῦς διδασκαλίας τὰ νόμιμα. 40. διόπερ εἰκότως ὁ σωτὴρ καὶ κύριος τοῖς οἰομένοις ἐν μόνῃ τῇ Ἱερουσαλὴμ ἢ ἐν ὄρεσί τισιν ἢ τόποις ἀφωρισμένοις δεῖν τὸν θεὸν προσκυνεῖν φησιν "ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσ-

---

5 Deut. 27, 26. 30 Job. 4, 23.

d κυνηταὶ προσκυνήσουσιν οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε [14] ἐν Ἱερουσαλὴμ τῷ πατρί· πνεῦμα γὰρ ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν."

41. Καὶ ταῦτα φήσαντος, παραχρῆμα καὶ οὐκ εἰς μακρὸν πολιορκηθέντων τῶν Ἱεροσολύμων, τοῦ τ' αὐτόθι ἁγιάσματος καὶ τοῦ πρὸς αὐτῷ θυσιαστηρίου τῆς τε κατὰ Μωσέα λατρείας κατὰ τὴν αὐτοῦ Μωσέως διάταξιν περιῃρημένης, ἀνέφανεν εἰς πάντας ἀνθρώπους καὶ ἐξέλαμψεν ἡ ἀρχέτυπος τῶν πρὸ Μωσέως θεοφιλῶν ἀνδρῶν εὐσέβεια, ἥ τε δι' αὐτῆς πᾶσι τοῖς ἔθνεσιν ἐπηγγελμένη εὐλογία, ἀπὸ τοῦ πρώτου βαθ- (15) μοῦ καὶ ἀπὸ τῆς πρώτης στοιχειώσεως τῆς κατὰ Μωσέα λατρείας ἐπὶ τὸν κρείττονα καὶ τελειότερον προσάγουσα τοὺς προσιόντας αὐτῇ βίον. 42. αὐτίκα γοῦν τῶν μακαρίων ἐκείνων καὶ θεοφιλῶν, τῶν ἀμφὶ τὸν Ἀβραὰμ λέγω, οὐκ ἀφωρισμένως ἔν τινι τόπῳ προσκυνούντων, οὐδὲ διὰ συμβόλων καὶ τύπων, ἀλλ' ᾗ φησιν ὁ σωτὴρ καὶ κύριος ἡμῶν "ἐν πνεύματι καὶ ἀληθείᾳ," ᾗ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας ἅπασι τοῖς ἔθνεσιν ὑπῆρξεν, τῶν πάλαι προφητῶν καὶ τοῦτο τεθεωρηκότων· λέγει δ' οὖν ἄντικρυς b Σοφονίας "ἐπιφανήσεται κύριος ἐπ' αὐτούς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ, ἕκαστος ἐκ τοῦ τόπου αὐτῶν."

43. Ὁ δὲ Μαλαχίας ὁμοῦ πρὸς τοὺς ἐκ περιτομῆς ἀποτείνεται, καὶ περὶ τῶν ἐθνῶν ταῦτα προαναφωνεῖ, φάσκων "οὐκ ἔστι μου θέλημα, λέγει κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν

23 Soph. 2, 11. 29 Mal. 1, 11.

χειρῶν ὑμῶν, διότι ἀπ' ἀνατολῶν καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά."

44. Τὸ γὰρ ἐν παντὶ τόπῳ θυμίαμα καὶ θυσίαν c ἀναφέρεσθαι θεῷ τί ἕτερον παρίστησιν ἢ ὅτι μὴ ἐν Ἱεροσολύμοις, μηδ' ἀφωρισμένως ἐν τῷδε τῷ τόπῳ, ἐν πάσῃ δὲ χώρᾳ καὶ ἐν πᾶσι τοῖς ἔθνεσι μέλλουσι τὸ δι' εὐχῶν θυμίαμα καὶ τὴν οὐ δι' αἱμάτων, ἀλλὰ δι' ἔργων εὐσεβῶν καθαρὰν ὠνομασμένην θυσίαν τῷ ἐπὶ πᾶσιν ἀναφέρειν θεῷ; 45. βοᾷ δὲ διαρρήδην καὶ κέκραγεν ὁ Ἡσαΐας θεσπίζων ἅμα καὶ λέγων "ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, καὶ γνωστὸς ἔσται κύριος τοῖς Αἰγυπτίοις, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτούς, καὶ γνώσονται οἱ d Αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιήσουσιν θυσίας, καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ, καὶ ἀποδώσουσιν, καὶ ἐπιστραφήσονται πρὸς κύριον, καὶ εἰσακούσεται αὐτῶν, καὶ ἰάσεται αὐτούς."

46. Ἆρά σοι δοκοῦμεν ἀληθῆ λέγειν μετάθεσιν τοῦ Μωσέως νόμου, μᾶλλον δὲ παῦλαν καὶ λύσιν φάσκοντες διὰ τῶν προφητικῶν φωνῶν θεσπίζεσθαι; 47. ὁ μέν γε Μωσῆς θυσιαστήριον καὶ θυσίας οὐδ' ἀλλαχόσε γῆς ἢ ἐν μόνῃ τῇ Ἰουδαίᾳ, καὶ ταύτης ἐν μιᾷ πόλει συστήσασθαι νομοθετεῖ· ἡ δὲ προφητεία ἐν χώρᾳ φησὶν Αἰγύπτου τῷ κυρίῳ θυσιαστήριον ἱδρυθήσεσθαι, καὶ τοὺς Αἰγυπτίους αὐτοὺς τῷ κυρίῳ τῶν προφητῶν, ἀλλ' οὐκέτι τοῖς πατρῴοις θεοῖς καλλιερήσειν τὰς θυσίας, καὶ τῆς θεογνωσίας οὐ Μωσέα αἴτιον οὐδ' ἕτερον τῶν προφητῶν αὐτοῖς γενήσεσθαι,

---

12 Ies. 19, 19.

ἀλλά τινα καινὸν καὶ νέον ἄνθρωπον θεόθεν ἀπε-
(20) σταλμένον. 48. μετατιθεμένου δὲ τοῦ θυσιαστηρίου
παρὰ τὰ τῷ Μωσεῖ δοκοῦντα, ἀνάγκη πᾶσα καὶ τοῦ
Μωσέως νόμου μεταβολὴν γενέσθαι. εἶτα δὲ θύον-
τες Αἰγύπτιοι τῷ ἐπὶ πάντων θεῷ πάντως που καὶ
ἱερωσύνης ἀξιωθήσονται. ἱερωμένων δῆτα Αἰγυ-
πτίων τὰ περὶ Λευιτῶν καὶ τῶν ἐκ διαδοχῆς Ἀαρὼν
Μωσεῖ διατεταγμένα οὐκέτ᾽ ἂν γένοιτο τοῖς Αἰγυ-
πτίοις χρήσιμα. 49. ὥρα δὴ οὖν καινῆς νομοθεσίας
δεῖν εἰς τὴν τῶν δηλουμένων σύστασιν. τί δέ; ἆρα
(15) εἰκῇ ταῦτ᾽ ἀναπεφώνηται; ἢ καὶ τέλος ἐπενήνεκται
τοῖς λόγοις; σκέψαι δ᾽ οὖν εἰ μὴ σήμερον, λέγω δὴ
καθ᾽ ἡμᾶς, αὐτοῖς τοῖς ὀφθαλμοῖς ὁρῶνται οὐ μόνον
Αἰγύπτιοι, ἀλλὰ καὶ πᾶν γένος τῶν πρὶν εἰδωλολα-
τρῶν ἀνθρώπων, οὓς ἡ πρόρρησις διὰ τῶν Αἰγυπτίων
ᾐνίττετο, τῆς μὲν πολυθέου καὶ δαιμονικῆς ἀπηλ-
λαγμένον πλάνης, τὸν δὲ τῶν προφητῶν θεὸν ἀνακα-
λούμενον· 50. καὶ εὔχονται δὲ οὐκέτι πλείοσι κυρίοις,
ἑνὶ δὲ τῷ μόνῳ κυρίῳ κατὰ τὸ ἱερὸν λόγιον, καὶ τού-
τῳ θυσιαστήριον ἀναίμων καὶ λογικῶν θυσιῶν κατὰ
τὰ καινὰ μυστήρια τῆς νέας καὶ καινῆς διαθήκης
καθ᾽ ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἀνεγήγερται ἐν
αὐτῇ τε Αἰγύπτῳ καὶ τοῖς λοιποῖς ἔθνεσι τὸν τρό-
πον αἰγυπτιάζουσι κατὰ τὴν δεισιδαίμονα πλάνην.
51. νῦν καθ᾽ ἡμᾶς ἡ τοῦ τῶν ὅλων θεοῦ γνῶσις δια-
λάμπουσα τὴν πίστιν ἀναμφίλεκτον τῶν προθεσπι-
σθέντων ἐπισφραγίζεται. ταῦτα δὲ ἔργοις ἐπιτελού-
μενα ὁρῶν, ἀλλ᾽ οὐκέτ᾽ ἀκοῇ προσδοκώμενα, τὸν
καιρὸν, ὁπόθεν τὴν ἀρχὴν τῶν πραγμάτων εἴληχεν,
οὐδ᾽ ἄλλον ἀναζητήσας εὑρήσεις ἢ τὸν τῆς σωτηρίου
ἐπιφανείας. 52. αὐτὸς ἄρα οὗτος ἦν ἐκεῖνος, ὃν ὁ
χρησμὸς ἐδήλου, φήσας ἀποστελεῖν τὸν τῶν ὅλων

θεὸν καὶ κύριον τοῖς Αἰγυπτίοις ἄνθρωπον, ὃς σώσει αὐτούς, ὃν καὶ τὰ Μωσέως ἐδήλου λόγια δι' ὧν ἔφησεν "ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν." ἐν οἷς ἔθνεσι καὶ Αἰγύπτιοι δήπουθεν καταριθμοῖντ' ἄν. 53. ἀλλὰ περὶ μὲν τούτων μακρὸς ἂν εἴη λόγος, ἐπ' οἰκείας σχολῆς ἐντελέστερον ἀποδοθησόμενος· τό γε μὴν παρὸν ἐπιτετηρήσθω ὅτι τὰ προηγούμενα οὐδ' ἄλλοτε ἢ μετὰ τὴν ἐπιφάνειαν Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν ἐπληροῦτο. 54. ἐξ ἐκείνου γάρ τοι καὶ εἰς δεῦρο παρὰ τοῖς Αἰγυπτίοις καὶ παρὰ Πέρσαις Σύροις τε καὶ Ἀρμενίοις, καὶ παρὰ τοῖς τὰς ἐσχατιὰς τῆς γῆς οἰκοῦσι βαρβάροις, αὐτοῖς τε τοῖς τὸ πρὶν ἀνημερω- (21) τάτοις καὶ θηριωδεστάτοις ἔθνεσι, ναὶ μὴν καὶ παρὰ τοῖς τὰς νήσους οἰκοῦσιν, (ὅτι δὴ καὶ τούτων ἠξίωσε μνήμην ἡ προφητεία ποιήσασθαι,) αὐτὴ ἐκείνη ἡ κατὰ τὸν Ἀβραὰμ πολιτεία καὶ ὁ παλαίτατος καὶ πάντων ἀρχαιότατος τῆς θεοσεβείας τρόπος σπουδάζεται. 55. καὶ τίς οὐκ ἂν ἐκπλαγείη τὸ παράδοξον τοῦ πράγματος, εἰ δὴ οἱ ἐξ αἰῶνος λίθοις καὶ ξύλοις καὶ δαίμοσι, θηρίοις τε ἀνθρωποβόροις, καὶ ἑρπετοῖς ἰοβόλοις, ζώοις τε παντοίοις, καὶ εἰδεχθέσι κνωδάλοις, πυρί τε καὶ γῇ, καὶ τοῖς τοῦ παντὸς ἀψύχοις στοιχείοις τὴν σεβάσμιον τιμὴν περιτιθέντες, τὸν ὕψιστον b θεόν, τὸν οὐρανοῦ καὶ γῆς δημιουργόν, αὐτὸν δὴ τὸν τῶν προφητῶν κύριον, τὸν θεὸν Ἀβραὰμ καὶ τῶν τούτου προπατόρων, μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν ἀνακαλοῦνται; 56. καὶ οἱ μικρῷ πρόσθεν μητρογαμίαις καὶ θυγατρομιξίαις, ἀλληλοφθορίαις τε καὶ παντοίαις μιαιφονίαις ἐγκαλινδούμενοι, οἱ μηδέν τι ἀνημέρων θηρίων τὸν τρόπον διαφέροντες,

3 Num. 24, 7.

νυνὶ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνθέου δυνάμεως
c μεταβληθέντες καὶ ὥσπερ ἐξ ἑτέρων ἕτεροι γεγονότες,
λόγους ἀρετῆς καὶ σωφροσύνης παιδεύματα συνιόντες
εἰς τὰ κοινὰ δισασκαλεῖα, μανθάνουσιν; ὡς τὴν ἀνωτάτω φιλοσοφίαν, τὴν μηδ' ἐμβλέπειν ἀκολάστοις
ὀφθαλμοῖς, μηδὲ μέχρι λόγων ἀδιαφορεῖν, μηδὲ τὰ
κοινὰ καὶ τοῖς πᾶσι συνήθη διαπράττεσθαι παραινοῦσαν οὐ μόνον ἄνδρας, ἀλλὰ καὶ γυναῖκας, πένητάς τε καὶ πλουσίους, λογίους τε καὶ ἰδιώτας, μέχρι
καὶ παίδων καὶ ἀνδραπόδων, ἐν ταῖς κατὰ πόλιν καὶ
κατ' ἀγροὺς διατριβαῖς παιδεύεσθαι, μανθάνειν τε
d ἀληθῆ τρόπον, καθ' ὃν τὸν ἐπὶ πάντων προσήκει
θεὸν σέβειν καὶ θεραπεύειν ἐν παντὶ τόπῳ, κατὰ
[16] τὴν φήσασαν προφητείαν "καὶ προσκυνήσουσιν αὐτῷ
ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ."

57. Προσκυνεῖ δῆτα οὖν πᾶς τῷ ἐπὶ πάντων θεῷ βάρβαρος καὶ Ἕλλην, οὐ τρέχων ἐπὶ τὰ Ἱεροσόλυμα, οὐδ' αἵμασι καὶ θυσίαις ἀφοσιούμενος, οἴκοθεν δὲ καὶ ἐφ' ἑαυτῷ μένων, καὶ πνεύματι καὶ ἀληθείᾳ τὴν ἄναιμον καὶ καθαρὰν ἀποδιδοὺς αὐτῷ λατρείαν. 58. καὶ αὕτη γε ἦν ἡ καινὴ διαθήκη, οὐ κατὰ τὴν παλαιὰν τυγχάνουσα· παλαιὰν δὲ μή τοι νομίσῃς λέγεσθαι τὴν τῶν πρὸ Μωσέως θεοφιλῶν ἀνδρῶν, ἀλλὰ τὴν ὑπὸ Μωσέως αὐτοῦ τῷ Ἰουδαίων ἔθνει νενομοθετημένην. 59. ἐπιφέρει γοῦν ὁ λόγος διασαφῶν
[22] τίνα ἔφησεν εἶναι τὴν παλαιάν, ἣ μηδὲν ὅμοιον σχήσειν διδάσκει τὴν καινὴν λέγων "διαθήσομαι διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου."

60. Οὐ κατὰ ταύτην γοῦν φησιν τὴν ὑπὸ Μωσέως

---

14 Soph. 2, 11. 27 Jer. 31, 31.

νενομοθετημένην· αὕτη γὰρ ἦν κατὰ τὴν ἔξοδον τὴν
ἀπ' Αἰγύπτου τοῖς Ἰουδαίοις παραδοθεῖσα. ἔδοξεν
ἂν οὖν ἐναντίαν εἰσάγειν τὴν καινὴν διαθήκην τοῦ
τρόπου τῆς θεοσεβείας τῶν ἀμφὶ τὸν Ἀβραὰμ θεο-
φιλῶν, εἰ μὴ ἀκριβῶς ἐπεσημήνατο φήσας "οὐ κατὰ b
τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν κατ'
ἐκεῖνο καιροῦ, καθ' ὃν ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰ-
γύπτου."

61. *Οὐ κατὰ τὴν ὑπὸ Μωσέως ἄρα ἐπὶ τῆς ἐξό-
δου καὶ ἐπὶ τῆς κατὰ τὴν ἔρημον διατριβῆς νενομο-
θετημένην ἔσεσθαι τὴν καινὴν ἐθέσπιζεν, ἀλλὰ κατ'
ἐκείνην δηλαδὴ τὴν πρόπαλαι πολιτευσαμένην, δι'
ἧς κατορθώσαντες ἀνεφάνησαν οἱ πρὸ Μωσέως.
62. δι' ἃ δὴ λοιπὸν ἤδη θαρρῶν τὰς τῶν θεοσεβεῖν
ἐπαγγελλομένων προαιρέσεις μὴ ἐπὶ δύο, ἀλλὰ τρία c
διαιροῦ τάγματα, τό τε τῶν παντελῶς εἰδωλολατρῶν,
τῶν δὴ ἐπὶ τὴν πολύθεον πλάνην ἀποπεπτωκότων,
καὶ τὸ τῶν ἐκ περιτομῆς διὰ Μωσέως ἐπὶ τὸν πρῶ-
τον ἀνεληλυθότων τῆς εὐσεβείας βαθμὸν, καὶ τρίτον
τὸ τῶν ἐπαναβεβηκότων διὰ τῆς εὐαγγελικῆς διδα-
σκαλίας, ὃ καὶ τῶν δυεῖν μέσον παρεμβαλὼν μηκέθ'
ἡγοῦ τοὺς ἀπὸ Ἰουδαίων ἀφισταμένους πάντως δεῖν
ἐφ' Ἑλληνισμὸν ἐκπίπτειν, μηδὲ τοὺς ἐξ Ἑλλήνων
ἀναχωροῦντας ἐξ ἀνάγκης χρῆναι Ἰουδαίους ἔσεσθαι,
τὸν δὲ μέσον ἑλὼν τὸν τρίτον εὑρήσεις ἄνω που
ἑστῶτα, καὶ ὥσπερ ἐφ' ὑψηλοτάτης ἀκρωρείας ἀνα- d
βεβηκότα, ἑκατέρωθεν δὲ κάτω τοὺς λοιποὺς ἀπολε-
λοιπότα. 63. Ἑλλήνων μὲν γὰρ ἐκπέφευγε τὴν ἄθεον
καὶ πολυπλανῆ δεισιδαιμονίαν καὶ τὰς ἀνειμένας πορ-
νείας τε καὶ ἀκοσμίας, Ἰουδαίων δὲ ὡσαύτως τὴν ὑπὸ
Μωσέως ἀτελῆ καὶ οἷα νηπίοις καὶ ἀσθενέσι κατάλ-
ληλον ἐθελοθρησκείαν. τὸν οἰκεῖον δὲ ἄνωθεν οὐ

μόνον Ἰουδαίοις, ἀλλὰ καὶ Ἕλλησι καὶ βαρβάροις καὶ τοῖς ὑφ᾽ ἡλίῳ πᾶσιν ἔθνεσιν ἐπιβοώμενος νόμον, ὅρα (23) τί φησίν· 64. ὦ ἄνθρωπε, καὶ σύμπαν τὸ θνητῶν γένος, ὁ μὲν δὴ Μωσέως νόμος ἀφ᾽ ἑνὸς γένους ἀνθρώπων ἀρξάμενος πρῶτον ἁπάντων τὸ Ἰουδαίων γένος, τῆς πρὸς τοὺς θεοφιλεῖς προπάτορας αὐτῶν ἐπαγγελίας ἕνεκεν, ἐπὶ τὴν τοῦ ἑνὸς θεοῦ γνῶσιν ἀνεκαλεῖτο, τῆς πικρᾶς τῶν δαιμόνων δουλείας τοὺς ὑπακούοντας ἀπαλλάττων· ἐγὼ δὲ πᾶσιν ἀνθρώποις καὶ τοῖς καθ᾽ ὅλης τῆς οἰκουμένης ἔθνεσι τὴν ἐπαναβεβηκυῖαν τοῦ θεοῦ γνῶσιν καὶ εὐσέβειαν προαγγέλλων, κατὰ τοὺς b ἀμφὶ τὸν Ἀβραὰμ καὶ τοὺς ἔτι παλαιτέρους πρὸ Μωσέως χρόνων βιοῦν παραινῶ, ἐν οἷς ἐξ ἀλλοδαπῶν ἐθνῶν πλείους ἐπ᾽ εὐσεβείᾳ μνημονεύονται διαλάμψαντες. 65. καὶ πάλιν· ὁ μὲν Μωσέως νόμος ἐφ᾽ ἕνα τινὰ τῆς γῆς ἀφωρισμένον τόπον τοὺς εὐσεβεῖν προῃρημένους σπεύδειν πανταχόθεν παρεκελεύετο, [17] ἐγὼ δὲ τοῖς πᾶσιν ἀνεὶς τὴν ἐλευθερίαν, οὐκ ἐν γωνίᾳ γῆς, οὐδ᾽ ἐν ὄρεσιν, ἢ τισι χειροποιήτοις ναοῖς ζητεῖν τὸν ἐπὶ πάντων θεόν, οἴκοθεν δὲ ἕκαστον σέβειν αὐτὸν καὶ προσκυνεῖν παιδεύω. 66. καὶ πάλιν· c ὁ μὲν παλαιὸς νόμος θυσίαις ταῖς διὰ ζῴων σφαγαῖς λιβανωτοῦ τε καὶ πυρὸς καί τινων ἄλλων ὁμοιοτρόπων τοῦ σώματος καθαρμῶν θρησκεύειν τὸν ἐπὶ πάντων θεὸν παρεκελεύετο, ἐγὼ δὲ τὰ ψυχῆς παραδιδοὺς ὄργια διανοίᾳ καθαρωτάτῃ καὶ νῷ διαυγεῖ, ἐν σωφροσύνῃ καὶ τῷ κατ᾽ ἀρετὴν βίῳ, δόγμασί τε ὀρθοῖς καὶ εὐσεβέσι τὸ θεῖον γεραίρειν προστάττω. 67. καὶ πάλιν· Μωσῆς μὲν ὡς ἂν μιαιφόνοις οὖσι τοῖς τότε μὴ φονεύειν παρῄνει, ἐγὼ δὲ τοῖς ἐν τούτῳ προπαιδαγωγηθεῖσι d καὶ τὴν πρώτην ἐντολὴν κατωρθωκόσι νομοθετῶ τὴν τελειοτέραν, μηδ᾽ ὀργῆς ἐνέχεσθαι

πάθει προστάττων. καὶ αὖθις· ὁ μὲν Μωσῆς μοιχοῖς καὶ ἀκολάστοις διετάττετο τὸ μὴ μοιχεύειν, μηδὲ ἀρσενοκοιτεῖν, μηδὲ τὰς παρὰ φύσιν ἡδονὰς διώκειν, θάνατον τὴν τιμωρίαν τοῖς παραβαίνουσιν ἐπάγων, ἐγὼ δὲ μηδ' ἐμβλέπειν γυναῖκα μετ' ἐπιθυμίας ἀκολάστου τοὺς ἐμοὺς βούλομαι. 68. καὶ πάλιν· ὁ μὲν ἔλεγεν "οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ θεῷ τοὺς ὅρκους σου· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως, ἀλλ' ἔσται ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν." καὶ πάλιν· ὁ μὲν τοὺς ἀδικοῦντας ἀμύνασθαι καὶ ἀνταδικεῖν παρεκελεύετο λέγων, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος, ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ (24) πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα σου, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. 71. καὶ πάλιν· ὁ μὲν παρῄνει τὸν μὲν φίλον ἀγαπᾶν, μισεῖν δὲ τοὺς ἐχθρούς, ἐγὼ δὲ καθ' ὑπερβολὴν φιλανθρωπίας καὶ ἀνεξικακίας ἀγαπᾶν τοὺς ἐχθροὺς ὑμῶν νομοθετῶ, καὶ προσεύχεσθαι ὑπὲρ τῶν διωκόντων, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅστις τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. 72. καὶ ἐπὶ τούτοις ὁ μὲν πρὸς b τὴν τῶν πολλῶν σκληρίαν ἡρμόζετο καὶ τοῖς ἐμπαθέσι κατάλληλα διετάττετο, ἐξηλλαγμένον καὶ ὑποβεβηκότα παρὰ τὸν παλαιὸν τρόπον παραδιδοὺς εὐσεβείας· ἐγὼ δὲ ἐπὶ τὸν τῶν πρόπαλαι θεοφιλῶν ἀνδρῶν εὐσεβῆ καὶ θεοφιλῆ βίον ἀνακαλοῦμαι τοὺς πάντας. 73. καὶ ἐφ' ἅπασιν ὁ μὲν γῆν ῥέουσαν γάλα

---

7 Matth. 5, 33.

καὶ μέλι οἷα νηπίοις ἐπηγγέλλετο· ἐγὼ δὲ βασιλείαν οὐρανῶν τοῖς οἵοις τε χωρεῖν προξενῶ.

74. Ταῦτα καὶ τὰ τοιαῦτα ὁ τῆς καινῆς διαθήκης λόγος διὰ τῆς Χριστοῦ διδασκαλίας πᾶσι κατήγγειλε τοῖς ἔθνεσιν. καὶ ταῦτα ἦν ἃ τοῖς αὐτοῦ μαθηταῖς c ὁ Χριστὸς τοῦ θεοῦ πᾶσιν τοῖς ἔθνεσι καταγγέλλειν παρῄνει, φήσας "πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν." 75. ἃ καὶ πᾶσιν ἀνθρώποις Ἕλλησί τε καὶ βαρβάροις φυλάττειν παραδιδοὺς σαφῶς τί ποτέ ἐστιν ὁ Χριστιανισμὸς ἐξέφηνεν, τίνες θ' ἡμεῖς καὶ ὁποῖος ὁ τῶν τοιῶνδε λόγων τε καὶ μαθημάτων διδάσκαλος, αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ, ὁ τὴν καινὴν ταύτην καὶ πανάρετον πολιτείαν καθ' ὅλου τοῦ κόσμου συστησάμενος, ὥστε τοιαῦτα μανθάνειν καὶ φιλοσοφεῖν μὴ μόνον ἄνδρας, ἀλλὰ καὶ γυναῖκας, πλουσίους τε καὶ πένητας καὶ δούλους ἅμα δεσπόταις. 76. καὶ μὴν ὁ τῆς καινῆς ταύτης νομοθεσίας εἰσαγωγεὺς τὰ πάντα κατὰ τὸν Μωσέως νόμον εἰσῆκται πεπολιτευμένος· ὃ καὶ αὐτὸ θαυμάζειν ἄξιον, ὅτι δὴ νέας πολιτείας νομο- [18] θέτης μέλλων καταστήσεσθαι, τῆς κατὰ τὸ εὐαγγέλιον αὐτοῦ καινῆς διαθήκης, οὐχ ὡς ἐχθρὰ καὶ ἐναντία τὰ Μωσέως παρῃτήσατο· ἦ γὰρ ἂν ἐνομίσθη τὰ πολέμια Μωσεῖ διατάττεσθαι, οὕτω τε ἂν καὶ πα- (25) ρέσχεν τῆς κατὰ Μωσέως καὶ τῶν προφητῶν τοῖς ἀθέοις αἱρεσιώταις πλείστης δυσφημίας ὑπόθεσιν, τοῖς τε ἐκ περιτομῆς εὔλογον τῆς κατ' αὐτοῦ συσκευῆς αἰτίαν, οἳ δὴ ὡς παραβάτῃ καὶ ἀποστάτῃ τοῦ νόμου τὴν πρὸς θάνατον ἐπιβουλὴν αὐτῷ συνεσκευάσαντο.

---

7 Matth. 28, 19.

VII. Νυνὶ δὲ πάντα κατὰ τὸν Μωσέως νόμον b
πεπολιτευμένος τοῖς ἀποστόλοις αὐτοῦ κέχρηται δια-
κόνοις τῆς καινῆς αὐτοῦ νομοθεσίας, ὁμοῦ μὲν καὶ
τὰ Μωσέως οὐκ ἀλλότρια οὐδ᾽ ἐχθρὰ τῆς οἰκείας θεο-
σεβείας ἡγεῖσθαι δεῖν διδάξας, ὁμοῦ δὲ καὶ αὐθέν-
της καὶ εἰσηγητὴς νέας καὶ σωτηρίου πᾶσιν ἀνθρώ-
ποις καταστὰς νομοθεσίας, ὡς μηδαμῶς εἰς τὰ Μωσεῖ
δοκοῦντα παρανομῆσαι αὐτὸν, τέλος δ᾽ ἐκείνοις ἐπι-
θεῖναι πρότερον, καὶ πληρωτὴν αὐτῶν γενέσθαι, καὶ c
οὕτως περὶ τὴν αὐθεντίαν τοῦ κατὰ τὸ εὐαγγέλιον
νόμου παρεληλυθέναι. καὶ τοῦτον ἀκουστέον αὐτοῦ
λέγοντος τὸν τρόπον "οὐκ ἦλθον καταλῦσαι τὸν νό-
μον, ἀλλὰ πληρῶσαι."

2. Εἰ μὲν γὰρ παραβάτης τοῦ Μωσέως νόμου
κατέστη, κἂν εὐλόγως ἐνομίσθη λύειν αὐτὸν καὶ πα-
ρανομεῖν· φαῦλος δέ τις καὶ παράνομος πεφυκὼς
οὐκ ἂν ἐπιστεύθη αὐτὸς εἶναι ὁ Χριστός. λύων δὲ
τὰ Μωσέως πῶς ἂν ἐνομίσθη αὐτὸς ὑπάρχειν ὁ ὑπὸ
Μωσέως καὶ τῶν προφητῶν κατηγγελμένος; πῶς δ᾽ d
ἂν ἔσχεν τὸ ἀξιόπιστον καινῆς νομοθεσίας; ἔδοξε γὰρ
ἂν εἰκότως τῆς παρανομίας χάριν ἐπὶ τὴν καινοτο-
μίαν ἐληλυθέναι, φεύγων τὴν ἐπὶ ταῖς παρανομίαις
τιμωρίαν. 3. νῦν δὲ μηδὲν μηδαμῶς τῶν ἐν τῷ νόμῳ
λύσας, πληρωτὴς δ᾽ αὐτῶν γενόμενος, καὶ τέλειος,
ὡς ἂν τις εἴποι, κατὰ Μωσέα, ἐπεὶ μηκέτι τοῖς λοι-
ποῖς ἔθνεσι δυνατὸν ἦν ἐφαρμόζειν τὰ παρὰ Μωσεῖ
νόμιμα διὰ τὰς προδηλωθείσας αἰτίας, (χρῆν δὲ δή-
που φιλανθρωπίᾳ τοῦ παναγάθου τῶν ὅλων θεοῦ
πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀλη-
θείας ἐλθεῖν,) τὰ κατάλληλα καὶ ἁρμόδια τοῖς πᾶσιν

12 Matth. 5, 17. 29 1. Tim. 2, 4.

ἐνομοθέτησεν· οὐκ ἂν φθονήσας καὶ τὰ Μωσέως διὰ
(26) τῶν ἀποστόλων αὐτοῦ πᾶσιν ἀνθρώποις καταγγεῖλαι,
εἰ μὴ τὸ ἀδύνατον ἐμποδὼν ἦν, ὡς διδάσκει λέγων ὁ
ἀπόστολος "τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθέ-
νει, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι
σαρκὸς ἁμαρτίας" καὶ τὰ ἑξῆς· 4. ἀδύνατον δὲ πᾶσι
δή που τοῖς ἔθνεσιν ὑπάρχειν τρὶς τοῦ ἔτους ἀπαν-
τᾶν εἰς Ἱεροσόλυμα κατὰ τὸν Μωσέως νόμον, καὶ
ἀπὸ τῶν περάτων τῆς οἰκουμένης τὴν ἀπὸ λέχους γυ-
ναῖκα σπεύδειν, αὐτόθι τὰ καθάρσια ἀποθησομένην,
καὶ ἄλλα μυρία, ἃ καὶ ἑαυτῷ τις ἐπὶ σχολῆς ἀναλέ-
ξαιτο ἄν. 5. ἐπειδὴ τοίνυν ταῦτα οὐδὲ βουλομένοις
b δυνατὰ ἦν τοῖς ἀπῳκισμένοις τῆς Ἰουδαίας ἔθνεσι
φυλάττειν, εἰκότως μηδὲν τούτων δι' ἑαυτοῦ λύσας
ὁ σωτὴρ καὶ κύριος ἡμῶν, πληρωτὴς δὲ γενόμενος
τῶν ἐν τῷ νόμῳ, καὶ πίστιν παρασχὼν τοῖς ὁρῶσιν,
ὡς ἄρα αὐτός ἐστιν ὁ Χριστὸς τοῦ θεοῦ, ὁ πρὸς τῶν
παρὰ Ἰουδαίοις πάλαι γενομένων προφητῶν μεμαρ-
τυρημένος, μετὰ ταῦτα πᾶσι τοῖς ἔθνεσι τὰ ἁρμόδια
παραγγέλματα διὰ τῶν οἰκείων μαθητῶν προβέβλη-
ται. 6. ἔνθεν καὶ ἡμεῖς τὸ μὲν ἰουδαΐζειν παρῃτή-
μεθα, ὡς ἡμῖν μὴ νενομοθετημένον μηδὲ ἐφαρμόζειν
c τοῖς ἔθνεσι δυνάμενον, τὰς δὲ παρὰ Ἰουδαίοις προ-
φητείας ἄσμενοι κατεδεξάμεθα, ὡς ἂν τὰς περὶ ἡμῶν
[19] περιεχούσας προρρήσεις. ὁ δέ γε σωτὴρ καὶ διδά-
σκαλος ἡμῶν καὶ ἄλλως πληρωτὴς ὑπάρχει τοῦ Μω-
σέως νόμου καὶ τῶν μετ' αὐτὸν προφητῶν. 7. ἐπειδὴ
γὰρ τοῖς τεθεσπισμένοις τὰ τῶν συμπερασμάτων ἔλι-
πεν τά τε τῶν λόγων ἀποτελέσματα, χρῆν δή που καὶ
τούτων αὐτῶν πληρωτὴν αὐτὸν γενέσθαι. οἷον, ὡς

---

4 Rom. 8, 3.

ἐπὶ παραδείγματος, ἡ μὲν παρὰ Μωσεῖ φησι προφητεία "προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν εἴπῃ ὑμῖν ὁ προφήτης ἐκεῖνος." d

8. Τοῦτο δὴ τὸ λεῖπον ἀπεπλήρου δεύτερος μετὰ Μωσέα νομοθέτης ἀναφανεὶς ἀνθρώπων τῆς ἀληθοῦς εὐσεβείας τοῦ τῶν ὅλων θεοῦ. τὸ γὰρ μὴ ἁπλῶς φάσκειν Μωσέα προφήτην ἀναστήσεσθαι, ἀλλὰ μετὰ προσθήκης τῆς ὡς αὐτὸν "προφήτην γὰρ ὑμῖν ἀναστήσει, φησὶν, κύριος ὁ θεὸς ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε," τί ἕτερον ἐδήλου ἢ ὅτι αὐτῷ Μωσεῖ παρισωμένος τις ἔμελλεν ὁ θεσπιζόμενος; 9. Μωσῆς δὲ νομοθέτης εὐσεβείας ἦν τοῦ ἐπὶ πάντων θεοῦ. οὐκοῦν καὶ τὸν προφητευόμενον, ὅσπερ ἔμελλεν ὅμοιος γενήσεσθαι Μωσεῖ, νομοθέτην ἐκείνῳ παραπλήσιον φῆναι εἰκὸς ἦν. 10. μυρίων γοῦν μετὰ ταῦτα προφητῶν μετὰ Μωσέα γεγονότων, οὐδεὶς ὅμοιος Μωσεῖ μεμαρτύρηται· πάντες γὰρ εἰς ἐκεῖνον ἀνέπεμπον (27) τοὺς ἀκροωμένους. μαρτυρεῖ δ' οὖν ἡ γραφὴ ὅτι οὐκ ἐγήγερται προφήτης ὅμοιος Μωσέως· οὔτε οὖν Ἱερεμίας οὔτε Ἡσαΐας οὔτε τις ἕτερος τῶν προφητῶν ὅμοιος αὐτῷ ἂν εἴη, ἐπειδὴ μηδὲ εἷς τούτων νομοθέτης ἀναδέδεικται. 11. προσδοκωμένου τοίνυν τοῦ κατὰ Μωσέα μέλλοντος ἀναστήσεσθαι προφήτου τε καὶ νομοθέτου παρῆν οὗτος Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ, νομοθετῶν πᾶσι τοῖς ἔθνεσι καὶ τὰ ὑπὲρ νόμον διαπραττόμενος. 12. τὸ γὰρ "ἐλέχθη τοῖς ἀρχαίοις, b οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ἐπιθυμεῖν." καὶ τὸ "ἐλέχθη τοῖς ἀρχαίοις οὐ φονεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ὀργίζεσθαι." καὶ τὸ "μηκέτι ἐν

---

2 Deut. 18, 15 et Act. 7, 37. 27 Matth. 5, 27.

Ἱεροσολύμοις, ἀλλ' ἐν παντὶ τόπῳ προσκυνεῖν." καὶ
τὸ "μὴ λιβανωτῷ καὶ θυσίαις, ἐν πνεύματι δὲ καὶ
ἀληθείᾳ θρησκεύειν·" καὶ ὅσα τοιαῦτα ἐν τῇ αὐτοῦ
φέρεται διδασκαλίᾳ, πανσόφου ἦν ἄντικρυς καὶ τε-
λειοτάτου νομοθέτου. 13. διὸ καὶ οἱ ἀκροώμενοι ἐξε-
πλήττοντο, φησὶν ἡ θεία γραφὴ, ὅτι ἐδίδασκεν αὐ-
c τοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς
αὐτῶν καὶ οἱ Φαρισαῖοι. καὶ τοῦτο τοίνυν τὸ λεῖπον
τῇ Μωσέως προφητείᾳ λόγιον ἀπεπλήρου, ὡσαύτως
δὲ καὶ τὰ λοιπὰ τῶν προφητειῶν τῶν περὶ αὐτοῦ καὶ
περὶ τῆς τῶν ἐθνῶν κλήσεως θεσπίσματα. 14. γέγονε
τοίνυν πληρωτὴς τοῦ νόμου καὶ τῶν προφητῶν, τὰς
περὶ ἑαυτοῦ προρρήσεις εἰς πέρας ἀγαγών· καὶ μέχρι
μὲν αὐτοῦ στήσας τὸν πρότερον νόμον, ἀρχηγὸς δὲ
ἀναφανεὶς δευτέρου τοῦ τοῖς πᾶσιν ἔθνεσι κατηγγελ-
μένου τῆς καινῆς διαθήκης νόμου, ὡς ὁμοῦ νόμου
καὶ ἀρχῆς αἴτιον καταστῆναι τῶν δυεῖν ὑποθέσεων,
d Ἰουδαϊσμοῦ λέγω καὶ Χριστιανισμοῦ. ὃ καὶ αὐτὸ
θαυμάζειν ἄξιον, τὴν θείαν πρόρρησιν ὧδέ πως ἀνα-
φωνοῦσαν "ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον ἐκλεκτὸν,
ἀκρογωνιαῖον, ἔντιμον· καὶ ὁ πιστεύων εἰς αὐτὸν οὐ
καταισχυνθήσεται."

15. Τίς δ' ἂν εἴη ἀκρογωνιαῖος ἢ οὗτος ὁ ζῶν
καὶ πολυτίμητος λίθος μίαν ἐκ δυεῖν οἰκοδομῶν ὑπο-
στησάμενος διὰ τῆς αὐτοῦ διδασκαλίας; τὴν γὰρ
Μωσέως μέχρις αὐτοῦ παραταθεῖσαν στήσας, ἐκ θα-
τέρου μέρους τὴν ἡμετέραν ἐπισυνῆψεν τὴν κατὰ τὸ
εὐαγγέλιον οἰκοδομήν. 16. ὅθεν εἰκότως ἀκρογωνι-
αῖος ὠνόμασται. καὶ ἐν ψαλμοῖς δὲ εἴρηται "λίθον
ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη

20 Es. 28, 16. 29 Ps. 118, 22.

εἰς κεφαλὴν γωνίας. παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν."

17. Ἔνθα σαφῶς τὸ λόγιον καὶ τὴν ἐκ τοῦ Ἰου- (28) δαίων ἔθνους ἐπιβουλήν, ἣν πέπονθεν ὁ θεσπιζό- [20] μενος, διεσάφησεν, ἀποδοκιμασθῆναι μὲν αὐτὸν πρὸς τῶν τὸν παλαιὸν τοῖχον οἰκοδομούντων, γραμματέων τινῶν καὶ Φαρισαίων ἀρχιερέων τε καὶ πάντων τῶν παρὰ Ἰουδαίοις ἀρχόντων, φῆναν· πλὴν ἀλλὰ μετὰ τὴν ἐξ ἐκείνων ἀτιμίαν καὶ ἀποβολὴν θεσπίσαν αὐτὸν γενήσεσθαι εἰς κεφαλὴν γωνίας, ἀρχηγὸν καταστάντα τῆς καινῆς διαθήκης ἀκολούθως ταῖς ἀποδοθείσαις θεωρίαις. 18. οὐκοῦν ἀποστάντες ἡμεῖς b Ἑλληνισμοῦ οὐκ ἐπὶ Ἰουδαϊσμὸν καταπεπτώκαμεν οὐδέ, ἀποδεχόμενοι τὸν Μωσέως νόμον καὶ τοὺς Ἑβραίων προφήτας, μὴ βιοῦντες δὲ Ἰουδαϊκῶς, ἀλλὰ κατὰ τὴν πρὸ Μωσέως τῶν θεοφιλῶν ἀνδρῶν πολιτείαν, πταίοιμεν ἄν. 19. κἂν τούτῳ γὰρ Μωσέα καὶ τοὺς μετ' αὐτὸν προφήτας ἀληθεύοντας ἀποδείκνυμεν, τὸν ὑπ' αὐτῶν προκεκηρυγμένον Χριστὸν ἀποδεχόμενοι, καὶ τούτου τοῖς νόμοις πειθόμενοι, κατ' ἴχνος τε τῆς αὐτοῦ διδασκαλίας βαίνειν δι' εὐχῆς τιθέμενοι, αὐτῷ Μωσεῖ κἂν τούτῳ τὰ φίλα ποιοῦντες· 20. ὃς προειπὼν ὅτι προφήτην ἀναστήσει κύριος ὁ θεὸς c ὅμοιον αὐτῷ ἐπιλέγει "πᾶσα δὲ ψυχὴ ἥτις μὴ ἀκούσεται τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται ἐκ τοῦ γένους αὐτῆς." αὐτίκα Ἰουδαῖοι μὴ παραδεξάμενοι τὸν προφήτην, μηδ' ἐπακούσαντες αὐτοῦ τοῖς ἁγίοις λόγοις, ἔσχατον ὑπέμειναν ὄλεθρον, ἀκόλουθα τῇ προρρήσει πεπονθότες. 21. οὔτε γὰρ τὸν Χριστοῦ νόμον τὸν τῆς καινῆς διαθήκης κατεδέξαντο, οὔτε τὰ Μωσέως παραγγέλματα δίχα παρανομίας οἷοί τ' ἂν εἶεν φυλάσσειν· διὸ καὶ τῇ Μωσέως ὑποβέβληνται

d κατάρᾳ, τῷ μηδὲ δυνατὸν αὐτοῖς εἶναι τὰ παρὰ Μωσεῖ νενομοθετημένα συντελεῖν, περιῃρημένης αὐτῶν τῆς μητροπόλεως, καὶ ἀποκεκλεισμένης τῆς μόνου αὐτόθι συγκεχωρημένης ἐπιτελεῖσθαι Μωσαϊκῆς θρησκείας. 22. ἡμεῖς δὲ τὸν ὑπὸ Μωσέως καὶ τῶν λοιπῶν προφητῶν κατηγγελμένον ἀποδεξάμενοι καὶ τούτῳ πείθεσθαι δι' εὐχῆς ποιούμενοι πληρωταὶ ἂν εἴημεν τῆς Μωσέως παραγγελίας, δι' ἧς ἔφησεν "αὐτοῦ ἀκούσεσθε. πᾶσα δὲ ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται ἐκ τοῦ γένους αὐτῆς." 23. τίνα δὲ διετάξατο ὁ προφήτης, ὧν ἐπακούειν χρεὼν, μικρῷ πρόσθεν ἀκηκόαμεν τὰ πάνσοφα καὶ ἐντελῆ καὶ οὐράνια παραγγέλματα· ἃ δὴ οὐκ ἐν πλαξὶ λιθίναις Μωσεῖ παραπλησίως, οὐδέ γε μέλανι καὶ χάρταις ἠξίωσε παραθέσθαι, ψυχαῖς
(29) δὲ κεκαθαρμέναις καὶ νοερὰν οὐσίαν κεκτημέναις τῶν αὐτοῦ φοιτητῶν· ἐν αἷς ἐγγράψας τοὺς τῆς καινῆς διαθήκης νόμους ἔργοις ἀπεπλήρου τὴν φήσασαν διὰ Ἱερεμίου προφητείαν "διαθήσομαι διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν. ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ, διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὴν καρδίαν αὐτῶν γράψω αὐτοὺς, καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μου λαός."

b VIII. Ἀλλ' ὁ μὲν ἐν πλαξὶν ἀψύχοις, ὁ δ' ἐν διανοίαις ζώσαις τὰ τέλεια τῆς καινῆς διαθήκης παραγγέλματα ἐνέγραψεν· οἱ δέ γε αὐτοῦ μαθηταὶ τῷ τοῦ διδασκάλου νεύματι κατάλληλον ταῖς τῶν πολ-

---

9 Deut. 18, 15. 18. 19. Act. 3, 22. 23. 14 2. Cor. 3, 3. 19 Jer. 31 = 38, 31.

λῶν ἀκοαῖς ποιούμενοι τὴν διδασκαλίαν, ὅσα μὲν ἅτε τὴν ἕξιν διαβεβηκόσι πρὸς τοῦ τελείου διδασκάλου παρήγγελτο, ταῦτα τοῖς οἵοις τε χωρεῖν παρεδίδου· ὅσα δὲ τοῖς ἔτι τὰς ψυχὰς ἐμπαθέσι καὶ θεραπείας δεομένοις ἐφαρμόζειν ὑπελάμβανον, ταῦτα [21] συγκατιόντες τῇ τῶν πλειόνων ἀσθενείᾳ, τὰ μὲν διὰ γραμμάτων, τὰ δὲ δι' ἀγράφων θεσμῶν φυλάττειν παρεδίδοσαν, ὥστε ἤδη καὶ τῇ Χριστοῦ ἐκκλησίᾳ δύο βίων νενομοθετῆσθαι τρόπους· τὸν μὲν ὑπερφυῆ καὶ τῆς κοινῆς καὶ ἀνθρωπίνης πολιτείας ἐπέκεινα, οὐ γάμους, οὐ παιδοποιίας, οὐδὲ κτῆσιν, οὐδὲ περιουσίας ὕπαρξιν παραδεχόμενον, ὅλον δὲ δι' ὅλου τῆς κοινῆς καὶ συνήθους ἁπάντων ἀνθρώπων d ἀγωγῆς παρηλλαγμένον, καὶ μόνῃ τῇ τοῦ θεοῦ θεραπείᾳ προσῳκειωμένον καθ' ὑπερβολὴν ἔρωτος οὐρανίου. 2. οἱ τόνδε μετιόντες τὸν τρόπον, τὸν θνητῶν βίον τεθνάναι δοκοῦντες, καὶ αὐτὸ μόνον τὸ σῶμα φέροντες ἐπὶ γῆς, φρονήματι δὲ τὴν ψυχὴν εἰς οὐρανὸν μετενενηγμένοι, οἷά τινες οὐράνιοι, τὸν τῶν ἀνθρώπων ἐφορῶσι βίον, ὑπὲρ τοῦ παντὸς γένους ἱερωμένοι τῷ ἐπὶ πάντων θεῷ, οὐ βουθυσίαις καὶ αἵμασιν, οὐδὲ σπονδαῖς καὶ κνίσαις, οὐδ' αὖ καπνῷ καὶ πυρὸς ἀποβρώσει καὶ σωμάτων φθοραῖς, δόγμασι δὲ ὀρθοῖς ἀληθοῦς εὐσεβείας, ψυχῆς τε διαθέσει κεκαρθαμένης, καὶ προσέτι τοῖς κατ' ἀρετὴν ἔργοις τε καὶ λόγοις· οἷς τὸ θεῖον ἐξιλεούμενοι τὴν ὑπὲρ σφῶν αὐτῶν καὶ τῶν σφίσιν ὁμογενῶν ἀποτελοῦσιν ἱερουργίαν. 3. τοιόσδε μὲν οὖν καθέστηκεν (30) ὁ ἐντελὴς τῆς κατὰ τὸν Χριστιανισμὸν πολιτείας τρόπος· ὁ δ' ὑποβεβηκὼς ἀνθρωπινώτερος, οἷος καὶ γάμοις συγκατιέναι σώφροσι καὶ παιδοποιίαις, οἰκονομίας τε ἐπιμελεῖσθαι, τοῖς κατὰ τὸ δίκαιον στρα-

τευομένοις τὰ πρακτέα ὑποτίθεσθαι, ἀγρῶν τε καὶ ἐμπορίας καὶ τῆς ἄλλης πολιτικωτέρας ἀγωγῆς μετὰ τοῦ θεοσεβοῦς φροντίζειν, οἷς καὶ ἀσκήσεων καιροὶ μαθητείας τε καὶ τῶν θείων λόγων ἀκροάσεως ἡμέραι ἀφωρίσθησαν. 4. καί τις τούτοις δεύτερος εὐσε-
b βείας ἀπενεμήθη βαθμὸς, κατάλληλον τῷ τοιῷδὶ βίῳ παρέχων τὴν ὠφέλειαν, ὡς μηδένα ἀμοιρεῖν τῆς σωτηρίου ἐπιφανείας, πᾶν δὲ γένος ἀνθρώπων, Ἑλλήνων ὁμοῦ καὶ βαρβάρων, τῆς εὐαγγελικῆς ἀπολαύειν διδασκαλίας.

c IX. Τούτων ὧδε ἐχόντων ζητήσαι ἄν τις εἰκότως εἰ δὴ κατὰ τοὺς πάλαι καὶ πρὸ Μωσέως θεοφιλεῖς ἄνδρας τὴν τοῦ σωτῆρος ἡμῶν εὐαγγελικὴν διδασκαλίαν θεοσεβεῖν ὑποτίθεσθαι φαμὲν, μίαν τε ἡμῶν τε κἀκείνων εὐσέβειαν, καὶ θεοῦ γνῶσιν τὴν αὐτὴν, τί δῆτα οἱ μὲν περὶ γάμους καὶ παιδοποιίας πλείστην εἰσῆγον σπουδὴν, ἡμῖν δὲ τοῦτο παραμελεῖται τὸ μέρος. 2. καὶ πάλιν οἱ μὲν ταῖς διὰ ζῴων θυσίαις ἐξι-
d λεούμενοι τὸν θεὸν ἀνεγράφησαν, ἡμῖν δὲ καὶ τοῦτο πράττειν, ὥς τι τῶν ἀνοσίων, ἀπηγόρευται. δύο γὰρ μόνα ταῦτα οὐ σμικρὸν ἔχοντα λόγον δόξειεν ἂν τοῖς ὑφ᾽ ἡμῶν εἰρημένοις ἀντιπίπτειν, ὡς μὴ κατὰ ταῦτα τὸν παλαιὸν σωζόντων τῆς εὐσεβείας τρόπον. 3. καὶ πρὸς ταῦτ᾽ οὖν τοιάνδε λύσιν ἐξ αὐτῶν πάρεστιν ἀναλέξασθαι τῶν παρ᾽ Ἑβραίοις λογίων. οἱ μὲν πρὸ Μωσέως ἐπ᾽ εὐσεβείᾳ μεμαρτυρημένοι, ἀρχὴν ἔχοντος τότε καὶ συνισταμένου τοῦ βίου, γενέσθαι μνημονεύονται, τὰ δὲ καθ᾽ ἡμᾶς περὶ τέλος ἐλαύνειν. 4. διὸ τοῖς μὲν σπουδάζεσθαι τὴν τῶν διαδόχων ἐπίδοσιν εἰς πολυανθρωπίαν, αὔξοντος κατ᾽ ἐκεῖνο καιροῦ καὶ πληθύοντος εἰς ἀκμήν τε προϊόντος τοῦ
(31) τῶν ἀνθρώπων γένους· ἡμῖν δὲ μὴ σφόδρα τι τοῦτο

μέλειν, ὡς ἂν ἤδη τῶν πραγμάτων φθινόντων καὶ
ἀποληγόντων ἐπὶ πέρας τε ἔσχατον ἐλαυνόντων,
διαρρήδην πρὸ τῆς τοῦ βίου συντελείας τῆς εὐαγγε- [22]
λικῆς διδασκαλίας ἐπὶ θύραις ἐλαύνειν λεγομένης,
ἀνανεώσεώς τε καὶ παλιγγενεσίας αἰῶνος ἑτέρου
ὅσον οὔπω μέλλοντος ἐπιστήσεσθαι προκηρυττομέ-
νης. 5. μία μὲν οὖν ἀπόδοσις αὕτη· δευτέρα δ' ἂν
εἴη τοιαύτη. τοῖς μὲν παλαιοῖς ἀνειμένον καὶ ἐλεύ-
θερον μετιοῦσι βίον οὐδὲν ἦν ἐμποδὼν οἴκου καὶ b
παίδων προΐστασθαι μετὰ τῆς περὶ τὸ θεῖον σχο-
λῆς αὐταῖς γαμεταῖς καὶ παισὶ καὶ οἴκοις θεοσεβεῖν
ἀπερισπάστως δυναμένοις, καὶ μηδαμῶς ὑπὸ τῶν
ἐκτὸς τῆς περὶ τὰ κρείττω προθέσεως ἀποσπωμένοις·
τὰ δὲ καθ' ἡμᾶς μυρία τὰ ἐκτὸς καθέλκοντα, καὶ εἰς
ἀλλοκότους φροντίδας περισύροντα, τῆς τε περὶ τὰ
θεῷ ἀρεστὰ σπουδῆς ἀφιστάντα τυγχάνει. 6. τοῦτο
γοῦν αἴτιον εἶναι τῆς τῶν γάμων συστολῆς παρίστη-
σιν ὁ τῆς εὐαγγελικῆς διδασκαλίας λόγος, φάσκων
"τοῦτο δέ φημι, ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος.
τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ c
ἔχοντες ὦσι καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες, καὶ
οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες
ὡς μὴ κατέχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ
ὡς μὴ καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ
κόσμου τούτου· θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι· ὁ
ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσῃ τῷ κυ-
ρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς
ἀρέσῃ τῇ γυναικί, καὶ μεμέρισται. 7. καὶ ἡ γυνὴ
ἡ ἄγαμος καὶ ἡ παρθένος μεριμνᾷ τὰ τοῦ κυρίου,
ἵνα ἀρέσῃ τῷ κυρίῳ, ἵνα ᾖ ἁγία καὶ τῷ σώματι καὶ

---

19 1 Cor. 7, 29.

d τῷ πνεύματι, ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσῃ τῷ ἀνδρί. τοῦτο δὲ πρὸς τὸ ὑμῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ κυρίῳ ἀπερισπάστως."

8. Διαρρήδην γοῦν ἐν τούτοις τὸ αἴτιον τῆς ἀποχῆς τοῦ γάμου παρίστησιν, τὴν τῶν καιρῶν καὶ τῶν ἐκτὸς πραγμάτων ἀβελτερίαν ἐπιμεμψάμενος, ὧν οὐδὲν τοῖς παλαιοῖς προσέπιπτεν. καὶ τρίτος δ' ἂν εἴη παρὰ ταῦτα λόγος, καθ' ὃν οἱ πάλαι θεοφιλεῖς παιδοποιίας πλείστην ἐποιοῦντο σπουδήν. 9. τῶν λοιπῶν ἀνθρώπων εἰς κακοτροπίαν ἐπιδόντων, εἰς ἀνήμερόν τε καὶ ἀπάνθρωπον καὶ θηριώδη βίον ἀποπεπτωκότων, εἴς τε ἀσεβῆ παντελῶς καὶ ἄθεον τρό-
(32) πον ἀπωλισθηκότων, βραχεῖς σφόδρα καὶ ἀριθμῷ ληπτοὶ περιλειπόμενοι κατὰ τὰ πρόσθεν ἡμῖν εἰρημένα τοῦ τῶν πολλῶν ὑπεξίσταντο βίου, καὶ τῆς κοινῆς τῶν λοιπῶν ἀνθρώπων συναναστροφῆς. 10. κεχωρισμένως δ' οὖν τῶν ἄλλων ἐθνῶν καὶ κατὰ μόνας βιοῦντες πολιτείαν ξένην καὶ βίον φιλόσοφον καὶ ὡς ἀληθῶς θεοσεβῆ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀνεπίμικτον συνίσταντο. 11. ἵν' οὖν καὶ τοῖς μετέπειτα τῆς οἰκείας θεοφοβίας ζώπυρον ἐξ αὐτῶν σπέρμα φυλάτ-
b τοιτο, μηδ' ἐκλίποι καὶ ἀπόλοιτο ἅμα τῇ τῶν ἀνδρῶν τελευτῇ τὰ τῆς κατ' αὐτοὺς εὐσεβείας, εἰκότως παιδοποιίας και παιδοτροφίας πρόνοιαν εἰσῆγον, ὡς ἂν διδάσκαλοι καὶ καθηγηταὶ γένοιντο τῶν ἰδίων παίδων, διαδόχους εὐσεβείας καὶ τῆς οἰκείας ἀρετῆς κληρονόμους τοῖς μετέπειτα καταλιπεῖν σπουδαῖον εἶναι ἡγούμενοι. 12. ἔνθεν μυρίοι προφῆται καὶ δίκαιοι ἄνδρες αὐτός θ' ὁ σωτὴρ καὶ κύριος ἡμῶν, οἵ τε τούτου μαθηταὶ καὶ ἀπόστολοι ἐκ τῆς αὐτῶν διδαχῆς ἀναπεφήνασιν. 13. εἰ δέ τινες καὶ φαῦλοι προῆλθον

ἐξ αὐτῶν, ὡς ἅμα σίτῳ καλάμης ὑποφυείσης, ἀλλ' οὔπω τοὺς σπείραντας αἰτιατέον, οὐδὲ τοὺς ἀναθρεψαμένους· ἐπεὶ καὶ τῶν τοῦ σωτῆρος μαθητῶν ἴσμεν τινὰς ἐξ αὐτεξουσίου παρατροπῆς ἀποσφαλέντας. 14. ἡ μὲν οὖν αἰτία τῆς τῶν πάλαι θεοφιλῶν ἀνδρῶν παιδοποιίας ἀνείρηται, ἣν οὐκέτι ἐφ' ἡμῶν χώραν ἔχειν δεῖ λέγειν, ὅτε σὺν θεῷ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας μυρία ἔθνη καὶ λαοὺς [23] κατά τε πόλεις καὶ χώρας καὶ ἀγροὺς πάρεστιν ἡμῖν d ὀφθαλμοῖς ὁρᾶν σπεύδοντα κατὰ τὸ αὐτὸ, καὶ συντρέχοντα ἐπὶ τὴν κατὰ θεὸν μάθησιν τῆς εὐαγγελικῆς διδασκαλίας· οἷς ἀγαπητὸν δύνασθαι ἐξαρκεῖν τοὺς διδασκάλους καὶ κήρυκας τοῦ τῆς θεοσεβείας λόγου, πάντων ἀπολελυμένους τῶν τοῦ βίου δεσμῶν καὶ τῶν πολυμερίμνων φροντίδων. 15. μάλιστα δ' οὖν τούτοις ἀναγκαίως τανῦν διὰ τὴν περὶ τὰ κρείττω σχολὴν ἡ τῶν γάμων ἀναχώρησις σπουδάζεται, ἅτε περὶ τὴν ἔνθεον καὶ ἄσαρκον παιδοποιίαν ἀσχολουμένοις, οὐχ ἑνὸς οὐδὲ δυεῖν παίδων, ἀλλ' ἀθρόως μυρίου πλήθους τὴν παιδοτροφίαν, καὶ τὴν κατὰ θεὸν παίδευσιν, τῆς τε ἄλλης ἀγωγῆς τοῦ βίου τὴν ἐπιμέλειαν ἀναδεδεγμένοις. 16. ἐπὶ τούτοις ἅπασιν εἴ τις ἀκριβῶς ἐξετάζοι τοὺς τῶν παλαιῶν βίους, περὶ ὧν τὸν λόγον ποιούμεθα, γνοίη ἂν αὐτοὺς ἐν ἀρχαῖς (33) μὲν τῆς ἡλικίας παιδοποιουμένους, θᾶττον δὲ ἀνασχόντας καὶ ἀποπεπαυμένους. γέγραπται γὰρ ὅτι εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ μετὰ τὸ γεννῆσαι τὸν Μαθουσαλά· ἀκριβῶς οὕτω τῆς γραφῆς μετὰ τὴν τοῦ παιδὸς γέννησιν εὐηρεστηκέναι τῷ θεῷ τὸν δηλούμενον ἱστορούσης, καὶ οὐκέτι ἐξ ἐκείνου παῖδας αὐτῷ γενέσθαι μαρτυρούσης. 17. καὶ Νῶε δὲ ἄνθρω-

28 Gen. 5, 22.

πος δίκαιος μετὰ τὴν τῶν παίδων γένεσιν μόνος σὺν τοῖς οἰκείοις ἐν τῇ τῶν ἐπὶ γῆς ἁπάντων φθορᾷ διασωθεὶς, πλείστοις μετὰ ταῦτα ἐπιβιοὺς ἔτεσιν, οὐδαμῶς εἰσάγεται παῖδας κτησάμενος. λέγεται δὲ καὶ ὁ Ἰσαὰκ ἐκ μιᾶς γαμετῆς διδύμου γονῆς πατὴρ γεγονὼς μέχρι τούτου στῆσαι τὴν πρὸς γαμετὴν ὁμιλίαν. καὶ ὁ Ἰωσὴφ, καὶ ταῦτα παρ' Αἰγυπτίοις τὰς διατριβὰς πεποιημένος, οὐ πλείω δύο παίδων κατέστη πατὴρ, μίαν τὴν τούτων μητέρα ἀγόμενος. 18. καὶ αὐτός γε Μωσῆς ὅ τε τούτου ἀδελφὸς Ἀαρὼν c πρὸ μὲν τῆς τοῦ θεοῦ ἐπιφανείας ἱστοροῦνται παιδοπεποιημένοι, μετὰ δὲ τοὺς θείους χρησμοὺς οὐκέτι ἔστιν αὐτοῖς παῖδας εὑρεῖν γεγεννημένους. 19. τί χρὴ λέγειν περὶ Μελχισεδέκ; οὗ καθάπαξ οὐ παῖς, οὐ γένος, οὐ διαδοχὴ φέρεται, οὐδ' Ἰησοῦ τοῦ Μωσέως διαδόχου, οὐδὲ πλείστων ἄλλων προφητῶν. 20. ζητουμένης δὲ τῆς κατὰ τὸν Ἀβραὰμ καὶ Ἰακὼβ παιδοποιίας, ἐν ἑτέροις τὸν λόγον σχολαίτερον ἀποδεδώκαμεν, ἐν οἷς περὶ τῆς τῶν πάλαι θεοφιλῶν ἀνδρῶν πολυγαμίας τε καὶ πολυπαιδίας διειλήφαμεν, ἐφ' ἃ καὶ νῦν τοὺς φιλομαθεῖς ἀναπέμπομεν, τοσοῦτον ἐπισημηνάμενοι, ὅτι καὶ κατὰ τοὺς τῆς καινῆς διαθήκης νόμους οὐ πάμπαν ἀπηγόρευται τὰ τῆς d παιδοποιίας, ἀλλὰ κἂν τούτῳ τὰ παραπλήσια τοῖς πάλαι θεοφιλέσιν διατέτακται. χρῆναι γάρ φησιν ὁ λόγος τὸν ἐπίσκοπον γεγονέναι μιᾶς γυναικὸς ἄνδρα. 21. πλὴν ἀλλὰ τοῖς ἱερωμένοις καὶ περὶ τὴν τοῦ θεοῦ θεραπείαν ἀσχολουμένοις ἀνέχειν λοιπὸν σφᾶς αὐτοὺς προσήκει τῆς γαμικῆς ὁμιλίας· ὅσοι δὲ μὴ τῆς τοσαύτης ἠξίωνται ἱερουργίας, τούτοις ὁ λό-

---

25 1 Tim. 3, 2.

γος καθυφίησιν μονονουχὶ διαρρήδην ἅπασιν κη-
ρύττων, ὅτι δὴ "τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαν-
τος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός." ταῦτα
μὲν οὖν εἰς τὴν πρώτην ἡμῖν εἰρήσθω πρότασιν.

X. Περὶ δὲ τοῦ μὴ ζῳοθυτεῖν ἡμᾶς τῷ ἐπὶ πάν- (34)
των θεῷ, τῶν πάλαι θεοφιλῶν ἀνδρῶν ὧν δὴ φαμὲν
κατὰ ζῆλον θεοσεβείας τοῦτο πεποιηκότων, οὗτος ἐξ
ἡμῶν ἀποδοθείη ἂν ὁ λόγος. οὐχ ὡς παρ' Ἕλλησιν [24]
ἐνομίζετο καὶ τοῖς Ἑβραίων ἱεροῖς λόγοις ταὐτὰ δο- b
κεῖ περὶ τῆς τῶν πάλαι καὶ πρώτων ἀνδρῶν θερα-
πείας τοῦ θείου. 2. οἱ μὲν ἔφασαν μὴ θύειν τοὺς
προτέρους μηδὲν ὁτιοῦν τῶν ζῴων, μηδὲ θυμιᾶν
τοῖς θεοῖς, ἀλλ' ἡλίῳ μὲν καὶ τοῖς κατ' οὐρανὸν
ἄστροις χλόην καὶ οἱονεί τινα τῆς γονίμου φύσεως
χνοῦν ταῖς χερσὶν ἀραμένους πόαν τε καὶ φύλλα καὶ
ῥίζας κατακαίειν πυρί· πόρρω δὲ παρανομίας ἐλαύ-
νοντας τοὺς μετὰ ταῦτα ἀνθρώπους αἱμάξαι τοὺς c
βωμοὺς ζῴων σφαγαῖς, εἶναι δὲ ταύτην ἀνόσιον καὶ
ἄδικον καὶ οὐδαμῶς θεῷ προσφιλῆ θυσίαν· μηδὲν
γὰρ τῆς τῶν ἀνθρώπων λογικῆς ψυχῆς τὴν τῶν ἀλό-
γων διαφέρειν· διὸ καὶ φόνου δίκην ὑπέχειν ἄξιον
τοὺς ζῳοθυτοῦντας ἔφασκον, ὡς τῆς αὐτῆς καὶ
ὁμοίας ἔν τε ἀνθρώπῳ καὶ ἐν τῷ ἀλόγῳ ζῴῳ ψυχῆς
ἐνυπαρχούσης. 3. ἀλλ' ὁ μὲν τῶν Ἑλλήνων περὶ τῶν
παλαιῶν λόγος τοιόσδε τις ἦν· ὁ δέ γε τῆς Ἑβραίων
γραφῆς οὐ τοιοῦτος. τοὺς γάρ τοι πρώτους εὐθὺς
γενομένους ἀνθρώπους ἅμα τῇ πρώτῃ συστάσει τοῦ
βίου θυσίαις ταῖς ἀπὸ ζῴων τιμῆσαι τὸ θεῖον ἱστο- d
ρεῖ. 4. λέγει δ' οὖν "καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε

---

2 Hebr. 13, 4. 11 Porphyr. ap. Euseb. Pr. Ev. p. 28 d. 29 Gen. 4, 3.

Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ· καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ. καὶ ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν καὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν." 5. ἔνθα δὴ ἐπιστήσεις ὡς μᾶλλον ὁ ζῳοθυτήσας ἀπόδεκτος εἴρηται παρὰ τὸν ἀπὸ γῆς προσαγαγόντα τῷ θεῷ τὴν θυσίαν. καὶ Νῶε δὲ εὐθὺς ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν ἀνήνεγκεν ὁλοκαρπώσεις ἐπὶ τὸ θυσιαστήριον, καὶ ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας. ἀλλὰ καὶ Ἀβραὰμ θύσας ἀναγέγραπται, ὥστε κατὰ τὴν τῆς θείας γρα-
(35) φῆς μαρτυρίαν πρώτην ἁπάντων τὴν διὰ ζῴων θυσίαν ἐπινενοῆσθαι τοῖς πάλαι θεοφιλέσι. 6. τούτου δὲ τὸν λογισμὸν ἡγοῦμαι εἶναι οὐ τὸν τυχόντα, οὐδ' ἀνθρωπίνως κεκινημένον, κατὰ θείαν δ' ἐπίπνοιαν ὑποβεβλημένον. ἐπειδὴ γὰρ ἑώρων, ἅτε τὸν τρόπον εὐσεβεῖς καὶ θεῷ προσῳκειωμένοι θείῳ τε πνεύματι τὰς ψυχὰς πεφωτισμένοι, μεγάλης αὐτοῖς θεραπείας δεῖν εἰς ἀποκάθαρσιν τῶν θνητῶν πλημμελημάτων, λύτρον τῆς αὐτῶν σωτηρίας τῷ καὶ ζωῆς καὶ ψυχῆς χορηγῷ προσοφείλεσθαι ἡγοῦντο. 7. ἔπειτα μηδὲν κρεῖττον καὶ τιμιώτερον τῆς οἰκείας ψυχῆς κα-
b θιεροῦν ἔχοντες ἀντὶ ταύτης τέως τὴν διὰ τῶν ἀλόγων ζῴων προσῆγον θυσίαν, τῆς σφῶν ψυχῆς ἀντίψυχα προσκομίζοντες· οὐδὲν κατὰ τοῦτο πλημμελεῖν οὐδ' ἀδικεῖν ἡγούμενοι, ὅτι μηδὲ τῇ τῶν ἀνθρώπων λογικῇ καὶ νοερᾷ δυνάμει παραπλησίαν εἶναι τὴν ψυχὴν τῶν ἀλόγων ἐπαιδεύοντο, οὐδ' ἄλλο τι αὐτὴν ἢ τὸ αἷμα αὐτῶν εἶναι μεμαθηκότες, καὶ τὴν ἐν τῷ αἵματι ζωτικὴν δύναμιν, ὃ καὶ παρέχειν αὐτούς, ὥσπερ ψυχὴν ἀντὶ ψυχῆς ἀναφέροντας τῷ θεῷ.

8. τοῦτο δὲ αὐτὸ Μωσῆς λευκότατά που διασαφεῖ, λέγων "ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι, καὶ ἐγὼ δέδωκα ὑμῖν τὸ αἷμα ἐπὶ τοῦ θυσιαστηρίου, ἐξιλάσκεσθαι περὶ τῶν ἁμαρτιῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτῶν ἀντὶ ψυχῆς ἐξιλάσεται. διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσραήλ, πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φάγεται αἷμα."

9. Πρόσσχες γοῦν ἐπιμελῶς ἐν τούτοις ὅπως εἴρηται τὸ "ἐγὼ δέδωκα ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν, τὸ γὰρ αἷμα ἀντὶ τῆς ψυχῆς ἐξιλάσεται. σαφῶς γὰρ ἀντὶ τῆς ἀνθρωπίνης ψυχῆς τὸ τῶν σφαγιαζομένων ζώων αἷμά φησιν ἐξιλάσκεσθαι. τοῦτο δὲ αὐτὸ καὶ ὁ περὶ τῶν θυσιῶν νόμος ὑποβάλλει νοεῖν τῷ τεθεωρημέ- d νως σκοποῦντι. 10. πάντα γοῦν τὸν θύοντα τὰς [25] χεῖρας ἐπιβάλλειν προστάττει τῇ κεφαλῇ τοῦ θυομένου, προσκομίζειν δὲ τὸ ζῷον τῷ ἱερεῖ τῆς κεφαλῆς ἐχόμενον, ὡσανεὶ ὑπὲρ τῆς ἑαυτοῦ κεφαλῆς τὸ ἱερεῖον προσφέροντα. λέγει δ' οὖν ἐφ' ἑκάστῳ "προσάξει αὐτὸ ἔναντι κυρίου, καὶ ἐπιθήσει τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου."

11. Καὶ οὕτως ἐφ' ἑκάστου τετήρηται θύματος, οὐδεμιᾶς θυσίας ἄλλως ἀναφερομένης. δι' ὧν ὁ λόγος παρίστησιν ὅτι δὴ ἀντίψυχα τῆς αὐτῶν ψυχῆς προσήγετο τὰ ζῳοθυτούμενα· ὁ δὲ τῶν ἀλόγων ζώων τὸ αἷμα τὴν ψυχὴν εἶναι διδάξας οὐδαμῶς λογικῆς (36) καὶ νοερᾶς οὐσίας ὁμοίως τοῖς ἀνθρώποις μετέχειν αὐτὰ παρίστησιν, εἶναι γὰρ αὐτῶν τὴν σύστασιν ἐξ ὕλης καὶ σωμάτων, τοῖς ἀπὸ γῆς βλαστήμασι καὶ

---

2 Levit. 17, 11. 20 Levit. 3, 1.

φυτοῖς παραπλησίαν. ἑνὶ δ' οὖν λόγῳ πάλιν ὁ Μωσῆς φησι τὸν θεὸν εἰπεῖν "βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα καὶ ξύλον κάρπιμον." καὶ αὖθις παραπλησίως "ἐξαγαγέτω ἡ γῆ τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος." 13. ὥστε ὁμοιογενῆ καὶ ὁμοφυῆ καὶ ὁμοούσια εἶναι ἡγεῖσθαι
b τοῖς ἀπὸ γῆς βλαστήμασι καὶ φυτοῖς τὰ ἄλογα, διὸ καὶ μηδαμῶς πλημμελεῖν τοὺς ζῳοθυτοῦντας. εἴρηται γοῦν καὶ τῷ Νῶε ἔδεσθαι κρέα ὡς λάχανα ἀγροῦ. 14. ἕως μὲν οὖν οὐδέπω τὸ κρεῖττον οὐδὲ τὸ μέγα καὶ τίμιον καὶ θεοπρεπὲς σφάγιον παρῆν ἀνθρώποις, ταῖς διὰ ζῴων θυσίαις λύτρα τῆς ἑαυτῶν ζωῆς καὶ ἀντίψυχα τῆς οἰκείας φύσεως προσηκόντως ἀποδιδόναι χρῆν τῷ θεῷ, ὡς καὶ ἔπραττον οἱ πάλαι θεοφιλεῖς, σεμνόν τι καὶ θεοφιλὲς καὶ μέγα ἱερεῖον ἥξειν ποτὲ εἰς ἀνθρώπους τῷ θείῳ πνεύματι προειληφότες, τὸ τοῦ παντὸς καθάρσιον κόσμου, οὗ καὶ τὰ
c σύμβολα τέως ἐπιτελεῖν αὐτοὺς προφήτας ὄντας, καὶ τὸ μέλλον ἔσεσθαι προτυπουμένους· ἐπειδὴ δὲ τὸ τέλειον παρῆν, τοῖς τῶν προφητῶν ἀκολούθως θεσπίσμασι πέπαυτο τὰ πρῶτα καὶ λέλυτο παραχρῆμα διὰ τῆς τοῦ κρείττονος καὶ ἀληθοῦς ἱερουργίας. 15. οὗτος δ' ἦν ὁ Χριστὸς τοῦ θεοῦ, ἄνωθεν ἐκ παλαιῶν χρόνων ἥξειν εἰς ἀνθρώπους καὶ προβάτου δίκην ὑπὲρ παντὸς τοῦ τῶν ἀνθρώπων γένους σφαγήσεσθαι προαγορευόμενος. ᾗ φησι περὶ αὐτοῦ Ἡσαΐας ὁ προφήτης "ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος." 16. καὶ ἐπιλέγει "οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται·

2 Gen. 1, 11. 4 Gen. 9, 3. 27 Es. 53, 7
28 Es. 53, 4.

καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν, παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτὸν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. αὐτὸς γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδ' εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ."

17. Τὰ ὅμοια τούτοις καὶ Ἱερεμίας ἕτερος Ἑβραίων προφήτης ἐπὶ προσώπου τοῦ Χριστοῦ ἐπιφωνεῖ, λέγων "ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι."

Ἐπισφραγίζεται τὰς τούτων προρρήσεις Ἰωάν- (37) νης ὁ βαπτιστὴς ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας. ἰδὼν γὰρ αὐτὸν, καὶ τοῖς παροῦσιν ἐπιδείξας ὡς ἄρα αὐτὸς εἴη ὁ προφητευόμενος, ἐπεφώνησεν "ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου." 18. ὅτε τοίνυν κατὰ τὰς τῶν προφητῶν μαρτυρίας εὕρηται τὸ μέγα καὶ τίμιον λύτρον Ἰουδαίων ὁμοῦ καὶ Ἑλλήνων, τὸ τοῦ παντὸς κόσμου καθάρσιον, τὸ πάντων ἀνθρώπων ἀντίψυχον, τὸ πάσης κηλῖδος καὶ ἁμαρτίας καθαρὸν ἱερεῖον, ὁ ἀμνὸς τοῦ θεοῦ, τὸ θεοφιλὲς καὶ ἁγνὸν πρόβατον, τὸ προ- b φητευόμενον ἀρνίον, οὗ διὰ τῆς ἐνθέου καὶ μυστικῆς διδασκαλίας πάντες ἡμεῖς οἱ ἐξ ἐθνῶν τὴν ἄφεσιν τῶν προτέρων ἁμαρτημάτων εὑράμεθα, διὸ καὶ [26] Ἰουδαίων οἱ εἰς αὐτὸν ἠλπικότες ἐλεύθεροι τῆς Μωσέως ἀφίενται κατάρας, εἰκότως τὴν τούτου μνήμην τοῦ τε σώματος αὐτοῦ καὶ τοῦ αἵματος τὴν ὑπόμνησιν ὁσημέραι ἐπιτελοῦντες, καὶ τῆς κρείττονος

---

11 Jer. 11, 19. 17 Jo. 1, 29.

ἢ κατὰ τοὺς παλαιοὺς θυσίας τε καὶ ἱερουργίας ἠξιωμένοι, οὐκέθ' ὅσιον ἡγούμεθα καταπίπτειν ἐπὶ c τὰ πρῶτα καὶ ἀσθενῆ στοιχεῖα, σύμβολα καὶ εἰκόνας, ἀλλ' οὐκ αὐτὴν ἀλήθειαν περιέχοντα. 19. εἰκότως δὲ καὶ αὐτῶν Ἰουδαίων οἱ εἰς τὸν Χριστὸν τοῦ θεοῦ καταπεφευγότες, εἰ μηκέτι τῶν Μωσέως ἐπιστρέφοιντο παραγγελμάτων, κατὰ τὴν καινὴν διαθήκην βιοῦντες τῆς ὑπὸ Μωσέως ὡρισμένης ἐκτὸς ἂν εἶεν κατάρας, ἅτε δὴ ἀμνοῦ τοῦ θεοῦ οὐ μόνον τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλὰ καὶ τὴν ἐν τῇ παραβάσει τῶν Μωσέως ἐντολῶν κατάραν εἰς αὐτὸν ἀνειληφότος. d γέγονεν οὖν ὁ ἀμνὸς τοῦ θεοῦ καὶ ἁμαρτία καὶ κατάρα· ἁμαρτία μὲν ὑπὲρ τῶν ἁμαρτωλῶν τοῦ κόσμου, κατάρα δ' ὑπὲρ τῶν μὴ ἐμμενόντων πᾶσι τοῖς ἐγγεγραμμένοις ἐν τῷ Μωσέως νόμῳ." 20. διό φησιν ὁ ἀπόστολος "Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα," καὶ "τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε."

21. Τί γὰρ οὐκ ἔμελλε γίνεσθαι τὸ τοῦ κόσμου καθάρσιον, τὸ τῶν ἁμαρτωλῶν ἀντίψυχον, ὃ δὴ καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀρνίον ἀγόμενον τοῦ θύεσθαι, ταῦτά τε πάντα ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς; ὅθεν οἱ μὲν παλαιοὶ καὶ θεοφιλεῖς ἄνδρες (38) εἰκότως ἀπουσίᾳ τῶν κρειττόνων τοῖς συμβόλοις προσανεῖχον, ὡς καὶ τοῦτο αὐτὸ ὁ σωτὴρ ἡμῶν διδάσκει λέγων "πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ὑμεῖς ἀκούετε, καὶ οὐκ ἤκουσαν." 22. ἡμεῖς δὲ τὰ ἀληθῆ καὶ τῶν εἰκόνων τὰ ἀρχέτυπα διὰ τῆς

16 Gal. 3, 13. 18 2. Cor. 5, 21. 27 Matth 13. 17.

μυστηριώδους οἰκονομίας τοῦ Χριστοῦ παρειληφότες
οὐκέτι τῶν παλαιῶν δεησόμεθα. 23. μόνος δ' οὖν
αὐτὸς τῶν πώποτε λόγος ὢν θεοῦ, προκόσμιος καὶ
ἀρχιερεὺς πάσης νοερᾶς καὶ λογικῆς κτίσεως, τον b
ἡμῖν ὁμοιοπαθῆ, οἷα πρόβατον καὶ ἀμνὸν, ἐκ τῆς ἀν-
θρώπων ἀφορίσας ἀγέλης, τούτῳ τε ἐπιγράψας τὰς
πάντων ἡμῶν ἁμαρτίας, καὶ τὴν κατάραν γε αὐτῷ
τὴν ἐν τῷ Μωσέως νόμῳ προστετιμημένην περιά-
ψας, ὅτι δὴ Μωσέως ἀνειπόντος "ἐπικατάρατος πᾶς
ὁ κρεμάμενος ἐπὶ ξύλου," τοῦτο πέπονθεν αὐτὸς δι'
ἡμᾶς γενόμενος ὑπὲρ ἡμῶν κατάρα· καὶ δὴ καὶ
ἁμαρτίαν αὐτὸν δι' ἡμᾶς ποιήσας. 24. ἐπεὶ τὸν μὴ
γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε, πάσας
τε αὐτῷ δι' ἡμᾶς τὰς ἡμῖν ἐπηρτημένας τιμωρίας c
ἐπιθεὶς, δεσμὰ καὶ ἀτιμίας καὶ ὕβρεις μάστιγάς τε
καὶ ἐκτόπους πληγὰς, καὶ ἐπὶ πᾶσιν τὸ τῆς κατάρας
τρόπαιον. 25. μετὰ δὴ πάντα οἷόν τι θαυμάσιον θῦμα
καὶ σφάγιον ἐξαίρετον τῷ πατρὶ καλλιερησάμενος ὑπὲρ
τῆς ἁπάντων ἡμῶν ἀνήνεγκε σωτηρίας, μνήμην καὶ
ἡμῖν παραδοὺς ἀντὶ θυσίας τῷ θεῷ διηνεκῶς προσ-
φέρειν. 26. τοῦτο καὶ προφητῶν ὁ θαυμάσιος Δα-
βὶδ θείῳ πνεύματι τὸ μέλλον προλαβὼν ἐθέσπισεν
εἰπὼν "ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχεν
μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήνεγκέ d
με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. καὶ
ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, κατεύθυνεν
τὰ διαβήματά μου. καὶ ἐνέβαλεν εἰς τὸ στόμα
μου ᾆσμα καινὸν, ὕμνον τῷ θεῷ ἡμῶν." 27. καὶ
τί τὸ καινὸν ᾆσμα τυγχάνει διασαφεῖ λέγων ἑξῆς
"θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ

---

9 Gal. 3, 13. 13 2. Cor. 5, 21. 23 Ps. 40.

κατηρτίσω μοι. ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας. τότε εἶπον, ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ θεὸς, τὸ θέλημά σου ἐβουλήθην." καὶ ἐπιλέγει
[27] *"εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ."*

28. *Ἄντικρυς ἀντὶ τῶν πάλαι θυσιῶν καὶ ὁλοκαυτωμάτων τὴν ἔνσαρκον τοῦ Χριστοῦ παρουσίαν*
(30) *καὶ τὸ καταρτισθὲν αὐτοῦ σῶμα προσενηνέχθαι τῷ θεῷ διδάξας, τοῦτό τε αὐτὸ τῇ αὐτοῦ ἐκκλησίᾳ εὐαγγελίζεται, ὡς ἂν μέγα μυστήριον ἐν κεφαλίδι βιβλίου τῇ προφητικῇ φωνῇ προαναπεφωνημένον. τούτου δῆτα τοῦ θύματος τὴν μνήμην ἐπὶ τραπέζης ἐκτελεῖν διὰ συμβόλων τοῦ τε σώματος αὐτοῦ καὶ τοῦ σωτηρίου αἵματος κατὰ θεσμοὺς τῆς καινῆς διαθήκης παρειληφότες, πάλιν ὑπὸ τοῦ προφήτου Δαβὶδ παιδευόμεθα λέγειν "ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με· ἐλίπανας*
b *ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡς κράτιστον."*

29. *Διαρρήδην γοῦν ἐν τούτοις καὶ τὸ μυστικὸν σημαίνεται χρῖσμα, καὶ τὰ σεμνὰ τῆς Χριστοῦ τραπέζης θύματα, δι᾽ ὧν καλλιεροῦντες τὰς ἀναίμους καὶ λογικὰς αὐτῷ τε προσηνεῖς θυσίας διὰ παντὸς βίου τῷ ἐπὶ πάντων προσφέρειν θεῷ διὰ τοῦ πάντων ἀνωτάτου ἀρχιερέως αὐτοῦ δεδιδάγμεθα.* 30. *τοῦτο δὲ αὐτὸ καὶ ὁ μέγας προφήτης Ἡσαΐας θαυμασίως τῷ θείῳ πνεύματι προέγνω τε καὶ προανεφώνησε.*
c *λέγει δ᾽ οὖν ὧδε καὶ αὐτὸς "κύριε ὁ θεός μου, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα.* 31. *καὶ τίνα ταῦτα ὡς ἀληθῶς*

---

16 Ps. 22, 5. 28 Es. 25, 1.

θαυμάσια διασαφεῖ, λέγων ἑξῆς "ποιήσει κύριος Σαβαὼθ πᾶσι τοῖς ἔθνεσι. πίονται εὐφροσύνην, πίονται οἶνον, χρίσονται μύρον. παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη.

32. Τοιαῦτά τινα ἦν καὶ τὰ Ἡσαΐου θαυμάσια, εὐωδίας ἀγαθῆς καὶ μύρου χρῖσιν οὐ τῷ Ἰσραὴλ,
ἀλλὰ πᾶσι τοῖς ἔθνεσιν ἐπαγγελλόμενα· ὅθεν εἰκό- d
τως παρὰ τὴν τοῦ μύρου χρῖσιν καὶ τῆς Χριστιανῶν ἠξιώθησαν προσηγορίας. ἀλλὰ καὶ οἴνου τοῖς ἔθνεσιν εὐφροσύνην θεσπίζει, τὸ τῆς καινῆς τοῦ Χριστοῦ διαθήκης μυστήριον αἰνιττόμενος, ὃ παρὰ πᾶσι τοῖς ἔθνεσιν ἐναργῶς κατὰ τὸν παρόντα καιρὸν ἐκτελεῖται. 33. ταύτας δὲ πάλιν τὰς ἀσωμάτους καὶ νοερὰς θυσίας τὰ προφητικὰ κηρύττει λόγια, ὧδέ πη περιέχοντα "θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με." 34. καὶ πάλιν "ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή." καὶ αὖθις "θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον."

35. Πάντα δὴ οὖν ταῦτα ἐξ αἰῶνος τεθεσπισμένα διὰ τῆς εὐαγγελικῆς τοῦ σωτῆρος ἡμῶν διδασκα-
λίας κατὰ τὸν παρόντα καιρὸν πρὸς ἁπάντων τῶν (40)
ἐθνῶν ἐκτελεῖται, ἀληθείας ἐπιμαρτυρούσης τῇ προφητικῇ φωνῇ, δι' ἧς, τὰς κατὰ Μωσέα θυσίας ὁ θεὸς παραιτησάμενος, τὸ μέλλον ἔσεσθαι καθ' ἡμᾶς αὐτοὺς θεσπίζει λέγων "διὸ ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς

---

1 Es. 25, 6. 16 Ps. 50, 14. 19 Ps. 141, 2. 20 Ps. 51, 17. 28 Mal. 1, 11.

ἔθνεσι. καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀν΄ματί μου καὶ θυσία καθαρά."

36. Θύομεν δῆτα τοιγαροῦν τῷ ἐπὶ πάντων θεῷ θυσίαν αἰνέσεως· θύομεν τὸ ἔνθεον καὶ σεμνὸν καὶ b ἱεροπρεπὲς θῦμα· θύομεν καινῶς κατὰ τὴν καινὴν διαθήκην τὴν καθαρὰν θυσίαν. θυσία δὲ τῷ θεῷ πνεῦμα συντετριμμένον εἴρηται. "καρδίαν γοῦν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει." 37. καὶ δὴ καὶ θυμιῶμεν τὸ προφητικὸν θυμίαμα, ἐν παντὶ τόπῳ προσκομίζοντες αὐτῷ τὸν εὐώδη καρπὸν τῆς παναρέτου θεολογίας, διὰ τῶν πρὸς αὐτὸν εὐχῶν ἀναφέροντες. τοῦτό τοι καὶ ἄλλος διδάσκει προφήτης, ὁ φήσας, "γενηθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου." 38. οὐκοῦν καὶ c θύομεν καὶ θυμιῶμεν· τοτὲ μὲν τὴν μνήμην τοῦ [28] μεγάλου θύματος κατὰ τὰ πρὸς αὐτοῦ παραδοθέντα μυστήρια ἐπιτελοῦντες, καὶ τὴν ὑπὲρ σωτηρίας ἡμῶν ευχαριστίαν δι' εὐσεβῶν ὕμνων τε καὶ εὐχῶν τῷ θεῷ προσκομίζοντες, τοτὲ δὲ σφᾶς αὐτοὺς ὅλῳ καθιεροῦντες αὐτῷ, καὶ τῷ γε ἀρχιερεῖ αὐτοῦ λόγῳ, αὐτῷ σώματι καὶ ψυχῇ ἀνακείμενοι. 39. διὸ πάσης μὲν αἰσχρουργίας τὸ σῶμα ἄχραντον καὶ ἀμίαντον αὐτῷ φυλάττειν ἀσκοῦμεν, παντὸς δὲ πάθους καὶ κηλῖδος ἁπάσης τῆς ἀπὸ κακίας κεκαθαρμένην τὴν διάνοιαν αὐτῷ προσκομίζομεν, λογισμοῖς τε ἀδιαπτώτοις καὶ ἀπλάστῳ διαθέσει, δόγμασί τε ἀληθείας εὐσεβοῦμεν αὐτόν. ἀρεστὰ γὰρ αὐτῷ ταῦτα εἶναι μᾶλλον ἢ θυσιῶν πλῆθος αἵματι καὶ καπνῷ καὶ κνίσαις ἐπιτελουμένων πεπαιδεύμεθα.

---

7 Ps. 50, 17. 13 Ps. 140, 2.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ. (43)

Τὴν διὰ τῆς εὐαγγελικῆς διδασκαλίας ἅπασιν [29] ἀνθρώποις προβεβλημένον τῆς ἀληθοῦς εὐσεβείας [b] τρόπον καὶ τὴν ἐν Χριστῷ πολιτείαν διελθὼν ἐν τῷ πρὸ τούτου συγγράμματι παραστήσας τε καί, ὡς οἶμαι, πείσας, ὅτι μηδὲ βουλομένοις δυνατὸν ἦν πᾶσι τοῖς ἔθνεσι κατὰ τὰ Ἰουδαίων νόμιμα ζῆν, αὖθις ἐπὶ τοῦ παρόντος ἄνωθεν ἐπαναλαβὼν τὸν λόγον ἐπάνειμι ἐπὶ τὰς ἐκ τῶν προφητικῶν φωνῶν μαρτυρίας, πρὸς τοὺς ἡμῶν κατηγόρους τῶν ἐκ περιτομῆς δαψιλεστέραν τὴν ἀπόκρισιν ποιησόμενος, [c] ἐπεὶ μηδαμῶς ἡμῖν μετεῖναι ἔφασαν τῶν παρ' αὐτοῖς ἀναγράπτων ἐπαγγελιῶν· αὐτῶν γὰρ καὶ τοὺς προφήτας γεγονέναι, αὐτοῖς καὶ τὸν Χριστόν, ὃν δὴ φίλον αὐτοῖς ἀποκαλεῖν σωτῆρα καὶ λυτρωτήν, κηρύττεσθαι, αὐτοῖς καὶ τὰς ἀναγράπτους ὑποσχέσεις προσδοκᾶν ἀποδοθήσεσθαι· ἡμᾶς δὲ περιττοὺς τούτων ὑπάρχειν, οἷα τὸ γένος ἀλλοφύλους ὄντας, οἷς τὰ χείριστα διὰ πασῶν τῶν προφητειῶν θεσπίζεσθαι.

2. πρὸς δὴ οὖν ταῦτα, φέρε, ἐξ αὐτῶν τῶν παρ' αὐτοῖς προφητικῶν βίβλων τὴν πρὸς αὐτοὺς ἀπάντησιν ποιησώμεθα. τὸ μὲν οὖν παρ' αὐτοῖς ἐπηγγέλθαι [d] τὸν Χριστὸν τοῦ θεοῦ, καὶ τὴν ἄφιξιν αὐτοῦ λύτρωσιν τῷ Ἰσραὴλ κηρύττειν, οὐδ' ἂν ἡμεῖς ἀρνηθείημεν, ὁμολογουμένως διὰ πάσης αὐτῶν γραφῆς προδήλως τούτου παρισταμένου· τοῦ γε μὴν ἀποκλείειν τὰ ἔθνη τῶν ἐπὶ τῷ Χριστῷ προσδοκωμένων ἀγαθῶν, ὡς ἂν μόνῳ τῷ Ἰσραήλ, οὐχὶ δὲ καὶ τοῖς ἔθνεσιν ἐπηγγελμένων, οὐκέτι δίκαιον αὐτοῖς συγχωρεῖν παρὰ τὴν τῶν θείων γραφῶν τοῦτο φάσκουσι μαρτυρίαν.

(44) 1. *Πρῶτον οὖν*, ἐπειδήπερ αὐτοὶ τὰς ὑπὲρ αὐ-
b τῶν χρηστοτέρας φωνὰς ἀναλέγεσθαι εἰώθασι καὶ
ταύτας διὰ στόματος ἀπομνημονεύειν, ἀντιπαραθῶ-
μεν αὐτοῖς τὰς περὶ τῶν ἐθνῶν ἐξ αὐτῶν τῶν προ-
φητειῶν ἀποδείξεις, παριστῶσας ὡς ἄρα μυρίαι ὅσαι
προρρήσεις ἀγαθὰ καὶ σωτήρια πᾶσι τοῖς ἔθνεσιν
ἐθέσπιζον, καὶ ὡς οὐδ' ἄλλως ἔφασκον ἀποτελεσθή-
σεσθαι τὰ ἐπηγγελμένα τοῖς ἔθνεσιν ἢ διὰ μόνης
τῆς τοῦ Χριστοῦ παρουσίας. 2. στήσαντες δὲ ἐνταῦθα
τὸν λόγον, ἀποδεδειχότες ἂν εἴημεν ὡς οὐ μᾶλλον
ἐκείνοις φάναι χρῆν ἢ ἡμῖν τὴν ἐπὶ τὸν Χριστὸν
c τοῦ θεοῦ προσδοκίαν ἁρμόττειν. ἰσορρόπου δὲ Ἰου-
δαίοις καὶ Ἕλλησι τῆς τῶν ἐπηγγελμένων ἐλπίδος
ἀποδειχθείσης, ὡς κατὰ τοῦτο μηδὲν τῶν ἐκ περι-
τομῆς λείπεσθαι τοὺς ἀπὸ τῶν ἐθνῶν διὰ Χριστοῦ
σωθησομένους, ἐκ περιουσίας ἑξῆς ἐλέγξομεν, ὡς
ἐπὶ τῇ τοῦ Χριστοῦ παρουσίᾳ καὶ τῇ τῶν ἐθνῶν
κλήσει ἀπόπτωσιν παντελῆ καὶ ἀποβολὴν τοῦ παν-
τὸς Ἰουδαίων ἔθνους τὰ θεῖα προαναφωνεῖ λόγια,
βραχέσι μόνοις αὐτῶν καὶ ἀριθμῷ ληπτοῖς τὰ χρη-
d στότερα θεσπίζοντα, καὶ ὡς ἁλώσεται αὐτῶν ἡ πό-
λις αὐτῷ ἱερῷ, πάντα τε τὰ σεμνὰ καθαιρεθήσεσθαι
δηλοῦντα, ἃ καὶ ἔργοις πέφηνε δεδηλωμένα. 3. πῶς
δ' ὑφ' ἓν καὶ κατὰ τὸ αὐτὸ ἐπὶ τῆς τοῦ Χριστοῦ πα-
[30] ρουσίας λύτρωσιν κακῶν τῷ Ἰσραὴλ καὶ ἀγαθῶν
ἀπόλαυσιν, ἔμπαλίν τε στέρησιν ἀγαθῶν καὶ ἀπό-
πτωσιν τῆς τοῦ θεοῦ εὐσεβείας θεσπίζουσιν οἱ ἱεροὶ
λόγοι κατὰ τὸν προσήκοντα καιρὸν διευκρινήσομεν.
τέως δὲ ἐπίωμεν ἐπὶ τὸ πρῶτον, ὀλίγα τινὰ εἰς ἀπό-
δειξιν τῶν εἰρημένων ἀπὸ μυρίων ὅσων προφητειῶν
ἀναλεξάμενοι. 4. ἐπεὶ τοίνυν αὐτοὶ τὰς περὶ ἑαυ-
τῶν χρηστοτέρας προφητείας προβάλλεσθαι ἡμῖν

εἰώθασιν, ὡς ἂν αὐτοῖς μόνοις ὑπεσχημένων τῶν προϋπηργμένων, ὥρα καὶ ἡμᾶς ἀντιπαραγαγεῖν καὶ ἀντιθεῖναι αὐτοῖς τὰς περὶ τῶν ἐθνῶν ἐπαγγελίας, ὧδέ πως παρὰ τοῖς αὐτῶν προφήταις φερομένας.

α΄. Ἀπὸ τῆς Γενέσεως. (15)

Ὡς εὐλογηθήσονται τὰ ἔθνη τῆς γῆς, ἐπὶ τῷ ὁμοίῳ τρόπῳ τῆς τοῦ Ἀβραὰμ προσηγορίας.

5. "Ὁ δὲ κύριος εἶπεν, οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ. Ἀβραὰμ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ· καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς."

Κρύφιον καὶ λεληθὸς τοὺς πολλοὺς μυστήριον μὴ κρύψειν φησὶν ὁ χρησμός, ἀποκαλύψειν δὲ τῷ θεοφιλεῖ. τοῦτο δὲ ἦν τὸ περὶ τῆς τῶν ἐθνῶν ἁπάν- b των εὐλογίας, ὃ πάλαι μὲν κέκρυπτο διὰ τὸ πάντα τὰ ἔθνη κατὰ τοὺς τοῦ Ἀβραὰμ χρόνους ἀφάτῳ πλάνῃ δεισιδαιμονίας κεκρατῆσθαι, νυνὶ δὲ τοῦτο καθ' ἡμᾶς ἀναπέφανται, ὅτε διὰ τῆς τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας τὸν αὐτὸν τῷ Ἀβραὰμ θεοσεβοῦντα τρόπον τῆς ἴσης αὐτῷ μετέχει εὐλογίας. 6. ὅτι δ' οὐχ οἷόν τε ἦν κατὰ τὴν Μωσέως νομοθεσίαν πολιτεύεσθαι πάντα τὰ ἔθνη πληρέστατα ἐν τῷ πρὸ τούτου συγγράμματι διειλήφαμεν, ὡς c ἂν μή τις ὑπολάβοι περὶ τῶν παρὰ Ἰουδαίοις προσηλύτων εἰρῆσθαι τὸ λόγιον. 7. ἐν ταὐτῷ δὲ συστήσαντες ὅτι μόνοις τοῖς διὰ Χριστοῦ ἐξ ἁπάντων τῶν ἐθνῶν ἐφαρμόζοι ἂν ἡ πρὸς τὸν Ἀβραὰμ θεσπισθεῖσα περὶ πάντων τῶν ἐθνῶν εὐλογία, τοὺς φιλομαθεῖς ἐπ' ἐκεῖνα καὶ νῦν ἀναπέμψομεν.

β'. Ἀπὸ τῆς αὐτῆς.

Ὡς εὐλογηθήσονται πάντα τὰ ἔθνη τῆς γῆς, ἐπὶ τῷ προελευσομένῳ ἐκ διαδοχῆς τοῦ Ἰσαὰκ σπέρματι.

d 8. Ὁ δὲ κύριος τῷ Ἰσαὰκ χρηματίζων μεθ' ἕτερα καὶ ταῦτά φησιν "καὶ στήσω τὸν ὅρκον μου Ἀβραὰμ τῷ πατρί σου, καὶ πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ· καὶ δώσω τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς."

9. Ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ ἐκ σπέρματος Ἰσαὰκ γέγονε τὸ κατὰ σάρκα, ἐν ᾧ πάντα τὰ ἔθνη τῆς γῆς εὐλογεῖται, μαθόντα δι' αὐτοῦ τὸν τῶν ὅλων θεόν, καὶ παιδευθέντα πάλιν δι' αὐτοῦ τοὺς θεοφιλεῖς ἄνδρας εὐλογεῖν. διὸ καὶ ἀντευλογεῖται τῆς ἴσης τοῖς ὑπ' αὐτῶν εὐλογουμένοις ἀπολαύοντα εὐλογίας, κατὰ τὸν φήσαντα τοῦ θεοῦ πρὸς τὸν Ἀβραὰμ λόγον "οἱ εὐλογοῦντές σε εὐλόγηνται."

(46) γ'. Ἀπὸ τῆς αὐτῆς.

Περὶ πλείστων ἐθνῶν καὶ συναγωγῶν ἐθνῶν τῶν ἐξ Ἰακὼβ συστησομένων, καίτοι μόνου τοῦ Ἰουδαίων ἔθνους ἐξ αὐτοῦ προεληλυθότος.

10. Εἶπεν δὲ αὐτῷ ὁ θεός, δῆλον δὲ ὅτι τῷ Ἰακώβ, "ἐγὼ κύριος ὁ θεός, αὐξάνου καὶ πληθύνου εἰς ἔθνη, καὶ συναγωγαὶ ἐθνῶν ἐκ σοῦ ἔσονται."

11. Κατὰ μὲν τὸ προφανὲς ἓν ἔθνος μόνον τὸ Ἰουδαίων ἀπὸ τοῦ Ἰακὼβ συνέστη. πῶς οὖν ἀληθεύοι ἂν πληθυντικῶς λέγων ὁ χρησμός; ἐπεὶ δὲ ὁ Χριστὸς τοῦ θεοῦ ἐκ σπέρματος Ἰακὼβ γενόμενος πολb λὰς συναγωγὰς ἐθνῶν διὰ τῆς εὐαγγελικῆς αὐτοῦ

---

5 Gen. 26, 3. 24 Gen. 35, 11.

συνεκρότησεν διδασκαλίας, εἰκότως εἰς αὐτὸν καὶ δι᾿ αὐτοῦ τὰ τῆς προφητείας τέλους τετύχηκεν ἤδη πρό- [31] *τερον, καὶ εἰσαῦθις ἔτι μᾶλλον τεύξεται.*

δ΄ Ἀπὸ τοῦ Δευτερονομίου.

Δήλωσις τῆς κατὰ θεὸν εὐφροσύνης τῶν ἐθνῶν.

12. "*Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ. εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτοὺς πάντες ἄγγελοι θεοῦ.*" *ἀντὶ δὲ τοῦ* "*εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ*" *ὁ Ἀκύλας* "*ἐνοπή-* c *σατε*" *φησὶν* "*ἔθνη λαὸς αὐτοῦ.*" *καὶ Θεοδοτίων* "*ἀγαλλιᾶσθε ἔθνη λαὸς αὐτοῦ.*"

ε΄. Ἀπὸ τοῦ ψαλμοῦ κα΄.

Ὡς τῶν περάτων τῆς γῆς καὶ τῶν ἐθνῶν ἀπάντων ἐπιστροφὴ ἔσται πρὸς τὸν θεόν, γενεά τε ἡ ἥξουσα. καὶ λαὸς ὁ τεχθησόμενος τὴν αὐτοῦ δικαιοσύνην παραλήψεται.

13. "*Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.*" 14. *καὶ ἑξῆς ἐπιλέγει.* "*ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ* d *ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.*" *σαφῆ ταῦτα, οὐδ᾿ ἑρμηνείας δεόμενα.*

ϛ΄. Ἀπὸ τοῦ ψαλμοῦ μϛ΄.

Εὐσεβείας ὁμοῦ καὶ σωφροσύνης ἀπαγγελία τοῖς ἔθνεσι, καὶ θεοῦ βασιλεία ἐπὶ τὰ ἔθνη.

15. "*Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλά-*

---

6 Deut. 32, 43. 17 Ps. 21, 27. 28 Ps. 46, 1.

ξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν."
(47) 16. καὶ ἑξῆς ἐπιλέγει "ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεὸς, ψάλατε συνετῶς. ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη, ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ Ἀβραάμ." καὶ ταῦτα σαφῆ καὶ οὐδ' ἑρμηνείας δεόμενα.

ζ'. Ψαλμοῦ πε'.

Δήλωσις εὐσεβείας τῶν ἐθνῶν.

17. "Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, κύριε, καὶ οὐκ ἔστιν κατὰ τὰ ἔργα σου. πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, κύριε. καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σὺ,
b καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ θεὸς μόνος." ὁμοίως καὶ ταῦτα σαφῆ.

η'. Ψαλμοῦ ϟε'.

Δήλωσις πάντων τῶν ἐθνῶν εὐσεβείας καὶ ᾄσματος καινοῦ, καὶ βασιλείας θεοῦ, καὶ οἰκουμένης κατόρθωσις.

18. "Ἄισατε τῷ κυρίῳ ᾆσμα καινὸν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. ᾄσατε τῷ κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ, εὐαγγελίσασθε ἡμέρας τὸ σωτήριον αὐτοῦ· ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ,
c ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ. ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς." 19. καὶ ἐπιλέγει "ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν· ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ." καὶ ἑξῆς "εἴπατε ἐν τοῖς ἔθνεσιν,
d ὁ κύριος ἐβασίλευσεν. καὶ γὰρ κατώρθωσεν τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται." καὶ ταῦτα σαφῆ.

---

10 Ps. 85, 8. 19 Ps. 95, 1.

θ'. Ἀπὸ τοῦ Ζαχαρίου.

Πάντων τῶν ἐθνῶν, καὶ τῶν παρὰ πάντας δεισιδαιμονεστάτων Αἰγυπτίων, τοῦ μόνου καὶ ἀληθοῦς θεοῦ καὶ τῆς κατὰ τὸν θεῖον νόμον πνευματικῆς λατρείας τε καὶ ἑορτῆς ἐπίγνωσις. d

20. "Καὶ ἔσται, ὅσοι ἂν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἱερουσαλὴμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ τοῦ ἑορτάζειν τὴν ἑορτὴν τῆς σκηνοπηγίας. καὶ ἔσται, ὅσοι ἂν μὴ ἀναβῶσιν ἐκ πάσης τῆς φυλῆς τῆς γῆς εἰς Ἱερουσαλὴμ, [32] προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ αὐτοὶ ἐκείνοις προστεθήσονται. 21. ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ, μηδὲ ἔλθῃ, καὶ ἐπὶ τούτους ἔσται ἡ πτῶσις, ἣν πατάξει κύριος πάντα τὰ ἔθνη, ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας, αὕτη ἔσται ἡ ἁμαρτία Αἰγύπτου, καὶ ἡ (18) ἁμαρτία πάντων τῶν ἐθνῶν, ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας." 22. σαφῶς καὶ ταῦτα κλῆσιν ἁπάντων τῶν ἐθνῶν περιέχει, κατὰ διάνοιαν μόνην θεωρουμένων τῶν περὶ τῆς Ἱερουσαλὴμ καὶ τῆς σκηνοπηγίας εἰρημένων, ἃ καὶ κατὰ καιρὸν τῆς προσηκούσης τεύξεται ἑρμηνείας.

ι'. Ἀπὸ τοῦ Ἡσαίου.

Δήλωσις τῆς τῶν ἀποστόλων ἐκλογῆς καὶ τῆς τῶν ἐθνῶν κλήσεως.

23. "Τοῦτο πρῶτον πίε, ταχὺ ποίει. χώρα Ζα- b βουλὼν, ἡ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, ἴδετε φῶς μέγα· οἱ

5 Zach. 14, 16. 26 Es. 9, 1.

κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς."

ια'. Ἀπὸ τοῦ αὐτοῦ.

Τῆς τῶν ἐθνῶν κλήσεως δήλωσις.

24. "Ἀκούσατέ μου νῆσοι, καὶ προσέχετε ἔθνη.
διὰ χρόνου πολλοῦ στήσεται, λέγει κύριος." οἷς ἑξῆς
ὁμοῦ περὶ τῶν ἐθνῶν καὶ περὶ τοῦ Χριστοῦ ἐπιλέγει
b "ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθ-
νῶν τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς."

25. Μυρία δ' ἂν εὕροις καὶ αὐτὸς δι' ὅλων τῶν
προφητῶν κατεσπαρμένα ἐν ἐπαγγελίαις τῶν ἐθνῶν,
ἅπερ ἐπὶ τοῦ παρόντος οὔτε ἀναλέγειν οὔτε ἑρμη-
νεύειν καιρός, πλὴν ἱκανὰ τυγχάνει καὶ τὰ προτε-
θέντα παραστῆσαι τὸ προκείμενον. 26. τοῦτο δ' ἦν
τοῖς ἐκ περιτομῆς μέγα ἐφ' ἑαυτοῖς αὐχοῦσι καὶ σε-
μνυνομένοις, ὡς τοῦ θεοῦ μόνους αὐτοὺς τῶν λοιπῶν
ἐθνῶν προτιμήσαντος καὶ μόνους τῶν θείων ἐπαγγε-
d λιῶν κατηξιωκότος, ἐπιδεῖξαι ὡς οὐδὲν κρεῖττον παρὰ
τοὺς λοιποὺς ἅπαντας ἰδίως αὐτοῖς ἐν ταῖς θείαις
ἐπήγγελται ὑποσχέσεσιν. ὅτε τοίνυν ἀπεδείχθη τῶν
θείων ἐπαγγελιῶν τὰ ἔθνη κατηξιωμένα, φέρε λοι-
πὸν ἤδη καὶ τὸ δι' οὗ τὰ ἔθνη τῆς τοῦ θεοῦ κλήσεως
καὶ τῶν θείων ἐπαγγελιῶν τεύξεσθαι λέγεται θεα-
σώμεθα· καλὸν γὰρ καὶ τὴν αἰτίαν συνιδεῖν τὴν τοῖς
ἔθνεσι τὰ ἀγαθὰ προξενήσειν λεγομένην. 27. τίς δ'
ἂν εἴη αὕτη ἢ τοῦ Χριστοῦ παρουσία, δι' οὗ καὶ οἱ
ἐκ περιτομῆς τὴν ἑαυτῶν ὁμολογοῦσι γενήσεσθαι ἀπο-
λύτρωσιν; δεικτέον τοίνυν ὡς καὶ ἡ τῆς τῶν ἐθνῶν
(49) κλήσεως προσδοκία οὐδ' ἑτέρα τις ὑπῆρχεν ἢ αὐτὸς

---

5 Es. 49, 1 et 6.

ὁ Χριστὸς τοῦ θεοῦ, οὐ μόνον Ἰουδαίοις, ἀλλὰ καὶ πᾶσι τοῖς ἔθνεσι σωτὴρ ἐπιφανησόμενος. χρήσομαι δὲ τὰ νῦν ψιλαῖς τῶν προφητῶν μαρτυρίαις δίχα πάσης ἑρμηνείας, ἐπὶ σχολῆς μέλλων ἑκάστην εἰς πλάτος διερμηνεύειν, ἐπὰν σὺν θεῷ τὰς περὶ τῶν ἐθνῶν προρρήσεις συναγαγὼν ὁμοῦ πάσας διερμηνεύειν μέλλοιμι.

II. ιβ'. Ψαλμοῦ β'.

Δήλωσις ἐπιβουλῆς τοῦ Χριστοῦ καὶ αὐτὸς υἱὸς ἀναγορευόμενος θεοῦ, κλῆρόν τε τὰ ἔθνη παρὰ τοῦ πατρὸς λαμβάνων. c

"Ἱνατί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ," καὶ τὰ ἑξῆς· 2. οἷς ἐπιλέγει "κύριος εἶπεν πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς." d

ιγ'. Ψαλμοῦ οά.

Δήλωσις Χριστοῦ βασιλείας καὶ κλήσεως ἐθνῶν καὶ πασῶν τῶν φυλῶν τῆς γῆς εὐλογία. [33]

3. "Ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου." καὶ τὰ ἑξῆς, οἷς ἐπιλέγει "καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης." καὶ αὖθις "πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ." 4. καὶ πάλιν "εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν." καὶ ἐπὶ τέλει

---

23 Ps. 71, 1.

τοῦ Ψαλμοῦ "καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ, γένοιτο, γένοιτο."

ιδ΄. Ψαλμοῦ ϟζ΄.

Δήλωσις ᾄσματος καινοῦ, καὶ βραχίονος θεοῦ, καὶ τοῦ σωτηρίου αὐτοῦ πᾶσι τοῖς ἔθνεσι φανέρωσις· σωτήριον δὲ τὸ τοῦ υἱοῦ ὄνομα Ἑβραίων δηλοῦται φωνῇ.

5. ""Αισατε τῷ κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος. ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκά-
b λυψεν τὴν δικαιοσύνην αὐτοῦ. ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ· εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν, ἀλαλάξετε τῷ κυρίῳ πᾶσα ἡ γῆ." 6. καὶ ἐπιλέγει "σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτὸ, τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται κρῖναι τὴν γῆν, κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐθύτητι."

ιε΄. Ἀπὸ τῆς Γενέσεως.

c *Ὡς μετὰ τὴν ἔκλειψιν τῆς βασιλείας τῶν Ἰουδαίων, αὐτὸς ὁ Χριστὸς ἐπιστὰς, ἡ τῶν ἐθνῶν γενήσεται προσδοκία.*

7 "Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν."

---

9 Ps. 97, 1. 28 Gen. 49, 10.

ις'. Ἀπὸ τοῦ Σοφονίου.

Δήλωσις ἐπιφανείας Χριστοῦ, καὶ καθαιρέσεως εἰδωλολατρίας, καὶ τῶν ἐθνῶν εἰς θεὸν εὐσεβείας.

8. "Ἐπιφανήσεται κύριος ἐπ' αὐτοὺς, καὶ ἐξο- d
λοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν, καὶ προσκυνήσουσιν αὐτῷ, ἕκαστος ἐκ τοῦ τόπου αὐτῶν, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν."

ιζ'. Ἀπὸ τοῦ αὐτοῦ.

Δήλωσις ἡμέρας ἀναστάσεως Χριστοῦ, καὶ ἐθνῶν συναγωγὴ, πάντων τε ἀνθρώπων ἐπίγνωσις θεοῦ, καὶ τρόπος εἰς εὐσεβείας, καὶ ὡς Αἰθίοπες θυσίας αὐτῷ προσοίσουσιν.

9. "Διὰ τοῦτο ὑπόμεινόν με, λέγει κύριος, εἰς
ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον. διότι τὸ (51)
κρίμα μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλεῖς τοῦ ἐκχέαι ἐπ' αὐτοὺς τὴν ὀργήν μου, πᾶσαν ὀργὴν θυμοῦ μου. διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ, ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν, εἰς γενεὰν αὐτῆς, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσι θυσίας μοι."

ιη'. Ἀπὸ τοῦ Ζαχαρίου.

Δήλωσις Χριστοῦ παρουσίας, καὶ πολλῶν ἐθνῶν ἐπ' αὐτὸν c
καταφυγὴ καὶ ὡς ἔσονται τῷ κυρίῳ ἐξ ἐθνῶν συστησόμενοι λαοί.

10. "Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος· καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ
τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ [34]
εἰς λαόν. καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ

---

4 Soph. 2, 11. 12 Soph. 3, 8. 26 Zach. 2, 10.

γνώσῃ ὅτι κύριος παντοκράτωρ ἐξαπέστειλέ με πρός σε.”

ιθʹ. Ἀπὸ τοῦ Ἡσαΐου.

Δήλωσις γενέσεως Χριστοῦ ἐκ ῥίζης Ἰεσσαὶ προελευσομένου καὶ κλῆσις δι' αὐτοῦ πάντων τῶν ἐθνῶν.

11. “Ἐξελεύσεται ῥάβδος ἐκ ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ,” καὶ τὰ ἑξῆς, οἷς ἐπιλέγει “καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλ- 101
πιοῦσιν.”

κʹ. Ἀπὸ τοῦ αὐτοῦ.

d *Δήλωσις Χριστοῦ παρουσίας καὶ τῆς δι' αὐτοῦ γενομένης εἰς πάντα τὰ ἔθνη εὐεργεσίας.*

12. “Ἰδού, ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου. ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτὸν καὶ κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. οὐ κεκράξει, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. κάλαμον συντεθλασμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ σβέσει, ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν, ἀναλάμψει, καὶ οὐ θραυσθήσεται ἕως θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. 13. καὶ ἑξῆς ἐπιλέγει “ἐγὼ κύριος ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε· καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι
(52) ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. ἐγὼ κύριος ὁ θεός, τοῦτό μου ἐστιν ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλύ-

---

6 Es. 11, 1. 9 Es. 11, 12 Es. 42, 1.

πτοῖς. τὰ ἀπ' ἀρχῆς, ἰδοὺ, ἥκασιν, καινὰ ἃ νῦν ἀναγγελῶ, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν."

κά. Ἀπὸ τοῦ αὐτοῦ.

Δήλωσις Χριστοῦ καὶ γενέσεως καὶ κλήσεως ἐθνῶν.

14. "Ἀκούσατέ μου νῆσοι καὶ προσέχετε ἔθνη, διὰ χρόνου πολλοῦ στήσεται, λέγει κύριος. ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου, καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με, ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἐσκέπασέν με." 15. καὶ ἐπιλέγει ἑξῆς "ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς."

κβ'. Ἀπὸ τοῦ αὐτοῦ. c

Χριστοῦ παρουσίας δήλωσις καὶ κλήσεως ἐθνῶν.

16. "Οὕτω λέγει κύριος ὁ ῥυσάμενός σε ὁ θεὸς Ἰσραὴλ, ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων· βασιλεῖς ὄψονται αὐτὸν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτῷ," καὶ τὰ ἑξῆς· 17. οἷς ἐπιλέγει "καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κλη- d
ρονομῆσαι κληρονομίας ἐρήμους, λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι, καὶ ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν, οὐ πεινάσουσιν οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς καύσων

6 Es. 49, 1. 12 Es. 49, 6. 23 Es. 49, 7.

οὐδὲ ἥλιος, ἀλλ' ὁ ἐλεῶν παρακαλέσει, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς, καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. 18. ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσιν, οὗτοι ἀπὸ βορρᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. εὐφράνθητε οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, ὅτι ἠλέησεν κύριος τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν."

(53) κγ'. Τοῦ αὐτοῦ.

Δήλωσις Χριστοῦ καὶ κλῆσις ἐθνῶν.

19. "Προσέχετε τοῖς ὠσὶν ὑμῶν καὶ ἐπακολουθή- [35] σατε ταῖς ὁδοῖς μου, ἐπακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. ἰδοὺ μαρτύριον ἔθνεσι δέδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν. ἔθνη ἃ οὐκ οἴδασίν σε ἐπικαλέσονταί σε, καὶ λαοὶ οἳ οὐκ ἐπίστανταί σε ἐπὶ σὲ καταφεύξονται, ἕνεκα κυρίου τοῦ θεοῦ σου τοῦ ἁγίου σοῦ Ἰσραὴλ, ὅτι ἐδόξασέν σε."

b 20. Καὶ διὰ τούτων οὖν μεμαθηκότες ὡς ἡ τοῦ Χριστοῦ παρουσία οὐ μόνοις Ἰουδαίοις, ἀλλὰ καὶ πᾶσι τοῖς ἔθνεσι σωτήριος ἔσεσθαι προηυτρεπίζετο, φέρε καὶ τὸ τρίτον ἀποδείξωμεν, ὅπως κατὰ τοὺς τῆς ἐπιφανείας αὐτοῦ χρόνους οὐ μόνον τὰ χρηστότερα τοῖς ἔθνεσι προεφητεύετο, ἀλλὰ καὶ τοῖς ἐκ περιτομῆς τὰ ἐναντία. 21. διαρρήδην γοῦν ἀπόπτωσιν καὶ ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους διὰ τὴν εἰς Χριστὸν ἀπιστίαν αὐτῶν ἔσεσθαι τὰ παρ' αὐτοῖς λόγια προαγορεύει, ὡς μηκέτι ἴσους ἡμᾶς αὐτοῖς, ἀλλὰ καὶ κρείττους

11 Es. 55, 3.

αὐτῶν ἐκ περιουσίας ἀναφαίνεσθαι. καὶ νῦν δὲ χρή- d
σομαι ψιλαῖς ταῖς τῶν προφητῶν παραθέσεσι δίχα πάσης τῆς εἰς αὐτὰς θεωρίας, διά τε τὸ σαφὲς αὐτῶν καὶ διὰ τὸ μέλλειν ἐπὶ σχολῆς πληρεστάτην αὐτῶν ποιήσασθαι τὴν ἐξέτασιν.

κδ΄. Ἀπὸ τοῦ Ἱερεμίου.

Δήλωσις ἀρνήσεως τοῦ Ἰουδαίων ἔθνους, καὶ τῆς ἀντ' αὐτῶν εἰσποιήσεως τῶν ἐθνῶν.

III. "Τάδε λέγει κύριος, στῆτε ἐν ταῖς ὁδοῖς, καὶ ἴδετε, καὶ ἐρωτήσατε τρίβους κυρίου αἰωνίους, καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν· καὶ εἶπαν, οὐ πορευσόμεθα. καθέστακα ἐφ' ὑμᾶς σκοπούς, ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος καὶ εἶπαν, οὐκ ἀκουσόμεθα. διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη, καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια ἐν αὐτοῖς." (54)

κε΄. Ἀπὸ τοῦ αὐτοῦ.

Τῆς τῶν ἐθνῶν εὐσεβείας δήλωσις καὶ τῆς τοῦ Ἰουδαίων ἔθνους δυσσεβείας κατηγορία. πρόρρησις δὲ τῶν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν μετελθόντων αὐτοὺς κακῶν.

2. "Κύριε ἰσχύς μου καὶ βοήθειά μου καὶ καταφυγή μου ἐν ἡμέρᾳ κακῶν. πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν b
αὐτοῖς ὠφέλεια· εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεούς, καὶ οὗτοι οὐκ εἰσὶν θεοί. 3. διὰ τοῦτο ἰδοὺ ἐγὼ δείξω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ, γνωριῶ αὐτοῖς τὴν χεῖρά μου καὶ τὴν δύναμίν μου· καὶ γνώσονται

---

9 Jer. 6, 16. 21 Jer. 16, 19.

ὅτι ὄνομά μοι κύριος. ἁμαρτία Ἰούδα ἐγγέγραπται ἐν γραφῇ ἐν ὄνυχι ἀδαμαντίνῳ, ἐγκεκολαμμένη ἐπὶ τοῦ στήθους τῆς καρδίας αὐτῶν, ἡνίκα ἂν μνησθῶσιν τὰ ἄλση αὐτῶν ἐπὶ ξύλου δασέος, καὶ ἐπὶ
c βουνῶν μετεώρων, καὶ ὀρέων· ἐν ἀγρῷ. ἰσχύν σου καὶ θησαυρούς σου εἰς προνομὴν δώσω, καὶ τὰ ὕψιστά σου διὰ τὰς ἁμαρτίας σου τὰς ἐν πᾶσι τοῖς ὁρίοις σου. καὶ ἀφεθήσῃ μόνη, καὶ ταπεινωθήσῃ ἀπὸ τῆς κληρονομίας σου, ἧς ἔδωκά σοι. 4. καὶ καταδουλώσω σε τοῖς ἐχθροῖς σου ἐν τῇ γῇ ᾗ οὐκ ἔγνως· ὅτι πῦρ ἐκκέκαυται ἐν τῷ θυμῷ μου, ἕως αἰῶνος καυθήσεται."

κϛ'. Ἀπὸ τοῦ Ἀμώς.

Τὰ περὶ τῆς εἰς πάντα τὰ ἔθνη διασπορᾶς τοῦ Ἰουδαίων
d ἔθνους, καὶ περὶ τῆς ἀνανεώσεως τῆς Χριστοῦ παρουσίας καὶ βασιλείας, καὶ τῆς ἐπ' αὐτῇ γεγενημένης τῆς τῶν ἐθνῶν ἁπάντων κλήσεως.

5. "Ἰδοὺ ἐγὼ ἐντέλλομαι, καὶ λικμήσω ἐν πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον Ἰσραήλ, ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν·
[36] ῥομφαίᾳ τελευτήσουσιν πάντες οἱ ἁμαρτωλοὶ τοῦ λαοῦ μου, οἱ λέγοντες, οὐ μὴ ἐγγίσῃ οὐδὲ μὴ ἔλθῃ ἐφ' ἡμᾶς τὰ κακά· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, 6. καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτήν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν ἀνθρώπων, καὶ πάντα τὰ ἔθνη, ἐφ' ἃ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτά, λέγει κύριος ὁ ποιῶν ταῦτα πάντα."

---

17 Amos 9, 9.

κζ'. Ἀπὸ τοῦ Μιχαίου. (55)

Κατηγορία τῶν ἀρχῶν τῶν τοῦ Ἰουδαίων ἔθνους, καὶ δήλωσις ἐρημώσεως τῆς μητροπόλεως αὐτῶν, ἐπιφάνειά τε Χριστοῦ καὶ οἴκου θεοῦ τῆς ἐκκλησίας αὐτοῦ, λόγου τε καὶ νόμου πρόσοδος, καὶ τῶν ἐθνῶν ἁπάντων δήλωσις.

7. "Ἀκούσατε δὴ ταῦτα οἱ ἡγούμενοι οἴκου Ἰακώβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ, οἱ βδελυσσόμενοι κρίμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασι καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ b οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίναντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν κύριον ἐπανεπαύοντο, λέγοντες, οὐχὶ κύριος μεθ' ἡμῶν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. 8. διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ. καὶ ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων· καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοί, καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσι, δεῦτε καὶ ἀναβῶ- c μεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ, ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ."

κη'. Ἀπὸ τοῦ Ζαχαρίου.

Δήλωσις περὶ Χριστοῦ παρουσίας, καὶ τῆς τῶν Ἰουδαίων πολεμικῆς παρασκευῆς ὄλεθρος, ἐθνῶν τε εἰρήνη καὶ βασιλεία κυρίου μέχρι τῶν περάτων τῆς οἰκουμένης.

9 "Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύ- d γατερ Ἱερουσαλήμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι

---

6 Mic. 3, 9. 30 Zach. 9, 9.

δίκαιος καὶ σώζων, αὐτὸς πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον, καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ, καὶ ἵππον ἐξ Ἱερουσαλὴμ, καὶ ἐξολοθρεύσει τόξον πολεμικόν· καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν, καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν δι' ἐκβολῶν γῆς."

κθ'. Ἀπὸ τοῦ Μαλαχίου.

Παραίτησις τοῦ Ἰουδαίων ἔθνους, καὶ τῆς κατὰ τὸν Μωσέως νόμον σωματικῆς αὐτῶν θρησκείας ἄρνησις, τῆς διὰ Χριστοῦ πᾶσι τοῖς ἔθνεσι παραδοθείσης πνευματικῆς λατρείας.

(56) *"Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. διότι ἀπ' ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος παντοκράτωρ, ὑμεῖς δὲ βεβηλοῦτε αὐτό."*

λ'. Ἀπὸ τοῦ Ἡσαίου.

b*Τοῦ Ἰουδαίων ἔθνους ἀπόπτωσις λόγου τε θεοῦ, καὶ νόμου καινοῦ, οἴκου τε αὐτοῦ φανέρωσις, καὶ τῶν ἐθνῶν ἁπάντων εὐσεβείας δήλωσις.*

11. *"Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς*
(57) *σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πόλις πολιορκουμένη." καὶ ἑξῆς ἐπιλέγει "πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί;"* 12. *καὶ ἐπὶ τούτοις "ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππίου, καὶ*

---

11 Mal. 1. 10. 23 Es. 1, 8. 21. 30.

αἱ ἐργασίαι αὐτῶν ὡς σπινθῆρες πυρὸς, καὶ κατα- c *καυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων."* 13. *τούτοις ἅπασιν ἐπιλέγει "καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων. καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη· καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσιν, δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νό-* d *μος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν."*

λα'. Ἀπὸ τοῦ αὐτοῦ.

Καθαίρεσις τῆς δόξης τοῦ Ἰουδαίων λαοῦ, καὶ ἡ τῶν ἐθνῶν ἀπὸ τῆς εἰδωλολατρίας ἐπιστροφὴ πρὸς τὸν τῶν ὅλων θεὸν, τά τε περὶ τῆς ἐρημίας τῶν Ἰουδαϊκῶν πόλεων, καὶ περὶ τῆς εἰς τὸν θεὸν ἀπιστίας αὐτῶν.

14. *"Τάδε λέγει κύριος Σαβαὼθ, καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν ἐν φάραγγι στερεᾷ, καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥῶγες ἐλαίας δύο ἢ τρεῖς ἐπ' ἄκρου μετεώρων, ἢ τέσσαρες, ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν καταλειφθῇ.* 15. *τάδε λέγει κύριος ὁ θεὸς τοῦ Ἰσραήλ· τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτὸν,* (67) *οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέψονται· καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς, οὔτε ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν· καὶ οὐκ ὄψονται τὰ*

---

4 Es. 2, 2. 19 Es. 17, 5.

δένδρα, οὔτε τὰ βδελύγματα αὐτῶν τῇ ἡμέρᾳ ἐκείνῃ. ἔσονται αἱ πόλεις σου ἐγκαταλελειμμέναι, ὃν τρόπον ἐγκατέλιπον οἱ Ἀμορραῖοι καὶ οἱ Εὐαῖοι ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. 16. καὶ ἔσονται ἔρημοι, διότι ἐγκατέλιπες τὸν θεὸν τὸν σωτῆρά σου, καὶ κυρίου
b τοῦ θεοῦ σου οὐκ ἐμνήσθης. διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον· τῇ δὲ ἡμέρᾳ ᾗ ἂν φυτεύσῃς, πλανηθήσῃ."

λβ'. Τοῦ αὐτοῦ.

Δήλωσις καθαιρέσεως τῶν Ἰουδαϊκῶν πόλεων καὶ τῆς τῶν ἐθνῶν κατὰ θεὸν εὐφροσύνης.

17. "Κύριε ὁ θεός μου δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν, ἀληθινήν. γένοιτο κύριε, ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλεις ὀχυρὰς τοῦ πεσεῖν αὐτῶν τὰ θεμέλια. τῶν ἀσεβῶν πόλις εἰς τὸν αἰῶνα οὐ
c μὴ οἰκοδομηθῇ. διὰ τοῦτο εὐλογήσει σὲ ὁ λαὸς ὁ πτωχὸς, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε. ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθὸς, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη. 18. καὶ ποιήσει κύριος Σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν ἐπὶ τὸ ὄρος τοῦτο, πίονται εὐφροσύνην, πίονται οἶνον, χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν, ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη· κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου, τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ὁ θεὸς ἀπὸ πάσης τῆς γῆς. τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα."

---

13 Es. 25, 1.

λγ'. Τοῦ αὐτοῦ. d

Ἀγαθῶν ἐπαγγελία τῇ πάλαι ἐρήμῳ ἐξ ἐθνῶν ἐκκλησίᾳ, τοῦ τε Ἰουδαίων ἔθνους ἀπόγνωσις καὶ ἔλεγχος τῶν ἁμαρτιῶν αὐτῶν καὶ πάντων τῶν ἐθνῶν κλῆσις.

19. "Μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε· ὅτι ἰδοὺ ἐγὼ ποιῶ καινὰ ἃ νῦν [38] ἀνατελεῖ, καὶ γνώσεσθε αὐτά, καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν, καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς· καὶ εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες καὶ θυγατέρες στρουθῶν· ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτὸν, λαόν μου ὃν περιεποιησάμην· τὰς ἀρετάς μου διηγεῖσθε. 20. οὐ νῦν ἐκά- (58) λεσά σε Ἰακὼβ, οὐδὲ κοπιάσαι σε ἐποίησα Ἰσραήλ. οὐκ ἤνεγκάς μοι πρόβατα τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με· οὐκ ἐδούλευσάς μοι ἐν δώροις, οὐδὲ ἔγκοπόν σε ἐποίησα ἐν λιβάνῳ, οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυμίαμα, οὐδὲ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα, ἀλλ' ἐν ταῖς ἁμαρτίαις σου καὶ ἐν ταῖς ἀδικίαις σου προέστην σου." 21. καὶ ἐν τοῖς ἑξῆς φησιν "ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε οἱ ἀπ' ἐσχάτου τῆς γῆς. ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἄλλος· κατ' ἐμαυτοῦ ὀμνύω, ἦ μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη. οἱ λόγοι μου οὐκ ἀποστραφήσονται, ὅτι ἐμοὶ πᾶν b γόνυ κάμψει, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν θεὸν τὸν ἀληθινὸν, λέγων, δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει, καὶ αἰσχυνθήσονται πάντες οἱ διοριζόντες ἑαυτοὺς ἀπὸ τοῦ κυρίου."

---

5 Es. 43, 18. 21 Es. 45, 22.

λδ΄. Τοῦ αὐτοῦ.

Δήλωσις τῆς τοῦ Χριστοῦ εἰς ἀνθρώπους παρουσίας καὶ ἔλεγχος τοῦ Ἰουδαίων ἔθνους, καὶ τοῖς ἔθνεσιν ἅπασιν ἀγαθῶν ἐπαγγελία.

22. "Οὕτω λέγει κύριος, ποῖον τὸ βιβλίον τοῦτο c τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ἐν ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα την μητερα ὑμῶν· διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα. καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος," καὶ τὰ ἑξῆς. 23. οἷς ἐπιλέγει "οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς· πεποίθατε ἐπὶ τῷ ὀνόματι κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ ὑμῶν. ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε καὶ κατισχύσατε φλόγα. πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. δι᾽ ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε." καὶ τὰ ἑξῆς. 24. οἷς ἐπιλέγει d "ἀκούσατέ μου, ἀκούσατέ μου· λαός μου, καὶ οἱ βασιλεῖς πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ᾽ ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ ἐπὶ τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν."

λε΄ Ἐκ τοῦ αὐτοῦ.

Ἔλεγχος τῶν ἀσεβημάτων τοῦ τῶν Ἰουδαίων ἔθνους καὶ ἀπόπτωσις αὐτῶν τῆς εὐσεβείας, τῆς δὲ τῶν ἐθνῶν ἁπάντων κλήσεως δήλωσις.

25. "Μὴ οὐχὶ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι, ἢ ἐβάρυνεν τὸ οὖς αὐτοῦ τοῦ μὴ ἀκοῦσαι; ἀλλὰ τὰ

---

5 Es. 50, 1. 11 Es. 50, 10. 18 Es. 51, 4. 28 Es. 59 1.

ἁμαρτήματα ὑμῶν διίστησιν ἀναμέσον ὑμῶν, καὶ (59)
ἀναμέσον τοῦ θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι· αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις, 26. τὰ δὲ χείλη ὑμῶν ἐλάλησεν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. οὐδεὶς λαλεῖ δίκαια, οὐδ' ἔστιν ἡ κρίσις ἀληθινή· πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενά, ὅτι κύουσι πόνον καὶ τίκτουσιν ἀνομίαν· 27. ᾠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι, καὶ ὁ θέλων τῶν ᾠῶν αὐτῶν φαγεῖν συντρίψας οὔριον b
εὗρε καὶ ἐν αὐτῷ βασιλίσκον, ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴ περιβάλωνται ἀπὸ τῶν ἔργων αὐτῶν· τὰ γὰρ ἔργα αὐτῶν ἔργα ἀνομίας, οἱ δὲ πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι· ταχινοὶ ἐκχέαι αἷμα, καὶ οἱ διαλογισμοὶ αὐτῶν διαλογισμοὶ ἀφρόνων· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, αἱ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσιν, καὶ οὐκ οἴδα- [39]
σιν εἰρήνην. 28. διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη. ὑπομεινάντων φῶς, ἐγένετο αὐτοῖς σκότος· μείναντες c
αὐγὴν, ἐν ἀωρίᾳ περιεπάτησαν. ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον, καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι, πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ· ὡς ἀποθνήσκοντες στενάξουσιν· ὡς ἄρκος καὶ περιστερὰ ἅμα πορεύσονται." καὶ τὰ ἑξῆς. 29. οἷς ἐπιλέγει "καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου, καὶ οἱ ἀπὸ ἀνατολῶν ἡλίου, τὸ ὄνομα τὸ ἔνδοξον."

Ἀλλὰ γὰρ πλείστων ὅσων οὐσῶν περὶ τῆς αὐτῆς

26 Es. 59, 19.

ὑποθέσεως προφητειῶν, ταῖς παρατεθείσαις μαρτυρίαις ἀρκεσθησόμεθα καὶ κατὰ καιρὸν αὖθις ἀναλαβόν-
d τες ἐξομαλίσομεν, ἡγούμενοι τέως δαψιλέσι ταῖς λέξεσι καὶ ταῖς ἀπὸ τούτων μαρτυρίαις κεχρημένοι ἱκανῶς ἀποδεδειχέναι μηδὲν πλέον ἔχειν Ἰουδαίους τῶν λοιπῶν ἐθνῶν. 30. εἴτε γὰρ τῆς τοῦ θεοφιλοῦς Ἀβραὰμ εὐλογίας μόνους αὐτούς φασιν εἶναι κοινωνοὺς διὰ τὸ ἐξ αὐτοῦ κατάγειν τὸ γένος· ἀλλὰ καὶ τοῖς ἔθνεσι τῆς ἴσης τῷ Ἀβραὰμ οὐ μόνον, ἀλλὰ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ εὐλογίας μεταδώσειν ἐπήγγελται, διαρρήδην εὐλογηθήσεσθαι ὁμοίως αὐτοῖς πάντα τὰ ἔθνη προειπών, καὶ ὑπὸ μίαν καὶ τὴν αὐτὴν εὐφροσύνην τοῖς μακαρίοις καὶ θεοφιλέσι καὶ τὰ λοιπὰ ἔθνη ἀνακαλούμενος κατὰ τὸ "εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ·" 31. καὶ "ἄρχοντες λαῶν συνήχθησαν
(60) μετὰ τοῦ θεοῦ Ἀβραάμ·" εἴτε ἐπὶ βασιλείᾳ τοῦ θεοῦ, ὡς ἂν αὐτοῦ γεγονότες κλῆρος, φρυάττονται· ἀλλὰ καὶ ἐπὶ πάντα τὰ λοιπὰ ἔθνη βασιλεύσειν ὁ θεὸς θεσπίζεται "εἴπατε γάρ, φησίν, ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσε·" 32. καὶ πάλιν "ἐβασίλευσεν ὁ θεὸς ἐπὶ πάντα τὰ ἔθνη" εἴτε ἐπὶ τὸ ἱερουργεῖν καὶ τῷ θεῷ λατρεύειν ἐξειλέχθαι αὐτοὺς φαῖεν, δεικτέον ὡς καὶ τοῖς ἔθνεσι τῆς ἴσης ὁ λόγος μεταδώσειν ἐπήγγελται θεραπείας λέγων "ἐνέγκατε τῷ κυρίῳ αἱ πα-
b τριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν. ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ." 33. οἷς καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ συνάψεις λόγιον τὸ φῆσαν "ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, ... καὶ γνώσονται οἱ Αἰγύπτιοι

---

14 Deut. 32, 43. 15 Ps. 47, 9. 19 Ps. 96, 10. 20 Ps. 47, 8. 24 Ps. 96, 7. 28 Es. 19, 19.

τὸν κύριον. καὶ ποιήσουσι θυσίας, καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ καὶ ἀποδώσουσιν." ἔνθα καὶ ἐπιστήσεις ὡς ἐκτὸς τῆς Ἱερουσαλὴμ ἐπὶ τῆς Αἰγύπτου θυσιαστήριον τῷ κυρίῳ συστήσεσθαι, καὶ θύσειν αὐτόθι τοὺς Αἰγυπτίους καὶ εὔξεσθαι εὐχάς, καὶ ἀποδώσειν τῷ κυρίῳ προφητεύεται. 34. οὐ μόνον δὲ ἄρα ἐπὶ τῆς Αἰγύπτου, ἀλλὰ καὶ ἐπ' αὐτῆς τῆς ἀληθοῦς Ἱερουσαλήμ, ἥτις ποτὲ αὕτη νοεῖται, πάντα τὰ c ἔθνη, καὶ αὐτοί γε οἱ πάντων δεισιδαιμονέστατοι Αἰγύπτιοι τὴν κατὰ διάνοιαν θεωρουμένην σκηνοπηγίαν ἑορτάσειν ὑπὸ τῆς προφητείας ἀνακαλοῦνται. 35. εἰ δὲ καὶ πάλαι πρότερον "ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ," ἀλλ' ὕστερόν ποτε καὶ τὰ ἔθνη πάντα τῷ κυρίῳ δοθήσεσθαι κλῆρος εἴρηται φήσαντος αὐτῷ τοῦ πατρὸς "αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου." καὶ γὰρ κατακυριεύσειν οὐ τῆς Ἰουδαίας, ἀλλ' ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ περάτων τῆς οἰκουμένης προφητεύεται "πάντα τε τὰ ἔθνη δουλεύσουσιν αὐτῷ, καὶ ἐνευλογηθήσονται ἐν d αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς." 36. τούτου δὲ ἦν αἴτιον τὸ γνωρίσαι τῶν ὅλων θεὸν τὸ σωτήριον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν. σεσημείωται δὲ ἡμῖν ἤδη πρότερον τὸ Ἰησοῦς ὄνομα εἰς τὴν Ἑλλήνων ἀπὸ τῆς Ἑβραίων μεταβαλλόμενον φωνῆς σωτήριον ἑρμηνεύεσθαι, ὡς μηδὲν ἕτερον εἶναι τὸ σωτήριον τοῦ θεοῦ ἢ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ [40] προσηγορίαν. 37. μαρτυρεῖ τούτῳ καὶ ὁ Συμεὼν ἐν τῷ εὐαγγελίῳ, ὃς λαβὼν τὸ παιδίον, αὐτὸν δὴ τὸν Ἰησοῦν, μετὰ χεῖρας ἐπηύξατο "νῦν ἀπολύεις τὸν

12 Deut. 32, 9. 16 Ps. 2, 8. 19 Ps. 72, 11. 27.
30 Luc. 2, 29.

δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ·
(61) ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν. αὐτὸ γοῦν τὸ σωτήριον καὶ ὁ ψαλμῳδὸς ἐδήλου λέγων "ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ." 38. καὶ κατὰ τὸν Ἠσαΐαν τοῦτ' αὐτὸ τὸ σωτήριον ἰδόντες πάντες ἄνθρωποι προσκυνήσειν λέγονται τῷ τῶν ὅλων θεῷ τὸ σωτήριον αὐτοῦ τοῖς πᾶσιν ἀφθόνως κεχαρισμένῳ· καὶ προσκυνήσειν γε αὐτῷ οὐκ ἐπὶ τῆς κάτω Ἱερουσαλὴμ τῆς κατὰ τὴν Παλαιστίνην, ἀλλ' ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ, καὶ
b πάντας τοὺς ἐν ταῖς νήσοις τῶν ἐθνῶν· ὅτε καὶ πληρωθήσεται τὸ φάσκον λόγιον ἐπικαλεῖσθαι πάντας ἀνθρώπους οὐκ ἔτι τοὺς πατρῴους θεοὺς, οὐδὲ τὰ εἴδωλα καὶ τοὺς δαίμονας, ἀλλὰ τὸ ὄνομα κυρίου, καὶ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα, ἐκ περάτων τε ποταμῶν Αἰθιοπίας προσοίσουσιν αὐτῷ τὰς λογικὰς καὶ ἀναίμους θυσίας διὰ τῆς τοῦ Χριστοῦ καινῆς διαθήκης, οὐκ ἐπὶ τῆς κάτω Ἱερουσαλὴμ, οὐδ' ἐν τῷ πρὸς ταύτῃ θυσιαστηρίῳ, ἀλλ' ἐν τοῖς δηλουμένοις
c πέρασι τῆς Αἰθιοπίας ἀνενεχθησομένας. 39. εἰ δὲ καὶ μέγα τί ἐστιν λαὸν εἶναί τε καὶ χρηματίζειν θεοῦ, καὶ ἕν γε τοῦτο τῶν μεγίστων θείων ἐπαγγελιῶν τυγχάνει, τὸ ὑπ' αὐτοῦ λέγεσθαι περὶ τῶν ἀξίων αὐτοῦ "ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονται λαός μου·" ἐσεμνύνετό τε πρὶν εἰκότως ὁ Ἰσραὴλ ἐπὶ τῷ ὡς μόνος λαὸς ὢν τοῦ θεοῦ, ἀλλὰ καὶ τοῦτο τὸ ἀγαθὸν ἐπιδημήσας ὁ κύριος τοῖς ἔθνεσι χαριεῖσθαι ὑπισχνεῖται λέγων "ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ

---

5 Ps. 97, 2. 26 Jer. 31, 33. 30 Zach. 2, 10.

σου. καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον,
καὶ ἔσονται αὐτῷ εἰς λαόν." 40. περὶ ὧν καὶ ἁρμόσει
λέγεσθαι, "καὶ ἐρῶ τῷ οὐ λαῷ μου, λαός μου εἶ σύ. a
καὶ αὐτὸς ἐρεῖ, κύριος ὁ θεός μου εἶ σύ." εἰ δὲ αὐ-
τός ἐστι καὶ οὐδ' ἄλλος ὁ Χριστὸς ὁ ἐκ ῥίζης Ἰεσσαὶ
βλαστήσειν προφητευόμενος, καὶ τοῦτό γε καὶ αὐτοῖς
Ἑβραίοις ἀνωμολόγηται, ὡς μηδένα μηδαμῶς περὶ
τούτου γε ἀμφισβητεῖν, ὅρα ὅπως καὶ οὗτος ἀναστή-
σεσθαι ἐπὶ τὸ ἄρχειν οὐ τοῦ Ἰσραὴλ, ἀλλὰ τῶν ἐθνῶν
ἀναπεφώνηται, τά τε ἔθνη ἐλπίσειν ἐπ' αὐτῷ, ἀλλ'
οὐχ ὅ γε Ἰσραὴλ λέλεκται, ἐπειδήπερ αὐτὸς ἦν ἡ
προσδοκία τῶν ἐθνῶν. 41. διὸ καὶ κρίσιν τοῖς ἔθνε-
σιν ἐξοίσειν λέγεται καὶ εἰς φῶς ἐθνῶν γενήσεσθαι·
καὶ πάλιν "ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι, καὶ
εἰς σωτηρίαν δοθήσεσθαι οὐ μόνοις Ἰουδαίοις, ἀλλὰ
καὶ πᾶσιν ἀνθρώποις τοῖς ἕως ἐσχάτου τῆς γῆς.
42. διὸ καὶ εἴρηται αὐτῷ ὑπὸ τοῦ καταπέμψαντος αὐ-
τὸν πατρὸς "ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς (62)
ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι
κληρονομίας ἐρήμους." μαρτύριον δὲ τοῖς ἔθνεσί
φησιν, ὥστε πάντα τὰ ἔθνη τὰ μηδεπώποτέ τι περὶ
Χριστοῦ μεμαθηκότα, γνόντα τὴν περὶ αὐτοῦ οἰκονο-
μίαν, καὶ τίς ἦν ἐν αὐτῷ δύναμις, ἐπικαλέσασθαι αὐ-
τὸν, καὶ τοὺς μὴ πάλαι πρότερον εἰδότας αὐτὸν λαοὺς
ἐπ' αὐτὸν καταφεύξεσθαι. 43. καὶ τί με δεῖ μηκύ-
νειν τὸν λόγον, παρὸν ἐξ αὐτῶν τῶν προφητικῶν
λέξεων, ὧν τε παρατέθειμαι καὶ ὧν ἐπὶ σχολῆς μνη-
μονεύσω ἐν ταῖς θείαις φερομένων γραφαῖς, ὅτῳ φί- b
λον ἀναλέξασθαι τὰς προφητικὰς φωνάς, αὐτόθεν

---

3 Hos. 2, 23. 12 Es. 42. 1. 6. 14 Es. 42, 4.
18 Es. 49, 8.

κατασιγάζειν τοὺς ἐκ περιτομῆς φάσκοντας μόνοις αὐτοῖς τὰς ἐπαγγελίας τοῦ θεοῦ δεδωρῆσθαι, ἡμᾶς δὲ τοὺς ἀπὸ τῶν ἐθνῶν περιττοὺς εἶναι καὶ τῶν θείων ὑποσχέσεων ἀλλοτρίους· δέδεικται γὰρ ἔμπαλιν ὡς τεθέσπιστο τὰ μὲν ἔθνη πάντα τῆς Χριστοῦ [11] παρουσίας ἀπολαύσειν, τὰ δ' Ἰουδαίων πλήθη ἀποπεσεῖσθαι τῆς πρὸς τοὺς αὐτῶν προγόνους ἐπαγγελίας διὰ τὴν εἰς Χριστὸν αὐτῶν ἀπιστίαν, σπανίων c ἐξ αὐτῶν εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν πιστευσάντων, καὶ διὰ τοῦτο τῆς ἐπηγγελμένης πνευματικῆς ἀπολυτρώσεως δι' αὐτοῦ τευξομένων· 44. περὶ ὧν καὶ ὁ θαυμάσιος ἀπόστολος διδάσκει που λέγων "Ἠσαΐας δὲ κραυγάζει ὑπὲρ τοῦ Ἰσραὴλ, ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ ὑπόλειμμα σωθήσεται· λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει κύριος ἐπὶ τῆς γῆς. καὶ καθὼς προεῖπεν Ἠσαΐας, εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν d σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν." 45. οἷς μεθ' ἕτερα ἐπιφέρει λέγων "μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο. καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν. οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. 46. ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφὴ, ὡς ἐντυγχάνει τῷ θεῷ, λέγων περὶ τοῦ Ἰσραὴλ, κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου, τοῦ λαβεῖν αὐτήν; ἀλλὰ τί λέγει ὁ χρηματισμός; κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ

---

13 Rom. 9, 27. 21 Rom. 11, 1.

Βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατὰ ἐκλογὴν χάριτος γέγονεν."

47. Διὰ τούτων γὰρ ὁ ἀπόστολος σαφῶς ἐπὶ τῇ (63) τοῦ παντὸς Ἰουδαίων ἔθνους ἀποπτώσει ἑαυτὸν καὶ τοὺς αὐτῷ παραπλησίους ἀποστόλους τε καὶ εὐαγγελιστὰς τοῦ σωτῆρος ἡμῶν πάντας τε τοὺς ἔτι καὶ νῦν ἐξ Ἰουδαίων εἰς τὸν Χριστὸν πιστεύσαντας τὸ σπέρμα εἶναι διασαφεῖ τὸ ὑπὸ τοῦ προφήτου ὠνομασμένον κατὰ τὸ "εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα." τοῦτο δὲ εἶναι καὶ τὸ ἐν ταῖς λοιπαῖς προφητείαις δηλούμενον ὑπόλειμμα τοῦ παντὸς, ὅπερ φησὶν κατ' ἐκλογὴν χάριτος πεφυλάχθαι. 48. περὶ οὗ ὑπολείμματος φέρε πάλιν τὰ ἀπὸ τῶν προφητῶν ἐξαπλώσωμεν, ὡς ἂν παρασταίη διὰ πλειόνων ὅτι μὴ ἀδιακρίτως παντὶ τῷ Ἰουδαίων ἔθνει τὴν τοῦ Χριστοῦ b παρουσίαν σωτήριον ἔσεσθαι ὑπέσχετο ὁ θεὸς, ἀλλ' ὀλίγοις καὶ κομιδῇ σπανίοις τοῖς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν πεπιστευκόσιν, ὥσπερ οὖν καὶ τὸ ἔργον ἀκολούθως ταῖς προρρήσεσιν ἐπηκολούθησεν.

λϛ'. Ἀπὸ τοῦ Ἡσαΐου.

Ὅτι μὴ εἰς πᾶν τὸ Ἰουδαίων ἔθνος, ἀλλ' εἰς ὀλίγους αὐτῶν διήκει τὰ τῶν θείων ἐπαγγελιῶν.

49. "Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι· c τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πόλις πολιορκουμένη. καὶ εἰ μὴ

23 Es. 1, 7.

κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν."

50. Ἀρχόμενος ὁ μέγας καὶ θαυμάσιος προφήτης τῆς οἰκείας βίβλου τὴν πᾶσαν τῆς προφητείας ὑπόθεσιν κατὰ τῆς Ἰουδαίας καὶ κατὰ τῆς Ἱερουσαλὴμ
A ὅρασιν καὶ θεωρίαν περιέχειν διδάσκει, ἔπειτα τὸ πᾶν Ἰουδαίων ἔθνος ἀπελέγχει, πρῶτα μὲν λέγων "ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν." 51. εἶτα τὸ πᾶν ἔθνος ταλανίζων ἐπιφέρει "οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι."

52. Τούτοις ἐν ἀρχῇ τῆς βίβλου κατ' αὐτῶν χρησάμενος τοῖς ἐλέγχοις, καὶ προδιδάξας τὰς αἰτίας τῆς
[42] μελλούσης ἐπιφέρεσθαι κατ' αὐτῶν προρρήσεως, ἑξῆς ἀπάρχεται φάσκων "ἡ γῆ ὑμῶν ἔρημος", μὴ οὔσης ἐρήμου καθ' οὓς προεφήτευε χρόνους. "αἱ πόλεις ὑμῶν πυρίκαυστοι·" μηδὲ τούτου πω γεγενημένου, ἀλλ' οὐδὲ τὴν χώραν αὐτῶν τότε ἤσθιον ἀλλότριοι·
(64) καὶ ὅμως φησὶν "τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν" καὶ τὰ ἑξῆς. 53. εἰ οὖν ἐπὶ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετέλθοις παρουσίαν καὶ τοὺς ἐξ ἐκείνου καὶ εἰς δεῦρο χρόνους, πάντα ἂν εὕροις τὰ εἰρημένα πληρούμενα. ἥ τε γὰρ θυγάτηρ Σιών, (αὕτη δὲ ἦν ἡ ἐπὶ ὄρους τοῦ καλουμένου Σιὼν ἐπιτελουμένη θρησκεία), ἀπὸ τῆς Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν παρουσίας ἐγκαταλέλειπται ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλά-
b κιον ἐν σικυηράτῳ, καὶ εἴ τι τούτων ἐρημότερον· τήν τε χώραν αὐτῶν ἀλλότριοι ἐνώπιον αὐτῶν κατεσθί-

---

8 Es. 1, 3.

ουσι, τοτὲ μὲν δασμοὺς καὶ φόρους αὐτοὺς εἰσπραττόμενοι, τοτὲ δὲ ἴδιον ἑαυτῶν κτῆμα τὴν πάλαι τῶν Ἰουδαίων γῆν πεποιημένοι· ἀλλὰ καὶ τὸ ἱερὸν τὸ εὐπρεπὲς τῆς μητροπόλεως αὐτῶν ἠρείπωται κατεστραμμένον ὑπὸ λαῶν ἀλλοτρίων, αἵ τε πόλεις αὐτῶν πυρίκαυστοι γεγόνασι, καὶ γέγονεν Ἱερουσαλὴμ ἀληθῶς πόλις πολιορκουμένη. 54. ἀλλ' ἐπεὶ τούτων περὶ αὐτοὺς συμβεβηκότων ὁ τῶν ἀποστόλων χορὸς οἵ τε c ἐξ Ἑβραίων εἰς τὸν Χριστὸν πεπιστευκότες γονίμου δίκην σπέρματος ἐξ αὐτῶν ἐκείνων διεφυλάχθησαν, καθ' ὅλης τε τῆς οἰκουμένης καὶ εἰς πᾶν γένος ἀνθρώπων διελθόντες πᾶσαν πόλιν καὶ τόπον καὶ χώραν τοῦ οἰκείου καὶ Ἰσραηλιτικοῦ σπόρου κατέπλησαν, ὥστε ἐξ αὐτῶν στάχυς τὰς ἐπ' ὀνόματος τοῦ σωτῆρος ἡμῶν ὑποστάσας ἐκκλησίας φῦναι, εἰκότως ὁ θεῖος προφήτης ἐπιλέγει ταῖς προαποφανθείσαις κατ' αὐτῶν ἀπειλαῖς, "εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα d ἂν ὡμοιώθημεν. 55. ὅπερ συναγαγὼν ἐπὶ τὸ σαφὲς ἑρμηνεύει ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ ἱερὸς ἀπόστολος "Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ, ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ ὑπόλειμμα σωθήσεται. λόγον γὰρ συντελῶν καὶ συντέμνων ποιήσει κύριος ἐπὶ τῆς γῆς. καὶ καθὼς προείρηκεν Ἡσαΐας, εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. 56. οἷς αὖθις προστίθησι λέγων "μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο. καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος Ἀβραὰμ φυλῆς Βενιαμίν. οὐκ ἀπώσατο ὁ θεὸς τὸν

17 Rom. 9, 29. 21 Rom. 9, 27. 28 Rom. 11, 1.

λαὸν αὐτοῦ ὃν προέγνω. ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφὴ, ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ
(65) *Ἰσραὴλ, κύριε τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσί μου τὴν ψυχὴν, τοῦ λαβεῖν αὐτήν. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν."*

57. *Ὅτι δ' οὐκ εἰς ἄλλον καιρὸν, ἀλλ' εἰς τὸν τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συν-*
b *τείνει ἡ προφητεία, ἑξῆς ὁ λόγος μετὰ τὸ φάναι "εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν," τὸν πάντα τῶν Ἰουδαίων λαὸν λαὸν Γομόρρας ὀνομάσας, τοὺς δὲ ἡγουμένους αὐτῶν ἄρχοντας Σοδόμων, ἐπιφέρει παραίτησιν τῆς κατὰ Μωσέα θρησκείας καὶ τῆς διὰ τοῦ σωτῆρος ἡμῶν πᾶσιν ἀνθρώποις κατηγγελμένης διαθήκης τὸν τρόπον, λέγω δὲ τὸν διὰ λουτροῦ παλιγγενεσίας, λόγον τε ἄντικρυς νέον καὶ*
[43] *νόμον εἰσῆκται ἐν τῇ περὶ τῶν τοιούτων προρρήσει.*
58. *λέγει δ' οὖν "ἀκούσατε λόγον κυρίου ἄρχοντες*
c *Σοδόμων, προσέχετε νόμον θεοῦ λαὸς Γομόρρας, τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν;" καὶ τὰ ἑξῆς, ἅπερ οἰκεῖα ὄντα τῆς κατὰ Μωσέα νομοθεσίας ἀνελὼν ἀντεισάγει ἀφέσεως ἁμαρτημάτων ἕτερον τρόπον, τὸν διὰ τοῦ σωτηρίου λουτροῦ καὶ τοῦ σὺν τούτῳ κηρυττομένου βίου λέγων "λούσασθε, καθαροὶ γενέσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν·" καὶ τὰ ἑξῆς.* 59. *ἄρχοντας δὲ Σοδόμων, καὶ λαὸν Γομόρ-*

---

22 Es. 1, 10. 27 Es. 1, 16.

ρων δι' ἣν αἰτίαν αὐτοὺς ὠνόμασεν, ὁ αὐτὸς παρέστησε παραχρῆμα εἰπὼν "αἱ γὰρ χεῖρες ὑμῶν πλήρεις αἵματος." 60. καὶ αὖθις δὲ ὑποβὰς λέγει "τὴν ἀνομίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. d οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι ἐβουλεύσαντο βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες ὅτι δήσομεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν·" 61. σαφέστατα αἵματός τινος καὶ ἑνὸς δικαίου μεμνημένος ἐπιβουλῆς, τίνος δὲ ἄρα ἢ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' ὃν καὶ μεθ' ὃν ἅπαντα μετῆλθον αὐτοὺς τὰ προηγορευμένα.

λζ'. Τοῦ αὐτοῦ Ἡσαΐου.

62. "Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ τοῦ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ, καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ ἐν Σιὼν, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλήμ· ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν εἰς Ἱερουσαλήμ." (66)

63. **Καὶ** τί δ' ἂν γένοιτο τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ αὐτὸς ὁ προφήτης διεσάφησεν εἰπὼν "πάντες οἱ γραφέντες εἰς Ἱερουσαλὴμ καὶ οἱ κληθέντες ἅγιοι." τίς οὖν αὕτη ἡ ἡμέρα, ἐν ᾗ δοξάσειν ὁ θεὸς καὶ ὑψώσειν τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ καὶ τοὺς κληθησομένους ἁγίους καὶ γραφησομένους εἰς ζωὴν λέγεται, ἀναδραμόντι σοι τὴν ὅλην τῆς περικοπῆς διήγησιν δῆλον ἔσται. 64. ἐν ἀρχῇ τοιγαροῦν τῆς ὅλης βίβλου b τὴν κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλὴμ ἰδὼν ὅρασιν ὁ προφήτης, καὶ διὰ πλείστων ἀπαριθμησάμενος τοῦ παντὸς Ἰουδαίων ἔθνους τὰ ἀσεβήματα,

---

2 Es. 1, 15. 3 Es. 3, 9. 13 Es. 4, 2.

ἀπειλήσας τε καὶ εἰπὼν τὰ περὶ τῆς καταστροφῆς αὐτῶν καὶ τῆς παντελοῦς ἐρημίας Ἱερουσαλὴμ, τέλος τῆς κατ' αὐτῶν θεωρίας ἐπάγει λέγων "ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππίου, καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπινc θῆρες πυρὸς, καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων."

65. *Περιγράψας* δὲ ἐνταῦθα τὴν κατ' αὐτῶν πρόρρησιν ὑποστολῇ χρῆται· ἐξ ἑτέρας δὲ ἀρχῆς δευτέρας ὑποθέσεως ἅπτεται, καὶ προοιμίῳ γε τῷ λεγομένῳ τοιῷδε χρῆται "ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς, τὸν προφήτην περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλὴμ, ἤ, ὡς ὁ Σύμμαχος ἡρμήνευσεν, ὑπὲρ τῆς Ἰουδαίας καὶ ὑπὲρ Ἱερουσαλήμ. ἴσως τις ὑπο- d λήψεται περὶ ὧν τὰ σκυθρωπὰ προλαβὼν ἐθέσπισε, τούτων αὐτῶν πέρι τὰ χρηστότερα μεταβαλόντα λέγειν. 66. ἀλλ' οὐκ ἂν ταῦτα ἐπιτρέψειε φάναι ἡ τῶν ἐπιφερομένων ἀκολουθία, ὑπὲρ μὲν τοῦ Ἰουδαίων ἔθνους ἢ ὑπὲρ τοῦ καλουμένου Ἰσραὴλ οὐδὲν οὐδὲ ὅλως χρηστὸν περιέχουσα, οὐδέ γε ὑπὲρ τῆς Ἰουδαίας οὐδὲ ὑπὲρ Ἱερουσαλὴμ, τοὐναντίον δὲ μυρίας κατὰ τοῦ Ἰσραὴλ μέμψεις καὶ κατηγορίας, ἀπειλάς τε κατὰ τῆς Ἱερουσαλὴμ σκυθρωπὰς, καὶ τὸ πᾶσι τοῖς ἔθνεσι σωτήριον κλῆσιν καὶ γνῶσιν τοῦ ἐπὶ πάντων θεοῦ θεσπίζουσα, καὶ ἔτι πρὸς τούτοις ὄρους ἐπιφάνειαν καινοῦ καὶ οἴκου θεοῦ ἑτέρου παρὰ τὸν ἐν Ἱερουσαλὴμ ἀνάδειξιν παριστᾶσα. 67. λέγει δ' οὖν μετὰ τὸ φάναι περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλὴμ "ὅτι [44] ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυ-

3 Es. 1, 30. 12 Es. 2, 1. 30 Es. 2, 2.

ρίου, καὶ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ (67) ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη, καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσιν, δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ."

68. Καὶ περὶ μὲν τῶν ἐθνῶν ἁπάντων τοιαῦτα θεσπίζει· περὶ δὲ τῶν Ἰουδαίων ἑξῆς οἷα ἐπιλέγει ἄκουε "ἀνῆκεν γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ θεοῦ Ἰακὼβ, ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς. 69. ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ b ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν," καὶ τὰ ἑξῆς τούτων ὄντα ὄντα πλείω, οἷς ἐπιφέρει "καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη, καὶ οὐ μὴ ἀνήσω αὐτοὺς, καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ προσώπου τῆς δόξης αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν."

70. Δι' ὧν σαφῶς ἀνάστασίν τινα τοῦ κυρίου διδάσκει ἔσεσθαι, ἐν ᾗ θραυσθήσεσθαι πᾶσαν τὴν c γῆν τοῦ Ἰουδαίων ἔθνους. 71. περὶ αὐτῶν γὰρ ὁ πᾶς ἦν λόγος, ὥσπερ καὶ ἑξῆς, δι' οὗ φησιν "ἡμέρα γὰρ κυρίου Σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον," καὶ τὰ τούτοις ἀκόλουθα. ἐν ταύτῃ τοιγαροῦν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως τοῦ κυρίου, τὰ κατὰ τῶν ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ θεοῦ προαγορεύσας ἐν αὐτῇ ταύτῃ, φησὶ, τῇ ἡμέρᾳ· "ὑψωθήσεται κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν εἰσενέγκαντες εἰς τὰ σπήλαια·" 72. μονονουχὶ δηλῶν τὴν ἀποστροφὴν τῶν εἰδώλων, ἣν ἀπε- d

στράφησαν αὐτοί τε Ἰουδαῖοι καὶ οἱ λοιποὶ πάντες ἄνθρωποι μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἐπιφάνειαν, καταπτύσαντες πάσης δεισιδαιμονίας. "τῇ γοῦν ἡμέρᾳ ἐκείνῃ, φησὶν, ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ ἃ ἐποίησαν, προσκυνεῖν τοῖς ματαίοις". 73. καθʼ ὅλου ὡς εἰκὸς καὶ περὶ παντὸς ἀνθρώπου ταῦτα ἀναφωνῶν, διὰ τὴν μέλλουσαν ἔσεσθαι τῶν ἐθνῶν κλῆσιν. 74. ἰδίως δὲ αὖθις περὶ τοῦ Ἰουδαίων ἔθνους ὑπὸ μίαν διάνοιαν ἑξῆς ἐπιλέγει "ἰδοὺ δὴ ὁ δεσπότης κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου, καὶ ἰσχὺν ὕδατος. γίγαντα καὶ ἰσχύοντα, καὶ ἄνθρωπον πολεμιστὴν, καὶ δικαστὴν, καὶ προφήτην, καὶ στοχαστὴν, καὶ πρεσ- (68) βύτερον, καὶ πεντηκόνταρχον, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν·" καὶ τὰ τούτοις ἑξῆς. 75. ἔνθα ἐπιστήσας παράθες τὰ προλεγόμενα τῆς προφητείας διʼ ὧν εἴρηται "ὁ λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς, ὑπὲρ τῆς Ἰουδαίας καὶ ὑπὲρ Ἱερουσαλὴμ," ὡς μᾶλλον κατʼ αὐτῶν ἢ ὑπὲρ αὐτῶν τὰ ἐπενηνεγμένα τυγχάνει, εἰ μή τις ἄρα ἐν τούτοις λανθάνων περιέχεται νοῦς. 76. πῶς γὰρ μέλλων ἀφαιρεῖν ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ b ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, καὶ πάντα τὰ ἐν αὐτοῖς πάλαι διαπρέποντα, ὑπὲρ τῆς Ἰουδαίας καὶ ὑπὲρ Ἱερουσαλὴμ ἔσεσθαι τὰ θεσπιζόμενα προύλεγε, πῶς δὲ ὑπὲρ αὐτῶν ἐστι καὶ τὰ ἑξῆς αὖθις λεγόμενα "ἀνεῖται Ἱερουσαλὴμ, καὶ ἡ Ἰουδαία συμπέπτωκε, καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς κύριον ἀπειθοῦντες."

29 Es. 3, 8.

77. Ἀλλὰ γὰρ ἐν τοιῷδε καιρῷ, ἐν ᾧ τὸ ὄρος κυ-
ρίου πᾶσι τοῖς ἔθνεσιν ἀνάγκη κηρύττεσθαι, ὅ τε
ἐπὶ τοῦ ὄρους οἶκος τοῦ θεοῦ ἐφ' οὗ πάντα τὰ ἔθνη
συνιόντα φασὶν "δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος c
κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ" τοιαύ-
ταις ὁ λόγος χρησάμενος κατηγορίαις τοῦ Ἰουδαίων [45]
ἔθνους, ἀπειλήσας τε αὐτοῖς τὰ ἔσχατα, ἐπισυνάπτει
τούτοις πᾶσι τὰς προεκτεθείσας ἡμῖν λέξεις, διδά-
σκων ὅτι τοῦ παντὸς Ἰουδαίων ἔθνους μέλλοντος
ἀποπεσεῖσθαι τῆς κατὰ τὸν θεὸν εὐσεβείας, περι-
λειφθήσονταί τινες ἐν αὐτοῖς οὐ συναπολαύσαντες
τοῖς πᾶσι τῶν κακῶν· ἔμπαλιν δὲ ὡς ἂν ἐκ μοχθη-
ρῶν καὶ παρανόμων διασεσωσμένοι, καὶ τὸ δοκίμιον
καὶ τὸ εἰλικρινὲς τῆς εὐσεβείας ἐπιδεδειγμένοι, τῆς
παρὰ τῷ θεῷ γραφῆς καταξιωθήσονται καὶ ἅγιοι κλη- d
θήσονται τοῦ θεοῦ δοῦλοι. 78. δηλοῖ δὲ διὰ τούτων
τοὺς τοῦ σωτῆρος ἡμῶν ἀποστόλους καὶ μαθητὰς καὶ
εὐαγγελιστὰς καὶ τοὺς λοιποὺς ἅπαντας τοὺς ἐν πε-
ριτομῇ εἰς αὐτὸν πεπιστευκότας κατὰ τὸν χρόνον τῆς
ἀποπτώσεως τοῦ παντὸς αὐτῶν ἔθνους. 79. ταῦτα
δὲ αἰνίττεται φάσκων ὁ λόγος "ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
ἐν ᾗ δηλονότι τὰ προηγορευμένα πάντα περὶ τῆς
κλήσεως τῶν ἐθνῶν καὶ περὶ τῆς τῶν Ἰουδαίων
ἀποπτώσεως γενήσεται, ἐπιλάμψει ὁ θεὸς ἐν βουλῇ
μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ
καταλειφθὲν τοῦ Ἰσραήλ, καὶ ἔσται τὸ ὑπολειφθὲν
ἐν Σιών, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλήμ, ἅγιοι
κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱε- (60)
ρουσαλήμ", δι' οὓς καὶ εἰκότως ἀπὸ τῆς Ἱερουσα-
λὴμ καὶ ἀπὸ τῆς Ἰουδαίας προελθόντας ὑπὲρ τῆς

---

21 Es. 4, 2.

Ἰουδαίας καὶ ὑπὲρ Ἱερουσαλὴμ τὴν προφητείαν ἐδήλου λέγεσθαι τὸ προοίμιον, ἢ καὶ διὰ τὴν ἀληθῆ Ἱερουσαλὴμ, καὶ τὴν ἀναλόγως αὐτῇ κατὰ διάνοιαν θεωρουμένην Ἰουδαίαν· περὶ οὗ κατὰ καιρὸν εἰσόμεθα. 80. καὶ τίς γε τῶν ἀποστόλων τοῦ σωτῆρος ἡμῶν καὶ τῶν εὐαγγελιστῶν τὴν ἔνθεον συνορῶν δύναμιν, καθ' ἣν εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν, πᾶσαί τε ἐξ ἐκείνου καὶ εἰς δεῦρο αἱ τοῦ Χριστοῦ ἐκκλησίαι τοὺς λόγους αὐτῶν ἀνὰ στόμα καὶ μαθήματα ἔχουσι, καὶ τὰς τῆς καινῆς διαθήκης δι' αὐτῶν κηρυχθείσας τοῦ Χριστοῦ νομοθεσίας, οὐκ ἂν ἀλήθειαν τῇ προφητείᾳ ἐπιμαρτυρῆσαι φησάσῃ ἐμφανῶς ἐν βουλῇ καὶ μετὰ δόξης ἐπὶ πᾶσαν τὴν γῆν ὑψώσειν τὸν θεὸν καὶ δοξάσειν τὸ καταλειφθὲν Ἰσραὴλ, καὶ ὡς ἄρα τὸ καταλειφθὲν ἐν Σιὼν καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλὴμ ἅγιοι κληθήσονται [c] πάντες οἱ γραφέντες εἰς ζωήν; ἀντὶ δὲ τοῦ λεγομένου παρὰ τοῖς ἑβδομήκοντα "ἐν βουλῇ μετὰ δόξης", ὁ Ἀκύλας καὶ Θεοδοτίων συμφώνως εἰς δύναμιν καὶ δόξαν ἡρμήνευσαν, τὴν ὑπὸ τοῦ θεοῦ δοθεῖσαν τοῖς ἀποστόλοις δύναμιν καὶ τὴν ἐπὶ ταύτῃ παρὰ τῷ θεῷ δόξαν παριστῶντες κατὰ τὸ "κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ." 81. καὶ αὐτό γε τὸ γεγενημένον "ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως [d] ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. καὶ

7 Ps. 19, 4. 23 Ps. 68, 11. 25 Es. 6, 9.

εἶπα, ἕως πότε, κύριε; καὶ εἶπεν, ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ καταλειφθέντες ἐπὶ τῆς γῆς."

82. Ὅρα δὴ καὶ ἐνταῦθα τίνα τρόπον οἱ καταλειφθέντες πάλιν ἐπὶ τῆς γῆς, τῆς λοιπῆς ἁπάσης ἐρήμου γενησομένης, μόνοι πληθυνθήσεσθαι λέγονται. εἶεν δ' ἂν καὶ οὗτοι οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταὶ ἐξ Ἑβραίων, εἰς πάντας ἀνθρώπους προελθόντες, οἳ καὶ δίκην σπέρματος καταλειφθέντες πολύχουν προσήνεγκαν τὸν καρπὸν, τὰς καθ' ὅλης τῆς (70) οἰκουμένης τῶν ἐθνῶν ἐκκλησίας· καὶ θέα γε, ὡς κατὰ τὸ αὐτό φησι τούτους μὲν πληθυνθήσεσθαι μόνους καταλειφθέντας ἐκ τῆς τῶν Ἰουδαίων ἀποπτώ- [46] σεως, ἐκείνους γε μὴν πάμπαν ἐρήμους ἔσεσθαι. 83. "ἡ γῆ γὰρ αὐτῶν, φησὶν, καταλειφθήσεται ἔρημος." τοῦτο δὲ καὶ ἀνωτέρω αὐτοῖς ἐλέγετο ὑπὸ τοῦ αὐτοῦ προφήτου, κατὰ τὸ "ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν." 84. πότε δὲ καὶ ταῦτα ἐπληροῦτο ἢ ἀπὸ τῶν χρόνων τοῦ σωτῆ- b ρος ἡμῶν; ἕως μὲν γὰρ οὐδέπω τὰς κατ' αὐτοῦ τετολμήκεσαν δυσσεβείας, οὐκ ἦν ἡ γῆ αὐτῶν ἔρημος, οὐδὲ αἱ πόλεις πυρίκαυστοι, οὐδὲ τὴν χώραν αὐτῶν ἀλλότριοι κατήσθιον· ἀπὸ δὲ τῆς ἐνθέου φωνῆς ἐκείνης, δι' ἧς τὸ μέλλον αὐτοῖς ἔσεσθαι προυθέσπισεν αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν, εἰπὼν, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, ἐξ ἐκείνου καὶ οὐ μετ' οὐ πολὺ τῆς προρρήσεως πολιορκηθέντες ὑπὸ Ῥωμαίων εἰς ἔρημον κατέστησαν. 85. καὶ τό γε αἴτιον τῆς ἐρημώσεως αὐτῶν ὁ προφητικὸς λόγος ἀπελέγχει, μονονουχὶ σα-

c φῶς διερμηνεύων, καὶ τὴν αἰτίαν τῆς ἀποπτώσεως αὐτῶν παριστάς. ἐπειδὴ γὰρ τοῦ σωτῆρος ἡμῶν διδάσκοντος ἐν αὐτοῖς ἀκούσαντες ὠσὶ διανοίας οὐκ ἤκουσαν, οὐδὲ συνῆκαν ὅστις ἦν, ἰδόντες δὲ αὐτὸν σαρκὸς ὀφθαλμοῖς, τοῖς τῆς ψυχῆς οὐ τεθέανται, "ἐπάχυνάν τε ἑαυτῶν τὴν καρδίαν, καὶ μονονουχὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἔμυσαν, καὶ τὰ ὦτα ἐβάρυναν," ὥς φησιν ἡ προφητεία, τούτου χάριν ἐρημωθήσεσθαι αὐτῶν φησι τὰς πόλεις παρὰ τὸ μὴ
b κατοικεῖσθαι, καὶ τὴν γῆν γενήσεσθαι ἔρημον, βραχεῖς δέ τινας ἐξ αὐτῶν ὑπολειφθήσεσθαι, δίκην γονίμου καὶ ζωπύρου σπέρματος πεφυλαγμένους, οἳ καὶ εἰς πάντας προελθόντες ἀνθρώπους πληθυνθήσεσθαι ἐπὶ τῆς γῆς λέγονται. 86. πλὴν ἀλλὰ καὶ μετὰ τὴν πρόοδον τούτων αὐτῶν δηλαδὴ τῶν ἀποστόλων τοῦ σωτῆρος ἡμῶν ἔτι φησὶν ἐπ' αὐτῆς τῆς Ἰουδαίας χώρας διαμεῖναι τὸ ἐπιδέκατον, καὶ μετὰ ταῦτα αὖθις ἔσεσθαι αὐτοὺς εἰς προνομὴν ὡς τερέβινθος, καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ τῆς θήκης αὐτῆς. παρίστησι δὲ, ὡς οἶμαι, διὰ τούτων ὁ λόγος, ὅτι μετὰ τὴν πρώτην πολιορκίαν ἣν κατὰ τοὺς τῶν ἀποστόλων χρόνους καὶ κατὰ Ῥωμαίων αὐτοκράτορα Οὐεσπα-
(71) σιανὸν ἱστοροῦνται πεπονθέναι, αὖθις ἐπὶ Ἀδριανοῦ δεύτερον πολιορκηθέντες παντελῶς εἴρχθησαν τοῦ τόπου, ὡς μηδὲ τοῦ ἐδάφους τῆς Ἱερουσαλὴμ ἐπιβαίνειν ἐπιτρέπεσθαι. τοῦτο δ' οὖν αἰνιττόμενός φησιν "καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος, καὶ βάλανος ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς."

87. "Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα· καὶ ἔσται

---

6 Es. 6, 10. 17 Es. 6, 13. 29 Es. 7, 21.

ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, φάγεται βούτυρον, καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς."

88. Ἐνταῦθα τὴν δηλουμένην ἡμέραν ἐπιζητή- b
σας εὕροις ἂν αὐτὸν τὸν χρόνον τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας. εἰπὼν γὰρ ὁ προφήτης "ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν" πλεῖστα διὰ μέσου θεσπίζει περὶ τῶν κατὰ τὴν αὐτὴν ἡμέραν, τοῦτ' ἔστιν ἀμφὶ τὸν χρόνον τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας, γενησομένων. 89. δυνάμεις γὰρ ἀοράτους καί τινας ἐχθροὺς καὶ πολεμίους, μυίας καὶ μελίσσας νόμοις ἀλληγορίας ὀνομαζομένους, ἐπιβήσεσθαι τῇ τῶν Ἰουδαίων χώρᾳ φησίν, καὶ τὸν κύριον ξυρῷ τῶν πολεμίων, ὡς ἂν μεγάλου σώματος, τοῦ Ἰουδαίων ἔθνους τὴν κεφαλὴν καὶ τὰς τρί- c
χας τῶν ποδῶν καὶ τὸν πώγωνα καὶ πάντα συλλήβδην εἰπεῖν τὸν κόσμον αὐτῶν ξυρήσειν. 90. τούτων δ' ἐσομένων ἐν τῇ θεσπιζομένῃ ἡμέρᾳ τοῦ ἐκ τῆς παρθένου γενησομένου, τὸν καταλειφθέντα ἄνθρωπον ἐκ τῆς τοῦ παντὸς ἔθνους ἀπωλείας, τοῦτ' ἔστιν ἅπαντα τὸν ἐξ αὐτῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ πεπιστευκότα, θρέψειν δάμαλιν βοῶν καὶ δύο πρόβατα προφητεύει, ἀπό τε τοῦ πλεῖστον ποιεῖν γάλα φάγεσθαι βούτυρον καὶ μέλι· νοήσεις δὲ καὶ ταῦτα κατὰ μυστικὴν θεωρίαν ἐπὶ τῶν [17]
τοῦ σωτῆρος ἡμῶν ἀποστόλων τετελεσμένα. 91. ὧν d
ἕκαστος ἐν αἷς σὺν τῇ τοῦ Χριστοῦ δυνάμει συνεστήσατο ἐκκλησίαις, δύο πρόβατα, τοῦτ' ἔστιν δύο τάγματα δίκην προβάτων ἐπὶ τὴν τοῦ Χριστοῦ ποίμνην συνιόντα, τὸ μὲν εἰσέτι στοιχειούμενον, τὸ δ' ἤδη διὰ τοῦ λουτροῦ πεφωτισμένον, καὶ ἐπὶ τούτοις

---

5 Es. 7, 14.

μίαν δάμαλιν τὴν ἐκκλησιαστικὴν τῶν προέδρων ἀρχὴν ταῖς ἐνθέοις καὶ λογικαῖς τροφαῖς ἐκθρέψας, γόνιμον ἐξ αὐτῶν γάλα καὶ μέλι τῆς πονηθείσης αὐτῷ τροφῆς τὸν καρπὸν ἀπηνέγκατο. 92. ὅπως μὲν οὖν τὰ τῶν ἀτελεστέρων πλήθη προβάτοις εἴωθεν ὁ θεῖος ἀφομοιοῦν λόγος οὐδὲν δεῖ λέγειν, πάσης γραφῆς τοῦτο διδασκούσης· τὸν δέ γε ἐντελέστερον (72) καὶ τοὺς πολλοὺς γεωργοῦντα τῆς ἐκκλησίας ἡγούμενον ὅπως τῷ γεωπόνῳ τῶν βοῶν παραβάλλει, συνίστησιν ὁ ἱερὸς ἀπόστολος, λέγων 93. "μὴ τῶν βοῶν μέλει τῷ θεῷ, ἢ δι' ἡμᾶς πάντως λέγει; ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν."

94. *Εἰ δὲ* προσκόπτοι τις ταῖς τοιαῖσδε τροπολογίαις, ὥρα τοῦτον μηδὲ τὰς ὀνομαζομένας μυίας, ἢ μελίσσας, μηδὲ τὸ ξυρὸν, μηδὲ τὸν πώγωνα, μηδὲ b τὰς τρίχας τῶν ποδῶν κατὰ διάνοιαν θεωρεῖν, εἰς ἀτόπους δὲ καὶ ἀσυστάτους ἐκπίπτειν μυθολογίας. εἰ δ' ἀνάγκη ταῦτα μὴ ἄλλως ἢ κατὰ μόνην θεωρίαν δέχεσθαι, δῆλον ὅτι καὶ τὰ ἀκόλουθα παραπλησίως.

95. "Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ οἱ βουνοὶ, καὶ οἱ δρυμοὶ, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν· καὶ ἔσται ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης, καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἔσονται ἀριθμὸς, καὶ παιδίον μικρὸν γράψει αὐτούς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐκ ἔτι προστεθήσεται τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ, καὶ οἱ c διασωθέντες τοῦ Ἰακὼβ οὐκ ἔτι πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτοὺς, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ, καὶ

10 1. Cor. 9, 9. 21 Es. 10, 17.

ἀναστρέψει τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ ἐπὶ θεὸν ἰσχύοντα. 96. καὶ ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται. λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει ὁ θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ."

97. Κἀνταῦθα πρόσσχες ὅτι ἐν τῇ τῶν σκυθρωπῶν ἀπειλῇ, φησίν, ἔσται ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης· καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἀριθμὸς ἔσται, καὶ παιδίον μικρὸν γράψει d αὐτούς. δι' ὧν τὸ σπάνιον τῶν φευξομένων τὸν ὄλεθρον τοῦ ἐκ περιτομῆς λαοῦ, καὶ τὸν τῆς Ἱερουσαλὴμ ἐμπρησμὸν παρίστησιν. οἱ δὲ καταλειφθέντες οὗτοι, φησίν, ἀριθμὸς ἔσονται· 98. τοῦτ' ἔστιν ἀριθμῷ ληπτοὶ γενήσονται, οὕτω βραχεῖς καὶ εὐαρίθμητοι ὄντες. τοσοῦτοι δ' οὖν ὡς ἐν συγκρίσει τοῦ παντὸς πλήθους τοῦ Ἰουδαίων ἔθνους οἱ εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν πεπιστευκότες γεγόνασιν, οἳ καὶ κατηξιώθησαν τῆς ὑπ' αὐτοῦ γραφῆς, ὡς δηλοῖ φάσκων ὁ λόγος "καὶ παιδίον γράψει αὐτούς·" προδιδάξας ὅ τι ποτε ἦν τὸ παιδίον ἐν οἷς ἔλεγεν (73) "ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα." 99. καὶ ἐπειδήπερ ἐνταῦθα παιδίον φησὶν γράψει αὐτούς, εἰκότως ἐν τοῖς πρόσθεν ἐλέγετο "καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιὼν καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλήμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωήν. ὥσπερ γοῦν ἐν ἐκείνοις τὸ καταλειφθὲν ὠνόμαστο, οἱ δ' αὐτοὶ γραφέντες ἦσαν εἰς ζωήν, οὕτως καὶ ἐνταῦθα οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἀριθμὸς ἔσονται καὶ παιδίον γράψει αὐτούς. 100. τοῦτο δὲ καταλειφθὲν ἐκ τοῦ Ἰσραήλ, καὶ οἱ

b διασωθέντες ἀπὸ τοῦ Ἰακὼβ οὐκέτι, φησὶν, ἔσονται ἐπὶ τοὺς ἀδικήσαντας αὐτοὺς, ἀλλ' ἔσονται πεποι- [18] θότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ Ἰσραήλ. 101. καὶ ὅρα γε εἰ μὴ ταύτῃ γε τῇ πεποιθήσει οἱ ἐκ τοῦ Ἰουδαίων ἔθνους προελθόντες, οἵ τε ἐκ τῆς ἀποπτώσεως τοῦ Ἰσραὴλ περιλειφθέντες μαθηταὶ καὶ ἀπόστολοι τοῦ σωτῆρος ἡμῶν, μηδένα λόγον ποιησάμενοι τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἢ τῶν ἀρχόντων τοῦ ἐκ περιτομῆς λαοῦ τῶν πάλαι ἀδικούντων αὐτοὺς, ἐξῆλθον εἰς πάντα τὰ ἔθνη κηρύττοντες τὸν Χριστοῦ λόγον, πεποιθήσει τε τῇ πρὸς τὸν θεὸν, c (ἐπείπερ κατὰ τὴν προφητείαν πεποιθότες ἦσαν ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ, ἐν ἀληθείᾳ, οὐ γὰρ ὑπούλως, οὐδὲ μεθ' ὑποκρίσεως, σὺν ἀληθείᾳ δὲ ὅλους ἑαυτοὺς ἐπιδέδονται ἐλπίδι) οὐ μόνον προῆλθον τῆς ἑαυτῶν χώρας, ἀλλὰ κατώρθωσαν τὸ προτεθειμένον. 103. τοῦτο δὲ αὐτὸ πάλιν τὸ καταλειφθὲν οἱονεὶ τὸ σπέρμα τῆς ἀποπτώσεως τοῦ Ἰακὼβ γέγονε, πεποιθὸς ἐπὶ θεὸν ἰσχύοντα, καὶ αὐτὸ δὴ τοῦτο τὸ κατάλειμμα τοῦ παντὸς ἔθνους αὐτῶν γενομένου ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἀλλ' οὐ κατὰ τὰ ἄστρα τοῦ οὐρανοῦ, τῆς παρὰ τῷ θεῷ σωτηρίας ἠξιώθη, d ὥσπερ οὖν ἐμαρτύρησεν ὁ ἀπόστολος εἰπὼν "Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραὴλ, ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται." 104. δύο γάρ τοι ἐπαγγελιῶν διὰ τοῦ χρησμοῦ τῷ Ἀβραὰμ δεδομένων περὶ τῶν ἐξ αὐτοῦ γενησομένων, ὡς ἄρα ἔσονται κατὰ τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ κατὰ τὴν ἄμμον τῆς θαλάσσης, τῶν μὲν θεοφιλῶν λαμπόντων ὁμοίως τοῖς οὐ-

---

12 Es. 10, 20.

ρανίοις φωστῆρσιν, οἷοι ἦσαν οἱ πάλαι, οἱ προφῆται καὶ οἱ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι, οἷς ἐμαρτύρησεν εἰπών, ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· τῶν δὲ γηγενῶν καὶ χαμαιπετῶν ἄμμῳ γῆς παραβαλλομένων. 105. εἰκότως ἐν τούτοις ὁ προφητικὸς λόγος, ἐπὰν τὸ πᾶν πλῆθος τῶν υἱῶν Ἰσραὴλ ἐκπεσούμενον τῆς (74) ἀξίας καὶ τοῦ μεγαλοφυοῦς τῆς ἀρετῆς ὅλον δι' ὅλου χαμαιπετὲς γενόμενον παραβληθῇ τῇ ἄμμῳ τῆς θαλάσσης, τότε δὴ τὸ κατάλειμμα αὐτῶν μόνον σωθήσεται· περὶ οὗ καταλείμματος πλεῖστα ἡμῖν γεγύμνασται. 106. ταῦτα δέ φησιν ἔσεσθαι, ἐπὰν αὐτὸς ὁ κύριος συντέμνων καὶ συντελῶν λόγον καθ' ὅλης τῆς οἰκουμένης ποιήσῃ, ἐναργῶς τὸ εὐαγγελικὸν παριστὰς κήρυγμα, ἐν ᾧ, πάσης τῆς κατὰ Μωσέα περιόδου ἐν εἰκόσι καὶ συμβόλοις καὶ σωματικαῖς θρησκείαις περιαιρεθείσης, ὁ σύντομος τοῦ εὐαγγε- b λίου λόγος εἰς πάντας ἀνθρώπους παραδοθεὶς τῆς προφητείας τὴν ἀλήθειαν ἐπιστώσατο.

107. "Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι καὶ ζητῆσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ αὐτοῦ, ὃ ἐὰν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων, καὶ ἀπὸ Αἰγύπτου, καὶ ἀπὸ Βαβυλωνίας, καὶ ἀπὸ Αἰθιοπίας, καὶ Ἐλα- c μιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἀπὸ τῶν νήσων τῆς θαλάσσης. καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς."

---

19 Es. 11, 10.

108. *Πολλάκις τινῶν λεγομένων ἔσεσθαι ἐν ἐπισήμῳ ἡμέρᾳ, τοῦτ' ἔστιν ἐν ἐπιφανείᾳ χρόνου, λογισμῷ συνάγοντες τὴν τῶν δηλουμένων ἀκολουθίαν ἐπὶ τὴν τοῦ θεοῦ παρουσίαν ἀναφέρεσθαι ἀπεδείξαμεν, καθ' ἣν τοῦ παντὸς Ἰουδαίων ἔθνους ἀποπεσουμένου σπανίους τινὰς σωθήσεσθαι τοὺς ἐξ αὐτῶν καταλειφθησομένους οἱ θεῖοι δηλοῦσι λόγοι.* 109. *ἥ γε μὴν μετὰ χεῖρας λέξις καὶ τὴν ἡμέραν καὶ τὸν διὰ ταύτης σημαινόμενον χρόνον καὶ τὰ ἐπὶ τούτῳ συμβεβηκότα λευκότατα παρίστησιν· θεσπίζουσα γὰρ τὴν ἐκ σπέρματος τοῦ Δαβὶδ γενησομένην τοῦ*
[49] *Χριστοῦ γένεσιν ὁμοῦ καὶ τὴν Ἰουδαίων ἀπόπτωσιν προαναφωνεῖ· λέγει δὲ οὕτως* 110. *"ἰδοὺ δὴ ὁ δεσπότης κύριος Σαβαὼθ συνταράξει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ ταπεινωθήσονται, καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται."*

Λίβανον δὲ ἐνταῦθα τὴν Ἱερουσαλὴμ αἰνίττεται, ὡς ἐν ἑτέροις ἀπεδείξαμεν, ἣν μετὰ πάντων τῶν ἐν αὐτῇ σεμνῶν καὶ ἐνδόξων πεσεῖσθαι ὁ λόγος ἀπειλεῖ. καὶ ταῦτά γε προανατεινάμενος ἑξῆς ἐπιλέγει "καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ
(75) *ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται," καὶ τὰ ἑξῆς.* 111. *σαφέστατα τὴν ἐκ ῥίζης Ἰεσσαί, πατὴρ δὲ ἦν οὗτος τοῦ Δαβίδ, γένεσιν τοῦ Χριστοῦ παριστάς, ἐφ' ᾗ γενέσει τὴν τῶν ἐθνῶν κλῆσιν πρότερον μὲν δι' αἰνίγματος προφητικῷ τρόπῳ ἀναφωνεῖ. τὸ γὰρ "συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις σὺν ἐρίφῳ συναναπαύσεται," καὶ τὰ τοιαῦτα, οὐδὲν ἕτερον ἢ τῶν ἀγρίων καὶ ἀπηνῶν τὸν τρόπον καὶ*

---

13 Es. 10, 33. 22 Es. 11, 1.

μηδὲν θηρίων διαφερόντων ἐθνῶν τὴν ἐπὶ τὸν εὐ-
σεβῆ καὶ ἥμερόν τε καὶ κοινωνικὸν τρόπον μεταβο-
λὴν ἐδήλου. 112. τοῦτο δὲ αὐτὸ εἰς ὕστερον γυμνό- b
τερον διδάσκει φάσκων "ἐνεπλήσθη ἡ σύμπασα τοῦ
γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ καλύψαι θαλάσ-
σας." 113. Καὶ ἔτι γε αὐτὸς ἑαυτὸν ἑρμηνεύων ὁ προ-
φητικὸς λόγος ἐπιλέγει "καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν
ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν, καὶ ἔσται ἡ ἀνάπαυσις
αὐτοῦ τιμή."

114. Ἐπειδὴ τοίνυν ἀνωτέρω μὲν τὴν ἀπόπτωσιν
τοῦ Ἰουδαίων ἔθνους ἐσήμαινεν ἐπικεκαλυμμένως,
μετὰ δὲ ταῦτα τὴν τῶν ἐθνῶν κλῆσιν τοτὲ μὲν κεκαλυμ-
μένως, τοτὲ δὲ γυμνῶς, εἰκότως αὖθις ἐπαναλαμβάνων
τὸν λόγον τῶν ἐκ περιτομῆς εἰς τὸν Χριστὸν πιστευόν- c
των μνημονεύει, ὑπὲρ τοῦ μὴ πάντη ἀποκλεῖσαι αὐτῶν
τὴν εἰς τὸν Χριστὸν ἐλπίδα. "ἔσται μὲν γὰρ (φησὶν)
ἀνιστάμενος ἄρχειν ἐθνῶν." 115. τίς δ' ἦν ὁ ἀνιστά-
μενος ἀλλ' ἢ ῥίζα τοῦ Ἰεσσαί, ὃν καὶ σαφῶς φησιν
ἄρξειν ἐθνῶν, ἀλλ' οὐχὶ Ἰσραήλ; ἐπειδὴ τοίνυν δια-
φόρως τὴν τῶν ἐθνῶν ἐπιστροφὴν ἐπὶ τὸν ἐκ ῥίζης d
Ἰεσσαὶ φύντα καὶ βλαστήσαντα ἐδίδαξεν, οὐδὲν δὲ
οὐδέπω χρηστὸν περὶ τῶν ἐκ περιτομῆς εἰρήκει, εἰ-
κότως τὸ ἐλλιπὲς τῆς προρρήσεως ἀποδίδωσι φά-
σκων "καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ," τοῦτ' ἔστιν
ἐν τῷ χρόνῳ τῆς ἐπιφανείας τοῦ ἐκ ῥίζης Ἰεσσαὶ
φύντος, "προσθήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐ-
τοῦ, τοῦ ζητῆσαι καὶ ζηλῶσαι τὸ καταλειφθὲν ὑπό-
λοιπον τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ἀπὸ τῶνδε καὶ
τῶνδε τῶν πολεμίων." ἀνθ' οὗ ὁ μὲν Ἀκύλας πε-

---

4 Es. 11, 9.

ποίηκε "καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει
κύριος δεύτερον τὴν χεῖρα αὐτοῦ, τοῦ κτήσασθαι τὸ
ὑπόλειμμα τοῦ λαοῦ αὐτοῦ, ὃ ὑπολειφθήσεται ἀπὸ
τῶν Ἀσσυρίων," καὶ τῶν ἑξῆς. 116. νοήσεις δὲ καὶ
ταῦτα, πολεμίους τοῦ λαοῦ τοῦ θεοῦ νοητούς τινας
καὶ πνευματικοὺς, ἤτοι δαίμονας πονηροὺς ἢ δυνά-
μεις ἀντικειμένας τῷ λόγῳ, θεωρήσας, οἳ τῶν κατω-
νομασμένων ἐθνῶν πάλαι πρότερον ἀοράτως προε-
(76) στῶτες τὰς ψυχὰς ἐπολιόρκουν τοῦ Ἰσραὴλ, ποικίλοις
πάθεσιν αὐτὰς περιβάλλοντες, ὑποσύροντές τε καὶ
αἰχμαλωτίζοντες εἰς τὸν ὅμοιον τῆς τῶν ἀλλοφύλων
ἀγωγῆς βίον.

117. Τούτου δὴ οὖν παντὸς σχεδὸν εἰπεῖν τοῦ
λαοῦ κατὰ ψυχὴν αἰχμαλώτου ληφθέντος ὑπὸ τῶν
δεδηλωμένων, οἱ φυλαχθέντες καὶ καταλειφθέντες
ἄτρωτοι καὶ ἄσυλοι κατὰ τὴν προφητείαν τῆς δηλου-
μένης ἐπαγγελίας τεύξονται, ὀψόμενοι τοῦ κυρίου τὴν
b χεῖρα καὶ κτῆμα αὐτοῦ γενησόμενοι, κατὰ τὸ φάσκον
λόγιον "προσθήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ,
τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ.
[76] 118. τί δὲ προσθήσει κύριος; ἀλλὰ γὰρ πρὸς οἷς ἅπαξ
ἐπεδείξατο πάλαι πρότερον, διὰ τῶν προφητῶν προσ-
εγενήθη χεὶρ κυρίου καὶ τούτοις ὡς ἂν διασωθεῖσιν
ἀπὸ τῆς πτώσεως τοῦ παντὸς λαοῦ τὰ λείποντα τοῖς
προτέροις προσθήσειν. ταῦτα δὲ ἦν τὰ τῆς καινῆς
διαθήκης μυστήρια, διὰ τῆς χειρὸς τοῦ κυρίου δε-
δειγμένα τῷ καταλειφθέντι ἀπὸ τοῦ λαοῦ. "ἀλλὰ
c καὶ τοῦ ζηλῶσαι (φησὶν) τὸ καταλειφθὲν ὑπόλοιπον
τοῦ λαοῦ." 119. ἀνθ' οὗ συμφώνως ὁ Ἀκύλας καὶ
Θεοδοτίων "τοῦ κτήσασθαι (φησὶν) τὸ ὑπόλειμμα
τοῦ λαοῦ αὐτοῦ, ὃ ἂν καταλίπῃ ἀπὸ τῶν Ἀσσυρίων
καὶ ἀπὸ τῶν λοιπῶν πολεμίων ἐθνῶν." τοῦτο δὲ τὸ

καταλειφθὲν τοῦ λαοῦ ὑπόλοιπον ἀρεῖ, φησίν, σημεῖον εἰς τὰ ἔθνη, 120. σαφῶς δι' αὐτῶν τὸ ἑαυτοῦ σημεῖον ὁ κύριος ἐν πᾶσι τοῖς ἔθνεσιν ἐπιδεικνύμενος, καὶ συνάξει δι' αὐτῶν τοὺς ἀπολομένους Ἰσραὴλ καὶ τοὺς διεσπαρμένους Ἰούδα ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς ἐπὶ τὸν Χριστὸν τοῦ θεοῦ διὰ τοῦ τῶν ἀποστόλων αὐτοῦ κηρύγματος καταπεφευγότας, τοὺς συναχθέντας εἶναι λέγων τῶν πάλαι ἀπῳκισμένων a καὶ ἀφωρισμένων ἐκ τοῦ κατὰ διάνοιαν Ἰσραὴλ καὶ Ἰούδα. 121. τρόπος δὲ τοιῶνδε ψυχῶν τὸν ἀληθινὸν Ἰσραὴλ τοῦ θεοῦ δείκνυσιν, ὡς ἀνάπαλιν φαύλη καὶ μοχθηρὰ διάθεσις τὸν κατὰ σάρκα Ἰσραὴλ ἄρχοντας Σοδόμων καὶ λαὸν Γομόρρας χρηματίζειν ποιεῖ. 122. τὸ τοίνυν λεῖμμα κατ' ἐκλογὴν χάριτος, καὶ τὸ λεγόμενον ἐν τῇ προφητείᾳ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, τὸ σημεῖον τοῦ κυρίου πᾶσι τοῖς ἔθνεσιν ἀνεκήρυξεν, καὶ τὰς τοιάσδε ψυχὰς τῶν ἐθνῶν ἐξ ἀπωλείας ἐπὶ τὴν τοῦ κυρίου γνῶσιν ἐφελκυσάμενον ἕνα λαὸν συνῆξε τῷ θεῷ, τὸν ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς εἰσέτι νῦν τῇ τοῦ Χριστοῦ δυνάμει συγκροτούμενον. 123. οὗτοι δὲ αὐτοὶ οἱ ἀπὸ τῶν ἀπολωλότων τοῦ Ἰουδαίων ἔθνους διασωθέντες μαθηταὶ καὶ (77) ἀπόστολοι τοῦ σωτῆρος ἡμῶν, ἐκ διαφόρων φυλῶν τυγχάνοντες, μιᾶς κλήσεως καὶ μιᾶς χάριτος καὶ ἑνὸς πνεύματος ἁγίου κατηξιωμένοι, πάντα ζῆλον ὃν πάλαι πρὸς αὐτοὺς εἶχον αἱ τοῦ Ἑβραίων ἔθνους φυλαὶ ἀπορρίψουσιν, ὡς ἡ προφητεία φησίν. 124. κατηρτισμένοι γοῦν τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ, οὐ μόνον τὴν ἤπειρον, ἀλλὰ καὶ τὰς νήσους διῆλθον

15 Rom. 11, 5.

b τῶν ἐθνῶν, πάσας πανταχόθεν τὰς τῶν ἀνθρώπων ψυχὰς προνομεύοντες καὶ αἰχμαλωτεύοντες εἰς τὴν ὑποταγὴν τοῦ Χριστοῦ, ἀκολούθως τῷ χρησμῷ τῷ φήσαντι "καὶ πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων, θάλασσαν ἅμα προνομεύοντες καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν."

125. Καὶ τὰ λοιπὰ δὲ τῆς προφητείας τούτοις ἀναλόγως ἐπιθεωρήσεις, ἑκάστην λέξιν παρὰ σαυτῷ βασανίσας, καὶ πᾶν μὲν τὸ ἀσύστατον καὶ ταπεινὸν αὐτῆς διακρουσάμενος, τὴν δὲ διάνοιαν τοῦ πνεύματος, ὡς ἂν αὐτό σοι τὸ πνεῦμα τοῦ θεοῦ θεωρεῖν ὑποβάλῃ, νοήσας. ἡμῖν γὰρ ὁ καιρὸς οὐκ ἐπιτρέπει τοῖς τόποις ἐπὶ πλέον ἐνδιατρίβειν, τὴν προκειμένην ὑπόθεσιν ἐξανύσαι κατεπειγομένοις.
c

126. "Καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακά, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν, καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω, καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος ἔντιμος ἔσται μᾶλλον ἢ ὁ λίθος ὁ ἐκ Σουφείρ." 127. καὶ ἑξῆς ἐπιλέγει "καὶ ἔσονται οἱ καταλελειμμένοι ὡς δορκάδιον φεῦγον, καὶ ὡς πρόβατον πλανώμενον."
d

128. Καὶ διὰ τούτων τὸ σπάνιον τῶν σωθησομένων ἐν τῷ καιρῷ τῆς τῶν ἀσεβῶν ἀπωλείας σαφέστατα ὁ λόγος παρίστησιν, ὥστε μὴ χώραν ἔχειν ὑπονοεῖν ἀδιακρίτως πάντας ἁπαξαπλῶς τοὺς ἐκ περιτομῆς καὶ πᾶν τὸ Ἰουδαίων ἔθνος τῶν τοῦ θεοῦ τεύξεσθαι ἐπαγγελιῶν.

[51] 129. "Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις δόξης Ἰακώβ, καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθή-

15 Es. 13, 11. 29 Es. 17, 4.

σονται. καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα, καὶ σπέρμα σταχύων ἀμήσῃ· καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυας ἐν φάραγγι στερεᾷ, καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη· ἢ (78) ὡς ῥῶγες ἐλαίας δύο ἢ τρεῖς ἐπ' ἄκρου μετεώρου ἢ τέσσαρες ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν καταλειφθῇ. τάδε λέγει κύριος ὁ θεὸς τοῦ Ἰσραήλ· τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτὸν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέψονται, καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν."

130. Καὶ διὰ τούτων ἐναργῶς θεσπίζεται ἡ δόξα τοῦ Ἰσραὴλ, καὶ πάντα τὰ πίονα αὐτῶν καθαιρεθή- b σεσθαι, ὀλίγοι δὲ αὖθις καὶ ἀριθμῷ ληπτοὶ ὡς ἂν ἐλαίας ἐν φυτῷ ῥῶγες βραχεῖς καταλειφθήσεσθαι λέγονται· οὗτοι δ' ἂν εἶεν οἱ ἐξ αὐτῶν εἰς τὸν κύριον ἡμῶν πεπιστευκότες. ἀκολούθως δὲ μετὰ τὰ περὶ ἐκείνων εἰρημένα περὶ παντὸς ἀνθρώπων γένους ἀποστραφησομένου τὴν κατὰ τὰ εἴδωλα πλάνην, ἐπιγνωσομένου δὲ τὸν θεὸν Ἰσραὴλ, προφητεύεται. 131. "ἀκούσατε νῆσοι, ἐγκαταλελειμμένοι καὶ ὀδυ- c νώμενοι ἀκούσατε ἃ ἤκουσα παρὰ κυρίου Σαβαὼθ, ὁ θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν."

132. Ὅρα τίνα τρόπον καὶ ἐνταῦθα οὐ πάντας τοὺς ἐκ περιτομῆς ἐπὶ τὴν τῶν ἀπορρήτων ἀκρόασιν παρακαλεῖ, ἀλλ' ἢ μόνους οὓς ὀνομάζει καταλελειμμένους καὶ ὀδυνωμένους, οἷοι ἦσαν οἱ κατὰ τὸν ἀπόστολον στενάζοντες καὶ ἀποκλαόμενοι τὴν κακίαν τοῦ τῶν ἀνθρώπων βίου.

---

22 Es. 21, 10.

133. "Ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς, ἡ δὲ γῆ
ἠνόμησε διὰ τοὺς κατοικοῦντας αὐτήν. διὰ τοῦτο
πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς, καὶ κα-
a ταλειφθήσονται ἄνθρωποι ὀλίγοι."

Καὶ ἐν τούτοις τοὺς παραβεβηκότας τὸν νόμον
καὶ τὴν τοῦ θεοῦ διαθήκην τοῦ ἐκ περιτομῆς λαοῦ
ἀπελέγξας, ἀπειλήσας τε αὐτοῖς τὰ ἀναγεγραμμένα,
καταλειφθήσεσθαι ἀνθρώπους ἐξ αὐτῶν ὀλίγους προ-
φητεύει. εἶεν δ' ἂν οὗτοι τὸ ὠνομασμένον παρὰ τῷ
ἀποστόλῳ λεῖμμα κατ' ἐκλογὴν χάριτος.

134. "Καταλειφθήσονται πόλεις ἔρημοι, καὶ οἱ
οἶκοι οἱ ἐγκαταλελειμμένοι ἀπολοῦνται. ταῦτα πάντα
ἔσται ἐν τῇ γῇ ἐν μέσῳ τῶν ἐθνῶν, ὃν τρόπον ἐάν
(79) τις καλαμήσηται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς·
καὶ ἐὰν παύσηται ὁ τρυγητὸς, οὗτοι φωνῇ φωνήσου-
σιν, οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσον-
ται ἅμα τῇ δόξῃ κυρίου."

Καὶ ἐνταῦθα οἱ καταλειφθέντες μόνοι εὐφραν-
θήσεσθαι λέγονται, τῶν λοιπῶν ἁπάντων τοῖς θε-
σπιζομένοις παραδοθησομένων.

135. "Καταπατηθήσεται ὁ στέφανος τῆς ὕβρεως,
οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ. καὶ ἔσται τὸ ἄνθος τὸ
ἐκπεσὸν τῆς ἐλπίδος τῆς δόξης ἐπ' ἄκρου τοῦ ὄρους
τοῦ ὑψηλοῦ, ὡς πρόδρομος σύκου· ὁ ἰδὼν αὐτὸ,
πρὶν ἢ εἰς τὴν χεῖρα λαβεῖν αὐτὸ, θελήσει αὐτὸ κατα-
b πιεῖν. τῇ ἡμέρᾳ ἐκείνῃ κύριος ἔσται ὁ στέφανος τῆς
ἐλπίδος, ὁ πλακεὶς τῆς δόξης τῷ καταλειφθέντι τοῦ
λαοῦ αὐτοῦ· καταλειφθήσονται γὰρ ἐν πνεύματι κρί-
σεως."

---

1 Es. 24, 4. 10 Rom. 11, 5. 11 Es. 24, 12.
21 Es. 28, 3.

136. Καὶ ἐνταῦθα τῷ καταλειφθέντι τοῦ λαοῦ, οὐχὶ δὲ παντὶ τῷ ἔθνει αὐτῶν, ἀλλὰ μόνοις τοῖς διὰ τοῦ καταλείμματος σημαινομένοις, τὸν κύριον στέφανον ἔσεσθαι ἐλπίδος καὶ δόξης προφητεύει, τοὺς ἄλλους παρὰ τὸ κατάλειμμα τοῦ λαοῦ στέφανον ὕβρεως καὶ μισθωτοὺς τοῦ Ἐφραῒμ ὀνομάζων.

137. "Καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἐν τῇ [52] Ἰουδαίᾳ, φυήσουσι ῥίζαν κάτω, καὶ ποιήσουσι c σπέρμα ἄνω, ὅτι ἐξ Ἱερουσαλὴμ ἔσονται οἱ καταλελειμμένοι καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σιών. ὁ ζῆλος κυρίου Σαβαὼθ ποιήσει ταῦτα."

138. Τοὺς κατ' ἐκλογὴν χάριτος καταλειφθέντας ἐκ τοῦ Ἰουδαίων ἔθνους φυήσειν ῥίζαν κάτω καὶ ποιήσειν σπέρμα ἄνω προφητεύει, σαφέστατα τὴν τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ σωτῆρος ἡμῶν ἐκλογὴν παριστάς. οὗτοι γὰρ ἀπὸ τῶν ἐκ περιτομῆς καταλειφθέντες κάτω μὲν εἰς γῆν τὰς ῥίζας τῆς διδασκαλίας αὐτῶν κατέβαλλον, ὡς ἐμπαγῆναι καὶ ῥι- d ζῶσαι καθ' ὅλης τῆς οἰκουμένης τὴν διδαχὴν αὐτῶν, ἄνω δὲ τὸ σπέρμα καὶ τὸν καρπὸν φέρεσθαι εἰς τὰς ἐπουρανίους ἐπαγγελίας παρεκελεύσαντο. 139. οἱ δ' αὐτοὶ οὗτοι ἐκ τοῦ Ἰουδαίων ἔθνους καταλελειμμένοι, τῶν λοιπῶν ἀπολλυμένων, μόνοι σωζόμενοι λέγονται. ταῦτα δὲ πάντα ὁ ζῆλος κυρίου ἐποίησεν. εἰς γὰρ τὸ παραζηλῶσαι τοὺς ἀσεβεῖς τῶν ἐκ περιτομῆς ἐκλεξάμενος ὁ ζῆλος κυρίου τούτους παρεζήλωσεν ἐκείνους, κατὰ τὸ παρὰ Μωσεῖ λεγόμενον "αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς."

---

7 Es. 37, 31. 28 Deut. 32, 21.

(80) 140. "Οὕτως λέγει κύριος· ὃν τρόπον εὑρήσεται ὁ ῥὼξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσιν, μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλογία κυρίου ἐστὶν ἐν αὐτῷ, οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι. τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας, καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα καὶ τὸ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου. 141. καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ. καὶ ἔσται ἐν τῷ δρυμῷ ἔπαυλις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με. ὑμεῖς b δὲ οἱ ἐγκαταλιπόντες με καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῇ τύχῃ τράπεζαν, καὶ πληροῦντες τῷ δαίμονι κέρασμα, ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν. 142. πάντες ἐν σφαγῇ πεσεῖσθε, ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε."

143. Διελὼν καὶ ἐν τούτοις ὁ λόγος βραχὺ μέν τί φησιν σπέρμα ἐξ Ἰακὼβ τεύξεσθαι τῶν ἐπηγγελμένων, ἐκλεκτούς τε εἶναι τοὺς κατοικήσαντας ἐν τῷ c δρυμῷ· οὕτως ὀνομάζων τὴν κλῆσιν τῶν ἐθνῶν, ἐν ᾗ οἱ ἐκλεκτοὶ τοῦ κυρίου καὶ τὸ Ἰακὼβ σπέρμα, εἶεν δ' ἂν οἱ ἀπόστολοι καὶ μαθηταὶ τοῦ σωτῆρος ἡμῶν, οἱ δὲ λοιποὶ πάντες παρὰ τούτους ταῖς δηλουμέναις ἀπειλαῖς ὑποβέβληνται, μονονουχὶ τοῦ λόγου γυμνότατα παριστῶντος μὴ ὡς ἔτυχεν ἐπὶ πᾶν τὸ Ἰουδαίων ἔθνος φθάσειν τὰς τοῦ θεοῦ ἐπαγγελίας, ἀλλ' ἐπὶ μόνον τὸ ὠνομασμένον σπέρμα, καὶ τοὺς ἐπικαλουμένους ἐκλεκτοὺς τοῦ θεοῦ, ἐπεὶ πολλοὶ κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. 144. τούτοις δὲ καὶ νῦν ὄνομα καινὸν ἐπιτεθήσεσθαι ἑξῆς ὁ λόγος θεσπίζει, φά-

1 Es. 65, 8. 28 Matth. 20, 16.

σκων πρὸς τοὺς ἀσεβεῖς "καταλειφθήσεται γὰρ a τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς δ' ἀνελεῖ κύριος. τοῖς δὲ δουλεύσουσίν μοι κληθήσεται ὄνομα καινόν."

Τὸ δὴ οὖν ὄνομα καινόν, ὃ μὴ παρὰ τοῖς παλαιοῖς ἔγνωστο, ποῖον ἂν εἴη ἢ τὸ ἀπὸ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ προσωνυμίας καθ' ὅλης τῆς οἰκουμένης εὐλογημένον Χριστιανῶν ὄνομα;

ν'. Ἀπὸ τοῦ Μιχαίου.

145. "Καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου συναγόμενος, συναχθήσεται Ἰακὼβ σὺν πᾶσιν. ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ Ἰσραήλ· ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν ἀποστροφὴν αὐτῶν." [53]

146. Συμφώνως τοῖς προεκτεθεῖσιν ἐκ τοῦ Ἠσαΐου καὶ ὁ Μιχαίας ἐκδέξασθαι τὸν θεὸν οὐχ (81) ἁπλῶς πάντας, ἀλλὰ μόνους τοὺς καταλοίπους ὀνομάζει. ὥσπερ δὲ παρὰ τῷ Ἠσαΐᾳ σπέρμα ὠνομάζετο τὸ ἐξ αὐτῶν λεῖμμα, οὕτως καὶ νῦν σταγόνα ὀνομάζει τοὺς ἐξ αὐτῶν σωθησομένους. 147. δηλοῦται δὲ καὶ διὰ τούτων ὁ τῶν ἀποστόλων χορός, ὡς σταγών τις καὶ σπέρμα τοῦ Ἰουδαίων ἔθνους γεγενημένος, ἐξ ἧς σταγόνος πάντες οἱ καθ' ὅλης τῆς οἰκουμένης τὸν Χριστὸν ἐπεγνωκότες τοῦ θεοῦ, καὶ τὴν διδασκαλίαν αὐτοῦ παραδεδεγμένοι, τῆς θεσπιζομένης ἐπισυναγωγῆς κατηξιώθησαν, τὴν ἀπὸ τῶν πολεμίων λύτρωσιν εὑράμενοι.

148. "Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, ὀλι- b γοστὸς εἶ ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι εἰς ἄρχοντα τῷ Ἰσραήλ, καὶ ἔξο-

1 Es. 65, 15. 10 Mic. 2, 11. 28 Mic. 5, 2.

δοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης· τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσι." 149. καὶ μετὰ βραχέα ἐπιλέγει "καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ λαῶν πολλῶν, ὡς δρόσος παρὰ κυρίου πίπτουσα, καὶ ὡς ἄρνες ἐπ' ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς, μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων· καὶ ἔσται τὸ ὑπόλειμμα Ἰακὼβ c ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν τοῖς κτήνεσι τοῦ δρυμοῦ, καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων· ὃν τρόπον ὅταν διέλθῃ καὶ διαστείλας ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ἐξαιρούμενος. ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται."

150. Τούτων οὐδ' ἂν τι γένοιτο λευκότερον, κατὰ τὸ αὐτὸ καὶ τὴν γένεσιν τὴν ἐν Βηθλεὲμ τοῦ σωτῆρος ἀναφωνούντων, καὶ τὴν πρὸ αἰῶνος οὐσίωσιν αὐτοῦ, καὶ τὸν τῆς παρθένου τοκετὸν, καὶ τῶν ἀποστόλων καὶ μαθητῶν αὐτοῦ τὴν κλῆσιν, καὶ τὸ κήρυγμα τὸ καθ' ὅλης τῆς οἰκουμένης περὶ τοῦ Χριστοῦ d δι' αὐτῶν κατηγγελμένον. 151. τοῦ γὰρ δηλουμένου ἄρχοντος, οὗ τὰς ἐξόδους ὁ λόγος ἐξ ἡμερῶν αἰῶνος εἶναι δηλοῖ, ἐκ τῆς Βηθλεὲμ προελευσομένου, καὶ τῆς τοῦτον ἀποτικτούσης ἁγίας παρθένου τεξομένης, οὐ πάντας φησὶ τοὺς ἐκ περιτομῆς, ἀλλὰ μόνους τοὺς ἐπιλοίπους ἀνασωθήσεσθαι, οὓς καὶ λεῖμμα γενήσεσθαι τοῦ Ἰακὼβ, καὶ δίκην δρόσου ἐπὶ πάντα δοθήσεσθαι τὰ ἔθνη. "ἔσται γὰρ (φησὶν) τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ὡς δρόσος παρὰ κυρίου πίπτουσα καὶ ὡς ἄρνες ἐπ' ἄγρωστιν." 152. ἀνθ'

4 Mic. 5, 7.

οὗ "καὶ ὡς ψεκάδες ἐπὶ πόαν" ὁ Ἀκύλας, ὁ δὲ Θεοδο- (52) τίων "καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον" ἐκδεδώκασιν. καὶ πάλιν ἀντὶ τοῦ "ὅπως μὴ συναχθῇ μηδεὶς μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων, μηδὲ προσκόψῃ υἱὸς ἀνθρώπου" φησὶν ὁ Θεοδοτίων "ὃς οὐ μενεῖ ἄνθρωπον, καὶ οὐκ ἐλπίσει ἐπὶ υἱὸν ἀνθρώπου" καὶ ὁ Ἀκύλας "ὃς οὐχ ὑπομενεῖ ἄνδρα καὶ οὐ περὶ υἱοὺς ἀνθρώπων." 153. δι' ὧν πᾶσα τῶν ἀποστόλων τοῦ σωτῆρος ἡμῶν ἐλπὶς οὔτε εἰς ἄνθρωπον, ἀλλ' εἰς τὸν σωτῆρα καὶ κύριον αὐτῶν, οὗτος δὲ ἦν ὁ τοῦ θεοῦ λόγος. 154. οἷς ἑξῆς ἐπιλέγει "καὶ ἔσται τὸ ὑπόλειμμα Ἰα- b κὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν τοῖς κτήνεσι τοῦ δρυμοῦ καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων· ὃν τρόπον ὅταν διέλθῃ, καὶ διαστείλας ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ἐξαιρούμενος." δι' ὧν οἶμαι δηλοῦσθαι τὸ θαρσαλέον καὶ ἀκατάπληκτον τοῦ ἀποστολικοῦ κηρύγματος. 155. δίκην γοῦν λέοντος καὶ σκύμνου ἐν τῷ δρυμῷ τῶν ἐθνῶν καὶ ἐν ταῖς τῶν ἀνθρωπίνων προβάτων ἀγέλαις εἰσβαλόντες, καὶ διαστείλαντες τοὺς ἀξίους ἀπὸ τῶν ἀναξίων, ὑπηγάγοντο τῷ Χριστοῦ λόγῳ· πρὸς ὃν ἑξῆς ἀναφωνεῖται τὰ ἀπ' αὐτοῦ "ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται." ὃ [54] καὶ αὐτὸ πάρεστιν ὀφθαλμοῖς παραλαμβάνειν. μυρίων γὰρ ὅσων τὸν Χριστοῦ λόγον θλιψάντων καὶ εἰσέτι c νῦν πολεμούντων, ὑπερήρθη καὶ κρείττων πάντων γέγονεν. 156. ἀλλὰ καὶ ὑψώθη ἡ χεὶρ τοῦ Χριστοῦ κατὰ πάντων τῶν θλιψάντων αὐτὸν, οἵ τε ἐχθροὶ αὐτοῦ πάντες οἱ κατὰ χρόνους ἐπανιστάμενοι αὐτοῦ τῇ ἐκκλησίᾳ ἐξολοθρευθήσεσθαι λέγονται.

νβ΄. Ἀπὸ τοῦ Σοφονίου.

a 157. "Ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν, εἰς ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι τοὺς ἱκετεύοντάς με. υἱοὶ τῶν διεσπαρμένων οἴσουσι θυσίας μοι. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμὲ, ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκ ἔτι οὐ μὴ προστεθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πρᾶον καὶ ταπεινόν. 158. καὶ εὐλαβηθήσονται ἐν τῷ ὀνόματι κυρίου οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσι μάταια. καὶ οὐ μὴ εὑρεθῇ ἐν στόματι αὐτῶν γλῶσσα δολία, διότι αὐτοὶ νεμήσονται καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς."

(83) 159. Καὶ ἐν τούτοις ὑπολείψεσθαι ἑαυτῷ λαὸν πραῢν καὶ ταπεινὸν ὁ κύριος ἐπήγγελται, οὐκ ἄλλον δηλῶν ἢ τὸν ἐκ περιτομῆς εἰς τὸν Χριστὸν αὐτοῦ πεπιστευκότα. καὶ πάλιν τοὺς καταλοίπους τοῦ Ἰσραὴλ μόνους σωθήσεσθαι μετὰ τῆς τῶν λοιπῶν ἐθνῶν κλήσεως, ἣν ἐν τοῖς πρώτοις τῆς προφητείας ἐσήμαινεν.

νγ΄. Ἀπὸ τοῦ Ζαχαρίου.

160. "Ἰδοὺ ἡμέρα ἔρχεται ἐν σοὶ, καὶ διαμερισθήσεται τὰ σκῦλά σου ἐν σοί. καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται
b ἡ πόλις, καὶ διαρπαγήσονται οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως

---

2 Soph. 3, 9. 24 Zach, 14, 1.

ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθήσονται ἐκ τῆς πόλεως."

161. *Συνᾴδει καὶ ταῦτα τοῖς προτεθειμένοις ἐπὶ τῷ ὀλέθρῳ τοῦ παντὸς Ἰουδαίων ἔθνους μετελθόντι αὐτοὺς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν πεπληρωμένα. μετὰ οὖν τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ταῦτα ὁ Ζαχαρίας προφητεύει, θεσπίζων τὴν ὑπὸ Ῥωμαίων γενησομένην ὑστάτην πολιορκίαν τοῦ λαοῦ, ἐφ' ᾗ* c *τοῦ παντὸς ἔθνους Ἰουδαίων ὑποχειρίου τοῖς πολεμίοις γενησομένου μόνους φησὶ τοὺς καταλοίπους τοῦ λαοῦ σωθήσεσθαι, ἄντικρυς αὐτοὺς τοὺς ἀποστόλους τοῦ σωτῆρος ἡμῶν δηλῶν.*

νδ'. Ἀπὸ τοῦ Ἱερεμίου.

162. "*Ἐπιστράφητε υἱοὶ ἀφεστηκότες, λέγει κύριος, διότι ἐγὼ κατακυριεύσω ὑμῶν, καὶ λήψομαι ὑμᾶς ἕνα ἐκ πόλεως καὶ δύο ἐκ πατριᾶς. καὶ εἰσάξω ὑμᾶς εἰς Σιὼν, καὶ δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς, ποιμαίνοντες μετ' ἐπιστήμης· καὶ ἔσται, ἐὰν πληθυνθῆτε καὶ αὐ-* d *ξηθῆτε, λέγει κύριος, ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἐροῦσιν ἔτι, κιβωτὸς διαθήκης κυρίου Ἰσραὴλ οὐκ ἀναβήσεται ἐπὶ καρδίαν, οὐδὲ ὀνομασθήσεται, καὶ οὐ ποιηθήσεται ἔτι.*"

163. *Ὁμοῦ καὶ ἐν τούτοις τὴν ἐπιστροφὴν τοῦ Ἰσραὴλ τὴν ἐν τῇ παρουσίᾳ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενησομένην θεσπίζει, καθ' ἣν ἕνα ἐκ πόλεως καὶ δύο ἐκ πατριᾶς, καὶ σφόδρα ὀλιγοστοὺς καὶ ἀριθμῷ βραχεῖς ἐκλεξάμενος ποιμένας τῶν εἰς αὐτὸν πεπιστευκότων ἐθνῶν, καὶ αὐξηθέντων ἐπὶ*

---

14 Jer. 3, 14.

[55] τῆς γῆς ἐν τῇ δι' αὐτῶν ἐσομένῃ κλήσει τῶν ἐθνῶν. 164. οὐκέτι, φησὶν, ἐροῦσιν, κιβωτὸς διαθήκης κυρίου. οὐκέτι γὰρ ἐπὶ τὰς Μωσέως ἀναδραμοῦνται σωματικωτέρας θρησκείας, ἅτε καινῆς διαθήκης αὐτοῖς παραδοθησομένης.

(84) νε'. Ἀπὸ τοῦ αὐτοῦ.

165. "Ἐπλήθυναν ἀσεβείας αὐτῶν, ἴσχυσαν ἐν ταῖς ἀποστροφαῖς αὐτῶν. ποίᾳ τούτων ἵλεως ἔσομαί σοι; υἱοί σου ἐγκατέλιπόν με, καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς, καὶ ἐχόρτασα αὐτοὺς, καὶ ἐμοιχῶντο, καὶ ἐν οἴκοις πορνῶν κατελύοσαν. ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζον. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι; λέγει κύριος, ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἀνάβητε ἐπὶ τοὺς προμαχῶνας αὐτῆς, καὶ κατα-
b σφάξατε, συντέλειαν δὲ μὴ ποιήσητε· ὑπολείπεσθε τὰ ὑποστηρίγματα αὐτῆς, ὅτι τοῦ κυρίου εἰσίν."

166. Καὶ ἐν τούτοις ὁμοῦ κατηγορία τοῦ παντὸς ἔθνους αὐτῶν καὶ ἡ μετελθοῦσα αὐτοὺς πολιορκία δηλοῦται, καὶ πάλιν τὸ κατάλειμμα, ὅπερ στήριγμα αὐτῆς ὀνομάζει τοῦ κυρίου τυγχάνον. τοῦτο δὲ ἦν τὸ διὰ τῆς εἰς τὸν Χριστὸν τοῦ θεοῦ πίστεως δυναμωθὲν καὶ στερρωθὲν, ὡς μηδὲ τὰ ὅμοια ὑπομεῖναι, οἷς τὸ πᾶν ἔθνος αὐτῶν ἐπεπόνθει.

νς'. Ἀπὸ τοῦ Ἰεζεκιήλ.

167. "Καὶ πεσοῦνται τραυματίαι ἐν μέσῳ ὑμῶν,
c καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ κύριος, ἐν τῷ γενέσθαι ἐξ

7 Jer. 5, 6. 26 Ezech. 6, 7.

ὑμῶν ἀνασωζομένους ἐκ ῥομφαίας ἐν τοῖς ἔθνεσι, καὶ ἐν τῷ διασκορπισμῷ ὑμῶν ἐν ταῖς χώραις, καὶ μνησθήσονταί μου οἱ ἀνασωζόμενοι ἐξ ὑμῶν ἐν τοῖς ἔθνεσιν, οὗ ᾐχμαλωτεύθησαν ἐκεῖ."

168. *Δοκεῖ μοι κἀνταῦθα συνᾴδειν τοῖς ἀπὸ τῶν λοιπῶν προφητειῶν. τοὺς γὰρ ἀνασωζομένους τίνας ἂν εἴποις ἢ τὸ ἐν ἑτέροις ὠνομασμένον ὑπόλειμμα, καὶ τὴν σταγόνα καὶ τὴν δρόσον τοῦ λαοῦ ἐκείνου; δι' ὧν ἐδηλοῦτο ἡ τῶν ἀποστόλων τοῦ σωτῆρος ἡμῶν σύστασις. οὗτοι γοῦν ἀνασωθέντες ἐκ τῆς ἀπωλείας τοῦ παντὸς αὐτῶν ἔθνους καὶ ἐν τῷ διασκορπισμῷ* d *αὐτῶν ἐμνήσθησαν τοῦ θεοῦ, ὡς ὁμολογεῖσθαι περὶ αὐτῶν εἰρῆσθαι τὰ ἀναγεγραμμένα.*

νζ'. *Ἀπὸ τοῦ αὐτοῦ.*

169. "*Τάδε λέγει Ἀδωναῒ κύριος, ὅτι ἀπώσομαι αὐτοὺς εἰς τὰ ἔθνη, καὶ διασκορπιῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη, καὶ διασκορπιῶ αὐτοὺς εἰς πᾶσαν τὴν γῆν, καὶ ἔσομαι αὐτοῖς εἰς ἁγίασμα μικρὸν ἐν ταῖς χώραις οὗ ἂν εἰσέλθωσιν ἐκεῖ.*"

170. *Καὶ ἐνταῦθα ἑτέρῳ ὀνόματι τοὺς αὐτοὺς κέκληκεν, ἁγίασμα μικρὸν εἰπὼν τοὺς ἐξ αὐτῶν ἀνασωθησομένους καὶ ὑπολειφθησομένους.*

νη'. *Ἀπὸ τοῦ αὐτοῦ.*

171. "*Καὶ πάντας τοὺς ἀντιλαμβανομένους αὐτῶν* (85) *διασπερῶ εἰς πάντα ἄνεμον, καὶ ῥομφαίαν ἐκχεῶ ὀπίσω αὐτῶν, καὶ ἐπιγνώσονται ὅτι ἐγὼ κύριος, ἐν τῷ διασκορπίσαι με ἐν τοῖς ἔθνεσιν, καὶ διασπερῶ*

---

15 Ezech. 11, 16. 24 Ezech. 12, 14.

αὐτοὺς ἐν ταῖς χώραις· καὶ ὑπολείψομαι ἐξ αὐτῶν ἄνδρας ἐν ἀριθμῷ ἐκ ῥομφαίας, καὶ ἐκ λιμοῦ, καὶ ἐκ θανάτου, ὅπως ἐκδιηγήσωνται πάσας τὰς ἀνομίας αὐτῶν ἐν τοῖς ἔθνεσιν οὗ ἂν εἰσέλθωσιν ἐκεῖ· καὶ γνώσονται ὅτι ἐγὼ κύριος."

172. *Ἐπὶ τῇ τοῦ παντὸς λαοῦ διασπορᾷ καὶ νῦν*
b *ὑπολείψεσθαι ἑαυτῷ ὀλίγους ἀριθμῷ φησιν, οὐδ' ἄλλους δηλῶν τῶν προειρημένων.*

νθ'. Ἀπὸ τοῦ αὐτοῦ.

"Τάδε λέγει Ἀδωναΐ κύριος· ἐὰν δὲ καὶ τὰς τέσσαρας ἐκδικήσεις μου τὰς πονηρὰς, ῥομφαίαν καὶ λιμὸν καὶ θηρία πονηρὰ καὶ θάνατον, ἐξαποστελῶ
[56] *ἐπὶ Ἱερουσαλὴμ, τοῦ ἐξολοθρεῦσαι ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, καὶ ἰδοὺ ὑπολελειμμένοι ἐν αὐτῇ οἱ ἀνασεσωσμένοι."*

173. *Οὐδὲν ἂν καὶ ταῦτα διαφέροι τῶν προειρημένων.*

ξ'. Ἀπὸ τοῦ αὐτοῦ.

c 174. *"Οὕτως κρινῶ ὑμᾶς, λέγει κύριος, καὶ διάξω ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου, καὶ εἰσάξω ὑμᾶς ἐν ἀριθμῷ τῆς διαθήκης μου, καὶ ἐκλέξω ἐξ ὑμῶν τοὺς ἀφεστηκότας καὶ τοὺς ἀσεβεῖς, διότι ἐκ τῆς παροικίας αὐτῶν ἐξάξω αὐτοὺς, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται."*

175. *Σαφῶς καὶ ἐν τούτοις ἀριθμῷ βραχεῖς ὑπὸ τὴν ῥάβδον τοῦ θεοῦ γενήσεσθαι, ἐπὶ τῷ τοὺς λοιποὺς τοῦ Ἰσραὴλ ἀποπεσεῖσθαι τῶν ἐπαγγελιῶν, μαρτύρεται. ἀλλὰ γὰρ ἀποδείξας ὅτι μὴ ὡς ἔτυχεν ἀδια-*

---

10 Ezech. 14, 21. 19 Ezech. 20, 36.

κρίτως πᾶσιν ἁπλῶς τοῖς ἀπὸ τοῦ Ἰουδαίων ἔθνους φαύλοις τε καὶ ἀσεβέσι καὶ τοῖς μὴ τοιούτοις τὰς τῶν ἀγαθῶν ἐπαγγελίας οἱ θεῖοι λόγοι προεθέσπιζον, σπα- d
νίοις δὲ αὐτῶν καὶ ἀριθμῷ ληπτοῖς, ἤτοι τοῖς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἐξ αὐτῶν πεπιστευκόσιν, ἢ τοῖς πρὸ τῆς παρουσίας αὐτοῦ δεδικαιωμένοις, αὐτάρκως ἡγοῦμαι δεδηλωκέναι ὅτι μὴ ἀδιακρίτως εἰς ἅπαντας Ἰουδαίους τὰ τῶν θείων ἐπαγγελιῶν ἐπληροῦτο, καὶ ὅτι μὴ μᾶλλον αὐτοῖς ἢ τοῖς ἐξ ἐθνῶν τὸν Χριστὸν τοῦ θεοῦ παραδεξαμένοις τὰ τῶν προφητῶν ἐφαρμόττει λόγια. τίς δὲ ἦν ἡ τῶν θείων ἐπαγγελιῶν διάνοια κατὰ καιρὸν τὸν προσήκοντα παραστήσω. 176 ταῦτα δὲ ὡς ἀναγκαίως μοι συνείλεκται εἰς ἔλεγχον τῶν ἐκ περιτομῆς ὑπ' ἀλόγου μεγαλαυχίας μόνοις αὐτοῖς τὸν Χριστὸν ἐπιδημήσειν, οὐχὶ δὲ καὶ πᾶσιν ἀνθρώποις, ἐπαυθαδιζομένων, εἴς τε ἀπόδειξιν (86)
τῆς ἡμῶν αὐτῶν περὶ τὰ ἐκείνων λόγια εὐλόγου σπουδῆς. 177. συνέστη δέ μοι διὰ τοῦ πρὸ τούτου συγγράμματος καὶ τὸ αἴτιον τοῦ μὴ Ἰουδαΐζειν ἡμᾶς, καὶ ταῦτα ταῖς αὐτῶν χαίροντας προφητικαῖς γραφαῖς. ἀλλὰ καὶ ὁποῖος ὁ βίος τυγχάνει ὁ διὰ τοῦ Χριστοῦ πᾶσι τοῖς ἔθνεσι κεκηρυγμένος, ἥ τε ἀρχαιότης τοῦ τρόπου τῆς εὐαγγελικῆς πολιτείας, ὡς οἷόν τε ἦν, ἐν αὐτῷ διελήλυθα. 178. τούτων δ' ἡμῖν προηνυσμέ- b
νων, ἤδη ποτὲ καιρὸς ἀπορρητοτέρων ἅψασθαι λόγων, τῶν περὶ τῆς κατὰ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ μυστικῆς οἰκονομίας, καὶ ὡς ἂν μάθοιμεν διὰ τί νῦν, ἀλλ' οὐ πρὸ τούτου, τὴν εἰς ἅπαντας ἀνθρώπους ἐπιφάνειαν αὐτοῦ πεποίητο, καὶ τί τὸ αἴτιον ἦν τοῦ μὴ πάλαι πρότερον, ἔναγχος δὲ καὶ μετὰ τὸν μακρὸν αἰῶνα τῆς τῶν ἐθνῶν ἀπάρξασθαι αὐτὸν κλήσεως, τά τε ἄλλα ὅσα δήποτε τῆς

c κατ' αὐτὸν ἀπορρήτου θεολογίας οἰκεῖα τυγχάνει· ἔτι μὴν καὶ τὰ περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ, ἃ καὶ πρῶτα ἐξ ἑτέρας λόγου ἀρχῆς, ὡς πρὸς τοὺς ἀπίστους, τέως αὐτὸν βοηθὸν ἐπικαλεσάμενοι τὸν τοῦ θεοῦ λόγον, φέρε διασκεψώμεθα.

---

[57] ## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

(87) Τῶν προλεγομένων εἰς τὴν εὐαγγελικὴν ἀπόδειξιν αὐτάρκως μοι γεγυμνασμένων, ἀποδεδειγμένου τε τοῦ τρόπου τῆς τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας, τῆς τε αἰτίας ἀποδοθείσης δι' ὧν τὰ Ἰουδαίων ἀσπασάμενοι λόγια τὸν κατ' αὐτοὺς βίον παρη-
(88) τησάμεθα, καὶ ἔτι πρὸς τούτοις συστάντος ὡς αἱ προφητικαὶ παρ' αὐτοῖς γραφαὶ προλαβοῦσαι τὸ μέλλον τῆς ἡμετέρας διὰ Χριστοῦ γενομένης κλήσεως ἐμνημόνευσαν, διὸ καὶ ὡς οἰκείων, ἀλλ' οὐκ ἀλλοτρίων αὐτῶν μεταποιούμεθα· καλεῖ δὴ καιρὸς ἐπ' αὐτὴν ἐμβάντα τὴν ὑπόθεσιν ἄρξασθαι τῶν ἐπηγγελμένων. 2. τίνα δὲ ἦν ταῦτα ἀλλ' ἢ τὰ περὶ τῆς κατὰ τὸν ἄνθρωπον οἰκονομίας Ἰησοῦ τοῦ Χριστοῦ τοῦ θεοῦ, αἵ τε τῶν παρ' Ἑβραίοις προφητῶν περὶ τῆς κατ' αὐτὸν θεολογίας διδασκαλίαι, καὶ αἱ περὶ τῆς εἰς ἀνθρώπους ἐπιφανείας αὐτοῦ προρρήσεις, ἃς αὐτῷ
b μόνῳ ἐφαρμόζειν ἐξ ἐναργῶν τῶν ἀποτελεσμάτων αὐτίκα μάλα παραστήσομεν, πρῶτον ἀναγκαίως ἐκεῖνο θεωρήσαντες, ὅπως οἱ προφῆται τὴν τοῦ εὐαγγελίου μνήμην ἐπὶ τοῦ Χριστοῦ παρελάμβανον.

I. Τοῦ δηλωθέντος μάρτυς ἂν εἴη ῥήμασιν αὐ-

τοῖς Ἡσαΐας, ἐκ προσώπου τοῦ Χριστοῦ κεκραγὼς "πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέν με, κηρῦξαι αἰχμαλώτοις c ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν." ἥντινα προφητείαν ὁ σωτὴρ ἡμῶν ἐν τῇ συναγωγῇ ποτὲ διελθὼν ἐπὶ τοῦ πλήθους τῶν Ἰουδαίων, πτύξας τὸ βιβλίον εἶπεν "σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν." 2. καὶ δὴ ἐνθένδε ἀρξάμενος τῆς οἰκείας διδασκαλίας πτωχοῖς εὐηγγελίζετο τῶν παρ' αὐτῷ μακαρισμῶν, προτάττων "μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν." ἀλλὰ καὶ τοῖς ὑπὸ πνευμάτων πονηρῶν ὀχλουμένοις, [58] ὑπό τε δαιμόνων τρόπον αἰχμαλώτων πάλαι πρότερον κεκρατημένοις, τὴν ἄφεσιν προεκήρυττε d τοὺς πάντας εἰς ἐλευθερίαν καὶ λύσιν τῶν ἀπὸ κακίας δεσμῶν ἀνακαλούμενος δι' ὧν ἔφασκεν "δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς." 3. καὶ τυφλοῖς δὲ τὴν ἀνάβλεψιν παρεῖχεν, τοῖς τὰς ὄψεις τοῦ σώματος διεφθαρμένοις τὸ βλέπειν δωρούμενος, κατὰ διάνοιαν τοῖς πάλαι περὶ τὴν ἀλήθειαν ἀναβλέπουσι τὸ φῶς τῆς ἀληθοῦς εὐσεβείας παρέχων ὁρᾶν. τὸν μὲν οὖν Χριστὸν ἐν πρώτοις αὐθέντην καὶ ἀρχηγὸν ἔσεσθαι τῆς εὐαγγελικῆς πραγματείας ἡ παρατεθεῖσα προφητεία παρίστησιν, μετὰ δὲ αὐτὸν τῆς αὐτῆς ὑποθέσεως ὑπηρέτας ἔσεσθαι τοὺς αὐτοῦ μαθητὰς θεσπίζει ὁ αὐτὸς λέγων προφήτης "ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀγαθά, ἢ τῶν εὐαγγελιζομένων εἰρήνην." (89)

4. Ἔνθα σφόδρα ἀπηκριβωμένως ὡραίους ἔφησεν

---

2 Es. 61, 1. 7 Luc. 4, 21. 10 Matth. 5, 3. 16 Matth. 11, 28. 28 Es. 52, 7. Rom. 10, 15.

ἔσεσθαι τοὺς πόδας τῶν εὐαγγελιζομένων τὰ τοῦ Χρι-
στοῦ ἀγαθά. πῶς γὰρ οὐκ ἔμελλον ὡραῖοι ἔσεσθαι
οἱ ἐν ὀλίγῳ καὶ βραχεῖ χρόνῳ τὴν πᾶσαν περιδρα-
μούμενοι οἰκουμένην, καὶ πάντα τόπον πληρώσαντες
τῆς περὶ τοῦ σωτῆρος τοῦ κόσμου θεοσεβοῦς διδα-
σκαλίας; ὅτι δὲ μὴ ῥήμασιν ἀνθρωπίνοις ἐκέχρηντο
b εἰς πειθὼ τῶν ἀκροωμένων, θεοῦ δὲ δύναμις ἦν ἡ
συνεργοῦσα αὐτοῖς ἐν τῷ εὐαγγελικῷ κηρύγματι, ἄλ-
λος πάλιν προφήτης ἀναφωνεῖ "κύριος δώσει ῥῆμα
τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ."

5. Καὶ πάλιν ὁ Ἡσαΐας "ἐπ' ὄρος ὑψηλὸν ἀνά-
βηθι ὁ εὐαγγελιζόμενος Σιών, ὕψωσον τῇ ἰσχύϊ τὴν
φωνήν σου ὁ εὐαγγελιζόμενος Ἰερουσαλήμ· ὑψώσατε,
μὴ φοβεῖσθε, εἶπον ταῖς πόλεσιν Ἰούδα, ἰδοὺ ὁ θε`ς
ὑμῶν, ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βρα-
c χίων μετὰ κυρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ,
καὶ τὸ ἔργον αὐτοῦ ἐναντίον αὐτοῦ· ὡς ποιμὴν ποι-
μανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ ἐν τῷ βραχίονι αὐτοῦ
συνάξει ἄρνας καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει."

6. Ταῦτα δὲ ὁποίας ἔχεται διανοίας ὁδῷ προϊόν-
τες κατὰ τὴν εὐαγγελικὴν εἰσόμεθα διδασκαλίαν. πλὴν
ἀλλὰ πέφανται τὸ εὐαγγέλιον καὶ τοὔνομα δὲ τοῦ
εὐαγγελίου διὰ τῶν προφητικῶν φωνῶν μεμαρτυρη-
μένον, ἔχεις τε λευκὰς καὶ ἐναργεῖς ἀποδείξεις ἐκ
τίνος μὲν ἄρξεται τὸ εὐαγγέλιον, ὅτι δὴ ἐξ αὐτοῦ τοῦ
d Χριστοῦ, δι' ὧν τε κηρυχθήσεται, ὅτι διὰ τῶν ἀπο-
στόλων αὐτοῦ· ἀλλὰ καὶ ποίᾳ δυνάμει κρατήσει, ὅτι
μὴ ἀνθρωπείᾳ· ὃ δὴ καὶ αὐτὸ συνέστη διὰ τοῦ "κύ-
ριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολ-
λῇ." 7. τί δὴ οὖν λείπεται ἐπὶ τούτοις ἢ ἐκ πολλῶν

---

9 Ps. 68, 11. 11 Es. 40, 9.

ὀλίγα προλαβεῖν τῶν παρ' Ἑβραίοις ἀνέκαθεν περὶ τοῦ Χριστοῦ προφητευομένων, ὡς ἂν εἰδῇς τίνα ἔσεσθαι τὸ εὐαγγέλιον ἐν ὑστέροις καιροῖς εὐηγγελίζετο, ὁμοῦ τε τῶν προφητῶν τὸ θαῦμα τῆς τῶν μελλόντων προγνώσεως, καὶ τῶν προρρήσεων τὰ ἀποτελέσματα, ὅπως ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ συνίσταται πεπληρωμένα;

II. Πρῶτος προφητῶν Μωσῆς ἕτερον προφήτην ὅμοιον αὐτῷ ἀναστήσεσθαι εὐαγγελίζεται. ἐπειδὴ γὰρ (90) ἡ κατ' αὐτὸν νομοθεσία μόνῳ τῷ Ἰουδαίων προσῆκεν ἔθνει, καὶ τούτῳ ἐπὶ τῆς Ἰουδαίας γῆς ἢ ἀμφὶ ταύτην, οὐχὶ δὲ καὶ τῷ πορρωτάτω τῆς ἀλλοδαπῆς διατρίβοντι, συνῶπται διὰ τῶν πρόσθεν ἡμῖν γεγυμνασμένων, χρῆν δὲ δήπου τὸν μὴ μόνον Ἰουδαίων θεὸν, ἀλλὰ καὶ ἐθνῶν, καὶ τὰ πᾶσι τοῖς ἔθνεσι λυσιτελῆ [59] πρὸς τὴν αὐτοῦ γνῶσίν τε καὶ εὐσέβειαν παρασχεῖν τῷ βίῳ, εἰκότως προφήτην ἕτερον κατ' οὐδὲν ἀποδέοντα τῆς κατ' αὐτὸν οἰκονομίας ἐκ τοῦ Ἰουδαίων b ἔθνους ἀναστήσειν διὰ χρησμοῦ θεσπίζει, τοῦτον εἰρηκότος αὐτοῦ τοῦ θεοῦ τὸν τρόπον 2. "προφήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σὲ, καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' ὅ τι ἂν ἐντείλωμαι αὐτῷ. καὶ ὁ ἄνθρωπος ὃς ἂν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ."

3. Τὰ ὅμοια δὲ καὶ αὐτὸς ὁ Μωσῆς πρὸς τὸν λαὸν διερμηνεύων τὸ τοῦ θεοῦ λόγιόν φησιν "προφήτην ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ ἀναστήσει κύ- c

---

21 Deut. 18, 18. 30 Deut. 18, 15.

ριος ὁ θεός σου, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ κυρίου τοῦ θεοῦ ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας."

4. Ἆρ' οὖν οἱ μετὰ Μωσέα προφῆται, Ἡσαΐας, φέρε, ἢ Ἱερεμίας, ἢ Ἰεζεκιὴλ, ἢ Δανιὴλ, ἤ τις ἕτερος τῶν δώδεκα, Μωσεῖ κατέστη παραπλήσιος νομοθέτης; οὐδαμῶς. ἀλλὰ τὰ ὅμοιά τις ἐκείνων Μωσεῖ διαπέπρακται; οὐκ ἔστιν εἰπεῖν. ἕκαστος γοῦν αὐτῶν ἀπὸ πρώτου καὶ εἰς τὸν τελευταῖον ἐπὶ Μωσέα τοὺς ἀκρο-
d ωμένους ἀνέπεμπον, καὶ τόν γε κατὰ τοῦ λαοῦ ἔλεγχον διὰ τὰς παραβάσεις τοῦ Μωσέως ἐποιοῦντο νόμου, προύτρεπόν τε οὐδὲν ἄλλο ἢ τῶν παρὰ Μωσεῖ νενομοθετημένων ἐξέχεσθαι. 5. οὐδένα γοῦν τούτων ὅμοιον· Μωσῆς δὲ περὶ ἑνὸς ὡρισμένως ἀναφωνεῖ. τίνα τοίνυν ὁ χρησμὸς θεσπίζει Μωσεῖ παραπλήσιον ἔσεσθαι προφήτην ἢ μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν; ὅπως δὲ τοῦτ' εἴρηται διασκέψασθαι ἀναγκαῖον. 6. Μωσῆς πρῶτος ἡγήσατο τοῦ Ἰουδαίων ἔθνους· εὑρών τε αὐτοὺς τῇ κατὰ Αἰγυπτίους πολυθέῳ πλάνῃ προσέχοντας πρῶτος μὲν ταύτης ἀπέστρεψεν, ἀπαραιτήτοις τιμωρίαις ἀπαγο-
(91) ρεύσας εἰδωλολατρεῖν· πρῶτος δὲ αὐτοῖς καὶ τὴν περὶ μοναρχίας θεολογίαν κατήγγειλεν, τὸν τῶν ἁπάντων δημιουργὸν καὶ ποιητὴν μόνον παραγγείλας σέβειν· πρῶτος δὲ καὶ ἀγωγήν τινα θεοσεβοῦς βίου τοῖς αὐτοῖς διαταξάμενος νομοθέτης αὐτοῖς εὐσεβοῦς πολιτείας πρῶτος καὶ μόνος ἀποδέδεικται· ἀλλὰ καὶ Ἰησοῦς ὁ Χριστὸς Μωσεῖ παραπλησίως καὶ πολὺ κρειττόνως πρῶτος τῆς κατ' εὐσέβειαν διδασκαλίας τοῖς λοιποῖς ἔθνεσι καθηγήσατο, καὶ πρῶτος ἀνατροπὴν
b τῆς καθ' ὅλην τὴν οἰκουμένην εἰδωλολατρίας εἰργάσατο· πρῶτός τε τὴν ἑνὸς τοῦ παμβασιλέως θεοῦ

γνῶσίν τε καὶ εὐσέβειαν πᾶσιν ἀνθρώποις προυβάλετο, καινοῦ τε βίου καὶ πολιτείας θεοσεβέσι προσηκούσης πρῶτος εἰσαγωγεὺς καὶ νομοθέτης ἀποδέδεικται. 7. καὶ τὰ λοιπὰ δὲ τὰ περὶ κόσμου γενέσεως, καὶ τὰ περὶ ψυχῆς ἀθανασίας, καὶ ὅσα ἄλλα φιλόσοφα δόγματα, πρῶτος Μωσῆς τῷ Ἰουδαίων παρέδωκεν ἔθνει, ταῦτα θεοπρεπέστερον πρῶτος τοῖς λοιποῖς ἔθνεσιν Ἰησοῦς ὁ Χριστὸς διὰ τῶν αὐτοῦ μαθητῶν c κατήγγειλεν· ὥστε Μωσέα μὲν εἰκότως πρῶτον καὶ μόνον εὐσεβείας νομοθέτην ἀνηγορεῦσθαι Ἰουδαίων, Ἰησοῦν δὲ τὸν Χριστὸν τῶν ἐθνῶν ἁπάντων, κατὰ τὴν φήσασαν περὶ αὐτοῦ προφητείαν "κατάστησον, κύριε, νομοθέτην ἐπ' αὐτούς· γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν."

8. Πάλιν Μωσῆς θαυμασίοις ἔργοις καὶ παραδοξοποιίαις τὴν πρὸς αὐτοῦ καταγγελθεῖσαν εὐσέβειαν ἐπιστώσατο· ὡσαύτως δὲ καὶ ὁ Χριστὸς ταῖς ἀναγράπτοις θαυματουργίαις πρὸς πίστιν τῶν ὁρώντων κεχρημένος τὰ καινὰ τῆς εὐαγγελικῆς διδασκαλίας αὐτοῦ μαθήματα συνεστήσατο. 9. πάλιν Μωσῆς ἐκ d πικρᾶς τῆς ὑπ' Αἰγυπτίοις δουλείας τὸ Ἰουδαίων ἔθνος εἰς ἐλευθερίαν μετεστήσατο· καὶ Ἰησοῦς δὲ ὁ Χριστὸς ἐκ τῆς ὑπὸ τοῖς πονηροῖς δαίμοσι δυσσεβοῦς [60] καὶ Αἰγυπτιακῆς εἰδωλολατρίας εἰς ἐλευθερίαν τὸ πάντων ἀνθρώπων γένος ἀνεκαλέσατο. 10. πάλιν Μωσῆς γῆν ἁγίαν καὶ θεοφιλῆ βίον ἐν ταύτῃ μακαριστὸν τοῖς τῶν νόμων φύλαξιν ἐπηγγείλατο· ὡσαύτως δὲ καὶ Ἰησοῦς ὁ Χριστὸς, μακάριοι, φησὶν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν, πολὺ κρείττονα γῆν ἀληθῶς ἁγίαν καὶ θεοφιλῆ, οὐχὶ τὴν

---

12 Ps. 9, 20.

ἐπὶ τῆς Ἰουδαίας, ὅτι μηδὲν τῆς λοιπῆς αὕτη διενήνοχεν, ἀλλὰ τὴν κατ' οὐρανὸν ψυχαῖς φιλοθέοις προσ-
(92) ήκουσαν τοῖς κατορθοῦσιν τὸν πρὸς αὐτοῦ κατηγγελμένον βίον ὑποσχόμενος· ὃ δὴ καὶ παριστὰς λευκότερον τοῖς πρὸς αὐτοῦ μακαριζομένοις βασιλείαν οὐρανῶν κατήγγειλε. 11. καὶ ἄλλας δὲ πράξεις εὕροις ἂν ὑπὸ τοῦ σωτῆρος ἡμῶν κρείττονι ἢ κατὰ Μωσέα δυνάμει γεγονυίας, παραπλησίας γε μὴν αἷς καὶ ὁ Μωσῆς διεπράξατο, 12. οἷον, ὡς ἐπὶ παραδείγματος, Μωσῆς ἐφεξῆς τεσσαράκοντα ἡμέρας ἐνήστευσεν, ὡς ἡ γραφὴ μαρτυρεῖ λέγουσα "καὶ ἦν ἐκεῖ Μωσῆς ἔναντι κυρίου τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύ-
b κτας, ἄρτον οὐκ ἔφαγεν, καὶ ὕδωρ οὐκ ἔπιεν."

13. Ὡσαύτως δὲ καὶ ὁ Χριστός. γέγραπται γοῦν "καὶ ἤγετο εἰς τὴν ἔρημον τεσσαράκοντα ἡμέρας πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐδὲν ἔφαγεν ἐν ταῖς ἡμέραις ἐκείναις." καὶ πάλιν Μωσῆς ἐν τῇ ἐρήμῳ τροφὰς τῷ λαῷ παρέσχε. λέγει δ' οὖν ἡ γραφή "ἰδοὺ ἐγὼ δίδωμι ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ." 14. καὶ μετ' ὀλίγα "ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς
c ἐρήμου λεπτὸν ὡσεὶ κόριον λευκὸν, ὡσεὶ πάγος ἐπὶ τῆς γῆς.". καὶ ὁ σωτὴρ δὲ καὶ κύριος ἡμῶν ὡσαύτως φησὶν πρὸς τοὺς ἑαυτοῦ μαθητὰς "τί διαλογίζεσθε ἐν ἑαυτοῖς ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε; οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε; οὐδὲ τοὺς ἑπτὰ τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε;"

---

11 Exod. 34, 28. 15 Luc. 4, 1. 19 Exod. 16, 4.
24 Matth. 16, 8.

15. *Πάλιν Μωσῆς διὰ μέσης τῆς θαλάσσης διῆλθε καὶ τὸν λαὸν ὡδήγησεν· λέγει δ' οὖν ἡ γραφὴ "ἐξέτεινε Μωσῆς τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν θάλασσαν, καὶ ὑπήγαγε κύριος τὴν θάλασσαν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν ἡμέραν, καὶ ἐποίησεν τὴν θάλασσαν ξηρὰν,* a *καὶ ἐσχίσθη τὸ ὕδωρ, καὶ διῆλθον οἱ υἱοὶ Ἰσραὴλ διὰ μέσης τῆς θαλάσσης κατὰ τὸ ξηρὸν, καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων."*

16. *Ὡσαύτως δὲ καὶ μᾶλλον θεοπρεπέστερον Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ ἐπὶ τῆς θαλάσσης περιπατήσας καὶ τὸν Πέτρον βαίνειν ἐπ' αὐτῆς ἐποίησε. γέγραπται δ' οὖν "τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἦλθεν ὁ Ἰησοῦς πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης. καὶ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης ἐταράχθησαν."* 17. *καὶ μετ' ὀλίγα "ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπεν, κύριε, εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρὸς σὲ ἐπὶ τὰ ὕδατα. ὁ δὲ εἶπεν, ἐλθέ· καὶ καταβὰς ἀπὸ τοῦ πλοίου Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα."*

18. *Πάλιν Μωσῆς ἀνέμῳ νότῳ βιαίῳ ἔπηξε τὴν θάλασσαν. λέγει δ' οὖν ἡ γραφή "ἐξέτεινε δὲ Μωσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ὑπήγαγε κύριος* (93) *τὴν θάλασσαν ἀνέμῳ νότῳ βιαίῳ." καὶ ἐπιφέρει "ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης."*

19. *Ὡσαύτως δὲ καὶ πολὺ κρειττόνως ὁ σωτὴρ ἡμῶν ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. πάλιν Μωσέως ἀπὸ τοῦ ὄρους κατιόντος τὸ πρόσωπον ἑωρᾶτο πλήρης δόξης. γέγραπται δ' οὖν "καταβαίνων δ' αὐτὸς ἐκ τοῦ ὄρους*

---

2 Exod. 14, 21. 12 Matth. 14, 25. 24 Matth. 8, 26. 29 Exod. 34, 29.

Μωσῆς οὐκ ᾔδει ὅτι δεδόξασται ἡ ὄψις τοῦ χρωτὸς [161] *τοῦ προσώπου αὐτοῦ ἐν τῷ αὐτὸν λαλεῖν αὐτῷ. καὶ* b *εἶδεν Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι τῶν υἱῶν Ἰσραὴλ τὸν Μωσῆν, καὶ ἦν δεδοξασμένη ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ."*

20. *Ὡσαύτως δὲ καὶ πολὺ διαφερόντως ὁ ἡμέτερος σωτὴρ ἀναγαγὼν τοὺς ἑαυτοῦ μαθητὰς εἰς ὄρος ὑψηλὸν λίαν, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. πάλιν Μωσῆς λεπρὸν ἐκαθάρισε. γέγραπται δ' οὖν "καὶ ἰδοὺ Μαρία λεπρῶσα ὡσεὶ χιών."* 21. *καὶ μετ' ὀλίγα "καὶ ἐβόησε* c *Μωσῆς πρὸς κύριον, λέγων, ὁ θεὸς δέομαι ἴασαι αὐτήν."*

22. *Ὡσαύτως δὲ καὶ μείζονι δυνάμει ἐξουσίας ὁ Χριστὸς τοῦ θεοῦ προσελθόντος αὐτῷ λεπροῦ, καὶ φήσαντος "ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· ὑπεκρίνατο· θέλω, καθαρίσθητι. καὶ ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα." πάλιν Μωσῆς δακτύλῳ θεοῦ ἔφησε τὸν νόμον γεγράφθαι. γέγραπται δ' οὖν "καὶ ἔδωκε τῷ Μωσεῖ, ἡνίκα κατέπαυσε λαλῶν αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, τὰς δύο πλάκας τοῦ μαρτυρίου, πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τοῦ θεοῦ."*

d 23. *Καὶ ἐν τῇ Ἐξόδῳ "εἶπον οὖν οἱ ἐπαοιδοὶ τῷ Φαραῷ, δάκτυλος θεοῦ ἐστιν τοῦτο." ὡσαύτως δὲ καὶ Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ τοῖς Φαρισαίοις ἔλεγεν "εἰ δὲ ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια."*

24. *Ἐφ' ὅλοις τούτοις Μωσῆς μετωνόμασε τὸν Ναυὴν Ἰησοῦν, ὡσαύτως δὲ καὶ ὁ σωτὴρ, τὸν Σί-*

---

7 Matth. 17, 2. 12 Num. 12, 10. 17 Matth. 8, 2.
20 Exod. 31, 18. 24 Exod. 8, 19. 27 Matth. 12, 27.

μωνα Πέτρον. καὶ πάλιν, Μωσῆς κατέστησε τῷ λαῷ ἡγουμένους ἑβδομήκοντα. λέγει δ' οὖν ἡ γραφὴ "συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοί, καὶ ἐπιθήσω ἐπ' αὐτούς· καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας."

25. Ὡσαύτως δὲ καὶ ὁ σωτὴρ ἀνέδειξεν αὐτοῦ μαθητὰς ἑβδομήκοντα, καὶ ἀπέστειλεν ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ. καὶ πάλιν Μωσῆς δώδεκα ἄνδρας ἐξέπεμψε τὴν γῆν κατασκεψομένους· ὡσαύτως δὲ καὶ πολὺ κρεῖττον ὁ ἡμέτερος σωτὴρ δώδεκα ἀποστό- (94) λους ἐξαπέστειλεν ἐπισκέψασθαι πάντα τὰ ἔθνη. πάλιν Μωσῆς νομοθετεῖ λέγων "οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐκ ἐπιορκήσεις."

26. Ὁ δὲ σωτὴρ ἡμῶν ἐπιτείνων τὸν νόμον οὐ τὸ φονεύειν μόνον, ἀλλὰ καὶ τὸ θυμοῦσθαι ἀπαγορεύει· ἀντὶ τοῦ μὴ μοιχεύειν μηδ' ἐμβλέπειν γυναικὶ μετὰ ἐπιθυμίας ἀκολάστου παραινεῖ, ἀντί τε τοῦ μὴ κλέπτειν τὰ οἰκεῖα τοῖς ἐνδεέσι προΐεσθαι προστάττει. ὑπερβὰς δὲ καὶ τὸ ἐπιορκεῖν τὴν ἀρχὴν μηδὲ ὀμνύναι νομοθετεῖ. 27. καί τι με δεῖ μηκύνειν τὸν λόγον εἰς ἀπόδειξιν τοῦ τὰ παραπλήσια καὶ ἐγγὺς ἀλλήλων πεποιηκέναι Μωσέα καὶ Ἰησοῦν τὸν σωτῆρα b καὶ κύριον ἡμῶν, παρόν, ὅτῳ φίλον, ἐπὶ σχολῆς ἀναλέξασθαι ταῦτα; ἐπεὶ καὶ τὸν θάνατον Μωσέως μηδένα φασὶν ἐγνωκέναι, μηδὲ τὴν ταφὴν αὐτοῦ, ὥσπερ οὖν οὐδὲ τοῦ σωτῆρος ἡμῶν τὴν μετὰ τὴν ἀναβίωσιν εἰς τὴν θεότητα μεταβολήν. 28. εἰ δὴ οὖν διὰ τῶν τοσούτων οὐδεὶς μὲν ἄλλος, μόνος δὲ ὁ σωτὴρ ἡμῶν παρέστη τὰ παραπλήσια Μωσεῖ διαπε-

---

3 Num. 11, 16. 7 Luc. 10, 1. 13 Deut. 5, 17.

πραγμένος, θέα λοιπὸν ἐπὶ μόνον αὐτὸν καὶ οὐδ' ἐφ' ἕτερον ἀναφέρειν χρὴ τὴν παρὰ Μωσεῖ προφητείαν, c δι' ἧς ὅμοιον αὐτῷ παραστήσειν ὁ θεὸς ἐθέσπισεν εἰπὼν "προφήτην ἐκ τῶν ἀδελφῶν αὐτῶν ἀναστήσω αὐτοῖς, ὥσπερ σέ, καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς, καθὰ ἂν ἐντείλωμαι αὐτῷ. καὶ ὁ ἄνθρωπος ὃς ἂν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ."

29. *Αὐτός τε Μωσῆς πρὸς τὸν λαὸν τὴν τοῦ θεοῦ διερμηνεύων φωνὴν ἔφησεν "προφήτην ἐκ τῶν* d *ἀδελφῶν ὑμῶν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ κυρίου* [92] *τοῦ θεοῦ σου ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας."*

30. Ὅτι δὲ τῶν μετὰ Μωσέα προφητῶν οὐδεὶς πρὸ τοῦ σωτῆρος ἡμῶν ὅμοιος ἐγήγερται Μωσεῖ σαφῶς ἡ παλαιὰ γραφὴ διδάσκει λέγουσα "καὶ οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραήλ, ὡς Μωσῆς, ὃν ἔγνω κύριος πρόσωπον κατὰ πρόσωπον ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασι."

31. Δέδεικται τοίνυν τὸ ἔνθεον πνεῦμα διὰ Μωσέως περὶ τοῦ σωτῆρος ἡμῶν θεσπίσαν, εἰ δὴ μόνος αὐτὸς καὶ οὐδ' ἄλλος ὅμοιος τῷ Μωσεῖ γεγονὼς ταῖς αὐτοῦ Μωσέως φωναῖς ἀκολούθως συν- [93] έστη. σκέψαι δὲ καὶ ἄλλην προφητείαν ἀνάγραπτον. 32. ἐπειδὴ γὰρ τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἄνθρωπον κατὰ σάρκα γενόμενον ἐκ σπέρματος Ἰσραὴλ μυρία πλήθη ἐν πᾶσι τοῖς ἔθνεσι κυριολογεῖ, τῆς ἐνθέου δυνάμεως αὐτοῦ χάριν κύριον ὁμολογοῦντα, καὶ τοῦτο πάλιν Μωσῆς συνιδὼν τῷ θείῳ πνεύματι διὰ τῆς

4 Deut. 18, 18. 17 Deut. 34, 10.

αὐτοῦ γραφῆς τοῦτον ἀνεφώνησε τὸν τρόπον "ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ·" λέγει δὲ τοῦ Ἰσραήλ· "καὶ κυριεύσει ἐθνῶν, καὶ ὑψωθήσεται ἡ βασιλεία αὐτοῦ."

33. Εἰ δὴ μηδεὶς ἄλλος πώποτε τῶν ἐκ περιτομῆς ἀρχόντων καὶ βασιλέων κύριος ἐθνῶν πολλῶν κατέστη, (οὐδεμία γὰρ ἱστορία δηλοῖ τοῦτο) βοᾷ δὲ καὶ κέκραγεν ἡ ἀλήθεια ἐπὶ μόνου τοῦ σωτῆρος b ἡμῶν, ὅτι δὴ κύριον αὐτὸν καὶ οὐκ αὐτὸ μόνον τοῖς χείλεσι, διαθέσει δὲ γνησιωτάτῃ μυρία πλήθη ἐξ ἁπάντων τῶν ἐθνῶν ὁμολογεῖ, τί δή ποτε ἐμποδὼν μὴ οὐχὶ αὐτὸν εἶναι φάσκειν τὸν προφητευόμενον; ὅτι δὲ Μωσῆς ταῦτα οὐκ ἀπεριορίστως προλέγει, οὐδ' εἰς ἄπειρον καὶ ἀπερίμετρον χρόνον ἐπισκιάζων τὴν πρόρρησιν, εὖ μάλα δὲ ἀκριβῶς τὴν τῶν προφητευομένων ἔκβασιν χρόνοις ὡρισμένοις περιγράφων, ἄκουε οἷα καὶ περὶ τούτου θεσπίζει "οὐκ ἐκ- c λείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν."

34. Δι' ὧν οὐ διαλείψειν ἑξῆς καὶ κατὰ διαδοχὴν ἡγουμένους καὶ ἄρχοντας ἐκ τοῦ Ἰουδαίων ἔθνους μέχρι τῆς τοῦ προσδοκωμένου παρουσίας ἀποφαίνεται, διαλιπόντων δὲ τῶν παρ' αὐτοῖς ἀρχόντων παρέσεσθαι τὸν προφητευόμενον. 35. Ἰούδαν δὲ νῦν οὐ τὴν φυλὴν ὀνομάζει, ἀλλ' ἐπεὶ κατά τινα προσωνυμίαν ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἀπὸ βασιλικῆς φυλῆς τῆς Ἰούδα τὸ πᾶν Ἰουδαίων ἔθνος ἐχρημάτιζεν ὡς καὶ εἰς σήμερον Ἰουδαίους ὀνομάζεσθαι, d σφόδρα θαυμαστῶς καὶ προφητικῶς τὸ πᾶν ἔθνος

---

1 Num. 24, 7. 17 Gen. 49, 10.

Ἰουδαίων ὠνόμασεν, ὥσπερ οὖν καὶ ἡμεῖς Ἰουδαίους προσαγορεύομεν. 36. εἶτά φησι μὴ πρότερον ἐκλείψειν ἐκ τοῦ ἔθνους αὐτῶν ἄρχοντας καὶ ἡγουμένους ἢ παρεῖναι τὸν προφητευόμενον· τούτου δὲ ἐπιστάντος καταλυθήσεσθαι μὲν αὐτίκα τὴν Ἰουδαίων ἀρχὴν, αὐτὸν δὲ οὐκ ἔτι Ἰουδαίων, ἐθνῶν δὲ ἔσεσθαι προσδοκίαν. καὶ τοῦτο δὲ ἐπὶ μὲν τῶν προφητῶν οὐκ ἂν δύναιο ἐφαρμόζειν, ἐπὶ δὲ μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν. 37. ἅμα τε γὰρ αὐτὸς
(96) εἰς ἀνθρώπους παρῆν καὶ τὸ Ἰουδαίων καθῄρητο βασίλειον· ἐκλελοίπει δὲ παραχρῆμα ὁ ἐκ προγόνων διαδοχῆς ἄρχων αὐτῶν καὶ ὁ κατὰ νόμους τοὺς οἰκείους ἡγούμενος, Αὐγούστου τότε πρώτου Ῥωμαίων μοναρχήσαντος, Ἡρώδου τε ἐξ ἀλλοφύλων ἐθνῶν βασιλέως αὐτῶν καταστάντος. 38. καὶ οἱ μὲν ἐκλελοίπεσαν, ὁ δὲ προσδοκία τῶν καθ' ὅλης τῆς οἰκουμένης ἐθνῶν κατὰ τὴν θείαν πρόρρησιν ἀναπέφανται, ὡς καὶ εἰσέτι νῦν πάντας τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς αὐτὸν πεπιστευκότας τῆς κατὰ θεὸν αὐτῶν προσδοκίας τὴν ἐλπίδα ἐπ' αὐτῷ τίθεσθαι.

39. Καὶ Μωσῆς μὲν τοσαῦτα, καὶ τὰ τούτων ἕτερα πλείω περὶ τοῦ Χριστοῦ πρὸς πάντας ἡμᾶς εὐαγγελίζεται· ἀδελφὰ δὲ αὐτῷ καὶ Ἡσαΐας ἀφωρι-
[63] σμένως περί τινος ἑνὸς ἐκ σπέρματος καὶ διαδοχῆς Δαβὶδ τοῦ βασιλέως ἀναστησομένου ταῦτα προλέγει "ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης αὐτοῦ ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως·" καὶ τὰ λοιπά. 40. εἶθ' ὑποβὰς ἑξῆς προφητικῷ τρόπῳ τὴν τῶν ἀλλοφύλων ἐθνῶν βαρβάρων τε καὶ

---

26 Es. 11, 1.

Ἑλλήνων τῶν τε ἀγριωτάτων καὶ θηριωδεστάτων ἀνθρώπων τὴν ἐπὶ τὸ πρᾶον καὶ ἥμερον διὰ τῆς Χριστοῦ διδασκαλίας γενησομένην μεταβολὴν θεσπίζει. λέγει δ' οὖν "καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται," 41. καὶ τὰ τούτοις παραπλήσια, ἃ καὶ παρὰ πόδας διασαφῶν ἑρμηνεύει φήσας "καὶ ἔσται ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν."

42. Σαφῶς γὰρ τὰ ἄλογα θρέμματα καὶ τοὺς προκαταλελειμμένους θῆρας οὐδὲ ἄλλους εἶναι τῶν d ἐθνῶν, τοῦ θηριώδους ἕνεκα τρόπου, διεσάφησεν· ὧν ἐθνῶν ἄρξειν φησὶν τὸν ἀνιστάμενον ἐκ σπέρματος Ἰεσσαί, ἀφ' οὗ δὴ ὁ σωτὴρ καὶ κύριος ἡμῶν γενεαλογεῖται, ἐφ' ὃν τὰ εἰς αὐτὸν πιστεύοντα ἔθνη εἰσέτι νῦν ἐλπίζει, συμφώνως τῇ προρρήσει "καὶ ἔσται ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι." 43. τοῦτο δὴ παράθες τοῖς παρὰ Μωσεῖ φερομένοις διαστέλλων, καὶ τὸ μὲν "ἔσται ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν" ἐφάρμοσον τῷ "ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν·" καὶ τὸ "ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι" τῷ "καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν." 44. τί γὰρ διαφέρει (97) φάσκειν "ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν" ἢ "αὐτὸς ἔσται προσδοκία ἐθνῶν;" πάλιν δ' ὁ αὐτὸς Ἡσαΐας προϊὼν περὶ τοῦ Χριστοῦ ταῦτα προφητεύει "ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει." καὶ ἐπιφέρει "ἕως ἂν θῇ ἐπὶ γῆς κρίσιν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν."

---

4 Es. 11, 16. 27 Es. 42, 1. Matth. 12, 18.

45. Ἤδη δεύτερον ἐν τούτοις ὁ προφήτης τὸ ἐπὶ τῷ Χριστῷ τὰ ἔθνη ἐλπίσειν τίθεται, ἀνώτερον εἰπὼν "ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν," ἐνταῦθα δὲ "καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν." λέλεκται δὲ καὶ τῷ b Δαβὶδ ὡς ἄρα ἐκ τοῦ καρποῦ τῆς κοιλίας αὐτοῦ ἀναστήσεταί τις, περὶ οὗ ἑξῆς φησιν ὁ θεὸς "αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ· κἀγὼ πρωτότοκον θήσομαι αὐτόν." 46. καὶ περὶ τούτου δὲ πάλιν εἴρηται "καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης." καὶ αὖθις "πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς." καὶ τόπος δέ τις πάλιν ἀφωρισμένος τῆς τοῦ προφητευομένου γενέσεως θεσπίζεται ὑπὸ Μιχαίου λέγοντος "καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ ὀλιγο- c στὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος." 47. ὡμολόγηται δὲ παρὰ τοῖς πᾶσιν ὅτι ἐν Βηθλεὲμ ἐγεννήθη Ἰησοῦς ὁ Χριστὸς, ὡς καὶ σπήλαιον δείκνυσθαι πρὸς τῶν ἐπιχωρίων αὐτόθι τοῖς ἐπὶ θέαν ἀπὸ τῆς ἀλλοδαπῆς ἀφικνουμένοις. 48. καὶ ὁ μὲν τόπος οὗτος, ἔνθα γεγεννῆσθαι ἔμελλεν, προείρητο· τῆς δὲ γενέσεως αὐτοῦ τὸ θαῦμα ποτὲ μὲν δι' αἰνιγμάτων, ποτὲ δὲ καὶ λευκότερον ὁ Ἡσαΐας παρίστησι· δι' αἰνιγμάτων μὲν, ὅταν λέγῃ "κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου d τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ." 49. ἀνθ' οὗ ὁ μὲν

---

5 Ps. 131, 11. 6 Ps. 88, 26. 9 Ps. 71, 8. 11 Ps. 71, 11. Ps. 71, 17. 15 Mich. 5, 2. Matth. 2, 6. 27 Es. 53, 1.

Ἀκύλας ἡρμήνευσεν οὕτως "καὶ ἀναρρηθήσεται ὡς τιθιζόμενον εἰς πρόσωπον αὐτοῦ, καὶ ὡς ῥίζα ἀπὸ γῆς ἀβάτου." ὁ δὲ Θεοδοτίων "καὶ ἀναβήσεται ὡς θηλάζον ἐνώπιον αὐτοῦ, καὶ ὡς ῥίζα ἐν γῇ διψώσῃ."

50. Διὰ γὰρ τούτων μνημονεύσας ὁ προφήτης τοῦ βραχίονος τοῦ κυρίου, ὃς ἦν ὁ τοῦ θεοῦ λόγος, ἐνώπιον αὐτοῦ, φησὶν, ἀνηγγείλαμεν ὡς παιδίον θη- [64] λάζον καὶ τιθιζόμενον, καὶ ὡς ῥίζαν ἀπὸ γῆς ἀβάτου. τὸ μὲν οὖν παιδίον τὸ τιθιζόμενον καὶ θηλάζον ἄντικρυς τὴν γένεσιν τοῦ Χριστοῦ δηλοῖ, ἡ δὲ γῆ ἡ ἄβατος καὶ διψῶσα τὴν ἀποκυήσασαν αὐτὸν παρθένον, ᾗ οὐδεὶς ἀνὴρ ἐπιβέβηκεν, ἀφ' ἧς καίπερ ἀβάτου (98) τυγχανούσης προῆλθεν ἡ εὐλογημένη ῥίζα, καὶ τὸ τιθιζόμενον καὶ θηλάζον παιδίον. 51. ἀλλὰ ταῦτα μὲν ἐπεσκιασμένως ᾐνίξατο· γυμνότερον δὲ ὁ αὐτὸς ἑρμηνεύει προφήτης τὴν διάνοιαν ἐπὰν λέγῃ "ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ μεθ' ἡμῶν ὁ θεός." τοῦτο γὰρ ἑρμηνεύει τὸ Ἐμμανουήλ.

52. Τοιαῦτα περὶ τῆς εἰς ἀνθρώπους γενέσεως b τοῦ Χριστοῦ πάλαι πρότερον παρ' Ἑβραίοις ἐμελετᾶτο. μή τι οὖν ἐπίδοξόν τινα δυνάστην, ἢ τύραννον, ἤ τινα ἄλλως τῶν τὰ μεγάλα κατὰ τὸν βίον δυναμένων, τὸν προφητευόμενον ὑπογράφουσιν; οὐκ ἔστιν εἰπεῖν, ὅτι μηδὲ ἐφάνη τοιοῦτος. 53. ἀλλ' οἷος ἐφάνη τῷ βίῳ, τοιοῦτον αὐτὸν καὶ ἐθέσπισαν ἔσεσθαι, τῆς ἀληθείας κατ' οὐδὲν ἀπολελειμμένοι. εἰπὼν δ' οὖν ὁ Ἡσαΐας "ἀνηγγείλαμεν ἐνώπιον αὐτοῦ, ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ," ἑξῆς συνάπτει λέγων "οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα, καὶ εἴδομεν

16 Es. 7, 14. Matth. 1, 23. 28 Es. 53, 2.

αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος. καὶ ἦν τὸ c εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη."

54. "Τί οὖν λείπεται ἐπὶ τούτοις; εἰ γὰρ προεῖπον αὐτοῦ φυλὴν καὶ γένος, καὶ τρόπον γενέσεως, καὶ τῆς παρθένου τὸ θαῦμα, καὶ βίου τρόπον, ἀκόλουθον ἦν ἑξῆς μηδὲ τὴν τελευτὴν ἀποσιωπῆσαι αὐτοῦ. τί οὖν καὶ περὶ ταύτης Ἡσαΐας θεσπίζει; 55. "ἄνθρωπος (φησὶν) ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται. καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν d πληγῇ καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. 56. πάντες ὡς πρόβατα ἐπλανήθημεν, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἔναντι τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ" καὶ τὰ λοιπά. 57. σημαίνει δὲ διὰ τούτων ὡς ἄρα ὁ (99) Χριστὸς ἐκτὸς πάσης ὑπάρχων πλημμελείας τὰς ὑπὲρ ἀνθρώπων ἁμαρτίας εἰς ἑαυτὸν ἀναδέξεται. διὸ καὶ πείσεται τὰ τῶν ἡμαρτηκότων καὶ ὑπὲρ ἡμῶν ὀδυνηθήσεται, ἀλλ' οὐχ ὑπὲρ ἑαυτοῦ. εἰ δὲ καὶ τραυματισθήσεται λόγοις βλασφήμοις βαλλόμενος, καὶ τοῦτ' ἔργον ἔσται τῶν ἡμετέρων ἁμαρτιῶν· ἐπεὶ καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν, ὅπως ἡμεῖς, ἀνειληφότος αὐτοῦ τὰ ἡμέτερα ἀμπλακήματα καὶ τὰ

τῆς ἡμετέρας κακίας τραύματα, τῷ μώλωπι αὐτοῦ ἰαθῶμεν. καὶ τὰ μὲν αἴτια ὧν παρ᾽ ἀνθρώποις πείσεται ὁ ἀναμάρτητος ταῦτα ἦν· Ἰουδαίων δὲ τῶν τὸν θάνατον αὐτῷ συσκευασαμένων οὐδὲν ὑπιδόμενος ὁ θαυμάσιος προφήτης διαρρήδην ἀπελέγχει, καὶ b *τοῦτο ἄντικρυς σχετλιάζων καὶ λέγων "ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον."*

59. *Εἶτ᾽ ἐπεὶ παραχρῆμα καὶ οὐκ εἰς μακρὰν μετὰ τὴν κατὰ τοῦ Χριστοῦ τόλμαν ὁ παντελὴς αὐτοὺς μετῆλθεν ὄλεθρος πολιορκηθέντας ὑπὸ Ῥωμαίων, οὐδὲ τοῦτο παριδὼν ἐπιλέγει "καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ."*

60. *Ἤρκει μὲν οὖν ἐπὶ τούτοις ἐπιγράψαι τὴν προφητείαν, εἰ μηδέν τι πλέον ἔσεσθαι μετὰ τὴν τοῦ Χριστοῦ τελευτὴν ἑώρα· ἐπεὶ δὲ ὅσον οὔπω ἔμελλε* (65) *μετὰ τὴν τελευτὴν ἢ μετὰ τὴν ταφὴν παλινοστεῖν* c *καὶ ἀναβιοῦν, ἔτι περὶ αὐτοῦ καὶ ταῦτα προστίθησιν, ἑξῆς ἐπιλέγων "καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς· ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. καὶ βούλεται κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς."*

61. *Ἀνώτερον εἰπὼν "ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, νῦν μετὰ τὸν θάνατον αὐτοῦ καὶ τὴν ταφήν, κύριος, φησί, βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς." καὶ πῶς ἔσται; "ἐὰν δῶτε (φησὶ) περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα* d *μακρόβιον."* 62. *οὐ πᾶσι γὰρ ἐφεῖται τὸ μακρόβιον τοῦ Χριστοῦ σπέρμα συνιδεῖν ἢ μόνοις τοῖς ἐξομο-*

---

19 Es. 53, 10.

λογησαμένοις καὶ τὰ δῶρα τὰ ὑπὲρ ἁμαρτιῶν προσάγουσι τῷ θεῷ. μόνων γὰρ τούτων ἡ ψυχὴ ὄψεται σπέρμα μακρόβιον τὸ τοῦ Χριστοῦ, ἤτοι τὴν αἰώνιον ζωὴν αὐτοῦ, τὴν μετὰ τὸν θάνατον, ἢ τὸν καθ' ὅλης τῆς οἰκουμένης ἐπισπαρέντα αὐτοῦ λόγον μακρόβιον ἐσόμενον καὶ εἰς τὸ ἀεὶ διαρκέσοντα. 63. πάλιν ἀνώτερον εἰπὼν "καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, νῦν μετὰ τὴν σφαγὴν καὶ τὸν θάνατον αὐτοῦ, φησὶν "καὶ βούλεται κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ δεῖξαι αὐτῷ φῶς." ἐπεὶ τοίνυν βεβούλευται κύριος ὁ τῶν ὅλων θεὸς καθαρίσαι αὐτὸν τῆς πληγῆς καὶ δεῖξαι αὐτῷ φῶς, πάντως που
(100) βουληθεὶς πράξειεν ἂν ὃ ἐβουλήθη. 64. οὐδὲν γάρ ἐστιν ὃ μὴ γίνεται ὧν βούλεται· ἐβουλήθη δὲ καθαρίσαι αὐτὸν καὶ δεῖξαι αὐτῷ φῶς. ἐποίησεν ἄρα ταῦτα, καὶ καθαρίσας αὐτὸν ἔδειξεν αὐτῷ φῶς. καὶ ἐπεὶ ἐβουλήθη, καὶ βουληθεὶς ἀφεῖλε τὸν πόνον τῆς ψυχῆς αὐτοῦ, καὶ ἔδειξεν αὐτῷ φῶς, εἰκότως ὁ προφήτης ἐπισυνάπτει λέγων "διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα."

b 65. Ἔνθα λοιπὸν ἤδη καὶ τῆς κληρονομίας τοῦ Χριστοῦ μέμνηται τῷ δευτέρῳ συμφώνως ψαλμῷ, δι' οὗ περὶ τῆς ἐπιβουλῆς τῆς κατ' αὐτοῦ συσκευασθείσης ὀνομαστὶ θεσπίσας ὁ λόγος ἐν τῷ "παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ," ἑξῆς ἐπιλέγει "κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς."

---

19 Es. 53, 12. 24 Ps. 2, 2.

66. *Ταῦτα δ' οὖν τὰ ἔθνη καὶ ὁ προφήτης ἠνίξατο εἰπὼν "διὰ τοῦτο αὐτὸς κληρονομήσει πολ-* c
λούς" καὶ ἐπιλέγει "καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα." τῶν γὰρ δυνάμεων τῶν ἀντικειμένων, αἳ πάλαι τῶν ἐθνῶν ἦρχον, τὰς ὑποχειρίους ῥυσάμενος ψυχάς, οἷα δή τινα σκῦλα τοῖς οἰκείοις διένειμεν μαθηταῖς. 67. *διό φησιν ὁ Ἡσαΐας περὶ αὐτῶν "καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα." καὶ ὁ ψαλμῳδὸς "κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα."*

68. *Εἰκότως τοιγαροῦν καὶ ἐνταῦθα περὶ τοῦ* d
Χριστοῦ φησιν "διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα." διὰ ποῖον δὲ τοῦτο πάλιν ἑξῆς διδάσκει φήσας "ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν, καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη." 69. *ἀντὶ τούτων γὰρ ἀμειβόμενος αὐτὸν ὁ πατὴρ τῆς ὑπακοῆς καὶ τῆς ὑπομονῆς ἕνεκα δεδώρηται αὐτῷ τὰ ἐγκείμενα· γέγονε γὰρ ὑπήκοος τῷ πατρὶ μέχρι θανάτου· διὸ καὶ κληρονομήσειν πολλούς, καὶ οὐ πρότερον, ἀλλὰ μετὰ τὸ παραδοθῆναι εἰς θάνατον τὴν ψυχὴν αὐτοῦ καὶ ἐν τοῖς ἀνόμοις λογισθῆναι, θεσπίζεται. διὰ ταῦτα γὰρ εἴρηται κληρονομήσειν πολ-* (100)
λοὺς καὶ τῶν ἰσχυρῶν μερίσειν τὰ σκῦλα. 70. *ἡγοῦμαι δὲ ἀναμφιλόγως τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ προφητευομένου διὰ τούτων παρίστασθαι. πῶς γὰρ* (101)
ἄλλως ἐπινοῆσαι δυνατὸν ὡς πρόβατον ἐπὶ σφαγὴν

---

7 Es. 9, 3. 9 Ps. 67, 11.

ἀχθέντα, καὶ ἀπὸ τῶν ἀνομιῶν τοῦ Ἰουδαίων λαοῦ θανάτῳ παραδοθέντα, καὶ μετὰ ἀνόμων λογισθέντα ταφῇ τε παραδοθέντα, εἶτα καθαριζόμενον ὑπὸ τοῦ κυρίου, καὶ φῶς παρ' αὐτῷ ὀψόμενον, καὶ κληρονομοῦντα πολλοὺς, καὶ σκῦλα τοῖς οἰκείοις διανέμοντα; καὶ ἄλλως δὲ περὶ τῆς μετὰ τὸν θάνατον ἀναβιώσεως αὐτοῦ λέγει που προφητεύων ἐκ προσώπου τοῦ b Χριστοῦ ὁ Δαβὶδ "οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς Ἅιδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν." 71. καὶ πάλιν "κύριε, ἀνήγαγες ἐξ Ἅιδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον." καὶ πάλιν "ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου."

72. Τούτοις δὲ πᾶσιν ἀντιβλέψαι δύνασθαι οὐδὲ τοὺς σφόδρα ἀγνωμονεστάτους ἡγοῦμαι. πλὴν ἀλλὰ τῆς Ἡσαΐου προφητείας τὸ συμπέρασμα τὴν πάλαι στεῖραν καὶ ἔρημον θεοῦ ψυχὴν, ἢ καὶ μᾶλλον τὴν c ἐξ ἐθνῶν ἐκκλησίαν, εὐαγγελίζεται ἀκολούθως τῇ θεωρίᾳ τῶν εἰρημένων. 73. ἐπειδὴ γὰρ τὰ πάντα δι' αὐτὴν ὁ Χριστὸς ὑπέμεινεν, εἰκότως μετὰ τὰς περὶ αὐτοῦ προρρήσεις ἐπιφέρει λέγων "εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. εἶπεν γὰρ κύριος, πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τὰς δέρρεις τῶν αὐλαιῶν σου πῆξον, μὴ φείσῃ· πλάτυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον· ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον, καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει."

---

8 Ps. 16, 10. 10 Ps. 30, 3. 12 Ps. 9, 13. 22 Es. 54, 1.

74. Ταῦτα δὲ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν καθ' a ὅλης τῆς οἰκουμένης ἐξηπλωμένην καὶ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν παρατείνουσαν ὁ λόγος εὐαγγελίζεται, σαφέστατα τοῦτο παριστὰς διὰ τοῦ "καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει." 75. πλείονος δὲ ἐξεργασίας δεομένων τῶν κατὰ τὸν τόπον, ἀρκούντως ἐπὶ τοῦ παρόντος ταῦθ' ἡμῖν ἐπιτετμήσθω· πλεῖστα δ' ἂν καὶ αὐτὸς ἐπὶ σχολῆς ἀναλέξασθαι δύναιο περὶ τοῦ προκειμένου, καὶ ἡ παροῦσα δὲ πραγματεία τῆς Εὐαγγελικῆς Ἀποδείξεως κατὰ καιρὸν ἕκαστα παραδώσεταί τε καὶ ἑρμηνεύσει. 76. τέως δὲ ἐπὶ τοῦ παρόντος τῆς τῶν προφητῶν περὶ τῆς τοῦ σωτῆρος ἡμῶν προρρήσεώς τε καὶ προγνώσεως, καὶ ὡς πᾶσιν ἀνθρώποις τὴν τῶν μελλόντων ἀγαθῶν παρουσίαν (102) εὐηγγελίζετο, ἱκανῶς ἔχει τὰ εἰρημένα, προαναφωνοῦντα προφήτου τινὸς ἄφιξιν, καὶ εὐσέβειαν νομοθέτου Μωσεῖ παραπλησίου, γένος τε αὐτοῦ καὶ φυλὴν καὶ τόπον ὅθεν προελεύσεται, χρόνον τε καθ' ὃν ἥξειν προφητεύεται, καὶ γένεσιν, καὶ τελευτήν, καὶ ἀναβίωσιν, καὶ ἀρχὴν τὴν κατὰ πάντων ἐθνῶν, ἃ δὴ πάντα παρέστη, καὶ ἔτι μᾶλλον διὰ τῶν ἑξῆς (77) παραστήσεται ἐπὶ μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν συμπεπερασμένα. 78. ἀλλὰ ταῦτα μὲν ἀπὸ τῶν ἱε- b ρῶν λογίων τοῖς πιστεύουσιν αὐτοῖς παρατέθειται· τοῖς δ' ἀπειθοῦσι ταῖς προφητικαῖς γραφαῖς ἰδίως ἀπαντήσομεν, ὡς περὶ ἀνδρὸς κοινοῦ καὶ τοῖς λοιποῖς παραπλησίου τέως τὴν ἐξέτασιν ποιούμενοι, ἵνα, ὁπόταν πάντων τῶν ἐξ αἰῶνος βοηθέντων ἐν ἀνθρώποις πολὺ κρείττων ἀσυγκρίτῳ ὑπεροχῇ καὶ διαφέρων ἀναφανῇ, τὸ τηνικάδε καὶ τὰ περὶ τῆς θειοτέρας αὐτοῦ φύσεως κατὰ καιρὸν διαλάβωμεν, ἐξ ἐναργῶν τῶν ἀποδείξεων παριστῶντες ὡς οὐκ ἀνθρωπείας

*ἄρα ἦν φύσεως ἡ περὶ αὐτὸν δύναμις· οἷς ἀκολού-
θως καὶ τὰ τῆς κατ᾽ αὐτὸν θεολογίας, ὡς οἷόν τέ
ἐστιν ἡμῖν ἐποπτεῦσαι, ποιησόμεθα. ἐπεὶ τοίνυν
[67] τῶν ἀπίστων οἱ πλείους γόητα καὶ πλάνον ἀποκα-
λοῦντες καὶ μυρίαις ἄλλαις κακηγορίαις βλασφη-
μοῦντες αὐτὸν οὔπω καὶ νῦν παύονται, φέρε καὶ
πρὸς τούτους ἀποκρινώμεθα οἴκοθεν, μὲν οὐδὲν, ἐξ
αὐτῶν δὲ τῶν αὐτοῦ φωνῶν καὶ ἧς παρέδωκε διδα-
σκαλίας τὰς παραθέσεις ποιούμενοι.*

d III. *Πευστέον δὴ αὐτῶν εἴ ποτέ τις ἄλλος τοι-
οῦτος πλάνος ἱστόρηται πραότητος καὶ ἐπιεικείας
σωφροσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς διδάσκαλος
τοῖς ἀπατωμένοις γεγονὼς αἴτιος, καὶ εἰ θεμιτὸν
τούτοις ἀποκαλεῖν τοῖς ὀνόμασι τὸν μηδὲ ἐμβλέ-
πειν μετὰ ἐπιθυμίας ἀκολάστου γυναιξὶν ἐπιτρέ-
ψαντα, καὶ εἰ πλάνος ὁ τὴν εἰς ἄκρον παραδοὺς
φιλοσοφίαν ἐν τῷ τοὺς φοιτητὰς παιδεύειν τῶν ὑπαρ-
(103) χόντων ἐνδεέσι κοινωνεῖν καὶ τὸ φιλόπονον καὶ κοινω-
νικὸν περὶ πολλοῦ τίθεσθαι, καὶ εἰ πλάνος ὁ τῆς
πανδήμου καὶ ἀγελαίου καὶ θορυβώδους συνουσίας
ἀνεγείρων, διδάσκων δὲ μόνην ἀσπάζεσθαι τὴν περὶ
τὰ θεῖα λόγια σχολήν.* 2. *ὁ δὲ παντὸς μὲν ψεύδους
ἀποτρέπων, τὴν δ᾽ ἀλήθειαν πρὸ παντὸς τιμᾶν πα-
ραινῶν, ὡς μηδ᾽ εὐορκίας δεῖσθαι, πολλοῦ δεῖ ἐπι-
ορκεῖν· "ἔστω γὰρ ὑμῶν τὸ ναὶ ναί, τὸ οὒ οὔ·" πῶς ἂν
πλάνος ἐνδίκως ὀνομασθείη; καὶ τί με χρὴ πλείονα
νῦν λέγειν, παρὸν ἐκ τῶν πρόσθεν εἰρημένων τίς
ποτε ἦν ὁ τρόπος γνῶναι τῆς ὑπ᾽ αὐτοῦ κατασπα-
b ρείσης τῷ βίῳ πολιτείας, ἀφ᾽ ἧς οὐχ ὅπως πλάνον,
ἀλλά τινα θεῖον ὡς ἀληθῶς καὶ θείας καὶ εὐσεβοῦς,
ἀλλ᾽ οὐ τῆς κοινῆς καὶ πανδήμου φιλοσοφίας εἰση-
γητὴν πᾶς ὁ φιλαλήθης αὐτὸν ὁμολογῆσαι ἄν;* 3. *τὸν*

γοῦν βίον τῶν πάλαι θεοφιλῶν Ἑβραίων ἤδη πως ἐξ ἀνθρώπων ἀπολωλότα μόνος ἀνανεωσάμενος οὐκ εἰς βραχεῖς καὶ μετρίους, ἀλλ' εἰς ὅλον ἐφαπλῶσαι τὸν κόσμον ἀποδέδεικται διὰ τοῦ πρώτου συγγράμματος τῆς παρούσης ὑποθέσεως· δι' οὗ πάρεστιν c ἀνθρώποις ἐπὶ σπείρας τοῖς καθ' ὅλης τῆς οἰκουμένης τὸν τῶν θεοφιλῶν ἐκείνων ἀμφὶ τὸν Ἀβραὰμ μυρίους τε ὅσους ζηλωτὰς οὐκ ἐξ Ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων τῆς ἐκείνων θεοσεβοῦς πολιτείας ἀποδεῖξαι. 4. ἀλλὰ τὰ μὲν ἠθικώτερα τῆς διδασκαλίας αὐτοῦ τοιαῦτα· φέρε δὲ σκεψώμεθα μὴ ἄρα ποτὲ ὁ πλάνος αὐτῷ περὶ τὰ κυριώτατα τῶν δογμάτων κατεγίνετο. 5. ἆρ' οὖν οὐχὶ μόνῳ τῷ παμβασιλεῖ θεῷ, τῷ καὶ οὐρανοῦ καὶ γῆς καὶ τοῦ σύμπαντος κόσμου δημιουργῷ, αὐτός τε ἀνακείμενος καὶ τοὺς φοιτητὰς προσάγων ἀναγέγραπται, εἰσέτι τε καὶ δεῦρο οἱ τῆς διδασκαλίας αὐτοῦ λόγοι πάντα Ἕλληνα καὶ βάρβα- d ρον ἄνω τὴν διάνοιαν πρὸς τὸν ἀνωτάτω θεὸν ἀνάγουσι, πᾶσαν ὁρατὴν φύσιν ὑπερκύψαντα; 6. ἆρα οὖν μὴ οὗτος ἦν ὁ πλάνος, ἢ ὅτι μὴ καὶ πλείους σέβειν θεοὺς ἐκ τῆς ἀνωτάτω καὶ μόνης ἀληθοῦς θεολογίας τὸν ὡς ἀληθῶς πλάνον τραχηλισθέντα συγχωρεῖ; ἀλλ' οὗτος οὐ νεώτερος οὐδ' οἰκεῖος αὐτῷ λόγος, τοῖς δ' ἐκ μακροῦ πάλαι θεοφιλέσιν Ἑβραίοις προσφιλής, ὥσπερ οὖν δέδεικται διὰ τῆς Προπαρασκευῆς, παρ' ὧν ἤδη καὶ τῶν νέων φιλοσόφων παῖδες τὰ μεγάλα ὠφελημένοι τῷ δόγματι συνῃρέσθησαν. σεμνύνονταί γέ τοι καὶ αὐτῶν Ἑλλήνων οἱ λογιώτατοι ἐπὶ χρησμοῖς τῶν οἰκείων θεῶν ὧδέ πως (104) Ἑβραίων μνημονεύουσιν

Μοῦνοι Χαλδαῖοι σοφίην λάχον, ἠδ' ἄρ' Ἑβραῖοι
αὐτογένεθλον ἄνακτα, σεβαζόμενοι θεὸν ἁγνῶς.

7. *Χαλδαίους δὲ τοὺς αὐτοὺς διὰ τὸν Ἀβραὰμ* [68] *ὠνόμασεν, ἐπεὶ Χαλδαῖος ἦν τὸ γένος, ὡς ἱστορεῖται. εἰ δὴ οὖν καὶ πρόπαλαι παῖδες Ἑβραίων τῶν δὴ μάλιστα καὶ πρὸς τῶν χρησμῶν ἐπὶ σοφίᾳ μεμαρτυρημένων* b *ἐπὶ μόνον τὸν πάντων δημιουργὸν θεὸν ἀνῆγον τὸ σέβας, τί δεῖ πλάνον, οὐχὶ δὲ θαυμαστὸν εὐσεβείας διδάσκαλον ὁμολογεῖν τοῦτον, ὃς τὰ πρόπαλαι μόνοις τοῖς θεοφιλέσιν Ἑβραίοις ἐγνωσμένα εἰς πάντας ἀνθρώπους ἀοράτῳ καὶ ἐνθέῳ δυνάμει προαγαγὼν ἐξήπλωσεν, ὥστε μηκέτι κατὰ τὸ παλαιὸν βραχεῖς τινας καὶ ἀριθμῷ ληπτοὺς ὀρθὰς περὶ θεοῦ φέρειν δόξας, ἀλλὰ μυρία πλήθη βαρβάρων τῶν πάλαι θηριωδεστάτων, λογίων τε καὶ Ἑλλήνων ἀνδρῶν, οἳ τοῖς πάλαι προφήταις καὶ δικαίοις ἀνδράσιν εὐσεβεῖν* c *ὁμοίως διὰ μόνης τῆς αὐτοῦ δυνάμεως ἐπαιδεύθησαν;* 8. *ἀλλὰ δὴ τὸ τρίτον σκεψώμεθα, μή ποτ' ἄρα τοῦτ' ἦν δι' ὃ πλάνον αὐτόν φασιν, ὅτι μὴ βουθυσίαις μηδὲ ζῴων ἀλόγων σφαγαῖς μηδ' αἵμασι καὶ πυρὶ μηδὲ τοῖς ἀπὸ γῆς ἀναθυμιωμένοις τὸ θεῖον τιμᾶν διετάξατο, ταπεινὰ μὲν καὶ γεώδη ταῦτα καὶ τῆς ἀθανάτου φύσεως οὐδαμῶς οἰκεῖα λογισάμενος, κρίνας δὲ πάσης θυσίας προσηνεστάτην καὶ ἡδεῖαν εἶναι τῷ θεῷ τὴν τῶν οἰκείων ἐντολῶν κατόρθωσιν, δι' ὧν αὐτῷ σώματι καὶ ψυχῇ κεκαθαρμένους, νῷ τε διαυγεῖ καὶ δόγμασιν εὐσεβέσιν κεκοσμημένους, τὴν* d *πρὸς τὸν θεὸν ἐξομοίωσιν ἀπομιμεῖσθαι ἐδίδασκεν, διαρρήδην φάσκων "ἔσεσθε τέλειοι, ὡς ὁ πατὴρ ὑμῶν τέλειός ἐστιν."* 9. *εἰ δὴ ταῦτά τις Ἑλλήνων αἰτιῷτο, ἴστω μὴ φίλα τοῖς οἰκείοις διδασκάλοις φρο-*

---

1 Vid. Praep. Evang. 9. p. 413 c. 28 Matth. 5, 48.

νῶν, οἵ γε, ὡς εἰκὸς, ἐξ ἡμῶν ὠφελημένοι, ἐπεὶ καὶ μεθ' ἡμᾶς γεγόνασι τοῖς χρόνοις, λέγω δὲ μετὰ τὴν προβεβλημένην ἡμῖν ὑπὸ τοῦ σωτῆρος ἡμῶν διδασκαλίαν, οἷα δὴ ἐγγράφως ὡμολόγουν, ἄκουε.

Ἀπὸ τῶν Πορφυρίου περὶ ἐμψύχων ἀποχῆς.

10. "Θεῷ μὲν τὸ ἐπὶ πᾶσιν, ὥς τις ἀνὴρ σοφὸς (165) ἔφη, μηδὲν τῶν αἰσθητῶν μήτε θυμιῶντες μήτ' ἐπονομάζοντες· (οὐδὲν γὰρ ἔνυλον, ὃ μὴ τῷ ἀΰλῳ εὐθύς ἐστιν ἀκάθαρτον· διὸ οὐδὲ λόγος αὐτῷ ὁ κατὰ φωνὴν οἰκεῖος, οὐδ' ὁ ἔνδον, ὅταν πάθει ψυχῆς ᾖ μεμολυσμένος) διὰ δὲ σιγῆς καθαρᾶς καὶ τῶν περὶ αὐτοῦ καθαρῶν ἐννοιῶν θρησκεύσομεν αὐτόν. δεῖ b ἄρα συναφθέντας καὶ ὁμοιωθέντας αὐτῷ τὴν αὐτῶν ἀγωγὴν θυσίαν ἱερὰν προσαγαγεῖν θεῷ, τὴν αὐτὴν δὲ καὶ ὕμνον οὖσαν καὶ ἡμῶν σωτηρίαν. ἐν ἀπαθείᾳ ἄρα τῆς ψυχῆς, τοῦ δὲ θεοῦ θεωρίᾳ ἡ θυσία αὕτη τελεῖται."

Ἐκ τῆς Ἀπολλωνίου τοῦ Τυανέως θεολογίας.

11. "Οὕτως τοίνυν μάλιστα ἄν τις τὴν προσήκουσαν ἐπιμέλειαν ποιοῖτο τοῦ θείου, τυγχάνοι τε αὐτόθεν ἵλεώ τε καὶ εὐμενοῦς αὐτοῦ παρ' ὁντιναοῦν ἀνθρώπων, εἰ θεῷ μὲν, ὃν δὴ φαμὲν τοῦτον, ἑνί τε ὄντι c καὶ κεχωρισμένῳ πάντων, μεθ' ὃν γνωρίζεσθαι τοὺς λοιποὺς ἀναγκαῖον, μὴ θύοι τι τὴν ἀρχὴν, μήτε ἀνάπτοι πῦρ μήτε τι καθόλου τῶν αἰσθητῶν ἐπονομάζοι· (δεῖται γὰρ οὐδενὸς οὐδὲ παρὰ τῶν κρειττόνων ἤπερ ἡμεῖς ἐσμεν, οὐδ' ἔστιν ὃ τὴν ἀρχὴν γῆ ἀνίησι φυτὸν

---

5 *Ἀπὸ τῶν Πορφυρίου*] De abstin. 2, 34. Conf. Praep. Evang. 4. p. 149. 18 *Ἐκ τῆς Ἀπολλωνίου*]. Conf. Praep. Evang. 4. p. 150.

ἢ τρέφει ζῷον ἢ ἀήρ, ᾧ οὐ πρόσεστί γε μίασμα·)
d μόνῳ δὲ χρῷτο πρὸς αὐτὸν ἀεὶ τῷ κρείττονι λόγῳ, λέγω δὲ τῷ μὴ διὰ στόματος ἰόντι, παρὰ δὲ τοῦ καλλίστου τῶν ὄντων διὰ τοῦ καλλίστου τοῦ ἐν ἡμῖν αἰτοίη τὰ ἀγαθά· νοῦς δέ ἐστιν οὗτος ὀργάνου μὴ δεόμενος."
[69] 12. Εἰ δὴ οὖν ταῦτα καὶ πρὸς τῶν παρ' Ἕλλησι διαπρεπῶν φιλοσόφων τε καὶ θεολόγων ὁμολογεῖται, πῶς ἂν εἴη πλάνος ὁ μὴ μόνον λόγους, ἀλλ' ἔργα τῶν λόγων πολὺ πρότερον τοῖς φοιτηταῖς ἐκτελεῖν παραδούς, δι' ὧν κατὰ τὸν ὀρθὸν λόγον ἔμελλον θεραπεύειν τὸ θεῖον; ὅπως δὲ καὶ τίσι λόγοις οἱ παλαιοὶ Ἑβραῖοι θύειν μνημονεύονται διειληφότες ἐν τῷ πρώτῳ συγγράμματι τῆς παρούσης ὑποθέσεως,
(106) ἐκείνοις ἀρκεσθησόμεθα. 13. ἐπεὶ δὲ πρὸς τοῖς ἐξητασμένοις ἔγνωμεν παρὰ τοῦ Χριστοῦ μαθόντες ὅτι γεννητὸς ὁ κόσμος, καὶ ὅτι οὐρανὸς αὐτὸς καὶ ἥλιος καὶ σελήνη καὶ ἄστρα ἔργα θεοῦ τυγχάνει, καὶ ὅτι χρὴ μὴ ταῦτα, ἀλλὰ τὸν ποιητὴν αὐτῶν σέβειν, σκέψασθαι δεῖ μὴ ἄρα ἠπατήμεθα, τοῦτον παρ' αὐτοῦ διδαχθέντες φρονεῖν τὸν τρόπον. 14. καὶ μὴν Ἑβραίων καὶ οὗτος ἦν ὁ λόγος, καὶ φιλοσόφων δὲ οἱ μάλιστα διαφανεῖς τοῖς αὐτοῖς συνηνέχθησαν,
b γεννητὸν καὶ αὐτὸν τὸν οὐρανόν, καὶ ἥλιον, καὶ σελήνην, καὶ ἄστρα, καὶ τὸν σύμπαντα κόσμον πρὸς τοῦ τῶν ὅλων ποιητοῦ γεγονότα ἀποφηνάμενοι. ἀλλὰ καὶ συντέλειαν καὶ μεταβολὴν τὴν ἐπὶ τὰ κρείττω τοῦδε τοῦ παντὸς ἔσεσθαι προσδοκᾶν ἐδίδαξεν, ταῖς Ἑβραίων καὶ τοῦτο ἀκολούθως γραφαῖς. 15. τί οὖν; οὐχὶ καὶ ὁ Πλάτων φύσεως λυτῆς καὶ φθαρτῆς οἶδεν αὐτόν τε οὐρανὸν καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς λοιποὺς ἀστέρας, εἰ καὶ μὴ λυθήσεσθαί φησι ταῦτα, τῷ μὴ τὸν συμπήξαντα βούλεσθαι; 16. εἰ δ'

ἄρα βουληθείη εἶναι φύσεως τοιαύτης, ψυχὴν δὲ ἀθάνατον ἔχειν ἡμᾶς κατ' οὐδὲν μὲν ἐμφερῆ τοῖς c ἀλόγοις ζῴοις, τῶν δὲ τοῦ θεοῦ δυνάμεων φέρουσαν ἀπεικονίσματα διδάξας ἡγεῖσθαι, οὕτως τ' ἔχειν καὶ διακεῖσθαι καὶ φρονεῖν πάντα βάρβαρον καὶ ἰδιώτην παιδεύσας, ἆρ' οὐχὶ σοφωτέρους ἀπείργασται τοὺς καθ' ὅλης τῆς οἰκουμένης τὰ αὐτοῦ φρονοῦντας τῶν τὰς ὀφρῦς ἀνεσπακότων, οἳ μηδὲν κατὰ τὴν οὐσίαν διαφέρειν ἀπεφήναντο ἐμπίδος τε καὶ εὐλῆς καὶ μυίας τὴν ἐν ἀνθρώποις ψυχήν, ἀλλὰ καὶ ὄφεως καὶ ἐχίδνης ἄρκτου τε καὶ παρδάλεως καὶ συὸς ψυχῆς κατ' οὐδέν, ὅσον ἐπὶ λόγῳ φύσεώς τε καὶ οὐσίας, τὴν σφῶν αὐτῶν τῶν φιλοσοφωτάτων ψυχὴν διαλλάττειν; 17. καὶ θείου δὲ πρὸς τούτοις δικαιωτηρίου d συνεχῶς ὑπομιμνήσκων καὶ μελλούσης ἔσεσθαι κρίσεως, κολάσεις τε καὶ τιμωρίας ἀπαραιτήτους τοῖς ἀσεβέσιν ὑπογράφων, τοῖς τε εὐσεβέσιν ἐπαγγελίας θεοῦ αἰωνίου ζωῆς καὶ οὐρανῶν βασιλείας καὶ σὺν θεῷ μακαρίας διαγωγῆς, τίνα ἂν πλανήσειεν, οὐχὶ δὲ μᾶλλον προτρέψαιτο σπεύδειν μὲν ἐπ' ἀρετήν, τῶν προσδοκωμένων ἕνεκα τοῖς εὐσεβέσιν ἐπάθλων, ἀποτρέπεσθαι δὲ πάσης κακίας διὰ τὰς ἐπηρτημένας τοῖς ἀσεβέσι τιμωρίας; 18. ἐν τοῖς δογματικοῖς τῶν αὐτοῦ λόγων παρειλήφαμεν εἶναί τινας μετὰ τὸν ἀνωτάτω θεὸν δυνάμεις, ἀσωμάτους τὴν φύσιν καὶ νοερὰς, λογικάς τε καὶ παναρέτους, τὸν παμβασιλέα χορευούσας, ὧν πλείους καὶ μέχρι ἀνθρώπων νεύματι (107) τοῦ πατρὸς διά τινας σωτηρίους οἰκονομίας ἀπεστάλθαι· ἃς δὴ γνωρίζειν καὶ τιμᾶν κατὰ τὸ μέτρον τῆς ἀξίας ἐδιδάχθημεν, μόνῳ τῷ παμβασιλεῖ θεῷ τὴν σεβάσμιον τιμὴν ἀπονέμοντες. 19. ἔτι πρὸς τούτοις ἔγνωμεν παρ' αὐτοῦ μαθόντες πολεμίας τινὰς καὶ

ἐχθρὰς τοῦ ἀνθρωπείου γένους ἀμφὶ τὸν περὶ γῆν ἀέρα πωτᾶσθαι, καὶ σὺν τοῖς πονηροῖς διατρίβειν δυνάμεις δαιμόνων, καὶ πνευμάτων πονηρῶν, καὶ
b τῶν ἐν τούτοις ἀρχόντων, οὓς παντὶ σθένει φεύγειν πεπαιδεύμεθα, εἰ καὶ ὅτι μάλιστα θεῶν προσηγορίας καὶ τιμὰς ἑαυτοῖς ὑφαρπάζουσιν, ταύτης δ' οὖν ἔτι μᾶλλον τῆς θεομαχίας καὶ τῆς θεοεχθρίας ἕνεκεν ἀποτρεπτέας εἶναι, καθ' ἃς ἐν τῇ Προπαρασκευῇ πεποιή-
[70] μεθα διὰ πλείστων ἀποδείξεις. τοιαῦτα ἄττα τυγχάνει καὶ ἐν τοῖς δογματικοῖς μαθήμασι τοῦ σωτῆρος ἡμῶν ἀναφερόμενα, Ἑβραίων τῶν πάλαι θεοφιλῶν ἀνδρῶν τε καὶ προφητῶν ἄντικρυς εὐσεβῆ παιδεύματα. 20. εἰ δὴ οὖν ταῦτα σεμνά, εἰ ὠφέλιμα, εἰ
c φιλόσοφα, εἰ ἀρετῆς μεστά, τίσιν εὐλόγως ἂν ὁ τούτων διδάσκαλος ἐπιγραφείη τὸ τοῦ πλάνου ὄνομα; ἀλλὰ ταῦτα μὲν ὡς περὶ κοινοῦ τὴν φύσιν ἀνθρώπου τέως ἐξητάσθω, παραστατικὰ τῆς σεμνῆς καὶ βιωφελοῦς διδασκαλίας αὐτοῦ τυγχάνοντα· φέρε δὴ καὶ τὰ θειότερα σκεψώμεθα.

IV. 21. *Καὶ δὴ σκεψώμεθα ὅσων καὶ οἵων σὺν ἀνθρώποις τὰς διατριβὰς πεποιημένος παραδόξων γέγονε ποιητὴς ἔργων, τοτὲ μὲν λεπροὺς τὸ σῶμα δυ-*
d *νάμει θείᾳ καθαίρων, τοτὲ δὲ προστάγματι λόγου τοὺς ἐν ἀνθρώποις δαίμονας ἐλαύνων, καὶ ἄλλοτε πάλιν νοσηλευομένοις καὶ παντοίοις ἀσθενειῶν εἴδεσι καταπονουμένοις τὴν ἴασιν ἀφθόνως δωρούμενος.* 22. *καὶ ποτὲ μὲν ἔφησε παραλυτικῷ "ἀναστὰς ἆρον τὸν κράβατόν σου, καὶ περιπάτει," ὁ δὲ τὸ κελευσθὲν ἐποίει.* 23. *τυφλοῖς δὲ πάλιν ἄλλοτε τὰ βλεπτικὰ τοῦ φωτὸς ἐχαρίζετο· ἤδη δέ ποτε καὶ αἱμορροοῦσα γυνὴ μακραῖς ἐτῶν περιόδοις πρὸς τοῦ πάθους κατατρυχομένη, ἐπειδὴ ἑώρα μυρία πλήθη κυκλοῦντα αὐτόν,*

καὶ μηδαμῶς ἐπιτρέποντα αὐτῇ γονυπετῆσαι προσελθούσῃ τοῦ τε πάθους τὴν ἀπαλλαγὴν ἐξαιτήσασθαι, ἀλλὰ καὶ ἄκρου τοῦ ἱματίου προσψαῦσαι μόνον διανοηθεῖσα ὑποδύνει, καὶ τοῦ κρασπέδου ἐπιλαβομένη (108) ὁμοῦ καὶ τῆς τῶν κακῶν ἰάσεως ἐπελάβετο, παραχρῆμά τε ὑγιὴς ἦν, τῆς τοῦ σωτῆρος ἡμῶν ἐνθέου δυνάμεως δεῖγμα μέγιστον ἐπικομιζομένη. 24. ἄλλος δέ τις βασιλικὸς ἀνὴρ κακῶς ἔχοντα τὸν παῖδα προσπεσὼν τῷ Ἰησοῦ παραχρῆμα σῶον ἀπελάμβανεν· καὶ θυγατέρα πάλιν ἄλλος, Ἰουδαίων δὲ ἀρχισυνάγωγος ἦν, ἀλλ' οὗτος ἤδη καὶ θανοῦσαν. 25. τί δεῖ λέγειν ὡς τεταρταῖος ἄλλος δυνάμει τοῦ Ἰησοῦ νεκρὸς b ἠγείρετο; ἢ ὡς ἐπὶ θαλάττης, οἷα ἐπὶ λεωφόρου γῆς, τὰς πορείας ἤνυεν ποιούμενος, τῶν αὐτοῦ μαθητῶν ἐμπλεόντων, καὶ ὡς χειμασθέντων ἐπετίμησε τῇ θαλάσσῃ καὶ τῷ κλύδωνι καὶ τοῖς ἀνέμοις, καὶ πάντα γε ἔστη παραχρῆμα, οἷα δεσπότου φωνὴν καταπτήξαντα; 26. πέντε δὲ χιλιάδας ἀνδρῶν συνεπιπαρόντος μυρίου ἄλλου γυναικῶν τε καὶ παίδων πλήθους ἐκ πέντε τὸν ἀριθμὸν ἄρτων εἰς κόρον πληρώσας, ὡς καὶ περιττὰ τοσαῦτα, ὅσα ἱκανὰ ἦν πληρῶσαι δώδεκα κοφίνους λαβεῖν, τίνα οὐκ ἂν ἐκπλήξειεν, καὶ ἐπὶ c ζήτησίν γε εἰκότως τῆς κατ' αὐτὸν ἀπορρήτου δυνάμεως ἐκκαλέσεται; ἀλλ' ἵνα μή μοι τὰ νῦν ὁ λόγος εἰς μακρὸν μῆκος ἐκτείνοιτο, ἐπὶ πᾶσιν ἐκκείσθω ὁ αὐτοῦ θάνατος, οὐ κοινὸς τοῖς λοιποῖς ἀνθρώποις γεγενημένος. 27. οὐ γὰρ νόσῳ διαφθαρείς, ἀλλ' οὐδὲ βρόχῳ ἢ πυρί, οὐδὲ μὴν κατ' αὐτὸ τοῦ σταυροῦ τὸ τρόπαιον ὁμοίως τοῖς λοιποῖς κακούργοις ὑποτμηθεὶς σιδήρῳ τὰ σκέλη, οὐδὲ ὅλως πρός τινος ἀνθρώπων παθών τι τῶν ἀναιρεῖν εἰωθότων βίαιον ὑπέμεινε τελευτήν, ἀλλ' ὡς αὐτὸ μόνον ἑκὼν παρε-

δίδου τοῖς ἐπιβουλεύουσι τὸ σῶμα ἀνωρθοῦτο μὲν ἀπὸ γῆς αὐτίκα, κἄπειτα ἐπὶ τοῦ ἰκρίου φωνήσας μέγα, καὶ τῷ πατρὶ παρατιθεὶς τὸ πνεῦμα, εἰπὼν αὐτοῖς ῥήμασιν "πάτερ εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου," οὕτως ἄφετος καὶ ἐλεύθερος αὐτὸς ἀφ' ἑαυτοῦ τὴν ἐκ τοῦ σώματος ἀναχώρησιν ἐποιεῖτο. [71] 28. εἶτα δὲ τοῦ σώματος αὐτοῦ ληφθέντος πρὸς τῶν γνωρίμων καὶ τῇ προσηκούσῃ παραδοθέντος ταφῇ, τριταῖος αὖθις ἀπελάμβανε τοῦτο, ὃ πρὶν ἀναχωρήσας ἑκών. 29. καὶ δείκνυσί γε πάλιν αὐτὸς ἑαυτὸν ἔνσαρκον, ἔνσωμον, αὐτὸν ἐκεῖνον οἷος καὶ τὸ πρὶν ἦν τοῖς οἰκείοις μαθηταῖς, οἷς καὶ ἐπὶ βραχὺ ὁμιλήσας, καί τινα συνδιατρίψας χρόνον, ἄνεισιν ὅθεν καὶ παρῆν, ὑπ' ὀφθαλμοῖς αὐτῶν τὴν εἰς οὐρανοὺς πο- (109) ρείαν στειλάμενος· οἷς δὴ καὶ ὑποθήκας περὶ τῶν πρακτέων παραδοὺς διδασκάλους τῶν ἐθνῶν ἁπάντων τῆς ἀνωτάτω θεοσεβείας ἀπέφηνεν. 30. τοιαῦτα ἦν τοῦ σωτῆρος ἡμῶν τὰ πολυύμνητα τῆς ἀρετῆς θαύματα· ταῦτα τῆς ἐν αὐτῷ θεότητος τὰ τεκμήρια· ταῦτα καὶ αὐτοὶ λογισμῷ σώφρονι τεθαυμάκαμεν, βεβασανισμένῃ τε καὶ ἐξητασμένῃ τῇ κρίσει κατεδεξάμεθα. 31. ἐξήτασται παρ' ἡμῖν καὶ βεβασάνισται ταῦτα καὶ δι' ἑτέρων πραγμάτων ἐναργῶν πάντα ἀνακαλυπτόντων λόγον, δι' ὧν αὐτὸς ὁ κύριος ἡμῶν εἰσέτι καὶ νῦν οἷς ἂν κρίνειεν μικρά τινα τῆς αὐτοῦ δυνάμεως παραφαίνειν εἴωθε, πλὴν ἀλλὰ καὶ τῆς λογικωτέρας μεθόδου, ἣν προσάγειν εἰώθαμεν τοῖς b οὐ παραδεχομένοις τὰ προειρημένα, ἀλλ' ἤτοι παντελῶς ἀπιστοῦσιν αὐτοῖς καὶ μηδὲν καθόλου γεγονέναι τοιοῦτον πρὸς αὐτοῦ φάσκουσιν, ἢ γεγονέναι

4 Luc. 23, 46.

μὲν, γοητείᾳ δὲ ἄλλως ἐπὶ πλάνῃ τῶν ὁρώντων, ὡς ἂν ὑπ' ἀνδρὸς πλάνου, ἐπιθέσθαι. εἰ δὲ χρὴ καὶ ἐπὶ τοῦ παρόντος βραχέα πρὸς τοὺς δεδηλωμένους ἐνστῆναι, οὐκ ἀπολειψόμεθα σπουδῆς, ἄλλως δέ πως αὐτοῖς ἀπαντήσομεν.

32. Εἰ δὲ λέγοιεν μηδὲν τὴν ἀρχὴν πεποιηκέναι c τὸν σωτῆρα ἡμῶν θαυμαστὸν μηδέ τι παράδοξον ὧν ἐμαρτύρησαν οἱ γνώριμοι, σκεψώμεθα εἰ πιθανὸς ὁ λόγος αὐτοῖς ἔσται, μὴ τὴν αἰτίαν ἔχουσιν ἀποδιδόναι, δι' ἣν οἱ μὲν μαθηταί, ὁ δὲ διδάσκαλος ἐχρημάτισαν. ὅ τε γὰρ διδάσκων ἐπαγγελίαν μαθήματός τινος ἐπαγγέλλεται, οἵ τε αὖ μαθηταί, μαθημάτων ὀριγνώμενοι, σφᾶς αὐτοὺς τῷ διδασκάλῳ προσφέροντες ἐπιτρέπουσι. 33. τίνα οὖν ἔστιν εἰπεῖν αἰτίαν τῶν τοῦ Ἰησοῦ μαθητῶν τῆς σὺν αὐτῷ διατριβῆς, καὶ d τί τὸ ἀναγκαῖον τῆς περὶ αὐτὸν σπουδῆς, τίνων δὲ καὶ διδάσκαλον ἐπεγράφοντο μαθημάτων; ἢ τοῦτο μὲν δῆλον; πάντως γάρ που ὧν παρ' αὐτοῦ μαθόντες εἰς ἑτέρους ἐξήνεγκαν· παραγγελίαι δ' ἦσαν αὐτῷ φιλοσόφου βίου, ὃν ὑπογράφων αὐτοῖς ἔλεγεν "μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον εἰς τὰς ζώνας, μὴ πήραν εἰς ὁδόν," καὶ τὰ τοιαῦτα, τῇ δὲ πάντα διοικούσῃ προνοίᾳ αὐτοὺς ἀναθέντας μηδὲν μεριμνᾶν τῶν χρειῶν ἕνεκα, παρῄνει δ' αὐτοῖς καὶ τῶν Ἰουδαίοις ὑπὸ Μωσέως παρηγγελμένων κρείττονα φρονεῖν. 34. τὸν μὲν γὰρ οἷα προχείροις εἰς ἀνδρο- (110) φονίας νομοθετῆσαι μὴ φονεύειν· ὡσαύτως δὲ καὶ μὴ μοιχεύειν, οἷα λαγνιστάτοις καὶ καταφερεστάτοις, καὶ αὖ πάλιν μὴ κλέπτειν, οἷα δουλοπρεπεστάτοις, αὐτοὺς δὲ δεῖν τούτους μὲν ἡγεῖσθαι μὴ προσήκειν αὐτοῖς τοὺς νόμους, τὸ δ' ἀπαθὲς τῆς ψυχῆς περὶ

21 Matth. 10, 9.

πολλοῦ προτιμᾶν, κάτωθεν ἐκ βάθους αὐτῆς διανοίας
ὥσπερ ἀπὸ ῥιζῶν τὰ τῆς κακίας ἀποτέμνοντας βλα-
b στήματα, καὶ κρατεῖν μὲν ὀργῆς καὶ πάσης αἰσχρᾶς
ἐπιθυμίας πειρᾶσθαι, μᾶλλον δὲ μηδὲ ὀργίζεσθαι δι'
ἄκραν ψυχῆς ἀπάθειαν, μηδὲ προσβλέπειν γυναῖκα
μετὰ ἐπιθυμίας ἀκολάστου, τοῦ δὲ κλέπτειν τοὐναν-
τίον καὶ τὰ οἰκεῖα προΐεσθαι τοῖς δεομένοις, ἀλλὰ
[72] μηδὲ σεμνύνεσθαι ἐπὶ τῷ μὴ ἀποστερεῖν ἀλλήλους,
ἀλλ' ἐπὶ τῷ τοὺς σφᾶς ἀποστεροῦν προηγουμένους
ἀμνησικάκως φέρειν. 35. καὶ τί με δεῖ συναγαγεῖν
πάνθ' ὅσα ὁ μὲν ἐδίδασκεν, οἱ δ' ἐμάνθανον; παρῄ-
c νει δ' αὐτοῖς πρὸς τοῖς ἄλλοις τῆς ἀληθείας οὕτως
ἔχεσθαι ὡς μηδ' εὐορκίας δεῖσθαι, πολλοῦ δεῖ ἐπι-
ορκεῖν, παρασκευάζειν δὲ τὸν τρόπον παντὸς ὅρκου
πιστότερον φαίνεσθαι, μέχρι τοῦ ναί καὶ τοῦ οὔ χω-
ροῦντας, σὺν ἀληθείᾳ τοῖς ῥήμασι χρωμένους. 36.
πευστέον τοίνυν τίνα ἂν ἔχοι λόγον τοὺς τῶν τοιωνδὶ
ἀκροατάς, ἤδη δὲ καὶ διδασκάλους τῶν αὐτῶν φύν-
τας μαθημάτων, πεπλάσθαι ὑπονοεῖν ὅσα διαπρά-
ξασθαι τὸν διδάσκαλον ἐμαρτύρησαν. 37. τί δὲ τὸ
d πιθανὸν τοῦ νομίζειν συμφώνως ἅπαντας ψεύσασθαι,
δώδεκα μὲν ὄντας τὸν ἀριθμὸν τοὺς ἐκκρίτους, ἑβδο-
μήκοντα δὲ τοὺς λοιπούς, οὓς καὶ ἀποστεῖλαι λέγεται
ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πάντα τόπον καὶ
χώραν οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι; ἀλλ' οὐδεὶς αἱρεῖ
λόγος ἀπιστεῖσθαι τοσοῦτο πλῆθος ἀνδρῶν εὐσεβῆ
καὶ σεμνὸν βίον ἀσπασαμένων, καὶ πάντων μὲν τῶν
οἰκείων ὠλιγωρηκότων, ἀντὶ δὲ τῶν φιλτάτων, γυναι-
κὸς λέγω καὶ παίδων καὶ παντὸς γένους, τὸν ἀκτή-
μονα τρόπον ἑλομένων, καὶ τὴν περὶ τοῦ διδασκά-
λου μαρτυρίαν σύμφωνον ὡς ἀφ' ἑνὸς στόματος εἰς
πάντας ἀνθρώπους ἐξενηνοχότων. 38. ὁ μὲν οὖν κύ-

ριος καὶ πρῶτος καὶ ἀληθὴς λόγος εἴη ἂν οὗτος· σκεψώμεθα δὲ καὶ τὸν ἐναντίον. ἔστω γὰρ ὁ μὲν διδάσκαλος, οἱ δὲ μαθηταί· εἶθ' ὡς ἐν ὑποθέσει λόγου (111) ὁ μὲν μὴ τὰ προλελεγμένα διδασκέτω, τὰ δ' ἐκείνοις ἐναντία, παρανομεῖν δηλαδή, καὶ ἀσεβεῖν, καὶ ἀδικεῖν, καὶ πλεονεκτεῖν, καὶ ἀποστερεῖν, καὶ εἴ τι ἕτερον κακὸν λέγοιτο, λανθάνειν δ' ἐπὶ πᾶσι τούτοις σπουδάζειν, καὶ τὸ ἦθος μάλ' εὐφυῶς ἐπικρύπτεσθαι προσχήματι σεμνῆς διδασκαλίας καὶ εὐσεβείας ἐπαγγελίᾳ καινῇ· οἱ δὲ ταῦτα μετερχέσθων, καὶ τὰ τούτων ἔτι μοχθηρότερα, διὰ τὸ προαλὲς τῆς κακίας καὶ αὐτοδίδακτον αὐτῆς· ἐπὶ μέγα δὲ πλαστοῖς ῥήμασιν b ἐπαιρόντων τὸν διδάσκαλον, μηδενὸς ψευδοῦς φειδόμενοι λόγου· πάντα δὲ αὐτῷ τὰ παράδοξα καὶ τὰς θαυματουργίας πεπλασμένως ἐπιγραφόντων, ὡς ἂν θαυμάζοιντο καὶ αὐτοὶ καὶ μακαρίζοιντο, οἷα μαθηταὶ τοιοῦδε γενέσθαι ἠξιωμένοι. 39. φέρε οὖν ἴδωμεν εἰ τοιοῖσδε οὖσιν αὐτοῖς συστῆναι οἷόν τε ἦν τὸ ἐπιχείρημα. κακῷ δὴ κακὸν οὔ φασιν εἶναι φίλον, ἀλλ' οὐδὲ ἀγαθῷ. πόθεν οὖν ἐν πλήθει τοσῶνδε ἀνδρῶν ἡ τῶν κακῶν εὕρηται συμφωνία; πόθεν ἡ περὶ c τῶν αὐτῶν ἐν πᾶσιν αὐτοῖς ὁμόφωνος μαρτυρία, ἡ μέχρι θανάτου ὁμοφροσύνη; ἀνδρὶ δὲ γόητι τοιάδε διδάσκοντι καὶ τοιάδε ἐπαγγελλομένῳ τίς ἂν τὴν ἀρχὴν προσέσχε τὸν νοῦν; εἴποις ἂν ὅτι γόητες ἄλλοι τοῦ καθηγητοῦ κατ' οὐδέν. ἆρ' οὖν οἵδε τὸ τέλος οὐ συνεωράκεσαν τοῦ διδασκάλου καὶ οἵῳ κέχρητο θανάτῳ; τί δῆτα οὖν καὶ μετὰ τὸ αἴσχιστον ἐκεῖνο τέλος αὐτοῦ ἐπέμενον, τὸν ἐν νεκροῖς θεολογοῦντες, ἢ τί ἄρα ποθοῦντες, τὰ ἴσα παθεῖν; καὶ τίς πώποτ' ἐπ' οὐδενὶ λόγῳ πρόδηλον ἕλοιτο ἂν τοιαύτην τιμωρίαν; 40. καὶ μὴν δεδόσθω τιμᾶν αὐτὸν συνόντα ἔτι καὶ σὺν d

αὐτοῖς διατρίβοντα, καὶ δι' ἀπάτης αὐτοὺς, ὡς ἂν
φαίη τις, ἀποπλανῶντα, τί οὖν, ὅτι καὶ μετὰ τὴν
τελευτὴν, καὶ πολὺ μᾶλλον τότε ἢ πρότερον, αὐτὸν
τεθειάκασιν, ἐπεὶ σὺν ἀνθρώποις μένοντα λέγονται
καὶ ἀπολελοιπέναι καὶ ἀπηρνῆσθαί ποτε, ὅτε αὐτῷ
τὰ τῆς γε ἐπιβουλῆς ἐσκευώρητο, μετὰ δὲ τὸ ἐξ ἀν-
θρώπων γενέσθαι ἀσμένως αὐτοὶ θνήσκειν μᾶλλον
ᾑροῦντο, ἢ τῆς ὑπὲρ αὐτοῦ μαρτυρίας ἀγαθῆς ἐξί-
στασθαι; 41. εἰ δὴ οὖν μηδὲν ἀγαθὸν συνεγνωκότες
[173] τῷ διδασκάλῳ, μὴ βίον, μὴ μάθημα, μὴ πρᾶξιν, μὴ
ἔργον ἐπαίνου ἄξιον, μηδὲ μὴν κατά τι ὠφελημένοι
πρὸς αὐτοῦ, ἢ ὅσον πονηρίαν καὶ ἀνδρῶν πλάνην,
(112) πῶς ἔθνησκον προθύμως τὰ σεμνὰ καὶ ἐπίδοξα περὶ
αὐτοῦ μαρτυροῦντες, παρὸν ἑκάστῳ ζῆν ἀπραγμόνως,
καὶ ἐπὶ τῆς οἰκείας ἑστίας μετὰ τῶν φιλτάτων τὸν
ἀκίνδυνον διάγειν βίον; 42. πλάνοι δὲ ἄνδρες καὶ
ἀπατεῶνες πῶς ἀγαπητὸν ἡγοῦντο τὸν ὑπὲρ ἑτέρου
θάνατον, ὃν ἀκριβῶς πάντων μᾶλλον ἐγίνωσκον οὐ-
δενὸς μὲν αὐτοῖς, ὡς ἂν φαίη τίς, γεγονότα παραί-
τιον ἀγαθοῦ, πάσης δὲ κακίας διδάσκαλον; ἀνὴρ μὲν
γὰρ λογισμοῦ καὶ ἀρετῆς μέτοχος ὑπὲρ ἀγαθοῦ κατορ-
b θώματος κἂν εὐλόγως ποτὲ τὸν μετ' εὐκλείας θάνα-
τον ὑπομείνειεν, ὁ δὲ μοχθηρὸς τὸν τρόπον φιλοπα-
θής τις καὶ φιλήδονος ὢν, μόνην δὲ τὴν πρόσκαιρον
ταυτηνὶ ζωὴν καὶ τὰς κατ' αὐτὴν ἡδυπαθείας μετα-
διώκων, οὐκ ἄν ποτε ἕλοιτο πρὸ ζωῆς θάνατον, οὐδ'
ὑπὲρ οἰκείων καὶ φιλτάτων τιμωρίας ὑπομείνειε, μή τί
γε ὑπὲρ τοῦ φαυλότητα κατεγνωσμένου. 43. πῶς
οὖν οἱ τοῦ δηλουμένου μαθηταὶ, εἰ ἄρα πλάνος ἦν
καὶ γόης, οὐκ ἀγνοοῦντες αὐτὸν τοιοῦτον, ἀλλὰ καὶ
αὐτοὶ χείρονι μοχθηρίας τρόπῳ τὰς ψυχὰς ἐνεσχη-
μένοι, ὑπέμενον πρὸς τῶν ὁμοεθνῶν πάσας αἰκίας

καὶ πᾶν τιμωριῶν εἶδος ὑπὲρ τῆς αὐτοῦ μαρτυρίας c ἀναδέχεσθαι, οὐκ ὂν τοῦτο τῆς τῶν φαύλων οἰκεῖον φύσεως; 44. ἔτι δὲ καὶ τούτῳ πρόσσχες· εἰ δὴ καὶ αὐτοὶ πλάνοι καὶ ἀπατεῶνες ἐτύγχανον, προσθὲς δ' ὅτι καὶ ἀπαίδευτοι καὶ παντελῶς ἰδιῶται, μᾶλλον δὲ ὅτι καὶ βάρβαροι, καὶ τῆς Σύρων οὐ πλέον ἐπαΐοντες φωνῆς, πῶς ἐπὶ πᾶσαν προῆλθον τὴν οἰκουμένην; ἢ ποίᾳ τοῦτο διανοίᾳ ἐφαντάσθησαν τολμῆσαι; ποίᾳ δὲ δυνάμει τὸ ἐπιχειρηθὲν κατώρθωσαν; 45. ἔστω γὰρ ἐπὶ τῆς οἰκείας γῆς καλινδουμένους ἀγροίκους ἄνδρας πλανᾶν καὶ πλανᾶσθαι, καὶ μὴ ἐφ' ἡσυ- d χίας βάλλεσθαι τὸ πρᾶγμα· κηρύττειν δ' εἰς πάντας τὸ τοῦ Ἰησοῦ ὄνομα, καὶ τὰς παραδόξους πράξεις αὐτοῦ κατά τε ἀγροὺς καὶ κατὰ πόλιν διδάσκειν, καὶ τοὺς μὲν αὐτῶν τὴν Ῥωμαίων ἀρχὴν καὶ αὐτήν τε τὴν βασιλικωτάτην πόλιν νείμασθαι, τοὺς δὲ τὴν Περσῶν, τοὺς δὲ τὴν Ἀρμενίων, ἑτέρους δὲ τὸ Πάρθων ἔθνος, καὶ αὖ πάλιν τὸ Σκυθῶν, τινὰς δὲ ἤδη καὶ ἐπ' αὐτὰ τῆς οἰκουμένης ἐλθεῖν τὰ ἄκρα, ἐπί τε τὴν Ἰνδῶν φθάσαι χώραν, καὶ ἑτέρους ὑπὲρ τὸν Ὠκεανὸν παρελθεῖν ἐπὶ τὰς καλουμένας Βρεττανικὰς νήσους, ταῦτα οὐκ ἔτ' ἔγωγε ἡγοῦμαι κατὰ ἄνθρωπον εἶναι, μή τί γε κατὰ εὐτελεῖς καὶ ἰδιώτας, πολλοῦ δεῖ κατὰ πλάνους (113) καὶ γόητας. 46. οἱ δὲ διδασκάλου φαύλου καὶ διαστροφέως πεπειραμένοι, καὶ τούτου τὴν ἔκβασιν τῆς τελευτῆς καθεωρακότες, ποίοις ἄρα λόγοις ἐχρήσαντο πρὸς ἀλλήλους εἰς τὸ σύμφωνα περὶ αὐτοῦ πλάσασθαι; ἐξ ἑνὸς γὰρ στόματος οἱ πάντες καὶ λεπρῶν καθάρσεις, καὶ δαιμόνων ἀπελάσεις, νεκρῶν τε ἀναβιώσεις, πηρῶν τε ἀναβλέψεις, καὶ μυρίας ἄλλας νοσούντων ἰάσεις πρὸς αὐτοῦ γενέσθαι ἐμαρτύρησαν, b καὶ ἐπὶ πᾶσιν, τὴν αὐτοῦ μετὰ τὸν θάνατον ἀναβίω-

σιν πρώτοις αὐτοῖς ἑωραμένην. 47. ταῦτα γὰρ μὴ
γενόμενα μηδ᾽ ἀκουσθέντα πω κατὰ τοὺς αὐτῶν χρό-
νους πῶς ἐξ ἑνὸς στόματος ἐμαρτύρουν γεγονέναι,
μέχρι καὶ θανάτου πιστούμενοι τὴν ὁμολογίαν, ἢ μή
ποτε ἄρα συνελθόντες συνωμοσίαν τε κατὰ τὸ αὐτὸ
πεποιημένοι συνθήκας ἔθεντο πρὸς ἀλλήλους πλάσα-
σθαι καὶ καταψεύσασθαι τῶν μὴ γεγονότων; 48. καὶ
ποίοις ἄρα πιθανὸν εἰπεῖν χρήσασθαι αὐτοὺς λόγοις
ἐπὶ ταῖς συνθήκαις ἢ μή ποτε τοῖς τοιοῖσδε "Ἄνδρες
c "φίλοι, τὸν μὲν δὴ χθὲς καὶ πρώην ἀπατεῶνα καὶ
"πλάνης διδάσκαλον ὑπ᾽ ὀφθαλμοῖς ἁπάντων ἡμῶν
"τὴν ἐσχάτην ὑπομείναντα τιμωρίαν, ὅστις ποτὲ ἦν,
[71] "πάντων ἡμεῖς μάλιστα ἀκριβῶς ἴσμεν, οἷα μύσται
"τῶν ἀπορρήτων αὐτοῦ γεγενημένοι· σεμνὸς μέν τις
"τοῖς πολλοῖς ἐφαντάζετο, καί τι πλέον ἔχειν παρὰ
"τοὺς πολλοὺς ἐφρόνει, οὐδὲν δὲ μέγα οὐδὲ τῆς ἀνα-
"στάσεως ἄξιον ἐπήγετο, εἰ μή τις τὸ δολερὸν καὶ
"ὕπουλον λέγοι τοῦ τρόπου, καὶ τὸ διάστροφα διδάξαι
"ἡμᾶς αὐτοὺς τόν τε δι᾽ ἀπάτης τῦφον· 49. ἀνθ᾽ ὧν,
"φέρε, δεξιὰς δόντες ἀλλήλοις, ὁμοῦ πάντες συνθώ-
"μεθα περὶ αὐτοῦ σύμφωνον ἐξενεγκεῖν εἰς πάντας
d "ἀνθρώπους πλάνην, καὶ λέγωμεν ἑωρακέναι αὐτὸν
"τυφλοῖς τὸ βλέπειν κεχαρισμένον, ὃ οὐδείς ποθ᾽
"ἡμῶν ἱστόρησε· καὶ κωφοῖς τὴν ἀκοὴν παρασχεῖν,
"ὃ οὐδείς ποθ᾽ ἡμῶν ἤκουσεν· λεπρούς τε καθαρίσαι
"καὶ νεκροὺς ἐγεῖραι. καὶ συλλήβδην εἰπεῖν, ἃ μήτε
"εἴδομεν πρὸς αὐτοῦ πραχθέντα μήτε ἠκούσαμεν
"λεχθέντα, ταῦτα ὡς ἀληθῶς πεπραγμένα διατεινώ-
"μεθα. 50. ἀλλ᾽ ἐπεὶ καὶ ἡ ἐσχάτη αὐτοῦ τελευτὴ
"περιβόητον ἔσχε καὶ διαφανῆ τὸν θάνατον, ὡς μὴ
"δύνασθαι αὐτὸν ἐπικρύψασθαι, ἀλλὰ καὶ τοῦτον
"ἡμεῖς ἀδιατρέπτως ἐπιλυώμεθα, μαρτυροῦντες εὖ

"μάλα ἀναιδῶς ὅτι δὴ πᾶσιν ἡμῖν μετὰ τὸ ἐκ νεκρῶν ἀναβιῶσαι συνεγένετο, ἑστίας τε καὶ τροφῆς συνή- (111) θους ἐκοινώνησε. 51. φυλαττέσθω δ' ἡμῖν πᾶσι τὸ ἀναιδὲς καὶ ἀδιάτρεπτον, μενέτω δὲ ἡ ἔκστασις μέχρι θανάτου· τί γὰρ καὶ ἄτοπον ὑπὲρ τοῦ μηδενὸς ἀποθνήσκειν; τί δὲ καὶ λυπεῖ μηδενὸς εὐλόγου χάριν μάστιγας καὶ βασάνους κατὰ τοῦ σώματος [λαβεῖν], εἰ δὲ δέοι καὶ δεσμωτηρίων πειρᾶσθαι, ἀτιμιῶν τε καὶ ὕβρεων ὑπὲρ οὐδενὸς ἀληθοῦς, καὶ τοῦθ' ἡμῖν ἤδη μεμελετήσθω."

V. 52. "Ψευδώμεθα δὴ πάντες ὁμοῦ συμφώνως, καὶ πλαττώμεθα ἐπ' οὐδενὸς ὠφελείᾳ, οὔθ' ἡμῶν οὔτε τῶν ἀπατωμένων, οὐδὲ μὴν αὐτοῦ τοῦ τὰ ψευδῆ b πρὸς ἡμῶν ἐκθειαζομένου. 53. τείνωμεν δὲ τὸ ψεῦδος μὴ ἐπὶ μόνους τοὺς ὁμοεθνεῖς, ἀλλὰ καὶ εἰς πάντας προελθόντες ἀνθρώπους, καὶ σύμπασαν τὴν οἰκουμένην καταπλήσωμεν τῶν περὶ αὐτοῦ συντιθεμένων. ἤδη δὲ ἐντεῦθεν νομοθετῶμεν πᾶσι τοῖς ἔθνεσιν ἀντίστροφα ταῖς ἐξ αἰῶνος παρ' αὐτοῖς περὶ τῶν πατρῴων θεῶν δόξαις. 54. κελεύωμεν Ῥωμαίοις αὐτοῖς πρώτιστα πάντων μὴ σέβειν οὓς ἡγοῦντο θεοὺς οἱ προπάτορες, παρίωμεν δὲ καὶ ἐπὶ τὴν Ἑλ- c λάδα, καὶ τοῖς τούτων σοφοῖς ἀντικηρύττωμεν, μηδ' Αἰγυπτίους ἀνῶμεν, πολεμῶμεν δὲ καὶ τοὺς τούτων θεοὺς, μὴ τὰ Μωσέως πρόσθεν κατ' αὐτῶν γενόμενα ἀνατεινόμενοι, τὸν δὲ τοῦ ἡμετέρου διδασκάλου θάνατον ὥσπερ τι φόβητρον αὐτοῖς ἀντιτάττοντες, καὶ τὴν ἀπ' αἰῶνος ἐξ αὐτῶν εἰς πάντας ἀνθρώπους προελθοῦσαν περὶ θεῶν φήμην μὴ ῥηματίοις καὶ λόγοις, δυνάμει δὲ τοῦ σταυρωθέντος διδασκάλου καταλύωμεν, ἀπίωμεν καὶ ἐπὶ τὴν ἄλλην βάρβαρον γῆν, καὶ τὰ παρὰ τοῖς πᾶσιν ἀνατρέ-

"πωμεν. προθυμίας δὲ μηδεὶς ἡμῶν λειπέσθω. 56. οὔτε γὰρ μικρὸς ὁ ἆθλος τῶν τολμωμένων, ἐπεὶ μὴ τὰ τυχόντα βραβεῖα ἡμᾶς ἐκδέξεται, ἀλλ' αἱ ἀπὸ τῶν παρ' ἑκάστοις, ὡς εἰκὸς, νόμων τιμωρίαι, δεσμὰ δηλαδὴ καὶ βάσανοι καὶ φυλακαὶ, πῦρ τε καὶ σίδηρος, καὶ σταυροὶ, καὶ θῆρες, ὧν μάλιστα προθυμητέον καὶ τοῖς κακοῖς ὁμόσε χωρητέον ὑπόδειγμα τὸν διδάσκαλον κεκτημένοις. 57. τί γὰρ τούτων γένοιτ' ἂν κάλλιον ἐχθροὺς καὶ θεοῖς καὶ ἀνθρώποις (115) ἐπ' οὐδενὶ λόγῳ καταστῆναι, καὶ μή ποτε ἡδέος ἀπολαῦσαί τινος, μήτε τῶν φιλτάτων ὄνασθαι, μήτε χρημάτων τυχεῖν, μήτε τινὸς ἀγαθοῦ τὸ παράπαν ἐλπίδα κτήσασθαι, εἰκῇ δὲ καὶ μάτην πλανᾶσθαι καὶ πλανᾶν; τοῦτο γὰρ ἦν τὸ συμφέρον καὶ τὸ φέρεσθαι ἐξ ἐναντίας πᾶσι τοῖς ἔθνεσι, καὶ τὸ θεοῖς μὲν τοῖς ἐξ αἰῶνος παρὰ πᾶσιν ὡμολογημένοις πολε- [75] μεῖν, τὸν δ' ὑπ' ὀφθαλμοῖς ἡμῶν αὐτῶν διδάσκαλον θεὸν εἶναι, καὶ θεοῦ παῖδα κηρύττειν, ὑπὲρ οὗ καὶ αὐτοὺς θνήσκειν ἑτοίμους εἶναι, μηδὲν ἀληθὲς b παρ' αὐτοῦ μηδ' ὠφέλιμον μεμαθηκότας. 58. ταύτῃ δ' οὖν καὶ μᾶλλον τιμητέον αὐτὸν, εἰ μηδὲν ἡμᾶς ὤνησεν, πάντα τε ἐπὶ τῷ δοξάσαι αὐτοῦ τὴν προσηγορίαν ποιητέον, καὶ πάσας ὕβρεις καὶ τιμωρίας ὑπομενετέον, πάντα τε τρόπον ἀναδεκτέον θανάτου ὑπὲρ μηδενὸς ἀληθοῦς. κακὸν γὰρ ἴσως ἀλήθεια, τὸ δὲ ψεῦδος ἔχει τοῦ κακοῦ τὸ ἐναντίον. 59. διὸ λέγωμεν ὅτι καὶ νεκροὺς ἤγειρεν, καὶ λεπροὺς ἐκαθάρισε, καὶ δαίμονας ἤλασε, καὶ τῶν ἄλλων παραδόξων ἔργων γέγονε ποιητὴς, μηδὲν μὲν τοιοῦτον αὐτῷ συνεγνωκότες, ἑαυτοῖς δὲ τὰ πάντα πλαττόμενοι, καὶ πλανῶντες μὲν οὓς δυνατόν· εἰ δὲ μὴ c πείθοιτό τις, ἀλλ' αὐτοί γε ὑπὲρ ὧν συντεθεί-

, "μεθα τἀπίχειρα τῆς πλάνης καθ' ἑαυτῶν ἐφελκό- "μενοι."

60. Ἆρά σοι πιθανὰ ταῦτα, ἢ καὶ ἀληθοῦς ἐχόμενα λόγου τὰ τοιαῦτα εἶναι δοκεῖ; καὶ πείσειέ τις ἂν ἑαυτὸν ὡς τὰ τοιαῦτα πλασάμενοι καὶ συνθέμενοι ἀλλήλοις εὐτελεῖς ἄνδρες καὶ ἰδιῶται παρῄεσαν ἐπὶ τὴν Ῥωμαίων ἀρχὴν, ἢ ὡς ἀνθρωπεία φύσις τὸ φιλόζωον οἰκεῖον κεκτημένη δύναιτ' ἄν ποθ' ὑπὲρ τοῦ μηδενὸς αὐθαίρετον ὑπομεῖναι τελευτὴν, ἢ ὡς οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταὶ εἰς τοσαύτην ὑπερβολὴν ἐκπληξίας ἤλασαν ὡς μηδὲν μὲν ὑπ' αὐτοῦ παράδοξον πραχθὲν ἑωρακέναι, αὐτοὺς δ' ἐκ συνθήματος ὁμοῦ d πάντα τὰ τοιαῦτα πεπλάσθαι, ἔπειτα ῥημάτια περὶ αὐτοῦ ψευδῆ συνταξαμένους ὑπὲρ τούτων θνήσκειν ὑπομένειν ἑτοίμως ἔχειν; ἀλλὰ τί φῄς; μὴ προσδοκῆσαι αὐτοὺς μηδὲ ἐλπίσαι δεινόν τι πείσεσθαι ἐκ τῆς περὶ τοῦ Ἰησοῦ μαρτυρίας, διὸ καὶ ἀδεῶς ἐπὶ τὸ περὶ αὐτοῦ κήρυγμα προελθεῖν; ἀλλ' οὐκ εἰκὸς ἦν ἀπελπίσαι τὰ πάντα ὑπὲρ αὐτοῦ πείσεσθαι τοὺς Ῥωμαίοις ὁμοῦ καὶ Ἕλλησι καὶ βαρβάροις θεῶν ἀνατροπὴν εἰσηγησαμένους. 61. ἡ δέ γε περὶ αὐτῶν ἱστορία σαφῶς δείκνυσιν ὡς μετὰ τὴν τοῦ διδασκάλου (116) τελευτὴν ἐπίβουλοί τινες συλλαβόντες αὐτοὺς πρῶτα μὲν παρέδωκαν φυλακῇ, ἔπειτα δὲ ἀπέλυσαν παραγγείλαντες μηδενὶ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ· γνόντες δὲ αὐτοὺς μετὰ ταῦτα δημοσίᾳ τῷ πλήθει τὰ περὶ αὐτοῦ διαλεγομένους, ἀναρπάσαντες ἐμάστιζον, ἐπιτιμῶντες ἐπὶ τῇ διδασκαλίᾳ. 62. ὅτε ἀποκριθεὶς αὖθις αὐτοῖς ὁ Πέτρος εἶπεν "πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις." μετὰ δὲ ταῦτα λίθοις βλη-

29 Act. 5, 29.

θεὶς ἀναιρεῖται Στέφανος, ἐπὶ τοῦ Ἰουδαίων πλήθους παρρησιασάμενος, καὶ διωγμὸς οὐχ ὁ τυχὼν b ἐπανίσταται τοῖς πρεσβεύουσι τὸ τοῦ Ἰησοῦ ὄνομα. 63. καὶ πάλιν ἄλλοτε Ἡρώδης ὁ τῶν Ἰουδαίων βασιλεὺς ἀνεῖλεν τὸν Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ, τόν τε Πέτρον ὁ αὐτὸς δεσμοῖς περιέβαλεν, ὡς ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων γέγραπται. καὶ τούτων ταῦτα πεπονθότων, οἱ λοιποὶ μαθηταὶ ἀπρὶξ ἐχόμενοι τοῦ Ἰησοῦ παρέμενον ἔτι μᾶλλον εἰς πάντας αὐτόν τε καὶ τὰς παραδοξοποιίας αὐτοῦ καταγγέλλοντες. 64. ἐπὶ τούτοις Ἰάκωβος ὁ ἀδελφὸς τοῦ κυρίου, ὃν οἱ πάλαι τὰ Ἱεροσόλυμα οἰκοῦντες ἐκάλουν δίκαιον c διὰ τὰ τῆς ἀρετῆς πλεονεκτήματα, ἐρωτηθεὶς πρὸς τῶν ἀρχιερέων καὶ διδασκάλων τοῦ Ἰουδαίων ἔθνους τίνα περὶ τοῦ Χριστοῦ ἔχοι δόξαν, κἄπειτα ἀποκρινάμενος ὅτι υἱὸς θεοῦ εἴη, λίθοις καὶ αὐτὸς πρὸς αὐτῶν βάλλεται. 65. καὶ Πέτρος δὲ ἐπὶ Ῥώμης κατὰ κεφαλῆς σταυροῦται, Παῦλός τε ἀποτέμνεται, Ἰωάννης τε νήσῳ παραδίδοται. καὶ τούτων ταῦτα παθόντων οὐδεὶς τῶν λοιπῶν ἐξέστη τῆς προθέσεως, δι' d εὐχῆς δὲ τιθέμενοι καὶ αὐτοὶ τῶν ἴσων τοῖς προειρη- [76] μένοις τῆς εἰς τὸ θεῖον εὐσεβείας ἕνεκα τυχεῖν, ἐπὶ μᾶλλον τῷ Ἰησοῦ καὶ τοῖς παραδόξοις ἔργοις αὐτοῦ μετὰ παρρησίας ἐμαρτύρουν. 66. καὶ μήν, εἴπερ ψεύσματα ἦν κατὰ συνθήκην αὐτοῖς πεπλασμένα, θαυμάζειν ἄξιον ὅπως τοσοῦτο πλῆθος τὴν συμφωνίαν ἐπὶ τοῖς πλάσμασι καὶ μέχρι θανάτου διεφύλαξεν, οὐδείς τε αὐτῶν πώποτε τὰ συμβάντα τοῖς προανηρημένοις τρέσας ἐξέστη τῆς ἑταιρίας, οὐδ' ἀντεκήρυξε τοῖς ἄλλοις εἰς φῶς ἀγαγὼν τὰ συντεθειμένα, ἀλλὰ καὶ ὁ ζῶντα προδοῦναι τολμήσας αὐτὸν αὐτοχειρίᾳ καθ' ἑαυτοῦ παραχρῆμα τὴν δίκην ἐπεσπά-

σατο. 67. κἀκεῖνο δὲ πῶς οὐ μεστὸν ἐκπλήξεως, τὸ (117) πλάνους ἄνδρας καὶ ἰδιώτας, μήτε λαλεῖν μήτε ἀκούειν πλέον τῆς πατρίου φωνῆς ἐπισταμένους, μὴ μόνον διανοηθῆναι τολμῆσαι προελθεῖν ἐπὶ τὴν τῶν ἐθνῶν ἁπάντων περίοδον, ἀλλὰ καὶ προελθόντας κατορθῶσαι τὸ ἐπιτήδευμα; σκέψαι δὲ ὁποῖόν ἐστι καὶ τὸ μηδένα μηδαμοῦ διάφωνον ἐξενεγκεῖν περὶ τῶν πράξεων τοῦ Ἰησοῦ λόγον. 68. εἰ γὰρ ἐπὶ πάντων ἀμφιγνοουμένων πραγμάτων ἔν τε τοῖς κατὰ νόμους δικαστηρίοις καὶ ἐν ταῖς κοιναῖς ἀμφισβητήσεσι τῶν μαρτύρων συμφωνία κυροῖ τὸ ἀμφιγνοούμενον, "ἐπὶ στόματος δ' οὖν δύο καὶ τριῶν μαρτύρων συνίσταται πᾶν ῥῆμα", πῶς οὐκ ἂν ἡ ἀλήθεια καὶ ἐπὶ τῶνδε συσταίη, δώδεκα μὲν ὄντων ἀποστόλων, ἑβδομήκοντα δὲ μαθητῶν, μυρίου τε πλήθους τούτων ἐκτὸς, πάντων θαυμαστὴν συμφωνίαν ἐπιδεδειγμένων, καὶ μαρτυρησάντων γε τοῖς ὑπὸ τοῦ Ἰησοῦ πεπραγμένοις, οὐκ ἀνιδρωτὶ, διὰ δὲ βασάνων ὑπομονῆς καὶ πάσης αἰκίας καὶ θανάτου, καὶ ἐπὶ πᾶσιν ὑπὸ τοῦ θεοῦ μαρτυρηθέντων, ὃς τὸν ὑπ' αὐτῶν καταγγελθέντα λόγον ἔτι καὶ νῦν καὶ εἰς ὅλον τὸν αἰῶνα κρατύνει;

69. Ταῦτα μὲν οὖν ἀρχῆς ἀτόπου κατὰ συγχώρησιν δοθείσης γεγυμνάσθω. τὸ γὰρ τοῖς ἐγγράφοις τἀναντία ὑπολαβεῖν, καὶ φάναι τὸν Ἰησοῦν διδάσκαλον γεγονέναι μὴ σωφρόνων λόγων, ἀδικίας δὲ καὶ πλεονεξίας καὶ πάσης ἀκολασίας, τούς τε μαθητὰς αὐτοῦ τοιαῦτα παρ' αὐτοῦ δεδιδαγμένους παντορέκτας γεγονέναι καὶ παμπονήρους τῶν πώποτε ἀνθρώπων, καθ' ὑπόθεσιν ἡμῖν συνεχωρεῖτο· ὅπερ ἦν παντὸς ἀτοπώτατον, ὅμοιον ὡς εἰ καὶ Μωσέως ἐν τοῖς νόμοις

11 Deut. 19, 15. 2. Cor. 13, 1.

λέγοντος "οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις,
οὐ ψευδομαρτυρήσεις," συκοφαντῶν αὐτὸν διέβαλλέ
d τις λέγων εἰρωνείᾳ ταῦτα φάναι καὶ προσποιήσει·
70. βούλεσθαι μὲν γὰρ τοὺς ὑπηκόους καὶ φονεύειν
καὶ μοιχεύειν καὶ τἀναντία πράττειν οἷς νομοθετεῖ,
προσποιεῖσθαι δὲ σχηματίζεσθαι καὶ καθυποκρίνεσθαι
τὸν σεμνὸν βίον. ταύτῃ γὰρ καὶ τὰς τῶν παρ' Ἕλ-
λησι φιλοσόφων ὑποθήκας διαβάλλοι ἄν τις τόν τε
καρτερικὸν βίον καὶ τοὺς λόγους αὐτῶν πάντων, φά-
σκων ἐναντίως μὲν τοῖς ἀναγεγραμμένοις διατεθεῖ-
σθαι αὐτοὺς καὶ ἀναβεβιωκέναι, προσπεποιῆσθαι δὲ
(118) καθ' ὑπόκρισιν τὸν φιλόσοφον ἑλεῖν βίον. 71. οὕτως
δέ τις καὶ πάσας ἁπλῶς εἰπεῖν τὰς τῶν παλαιῶν δια-
βάλλοι ἂν ἱστορίας, ἀθετῶν τὴν ἐν αὐταῖς ἀλήθειαν,
καὶ εἰς τοὐναντίον τὰ δηλούμενα παρεκδεχόμενος.
72. ἀλλ' ὡς οὐκ ἄν τις ὀκνήσειε τῶν εὖ φρονούντων
μαίνεσθαι τὸν τοιοῦτον ἀποφήνασθαι, οὕτω καὶ ἐπὶ
τῶν τοῦ σωτῆρος λόγων τε καὶ μαθημάτων, εἴ τις
τἀληθὲς διαστρέφων τὴν ἐναντίαν οἷς ἐδίδασκε περι-
βάλλειν αὐτῷ δόξαν πειρῷτο. 73. πλὴν ἀλλ' ἐδόθη
καὶ τοῦτο ὡς ἐν ὑποθέσει, ὅπως καὶ ἐκ περιουσίας
καὶ ἐν ἀτόπῳ συγχωρήσει τὸ ἀσύστατον τοῦ δι' ἐναν-
b τίας λόγου φανῇ.

74. Ἐληλεγμένου δῆτα τούτου, φέρε ἀναδραμόν-
τες ἐπὶ τὴν τῶν ἱερῶν γραφῶν ἀλήθειαν τὸ ἦθος τῶν
τοῦ Ἰησοῦ μαθητῶν θεασώμεθα. αὐτόθεν μὲν οὖν
[77] ἄν τις εὖ φρονῶν πῶς οὐ πάσης ἀποδοχῆς αὐτοὺς
ἀξίους κρίνειεν, ἄνδρας μὲν εὐτελεῖς ὁμολογουμένως
καὶ τὸν λόγον ἰδιώτας, εὐσεβοῦς δὲ καὶ φιλοσόφου
διδασκαλίας εἰς ἔρωτα συμβεβηκότας, καὶ στέρξαν-
τας βίον καρτερικὸν καὶ ἐπίπονον, διὰ νηστειῶν, οἴ-
νου τε καὶ κρεῶν ἀποχῆς, καὶ πλείστης ἄλλης ταπει-

νώσεως τοῦ σώματος, διά τε εὐχῶν καὶ ἱκετηριῶν τῶν πρὸς τὸν θεόν, καὶ πολὺ πρότερον δι᾽ ἄκρας σωφροσύνης καὶ ἁγνείας σώματος ὁμοῦ καὶ ψυχῆς c κατορθούμενον. 75. τίς δ᾽ οὖν οὐκ ἂν αὐτοὺς θαυμάσειε δι᾽ ὑπερβολὴν φιλοσοφίας καὶ ταῖς κατὰ νόμον συγκεχωρημέναις γαμεταῖς ἀποτεταγμένους, καὶ μήθ᾽ ὑπὸ τῆς φυσικῆς ἡδονῆς καθελκυσθέντας, μήτε παίδων καὶ ἐκγόνων ἐπιθυμίᾳ δουλωθέντας, ἐπεὶ μηδὲ θνητῶν ἐκγόνων, ἀλλ᾽ ἀθανάτων ὠρέχθησαν; 76. τὸ δὲ ἀφιλοχρήματον αὐτῶν τοῦ τρόπου πῶς οὐκ ἄν τις ἐκπλαγείη; καὶ τοῦτο τεκμηράμενος ἐκ τοῦ μὴ φεύγειν, ἀλλ᾽ ἀσπάσασθαι διδάσκαλον χρυσοῦ καὶ ἀργύ- d ρου τὴν κτῆσιν ἀπαγορεύοντα, καὶ νομοθετοῦντα μηδὲ μέχρι δευτέρου χιτῶνος αὔξειν τὴν ὕπαρξιν· ὅπερ τάχα τις ἀκούσας παρῄτητο ἂν τὸ βαρὺ τοῦ προστάγματος, οἱ δὲ καὶ ἔργον πεποιηκότες τὸν λόγον ἀποδείκνυνται. αἰτήσαντος γοῦν ποτε τοὺς ἀμφὶ τὸν Πέτρον χωλοῦ τινος· (οὗτος δ᾽ ἦν τῶν δι᾽ ἐσχάτην ἀπορίαν τὰς τροφὰς μεταιτούντων·) οὐκ ἔχων ὁ Πέτρος ὅ τι δῷ ὡμολόγει πάσης ὑπάρξεως χρυσίου καὶ ἀργυρίου καθαρεύειν, φήσας "ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ (119) ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει." 77. σκυθρωπὰ δὲ αὐτοῖς προαγγέλλοντος τοῦ διδασκάλου, προσέχοντες δι᾽ ὧν πρὸς αὐτοὺς ἔλεγεν "ἐν τῷ κόσμῳ θλίψιν ἔχετε" καὶ πάλιν "κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται, πῶς οὐκ αὐτοὶ μὲν δῆλοι τὸν τρόπον ὅτι δὴ στερροί τινες καὶ βαθεῖς ὑπῆρχον, μὴ φεύγοντες τὰ τῆς ψυχῆς γυμνάσια, μηδὲ τὰ πρὸς ἡδονὴν μεταδιώκοντες; καὶ ὁ διδάσκαλος

---

21 Act. 3, 6. 26 Io. 16, 33. 20.

δὲ, ὅτι μὴ δι᾽ ἀπάτης θέλγων αὐτοὺς καὶ τὰ οἰκεῖα
προϊσχόμενος ἐξῳκειοῦτο, ἐλευθέρῳ δὲ καὶ ἀληθεῖ
b λόγῳ τὰ συμβησόμενα θεσπίζων, τὴν αἵρεσιν τῆς
κατ᾽ αὐτὸν πολιτείας εἰς αὐτοὺς ἐνετίθετο; τοιαῦτα
δὲ ἦν καὶ τὰ περὶ τῶν μελλόντων διὰ τὸ ὄνομα αὐ-
τοῦ συμβήσεσθαι αὐτοῖς, ἐν οἷς προλέγων ἐμαρτύ-
ρατο ὅτι καὶ ἐπὶ ἡγεμονίας ἀχθήσονται, καὶ μέχρι
βασιλέων φθάσουσιν, καὶ παντοίας ὑπομενοῦσι τι-
μωρίας, δι᾽ οὐδὲν μὲν φαῦλον, οὐδὲ δι᾽ ἑτέραν εὔ-
λογον αἰτίαν, αὐτὸ δὲ τοῦτο ὅλον διὰ τὸ ὄνομα αὐ-
τοῦ. 78. ὃ καὶ ἔστιν εἰς δεῦρο θεωροῦντας ἐνεργούμε-
νον καταπλαγῆναι τὴν πρόρρησιν· ἡ γὰρ τοῦ Ἰησοῦ
c ὀνόματος ὁμολογία τοὺς θυμοὺς εἴωθεν ἐκκαίειν τῶν
ἀρχόντων. 79. κἂν μηδὲν γὰρ φαῦλον ᾖ πεπραγμέ-
νον τῷ τὸν Χριστὸν ὁμολογοῦντι, κολάζουσιν ὅμως
αἰκιζόμενοι διὰ τὸ ὄνομα αὐτοῦ, ὡς πάντων ἀνοσι-
ουργῶν χαλεπωτέρους· εἰ δ᾽ ἐξομόσαιτό τις τὴν
προσηγορίαν, καὶ ἀρνηθείη μὴ εἶναι τῶν Χριστοῦ
μαθητῶν, ἀφεῖται παραχρῆμα ἐλεύθερος, κἂν μυ-
ρίοις ἔνοχος ἁλίσκηται πλημμελήμασιν. 80. καὶ τί
με χρὴ μυρία συναγαγεῖν τὸ τῶν ἀποστόλων τοῦ σω-
τῆρος ἡμῶν διαγράφειν ἦθος πειρώμενον, ἀρκούν-
των καὶ τῶν εἰρημένων εἰς ἀπόδειξιν τοῦ προκειμέ-
d νου; οἷς ἔτι ταῦτα προσθεὶς ἐπὶ τὸ ἕτερον στῖφος
τῶν συκοφαντῶν μεταβήσομαι.

81. *Ματθαῖος* ἀπόστολος τὸν πρότερον βίον οὐκ ἀπὸ σεμνῆς διατριβῆς ὡρμᾶτο, ἐκ δὲ τῶν ἀμφὶ τὰς τελωνείας καὶ πλεονεξίας σχολαζόντων. τοῦτο οὐδεὶς τῶν εὐαγγελιστῶν ἐδήλωσεν, οὐχ ὁ συναπόστολος αὐτοῦ *Ἰωάννης*, οὐδὲ *Λουκᾶς*, οὐδὲ *Μάρκος*,

---

30 v. Luc. 5, 27. Marc. 2, 14.

αὐτὸς δὲ Ματθαῖος τὸν ἑαυτοῦ στηλιτεύων βίον, καὶ κατήγορος αὐτὸς ἑαυτοῦ γιγνόμενος. 82. ἐπάκουσον [78] γοῦν ὅπως διαρρήδην ἐπ' ὀνόματος αὐτοῦ μέμνηται ἐν τῷ πρὸς αὐτοῦ γραφέντι εὐαγγελίῳ τοῦτον λέγων τὸν τρόπον "καὶ παράγων ἐκεῖθεν ὁ Ἰησοῦς εἶδεν (120) ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον ὀνόματι, καὶ εἶπεν αὐτῷ, ἀκολούθει μοι· καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. καὶ ἐγένετο ἀνακειμένου αὐτοῦ ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ," καὶ πάλιν προϊὼν ἑξῆς, τόν τε κατάλογον τῶν μαθητῶν ἐξαριθμούμενος, αὐτὸς ἑαυτῷ τὸ τοῦ τελώνου ὄνομα προστίθησιν. 83. λέγει δ' οὖν "τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος καὶ Βαρθολομαῖος, Θω- b μᾶς καὶ Ματθαῖος ὁ τελώνης."

84. Οὕτως μὲν ὁ Ματθαῖος δι' ὑπερβολὴν ἐπιεικείας τὸ φιλάληθες ὑποφαίνων τοῦ ἰδίου τρόπου καὶ τελώνην ἑαυτὸν ἀπεκάλει, μὴ ἐπικρύπτων τὸν πρότερον ἑαυτοῦ βίον καὶ τοῦ συζύγου δεύτερον ἑαυτὸν κατέλεγεν. 85. συνεζευγμένος γοῦν τῷ Θωμᾷ, ὁ Πέτρος Ἀνδρέᾳ, καὶ Ἰάκωβος τῷ Ἰωάννῃ, καὶ Φίλιππος Βαρθολομαίῳ, προτάττει ἑαυτοῦ τὸν Θωμᾶν, προτιμῶν ὡς κρείττονα τὸν συναπόστολον, τῶν λοιπῶν εὐαγγελιστῶν τοὐναντίον πεποιηκότων. ἄκουε c γοῦν Λουκᾶ, πῶς τοῦ Ματθαίου μνημονεύσας οὐ τελώνην ὀνομάζει, οὐδ' ὑποτάττει τῷ Θωμᾷ, κρείττονα δὲ αὐτὸν εἰδὼς πρῶτον αὐτὸν κατέλεξεν, δεύτερον

---

5 Matth. 9, 9.

τὸν Θωμᾶν ἐπαγαγών. 86. ὥσπερ καὶ ὁ Μάρκος πε-
ποίηκεν· ἔχουσι δὲ αὐτοῦ αἱ λέξεις οὕτως "καὶ ὅτε
ἡμέρα ἐγένετο, ἐφώνησε τοὺς μαθητὰς αὐτοῦ, καὶ
ἐκλεξάμενος ἐξ αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους
ὠνόμασεν, Σίμωνα, ὃν καὶ ἐκάλεσε Πέτρον, καὶ Ἀν-
δρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην
καὶ Φίλιππον καὶ Βαρθολομαῖον καὶ Ματθαῖον καὶ
Θωμᾶν.

87. Οὕτως μὲν τὸν Ματθαῖον ὁ Λουκᾶς ἐτίμη-
d σεν, καθ' ἃ παρέδωκαν αὐτῷ οἱ ἀπ' ἀρχῆς αὐτόπται
καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. καὶ τὸν Ἰωάννην
δὲ ὅμοιον εὕροις ἂν τῷ Ματθαίῳ. 88. ἐν μὲν γὰρ
ταῖς ἐπιστολαῖς αὐτοῦ οὐδὲ μνήμην τῆς οἰκείας προσ-
ηγορίας ποιεῖται, ἢ πρεσβύτερον ἑαυτὸν ὀνομάζει,
οὐδαμοῦ δὲ ἀπόστολον, οὐδὲ εὐαγγελιστήν· ἐν δὲ τῷ
εὐαγγελίῳ ἐπισημηνάμενος ὃν ἠγάπα ὁ Ἰησοῦς οὐκ
ἐδήλωσεν ὀνομαστὶ ἑαυτόν. ὅ γε μὴν Πέτρος οὐδὲ
καθῆκεν ἐπὶ τὴν εὐαγγελίου γραφὴν δι' εὐλαβείας
ὑπερβολήν. 89. τούτου Μάρκος γνώριμος καὶ φοιτη-
τὴς γεγονὼς ἀπομνημονεῦσαι λέγεται τὰς τοῦ Πέτρου
(121) περὶ τῶν πράξεων τοῦ Ἰησοῦ διαλέξεις, ὃς ἐλθὼν
ἐπ' ἐκεῖνα τῆς ἱστορίας, ἐν οἷς ὁ Ἰησοῦς ἐρωτήσας
τίνα φασὶν αὐτὸν οἱ ἄνθρωποι, καὶ αὐτοὶ δὲ οἱ αὐ-
τοῦ μαθηταὶ τίνα δόξαν ἔχοιεν περὶ αὐτοῦ, ὑπακού-
σαντος τοῦ Πέτρου, ὡς περὶ Χριστοῦ, οὐδὲν ἀποκρι-
νάμενον τὸν Ἰησοῦν οὐδὲ λέγοντα αὐτῷ γράφει, ἀλλ'
ὅτι ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐ-
τοῦ. 90. οὐ γὰρ παρῆν ὁ Μάρκος τοῖς ὑπὸ τοῦ Ἰη-
σοῦ λεχθεῖσιν, ἀλλ' οὐδὲ Πέτρος τὰ πρὸς αὐτὸν καὶ
περὶ αὐτοῦ λεχθέντα τῷ Ἰησοῦ ἐδικαίου δι' οἰκείας

---

2 Luc. 6, 13.

προφέρειν μαρτυρίας. τίνα δὲ ἦν τὰ πρὸς αὐτὸν λεχθέντα Ματθαῖος δηλοῖ διὰ τούτων "ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν, b σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς, καὶ ἐγώ σοι λέγω, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτην τὴν πέτραν οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι Ἅιδου οὐ κατισχύσουσιν αὐτῆς, καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς, καὶ ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐ- [79] ρανοῖς."

91. Τοσούτων εἰρημένων τῷ Πέτρῳ ὑπὸ τοῦ Ἰησοῦ, ὁ Μάρκος μηδενὸς τούτων μνημονεύσας, ὅτι c μηδ' ὁ Πέτρος ταῦθ', ὡς εἰκός, ἐν ταῖς αὐτοῦ διδασκαλίαις ἐξηγόρευσεν, ὅρα τί φησιν, ἐρωτήσαντος τοῦ Ἰησοῦ, "ἀποκριθεὶς ὁ Πέτρος λέγει, σὺ εἶ ὁ Χριστός. καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ." 92. ταῦτα μὲν οὖν ὁ Πέτρος εἰκότως παρασιωπᾶσθαι ἠξίου· διὸ καὶ Μάρκος αὐτὰ παρέλιπεν, τὰ δὲ κατὰ τὴν ἄρνησιν αὐτοῦ εἰς πάντας ἐκήρυξεν ἀνθρώπους, ἐπεὶ καὶ ἔκλαυσεν ἐπ' αὐτῇ πικρῶς. 93. εὕροις δ' οὖν τὸν Μάρκον ἱστοροῦντα περὶ αὐτοῦ τάδε "καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ ἔρχεται d πρὸς αὐτὸν μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως, καὶ ἰδοῦσα αὐτὸν θερμαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει, καὶ σὺ μετὰ Ἰησοῦ τοῦ Ναζωραίου ἦς. ὁ δὲ ἠρνήσατο λέγων, οὔτε οἶδα οὔτε ἐπίσταμαι τί σὺ λέγεις.

---

2 Matth. 16, 15. 19 Marc. 8, 29. 26 Marc. 14, 66.

καὶ ἐξῆλθεν εἰς τὴν ἔξω πρόαυλιν, καὶ ἀλέκτωρ ἐφώνησεν. πάλιν δὲ ἰδοῦσα αὐτὸν ἡ παιδίσκη ἤρξατο λέγειν τοῖς παρεστῶσιν, οὗτος ἐξ αὐτῶν ἐστιν. 94. ὁ δὲ πάλιν ἠρνήσατο. καὶ μετὰ μικρὸν πάλιν παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ γὰρ Γαλιλαῖος εἶ· ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον, ὃν λέγετε· καὶ εὐθέως ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησεν."

(122) 95. Μάρκος μὲν ταῦτα γράφει, Πέτρος δὲ ταῦτα περὶ ἑαυτοῦ μαρτυρεῖ· πάντα γὰρ τὰ παρὰ Μάρκῳ τῶν Πέτρου διαλέξεων εἶναι λέγεται ἀπομνημονεύματα. οἱ δὴ οὖν τὰ μὲν δόξαντα αὐτοῖς ἀγαθὴν φέρειν φήμην παραιτούμενοι, τὰς δὲ καθ' ἑαυτῶν διαβολὰς εἰς ἄληστον αἰῶνα καταγράφοντες, καὶ τῶν πλημμεληθέντων αὐτοῖς τὰς κατηγορίας, ἃς οὐκ ἄν τις ἔγνω τῶν μετὰ ταῦτα εἰ μὴ διὰ τῆς αὐτῶν ἔμαθεν φωνῆς, καθ' ἑαυτῶν στηλιτεύοντες, πῶς b οὐ φιλαυτίας μὲν ἁπάσης καὶ ψευδολογίας ἐκτὸς γεγονέναι ἐνδίκως ἂν ὁμολογοῖντο, φιλαλήθους δὲ διαθέσεως σαφῆ καὶ ἐναργῆ τεκμήρια παρεσχηκέναι; 96. οἱ δέ γε τοὺς τοιούσδε πεπλάσθαι καὶ κατεψεῦσθαι νομίζοντες, καὶ οἷα πλάνοις βλασφημεῖν πειρώμενοι, πῶς οὐκ ἂν γένοιντο καταγέλαστοι, φίλοι μὲν φθόνου καὶ βασκανίας, ἐχθροὶ δὲ αὐτῆς ἀληθείας ἁλισκόμενοι, οἵ γε τοὺς οὕτως ἀπανούργους καὶ ἄπλαστον ὡς ἀληθῶς καὶ ἀκέραιον ἦθος διὰ τῶν οἰκείων λόγων ἐπιδεδειγμένους, πανούργους τινὰς καὶ δεινοὺς ὑποτίθενται σοφιστάς, ὡς τὰ μὴ ὄντα c πλασαμένους, καὶ τῷ οἰκείῳ διδασκάλῳ τὰ μὴ πρὸς αὐτοῦ πραχθέντα κεχαρισμένως ἀναθέντας; ὡς εὖ μοι δοκεῖ εἰρῆσθαι, πάντα χρὴ πιστεύειν τοῖς τοῦ Ἰησοῦ μαθηταῖς, ἢ μή· καὶ εἰ μόνοις τούτοις τοῖς

ἀνδράσιν ἀπιστητέον, καὶ τοῖς πᾶσιν, οἵτινες ποτ' ἄρα παρ' Ἕλλησιν ἢ παρὰ βαρβάροις βίους καὶ λόγους καὶ ἀπομνημονεύματα τῶν κατὰ χρόνους ἐπί τισιν ἀγαθοῖς κατορθώμασι βοηθέντων συνεγράψαντο· ἢ τοῖς μὲν ἄλλοις πιστεύειν εὔλογον, μόνοις δὲ τούτοις ἀπιστεῖν. 97. *καὶ πῶς οὐκ ἐμφανὴς ὁ φθόνος; τί δέ; οἱ καταψευδόμενοι τοῦ διδασκάλου, καὶ τὰ μὴ γεγονότα τῇ αὐτῶν παραδιδόντες γραφῇ,* d
ἆρα καὶ τὰ πάθη κατεψεύσαντο αὐτοῦ; τὴν ἑνὸς λέγω μαθητοῦ προδοσίαν, καὶ τὴν τῶν συκοφαντῶν κατηγορίαν, χλεύας τε καὶ διασυρμοὺς δικαστῶν, τάς τε ὕβρεις καὶ τὰς πληγὰς τὰς κατὰ προσώπου, μάστιγάς τε κατὰ νώτου, καὶ τὸν ἐξ ἀκανθῶν στέφανον ἐπ' ἀτιμίᾳ περιτιθέμενον αὐτῷ, φοινικοῦν τε χιτῶνα ἐν χλαμύδος σχήματι περιβληθέντα, καὶ τέλος αὐτὸν αὐτὸ τὸ τοῦ σταυροῦ τρόπαιον ἐπικομίζοντα, ἐν τούτῳ τε πηγνύμενον καὶ χεῖρας καὶ πόδας καταπειρόμενον, ὄξει τε ποτιζόμενον, καὶ παιόμενον κατὰ κόρρης καλάμῳ, καὶ πρὸς τῶν ὁρώντων ὀνειδιζό- [80]
μενον; 98. *ἀλλὰ γὰρ καὶ ταῦτα, καὶ ὅσα τούτοις* (123)
συμφέρεται ὅμοια, πεπλάσθαι χρὴ πρὸς τῶν αὐτοῦ μαθητῶν, ἢ ἐν τούτοις μὲν χρὴ πιστεύειν αὐτοῖς ὡς ἀληθεστάτοις, ἐν δὲ τοῖς ἐπιδόξοις καὶ σεμνοτέροις ἀπιστεῖν. 99. *καὶ πόθεν τὸ περὶ αὐτοὺς ἐναντίον δόγμα συστήσεται; τὸ γὰρ ἀληθεύειν τοὺς αὐτοὺς φάναι καὶ ἐν τῷ αὐτῷ ψεύδεσθαι οὐδέν ἐστιν ἢ τἀναντία κατὰ τὸ αὐτὸ περὶ τῶν αὐτῶν λέγειν.* 100. *τίς οὖν ὁ τούτων ἔλεγχος; εἰ γὰρ δὴ πλάττεσθαι αὐτοῖς σκοπὸς ἦν, καὶ λόγοις ψευδέσι τὸν διδάσκαλον κοσμεῖν, οὐκ ἄν ποτε αὐτοῖς τὰ προειρημένα κατέγραφον, οὐδ' ἂν ἐδήλουν τοῖς μετὰ* b
ταῦτα ἀνθρώποις, ὅτι δὴ ἐλυπεῖτο καὶ ἠδημόνει

καὶ τετάρακτο τὴν ψυχὴν, ὅτι αὐτοὶ αὐτὸν ἀπολιπόντες ᾤχοντο, ἢ ὅτι ὁ πάντων αὐτῶν προκεκριμένος ἀπόστολός τε καὶ μαθητὴς αὐτοῦ Πέτρος βασάνων ἐκτὸς καὶ ἀρχοντικῆς ἀπειλῆς τρίτον αὐτὸν ἐξωμόσατο. ταῦτα γὰρ κἂν ἄλλων λεγόντων χρῆν δήπουθεν ἀρνεῖσθαι τοὺς οὐδὲν ἄλλο ἢ χαρίζεσθαι τὰ σεμνότερα τῷ διδασκάλῳ προτεθειμένους. 101. εἰ δὲ φιλαλήθεις ἐν τοῖς περὶ αὐτοῦ σκυθρωποῖς διηγή- c μασι φαίνονται, πολὺ μᾶλλον ἐν τοῖς ἐνδοξοτέροις εἶεν ἂν τοιοῦτοι. τοὺς γὰρ ἅπαξ ψεύδεσθαι προελομένους τὰ λυπηρὰ χρῆν μᾶλλον ἐκφυγεῖν ἤτοι διὰ σιωπῆς, ἢ διὰ τῆς περὶ αὐτῶν ἀρνήσεως, μὴ ἄλλως τῶν ὀψιγόνων ἐλέγξαι δυναμένων τὰ σεσιγημένα. 102. διὰ τί γὰρ μὴ ἐψεύσαντο, καὶ ἔφησαν ὅτι Ἰούδας μὲν ὁ προδοὺς αὐτὸν φιλήματι, τολμήσας τὸ σύμβολον ἐνδείξασθαι τῆς προδοσίας, ἀπολιθωθείη αὐτίκα, ὁ δὲ ῥαπίσαι αὐτὸν τολμήσας ξηρὸς παραχρῆμα γένοιτο τὴν δεξιὰν, ὁ δ' ἀρχιερεὺς Καϊάφας, ὡς ἂν συντρέχων τοῖς κατ' αὐτοῦ συκοφάνταις, d πηρωθείη τὰς ὄψεις; 103. διὰ τί δὲ μὴ ἐψεύσαντο πάντες, ὅτι μηδὲν σκυθρωπὸν ἀληθῶς περὶ αὐτὸν γέγονεν, ἀλλ' ὁ μὲν ἀφανὴς ἦν καταγελάσας αὐτῶν τοῦ δικαστηρίου, οἱ δὲ ἐπιβουλεύοντες, ὑπὸ φαντασίας θεηλάτου πλανώμενοι, ἐνεργεῖν κατ' αὐτοῦ μὴ παρόντος ἐδόκουν; τί δ' ἄρα; οὐκ ἦν σεμνότερον τοῦ πλάττεσθαι ὅτι τῶν τοιῶνδε ποιητὴς ἔργων παραδόξων γέγονεν, τὸ γράφειν ὅτι μηδὲν μὲν ἀνθρώπινον μηδὲ θνητὸν περὶ αὐτὸν συνέβη, ἐνθέῳ δὲ δυνάμει τὰ πάντα καταστησάμενος τὴν εἰς οὐρανοὺς ἐπάνοδον μετὰ θειοτέρας δόξης (124) ἐποιήσατο; οὐ γὰρ δὴ τούτοις ἀπιστεῖν ἔμελλον οἱ ταῖς ἄλλαις αὐτῶν διηγήσεσι πεπιστευκότες. 104. οἱ

δὴ οὖν μηδὲν τῆς ἀληθείας ἐν τοῖς ἀπεμφαίνουσι καὶ σκυθρωποῖς παραχαράξαντες πῶς οὐκ ἂν εἶεν ἄξιοι καὶ ἐν τοῖς λοιποῖς, οἷς ἐμαρτύρησαν αὐτῷ τὰ παράδοξα, φαύλης ἐκτὸς ὑπονοίας καθεστάναι; αὐτάρκης μὲν οὖν καὶ ἡ τῶνδε τυγχάνει περὶ τοῦ σωτῆρος ἡμῶν μαρτυρία. οὐδὲν δὲ οἷον ἐκ περιουσίας καὶ τῷ ἐξ Ἑβραίων Ἰωσήπῳ μάρτυρι χρήσασθαι, ὃς b ἐν τῷ ὀκτωκαιδεκάτῳ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας τὰ κατὰ τοὺς Πιλάτου χρόνους ἱστορῶν μέμνηται τοῦ σωτῆρος ἡμῶν ἐν τούτοις

105. "Γίνεται δὲ κατ' ἐκεῖνον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τἀληθῆ σεβομένων. καὶ πολλοὺς μὲν τοῦ Ἰουδαϊκοῦ, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. ὁ Χριστὸς οὗτος ἦν· καὶ αὐτὸν ἐνδείξει τῶν παρ' ἡμῖν ἀρχόν- c των σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες. 106. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν [81] ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ εἰρηκότων. ὅθεν εἰσέτι νῦν ἀπὸ τοῦδε τῶν Χριστιανῶν οὐκ ἐπέλιπε τὸ φῦλον."

107. Εἰ τοίνυν καὶ κατὰ τὸν ἱστορικὸν μαρτυρεῖται οὐ μόνον τοὺς δώδεκα ἀποστόλους οὐδὲ τοὺς ἑβδομήκοντα μαθητὰς ἐξῳκειωμένος, ἀλλὰ πολλοὺς μὲν τοῦ Ἰουδαϊκοῦ, πολλοὺς δὲ τοῦ Ἑλληνικοῦ προσαγόμενος, δῆλος ἂν εἴη περιττόν τι κεκτημένος παρὰ τοὺς λοιποὺς ἀνθρώπους. 108. πῶς γὰρ ἂν ἄλλως προσήγετο τοῦ Ἰουδαϊκοῦ καὶ τοῦ Ἑλληνικοῦ πλείους, d εἰ μή τισι θαυμαστοῖς καὶ παραδόξοις ἔργοις καὶ ξενιζούσῃ κέχρητο διδασκαλίᾳ; μαρτυρεῖ δὲ καὶ ἡ τῶν Πράξεων τῶν ἀποστόλων γραφή, ὅτι πολλαὶ μυριά-

δες ἦσαν Ἰουδαίων ἀνδρῶν πεπεισμένων αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ θεοῦ, τὸν ὑπὸ τῶν προφητῶν κατηγγελμένον. καὶ ἡ ἱστορία δὲ κατέχει ὡς καὶ μεγίστη τις ἦν ἐκκλησία Χριστοῦ ἐν τοῖς Ἱεροσολύμοις ὑπὸ Ἰουδαίων συγκροτουμένη μέχρι τῶν χρόνων τῆς κατ' Ἀδριανὸν πολιορκίας. 109. λέγονται γοῦν οἱ πρῶτοι κατὰ διαδοχὴν προστάντες αὐτόθι ἐπίσκοποι Ἰουδαῖοι γεγονέναι, ὧν καὶ τὰ ὀνόματα εἰσέτι νῦν παρὰ τοῖς
(125) ἐγχωρίοις μνημονεύεται· ὡς καὶ ἐκ τούτων λελύσθαι πᾶσαν τὴν κατὰ τῶν μαθητῶν αὐτοῦ διαβολήν, ὅτε καὶ πρὸς αὐτῶν καὶ δίχα τῆς αὐτῶν μαρτυρίας μυρία ὁμολογεῖται πλήθη Ἰουδαίων τε καὶ Ἑλλήνων αὐτὸς Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ δι' ὧν ἐπετέλει παραδόξων ἔργων ὑφ' ἑαυτὸν πεποιημένος.

110. Ἀλλὰ τούτων ἡμῖν ἐπὶ τοσοῦτον εἰρημένων πρὸς τὸ πρῶτον τῶν ἀπίστων τάγμα, φέρε καὶ πρὸς τὸ δεύτερον στῖφος ἐνστῶμεν. τοῦτο δὲ ἦν τὸ τῶν
b συνομολογούντων μὲν τὸν Ἰησοῦν τὰ παράδοξα πεποιηκέναι, γοητείᾳ δὲ ἄλλως ἐπὶ πλάνῃ τῶν ὁρώντων, οἷα θαυματουργὸν ἢ φαρμακέα τινα, θαυμαστῶσαι τοὺς παρόντας.

VI. Καὶ δὴ τούσδε πρῶτον ἁπάντων ἐρωτητέον τίνα φαῖεν πρὸς τὰ προωδευμένα; ἆρα γὰρ ἐπινοῆσαι δυνατὸν, ἄνδρα διδάσκαλον σεμνῆς καὶ παναρέτου πολιτείας, ὑγιῶν τε καὶ ἀληθῶν δογμάτων, οἵων προδιήλθομεν, γόητα τὸν τρόπον γεγονέναι; εἰ δὲ δὴ μαγγανευτής τις ἦν καὶ φαρμακεὺς, ἀπατεών τε καὶ
c γόης, πῶς ἂν τοιαύτης διδασκαλίας πᾶσι τοῖς ἔθνεσι κατέστη αἴτιος, οἵας αὐτοῖς ὁρῶμεν ὀφθαλμοῖς καὶ ἀκοαῖς εἰς δεῦρο παραλαμβάνομεν; ποῖος δὲ καὶ αἱρήσεται τὰ ἀσύνακτα συνάγειν; γόης μὲν γάρ τις ὡς ἀληθῶς ἀνόσιος καὶ μιαρὸς τὸν τρόπον, ἀπειρημένοις

καὶ ἀνοσίοις ἐγχειρῶν, πάντα πράττει αἰσχροῦ καὶ ῥυπαροῦ κέρδους χάριν. 2. μή τι οὖν καὶ ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς, ὁ Χριστὸς τοῦ θεοῦ, τοιοῖσδέ τισιν ἔνοχος ἦν; πόθεν, ἢ πῶς, ὁ τοῖς ἑαυτοῦ μαθηταῖς, ὡς πρὸς αὐτῶν μεμαρτύρηται, εἰρηκὼς d
"μὴ κτήσησθε χρυσὸν μηδ' ἄργυρον εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδὸν, μηδ' ὑποδήματα;" πῶς δ' ἂν ἐπείθοντο λέγοντι καὶ ἐν ἀπομνημονεύμασιν ἐγγράφοις ταῦτα παραδιδόναι ἠξίουν, εἰ χρηματιζόμενον τὸν διδάσκαλον ἑώρων καὶ τἀναντία οἷς ἑτέρους ἐδίδασκε μετιόντα; 3. πάλαι δ' ἂν καταγελάσαντες αὐτοῦ καὶ τῶν λόγων καταπτύσαντες ἀνεχώρησαν τῆς μαθητείας εἰκότως, εἰ αὐτοῖς μὲν τοιαῦτα σεμνῶς νομοθετοῦντα ἑώρων, αὐτὸν δὲ τὸν νομοθέτην κατ' οὐδένα τρόπον ἑπόμενον τοῖς οἰκείοις λόγοις. 4. πάλιν ὁ μὲν γόης καὶ ὡς ἀληθῶς πλάνος τοῖς ἀπειρημένοις καὶ τοῖς ἀνοσίοις ἑαυτὸν ἐπιδίδωσιν ἀνοσίων (126)
καὶ ἀθεμίτων ἡδονῶν ἕνεκεν θήρας, ὥστε ἤδη διὰ τὰς μαγγανείας γύναιά τινα καταβάλλειν καὶ ὑποσύρειν τῇ αὐτοῦ κακίᾳ· ὁ δὲ σωτὴρ καὶ κύριος ἡμῶν [82]
οὐδ' ἔστιν εἰπεῖν ὅπως ἀνέστραπται περὶ σωφροσύνην, ὁπότε πάλιν οἱ μαθηταὶ μαρτυροῦσι παραινεῖν μηδ' ἐμβλέπειν γυναικὶ μετ' ἐπιθυμίας ἀκολάστου, φήσαντα "ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ." 5. καί ποτε ἀναγκαίως ἐπὶ ὠφελείᾳ καὶ σωτηρίᾳ πολλῶν Σαμαρείτιδι γυναικὶ διαλεγόμενον b
αὐτὸν τεθεαμένοι ἐθαύμαζον, ὅτι μετὰ γυναικὸς ἐλάλει, παράδοξόν τι τοῦτο δόξαντες ὁρᾶν, ὥσπερ οὔπω

6 Matth. 10, 10. 24 Matth. 5, 27.

καὶ ἄλλοτε πρότερον. συνίστη δὲ ἄρα ὁ λόγος τοῦ
σωτῆρος ἡμῶν τὸ ἐμβριθὲς καὶ αὐστηρὸν τοῦ τρόπου·
σωφροσύνης δὲ αὐτοῦ μέγα δεῖγμα ἦν κἀκείνη ἡ δι-
δασκαλία, δι' ἧς ἁγνεύειν ἐξ αὐτοῦ τοῦ τῆς διανοίας
βάθους τὰς ἐμπαθεῖς ὀρέξεις ἀποτέμνοντας ἐδίδασκε
λέγων "εἰσὶν εὐνοῦχοι οἵτινες ἐγεννήθησαν οὕτως,
καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ ἀν-
θρώπων, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυ-
c τοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν." 6. πάλιν ὁ
μὲν γόης καὶ ἀληθῶς λαοπλάνος πάντα ἐγχειρεῖ καὶ
πράττει δοξοκοπῶν τὰ πολλὰ καὶ φαντασιοκοπῶν, καὶ
πλέον τι παρὰ τοὺς πολλοὺς εἰδέναι καὶ ἔχειν μεγα-
λαυχούμενος· ὁ δὲ σωτὴρ καὶ κύριος ἡμῶν, ὅτι μὴ
δοξομανὴς καὶ ἀλαζὼν καὶ φαντασιοκόπος ἦν, ἀφ'
ὧν ἰώμενος παρῄνει μηδενὶ φράζειν μηδὲ εἰς πολ-
λοὺς αὐτὸν ἐκφαίνειν, γένοιτ' ἂν ἔκδηλος ἀπό τε τοῦ
τὰς ἐν ὄρεσι διατριβὰς καὶ τὰς ἀναχωρήσεις διώκειν
d καὶ φεύγειν τὰς κατὰ πόλεις τῶν πολλῶν ἐπιβλαβεῖς
ὁμιλίας. 7. εἰ μήτε τοιγαροῦν δόξης μήτε χρημά-
των μήτε ἡδονῆς ἕνεκεν ἐπιβέβλητο τῇ διδασκαλίᾳ,
τίς ἔτι χώρα περιλείπεται ὑπονοίας τοῦ πλάνον αὐ-
τὸν καὶ γόητα νομίζειν; σκέψαι δὲ καὶ ταῦτα πάλιν·
γόης, ὅταν ἑτέροις τὰ τῆς κακίας μεταδιδῷ, ὁποίους
ἄνδρας κατασκευάζει· ἆρ' οὐχὶ γόητας καὶ πλάνους
καὶ φαρμακέας αὐτῷ κατὰ πάντα παραπλησίους; τίς
οὖν ἤδη πώποτε τὸ πᾶν Χριστιανῶν γένος ἐκ τῆς
ἐκείνου διδασκαλίας γοητεῦον ἢ φαρμακεῦον κατεί-
(127) ληφεν; 8. ἀλλ' οὐκ ἔστιν εἰπεῖν, ἔμπαλιν δὲ λόγους
φιλοσόφους μετιόν, ὡς ἀποδέδεικται. ὁ δὴ οὖν ἑτέ-
ροις σεμνοῦ καὶ σώφρονος βίου εὐσεβείας τε τῆς

---

6 Matth. 19, 12.

ἀνωτάτω παραίτιος γεγενημένος τίς ἂν ἐνδίκως νομισθείη ἢ φιλοσόφων ὁ πρώτιστος καὶ εὐσεβῶν ἀνδρῶν διδάσκαλος; καὶ γὰρ ἂν εἴη βελτίων δή που πᾶς ὁ διδάσκων τῶν μαθητευομένων· φιλόσοφος ἄρα καὶ ἀληθῶς εὐσεβὴς, πολλοῦ δεῖ πλάνος καὶ γόης, ὁμολογοῖτ᾽ ἂν ὁ σωτὴρ καὶ κύριος ἡμῶν. 9. εἰ δὴ οὖν τοιόσδε τις ἦν, πῶς ἂν ἄλλως ἐπεχείρει ταῖς θαυμα- b τουργίαις ἢ θείᾳ καὶ ἀπορρήτῳ δυνάμει καὶ τῇ ἀνωτάτω περὶ τοῦ τῶν ὅλων θεοῦ εὐσεβείᾳ, ὃν οἷα πατέρα τιμῶν καὶ σέβων τὰ μάλιστα ἀποδείκνυται ἐκ τῶν περὶ αὐτοῦ λόγων; ἐπὶ τοσοῦτον δὲ ἄρα οἵ τε ἀρχῆθεν αὐτῷ προσεσχηκότες μαθηταὶ αὐτοῦ καὶ οἱ μετὰ ταῦτα τῆς ἐκείνων διατριβῆς διάδοχοι, πορρωτάτω καθεστήκεσαν φαύλης καὶ πονηρᾶς ὑπονοίας, ὡς μηδὲ τοῖς νοσηλευομένοις ἐπιτρέπειν, οἷα πολλοὶ πολλὰ δρᾶν ἐπιχειροῦσιν, ἢ πετάλων ἐπιγραφαῖς καὶ c περιάμμασι χρῆσθαι, ἢ τοῖς κατεπᾴδειν ἐπαγγελλομένοις προσέχειν τὸν νοῦν, ἢ ῥιζῶν καὶ βοτανῶν θυμιάμασι καί τισιν ἄλλοις τοιουτοτρόποις ἀκέσεις τῶν παθῶν ἑαυτοῖς πορίζειν. 10. ταῦτα γοῦν πάντα τῆς Χριστοῦ διδασκαλίας ἐξελήλαται, οὐδ᾽ ἔστιν πώποτε Χριστιανὸν περιάμματι χρώμενον θεάσασθαι, οὐδ᾽ ἐπιλαλιαῖς, ἢ πετάλων τινῶν περιέργων ἐπιγραφαῖς, οὐδ᾽ ἄλλοις, ὧν τὴν χρῆσιν ἀδιάφορον οἱ πολλοὶ νενομίκασι. 11. τίς οὖν αἱρεῖ λόγος τοὺς τοιοῦδε διδα- [83] σκάλου γόητος καὶ πλάνου μαθητὰς γεγονέναι νομίζειν; καὶ μὴν παντὸς ἐπαγγελλομένου τι μέγας ἔλεγχος d ἡ τῶν φοιτητῶν συνουσία. 12. ἄνδρες γοῦν ἔντεχνοι καὶ ἐπιστήμονες πάντως που τὸν αἴτιον αὐτοῖς τῆς ἐπιστήμης πολὺ κρείττονα σφῶν αὐτῶν ἀποφαίνουσιν, ὥσπερ οὖν ἰατρικοὶ μὲν τῆς τοῦ διδασκάλου περὶ τὸ μάθημα κατορθώσεως εἶεν ἂν μάρτυρες, γεωμε-

τρικοὶ δὲ τὸν ἄρχοντα τίνα ἄλλον ἢ γεωμέτρην ἐπιγράψονται καὶ ἀριθμητικοὶ τὸν ἀριθμητικόν; κατὰ τὰ αὐτὰ δὲ καὶ γόητος ἀνδρὸς μέγιστοι ἂν εἶεν μάρτυρες οἱ φοιτηταί, τὰ ὅμοιά που τῷ διδασκάλῳ καὶ
(128) αὐτοὶ μετιόντες. 13. ἀλλὰ οὐδείς πω τοσούτων ἐτῶν γόης πέφανται τοῦ Ἰησοῦ μαθητής, καίτοι διὰ βασάνων πείρας τῶν κατὰ χρόνους ἡγεμόνων τε καὶ βασιλέων ἀκριβῆ τῶν καθ᾽ ἡμᾶς πραγμάτων τὴν ἐξέτασιν πεποιημένων. 14. οὕτως δὲ ἄρα οὐδεὶς ἦν γόης, ὡς ἐλεύθερον ἀφεῖσθαι καὶ παντὸς ἐκτὸς κινδύνου τὸν αὐτὸ μόνον τὸ θῦσαι πρὸς αὐτῶν βεβιασμένον. εἰ δὲ οὐδεὶς πώποτε τῶν καθ᾽ ἡμᾶς οὔτε τῶν παλαιῶν ἐκείνων τοῦ Ἰησοῦ μαθητῶν γοητείας ἥλω, οὐδὲ ὁ
b διδάσκαλος ἦν ἄρα τοιοῦτος. ἵνα δὲ μὴ ἐξ ἀγράφων ὁ λόγος ἡμῖν ὁδεύοι, δέχου τὰς ἀποδείξεις καὶ ἀπὸ ἱστορίας ἐγγράφου. 15. οἱ δὴ πρῶτοι τοῦ Ἰησοῦ μαθηταὶ ἐν τῇ βίβλῳ τῶν ἰδίων Πράξεων ἱστοροῦνται τοὺς ἐξ ἐθνῶν τῇ διδασκαλίᾳ αὐτῶν προσιόντας* * ὥστε πολλοὺς τῶν πρότερον περὶ γοητείαν διαβεβλημένων εἰς τοσοῦτον μεταβαλεῖν τὸν ἑαυτῶν τρόπον ὡς εἰς μέσον ἀγαγεῖν τολμῆσαι τὰς ἀπηγορευμένας βίβλους, καὶ ταύτας ἐνώπιον πάντων πυρὶ παραδοῦναι. 16. ἐπάκουσον δὲ ὅπως ἡ γραφὴ περιέχει "ἱκανοὶ δὲ τῶν
. τὰ περίεργα πραξάντων συνεισενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε."

17. Τοιοῦτοι δή τινες οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταὶ τοσαύτην δύναμιν προφέροντες λόγων ἐν ταῖς πρὸς τοὺς ἀκροωμένους ὁμιλίαις, ὡς καθικνεῖσθαι

23 Act. 19, 19.

τοῦ βάθους τῆς ψυχῆς αὐτῶν, καθάπτεσθαί τε καὶ τιτρώσκειν τὸ ἑκάστου συνειδὸς, ὡς μηκέτι στέγειν ἀποκρύπτοντας, εἰς φανερὸν δὲ ἄγειν τὰ ἀπόρρητα, d ἐλέγχους τε αὐτοὺς ἑαυτῶν καὶ τῆς προτέρας αὐτῶν μοχθηρίας ἀπεργάζεσθαι. 18. τοιοῦτοι δὲ καὶ οἱ πρὸς αὐτῶν μαθητευόμενοι καθαροὶ καὶ γνήσιοι τὰς διαθέσεις, ὡς μηδὲν ὕπουλον ἐν αὐτοῖς λανθάνειν, ἐνσεμνύνεσθαι δὲ καὶ παρρησιάζεσθαι ἐπὶ τῇ τῶν κρειττόνων ἀπὸ τῶν χειρόνων μεταβολῇ. 19. οἱ δὴ οὖν πυρὶ παραδόντες τὰς μαγικὰς βίβλους καὶ παντελῆ φθορὰν αὐτῶν ψηφισάμενοι πῶς οὐκ ἂν εἶεν πρόδηλοι τοῖς πᾶσιν ὅτι μηδεμίαν ἔχοιεν τοῦ λοιποῦ περὶ γοητείαν σπουδὴν, καθαροὶ δὲ ἐξ ἐκείνου πάσης τῆς περὶ τούτου ὑπονοίας ἐτύγχανον; ὅτε τοίνυν οἱ μαθηταὶ τοῦ σωτῆρος ἡμῶν πεφήνασι γεγονότες τοιοῦτοι, πῶς οὐ πολὺ πρότερον ὁ διδάσκαλος; 20. εἰ δὲ ὅλως (120) ἀπὸ τῶν γνωρίμων τὸν προστάτην ὁποῖός τις ἦν βούλει διαγιγνώσκειν, ἔχεις τοῦ Ἰησοῦ τῶν λόγων μαθητὰς εἰσέτι νῦν μυρίους, ὧν πλεῖστα μὲν ἀνδρῶν τυγχάνει πλήθη παραταξαμένων μὲν πρὸς τὰς φυσικὰς τοῦ σώματος ἡδονὰς, ἄτρωτον δὲ καὶ τὴν διάνοιαν παντὸς αἰσχροῦ πάθους φυλαξάντων, οἳ καὶ τὸν πάντα βίον ἐν ἐγκρατείᾳ καταγηράσαντες τῆς ἐκ τῶν λόγων αὐτοῦ τροφῆς λαμπρὰ τεκμήρια παρεστήσαντο. 21. οὐ μόνον δὲ ἄνδρες παρὰ αὐτῷ τοῦτον φιλοσοφοῦσι τὸν τρόπον, ἀλλὰ καὶ γυναικῶν οὐδ᾽ ἔστιν εἰπεῖν ὅσαι μυριάδες καθ᾽ ὅλης τῆς οἰκουμένης, b οἷά τινες ἱέρειαι τοῦ τῶν ὅλων θεοῦ, τὴν ἀνωτάτω σοφίαν ἀσπασάμεναι, οὐρανίου τε σοφίας ἔρωτι λη- [81] φθεῖσαι, τῶν μὲν σαρκὸς ἐκγόνων ἠλόγησαν, ψυχῆς δὲ πᾶσαν ἐπιμέλειαν πεποιηκυῖαι ὅλας αὐτὰς αὐτῷ σώματι καὶ ψυχῇ τῷ παμβασιλεῖ καὶ θεῷ τῶν ὅλων

ἀνατεθείκασιν, ἁγνείαν παντελῆ καὶ παρθενίαν ἀσκήσασαι. 22. ἕνα μὲν οὖν μηλόβοτον καταλιπόντα τὴν ἑαυτοῦ χώραν προφάσει φιλοσοφίας ἄγουσιν ὧδε κἀ- c κεῖσε περιφέροντες Ἑλλήνων παῖδες· Δημόκριτος αὐτοῖς οὗτος ἦν. καὶ Κράτης εἷς παρ᾽ αὐτοῖς θαυμάζεται, ὅτι δὴ τὴν οὐσίαν καταλιπὼν τοῖς πολίταις αὐτὸς ἑαυτὸν Κράτης Κράτητα ἠλευθέρου κομπάζων. 23. οἱ δὲ τῶν Ἰησοῦ λόγων ζηλωταὶ μυρίοι τὸν ἀριθμὸν, ἀλλ᾽ οὐχ εἷς οὐδὲ δύο, τὰς κτήσεις ἀπεμπολήσαντες πένησι καὶ ἐνδεέσι μεταδεδώκασιν, ὧν καὶ αὐτοὶ τυγχάνομεν μάρτυρες συγγενόμενοι τοιούτοις, καὶ αὐτοῖς ἔργοις, ἀλλ᾽ οὐ λόγοις μόνοις τῆς τοῦ Ἰησοῦ μαθητείας συνιδόντες τὰ κατορθώματα. 24. τί d χρὴ λέγειν ὁπόσαι μυριάδες καὶ αὐτῶν βαρβάρων, οὐχὶ δὲ μόνον Ἑλλήνων, ἐκ τῶν Ἰησοῦ λόγων πᾶσαν μὲν ὑπερεκκῦψαι πολύθεον πλάνην, τὸν δὲ πατέρα καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς μόνον εἰδέναι θεὸν ἐμαρτύρησαν; ὃν πάλαι φιλοσόφων εἷς μόνος ὁ Πλάτων εἰδὼς εἰς πάντας ἐκφέρειν ὡμολόγει μὴ τολμᾶν, διαρρήδην φάσκων "τὸν μὲν οὖν πατέρα καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν." 25. ἀλλὰ ἐκείνῳ μὲν καὶ ἔργον εὑρεῖν ἐδόκει τὸ πρᾶγμα, καὶ ἦν ὡς ἀλη- (130) θῶς μέγιστον, ἀδύνατον δὲ ἦν αὐτῷ λέγειν εἰς πάντας, ὅτι μὴ παρῆν αὐτῷ τοσαύτη τις εὐσεβείας δύναμις ὅση τοῖς Ἰησοῦ μαθηταῖς, οἷς διὰ τῆς τοῦ διδασκάλου συνεργίας τὸν πατέρα καὶ δημιουργὸν τῶν ὅλων εὑρεῖν τε καὶ γνῶναι ῥᾴδιον γέγονε, καὶ εὑροῦσιν εἰς πᾶν γένος ἀνθρώπων ἐξενεγκεῖν ἀνακαλύψαι τε καὶ πληρῶσαι καὶ κηρῦξαι τὴν γνῶσιν πᾶσιν, ὥστε ἐκ τῆς αὐτῶν ἐκείνων διδασκαλίας εἰσέτι νῦν κατὰ τὸν παρόντα καιρὸν ἐν ὅλοις τοῖς ἐπὶ γῆς ἔθνεσι

μυρία πλήθη οὐ μόνον ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν
καὶ παίδων, οἰκετῶν τε καὶ ἀγροίκων, τοσοῦτον τῷ
τοῦ Πλάτωνος μὴ πείθεσθαι, ὡς τὸν ποιητὴν καὶ
δημιουργὸν τοῦδε τοῦ παντὸς μόνον θεὸν γνωρίζειν b
καὶ μόνον σέβειν καὶ μόνον διὰ τοῦ Χριστοῦ θεο-
λογεῖν. ταῦτ' ἦν τοῦ νέου καὶ καινοῦ γόητος τὰ κα-
τορθώματα, τοιαῦτα τοῦ νομιζομένου πλάνου τὰ γοη-
τεύματα, καὶ τοιοίδε οἱ τοῦ Ἰησοῦ μαθηταὶ, ἀφ' ὧν
δεῖ τὸν διδάσκαλον ὁποῖός τις ἦν γνωρίζειν.
26. Φέρε δ' ἔτι καὶ ταύτῃ τὸν λόγον διερευνη-
σώμεθα. γόητα φῂς αὐτὸν, ὦ οὗτος, ἀλλὰ καὶ φαρ-
μακέα δεινὸν καὶ ἀπατεῶνα καλεῖς. ἆρ' οὖν πρῶτος
αὐτὸς καὶ μόνος εὑρετὴς κατέστη τοῦ πράγματος, ἢ
πάντως που κατὰ τὸ ἀκόλουθον εἰς διδασκάλους ἀνα- c
πέμπειν χρὴ τὰ αἴτια; εἰ μὲν γὰρ μηδενὸς διδάξαν-
τος αὐτὸς πρῶτος καὶ μόνος εὑρετὴς γέγονε τῆς ἐπι-
χειρήσεως, μηδὲν μηδαμῶς παρ' ἑτέρων μαθὼν, μη-
δὲ ἐκ παλαιῶν ἐρανισάμενος, πῶς οὐ θείας φύσεως
χρῆν ὁμολογεῖν αὐτὸν, ὃς ἂν ἄνευ βίβλων καὶ λόγων
καὶ διδασκάλων αὐτοδίδακτος καὶ αὐτομαθὴς τοιού-
των πραγμάτων εὑρετὴς ἀναπέφηνεν; καὶ μὴν οὔτε
βαναύσου τέχνης οὔτε λογικῆς ἐπιστήμης, οὐδέ γε
τῶν πρώτων στοιχείων τὴν μάθησιν δίχα ποδηγοῦ
καὶ διδασκάλου τινὸς ἀναλαβεῖν δυνατὸν, μὴ οὐχὶ d
τὴν κοινὴν ἐκβεβηκότα φύσιν. 27. οὐδεὶς γοῦν τῶν
πώποτε αὐτοδίδακτος ἡμῖν γραμματικῆς παρῆλθε δι-
δάσκαλος, οὐδέ γε ῥήτωρ μὴ μεμαθηκὼς, οὐδὲ αὐτο-
φυὴς ἰατρὸς, οὐδὲ τέκτων, οὐδ' ἑτέρας δημιουργὸς
τέχνης· καίτοι μικρὰ ταῦτα καὶ ἀνθρώπεια· τὸ δὲ
φάναι τὸν τῆς ἀνθρώπων εὐσεβείας ἀληθοῦς διδά-
σκαλον τοιαῦτα τεθαυματουργηκότα καθ' ὃν ἐπεδή- [illegible]
μει τῷ βίῳ χρόνον, καὶ τοιαύτας παραδόξους τερα-

ότα, ἃς ἀρτίως διεξήλθομεν, ἐκ τοῦ οῦτον φῦναι, μήτε παρὰ παλαιῶν ἐρα- ' ἐκ νέων διδασκάλων ὠφελημένον τὰ αὐτοῦ πεποιηκότων, τί ἄλλο ἢ μαρτυ- καὶ ὁμολογούντων θεῖον ἀληθῶς χρῆμα ι πᾶσαν ἀνθρώπου φύσιν ὑπερβεβηκέ- μενον; 28. ἀλλὰ διδασκάλοις αὐτὸν φὴς πλάνοις, μηδὲ λαθεῖν αὐτὸν τὰ σοφὰ ον καὶ τῶν πάλαι παρ' αὐτοῖς λεγομέ- ητα, παρ' ὧν συλλεξάμενον ἄνδρα τοι- λόγος παρίστησιν, ἀποδειχθῆναι. τί τινες ἄλλοι κρείττους αὐτοῦ πεφήνασι τῷ χρόνῳ καὶ αὐτοῦ διδάσκαλοι, εἴτ' εἴθ' ὅπη δή; 29. τί οὖν οὐχὶ κἀκεί- τούτου κατηγορίας ἔφθασεν εἰς πάντας φήμη, ἢ τί μὴ οὐχὶ κἀκείνων εἰσέτι ᾄδεται τῷ ἡμετέρῳ παραπλησίως; τίς ῶνος πώποτε γόης, βάρβαρος ἢ Ἕλλην, έστη διδάσκαλος φοιτητῶν καὶ τοιού- ι λόγων αὐθέντης, οἵων ἡ τοῦ σωτῆρος κται δύναμις, ἰάσεις δὲ τοσάσδε καὶ ὐεργεσίας τοιάσδε, οἵας ὁ ἡμέτερος πε- ιονεύεται, τίς πώποτε διαπραξάμενος). τίνος δὲ οἱ γνώριμοι καὶ τῶν πραγμά- διὰ πυρὸς καὶ σιδήρου δοκιμῆς τὴν τύρησαν ἀλήθειαν ἐπιστώσαντο ὥσπερ ωτῆρος ἡμῶν μαθηταί, πάσας μὲν αἰκίας πάσας δὲ βασάνων ἰδέας ὑπομείναντες, τοῦ ἰδίου αἵματος τὰ περὶ αὐτοῦ μαρ- τοῖς πιστωσάμενοι; 31. ἔτι πρὸς τούτοις ντίας ἡμῖν λόγῳ παριστάμενος λεγέτω οτε γοήτων κἂν εἰς νοῦν ἐβάλλετο νέου

… τε καί πο…
… ἐμάχους τε κ…
… τίς πώποτ…
… καὶ κύριος ἡμῶν …
… ἐπιχειρῆσαι· ἀλλ…
… δέ. 32. ἑνὶ δὲ…
… τοῖς ἑαυτοῦ μαθ…
… πάντα τὰ ἔθνη ἐν τ…
… τηρεῖν πάντα …
… τῷ λόγῳ, αὐ…
… γένος Ἑλλήνων …
… τοῖς ἔθνεσι κατεσ…
… δεισιδαιμονία, νόμο…
… ἐχθροὶ πολυθέου πλάν…
… καὶ τῶν ἄλλων βαρβα…
… τε πάσης ἐκθέσμου κ…
… ἐξ αἰῶνος παρ' αὐτοῖ…
… καινῆς δὲ καὶ ἀληθ…
… 33. τί δῆτα οὖν τοῖς π…
… Ἰησοῦ χρόνων, ἢ καὶ μετὰ …
… παραπλήσιον τετόλμηται, ὡς …
… παρ' ἑτέρων ὠφελῆσθαι τὰ τ…
… ἂν τις ἔχοι λέγειν αὐτῷ …
… γὰρ ἦν αὐτῷ αἴτιος τῆς τοσαύ…
… ὁμολογεῖν ξένην τινὰ καὶ …

Matth. 28, 19.

ἔθνους ἐπὶ οἰκείῳ ὀνόματι σύστασιν ποιήσασθαι. τὸ δὲ μὴ μόνον ἐννοῆσαι τοῦτο, ἀλλὰ καὶ κατορθῶσαι τὸ βουληθὲν, πῶς οὐ πᾶσαν ἀνθρώπου καλύπτοι ἂν φύσιν; βασιλέων δὲ δόγμασι καὶ παλαιῶν νομοθετῶν φιλοσόφων τε καὶ ποιητῶν καὶ θεολόγων ἐξ ἐναντίας θέσθαι νόμους τοὺς κατ᾽ εἰδωλολατρίας, καὶ τούτους κρατῦναι, ἀμάχους τε καὶ ἀηττήτους εἰς μακρὸν ἐπιδεῖξαι αἰῶνα, τίς πώποτε γοήτων διανενόηται; ὁ δὲ σωτὴρ καὶ κύριος ἡμῶν οὐκ ἐνενόησε μὲν, οὐ τετόλμηκε δὲ ἐπιχειρῆσαι· ἀλλ᾽ οὐδὲ ἐπεχείρησε μὲν, οὐ κατώρθωσε δέ. 32. ἑνὶ δὲ ῥήματι καὶ μιᾷ φωνῇ φήσας πρὸς τοὺς ἑαυτοῦ μαθητὰς "πορευθέντες μαθητεύσατε (132) πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν," ἔργον ἐπῆγε τῷ λόγῳ, αὐτίκα τε ἐμαθητεύετο ἐν ὀλίγῳ πᾶν γένος Ἑλλήνων ὁμοῦ καὶ βαρβάρων, καὶ νόμοι πᾶσι τοῖς ἔθνεσι κατεσπείροντο ἐναντίοι τῇ τῶν παλαιῶν δεισιδαιμονίᾳ, νόμοι δαιμόνων πολέμιοι καὶ πάσης ἐχθροὶ πολυθέου πλάνης, νόμοι Σκυθῶν καὶ Περσῶν καὶ τῶν ἄλλων βαρβάρων σωφρονισταί, ἐπιστρεπτικοί τε πάσης ἐκθέσμου καὶ θηριώδους διαίτης, νόμοι τῶν ἐξ αἰῶνος παρ᾽ αὐτοῖς Ἕλλησιν ἐθῶν ἀνατρεπτικοί, (b) καινῆς δὲ καὶ ἀληθοῦς εὐσεβείας καταγγελτικοί. 33. τί δῆτα οὖν τοῖς πάλαι γόησι πρὸ τῶν τοῦ Ἰησοῦ χρόνων, ἢ καὶ μετὰ ταῦτα, τοιοῦτον ἢ καὶ παραπλήσιον τετόλμηται, ὡς εἰκότως φάναι αὐτὸν παρ᾽ ἑτέρων ὠφελῆσθαι τὰ τῆς γοητείας; εἰ δ᾽ οὐδένα ἂν τις ἔχοι λέγειν αὐτῷ γεγονέναι ὅμοιον, οὐδεὶς γὰρ ἦν αὐτῷ αἴτιος τῆς τοσαύτης ἀρετῆς, ὥρα τοιγαροῦν ὁμολογεῖν ξένην τινὰ καὶ θείαν φύσιν ἐπι-

---

12 Matth. 28, 19.

δεδημηκέναι τῷ βίῳ, ἣ μόνη καὶ πρώτη τὰ μηδεπώ-
c ποτε παρ' ἀνθρώποις μνημονευθέντα κατώρθωται.
[86] ἀλλὰ καὶ ταῦτα μὲν ὧδε τέλος ἐχέτω.

34. Πάλιν δὲ ἐπὶ τὸν δι' ἐναντίας ἰτέον, ἐρωτητέον τε εἴ ποτε ὀφθαλμοῖς εἶδεν ἢ ἀκοῇ ἔγνω γόητάς τε καὶ φαρμακέας δίχα σπονδῶν καὶ θυμάτων καὶ δαιμόνων ἐπικλήσεώς τε καὶ παρουσίας γοητεύοντας. μή τι οὖν καὶ κατὰ τοῦ σωτῆρος ἡμῶν, ἢ κατὰ τῶν αὐτοῦ λόγων, ἢ κατὰ τῶν εἰσέτι νῦν ζηλούντων τὸν αὐτοῦ βίον, ἔχει τις τοιαύτην ἐπιφέρειν διαβολήν; οὐχὶ καὶ τυφλῷ δῆλον ὡς πᾶν τοὐναντίον τούτοις ἡμεῖς οἱ τὰ Ἰησοῦ φρονοῦντες ἐπιτηδεύομεν, θᾶττον μὲν θανάτῳ τὴν ψυχὴν ἢ δαίμοσι θυσίαν
d προέσθαι τολμῶντες, θᾶττον δὲ τῆς ζωῆς ἐξιστάμενοι ἢ τοῖς πονηροῖς δαίμοσι δουλωθῆναι ὑπομένοντες. 35. τίς δὲ οὐκ οἶδεν ὅπως σὺν αὐτῇ τῇ τοῦ Ἰησοῦ προσηγορίᾳ καὶ σὺν εὐχαῖς καθαρωτάταις πᾶν τὸ δαιμόνων ἔργον ἀπελαύνειν ἡμῖν φίλον ἐστίν; οὗτος ὁ τοῦ Ἰησοῦ λόγος καὶ ἡ παρ' αὐτοῦ διδασκαλία πολὺ κρείττους τῆς ἀοράτου ταύτης δυνάμεως πάντας ἡμᾶς ἀπειργάσατο, ἐχθρούς τε δαιμόνων καὶ πολεμίους, ἀλλ' οὐ φίλους οὐδὲ συνήθεις, πολλοῦ δεῖ ὑπηκόους
(133) καὶ ὑποχειρίους εἶναι παρεσκεύασεν. 36. ὁ δὴ τοιούτους ἡμᾶς προαγαγὼν πῶς ἂν αὐτὸς δοῦλος ἐγεγόνει δαιμόνων; πῶς δ' ἂν τοῖς πονηροῖς πνεύμασιν ἔθυσεν; ἢ πῶς βοηθοὺς δαίμονας ἐπεκαλέσατο ἐν ταῖς παραδοξοποιίαις, ὁπότε εἰσέτι δεῦρο πᾶς δαίμων καὶ πᾶν ἀκάθαρτον πνεῦμα, ὥς τι τῶν κολαστικῶν καὶ βασανιστικῶν τῆς οἰκείας φύσεως, τοῦ Ἰησοῦ τὸ ὄνομα φρίττει, ὑπεξίσταταί τε καὶ παραχωρεῖ τῇ τῆς προσηγορίας δυνάμει; 37. ὥσπερ οὖν καὶ πάλαι καθ' ὃν ἐπεδήμει τῷ βίῳ χρόνον, μὴ φέροντες αὐτοῦ

τὴν παρουσίαν, ἄλλος ἄλλοθεν ἐβόα "ἔα, τί ἡμῖν b
καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς;" ἀνὴρ δ' ὅλως γοητείᾳ προσέχων τὸν νοῦν, καὶ πάντως γέ που ἀπειρημένοις πράγμασιν ἐγχειρῶν, ἆρ' οὐκ ἂν εἴη δῆλος ἀνόσιος ὢν τὸν τρόπον, καὶ μιαρὸς καὶ αἰσχρὸς καὶ ἄθεος καὶ ἄδικος καὶ ἀσεβής; τοιοῦτος δὲ ὢν πόθεν ἢ πῶς τὰ περὶ εὐσεβείας διδάξειεν ἂν ἑτέρους, ἢ τὰ περὶ σωφροσύνης, ἢ τὰ περὶ θεοῦ γνώσεως, ἢ τὰ περὶ δικαιωτη- c
ρίου καὶ κρίσεως τοῦ ἐπὶ πάντων θεοῦ; οὐχὶ τούτων ἁπάντων τὰ ἐναντία πρεσβεύει, ἀκόλουθα τῇ αὐτοῦ μοχθηρίᾳ πράττων, καὶ θεὸν μὲν ἀρνήσεται καὶ θεοῦ πρόνοιαν καὶ θεοῦ κρίσιν, χλευάσει δὲ τοὺς περὶ ἀρετῆς καὶ τοὺς περὶ ψυχῆς ἀθανασίας λόγους; 38. εἰ μὲν δὴ τοιαῦτά τινα ἦν ἰδεῖν καὶ περὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν, οὐδὲν ἂν ἦν εἰπεῖν· εἰ δ'
ἐφ' ἑκάστῳ πράγματι καὶ λόγῳ τὸν πάντων δημιουρ- d
γὸν πατέρα θεὸν ἀνακαλούμενος ἀποδείκνυται, καὶ τοὺς φοιτητὰς τοιούτους εἶναι παρασκευάζων, καὶ εἰ σώφρων αὐτὸς καὶ σωφρόνων λόγων διδάσκαλος, καὶ εἰ ποιητὴς καὶ κῆρυξ δικαιοσύνης καὶ ἀληθείας καὶ φιλανθρωπίας καὶ ἀρετῆς ἁπάσης καὶ θεοσεβείας εἰσηγητὴς τοῦ παμβασιλέως θεοῦ, πῶς οὐχ ἕπεται τούτοις τὸ μηδὲν μὲν ἡγεῖσθαι κατὰ γοητείαν αὐτὸν τῶν παραδόξων πεποιηκέναι, δυνάμει δ' ἀπορρήτῳ καὶ ὡς ἀληθῶς ἐνθέῳ συνομολογεῖν; 39. ἀλλ' εἰς τοσοῦτον ἐλαύνεις ἀπηνείας ὡς μὴ λογισμοῖς σώφροσι λόγων τε ἀκολουθίᾳ προσέχειν τὸν νοῦν, μηδὲ πείθεσθαι τοῖς εἰκόσι τεκμηρίοις, ὑπονοῶν τάχα που τοὺς λέγοντας ἡμᾶς. ἀλλὰ σύ γε κἂν τῶν σαυτοῦ

1 Matth. 8, 29.

(134) δαιμόνων, αὐτῶν δὴ τῶν χρησμῳδῶν θεῶν, ἄκουε τῷ
σωτῆρι ἡμῶν οὐχ ὥσπερ σὺ γοητείαν, ἀλλ' εὐσέβειαν
καὶ σοφίαν καὶ εἰς οὐρανοὺς ἄνοδον μαρτυρούντων.
τίς δ' ἂν γένοιτό σοι τούτων ἀξιόπιστος ὁμολογία
μᾶλλον τῆς τοῦ καθ' ἡμῶν πολεμίου γραφῆς, ἣν ἐν
οἷς ἐπέγραψε "Περὶ τῆς ἐκ λογίων φιλοσοφίας" ἐν
τρίτῳ συγγράμματι τέθειται, ὧδέ πως ἱστορῶν κατὰ
[87] λέξιν;

b VII. "Παράδοξον ἴσως δόξειεν ἄν τισιν εἶναι τὸ
μέλλον λέγεσθαι ὑφ' ἡμῶν. τὸν γὰρ Χριστὸν οἱ θεοὶ
εὐσεβέστατον ἀπεφήναντο καὶ ἀθάνατον γεγονότα,
εὐφήμως τε αὐτοῦ μνημονεύουσι." καὶ ὑποβὰς ἐπι-
λέγει "περὶ γοῦν τοῦ Χριστοῦ ἐρωτησάντων εἰ ἔστι
θεὸς [ἡ Ἑκάτη] φησὶν

Ὅττι μὲν ἀθανάτη ψυχὴ μετὰ σῶμα προβαίνει
γιγνώσκεις, σοφίης δὲ τετμημένη αἰὲν ἀλᾶται·
ἀνέρος εὐσεβίῃ προφερεστάτου ἐστὶν ἐκείνη
ψυχή·

c εὐσεβέστατον ἄρα ἔφη αὐτὸν καὶ τὴν ψυχὴν αὐτοῦ,
καθάπερ καὶ τῶν ἄλλων, μετὰ θάνατον ἀπαθανατι-
σθῆναι, ἣν σέβειν ἀγνοοῦντας τοὺς Χριστιανούς.
ἐπερωτησάντων δὲ διὰ τί ἐκολάσθη ἔχρησεν

Σῶμα μὲν ἀδρανέσιν βασάνοις αἰεὶ προβέβληται·
ψυχὴ δ' εὐσεβέων εἰς οὐράνιον πέδον ἵζει."

2. καὶ ἐπιλέγει μετὰ τὸν χρησμὸν ἑξῆς "αὐτὸς οὖν
εὐσεβὴς καὶ εἰς οὐρανούς, ὥσπερ οἱ εὐσεβεῖς, χωρή-
d σας. ὥστε τοῦτον μὲν οὐ βλασφημήσεις, ἐλεήσεις δὲ
τῶν ἀνθρώπων τὴν ἄνοιαν."

3. Ταῦτα καὶ νῦν ὁ Πορφύριος. ἆρ' οὖν ἀπατεὼν οὗτος; κἂν τὰ φίλα σε δυσωπείτω τῶν οἰκείων ῥήματα. ἔχεις τοιγαροῦν τὸν ἡμέτερον σωτῆρα

Ἰησοῦν, τὸν Χριστὸν τοῦ θεοῦ, καὶ παρὰ τοῖς σαυτοῦ ὡμολογημένον οὐ γόητα οὐδὲ φαρμακέα, ἀλλ' εὐσεβῆ καὶ δικαιότατον καὶ σοφὸν καὶ οὐρανίων ἀψίδων οἰκήτορα. 4. ὁ δὴ οὖν τοιοῦτος πῶς ἂν ἄλλως τῶν παραδόξων ἔργων γεγόνει ποιητὴς ἢ δυνάμει θείᾳ, ἣν καὶ τὰ ἱερὰ λόγια μαρτυροῦσιν αὐτῷ, θεοῦ λόγον καὶ θεοῦ δύναμιν τὴν ἀνωτάτω ἐν ἀνθρώπου μορφῇ καὶ σχήματι, μᾶλλον δ' ἐν αὐτῇ σαρκὶ καὶ σώματι κατοικῆσαι, καὶ πᾶσαν τὴν ἐν ἀνθρώποις οἰκονομίαν ἐπιτελέσαι μαρτυροῦντα; 5. καὶ σὺ δ' ἂν αὐτὸς (135) καταμάθοις τὸ ἔνθεον τῆς περὶ αὐτοῦ δυνάμεως, εἰ λογίσαιο τίς ποτε ὢν ἄρα τὴν φύσιν καὶ πηλίκος ἄνδρας εὐτελεῖς ἐξ ἁλιείας καὶ ταπεινοῦ βίου προσοικειωσάμενος, τούτοις κέχρηται διακόνοις ἐπὶ κατορθώσει πράγματος πάντα καλύπτοντος λόγον. 6. διανοηθεὶς γὰρ ὃ μηδεὶς πώποτε νόμους οἰκείους καὶ ξένην διδασκαλίαν εἰς πάντα κατασπεῖραι τὰ ἔθνη, καὶ παντὸς γένους ἀνθρώπων διδάσκαλον εὐσεβείας ἑνὸς τοῦ ἐπὶ πάντων θεοῦ ἑαυτὸν ἀποφῆναι, τοῖς b πάντων ἀγροικοτάτοις καὶ εὐτελεστάτοις ἡγήσατο χρῆσθαι τῆς οἰκείας βουλῆς ὑπηρέταις, εἰκός τινα παραλογώτατα ταῦτα αὐτὸν πεποιηκέναι νομίσαι. 7. πῶς γὰρ οἱ μηδὲ διᾶραι δυνάμενοι στόμα, κἂν ἑνός τινος διδάσκαλοι κατέστησαν, οὐχί γε ἀνδρῶν συλλόγου; πῶς δ' ἂν πλήθει διειλέχθησαν οἱ πάσης ἐκτὸς γεγονότες παιδείας; ἀλλὰ τοῦτ' ἦν ἄρα τὸ τῆς ἐνθέου βουλῆς καὶ τῆς ἐνεργούσης ἐν αὐτοῖς θείας δυνάμεως παραστατικόν. ἀνακαλέσας γοῦν αὐτοὺς τὰ μὲν πρῶτά φησι "δεῦτε, ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων." 8. ἐπειδὴ δὲ λοιπὸν αὐτοὺς c

29 Marc. 1, 17.

ἀκολούθους ἐκτήσατο, ἐμπνεύσας αὐτοῖς δυνάμεως θείας, μένους τε καὶ θάρσους ἐμπλήσας, καὶ δὴ οἷά τις ἀληθῶς θεοῦ λόγος καὶ αὐτὸς θεὸς, τηλικούτων θαυμάτων ποιητὴς, νοερῶν αὐτοὺς καὶ λογικῶν ψυχῶν θηρευτὰς ποιήσας, ἔργον τε ἐπιθεὶς τῇ φωνῇ τῇ "δεῦτε, ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων" φησάσῃ, ὁμοῦ τε ἐργάτας καὶ
[88] διδασκάλους αὐτοὺς εὐσεβείας ἀπειργασμένους ἤδη καὶ εἰς πάντα τὰ ἔθνη διεπέμπετο, κήρυκας ἀναδεί-
8 ξας τῆς αὐτοῦ διδασκαλίας. 9. καὶ τίς οὐκ ἂν ἐξεπλάγη καὶ ἠπίστησεν ἂν εἰκότως τῷ παραδόξῳ τοῦ θαύματος, ὅτε μηδεὶς μὲν τῶν πώποτε ἐν ἀνθρώποις γενομένων διαφανῶν, μὴ βασιλεὺς, μὴ νομοθέτης, μὴ φιλόσοφος, μὴ Ἕλλην, μὴ βάρβαρος, τοιοῦτόν τι διανοηθεὶς ἱστορεῖται, ἀλλ' οὐδ' εἰς φαντασίαν ἐλθὼν τοῦ παραπλησίου; ἀγαπητὸν γὰρ ἑκάστῳ ἦν, εἰ καὶ ἐπὶ μόνης τῆς οἰκείας γῆς τὸ οἰκεῖον ἐπάγγελμα συνεστήσατο, καὶ τοὺς καλῶς ἔχειν φανέντας νόμους κἂν ἐφ' ἑνὸς τοῦ οἰκείου ἔθνους κρατῦναι οἷός τε ἦν·
(136) ὁ δὲ μηδὲν θνητὸν καὶ ἀνθρώπινον διανοηθεὶς ὅρα εἰ μὴ ὡς ἀληθῶς θεοῦ πάλιν προήκατο φωνὴν, αὐτολεξεὶ φήσας τοῖς εὐτελεστάτοις ἐκείνοις αὐτοῦ μαθηταῖς "πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη." 10. καὶ πῶς, εἶπον ἂν οἱ μαθηταὶ τῷ διδασκάλῳ πάντως που ἀποκρινάμενοι, τοῦθ' ἡμῖν ἔσται δυνατόν; πῶς γὰρ Ῥωμαίοις, φέρε, κηρύξομεν; πῶς δὲ Αἰγυπτίοις διαλεχθησόμεθα; ποίᾳ δὲ χρησόμεθα λέξει πρὸς Ἕλληνας, ἄνδρες τῇ Σύρων ἐντραφέντες μόνῃ φωνῇ; 11. Πέρσας δὲ καὶ Ἀρμενίους, καὶ Χαλδαίους, καὶ Σκύθας, καὶ Ἰνδοὺς, καὶ εἴ τινα βαρβάρων γένοιτο

23 Matth. 28, 19.

ἔθνη, πῶς πείσομεν τῶν μὲν πατρίων θεῶν ἀφίστα- b σθαι, ἕνα δὲ τὸν πάντων δημιουργὸν σέβειν; ποίᾳ δὲ λόγων ἱκανότητι θαρσοῦντες ἐπὶ τοῦτο παρελευσόμεθα; ἢ τίς ἡμῖν ἐλπὶς ἔσται τοῦ κατορθώματος ἀντινομοθετεῖν τολμῶσι τοῖς πάντων ἐθνῶν περὶ τῶν οἰκείων θεῶν ἐξ αἰῶνος κειμένοις νόμοις; ἐπὶ ποίᾳ δὲ καὶ δυνάμει περιέσεσθαι ἔστι τοῦ τολμήματος; 12. ταῦτα ἢ φησάντων ἂν κατὰ τὸ εἰκὸς ἢ διανοηθέντων τῶν τοῦ Ἰησοῦ μαθητῶν, μιᾶς προσθήκῃ λέξεως αὐτοῖς ὁ διδάσκαλος λύσιν τῶν ἀπορηθέντων ὑπέθετο, φήσας κατόρθωσιν ἐν τῷ ὀνόματί μου· οὐ c γὰρ δὴ ἁπλῶς καὶ ἀδιορίστως μαθητεῦσαι πάντα τὰ ἔθνη προσέταττεν, μετὰ προσθήκης δὲ ἀναγκαίας τῆς ἐν τῷ ὀνόματι αὐτοῦ. 13. ἐπειδὴ γὰρ ἡ δύναμις τῆς αὐτοῦ προσηγορίας τοιαύτη τις ἦν ὡς φάναι τὸν ἀπόστολον "ὅτι δὴ ἐχαρίσατο αὐτῷ ὁ θεὸς τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων", εἰκότως τῆς τοὺς πολλοὺς λανθανούσης ἐν τῷ ὀνόματι αὐτοῦ δυνάμεως τὴν ἀρετὴν ἐμφαίνων, τοῖς d αὐτοῦ μαθηταῖς ἔφησεν "πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου." 14. εἶτα καὶ θεσπίζει εὖ μάλα ἀκριβῶς τὸ μέλλον, εἰπὼν "δεῖ γὰρ κηρυχθῆναι τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσιν." ὁ δὲ λόγος εἴρητο μὲν ἐν γωνίᾳ γῆς τότε, καὶ οἱ παρόντες ἤκουον μόνοι. πῶς οὖν ἄρα πιστὸς ἦν αὐτοῖς τοῦτο λέγων, εἰ μὴ ἐξ ἑτέρων τῶν ὑπ' αὐτοῦ πεπραγμένων ἐνθέων ἔργων τῆς ἐν τοῖς λόγοις ἀληθείας αὐτοῦ τὴν πεῖραν εἰλήφεσαν; ὅτι γὰρ ἐπίστευσαν λέγοντι συλλογιζομένῳ

---

16 Phil. 2, 9. 23 Matth. 24, 14.

σοι ὁμολογεῖν ἀνάγκη. 15. προστάξαντι γὰρ οὐδεὶς (137) ἠπείθει, ἀλλὰ πειθαρχήσαντες αὐτοῦ τῷ νεύματι κατὰ τὰ παρηγγελμένα πᾶν γένος ἀνθρώπων ἐμαθήτευον, ἐκ τῆς οἰκείας γῆς ἐπὶ πάντα στειλάμενοι τὰ ἔθνη, ἐν ὀλίγῳ τε ἦν ἔργα θεωρῆσαι τοὺς λόγους. κεκήρυκτο γοῦν τὸ εὐαγγέλιον ἐν βραχεῖ χρόνῳ ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον τοῖς ἔθνεσι, καὶ βάρβαροι καὶ Ἕλληνες τὰς περὶ τοῦ Ἰησοῦ γραφὰς πατρίοις χαρακτῆρσιν καὶ πατρίῳ φωνῇ μετελάμβανον. 16. καίτοι τίς οὐκ ἂν ἀπορήσειεν εὐλόγως τίς ἦν ἄρα ὁ τῆς τῶν μαθητῶν τοῦ Ἰησοῦ διδασκαλίας τρόπος; ἆρα b γὰρ εἰς μέσην παρελθόντες πόλιν, ἔπειτ' ἐν ἀγορᾷ [89] στάντες καὶ βοῇ μείζονι χρησάμενοι συνεκάλουν τοὺς παριόντας, κἄπειτα ἐδημηγόρουν; καὶ τίς ἦν ἄρα αὐτοῖς τῆς δημηγορίας ὁ λόγος, ᾧ πεπεῖσθαι εἰκὸς ἦν τοὺς ἀκροωμένους; πῶς δὲ καὶ ἐδημηγόρουν ἄνδρες λόγων ἄπειροι καὶ πάσης ἀμέτοχοι παιδείας; 17. ἀλλὰ μὴν οὐ κατὰ πλῆθος, κατὰ μέρος δὲ τοῖς προστυχοῦσι διελέγοντο. τίσιν οὖν καὶ ὁποίοις ἐχρῶντο λόγοις ἐπὶ πειθὼ τῶν ἀκουόντων, ἐπεὶ μηδὲ μικρὸς c ἦν αὐτοῖς ὁ ἀγών, μὴ ἀρνουμένοις τὸν ἐπονείδιστον θάνατον τοῦ καταγγελλομένου; 18. εἰ μὲν γὰρ τοῦτον ἐπικρυψάμενοι, καὶ μὴ ὁμολογοῦντες εἰς πάντας οἷα καὶ ὁπόσα πέπονθεν ὑπὸ Ἰουδαίων, τὰ σεμνὰ μόνα καὶ ἔνδοξα προσεκόμιζον, (λέγω δὲ τὰς θαυματουργίας καὶ τὰς παραδοξοποιίας αὐτοῦ τάς τε φιλοσόφους διδασκαλίας αὐτοῦ) οὐδ' οὕτως ἦν αὐτοῖς εὐχερὴς ὁ λόγος πρὸς τὸ ποιῆσαι ῥᾳδίως συγκαταθέσθαι τοὺς ἀκούοντας ξενοφωνουμένους, καὶ ἄρτι πρῶτον ἐπακούοντας καινῶν ῥημάτων ὑπ' ἀνδρῶν οὐδὲν ἐπαγομένων ἀξιόπιστον εἰς τὴν τῶν λεγομένων d μαρτυρίαν· πλὴν ἀλλ' ἔδοξεν ἂν πιθανώτερον λέγε-

σθαι τὰ εἰρημένα. 19. νῦν δὲ τοτὲ μὲν τὸν πρεσβευόμενον θεὸν ἐν ἀνθρώπου γεγονέναι σώματι, καὶ οὐδὲν ἄλλο τὴν φύσιν εἶναι ἢ θεοῦ λόγον, διὸ καὶ τοιαύτας τεραστίας δυνάμεις πεποιηκέναι οἷα θεόν· τοτὲ δὲ τούτοις ἐναντίως ὕβρεις αὐτὸν καὶ ἀτιμίας ὑπομεῖναι, καὶ τέλος τὴν αἰσχίστην καὶ τοῖς πάντων ἀνθρώπων κακουργοτάτοις ἐπηρτημένην διὰ σταυροῦ τιμωρίαν, τίς οὐκ ἂν ὡς ἐναντία λεγόντων κατέπτυσεν εἰκότως; 20. τίς δ' οὕτως ἠλίθιος ὑπῆρχεν ὡς εὐχερῶς πιστεῦσαι λέγουσιν ἑωρακέναι μετὰ τὸν θάνατον ἐκ νεκρῶν ἀναβεβιωκότα, τὸν μηδὲ ὅτε ἐν ζῶσιν ἦν ἐπαμῦναι ἑαυτῷ δεδυνημένον; τίς δὲ τοῖς ἰδιώταις καὶ εὐτελέσιν ἐκείνοις ἐπείσθη ποτ' ἂν λέ- (138) γουσι χρῆναι τῶν μὲν πατρῴων θεῶν καταφρονῆσαι, καὶ μωρίαν μὲν τῶν ἐξ αἰῶνος καταγνῶναι πάντων, μόνοις δὲ αὐτοῖς πείθεσθαι καὶ τοῖς ὑπὸ τοῦ σταυρωθέντος παρηγγελμένοις; τοῦτον γὰρ εἶναι τοῦ μόνου καὶ ἐπὶ πάντων θεοῦ μόνον ἀγαπητὸν καὶ μονογενῆ παῖδα. 21. ἐγὼ μὲν οὖν ἐξετάζων παρ' ἐμαυτῷ φιλαλήθως τὸν λόγον οὐδεμίαν πειστικὴν δύναμιν ἐν αὐτῷ, οὐδέ τι σεμνόν, οὐδ' ἀξιόπιστον, ἀλλ' οὐδὲ b πιθανὸν εἰς τὸ κἂν ἕνα τινὰ τῶν ἠλιθίων πεῖσαι δύνασθαι εὑρίσκω. 22. ἀλλὰ πάλιν ἀφορῶν εἰς τὴν τοῦ λόγου δύναμιν ὡς μυρία πλήθη πέπεικεν, καὶ ὡς συνέστησαν μυρίανδροι ἐκκλησίαι πρὸς αὐτῶν ἐκείνων τῶν εὐτελεστάτων καὶ ἀγροίκων τοῦ Ἰησοῦ μαθητῶν, οὐκ ἐν ἀδήλοις που καὶ ἀφανέσι τόποις, ἀλλ' ἐν ταῖς μάλιστα διαπρεπεστάταις πόλεσιν ἱδρυθεῖσαι, ἐπ' αὐτῆς λέγω τῆς Ῥωμαίων βασιλευούσης, ἐπί τε τῆς Ἀλεξανδρέων καὶ Ἀντιοχέων, καθ' ὅλης τε τῆς c Αἰγύπτου καὶ Λιβύης, Εὐρώπης τε καὶ Ἀσίας, ἔν τε κώμαις τε καὶ χώραις καὶ παντοίοις ἔθνεσι, πάλιν

ἐξ ἀνάγκης ἀνατρέχειν ἐκβιάζομαι ἐπὶ τὴν τοῦ αἰτίου ζήτησιν, καὶ συνομολογεῖν μὴ ἄλλως αὐτοὺς κεκρατηκέναι τοῦ τολμήματος ἢ θειοτέρᾳ καὶ ὑπὲρ ἄνθρωπον δυνάμει καὶ συνεργίᾳ τοῦ φήσαντος αὐτοῖς "μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου." 23. τοῦτο δ' οὖν εἰπὼν ἐπισυνῆψεν ἐπαγγελίαν, δι' ἧς ἔμελλον ἐπιθαρρεῖν καὶ προθύμως ἐπιδιδόναι σφᾶς αὐτοὺς τοῖς παρηγγελμένοις. φησὶ γοῦν αὐτοῖς "καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος." ἀλλὰ καὶ πνεύματος αὐτοῖς ἐμπνεῦσαι λέγεται θείου, ἀλλὰ καὶ δύναμιν αὐτοῖς ἔνθεον καὶ παραδοξοποιὸν πεποιηκέναι, τοτὲ μὲν φήσας "λάβετε πνεῦμα ἅγιον," τοτὲ δὲ εἰπὼν "ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαίμονας
[140] *ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε." 24. συνορᾷς τοιγαροῦν καὶ αὐτὸς ὅπως κεκράτηκεν ὁ δι' αὐτῶν λόγος, ἐπεὶ καὶ αὐτῶν ἡ βίβλος τῶν Πράξεων συνῳδὰ τούτοις καὶ σύμφωνα μαρτυρεῖ· ἔνθα ἱστοροῦνται καὶ αὐτοὶ τῇ τῶν παραδόξων ἐνεργείᾳ δι' ὀνόματος τοῦ Ἰησοῦ πρὸς αὐτῶν ἐπιτελουμένῃ τοὺς*
(139) *παρόντας καὶ τοὺς θεωμένους ἐκπλῆξαι. 25. ἐξέπληττον γάρ, ὡς εἰκός, διὰ τῶν ἔργων τοὺς θεωμένους πρότερον· εἶθ' οὕτως προθύμους εἶχον αὐτοὺς ἐπὶ τὸ φιλοπευστεῖν τίς ποτ' ἦν οὗτος οὗ τῇ δυνάμει καὶ προσηγορίᾳ τὸ θαῦμα γέγονεν· εἶτα διδάσκοντες ηὕρισκον τῇ πίστει φθάνοντας τὴν παρ' αὐτῶν διδασκαλίαν. 26. οὐ γὰρ τοῖς λόγοις πεισθέντες, ἀλλὰ τοῖς ἔργοις προκαταληφθέντες ῥᾴδιον ἐποιοῦντο τὴν ἐν τοῖς λόγοις διάθεσιν. λέγονται γοῦν ἤδη τινὲς*

5 Matth. 28, 19. 9 Ib. 20. 13 Jo. 20, 22. Matth. 10, 8.

βουθυσίας καὶ σπονδὰς, ὡς ἂν ἤδη θεοῖς οὖσιν, τοῖς
τοῦ Ἰησοῦ προσαγηοχέναι· καὶ τινὰ μὲν αὐτῶν τὸν b
Ἑρμῆν εἶναι, τινὰ δὲ τὸν Δία νενομικέναι, τοσοῦτον
αὐτῶν τὰς διανοίας ἐξέπληττεν ἡ τῶν παραδόξων
ἔργων ἐπίδειξις. 27. καὶ δὴ οὕτω διακειμένοις πάνθ'
ὅσα περὶ τοῦ Ἰησοῦ κατήγγελλον ἤδη λοιπὸν ἀλη-
θεύειν εὐλόγως ἐνομίζοντο, καὶ τῇ μετὰ τὸν θάνατον
ἀναβιώσει αὐτοῦ οὐχ ἁπλοῖς οὐδ' ἀναποδείκτοις ἐμαρ-
τύρουν λόγοις, δι' αὐτῆς δ' ἐνεργείας ἔπειθον, ζῶν-
τος ἔργα παριστῶντες. 28. εἰ δὲ καὶ θεὸν αὐτὸν καὶ
θεοῦ παῖδα πρὸ τῆς εἰς ἀνθρώπους ἀφίξεως παρὰ c
τῷ πατρὶ τυγχάνοντα κατήγγελλον, καὶ τούτῳ πῶς
οὐκ ἂν προσέθεντο μᾶλλον, τὸ ἐναντίον ἄπιστον εἶναι
καὶ ἀδύνατον ἡγούμενοι εἰκότως, λογισάμενοι μὴ
δύνασθαι θνητῆς ἔργα φύσεως εἶναι νομίζειν τὰ
δρώμενα, ἀλλὰ θεοῦ, κἂν μὴ λέγῃ τις; 29. τοῦτ' ἦν
ἄρα καὶ οὐδὲν ἄλλο τὸ ζητηθὲν αὐτὸ ἐκεῖνο, ὁποίᾳ
δυνάμει περιγεγόνασι τῶν ἐν ἀρχαῖς ἀκροωμένων οἱ
τοῦ Ἰησοῦ μαθηταί, καὶ ὅπως Ἕλληνας ὁμοῦ καὶ βαρ-
βάρους ὡς περὶ λόγου θεοῦ περὶ αὐτοῦ φρονεῖν ἔπει-
σαν, ὅπως τε ἐν μέσαις ταῖς πόλεσιν καὶ ἀνὰ τὰς d
χώρας εὐσεβείας ἑνὸς τοῦ ἐπὶ πάντων θεοῦ συνεστή-
σαντο διδασκαλεῖα. 30. καίτοι τίς οὐκ ἂν θαυμάσειε
πρὸς ἑαυτὸν ἐπιλογισάμενος καὶ ἐνθυμηθεὶς ὡς οὐκ
ἀνθρώπινον ἦν τὸ μηδ' ἄλλοτε ὑπὸ μίαν τὴν Ῥω-
μαίων γενέσθαι τὰ πλεῖστα τῆς οἰκουμένης ἔθνη, ἀλλ'
ἀπὸ τῶν τοῦ Ἰησοῦ χρόνων. 31. ἅμα γὰρ τῇ εἰς ἀν-
θρώπους αὐτοῦ παραδόξῳ ἐπιδημίᾳ καὶ τὰ Ῥωμαίων
ἀκμάσαι συνηνέχθη, τότε πρῶτον Αὐγούστου τῶν
πλείστων ἐθνῶν μοναρχήσαντος, καθ' ὃν Κλεοπάτρας

---

3 Act. 14, 12.

ἁλούσης ἡ κατ' Αἴγυπτον τῶν Πτολεμαίων διαδοχὴ
(140) *λέλυτο· ἐξ ἐκείνου τε καὶ εἰς δεῦρο τὸ ἀπ' αἰῶνος*
καὶ ἀπ' αὐτῆς ὡς εἰπεῖν τῆς πρώτης ἀνθρωπείας συ-
στὰν Αἰγύπτου βασίλειον καθῄρητο. 32. *ἐξ ἐκείνου*
τε καὶ τὸ Ἰουδαίων ἔθνος Ῥωμαίων δοῦλον γέγονεν,
καὶ τὸ Σύρων ὡσαύτως, Καππαδόκων τε καὶ Μακε-
δόνων, καὶ Βιθυνῶν, καὶ Ἑλλήνων, καὶ συνελόντι
φάναι τῶν λοιπῶν τῶν ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν
ἁπάντων. 33. *τοῦτο δὲ ὅτι μὴ ἀθεεὶ τῇ περὶ τοῦ*
σωτῆρος ἡμῶν διδασκαλίᾳ συνεισῆλθεν τίς οὐκ ἂν
ὁμολογήσειε, διανοηθεὶς ὡς οὐ ῥᾴδιον ἦν τοῖς μαθη-
b *ταῖς αὐτοῦ πορείαν ἐπὶ τῆς ἀλλοδαπῆς στείλασθαι,*
διεστώτων πρὸς ἄλληλα τῶν ἐθνῶν, καὶ μηδεμιᾶς
οὔσης ἐν αὐτοῖς ἐπιμιξίας διὰ τὰς πολλὰς ἐθναρχίας·
ὧν περιῃρημένων ἀφύβως ἤδη καὶ ἐπ' ἀδείας τὸ
προκείμενον ἤνυον, τὴν πορείαν αὐτοῖς προεξευμα-
ρίσαντος τοῦ ἐπὶ πάντων θεοῦ, καὶ τοὺς θυμοὺς τῶν
κατὰ πόλεις δεισιδαιμόνων φόβῳ τῆς μείζονος ἀρχῆς
καταστείλαντος. 34. *λόγισαι γὰρ ὡς εἰ μηδὲν τὸ*
κωλῦον ἦν τοὺς περὶ τὴν πολύθεον πλάνην ἐπτοη-
μένους τῇ τοῦ Χριστοῦ πολεμεῖν διδασκαλίᾳ, πάλαι
c *ἂν ἑώρας κατὰ πόλεις καὶ κατὰ ἀγροὺς ἐμφυλίους*
[91] *στάσεις, διωγμούς τε καὶ πολέμους οὐ τοὺς τυχόν-*
τας, εἰ δὴ ἐφ' ἑαυτοῖς εἶχον οἱ δεισιδαίμονες τὴν ἐπ'
αὐτῶν ἐξουσίαν. 35. *νῦν δὲ καὶ τοῦτο θεοῦ τοῦ ἐπὶ*
πάντων ἔργον ἦν, τὸ μείζονι φόβῳ τῆς ἀνωτάτω ἀρ-
χῆς τοὺς ἐχθροὺς τοῦ οἰκείου λόγου καταδουλῶσαι·
προκόπτειν γὰρ αὐτὸν ὁσημέραι καὶ εἰς πάντας ἀν-
θρώπους αὔξειν βούλεται. 36. *πάλιν τε αὖ ὡς μὴ*
νομισθείη κατὰ συγχώρησιν τῶν κρατούντων διαρ-
d *κέσειν, εἴποτέ τις τούτων πονηρίᾳ ληφθεὶς τῷ τοῦ*
Χριστοῦ λόγῳ πολεμεῖν προύθετο, καὶ τοῦτο πράτ-

τειν ἐνεδίδου τὸ καταθύμιον, ὁμοῦ μὲν εἰς ἔνδειξιν τῶν τῆς εὐσεβείας ἀθλητῶν, ὁμοῦ δὲ καὶ εἰς τὸ τοῖς πᾶσι φανερὸν καταστῆναι ὅτι μὴ ἐξ ἀνθρώπων ἦν βουλῆς, ἀλλ' ἐκ τῆς τοῦ θεοῦ δυνάμεως ἡ τοῦ λόγου σύστασις. 37. αὐτίκα τίς οὐκ ἂν θαυμάσειε τὰ συμβαίνειν κατὰ τοὺς τοιούσδε καιροὺς εἰωθότα; οἱ μὲν γὰρ τῆς εὐσεβείας ἀθληταὶ τὸ πρὶν ἀνθρώποις γε τοῖς πᾶσι διάδηλοι καὶ διαπρεπεῖς ἐγίνοντο, τῶν παρὰ τῷ θεῷ κατηξιωμένοι βραβείων· οἱ δὲ τῆς εὐσεβείας πολέμιοι τὰς προσηκούσας ἐξέτινον δίκας, θεηλάτοις μάστιξιν οἰστρούμενοι καὶ πᾶν τὸ σῶμα δεινοῖς καὶ ἀνιαροῖς πάθεσι διαφθειρόμενοι, ὥστε ἤδη καὶ εἰς (111)
ὁμολογίαν τῆς κατὰ Χριστοῦ δυσσεβείας ἥκειν περιελαθῆναι. 38. οἱ δέ γε λοιποὶ πάντες τῆς ἐνθέου προσηγορίας ἠξιωμένοι καὶ τὰ Χριστοῦ φρονεῖν αὐχοῦντες, ἐπ' ὀλίγον γεγυμνασμένοι τοῖς πειρατηρίοις, τὸ δὲ γνήσιον καὶ εἰλικρινὲς τοῦ φρονήματος ἐπιδειξάμενοι, τὴν οἰκείαν αὖθις ἀπελάμβανον ἐλευθερίαν, εἰς μεῖζον ὁσημέραι δι' αὐτῶν ἐκλάμποντος τοῦ σωτηρίου λόγου, καὶ ἐν αὐτοῖς γε μέσοις τοῖς ἐχθροῖς κατακρατοῦντος, 39. μὴ μόνον τε τῶν ὁρατῶν πολεμίων κατεξανισταμένους, ἀλλὰ καὶ τῶν ἀοράτων, εἴ b
τινες ἄρα εἶεν ἀμφὶ τὸν περὶ γῆν ἀέρα ζοφώδη πονηροὶ δαίμονες καὶ ἄρχοντες τούτων, οὓς καὶ αὐτοὺς οἱ γνήσιοι τοῦ Χριστοῦ μαθηταὶ δι' ἁγνείας βίου καὶ τῶν πρὸς τὸν θεὸν εὐχῶν διά τε τῆς αὐτοῦ ἐνθέου προσηγορίας ἐξελαύνοντες, σημείων τῶν πάλαι ἱστορουμένων ὑπ' αὐτοῦ γεγονέναι παραδόξων, καὶ ἐν τούτῳ τοῖς συνορᾶν δυναμένοις τὰ τεκμήρια τῆς ἐνθέου ἀρετῆς αὐτοῦ διαδεικνύντες.

40. Ἀλλὰ γὰρ τῶνδε κατὰ καιρὸν προγεγυμνασμένων καιρὸς ἤδη καλεῖ τῆς μυστικωτέρας περὶ αὐ-

τοῦ θεολογίας ἐφάψασθαι, καὶ τὸν θεὸν λόγον, ὅστις ποτ' ἦν ὁ διὰ τοῦ φαινομένου ἀνδρὸς τὰς θαυματουργίας ἐκτελῶν, ἐποπτεῦσαι.

---

[93] ## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΙΟΝ.

(114) I. *Ἐπειδὴ τὰ προσήκοντα περὶ τῆς ἐνανθρωπή-
σεως τοῦ σωτῆρος ἡμῶν ἐν τῷ πρὸ τούτου συγγράμ-
b ματι, τρίτῳ ὄντι τῆς Εὐαγγελικῆς Ἀποδείξεως, αὐ-
τάρκως ἡμῖν διαπεπόνηται, καιρὸς ἤδη καὶ ἀπορρη-
τοτέρων ἐφάψασθαι λόγων τῶν περὶ τῆς κατ' αὐτὸν
μυστικωτέρας θεολογίας.* 2. *ὁ μὲν οὖν περὶ τοῦ πρώ-
του καὶ ἀϊδίου, μόνου τε ἀγεννήτου καὶ ἐπὶ πάντων
αἰτίου τῶν ὅλων, πανηγεμόνος τε καὶ παμβασιλέως
θεοῦ κοινὸς ἅπασιν ἀνθρώποις ἐστὶ λόγος· ἴδιος δὲ
καὶ κοινὸς αὖθις Ἑβραίων καὶ ἡμῶν ὁ περὶ Χριστοῦ·
c ὃν πῇ μὲν ὁμοίως ἡμῖν ταῖς παρ' αὐτοῖς ἑπόμενοι
γραφαῖς ἔτι νῦν ὁμολογοῦσι, πῇ δὲ μακρὰν ἀποπί-
πτουσι, μήτε τὴν θεότητα συνορῶντες αὐτοῦ, μήτε τὰ
αἴτια τῆς παρουσίας εἰδότες, μήτε μὴν τοὺς χρόνους
καθ' οὓς ἥξειν ἀνείρηται εἰς ἀνθρώπους περιδρασ-
σόμενοι.* 3. *οἱ μὲν γὰρ ἔτι καὶ νῦν ἥξειν μέλλοντα
προσδοκῶσιν, ἡμεῖς δ' ἤδη μὲν εἰς ἅπαξ ἀποδείκνυ-
μεν ἐλθόντα, καὶ δευτέραν δ' αὐτοῦ μετὰ τῆς ἐνθέου
δόξης παρουσίαν ταῖς τῶν θεοφόρων προφητῶν προρ-
ρήσεσί τε καὶ διδασκαλίαις πειθόμενοι ἰδεῖν εὐχό-
d μεθα. διττοῦ δ' ὄντος τοῦ κατ' αὐτὸν λόγου ὁ μὲν
νεώτερος ἂν εἴη, χθὲς καὶ πρώην εἰς ἀνθρώπους εἰσ-
ηγμένος· ὁ δὲ παντὸς χρόνου καὶ πάντων αἰώνων*

πρεσβύτερος. 4. βουληθεὶς γὰρ ὁ θεὸς, ἅτε μόνος ὢν ἀγαθὸς ἀγαθοῦ τε παντὸς ἀρχὴ καὶ πηγὴ, τῶν αὐτοῦ θησαυρῶν πλείους ἀποφῆναι κοινωνοὺς, ἄρτι τε μέλλων τὴν λογικὴν πᾶσαν προβάλλεσθαι κτίσιν, ἀσωμάτους τινὰς νοερὰς καὶ θείας δυνάμεις, ἀγγέλους τε καὶ ἀρχαγγέλους, ἄϋλά τε καὶ πάντη καθαρὰ πνεύματα, προσέτι δὲ ψυχὰς ἀνθρώπων ἄφετον καὶ ἐλεύθερον τῆς αὐθεκουσίου περὶ τὸ καλὸν ἢ τοὐναντίον αἱρέσεως τὴν φύσιν ἐπαγομένας, ὅσα τε τούτοις ὄργανα σωμάτων ἔμελλεν ἔσεσθαι ποικίλων ἀγωγῇ κατάλληλα βίων, χώρας τε τούτοις ἅπασι καὶ τόπους (115)
διανέμειν οἰκείους· (μείνασι μὲν γὰρ ἀγαθοῖς τοὺς κρείττονας, ἔμπαλιν δὲ τοὺς προσήκοντας, τῆς ἐπὶ τἀναντία ῥοπῆς τὰ σωφρονιστήρια·) προλαβὼν τὸ μέλλον, οἷα θεὸς, τῇ προγνώσει, συνιδών τε τούτων ἁπάντων πρὶν γενέσθαι ὡς ἐν μεγάλῳ σώματι κεφαλῆς δεησομένων, ἕνα τὸν τῆς δημιουργίας ἁπάσης οἰκονόμον ἡγεμόνα τε καὶ βασιλέα τῶν ὅλων προτάξασθαι ᾤετο δεῖν, ᾗ καὶ τὰ θεῖα μυσταγωγεῖ λόγια πρὸς τῶν ἄνωθεν παρ' Ἑβραίοις θεολόγων τε καὶ προφητῶν ἀνδρῶν τεθεσπισμένα· 5. παρ' ὧν δὴ μαθεῖν b
ἔνεστιν ὡς ἄρα μία μὲν εἴη τῶν ὅλων ἀρχὴ, μᾶλλον δὲ τὸ καὶ ἀρχῆς ἀνώτερον, καὶ πρώτου προγενέστερον, καὶ μονάδος ἀρχεγονώτερον, καὶ πάσης κρεῖττον προσηγορίας, ἄρρητον, ἀνέκφραστον, ἀπερινόητον, ἀγαθὸν, τὸ πάντων αἴτιον, τὸ ποιητικὸν, τὸ εὐεργετικὸν, τὸ προνοητικὸν, τὸ σωτήριον, αὐτὸς ὢν ὁ εἷς καὶ μόνος θεὸς, ἐξ οὗ τὰ πάντα, δι' ὃν τὰ πάντα ἐστίν· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. 6. ὅ τι δὴ θέλει, τοῦτο γοῦν καὶ εἴη ἂν τὸ μόνον τῆς τῶν

---

29 v. Rom. 11, 36. Act. 17, 28.

γεννητῶν ἁπάντων οὐσιώσεώς τε καὶ ὑπάρξεως c αἴτιον· θέλοντος γάρ ἐστι, θέλει δὲ, ὅτι τὴν φύσιν [94] ἀγαθὸς ὢν τυγχάνει. ἀγαθῷ δὲ οὐδὲν ὅτι μὴ τὸ θέλειν τὰ ἀγαθὰ προσφυές. 7. θέλων δὲ ταῦτα καὶ δύναται· διὸ καὶ θέλων ὁμοῦ καὶ δυνάμενος, ἀκωλύτως καὶ ἀπαραποδίστως πᾶν ὅ τι καλὸν καὶ συμφέρον ἔν τε ὁρωμένοις καὶ ἀφανέσιν αὐτὸς ἑαυτῷ συνεστήσατο, ὕλην ὥσπερ τινὰ καὶ οὐσίαν τῆς τῶν ὅλων γενέσεώς τε καὶ συστάσεως τὴν ἑαυτοῦ βουλὴν καὶ δύναμιν προβεβλημένος, ὡς μηκέτι εὐλόγως d φάναι δεῖν ἐξ οὐκ ὄντων εἶναί τι τῶν ὄντων· οὐδὲ γὰρ ἂν εἴη τι τὸ ἐκ μὴ ὄντος. πῶς γὰρ τὸ μὴ ὂν ἑτέρῳ τοῦ εἶναι γένοιτ' ἂν αἴτιον; πᾶν δὲ ὅ τι ποτε καὶ ἔστιν ἐξ ἑνὸς τοῦ μόνου ὄντος καὶ προόντος, τοῦ δὴ καὶ φήσαντος "ἐγώ εἰμι ὁ ὤν," τὸ εἶναι λαβὸν ἔχει· 8. ὅτι δὴ μόνος ὢν καὶ ἀεὶ ὢν αὐτὸς πᾶσι τοῖς ἐξ αὐτοῦ τὸ εἶναι κτησαμένοις αἴτιος τοῦ εἶναι κατέστη τῷ θέλειν καὶ τῷ δύνασθαι, καὶ τὴν οὐσίαν τοῖς πᾶσι καὶ τὰς δυνάμεις καὶ τὰ εἴδη πλουσίως καὶ ἀνεπιφθόνως ἐξ αὐτοῦ κεχαρισμένος.

(146) II. Καὶ δὴ τῶν ὄντων ἁπάντων πρῶτον ὑφίστησιν αὐτοῦ γέννημα τὴν πρωτότοκον σοφίαν, ὅλην δι' ὅλου νοερὰν καὶ λογικὴν καὶ πάνσοφον, μᾶλλον b δὲ αὐτόνουν καὶ αὐτολόγον καὶ αὐτοσοφίαν, καὶ εἴ τι δὲ αὐτάκαλον καὶ αὐτοάγαθον ἐπινοεῖν ἐν γεννητοῖς θέμις, τοῦτο πρῶτον αὐτὸς ἐξ αὐτοῦ θεμέλιον τῶν μετὰ ταῦτα γενησομένων προβάλλεται, τὸ τέλειον τελείου δημιούργημα, καὶ σοφοῦ σοφὸν ἀρχιτεκτόνημα, ἀγαθοῦ πατρὸς ἀγαθὸν γέννημα, καὶ τί γὰρ ἄλλο ἢ τῶν μετέπειτα τὸ εἶναι δι' αὐτοῦ λαβόντων

---

15 Exod. 3, 14.

προστάτην καὶ κηδεμόνα, σωτῆρά τε καὶ ἰατρὸν, καὶ
κυβερνήτην τῆς τῶν ὅλων δημιουργίας τοὺς οἴακας
περιδεδραμηκένον; 2. ὅθεν εἰκότως οἱ χρησμοὶ θεολο-
γοῦντες θεὸν γεννητὸν αὐτὸν ἀποφαίνουσιν, ὡς ἂν
τῆς ἀνεκφράστου καὶ ἀπερινοήτου θεότητος μόνον ἐν c
αὐτῷ φέροντα τὴν εἰκόνα, δι' ἣν καὶ θεὸν εἶναί τε
αὐτὸν καὶ λέγεσθαι τῆς πρὸς τὸ πρῶτον ἐξομοιώσεως
χάριν, ταύτῃ τε αὐτὸν ἀγαθόν φασιν ὑπηρέτην πρὸς
τοῦ πατρὸς ὑποβεβλῆσθαι, ἵνα ὥσπερ δι' ἑνὸς παν-
σόφου καὶ ζῶντος ὀργάνου τεχνικοῦ τε καὶ ἐπιστη-
μονικοῦ κανόνος τὰ πάντα αὐτῷ ἀπευθύνοιτο, σώ-
ματα ὁμοῦ καὶ ἀσώματα, ἔμψυχά τε καὶ ἄψυχα, λογικὰ
σὺν ἀλόγοις, θνητὰ σὺν ἀθανάτοις, καὶ εἴ τι τούτοις
ἕτερον συνυφέστηκέ τε καὶ συνύφανται, καὶ ὡς μιᾷ d
τῶν ὅλων δυνάμει, ἑνί τε ζῶντι καὶ ἐμψύχῳ νόμῳ τε
καὶ λόγῳ ἐν πᾶσιν ὄντι καὶ διὰ πάντων ἥκοντι τὰ
πάντα συναρμόζοιτο ὑφ' ἑνὶ πανσόφῳ δεσμῷ, αὐτῷ
δὴ τῷ τοῦ θεοῦ λόγῳ τε καὶ νόμῳ, συναγόμενά τε
καὶ συνδούμενα.

III. Ἑνὸς δὲ ὄντος τοῦ πατρὸς ἕνα χρὴ καὶ τὸν (147)
υἱὸν, ἀλλ' οὐ πολλοὺς εἶναι, καὶ ἕνα τέλειον μόνον b
γεννητὸν θεὸν ἐκ θεοῦ, ἀλλ' οὐ πλείους. ἐν γὰρ
πλείοσιν ἑτερότης ἔσται καὶ διαφορὰ καὶ τοῦ χείρονος
εἰσαγωγή. διὸ δὴ εἷς θεὸς ἑνὸς υἱοῦ τελείου καὶ μο-
νογενοῦς, ἀλλ' οὐ πλειόνων θεῶν οὐδ' υἱῶν πατὴρ,
2. ἐπεὶ καὶ μιᾶς οὔσης φωτὸς οὐσίας μίαν καὶ τὴν
ἐξ αὐτοῦ γεννωμένην τελείαν αὐτὴν πᾶσα ἀνάγκη
τίθεσθαι. 3. τί γὰρ ἂν καὶ ἄλλο γέννημα φωτὸς ἐπι-
νοεῖν δυνατὸν, μὴ οὐχὶ μόνην τὴν ἐξ αὐτοῦ τὰ πάντα
πληροῦσαν καὶ καταλάμπουσαν ἀκτῖνα; πᾶν γὰρ τὸ
ταύτης ἀλλότριον σκότος ἂν εἴη καὶ οὐ φῶς. ταύτῃ
τοι καὶ τοῦ πάντων ἀνωτάτου πατρὸς, ἀρρήτου φωτὸς c

[95] ὄντος, οὐδὲν μὲν προσφερὲς αὐτῷ οὐδ' οἰκεῖον ἂν γένοιτο παράδειγμα, πλὴν ὅσον αὐτὸ τοῦτο μόνον, ὃ δὴ καὶ φάναι περὶ υἱοῦ οἷόν τε· ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ. 4. διὸ εἴρηται "ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ." ἀλλὰ τοῦ μὲν αἰσθητοῦ φωτὸς ἀχώριστος ἡ αὐγή, ὁ δ' υἱὸς ἰδίως παρὰ τὸν πατέρα καθ' ἑαυτὸν ὑφέστηκε· καὶ φωτὸς μὲν ἡ αὐγὴ d χώραν ἐνεργείας ἐπέχει, ὁ δὲ υἱὸς ἕτερόν τι ἢ κατὰ ἐνέργειαν τυγχάνει, καθ' ἑαυτὸν οὐσιωμένος. 5. καὶ πάλιν ἡ μὲν αὐγὴ συνυπάρχει τῷ φωτί, συμπληρωτική τις οὖσα αὐτοῦ· (ἄνευ γὰρ αὐγῆς οὐκ ἂν ὑποσταίη φῶς·) ὁμοῦ τε καὶ καθ' αὐτὸ συνυφέστηκεν· ὁ δὲ πατὴρ προϋπάρχει τοῦ υἱοῦ καὶ τῆς γενέσεως αὐτοῦ προϋφέστηκεν, ᾗ μόνος ἀγέννητος ἦν. 6. καὶ ὁ μὲν καθ' ἑαυτὸν τέλειος καὶ πρῶτος, ὡς πατήρ, καὶ τῆς τοῦ υἱοῦ συστάσεως αἴτιος, οὐδὲν εἰς συμπλήρωσιν τῆς ἑαυτοῦ θεότητος παρὰ τοῦ υἱοῦ λαμβάνων· ὁ δέ, ὡς ἐξ αἰτίου γεγονὼς υἱός, δεύτερος οὗ ἐστιν υἱὸς καθέστηκεν, παρὰ τοῦ πατρὸς καὶ τὸ (148) εἶναι καὶ τὸ τοιόσδε εἶναι εἰληφώς. 7. καὶ πάλιν ἡ μὲν αὐγὴ οὐ κατὰ προαίρεσιν τοῦ φωτὸς ἐκλάμπει, κατά τι δὲ τῆς οὐσίας συμβεβηκὸς ἀχώριστον, ὁ δὲ υἱὸς κατὰ γνώμην καὶ προαίρεσιν εἰκὼν ὑπέστη τοῦ πατρός. βουληθεὶς γὰρ ὁ θεὸς γέγονεν υἱοῦ πατήρ, καὶ φῶς δεύτερον κατὰ πάντα ἑαυτῷ ἀφωμοιωμένον ὑπεστήσατο. 8. ἀγεννήτου τοιγαροῦν καὶ ἀϊδίου φωτὸς ὄντος ἑνός, πῶς ἂν γένοιτο ἄλλο οἷά τις εἰκών, b οὐχὶ δὲ καὶ αὐγὴ οὖσα φῶς κατὰ πάντα τὸ ἐμφερὲς

6 Heb. 1, 3.

τῷ πρωτοτύπῳ σώζουσα; πῶς δ' ἂν καὶ αὐτοῦ τοῦ ἑνὸς εἴη εἰκὼν, εἰ μὴ μία καὶ ἡ αὐτὴ οὖσα; ὅπως μὴ μόνον τῆς οὐσίας τοῦ πρώτου, ἀλλὰ καὶ τοῦ κατὰ τὸ ποσὸν ἀριθμοῦ τὴν ὁμοίωσιν ἐπάγοιτο, ὥσθ' ἑνὸς εἶναι τοῦ ἀϊδίου φωτὸς ἓν τὸ τέλειον, ἀλλ' οὐ διάφορα καὶ πολλὰ τὸ πρῶτον καὶ μονογενὲς ἔκγονον, αὐτὸ δὴ ἐκεῖνο τὸ καὶ ἡμῖν πρῶτον μετὰ τὴν ἄναρχον καὶ ἀγέννητον οὐσίαν θεολογούμενον τέλειον ἀγαθόν. 9. ἕνα γοῦν χρὴ ἑνὸς πατρὸς καὶ τὸν υἱὸν εἶναι. καὶ γὰρ μιᾶς εὐωδίας ἐξ ὑποκειμένης τινὸς προϊούσης οὐσίας, μίαν καὶ τὴν αὐτὴν προχεομένην ἡδεῖαν c εἰς πάντας ὀδμὴν, ἀλλ' οὐ διαφόρους καὶ πολλὰς προσήκοι ἂν ὁμολογεῖν. τοῦ δῆτα πρώτου καὶ μόνου ἀγαθοῦ, ὅ ἐστιν ὁ παμβασιλεὺς θεὸς, νῷ καὶ διανοίᾳ ληπτὴν ἔνθεον καὶ ζωτικὴν εὐωδίαν ὑποστησαμένου, μίαν ταύτην, ἀλλ' οὐ πλείους ἐπινοεῖν θέμις. 10. τί γὰρ ἂν καὶ γένοιτο ταύτης ἕτερον κατὰ πάντα τῷ πατρὶ ἀφωμοιωμένης, εἰ μή τι ἄρα ὑποβεβηκὸς καὶ χεῖρον; ὃ οὐδαμῶς ἡμῖν ἐν τῇ τοῦ υἱοῦ θεολογίᾳ πα- d ρεισακτέον. ἀτμὶς γάρ ἐστι τῆς τοῦ θεοῦ δυνάμεως καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής. 11. ἐξ εὐώδους μὲν γὰρ σώματος, μύρου τινὸς φέρε ἢ καὶ τῶν ἀπὸ γῆς ἀκμαζόντων ἀνθῶν τε καὶ ἀρωμάτων εὐώδης τις πνοὴ παρὰ τὸ πρῶτον ὑποκείμενον εἰς ἅπαν τὸ ἐκτὸς περιέχον προχεῖται, καὶ πληροῖ γε καὶ τὸν ἀέρα εἰς πλάτος ἀναχεομένη, οὔτι πω κατὰ στέρησιν ἢ μείωσιν ἢ τομὴν ἢ διαίρεσιν τοῦ προϋποκειμένου. 12. τούτου γὰρ ἐν οἰκείᾳ χώρᾳ μένοντος καὶ τὴν ταυτότητα πρὸς ἑαυτὸ σώζοντος, τήν τε εὐώδη δύναμιν ἀπογεννῶντος, οὐδὲν τοῦ προτέρου χεῖρον, καὶ τὸ γεννώμενον εὐῶδες οἰκείαν ἔχον ὑπόστασιν, ὡς ὅτι μάλιστα τὸ ὁμοιότατον τῇ τοῦ γεν-

(149) νήσαντος φύσει διὰ τῆς οἰκείας ἀπομεμίμηται· πλὴν
ἀλλ᾽ ἔτι ταῦτα γεώδη καὶ θνητὰ καὶ μέρη τῆς κάτω
φθοροποιοῦ καὶ γεώδους φύσεως. 13. τά γε μὴν τῆς
προκειμένης ἡμῖν θεολογίας, ἐπέκεινα παντὸς ὄντα
παραδείγματος, οὐδὲν μὲν οἷον τὰ ἐκ σωμάτων ἐπά-
γεται, ὀξυτάτῃ δὲ διανοίᾳ φαντάζεται υἱὸν γεννητὸν,
οὐ χρόνοις μέν τισιν οὐκ ὄντα, ὕστερον δέ ποτε γεγο-
[96] νότα, ἀλλὰ πρὸ χρόνων αἰωνίων ὄντα καὶ προόντα,
καὶ τῷ πατρὶ ὡς υἱὸν διὰ παντὸς συνόντα, καὶ οὐκ
ἀγέννητον ὄντα, γεννώμενον δ᾽ ἐξ ἀγεννήτου πατρὸς,
μονογενῆ ὄντα, λόγον τε καὶ θεὸν ἐκ θεοῦ, οὐ κατὰ
διάστασιν ἢ τομὴν ἢ διαίρεσιν ἐκ τῆς τοῦ πατρὸς οὐ-
σίας προβεβλημένον, ἀρρήτως δὲ καὶ ἀνεπιλογίστως
b ἡμῖν, ἐξ αἰῶνος, μᾶλλον δὲ πρὸ πάντων αἰώνων, ἐκ
τῆς τοῦ πατρὸς ἀνεκφράστου καὶ ἀπερινοήτου βουλῆς
τε καὶ δυνάμεως οὐσιούμενον διδάσκοντα. "τὴν γε-
νεὰν γὰρ αὐτοῦ" φησὶ "τίς διηγήσεται;" καὶ "ὥσπερ
οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, οὕτω καὶ τὸν
υἱὸν οὐδεὶς ἔγνω εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν
πατήρ."

IV. *Πλὴν ἀλλ᾽* ἕνα μονογενῆ καὶ ἀγαπητὸν υἱὸν
ἐδόκει τῷ παναγάθῳ πατρὶ τῆς τῶν γεννητῶν ἁπάν-
των δημιουργίας προϋφίστασθαι δεῖν, ἐπεὶ καὶ κό-
σμον ἕνα, ὥσπερ τι ἓν καὶ μέγα σῶμα ἐκ πλειόνων
d καὶ διαφόρων μελῶν τε καὶ μερῶν ἤμελλεν ὅσον οὐ-
δέπω προβάλλεσθαι, ** οὐκ ἐπιστατεῖν μὲν αὐτὴν
ἄνωθεν, ὥσπερ μείζονος κεφαλῆς τῆς τοῦ πατρὸς θεό-
τητος ἐξημμένην, (κεφαλὴ γὰρ τοῦ Χριστοῦ ὁ πατήρ)
ἡγουμένην δὲ καὶ προϋπάρχουσαν τῶν μετὰ ταύτην
ἁπάντων, οὐ μὴν ἀλλὰ καὶ διαρκοῦσαν εἴς τε τὴν

---

16 Es. 53, 8. v. Matth. 11, 27.

τοῦ πατρὸς ἐπικέλευσιν καὶ εἰς τὴν τῶν μετὰ ταῦτα δημιουργίαν. 2. διὸ δὴ καὶ ἔφαμεν αὐτὸν πρῶτον πάντων ὑπὸ τοῦ πατρὸς οἷόν τι μονοειδὲς πάσης οὐσίας καὶ φύσεως προβεβλῆσθαι ὄργανον ἔμψυχον καὶ ζῶν, μᾶλλον δ' ἔνθεον καὶ ζωοποιὸν καὶ πάνσοφον, ἀγαθῶν γεννητικὸν, φωτὸς χορηγὸν, οὐρανοῦ δημι- (150) ουργικὸν, κόσμου κατασκευαστικὸν, ἀγγέλων ποιητικὸν, πνευμάτων ἀρχοντικὸν, ὄργανον ψυχῶν σωτήριον, σωμάτων αὐξητικὸν, πάντων προνοητικὸν, κυβερνητικὸν, θεραπευτικὸν, βασιλικὸν, κριτικὸν, πατρὸς εὐσεβείας ἀπαγγελτικόν.

V. Διὸ καὶ ἐπὶ πάντων καθόλου τῶν δημιουργημάτων μίαν χρεὼν θείαν δύναμιν ἀποθαυμάζειν, ἀλλ' οὐ πολλὰς ἡγεῖσθαι. μία γὰρ ἡ καθόλου κοσμοποιὸς c δύναμις καὶ εἷς ὁ τῶν ὅλων δημιουργὸς λόγος ἐν ἀρχῇ πρὸς τὸν θεόν. ὅτι "ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος·" 2. ὃν δεῖ ἀληθῶς μὴ ἀγνοεῖν, σέβειν δὲ καὶ τιμᾶν ἐπαξίως, ὅτι δὴ πάντα δι' αὐτοῦ οὐ μόνον ἐν ἀρχαῖς τῶν ὅλων συνέστη, ἀλλὰ καὶ εἰς ἀεὶ γέγονέν τε καὶ γίνεται, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. 3. εἴτε γὰρ ζωή τίς ἐστιν ἐν τοῖς οὖσιν, ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν· (ἐξ αὐτοῦ γὰρ καὶ δι' αὐτοῦ ἡ τῶν ὅλων ζώωσίς τε καὶ ψύχωσις) εἴτε ῥυθμὸς, εἴτε κάλλος, d εἴτε ἁρμονία, εἴτε τάξις, εἴτε σύγκρασις, εἴτε οὐσία, εἴτε ποιότης, εἴτε μέγεθος, πάντα εἷς ὁ τῶν ὅλων συνέχει καὶ διακοσμεῖ λόγος καὶ μία θεοῦ δύναμις κοσμοποιὸς ἡγεῖται ἁπάντων. 4. ὡς γὰρ ἐπὶ τοῦ καθ' ἡμᾶς σώματος πολλὴ μὲν τυγχάνει καὶ ποικίλη τῶν μερῶν ἡ διαφορὰ, μία δὲ ἡ τοῦ παντὸς δύναμις δημι-

---

16 Ioann. 1, 1.

ουργός· (οὐ γὰρ ἄλλη θεοῦ μὲν δυνάμει κεφαλῆς ὑπέστη φύσις, ἄλλη δὲ ὀφθαλμῶν, ἑτέρα δὲ ὤτων, ἑτέρα δὲ ποδῶν) οὕτω καὶ τοῦ σύμπαντος κόσμου μία καθόλου θεία δύναμις ἐπιστατοῦσα ἡ αὐτὴ ἂν
[97] εἴη καὶ οὐρανοῦ καὶ ἀστέρων, τῶν τε ἐν ἀέρι καὶ γῇ
(151) καὶ θαλάττῃ ζῴων, στοιχείων τε τῶν καθόλου καὶ τῶν κατὰ μέρος, καὶ ἔτι φύσεων παντοίων γενικῶν τε καὶ τῶν κατ' εἶδος δημιουργός. 5. καὶ οὐκ ἄλλη μὲν πυρὸς, ἑτέρα δὲ ὕδατος, καὶ γῆς πάλιν ἄλλη καὶ ἀέρος ποιητικὴ δύναμις· ἀλλὰ μία καὶ ἡ αὐτὴ τῶν ὅλων τεχνῖτις σοφία, καὶ κοσμοποιὸς αὐτὸς οὗτος ἡμῖν ὁ θεολογούμενος τῶν ὅλων ὁ δημιουργὸς τοῦ θεοῦ λόγος. 6. μαρτυρεῖ δὲ τούτοις ἡ πρὸς ἄλληλα τῶν στοιχείων φιλία, τῇ τῶν συγκράσεων ἐπιμιξίᾳ συγγενῆ καὶ ἀδελφὴν καὶ ὥσπερ ἑνὸς ἀρχιτέκτονος ἔργον
b τὴν τῶν ὅλων φύσιν ἀπελέγχουσα. γῆ τε γὰρ τὸ βαρὺ στοιχεῖον ἐφ' ὑδάτων ὀχουμένη, καὶ μὴ τῷ στερεμνίῳ τῆς φύσεως κατὰ βάθους ἑλκομένη, μετέωρος δ' ἀεὶ φερομένη καὶ μὴ καταδυομένη, θεοῦ λόγῳ καὶ θεοῦ βουλῇ καὶ δυνάμει μαρτυρεῖ. 7. ὑγρᾶς τε αὖ πάλιν οὐσίας ἡ πρὸς τὸ ξηρὸν κοινωνία μηδὲν φθόρον ἐπιδεικνυμένη, μηδ' ἀθρόως τὸ πᾶν ἐπιλιμνάζουσα, νεύματι δ' ἀρρήτῳ θεοῦ πεπεδημένη, ἕνα πάλιν καὶ τὸν αὐτὸν λόγον τοῦ θεοῦ παρίστησι. 8. τί
c δέ; τὸ πῦρ, καίτοι καυστικῆς καὶ φθαρτικῆς φύσεως, ἔπειτα ξύλοις ἐμφωλεῦον καὶ παντοίοις ζῴων σώμασιν ἀνακεκραμένον, γῇ τε καὶ ὕδατι καὶ ἀέρι συνεστοιχειωμένον, κἄπειτα λόγῳ καὶ μέτρῳ τοῖς πᾶσι τὸ δέον, ὅσον ἂν ἑκάστῳ γένοιτο πρὸς ὠφελείας, ἐπιχορηγοῦν, τῆς δ' οἰκείας δυνάμεως ἐπιλελησμένον, οὔ σοι δοκεῖ πάλιν θεοῦ λόγῳ καὶ δυνάμει δουλεύειν; ἡμέρας δὲ καὶ νυκτὸς ἀμοιβαίας ὁρῶντι κινήσεις,

ὡρῶν τε καὶ καιρῶν τοτὲ μὲν αὐξήσεις, τοτὲ δὲ μειώ-
σεις, κύκλους τε ἐνιαυτῶν καὶ περιόδους χρόνων,
ἄστρων τε περιδινήσεις, ἡλίου τε δρόμους, καὶ σελή-
νης τροπὰς, συμπαθείας τε καὶ ἀντιπαθείας ἁπάν- d
των, καὶ κόσμον ἕνα αὐτῶν ἐξ ἁπάντων, ἆρά σοι τὴν
ἀλογίαν καὶ τὸ εἰκῆ καὶ ὡς ἔτυχεν αἰτίαν εἶναι τῶν
ὅλων θεμιτὸν ἀποφαίνεσθαι, ἢ λόγον ὡς ἀληθῶς
θεοῦ καὶ θεοῦ σοφίαν καὶ θεοῦ δύναμιν, καὶ ταύ-
την μίαν, ἀλλ' οὐ πολλὰς ἀνυμνεῖν; 9. ἐπεὶ καὶ ἐν
ἀνθρώπῳ μία ψυχὴ καὶ μία λογικὴ δύναμις πλείστων
ὁμοῦ γένοιτ' ἂν δημιουργὸς, ἥ καὶ γεωργεῖν ἡ αὐτὴ
καὶ ναυπηγεῖν καὶ κυβερνᾶν καὶ οἰκοδομεῖν πολλὰ
μαθοῦσα ἐπιβάλλοιτο· καὶ εἷς νοῦς ἐν ἀνθρώπῳ καὶ
λογισμὸς δέξαιτ' ἄν ποτε μυρίων ἐπιστήμας, γεω-
μετρήσει τε ὁ αὐτὸς καὶ ἀστρονομήσει, καὶ λόγους
γραμματικῆς παραδώσει καὶ ἰατρικῆς, ἔν τε μαθή- (152)
μασι καὶ τοῖς κατὰ χεῖρας προστήσεται· καὶ οὔπω
γε οὐδεὶς πώποτε πλείους ἐν ἑνὶ σώματι ψυχὰς ἡγή-
σατο εἶναι, οὐδὲ πολλὰς ἐθαύμασεν ἀνθρώπου δυνά-
μεις διὰ τὴν τῶν πολλῶν μαθημάτων ὑποδοχήν. 10.
εἰ δὲ καὶ ἄμορφον ὕλην πηλοῦ τις εὑρὼν, κἄπειτα
χερσὶν ἁπαλύνας ἐπιθήσει ζῴου μορφὴν, ἄλλῳ μὲν
σχήματι κεφαλὴν, χεῖρας δὲ καὶ πόδας ἑτέρως, καὶ
ὀφθαλμοὺς πάλιν ἄλλως, καὶ παρειὰς ὡσαύτως, ὦτά
τε καὶ στόμα καὶ ῥῖνας στέρνα τε καὶ ὤμους ὑποτυ-
πωσάμενος τέχνῃ τῇ πλαστικῇ, ἆρα ἐπεὶ πολλὰ σχή- b
ματα καὶ μέλη καὶ μέρη ὑφ' ἑνὶ σώματι δεδημιούρ-
γηται, τοσούτους χρὴ καὶ τοὺς ποιητὰς ἡγεῖσθαι, ἢ
τὸν τοῦ παντὸς ἀθρόως τεχνίτην ἐπαινεῖν ἑνὶ λογι-
σμῷ καὶ μιᾷ δυνάμει τὸ πᾶν τεκτηνάμενον; 11. τί
δῆτα τοιγαροῦν ἐπὶ τοῦ παντὸς, ἑνὸς μὲν ὄντος, ἐκ
μερῶν δὲ πλείστων ὑφεστῶτος, πολλὰς χρὴν ὑποτί-

θεσθαι δημιουργικὰς δυνάμεις, καὶ πολλοὺς ὀνομάζειν
θεοὺς, οὐχὶ δὲ μίαν ὁμολογεῖν τὴν ὡς ἀληθῶς θεοῦ
c δύναμιν καὶ θεοῦ σοφίαν, μιᾷ δυνάμει καὶ ἀρετῇ μιᾷ
ὁμοῦ τὰ πάντα ὑφισταμένην τε καὶ ζωοῦσαν, καὶ τοῖς
πᾶσι ποικίλην τὴν ἐξ αὐτῆς ἐπιχορηγίαν ποιουμένην;
οὕτω καὶ φωτὸς ἡλίου μία καὶ ἡ αὐτὴ προσβολὴ ὁμοῦ καὶ
[98] κατὰ τὸ αὐτὸ καταυγάζει μὲν ἀέρα, φωτίζει δὲ ὀφθαλ-
μοὺς, ἀφὴν δὲ θερμαίνει, πιαίνει δὲ γῆν, αὔξει φυτὰ,
χρόνον ὑφίστησιν, ἄστρων ἡγεῖται, οὐρανὸν περιπολεῖ,
κόσμον φαιδρύνει, θεοῦ δύναμιν ἐναργῆ τὴν ἐν τῷ
παντὶ συνίστησι, πάντα τε ταῦτα μιᾷ ῥοπῇ φύσεως
συντελεῖ. 12. καὶ πυρὸς φύσις χρυσὸν μὲν καθαίρει,
μόλιβδον δὲ τήκει· καὶ κηρὸν μὲν λύει, πηλὸν δὲ
d ξηραίνει, ὕλην δὲ φρύγει, μιᾷ τῇ καυστικῇ δυνάμει
τὰ τοσαῦτα κατεργαζομένη. ταύτῃ τοι καὶ ὁ οὐράνιος
τοῦ θεοῦ λόγος, ὁ καὶ ἡλίου καὶ οὐρανοῦ καὶ τοῦ
σύμπαντος κόσμου δημιουργικὸς, δραστικῇ δυνάμει
τοῖς πᾶσιν ἐπιπαρὼν καὶ διὰ πάντων ἥκων, ἡλίῳ μὲν
καὶ σελήνῃ καὶ ἄστροις ἐξ οἰκείας τῆς ἀενάου δυνά-
μεως φῶς ἐπομβρεῖ, οὐρανὸν δὲ οἰκείου μεγέθους
προσφυεστάτην εἰκόνα τὴν ἀρχὴν ὑποστησάμενος εἰς
αἰῶνα διακρατεῖ, τὰς δὲ ἐπέκεινα οὐρανοῦ καὶ κό-
σμου δυνάμεις ἀγγέλων καὶ πνευμάτων, νοερῶν τε καὶ
(153) λογικῶν οὐσιῶν, ζωῆς ὁμοῦ καὶ φωτὸς καὶ σοφίας καὶ
πάσης ἀρετῆς καὶ καλοῦ κἀγαθοῦ παντὸς ἐκ τῶν παρ'
αὐτοῦ θησαυρῶν ἐμπίμπλησι, μιᾷ καὶ τῇ αὐτῇ δη-
μιουργῷ τέχνῃ· καὶ στοιχείοις οὐσίας οὔ ποτε δια-
λιμπάνει παρέχων, καὶ μίξεις καὶ κράσεις, καὶ εἴδη
καὶ μορφὰς καὶ σχήματα, ποιότητάς τε μυρίας, ἔν
τε ζῴοις καὶ φυτοῖς καὶ ψυχαῖς καὶ σώμασι λογι-

---

3 1. Cor. 1, 24.

κοῖς τε καὶ ἀλόγοις, ἄλλοτε ἄλλως καταποικίλλων,
καὶ πᾶσιν ὁμοῦ πάντα μιᾷ δυνάμει ἐπιχορηγῶν, καὶ
νοῦν ἐπὶ πᾶσιν ἀνθρώποις ἐπιγνώμονα καὶ θεωρη-
τικὸν τῆς αὐτοῦ σοφίας δωρούμενος, ἄντικρύς τε
παριστὰς τοῖς πᾶσι καὶ διαρρήδην ἕνα κόσμον ἐπι- b
δείκνυσιν ἑνὸς λόγου κοσμοποιοῦ ἔργον. 13. τοιοῦ-
τον δὴ καλλιτέχνην υἱὸν μονογενῆ τῆς αὐτοῦ βουλῆς
καὶ δημιουργὸν ἁπάντων ὁ ἀνωτάτω καὶ αὐτοῦ δημι-
ουργοῦ θεὸς καὶ πατὴρ πρῶτον ἁπάντων ἐγέννα, δι᾽
αὐτοῦ καὶ ἐν αὐτῷ τοὺς τῶν μελλόντων ἔσεσθαι δη-
μιουργικοὺς λόγους ὑφιστάμενος, καὶ τὰ σπέρματά
γε τῆς τῶν ὅλων συστάσεώς τε καὶ διοικήσεως ἐν
αὐτῷ καταβαλλόμενος. 14. οὐχ ὁρᾷς ὀφθαλμοῖς τὸν
σύμπαντα κόσμον, ὃν οὐρανὸς εἷς περιλαμβάνει, μυ- c
ρίας τε ἀμφὶ τοῦτον χορείας καὶ ἄστρων περιπολεύ-
σεις; πάλιν εἷς ἥλιος, ἀλλ᾽ οὐ πλείους, ἁπάντων ὑπερ-
βολῇ φωτὸς καλύπτει τὰς μαρμαρυγάς. 15. οὕτω
δῆτα ἑνὸς ὄντος πατρὸς ἕνα χρῆν καὶ τὸν υἱὸν εἶναι.
εἰ δ᾽ ὅτι μὴ καὶ πλείους ἐπιμέμψαιτό τις, ὥρα τὸν
τοιοῦτον ὅτι μὴ καὶ ἡλίους συνίστη πλείους καὶ σελή-
νας καὶ κόσμους καὶ μυρία ἄττα αἰτιᾶσθαι, μαινομέ-
νου τρόπον τὰ ὀρθὰ καὶ εὖ ἔχοντα τῆς φύσεως δια-
στρέφειν ἐπιχειροῦντος.

VII. Ταύτῃ δ᾽ οὖν ὡς ἐν ὁρατοῖς ἥλιος εἷς τὸν d
αἰσθητὸν ἅπαντα καταλάμπει κόσμον, οὕτω δῆτα καὶ
ἐν νοητοῖς τὰς ἀθανάτους καὶ ἀσωμάτους δυνάμεις,
νοεράς τε καὶ λογικὰς οὐσίας μυρίους, ὥσπερ ἀστέ-
ρας καὶ φωστῆρας, εἷς ὁ τοῦ θεοῦ καταυγάζει τέλειος (154)
λόγος· ἐπεὶ καὶ χρῆν ἕνα τὸν ἐπὶ πᾶσι καθ᾽ ὅλου
νόμον, καὶ τὸν ἐν πᾶσι καὶ διὰ πάντων ἥκοντα τοῦ
θεοῦ λόγον, ὡς ἂν κἀν τούτῳ τὸ τῆς εἰκόνος ἐμφε-
ρὲς τῷ πατρὶ καὶ κατὰ πάντα ἀποσώζοιτο, κατά τε

τὴν ἀρετὴν, κατά τε τὴν δύναμιν, καὶ τὴν οὐσίαν,
κατά τε τὸν τῆς μονάδος καὶ ἑνάδος ἀριθμὸν, πολυ-
ειδοῦς δὲ ἄλλως καὶ πολυτρόπου τῆς τῶν γεννητῶν
μελλούσης ὑποστήσεσθαι οὐσίας, 2. μυρίαις τε καὶ
ποικίλαις ἄλλοτε ἄλλαις μεταβολαῖς δι᾽ οἰκείαν ἀσθέ-
b νειαν ὑποκεισομένης, τῆς τε ἀνωτάτω τοῦ πατρὸς
δυνάμεως δι᾽ ὑπερβολὴν τῆς ἀνεκφράστου καὶ τοῖς
[99] πᾶσιν ἀπειρομεγέθους φύσεως ἀπολειψομένης, ἀδυ-
νάτως τε ἐξούσης τῆς ἀγεννήτου καὶ ἀχωρήτου θεό-
τητος, αὐτή γε γεννητὴ οὖσα μετέχειν ἀντωπεῖν τε
ἄνω καὶ ἀντιβλέπειν ταῖς ἀποστιλβούσαις τοῦ ἀϊδίου
φωτὸς ἀρρήτοις μαρμαρυγαῖς, χρῆν δή που εἰκότως
τὸν πανάγαθον πατέρα καὶ σωτῆρα τῶν ὅλων, 3. ὡς
ἂν μὴ παντελῶς ἡ τῶν ἄρτι γενησομένων φύσις ἔρη-
c μος οὖσα τῆς αὐτοῦ κοινωνίας τῶν μεγίστων ἀγαθῶν
στεροῖτο, μέσην τινὰ παρεμβάλλειν τὴν τοῦ μονογε-
νοῦς αὐτοῦ καὶ πρωτοτόκου θείαν καὶ παναλκῆ καὶ
πανάρετον δύναμιν, ἀκριβέστατα μὲν καὶ ὅτι μάλιστα
ἐγγυτάτω τῷ πατρὶ προσομιλοῦσαν, ἴσως τε αὐτοῦ
τῶν ἀπορρήτων ἀπολαύουσαν, πραότατα δὲ συγκατι-
οῦσαν, καὶ ἀμωσγέπως συσχηματιζομένην τοῖς τῆς
ἄκρας ἀπολιμπανομένοις, διά τε τὴν σφῶν ἀσθένειαν
d τῆς ἐκ τοῦ δευτέρου βελτιώσεώς τε καὶ ὠφελείας ἐν-
χρῄζουσι τὰς ἡλίου μαρμαρυγὰς θεᾶν ἠρέμα καὶ
πράως συγκατιούσας ἡμῖν, οὐκ ἄλλως τῆς τοῦ φωτὸς
ἀκράτου δυνάμεως οἵοις τε ἀπολαύειν διὰ τὴν τοῦ
σώματος ἀσθένειαν. 4. εἰ γοῦν, ὡς ἐν ὑποθέσει λό-
γου, καθεὶς οὐρανόθεν αὐτὸς ἑαυτὸν ὁ παμφαὴς ἥλιος
σὺν ἀνθρώποις ἐπὶ γῆς πολιτεύοιτο, οὐδένα τῶν ἐπὶ
γῆς μεῖναι ἂν ἀδιάφθορον, πάντων συλλήβδην ἐμ-
ψύχων ὁμοῦ καὶ ἀψύχων ἀθρόᾳ τῇ τοῦ φωτὸς προ-
βολῇ διαφθαρησομένων. 5. θᾶττον γοῦν καὶ τυφλοὺς

ἀπεργάσαιτ' ἂν τοὺς τῶν ὁρώντων ὀφθαλμοὺς βλάβης καὶ φθορᾶς πολὺ μᾶλλον ἢ ὠφελείας γεγονὼς τοῖς πᾶσιν αἴτιος, οὐ τὴν φύσιν αὐτὸς ὢν τοιοῦτος, τοῖς δὲ ἀφορήτως ἔχουσι δι' οἰκείαν ἀσθένειαν τῆς ὑπερ- (155) βαλλούσης αὐγῆς ἀπολαύειν τοιόσδε τις ἀποτελούμενος. 6. τί τοίνυν τὰ ὅμοια μανθάνων περὶ θεοῦ θαυμάζεις, οὗ δὴ καὶ ἥλιος ἔργον καὶ σύμπας ὁ οὐρανὸς καὶ κόσμος; εἰ δὴ τῆς ἀρρήτου καὶ ἀνεκφράστου δυνάμεώς τε καὶ οὐσίας οὐδενὶ μέτεστι τῶν ὄντων πλὴν ἑνὶ μόνῳ κοινωνίας, ὃν αὐτὸς ὁ πατὴρ προνοίᾳ τῶν ὅλων πρὸ τῶν ἄλλων ἁπάντων συνεστήσατο, ὡς ἂν μὴ παντελῶς ἡ τῶν γεννητῶν ἀποπέσοι φύσις δι' οἰκείαν ἀτονίαν καὶ ἀδυναμίαν τῆς ἀγεννήτου καὶ ἀχωρήτου πατρικῆς οὐσίας διεστῶσα, μένοι δὲ καὶ αὔξοι καὶ τρέφοιτο τῆς μέσης ἀπολαύ- b ουσα χορηγίας, ἣν ὁ μονογενὴς τοῦ θεοῦ λόγος οὔποτε τοῖς πᾶσιν ἐπαρκῶν διαλιμπάνει, πάντῃ δὲ χωρῶν καὶ διὰ πάντων περιπορευόμενος πάντων ἐξ ἴσης τῆς σωτηρίας προνοεῖ, λογικῶν ὁμοῦ καὶ ἀλόγων, θνητῶν τε καὶ ἀθανάτων, οὐρανίων τε καὶ ἐπιγείων, θείων τε καὶ ἀοράτων δυνάμεων, καὶ συλλήβδην εἰπεῖν, ἁπάντων ὅσα δὴ τοῦ εἶναι δι' αὐτοῦ μετείληχε, πολύ γε μὴν πλέον διαφερόντως τῆς νοερᾶς καὶ λογι- c κῆς φύσεως, δι' ἣν οὐδὲ τὸ ἀνθρώπινον ὑπερεφρόνει γένος, ἐτίμα δὲ εὖ μάλα καὶ ἐκήδετο τῆς τοῦ λόγου χάριν πρὸς ἑαυτὸν οἰκειώσεώς τε καὶ συνεχείας, ᾗ καὶ κατ' εἰκόνα αὐτοῦ μεμορφῶσθαι ἐν τοῖς ἱεροῖς λογίοις ἀνείρηται. 7. ἀλλ' ὁ μὲν τὴν εἰκόνα τὴν αὐτοῦ ὡς ἂν θεοῦ λόγος τὴν νοερὰν ἅπασαν καὶ λογικὴν ὑφίστησι κατ' ἀρχὰς τῆς τοῦ παντὸς δημιουργίας,

27 Gen. 1, 26. 27.

ἀρχικόν τε διὰ ταῦτα καὶ βασιλικὸν τῶν ἐπὶ γῆς ἁπάν-
των ζῴων καθίστη τὸν ἄνθρωπον, ἐλεύθερόν τε καὶ
αὐτεξούσιον τῆς εἰς τὸ καλὸν ἢ εἰς τοὐναντίον ἠφίει
d αὐτὸν ῥοπῆς. 8. ὁ δὲ οὐ καλῶς τῇ αὐτεξουσιότητι
χρησάμενος, τῆς ὀρθῆς διατραπεὶς ὁδοῦ, τὴν ἐναν-
τίαν ὡρμᾶτο, μήτε θεὸν μήτε κύριον, μήτ' ἔτι τῶν
ὁσίων καὶ εὐσεβῶν ἐπιλογιζόμενος, θηρῶν δὲ τρόπον
ἀλόγων πάσαις ἀνημέροις καὶ ἀκολάστοις πράξεσιν
ἐγχειρῶν. 9. εἰκότα γοῦν ἑαυτῷ ποιῶν ὁ πανάγαθος
καὶ παμβασιλεὺς αὐτὸς ὁ ὕψιστος καὶ θεὸς τῶν ὅλων,
ὡς ἂν μὴ ἄναρχοι καὶ ἀνεπιστάτητοι θρεμμάτων δίκην
[100] ἀλόγων εἶεν οἱ ἐπὶ γῆς ἄνθρωποι, προστάτας αὐτῶν
καὶ ἐπιμελητάς, ὥσπερ τινὰς ἀγελάρχας καὶ ποιμένας,
(156) θείους ἀγγέλους κατεστήσατο, προτάξας ἁπάντων καὶ
τοῖς πᾶσιν ἐπιστήσας τὸν μονογενῆ καὶ πρωτότοκον
αὐτοῦ λόγον. 10. τούτῳ δὲ κλῆρον ἐξαίρετον, αὐτοὺς
ἀγγέλους καὶ ἀρχαγγέλους, καὶ θείας δυνάμεις, ἀΰλά
τε καὶ ὑπερουράνια πνεύματα, ναὶ μὴν καὶ τῶν ἐπὶ
γῆς τὰς ἐν ἀνθρώποις θεοφιλεῖς ψυχὰς ἀφωρίσατο,
Ἰακὼβ καὶ Ἰσραὴλ Ἑβραίων προσηγορίαις ἐπικαλου-
μένας.

b VII. Τοῦτο μυστηρίων τὸ μέγιστον πρῶτος θεο-
λόγων Μωσῆς ἐν ἀπορρήτοις Ἑβραίους τοὺς πάλαι
ἐμυσταγώγει λέγων "ἐπερώτησον τὸν πατέρα σου καὶ
ἀναγγελεῖ σοι τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι.
ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς
c Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατ' ἀριθμὸν ἀγγέλων
θεοῦ, καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακὼβ
σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ."

2. Διὰ τούτων γοῦν ὕψιστον μὲν τὸν ἀνωτάτω
καὶ ἐπὶ πᾶσι θεὸν τῶν ὅλων ὀνομάζει, κύριον δὲ τὸν
τούτου λόγον, τὸν δὴ καὶ δευτέρως ἡμῖν μετὰ τὸν

τῶν ὅλων θεὸν κυριολογούμενον. ἀλλὰ γὰρ τοῖς μὲν τῶν ἐθνῶν ἀοράτοις προστάταις, αὐτοῖς δὴ τοῖς ἀγγέλοις, τὰ ἔθνη πάντα καὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, υἱοὺς Ἀδὰμ ἐπικαλουμένους, κρίσει τοῦ ὑψίστου θεοῦ καὶ λόγοις ἀρρήτοις ἡμῖν φησι διανεμηθῆναι· d τῷ δὲ πάντων ἐξοχωτάτῳ ἡγεμόνι τε καὶ βασιλεῖ τῶν ὅλων, αὐτῷ δὴ τῷ Χριστῷ, ὡς ἂν μονογενεῖ υἱῷ, τῶν ἐν ἀνθρώποις τὸν Ἰακὼβ καὶ Ἰσραήλ, τουτέστιν πᾶν τὸ διορατικὸν καὶ θεοσεβὲς παραδοθῆναι γένος. 3. ὁ μὲν γὰρ ἀσκητὴς ἀρετῆς ἀγῶνα προβεβλημένος, εἰσέτι τε ἀθλῶν καὶ παλαίων ἐν τοῖς κατ' εὐσέβειαν γυμνασίοις, Ἑβραίων προσηγορίᾳ κέκληται Ἰακώβ· ὁ δὲ ἤδη νίκης καὶ τῶν παρὰ θεῷ βραβείων ἠξιωμένος Ἰσραὴλ ἀναγορεύεται, οἷος αὐτὸς ἦν ἐκεῖνος ὁ βοώμενος τοῦ παντὸς Ἑβραίων ἔθνους προπάτωρ, οἵ τε τούτου γνήσιοι παῖδες ἀπόγονοί τε τούτων καὶ προπάτορες, προφῆται πάντες καὶ θεοφιλεῖς ἄνδρες· μὴ γάρ μοι τὸ Ἰουδαίων πλῆθος ταύτῃ (157) νόμιζε δηλοῦσθαι, μόνους δὲ τοὺς πάλαι πρότερον ἀρετῇ καὶ εὐσεβείᾳ τετελειωμένους. 4. τούτους δὴ οὖν παραλαβὼν ὁ καθηγεμὼν καὶ προστάτης ἁπάντων τοῦ θεοῦ λόγος ἐπὶ τὴν μόνου τοῦ πατρός, αὐτοῦ δὴ τοῦ ὑψίστου, θρησκείαν ἀνεκαλεῖτο τῶν ὁρωμένων ἁπάντων ἀνωτάτω, ἐπέκεινά τε οὐρανοῦ καὶ πάσης γεννητῆς οὐσίας, τοὺς ὑπηκόους ἠρέμα καὶ πράως ἀνακαλούμενος, μόνον τε αὐτοῖς τὸν ἀγέννητον καὶ τῶν ὅλων ποιητὴν θεὸν τὸν ὕψιστον παραδιδοὺς εὐσεβεῖν.

VIII. Οἱ δέ γε τῶν ἄλλων ἐθνῶν ἐπιστάται ἄγγελοι καὶ ποιμένες τοὺς μὴ οἵους τε νῷ τὸν ἀόρατον c ἐποπτεύειν, μηδ' ἀναβαίνειν τοσοῦτον δι' οἰκείαν ἀσθένειαν, τοῖς ὁρωμένοις κατ' οὐρανὸν προσέχειν

ἠξίουν, ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις. 2. ἃ δὴ καὶ
ἐν τῇ φαινομένῃ τῶν ὅλων φύσει διαπρέποντα, ἄνω
καὶ ὅτι μάλιστα ἐγγυτάτω ὡς ἂν ἐν προθύροις τοῦ
παμβασιλέως, τὰς τῶν ὁρώντων ὄψεις ἀνεκαλεῖτο, ἐκ
μεγέθους καὶ καλλονῆς τῶν ὁρωμένων κτισμάτων ἀνα-
λόγως τοῦ πάντων γενεσιουργοῦ τὴν θεωρίαν ἐμφα-
νίζοντα. "τὰ γὰρ ἀόρατα αὐτοῦ," ᾗ φησιν ὁ θεῖος
a ἀπόστολος, "ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοού-
μενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θει-
[101] ότης." 3. καὶ τοῦτο δὲ πάλιν ὁ μέγας Μωσῆς μυστα-
γωγεῖ. τὸν γάρ τοι τοῦ κυρίου κλῆρον νῷ διαυγεῖ
καὶ ψυχῇ κεκαθαρμένῃ τῶν νοητῶν καὶ ἀσωμάτων
ὀριγνᾶσθαι προτρέπων εἴργει τῆς τῶν ὁρωμένων
κατ' οὐρανὸν ἐκπλήξεως, ἐπιλέγων "ὅτι δὴ ταῦτα
ἀπένειμε κύριος ὁ θεός σου πᾶσι τοῖς ἔθνεσιν." διὰ
τί δ' ἀπονενεμῆσθαι ἔφησε συνιδεῖν ἀναγκαῖον. 4.
πολυπλανοῦς ὑπαρχούσης ἀοράτως ἡμῖν ἀμφὶ τὸν
(158) περὶ γῆν ἀέρα πωτωμένης χθονίου καὶ δαιμονικῆς
οὐσίας, ἀγνώστου τε καὶ ἀδιακρίτου ἀνθρώποις, τῆς
τῶν ἀγαθῶν πνευμάτων καὶ δυνάμεων καὶ αὐτῶν δὴ
τῶν θείων ἀγγέλων πρὸς τὰ χείρω διαφόρου καθε-
στώσης, οὐκ ἄλλως εὖ εἶχε τοῖς τῆς ἀνωτάτω τοῦ
παμβασιλέως εὐσεβείας ἀποπίπτουσιν ἢ τῶν ὁρω-
μένων κατ' οὐρανὸν τὰ κράτιστα αἱρεῖσθαι. 5. δέος
γὰρ οὐ τὸ τυχὸν ἦν, μήποτε θεὸν ζητοῦντες καὶ τὰ
ἀόρατα πολυπραγμονοῦντες ἀπορίᾳ τῶν ἀφανῶν καὶ
ἀδήλων εἰς ἐναντίας δυνάμεις καὶ δαιμονικὰς περι-
b τραπεῖεν. τῶν ὁρωμένων οὖν τὰ πάντα διαπρεπῆ
τοῦ θεοῦ δημιουργήματα τοῖς μὴ τοῦ κρείττονος
ἐφιεμένοις παραδεδόσθαι, ἀμωσγέπως ἐνθένδε τῆς

7 Rom. 1, 20. 14 Deut. 4, 19.

τοῦ ἀοράτου θεωρίας, ὡς ἂν διά τινος ἐσόπτρου, παρεμφαινομένης.

IX. Καὶ τὰ μὲν ὧδε διέκειτο· τὰ δὲ τῆς ἀντι- c
πάλου καὶ ἀποστατικῆς δυνάμεως, εἴτε δαιμόνων εἴτε καὶ χειρόνων ἄλλων πνευμάτων ἐν κακίᾳ τὸ πλέον καὶ ἧττον ἀποφερομένων, ἔτι τε καὶ τοῦ πάντων ἐν τούτοις ἄρχοντος δεινοῦ τινος μεγαλοδαίμονος, οἳ πρῶτοι τῆς εἰς τὸ θεῖον εὐσεβείας σαλεύσαντες τῆς οἰκείας λήξεως ἀποπεπτώκασι, φθόνῳ τῆς ἀνθρώπων σωτηρίας τὴν ἐναντίαν εἷλκε παντοίαις κακίας μηχα- d
ναῖς πᾶσι τοῖς ἔθνεσι καὶ αὐτῷ τῷ τοῦ κυρίου κλήρῳ βασκανίᾳ τῶν ἀγαθῶν ἐπιβουλεύοντα. 2. τὸν δὴ οὖν τοῦ μεγαλοδαίμονος ἄθεον καὶ ἀσεβῆ λογισμὸν τὸ πνεῦμα τὸ προφητικὸν ἐν Ἡσαΐᾳ ὧδέ πως ἀπελέγχει λέγον· εἶπε γὰρ "ἐν τῇ ἰσχύϊ ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας. καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔσται ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι."

3. Αὗται αἱ τοῦ θεομάχου φωναὶ ἐπὶ κακίας ἰσχύϊ (159)
μεγαλαυχουμένου, καὶ τὰς πρὸς τοῦ ὑψίστου τοῖς ἀγγέλοις παραδοθείσας τῶν ἐθνῶν ὁροθεσίας διαρπάσαι καὶ συγχεῖν ἀπειλοῦντος, προνομεύσειν τε τὴν οἰκουμένην καὶ πᾶν τὸ τῶν ἀνθρώπων γένος διεκσείσειν καὶ μεταστήσειν τῆς προτέρας εὐταξίας ἀπαυθαδιαζομένου. 4. ὁποῖα δὲ φρονῶν περὶ ἑαυτοῦ τὰ τοιαῦτα ἠλαζονεύετο ἄκουε τῆς αὐτῆς προφητείας ὧδε πάλιν περὶ αὐτοῦ φραζούσης "πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων; συνε- b

15 Es. 10, 13. 29 Es. 14, 12.

τρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσομαι τὸν θρόνον μου. ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. νῦν δὲ εἰς Ἅιδην καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς."

5. Ὁμοῦ δὴ πλεῖστα διὰ τούτων ὁ λόγος ἐμφαίνει, τὴν τοῦ δηλουμένου φρενοβλάβειαν, τὴν ἀπὸ c τῶν κρειττόνων ἐπὶ τὰ χείρω κατάπτωσιν, τὸ τῆς ἐκπτώσεως τέλος. δεινὰ δὲ κατὰ τῶν ἐθνῶν ἁπάντων ἀπειλήσας θατέρᾳ ληπτοὺς τοῖς προβολίοις τοὺς ἀν- [102] θρώπους εὕρατο, πρόχειρον καὶ ἐξ οἰκείας γνώμης τὴν ἐπὶ τὸ κακὸν ἔμπτωσιν δι' αὐτεξούσιον προαίρεσιν κεκτημένους. 6. ἔσειε δῆτα τῆς ἀπὸ τῶν κρειττόνων στάσεως τὰς πόλεις, καὶ τοῖς τῆς ἡδονῆς δελέασιν ἐπὶ πᾶν εἶδος φαυλότητος τὰς τῶν πολλῶν κατέσπα ψυχάς, οὐδένα τε μηχανῆς καταλιπὼν τρόπον, μύθοις περὶ θεῶν αἰσχροῖς καὶ διηγήμασιν ἀκολάστοις d τὰ φίλα καὶ πρὸς ἡδονὴν τῶν ἁλισκομένων δι' εντέχνου δαιμόνων ἀπάτης προυβάλλετο. 7. ταύτῃ τε τὴν οἰκουμένην ἅπασαν ἑλὼν ὑποχείριον συνεῖχε, καὶ ἠφάνιζε τὰ τῶν ἐθνῶν ὅρια, ὅπερ καὶ ποιήσειν ἠπείλει εἰπὼν "ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν." 8. ἔνθεν ἤδη λοιπὸν πάντων ἀνθρώπων κατεκράτει πλάνη, δαίμονές τε πονηροὶ κατὰ πάντα τόπον καὶ πόλιν καὶ χώραν ὑπὸ τῷ οἰκείῳ ἄρχοντι κατετάττοντο· καὶ δῆτα δυνάμεσι χθονίαις καὶ πονηροῖς πνεύμασιν ἀντὶ τῶν προτέρων τοῦ θεοῦ λειτουργῶν ὁ πᾶς τῶν ἀνθρώπων βίος καταδεδούλωτο, πάντων ἀθρόως καὶ ἐπιρρεπῶς τοῖς τῆς ἡδονῆς ὀλίσθοις ἐπι-

δεδωκότων· ὥστε ἤδη καὶ τοὺς τῆς φύσεως ὑπερβαίνειν ὅρους, καὶ τοτὲ μὲν ἀλληλοφθορεῖν, τοτὲ δὲ ἀρρητοποιεῖν, (160) καὶ ἃ μηδὲ λογισμῷ θέμις ἐννοεῖν, ταῦτα οὐ μόνον πράττειν, ἀλλὰ καὶ ταῖς περὶ τῶν οἰκείων θεῶν δόξαις ἀνατιθέναι, καὶ ἔτι μᾶλλον ὡς ἂν θεοῖς φίλα τὰ ἀκόλαστα σὺν ῥαστώνῃ πλείονι διαπράττεσθαι. 9. ἐντεῦθεν ἤδη, κατὰ τὸν ἱερὸν ἀπόστολον, οὐδ' ἐπὶ τοῖς κατ' οὐρανὸν ἔτι λαμπροῖς τοῦ θεοῦ δημιουργήμασιν ἱστάμενοι "ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἠλλάξαντο τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι b εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν." 10. ὅτι δὲ κατὰ τὸ παλαίτατον τοῖς οὐρανίοις φωστῆρσι μόνοις οἱ ἐπὶ γῆς προσανεῖχον, οὐδὲν εἴδωλον ἐπιστάμενοι, οὔτε περὶ τὴν τῶν δαιμόνων πλάνην καταγινόμενοι, ἱκανὴ γένοιτ' ἂν ἀπόδειξις ἡ τῶν ἀλλοτρίων τοῦ καθ' ἡμᾶς λόγου μαρτυρία, ἣν κατὰ τὸ πρῶτον τῆς Προπαρασκευῆς πρὸ τῆς παρούσης πραγματείας ἐξεθέμην, σαφῶς ἀποδείξας ὅτι μὴ χειροκμήτοις ξοάνοις ἐξ ὕλης c ἀψύχου δεδημιουργημένοις, ἀλλ' οὐδ' ἀοράτοις δαίμοσιν οἱ παλαίτατοι τῶν ἀνθρώπων ἐδούλευον, μόνοις δὲ τούτοις, οἳ καὶ πρὸς τῆς θείας γραφῆς τοῖς ἔθνεσιν ἀπονενεμῆσθαι μεμαρτύρηνται. 11. ὥρα δὴ οὖν καὶ αὐτοῖς Ἕλλησιν, ὧν τὰς φωνὰς ἐν ἐκείνοις παρατέθειμαι, συνομολογεῖν, νεωτέραν καὶ ξένην παρὰ τὴν τῶν παλαιῶν λατρείαν εἰσῆχθαι αὐτοῖς τὴν τῶν εἰδώλων δεισιδαιμονίαν καὶ τὴν τῶν ἀφανῶν πνευμάτων περιεργίαν. τοῦτο δὲ πᾶν ἐπιβουλεύων τοῖς

---

9 Rom. 1, 21.

d ἐπὶ γῆς πᾶσιν ὁ δηλωθεὶς θεομάχος εἰργάζετο. 12. συνήργει δὲ αὐτῷ καὶ πᾶν τὸ τῶν ἀκαθάρτων δαιμόνων φῦλον. αὐτός γε μὴν ὁ τῆς κακίας ἐξάρχων ταῦτ' ἔπραττεν, μανίᾳ φρονήματος ἐκτόπου τὰς κατὰ πάντων ἀνθρώπων ἔργῳ πληρῶν ἀπειλάς, καὶ τὴν "ἔσομαι ὅμοιος τῷ ὑψίστῳ" ἄθεον ἐπιτείνων φωνήν, ταῖς τε τῶν ἀκαθάρτων καὶ πονηρῶν δαιμόνων ὑπηρεσίαις χρησμοὺς καὶ θεραπείας καὶ τὰ τοιαῦτα ταῖς τῶν ἀνθρώπων γοητείαις προϊσχόμενος.

(161) X. Ἐν τοσαύτῃ δῆτα κακίας φορᾷ μηδὲν ἐπαμύνειν τῶν πρὶν ἐφεστώτων ἀγγέλων τοῖς ὑποχειρίοις ἔθνεσι δεδυνημένων, ἀλλὰ τῆς μὲν λοιπῆς κτίσεως
[103] ἐπιμελομένων, τοῖς τε τοῦ κόσμου μέρεσιν ἐπιστα-
b τούντων, καὶ τῷ τοῦ πάντων δημιουργοῦ θεοῦ νεύματι συνήθως διακονουμένων, τῆς δὲ τῶν θνητῶν πτώσεως οὐ περιδρασσομένων διὰ τὴν τῶν κακῶν αὐθεκούσιον τῶν ἀνθρώπων αἵρεσιν, μακρά τις καὶ δυσθεράπευτος τῶν ἐπὶ γῆς ἁπάντων κατεκράτει νόσος, ἄλλων ἄλλως τῶν ἐθνῶν ὑπὸ τῶν πονηρῶν πνευμάτων ἐξοιστρουμένων καὶ εἰς ἀνήκεστον βυθὸν κακίας ἀποπιπτόντων. 2. ἤδη γοῦν ὠμοφάγων καὶ ἀνθρωποβόρων θηρίων τρόπον σάρκας τινὲς τῶν φιλ-
c τάτων θοινᾶσθαι καλὸν ἡγοῦντο, καὶ μητράσιν ἀνέδην καὶ ἀδελφαῖς καὶ θυγατράσι μίγνυσθαι, ἀγχόνῃ τε περιβάλλειν τοὺς γεγηρακότας καὶ κυσὶ καὶ οἰωνοῖς τοὺς νεκρούς. 3. τί δή σοι μνημονευσαίμην ἂν τῶν δῆθεν θεῶν, αὐτῶν δὴ τῶν φαύλων δαιμόνων, τὰς ὠμὰς καὶ ἐκτόπους ἀνθρωποθυσίας, εἰς ἃς τὸ ἀνθρώπειον γένος ἐξέμηναν; 4. καὶ ταῦτα γοῦν ἐν τοῖς προηγουμένοις τῆς μετὰ χεῖρας ὑποθέσεως προπαρε-

6 Es. 14, 14.

σκευασάμην. ἀλλὰ γὰρ τοσούτων κακῶν ὑπὸ τῶν φαύλων καὶ τῶν μοχθηρῶν πνευμάτων τοῦ τ' ἐν τούτοις τυράννου καθ' ὅλης τῆς οἰκουμένης προβεβλη- d μένων, καὶ μηδενὸς τῶν ἐφεστώτων ἀγγέλων οἵου τε ὄντος τοῖς κακοῖς ἐπαμύνειν, εἰκότως ἐκεῖνος ὁ θεὸς λόγος, ὁ τῶν ὅλων σωτὴρ, ἀγαθῷ νεύματι τῆς τοῦ πατρὸς φιλανθρωπίας, ὡς ἂν μὴ τὸ φίλον αὐτῷ γένος ἐν ἀσεβείας βυθῷ καλινδοῖτο, τέως μὲν βραχείας τινὰς καὶ ἀμυδρὰς τοῦ ἰδίου φωτὸς ἀκτῖνας διὰ προφήτου Μωσέως τῶν τε πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐτὸν θεοφιλῶν ἀνδρῶν ἐξέλαμπεν, τῶν ἐν ἀνθρώποις κακῶν τὴν ἴασιν ἐν ταῖς ἱεραῖς νομοθεσίαις προβαλλόμενος. 5. λέγει δ' οὖν ἄντικρυς αὐτὸς ὁ λόγος τῷ Ἑβραίων ἔθνει νομοθετῶν διὰ Μωσέως "κατὰ τὰ ἐπιτηδεύματα γῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσατε ἐπ' αὐ- (162) τῆς, οὐ ποιήσετε, καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ ἐν τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε, τὰ κρίματά μου ποιήσετε, καὶ τὰ προστάγματά μου φυλάξετε. ἐγὼ εἰμὶ κύριος ὁ θεὸς ὑμῶν."

6. Εἶτα πάντα ἀπαγορεύσας ἀθέμιτον γάμον καὶ πᾶσαν ἀσχήμονα πρᾶξιν, γυναικῶν τε πρὸς γυναῖκας καὶ ἀρρένων πρὸς ἄρρενας μίξεις, ἐπιλέγει "μὴ μιαίνεσθε ἐν πᾶσι τούτοις. ἐν πᾶσι γὰρ τούτοις ἐμιάνθη b τὰ ἔθνη, ἃ ἐγὼ ἐξαποστέλλω πρὸ προσώπου ὑμῶν. καὶ ἐξεμιάνθη ἡ γῆ, καὶ ἀνταπέδωκα ἀδικίαν αὐτῇ, καὶ προσώχθισεν ἡ γῆ τοῖς ἐγκαθημένοις ἐπ' αὐτῆς." 7. καὶ πάλιν φησὶν "ἐὰν δὲ σὺ εἰσέλθῃς εἰς τὴν γῆν ἣν κύριος ὁ θεός σου δίδωσί σοι, οὐ μὴ μαθήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. οὐχ

14 Levit. 18, 2. 23 Levit. 18, 24. 28 Deut. 18, 9.

εὑρεθήσεται ἐν σοὶ καθαίρων τὸν υἱὸν αὐτοῦ ἢ τὴν θυγατέρα αὐτοῦ ἐν πυρί, μαντευόμενος μαντείας, καὶ κληδονιζόμενος καὶ οἰωνιζόμενος, φαρμακὸς ἐπᾴ-
c δων, ἐγγαστρίμυθος καὶ τερατοσκόπος καὶ ἐπερωτῶν τοὺς νεκρούς. ἔστι γὰρ βδέλυγμα κυρίῳ τῷ θεῷ σου πᾶς ποιῶν ταῦτα. ἕνεκεν γὰρ τῶν βδελυγμάτων τούτων κύριος ὁ θεός σου ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου. τέλειος ἔσῃ ἐναντίον κυρίου τοῦ θεοῦ σου."

8. Τοιαῦτα μὲν καὶ μυρία ἄλλα θεοσεβῆ διδάγματά τε καὶ παραγγέλματα διὰ Μωσέως αὐτοῖς ὁ θεὸς λόγος τὸ πρὶν ἐνομοθέτει, ὡς ἐν εἰσαγωγαῖς τοῦ κατὰ εὐσέβειαν βίου παραδιδοὺς αὐτοῖς στοιχεῖα, διὰ
d συμβόλων καί τινος σκιώδους καὶ σωματικῆς λατρείας ἐν σώματος περιτομῇ καί τινων ἄλλων τοιουτοτρόπων ἐπὶ τῆς γῆς συντελουμένων. 9. ὡς δὲ τοῦ χρόνου προϊόντος οὐδεὶς τοσοῦτον καὶ τῶν μετ' αὐτὸν προφητῶν εἰς ἄκεσιν τῶν τοῦ βίου κακῶν δι' ὑπερβολὴν κακίας ἔσθενεν, ἤλαυνέ τε ὁσημέραι εἰς μείζονα τὰ
[104] τῆς δαιμονικῆς ἐνεργείας, ὡς καὶ αὐτὸ τὸ Ἑβραίων ἔθνος τῇ τῶν ἀθέων συναπαχθῆναι φθορᾷ, αὐτὸς ἤδη λοιπὸν ὁ σωτὴρ καὶ ἰατρὸς τῶν ὅλων κάτεισιν εἰς ἀνθρώπους, καὶ τοῖς οἰκείοις ἀγγέλοις ἐπαμύνων ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, τοῦτ' αὐτῷ τοῦ πατρὸς δωρήσεσθαι προϋποσχομένου, ὥσπερ οὖν αὐτὸς ἐν Ψαλμοῖς διδάσκει λέγων "κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς."

(163) 10. Οὐκέτι γοῦν μόνον τὸν δίκαιον καὶ διορατικὸν

---

26 Ps. 2, 7.

Ἰσραήλ, οὐδέ γε μόνον τὸν οἰκεῖον κλῆρον, πάντα δὲ
τὰ ἐπὶ γῆς ἔθνη, τὰ πρότερον πλείοσιν ἀγγέλοις κε-
κληρωμένα καὶ παντοίαις ἀσεβείαις κεκαλινδημένα,
ὑπὸ τὴν οἰκείαν ὑποβαλὼν ἐξουσίαν, παρῆν τοῖς πᾶσι
τὴν πρὸς τὸν αὐτοῦ πατέρα γνῶσίν τε καὶ φιλίαν ἐπι-
κηρυκευόμενος, λύσιν τε καὶ ἄφεσιν τῶν πρὶν ἀγνοη-
μάτων καὶ ἁμαρτημάτων ὑπισχνούμενος. 11. ὃ καὶ
σαφῶς ἐκήρυττε λέγων "οὐ χρείαν ἔχουσιν οἱ ἰσχύον- b
τες ἰατροῦ, ἀλλὰ οἱ κακῶς ἔχοντες." οὐκ ἦλθον κα-
λέσαι δικαίους, ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν. 12.
καὶ δὴ παρῆν τοῖς οἰκείοις ἀγγέλοις, αὐτοῖς δὴ τοῖς
πρὶν ἐφεστῶσι τῶν ἐθνῶν, ἐπιθεωρούμενος. οἱ δὲ
αὐτίκα τὸν σφῶν βοηθὸν καὶ κύριον εὖ μάλα ἀκρι-
βῶς ἐπιγνόντες περιχαρεῖς προσῆλθον καὶ διηκόνουν
αὐτῷ, ὥσπερ ἡ ἱερὰ τοῦ εὐαγγελίου διδάσκει γραφὴ
"καὶ προσῆλθον ἄγγελοι καὶ διηκόνουν αὐτῷ," φή-
σασα· ὅτε καὶ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων
τὸν θεὸν ἔλεγον "δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς c
εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία." 13. τούτους μὲν οὖν
ὡς οἰκείους ἀγγέλους τῆς αὐτοῦ δεομένους συμμαχίας
ταύτῃ πῃ ἀνελάμβανε· τοὺς δέ γε πάλαι ἀμφὶ τὰς
ἀνθρώπων διατριβὰς πωτωμένους, ἀφανῶς τε καὶ
ἐμφανῶς τῶν ἐπὶ γῆς καταδυναστεύοντας δαίμονας
ἀλιτηρίους, καὶ πνευμάτων ἀγρίων καὶ ἀπηνῶν γένη,
τόν τε ἐν τούτοις τῆς κακίας ἐξάρχοντα, τὸν δεινὸν
ἐκεῖνον καὶ ἀλάστορα, μεγάλῃ καὶ ἐνθέῳ δυνάμει
τροπούμενος ἐχειροῦτο, ὥς τινὰς συναισθομένους αὐ- d
τῶν λέγειν "ἔα, τί ἡμῖν καὶ σοί, υἱὲ τοῦ θεοῦ; ἦλ-
θες πρὸ καιροῦ βασανίσαι ἡμᾶς;" 14. καὶ τούσδε

---

8 Matth. 9, 12. 16 Matth. 4, 11. 18 Luc. 2, 13.
28 Matth 8, 29.

μὲν καὶ δι' ὧν ἔπραττε καὶ ἐδίδασκεν ἰσχυρῶς ᾐκί-
ζετο, πᾶν δὲ τὸ ἀνθρώπινον γένος τοῖς διὰ λόγων
ἡμέροις καὶ προσηνέσι φαρμάκοις ταῖς τε πραέσι καὶ
προτρεπτικαῖς αὐτοῦ διδασκαλίαις ἰᾶτο καὶ ἐθερά-
πευε, νόσων τε παντοίων καὶ παθῶν οὐχ ἧττον σω-
μάτων ἢ ψυχῶν ἀπήλλαττεν, παλαιᾶς τε δεισιδαιμο-
νίας καὶ δειμάτων πολυθέου πλάνης τῆς τε αἰσχρᾶς
καὶ ἀκολάστου διαίτης πάντας τοὺς προσιόντας ἐλευ-
θέρους ἀφεὶς, μεθιστῶν τε καὶ μεταβάλλων τοὺς
αὐτῷ προσανέχοντας, ἐκ μὲν ἀκολασίας ἐπὶ σώφρονα
βίον, ἐκ δὲ ἀσεβείας ἐπὶ εὐσέβειαν καὶ ἐξ ἀδικίας
(164) ἐπὶ δικαιοσύνην, ναὶ μὴν καὶ ἐκ τῆς τῶν πικρῶν
δαιμόνων δυναστείας ἐπὶ τὴν ἔνθεον κατάληψιν τῆς
ἀληθοῦς εὐσεβείας, καὶ πρὸς ἐπὶ τούτοις πύλας οὐ-
ρανίου ζωῆς καὶ τῆς κατ' εὐσέβειαν διδασκαλίας τοῖς
καθ' ὅλης τῆς οἰκουμένης ἔθνεσι προϊσχόμενος, καὶ
εἰς τοσοῦτόν γε κάτεισιν ὡς μὴ μόνον κάμνουσι καὶ
χαλεπῶς νοσηλευομένοις τὰς ψυχὰς τὴν σωτήριον
ὀρέξαι δεξιὰν, ἤδη δὲ καὶ ἐξ αὐτῶν τῶν πυλῶν τοῦ
b θανάτου τοὺς ἡμιθνῆτας, ἢ καὶ πάμπαν ἀπολωλότας
ἐκ μακροῦ τε κατορωρυγμένους τῶν τοῦ θανάτου λῦ-
σαι δεσμῶν· 15. δι' ἣν μάλιστα αἰτίαν καὶ μέχρι τῶν
αὐτόθι χωρίων ἐδέησεν αὐτῷ ἐνεργείας, ὡς ἂν μὴ
μόνον ζώντων, ἀλλὰ καὶ νεκρῶν κυριεύσειεν. ὅτε
μὲν οὖν τῷ πατρὶ σύνεστιν καὶ τὴν τῶν ὅλων πρό-
νοιαν ἐνθέῳ δυνάμει διακυβερνᾷ, οὐρανοῦ αὐτοῦ καὶ
γῆς ὁμοῦ καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων
[165] τῶν τε ἐπέκεινα οὐρανοῦ θείων καὶ ἀσωμάτων οὐσιῶν
c ἐπισκοπεῖ καὶ ἐπιμέλεται θεοῦ λόγος καὶ θεοῦ σοφία
καὶ θεοῦ δύναμις, ἄρχων τε καὶ ἡγούμενος καὶ βασι-
λεὺς, ἤδη δὲ καὶ θεὸς καὶ κύριος ἐν τοῖς θείοις χρη-
σμοῖς ἀνευφημεῖται, καὶ φωτίζων μὲν τὰς ἀσωμάτους

καὶ νοερὰς φύσεις. 16. ἥλιος δὲ δικαιοσύνης καὶ φῶς ἀληθινὸν ἀνείρηται, ὑπουργῶν δὲ καὶ συνουργῶν ταῖς τοῦ πατρὸς διατάξεσιν, ὑπουργὸς τοῦ πατρὸς καὶ δημιουργὸς χρηματίζει, ἀλλὰ καὶ μόνος κατὰ τάξιν εἰδὼς θεραπεύειν θεόν, μέσος τε ἑστὼς θεοῦ τοῦ ἀγεννήτου καὶ τῶν μετ' αὐτὸν γεννητῶν, τήν τε τῶν d ὅλων ἀναδεδεγμένος φροντίδα καὶ ὑπὲρ τῶν ὑπηκόων ἁπάντων ἱερωμένος τῷ πατρί, καὶ μόνος αὐτὸν τοῖς πᾶσιν εὐμενῆ καὶ ἵλεων παρέχων, ἀρχιερεὺς αἰώνιος καὶ δὴ Χριστὸς τοῦ πατρὸς προσαγορεύεται, οὕτω παρ' Ἑβραίοις Χριστῶν ἐπικαλουμένων πάλαι τῶν τὴν εἰκόνα τοῦ πρώτου διὰ συμβόλων ἐπιτελούντων· 17. καὶ ὅτε μὲν ἀγγέλοις ταξιαρχῶν ἐπιστατεῖ, μεγάλης βουλῆς ἄγγελος ἀναγορεύεται, καὶ τῶν κατ' οὐρανὸν στρατιῶν ἡγούμενος ἀρχιστράτηγος δυνάμεως κυρίου εἶναι. ἤδη δὲ κατιὼν ἐπὶ τὰ τῇδε ἡμῶν τε αὐτῶν τῆς λογικῆς φύσεως τῆς τε ἰδίας αὐτοῦ χάριν εἰκόνος καὶ φιλανθρωπίᾳ τοῦ πατρὸς ἀντιλαμβανόμενος, καθὸ μὲν ἔοικε νηπίων ἄρχειν καὶ οἱονεὶ βοσκημάτων, ποιμὴν ὠνόμασται προβάτων, καθὸ δὲ ψυχῶν ἐμπαθῶν τὴν θεραπείαν ἐπαγγέλλεται, σωτὴρ καὶ ἰατρὸς εἰκότως ἂν λέγοιτο. 18. τοῦτο γοῦν (165) ἡ παρ' Ἑβραίοις τοῦ Ἰησοῦ σημαίνει προσηγορία. ἐπεὶ δὲ ἔδει ποτὲ καὶ αὐτῷ ὀργάνου ἀνθρωπείου, ὡς ἂν καὶ ἀνθρώποις ἑαυτὸν φήνειεν καὶ τῆς τοῦ πατρὸς ἐπιγνώσεως καὶ εὐσεβείας τὸν ἀληθῆ λόγον διδάξειε, καὶ τοῦτον οὐκ ἀπαρνεῖται τὸν τρόπον· ἐπιβὰς δὲ εὖ μάλα τῇ ἡμετέρᾳ φύσει πάρεισιν εἰς ἀνθρώπους, θεὸν δι' ἀνθρώπου μέγα θαῦμα τοῖς πᾶσιν ἐπιδεικνύμενος, ὡς ἂν μὴ μόνον ἐξ ἀφανοῦς καὶ ἀδήλου ἄσαρκος ὢν b

1 Mal. 4, 2. Io. 1, 9. 15 Es. 9, 6. Ios. 5, 14.

καὶ ἀσώματος ἐπιστατοίη, αὐτοῖς δὲ σαρκὸς ὄμμασιν ὁρώμενος, ἀνθρώπων τε ὀφθαλμοῖς καὶ ὑπὲρ ἄνθρωπον θαυματουργίας παρέχων ὁρᾶν, καὶ προσέτι σώματος ἀκοαῖς τὰς διὰ γλώττης καὶ φωνῆς ἐνάρθρου παραδιδοὺς διδασκαλίας, θεῖόν τε ὡς ἀληθῶς καὶ παράδοξον χρῆμα, οἷον οὐδ' ἄλλο πω φανὲν μνημονεύεται, σωτήριόν τε ὁμοῦ καὶ εὐεργετικὸν τοῖς πᾶσιν αὐτὸς ἑαυτὸν ἐνδεικνύμενος. 19. οὕτω δῆτα ὁ θεὸς ὁ λόγος υἱὸς ἀνθρώπου ἐλέγετο, καὶ Ἰησοῦς ὠνομάζετο, παρ' ὅσον τῆς τῶν ἀνθρωπίνων ψυχῶν ἰάσεώς c τε καὶ θεραπείας χάριν τὴν πάροδον εἰς ἡμᾶς ἐποιεῖτο. σωτὴρ δ' οὖν καὶ παρ' Ἑβραίοις ἑρμηνεύεται ἡ τοῦ Ἰησοῦ προσηγορία. τάς τε κοινὰς ἡμῖν ὑπέμεινε διατριβὰς, οὐδαμῶς μὲν τοῦ εἶναι ὃς ἦν ἐξιστάμενος, ὁμοῦ δὲ ἐν τῷ ἀνθρώπῳ φυλάττων τὸν θεόν. 20. εὐθὺς τοιγαροῦν ἐπὶ τῆς πρώτης εἰς ἀνθρώπους καταβολῆς τῷ θεῷ τῆς ἡμετέρας γενέσεως τὴν ἔνθεον ἀνακιρνᾷ μεγαλουργίαν, τικτόμενος μὲν ἡμῖν ὁμοίως, καὶ θνητοῦ δίκην ἄνθρωπον ἀμφιεννύμενος· ὡς δ' οὐκέτι ἄνθρωπος, ἀλλὰ θεὸς, ἐξ ἀχράντου καὶ ἀπειρογάμου κόρης, οὐχὶ δὲ ἐκ μίξεως καὶ φθορᾶς, τὴν d τοῦ φαινομένου γένεσιν ὑφιστάμενος.

XI. Καὶ τὸν ἑξῆς δὲ σύμπαντα βίον ταύτῃ πῃ διετέλει, τοτὲ μὲν τὴν πρὸς ἡμᾶς ὁμοιοπάθειαν, τοτὲ δὲ τὸν θεὸν λόγον ὑποφαίνων, μεγαλουργῶν καὶ παραδοξοποιῶν ὡς θεὸς, καὶ τῶν μελλόντων ἔσεσθαι (166) προαναφωνῶν τὰς προρρήσεις, καὶ τὸν μὴ τοῖς πολ- [106] λοῖς ὁρώμενον θεὸν λόγον τοῖς ἔργοις ἄντικρυς ἐπιδεικνύμενος, εἰκότα δὲ καὶ ὅμοια ταῖς ἀρχαῖς καὶ τὰ τέλη αὐτῷ τῆς ἐξ ἀνθρώπων ἀπαλλαγῆς ἐνεχειρεῖτο.

XII. Καὶ γὰρ μέχρι θανάτου καὶ αὐτῶν νεκρῶν οἱ τῆς φιλανθρωπίας αὐτὸν ἐκάλουν νόμοι, ὡς ἂν καὶ

τῶν πάλαι τεθνεώτων τὰς ψυχὰς ἀνακαλέσοιτο. 2. ὅτι δὴ τῶν ἐξ αἰῶνος ἁπάντων αὐτῷ τῆς σωτηρίας ἔμελεν, καὶ ὅπως διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ᾗ τὰ θεῖα παιδεύει λόγια, κἀνταῦθα πάλιν ἀναμὶξ ὑπῄει τὴν οἰκονομίαν, ὡς μὲν ἄνθρωπος τὸ σῶμα τῇ συνήθει παραχωρῶν ταφῇ, ἀναχωρῶν δὲ αὐτοῦ ὡς θεός. 3. φωνήσας γοῦν μέγα καὶ "τῷ πατρὶ παρατίθεμαι τὸ πνεῦμα" εἰπὼν c ἄφετος ἀνεχώρει τοῦ σώματος, οὐδαμῶς περιμείνας προσεῖναι αὐτῷ τὸν θάνατον, μέλλοντα δὲ καὶ ὥσπερ ἀποκνοῦντα, μᾶλλον δὲ ὑπὸ πόδα χωροῦντα καὶ ἀποφεύγοντα, διώκων αὐτὸς ὄπισθεν καὶ ἐλαύνων, τάς τε ἐξ αἰῶνος πύλας τῶν σκοτίων μυχῶν διαρρηγνὺς, καὶ τοῖς αὐτόθι νεκροῖς σειραῖς θανάτου πεπεδημένοις παλίντροπον τῆς ἐπὶ τὴν ζωὴν ἀνόδου τὴν πορείαν ποιούμενος. 4. ταύτῃ τοι αὐτῷ καὶ ὁ τεθνεὼς ἀνηγείρετο, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀνίσταντο, συνεισελαύνοντα αὐτῷ εἰς τὴν ἁγίαν d καὶ ὡς ἀληθῶς οὐρανόπολιν, ὡς εἰκότως ἐν ταῖς θείαις ἀνειρῆσθαι φωναῖς "κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου." 5. καὶ αὐτὸς δὲ ὁ τῶν ὅλων σωτὴρ καὶ κύριος ἡμῶν, ὁ Χριστὸς τοῦ θεοῦ, νικηφόρος λεγόμενος, ἐν ταῖς προφητικαῖς προρρήσεσιν ἐπικερτομῶν εἰσάγεται τῷ θανάτῳ, καὶ τὰς αὐτόθι λύων πεπεδημένας ψυχὰς, δι' ὧν τὸν ἐπινίκιον ὕμνον προφέρεται, αὐτὰ δὴ ταῦτα λέγων "ἐκ χειρὸς Ἅιδου ῥύσομαι αὐτοὺς, καὶ ἐκ θανάτου λυτρώσομαι αὐτῶν τὰς ψυχάς. ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, θάνατε, τὸ κέντρον; τὸ δὲ κέντρον τοῦ θανάτου ἐστὶν ἡ ἁμαρ-

3 Heb. 2, 14. 8 Luc. 23, 46. 16 Matth. 27, 53. 20 Es. 25, 8. 27 Hos. 13, 14. 1. Cor. 15, 55.

τία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος." 6. τοι-
(167) αύτη τις αὐτῷ καὶ μέχρι τοῦ θανάτου ἐγένετο ἡ οἰκο-
νομία, ἧς οὐ μίαν αἰτίαν, ἀλλὰ καὶ πλείους εὕροι ἄν
τις ἐθελήσας ζητεῖν. πρώτην μὲν γὰρ ὁ λόγος διδά-
σκει, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· δευτέραν
δὲ, ὅπως τὰς ἡμετέρας ἀπομάξοιτο ἁμαρτίας, ὑπὲρ
ἡμῶν τυθεὶς καὶ γενόμενος ὑπὲρ ἡμῶν κατάρα· 7.
τρίτην, ὡς ἂν ἱερεῖον θεοῦ καὶ μεγάλη θυσία ὑπὲρ
b τοῦ σύμπαντος κόσμου προσαχθείη τῷ ἐπὶ πάντων
θεῷ· τετάρτην, ὡς ἂν οὕτω τῆς πολυπλανοῦς καὶ
δαιμονικῆς ἐνεργείας ἀπορρήτοις λόγοις καθαίρεσιν
ἀπεργάσαιτο· 8. πέμπτην ἐπὶ ταύτῃ, ὡς ἂν τοῖς αὐ-
τοῦ γνωρίμοις καὶ μαθηταῖς τῆς μετὰ τὸν θάνατον
παρὰ θεῷ ζωῆς τὴν ἐλπίδα μὴ λόγοις μηδὲ ῥήμασι
καὶ φωναῖς, ἀλλὰ αὐτοῖς ἔργοις παραστήσας, ὀφθαλ-
μοῖς τε παραδοὺς τὴν διὰ τῶν λόγων ἐπαγγελίαν,
εὐθαρσεῖς αὐτοὺς καὶ προθυμοτέρους ἀπεργάσοιτο καὶ
πᾶσιν Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις τὴν πρὸς αὐτοῦ
c καταβληθεῖσαν εὐσεβῆ πολιτείαν κηρῦξαι. 9. αὐτίκα
δ' οὖν αὐτοὺς δὴ τούτους τοὺς γνωρίμους καὶ θια-
σώτας, οὓς αὐτὸς αὐτῷ ἀριστίνδην ἐπικρίνας ἀπο-
στόλους τε αὐτοῦ καὶ μαθητὰς ἀνελέξατο, τῆς ἐξ αὐ-
τοῦ θείας δυνάμεως ἐνέπλησε, πᾶν γένος ἀνθρώπων
ἐκδιδάξαι τὴν πρὸς αὐτοῦ καταγγελθεῖσαν θεογνω-
σίαν, ἕνα τοῖς πᾶσιν Ἕλλησί τε καὶ βαρβάροις εὐσε-
(107) βείας ὑποθέμενος τρόπον, δαιμόνων ἀναχώρησίν τε
καὶ φυγὴν καὶ τῆς πολυθέου πλάνης ἀνάνευσιν, ἑνὸς
δὲ μόνου θεοῦ τοῦ ἐπὶ πάντων γνῶσιν ἀληθῆ προκη-
d ρύττοντα, καὶ λύσιν μὲν τῶν προηγνοημένων, εἰ μη-
κέτ' αὐτοῖς ἐπιμένοιεν, μίαν δὲ τοῖς πᾶσι σωτηρίας
ἐλπίδα δι' ἧς ὑποτέθειται πανσόφου καὶ παναρέτου
πολιτείας ὑπισχνούμενον.

XIII. Οὕτω δὴ τούτων ἐχόντων οὐ δεῖ ταράττεσθαι τὸν νοῦν, γένεσιν καὶ σῶμα καὶ πάθη καὶ θάνατον περὶ τὸν ἄϋλον καὶ ἀσώματον τοῦ θεοῦ λόγον (168) ἀκούοντα. ὡς γὰρ οὐδ' ἡλιακοῦ φωτὸς πάθοιέν τι ἀκτῖνες τὰ πάντα πληροῦσαι, καὶ σωμάτων νεκρῶν καὶ οὐ καθαρῶν ἐφαπτόμεναι, πολὺ πλέον ἡ ἀσώματος τοῦ θεοῦ δύναμις οὔτ' ἂν πάθοι τὴν οὐσίαν οὔτ' ἂν βλαβείη οὔτ' ἂν χείρων ποτὲ ἑαυτῆς γένοιτο, σώματος ἀσωμάτως ἐπαφωμένη. 2. τί γάρ; οὐχὶ καὶ δίχα τοῦ καθ' ὃ ἐνηνθρώπει σώματος ἀεὶ καὶ διὰ παντὸς ἥκων δι' ὅλης τῆς τῶν στοιχείων καὶ αὐτῶν δὴ τῶν σωμάτων ὕλης, οἷά τις θεοῦ λόγος ὢν δημι- b ουργός, τῆς ἐξ αὐτοῦ σοφίας ἐν αὐτῇ τοὺς λόγους ἀποσφραγίζεται, τῷ μὲν ἀψύχῳ ζωήν, τῷ δὲ ἀμόρφῳ ὄντι καὶ ἀειδεῖ τὴν φύσιν μορφὴν ἐναποτυπούμενος, τά τε ἐν αὐτῷ κάλλη καὶ τὰς ἀσωμάτους ἰδέας ταῖς τῶν σωμάτων ποιότησιν ἐναποματτόμενος, κινῶν δὲ τὰ τῷ οἰκείῳ λόγῳ ἄψυχα καὶ ἀκίνητα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, 3. πάνσοφόν τινα καὶ παναρμόνιον κίνησιν, καὶ τὰ πάντα ἐξ ἀκοσμίας κοσμῶν, αὔξων τε καὶ τελεσιουργῶν, αὐτῇ τε ἐνθέῳ καὶ λογικῇ δυνάμει c μονονουχὶ ἐπιὼν τὰ πάντα, καὶ διὰ πάντων χωρῶν πάντων τε ἐφαπτόμενος, ἀλλ' οὔτι γε βλάβην ἔκ τινος ἐπαγόμενος, οὐδὲ τὴν φύσιν αὐτὴν μολυνόμενος, οὕτω δὴ τὰ κατὰ ταῦτα καὶ ἐν ἀνθρώποις γενόμενος, πάλαι μὲν βραχέσι καὶ ἀριθμῷ ληπτοῖς, μόνοις δὲ τοῖς ἀναγράπτοις προφήταις τε καὶ δικαίοις ἀνδράσιν, ἄλλοτε ἄλλως ἐφαίνετο, ἐπὶ τέλει δὲ τοῖς πᾶσιν ἤδη, φαύλοις τε καὶ ἀσεβέσιν, Ἑβραίοις τε ὁμοῦ καὶ Ἕλ- d λησι, δι' ὑπερβάλλουσαν τοῦ παναγάθου πατρὸς χρηστότητα καὶ φιλανθρωπίαν εὐεργετικὸν ἑαυτὸν καὶ σωτήριον παρείχετο, διαρρήδην τοῦτο προκηρύτ-

των "οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλὰ οἱ
κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ'
ἁμαρτωλοὺς εἰς μετάνοιαν;" 4. ἐκάλει δῆτα ὁ πάν-
των σωτὴρ "δεῦτε (λέγων) πρός με πάντες οἱ κοπιῶν-
τες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς." ἐκά-
λει καὶ ἰᾶτο ἀφθόνως δι' ὀργάνου οὗ προυβέβλητο
ἀνθρωπίνου, οἷά τις μουσικὸς ἀνὴρ διὰ τῆς λύρας
τὴν σοφίαν ἐπιδεικνύμενος, καὶ νοσούσαις γε ψυχαῖς
ταῖς ἐν σώμασιν, οἷά τις ἰατρῶν ἄριστος συγγε-
νεῖ καὶ καταλλήλῳ βοηθήματι τὸν ἄνθρωπον θερα-
πεύων, αὐτός τε ἑαυτὸν ὑπόδειγμα πανσόφου καὶ
παναρέτου καὶ εὐσεβοῦς παρείχετο βίου, διδά-
(169) σκων μὲν τὰ ἀληθῆ οὐ παρ' ἑτέρων ἠρανισμένα, ἐξ
αὐτοῦ δὲ καὶ παρὰ τοῦ πατρὸς τὰ πάλαι καὶ ἐκ μα-
κροῦ τοῦ αἰῶνος τοῖς ἀνέκαθεν θεοφιλέσι καὶ τοῖς
πρὸ Μωσέως Ἑβραίοις νενομοθετημένα· 5. σωμάτων
δὲ οὐχ ἧττον ἢ ψυχῶν ἐπιμελόμενος, καὶ σαρκικοῖς
μὲν ἀνθρώπων ὀφθαλμοῖς τὰ διὰ τῆς σαρκὸς αὐτῷ
δρώμενα παρασκευάζων ὁρᾶν, ἀκοαῖς δὲ πάλιν σαρ-
κὸς τὰς διὰ γλώττης καὶ σαρκὸς ὑπηχῶν διδασκαλίας,
b καὶ πάντα γε ἐπιτελῶν δι' οὗ ἀνείληφεν ἀνθρώπου
τοῖς οὐκ ἄλλως ἢ μόνως οὕτως τῆς αὐτοῦ θειότητος
[108] συναισθέσθαι δυναμένοις. 6. ταῦτα δὴ οὖν ἅπαντα
εἰς τὸ χρήσιμον καὶ πᾶσιν ἡμῖν ὠφέλιμον ὁ πάντα
φιλάνθρωπος τοῦ θεοῦ λόγος ταῖς πατρικαῖς βουλαῖς
διηκονεῖτο, μένων πάλιν αὐτὸς ἄϋλος καὶ ἀσώματος,
οἷος καὶ πρὸ τοῦ παρὰ τῷ πατρὶ ἦν, οὐ μεταβαλὼν
τὴν οὐσίαν, οὐδ' ἀφανισθεὶς τῆς αὐτὸς ἑαυτοῦ φύ-
σεως, οὐδέ γε τοῖς τῆς σαρκὸς δεσμοῖς πεδηθείς,
οὐδὲ ἀποπεσὼν τῆς θεότητος, ἀλλ' οὐδὲ τὴν οἰκείαν

---

1 Matth. 9, 12. 4 Matth. 11, 28.

τοῦ λόγου παραπολέσας δύναμιν, οὐδ' ὧδε μὲν ἔνθα c
ἦν αὐτῷ τὸ ἀνθρώπειον σκεῦος τὰς διατριβὰς ποιού-
μενος, ἐν ἑτέροις δὲ εἶναι τοῦ παντὸς κεκωλυμένος·
ἀλλὰ γὰρ καὶ ἐν τῷ τότε, καθ' ὃ ἐν ἀνθρώποις ἐπο-
λιτεύετο, τὰ πάντα ἐπλήρου, καὶ τῷ πατρὶ συνῆν,
καὶ ἐν αὐτῷ γε ἦν, καὶ τῶν πάντων ἀθρόως καὶ ἐν
τῷ τότε τῶν τε κατ' οὐρανὸν καὶ ἐπὶ γῆς ἐπεμέλετο,
οὐδαμῶς τῆς πανταχόσε παρουσίας ὁμοίως ἡμῖν ἀπο-
κεκλεισμένος, οὐδὲ τὰ θεῖα πράττειν συνήθως παρα-
ποδιζόμενος, ἀλλὰ τὰ μὲν ἐξ αὐτοῦ μεταδιδοὺς τῷ ἀν- d
θρώπῳ, τὰ δ' ἐκ τοῦ θνητοῦ μὴ ἀντιλαμβάνων, καὶ
τῆς μὲν ἐνθέου δυνάμεως τῷ θνητῷ χορηγῶν, τῆς δὲ
ἐκ τοῦ θνητοῦ μετουσίας οὐκ ἀντεπαγόμενος. 7. οὔτ'
οὖν ἐμολύνετο τικτόμενος ὑπὸ τοῦ σώματος ὁ ἀσώ-
ματος, οὐδὲ τὴν οὐσίαν ἔπασχεν ὁ ἀπαθὴς ὑπὸ τοῦ
θνητοῦ, ἐπεὶ μηδὲ τῆς λύρας, εἰ οὕτως τύχοι, κοπτο-
μένης, ἢ τῶν χορδῶν διασπωμένων, πάσχειν εἰκὸς
τὸν ἀνακρουόμενον, οὐδέ γε σοφοῦ τινος ἀνδρὸς τιμω-
ρουμένου τοῦ σώματος τὴν ἐν αὐτῷ σοφίαν ἢ τήν γε
ἐν τῷ σώματι ψυχὴν κόπτεσθαι ἢ κάεσθαι φαίημεν
ἂν εἰκότως· ταύτῃ τοι πολὺ πλέον οὐδὲ τὴν τοῦ λό-
γου φύσιν ἢ δύναμιν βλάβος τι ἐκ τῶν τοῦ σώματος (170)
παθῶν ἀποφέρεσθαι φάναι εὔλογον, ὅτι μηδὲ τὸ τοῦ
φωτὸς ἡμῖν ὑπόδειγμα χραίνεσθαί τι τὰς ἡλιακὰς ἀκτῖ-
νας ἐπὶ γῆς οὐρανόθεν ἐκπεμπομένας πηλοῦ τε καὶ
βορβόρου καὶ μιασμοῦ παντὸς ἐφαπτομένας συνεχώ-
ρει. 8. φωτίζεσθαι μὲν καὶ ταῦτα ἐκ τῶν τοῦ φωτὸς
αὐγῶν οὐδὲν ἂν κωλύοι λέγειν· τὸ δέ γε τὸν ἥλιον
μολύνεσθαι ἐκ τῆς τῶν σωμάτων ἐπιμιξίας, ἢ πηλοῦ-
σθαι, οὐκέτι. καὶ μὴν ταῦτά γε τῆς φύσεως οὐκ ἂν b
εἴη τῶν σωμάτων ἀλλότρια. 9. ὁ δέ γε ἄϋλος καὶ
ἀσώματος τοῦ θεοῦ λόγος, αὐτοζωὴ τυγχάνων καὶ

αὐτοφῶς νοερὸν καὶ ὅσα ἄλλα προκατείλεκται, παν-
τὸς οὗ δ' ἂν ἐφάψοιτο ἐνθέῳ καὶ ἀσωμάτῳ δυνάμει,
ζῆν τοῦτο ἀνάγκη καὶ σὺν λογικῷ διάγειν φωτί. ταύ-
τῃ τοι καὶ σώματος οὗ δ' ἂν ἐφάψοιτο, ἡγίασται τοῦτο
καὶ πεφώτισται αὐτίκα, πᾶσά τε νόσος αὐτῷ καὶ ἀρ-
ρωστία καὶ πάνθ' ὅσα ὑπεξίσταται. 10. ἀντιλαμβά-
νει δὲ τῆς ἐξ αὐτοῦ πληρώσεως στέρησις. οὕτω δῆτα
c καὶ τὸ νεκρὸν τῆς τοῦ λόγου δυνάμεως μικρόν τι αὐ-
τοῦ ἐφαψάμενον ἀνηγείρετο ζωούμενον, καὶ ὁ θάνατος
τὴν ζωὴν ἔφευγεν, καὶ τῷ γε φωτὶ τὸ σκότος ἐξελύ-
ετο, τό τε φθαρτὸν τὴν ἀφθαρσίαν ἐνεδιδύσκετο καὶ
τὸ θνητὸν τὴν ἀθανασίαν.

d XIV. *Καὶ τί γὰρ ἄλλο πλὴν ὁ πᾶς ἄνθρωπος ὑπὸ*
τῆς θεότητος κατεπίνετο, καὶ πάλιν θεὸς ἦν ὁ θεὸς
λόγος οἷος καὶ πρὶν γενέσθαι ἄνθρωπος, καὶ συνα-
πεθέου γε τὸν ἄνθρωπον ἀπαρχὴν τῆς ἡμῶν ἐλπίδος,
τοῦτον αὐτὸν ἐκεῖ τῆς τε παρ' αὐτῷ ζωῆς ἀϊδίου καὶ
τῆς ἐν τῇ θεότητι καὶ μακαριότητι κοινωνίας ἀξιῶν,
ἡμῖν τε ὁμοίως ἅπασι τῆς παρ' αὐτῷ καὶ σὺν αὐτῷ
ἀθανασίας τε καὶ βασιλείας τοῦτο μέγιστον δεῖγμα
παρέχων;

(171) XV. *Τοῦτο τῆς εἰς ἀνθρώπους ἀφίξεως τέλος ἦν,*
[109] τὸν πάλαι τῆς τοῦ πατρὸς γνώσεως ἀποπεπλανημένον
b εἰς τὴν οἰκείαν ἐπαναγαγεῖν, καὶ τὸν συγγενῆ καὶ
φίλον τῆς τε αὐτοῦ κατηξιωμένον εἰκόνος τῆς οἰκείας
ἀπολαῦσαι ζωῆς, φίλον τε καὶ οἰκεῖον τοῦ πατρὸς
ἀποφῆναι τοῦτον, δι' ὃν αὐτὸς ὁ τοῦ θεοῦ λόγος ὑπέ-
στη γενέσθαι ἄνθρωπος. 2. οὕτω δῆτα, ὡς ἐν βραχεῖ
φάναι, ἡ κατὰ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν
τὸν Χριστὸν ὑπόθεσις, διάφορον ἔχουσα τὴν οἰκονο-
μίαν, ἐκ τῶν παρ' Ἑβραίοις παραστήσεται προφη-
c τικῶν λόγων, ὥσπερ οὖν μικρὸν ὕστερον αἱ ἐξ αὐτῶν

δείξουσι μαρτυρίαι, πιστουμένων τὰ παλαιὰ τῶν νέων γραμμάτων, καὶ τῶν εὐαγγελικῶν τὰς τῶν προφητικῶν μαρτυρίας ἐπισφραγιζομένων. ἀλλὰ γὰρ τούτων ὧδε ἐχόντων ὥρα λοιπὸν καὶ περὶ τῆς προσηγορίας αὐτοῦ διελθεῖν, καθ' ὃ Ἰησοῦς καὶ Χριστὸς ἀνηγόρευται, δι' ὅσων τε προφητειῶν ὀνομαστὶ προεκηρύττετο. 3. πρῶτα δὲ σκεψώμεθα τί βούλεται δηλοῦν ἡ τοῦ Χριστοῦ προσηγορία, πρὶν ἄρξασθαι τῆς κατὰ μέρος συναγωγῆς τῶν προφητικῶν περὶ τοῦ προκειμένου σκέμματος λογίων. προσήκειν δὲ ἡγοῦ- d μαι περὶ αὐτῆς πρῶτον τῆς Χριστοῦ διαλαβεῖν προσηγορίας, διαρθρῶσαί τε τὴν περὶ αὐτῆς ἔννοιαν, ὡς ἂν μηδὲν ἡμᾶς λάθοι τῶν κατὰ τὸν τόπον ζητουμένων. 4. ἄλλος μὲν οὖν ἐγγύθεν καὶ ἐκ τῶν καθ' ἡμᾶς ἀρξάμενος εἶπεν ἂν Μωσέα νομοθετῆσαι πρῶτον ἁπάντων τοὺς τῷ θεῷ ἱερωμένους μύρῳ σκευαστῷ χρίεσθαι, εὐωδίας δεῖν τὰ σώματα καὶ ἀγαθοῦ τινος ἀποπνεῖν ἡγησάμενος, ἐπεὶ πᾶν τὸ δυσῶδες μιαραῖς καὶ ἀκαθάρτοις δυνάμεσιν εἶναι φίλον, ὡς ἔμπαλιν τοῖς φιλαγάθοις τὸ εὐῶδες. 5. ὅθεν καὶ θυμιάματι συγκειμένῳ εἰς ὑπερβολὴν εὐωδίας καθ' ἑκάστην (172) ἡμέραν τοῖς ἱερεῦσι χρῆσθαι ἐν τῷ ἱερῷ νομοθετῆσαι, ὅπως κατακιρναμένου τοῦ ἀέρος καὶ τὸ δυσῶδες ἀφανίζοντος, θεία τις ἀπορροὴ τοῖς εὐχομένοις καταμιγνύηται. 6. διὰ γὰρ τοῦτο αὐτὸ καὶ χρῖσμα ἀλειπτικὸν εὐωδέστατον διὰ μυρεψικῆς τέχνης συνθεῖναι, ὡς ἂν χρίοιντο τούτῳ οἱ τῶν κοινῶν δημοσίᾳ προστήσεσθαι μέλλοντες, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα πρῶτον Μωσέα τοῖς χριομένοις ἐπιθεῖναι· τοῦτο δὲ τὸ χρῖσμα μὴ μόνον ἀρχιερεῦσι παραδοθῆναι, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα προφήταις καὶ βασιλεῦσιν, οἷς καὶ αὐτοῖς b τούτῳ χρίεσθαι μόνοις ἐξὸν ἦν τῷ μύρῳ. 7. ταῦτα

μὲν οὖν προχειρότερα ἂν εἴη, πόρρω γε μὴν καθε-
στῶτα τῆς ἐνθέου καὶ μεγαλοφυοῦς τοῦ προφήτου δια-
νοίας. 8. ὁ γάρ τοι θαυμάσιος ἐκεῖνος καὶ μέγας ὡς
ἀληθῶς ἱεροφάντης πᾶσαν γεώδη καὶ σωματικὴν οὐ-
σίαν ἐν μόναις εἰδὼς ταῖς ποιότησι διακεκριμένην, κατ'
οὐδένα τρόπον ἑτέραν τῆς ἑτέρας προυτίμησεν, τὰ πάντ'
εἰδὼς μιᾶς ὄντα ἔκγονα ὕλης οὔποτε ἑστώσης, οὐδέ τι
c βέβαιον ἐν τῇ φύσει ἐχούσης, ἀεὶ δὲ ῥεούσης καὶ ἐπὶ
τὴν οἰκείαν φθορὰν ἐπειγομένης. οὔκουν τὸ ἡδὺ τῶν
σωμάτων εἵλετο, οὐδ' αὐτὸ καθ' αὑτὸ προὔκρινεν
ἂν τὸ ἀπὸ τῶν αἰσθήσεων προσηνές· χαμαὶ γὰρ καὶ
ἐπὶ σωμάτων ἡδονὴν πεσούσης τοῦτ' ἂν εἴη τὸ πάθος
ψυχῆς. 9. μυρίοι γοῦν τῶν τὰ σώματα τεθηλυμμένων,
ἐμπαθεῖς ἄλλως καὶ ἀκόλαστοι, μύρων καὶ ποικίλων
περιεργίαις χρώμενοι, πάσης αἰσχρᾶς καὶ ῥυπώσης
δυσωδίας τὰς ψυχὰς ἐπιφέρονται, ὡς ἔμπαλιν οἱ θεο-
φιλεῖς, ἀρετῆς ἐμπνέοντες, τὴν πολὺ κρείττονα τῶν
d ἀπὸ γῆς ἀρωμάτων τὴν ἀπὸ σωφροσύνης καὶ δικαι-
οσύνης καὶ πάσης εὐσεβείας ἀναδιδομένην εὐωδίαν
[110] ἐπαγόμενοι τὴν τῶν ὑλικῶν σωμάτων ὀδμὴν ἐν οὐ-
δενὶ τέθεινται λόγῳ. 10. ταῦτα οὖν εὖ μάλα διει-
ληφὼς ὁ προφήτης μύρων μὲν ἢ καὶ θυμιαμάτων
οὐδεμίαν προηγουμένην ἐποιεῖτο φροντίδα, κρειττό-
νων δὲ καὶ θείων εἰκόνας, ὡς ἐνῆν δυνατὸν, διὰ
σωμάτων τοῖς μόνως οὕτως καὶ οὐδ' ἄλλως τὰ θεῖα
οἵοις τε μανθάνειν παρεδίδου. 11. ὅτι δὴ τοῦτ' αὐτὸ
καὶ ὁ θεῖος ἀναγέγραπται εἰρηκὼς χρησμὸς φήσας
"ὅρα ποιήσεις πάντα κατὰ τὸν τόπον τὸν δειχθέντα
σοι ἐν τῷ ὄρει." σύμβολα τοιγαροῦν ἑτέρων, ἅπερ
(173) τύπους εἴωθεν ὀνομάζειν, ἐπιτελῶν τὴν διὰ τοῦ μύρου

---

28 Exod. 25, 40.

χρῖσιν ἐνομοθέτει. 12. ὅ γε μὴν ὑψηλὸς καὶ ἐν ἀπορρήτοις δηλούμενος αὐτῶν λόγος, ὡς δυνατὸν εἰπεῖν, τοιαύτην εἶχε διάνοιαν, τὸ μόνον ἀγαθὸν καὶ μόνον ὡς ἀληθῶς εὐῶδες καὶ τίμιον, καὶ πάσης μὲν ζωῆς αἴτιον, πᾶσι δὲ σὺν τῷ εἶναι καὶ τὸ εὖ εἶναι δεδωρημένον, ἓν τοῦθ' ὁ παρ' Ἑβραίοις λόγος ἠπίστατο πρῶτον τῶν ὅλων αἴτιον, αὐτὸν δὴ τὸν ὕψιστον καὶ παμβασιλέα τῶν ἁπάντων δημιουργὸν θεόν. 13. τούτου δὴ οὖν τὴν παναλκῆ καὶ πανάγαθον καὶ παντὸς καλοῦ χορηγὸν τῆς ἀνωτάτω καὶ ἀγεννήτου θεότητος δύναμιν τὸ θεῖον πνεῦμα οἰκείῳ καὶ προσφυεῖ συμβαλὸν παραδείγματι ἔλαιον θεοῦ προσαγορεύει· διόπερ Χριστὸν καὶ ἠλειμμένον τὸν αὐτῆς μέτοχον ἀποκαλεῖ. b 14. ἔλαιον δὲ μὴ τὸν οἶκτον ἐν τούτοις ἄκουε, μηδὲ τὴν ἐπὶ τοῖς δυσπραγοῦσι λύπην, ἀλλ' ὃ ὁ καρπὸς τοῦ φυτοῦ παρίστησι, τὸ πάσης ἀμιγὲς ὑγρᾶς ὕλης, φωτὸς αὐξητικὸν, πόνων θεραπευτικὸν, καμάτων ἀπαλλακτικὸν, τὸ τῶν ἐπαλειψαμένων φαιδροποιὸν, φωτὸς δίκην ἀποστίλβον ταῖς μαρμαρυγαῖς, διαυγῆ τε καὶ λαμπρὰν τῶν αὐτῷ χρωμένων ἀποτελοῦν τὴν ὄψιν, ὅ φησιν ἡ θεία γραφὴ "τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ." 15. τούτῳ τοιγαροῦν ὁ λόγος τὴν ἀνωτάτω τοῦ πανηγεμόνος καὶ παμβασιλέως θεοῦ c δύναμιν συμβαλὼν τῷ παραδείγματι, τὸν πρῶτον καὶ μόνον ὅλῳ τούτῳ χρισθέντα, καὶ τῆς θεϊκῆς καὶ πᾶσιν ἀκοινωνήτου πατρικῆς εὐωδίας μετειληφότα, καὶ μόνον ἐξ αὐτοῦ γεννηθέντα θεὸν λόγον, μετοχῇ τε τοῦ γεννήσαντος ἀγεννήτου καὶ πρώτου καὶ μείζονος θεὸν ἐκ θεοῦ ἀποφανθέντα, Χριστὸν καὶ ἠλειμμένον ἀπεκάλεσε. διὸ καὶ ἐν Ψαλμοῖς πρὸς αὐτὸν δὴ τοῦ-

---

21 Ps. 103, 15.

τον τὸν ὑπὸ τοῦ πατρὸς ἠλειμμένον ἀναφωνεῖ το φά-
d σκον ὧδε λόγιον "ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασι-
λείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδι
κίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον
ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου."

16. Ἀλλὰ γὰρ μία μὲν ἡ τοῦ ἐλαίου φύσις, ἡ δὲ
τοῦ μύρου πολλῶν ἐπὶ τὸ αὐτὸ σύνοδον σημαίνει.
ταύτῃ τοι καὶ ἡ πρώτη καὶ ἀγέννητος τοῦ παμβασι-
λέως θεοῦ δύναμις καθ' ὃ μὲν ἁπλῆ τις καὶ ἀσύν-
θετος καὶ ἄλλης πάσης οὐσίας ἀμιγὴς ἐπινοεῖται,
ἁπλῷ τῷ τοῦ ἐλαίου προσρήματι παραβέβληται, καθ'
ὃ δὲ πλείστων ἐπινοιῶν ἐν ταυτῷ περιληπτικὴ τυγ-
χάνει, οἷον ποιητικῆς ἢ βασιλικῆς, προνοητικόν τε
(174) καὶ κριτικὸν, φιλάνθρωπόν τε καὶ σωτήριον, ἄλλων
τε ὅσων μυρίων ἐπινοίᾳ θεωρουμένων, εἰκότως μύρῳ
πάλιν ἡ τῶν πολλῶν καὶ ἀγαθῶν περιληπτικὴ δύ-
ναμις ἀπείκασται, ᾧ κεχρῆσθαι τὸν ἀληθῆ καὶ μόνον
ἀρχιερέα τοῦ θεοῦ θεῖοι λόγοι παιδεύουσι. 17. πρῶ-
τός γέ τοι αὐτὸς ὁ Μωσῆς ἐν ἀπορρήτοις τὰ θεῖα
ἐποπτεῦσαι ἠξιωμένος, καὶ τὰς περὶ τοῦ πρώτου καὶ
μόνου ἠλειμμένου καὶ ἀρχιερέως τοῦ θεοῦ τελετὰς ἐν
ταῖς αὐτοῦ θεοφανείαις πρὸς αὐτοῦ τετελεσμένας,
b εἰκόνας προστάττεται ἐπὶ γῆς καὶ σύμβολα καταστή-
σασθαι τῶν ἐν ταῖς θεοπτίαις νενοημένων, ὡς ἂν
ἔχοιεν προεμμελετᾶν τοῖς συμβόλοις οἱ τῶνδ' ἠξιω-
μένοι μέχρι τῆς τῶν ἀληθῶν ἐποπτείας. 18. αὐτῷ
δῆτα ἀφορισάμενος τέως τὸν ἐξ ἀνθρώπων ἐπὶ γῆς
τῷ θεῷ ἱερατεύεσθαι ἐπιτήδειον ἄνδρα πρῶτος τοῦ-
[111] τον Χριστὸν ἐπωνόμασε, κατ' ἀναφορὰν τῆς ἐν τοῖς

2 Ps. 44, 6.

νοητοῖς θεωρίας, καὶ τοῦτον διά τινος ἀλοιφῆς εὐώδους κρείττονα τῶν λοιπῶν ἀνθρώπων ἀποφήνας, ἄντικρυς καὶ διαρρήδην ἀνεκήρυξεν, ὅτι δὴ καθ' c αὑτὴν ἡ τοῦ γεννητοῦ φύσις ἅπασα, καὶ πολὺ πλέον ἡ ἀνθρωπεία τῆς ἀγεννήτου δυνάμεως ἀπολειπομένη, δεῖται τῆς ἀπὸ τοῦ κρείττονος εὐωδίας. 19. ἀλλὰ τοῦ μὲν ἀνωτάτου καὶ πρώτου οὔ τινι θεμιτὸν ἐφικέσθαι· ἑνὶ γὰρ μόνῳ τῷ μονογενεῖ καὶ πρωτοτόκῳ τοῦτ' ἀνέκειτο τὸ γέρας· τοῖς δὲ μετ' αὐτὸν οὐκ ἄλλως ἢ διὰ μόνης τῆς τοῦ δευτέρου μετουσίας τῶν ἀγαθῶν οἷόν τε ἦν ἐπαύρασθαι· πνεύματος ἄρα ἐνθέου τὸ παρὰ Μωσεῖ σύμβολον ἦν. 20. "διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δ' αὐτὸ πνεῦμα," οὗ μάλιστα d μετέχειν φιλοτιμεῖσθαι ἱερέας καὶ προφήτας καὶ βασιλέας ᾤετο δεῖν, ὡς ἂν οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ παντὸς τοῦ ἔθνους τῷ θεῷ καθωσιωμένους. 21. ὅτι δὲ δὴ θειοτέρων ἦν τὰ παρὰ Μωσεῖ σύμβολα, καὶ ὡς δυνατὸν ἦν καὶ ἄνευ γεώδους μύρου τοὺς τῷ θείῳ πνεύματι κατόχους Χριστοὺς ὀνομάζεσθαι, φέρε τι μᾶλλον ἀκριβέστερον διασκεψώμεθα. 22. Δαβὶδ ἐν ρδ' Ψαλμῷ τὰς περὶ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ ἀναλαβὼν ἱστορίας αὐτοὺς δὴ ἐκείνους τοὺς θεοφιλεῖς προπάτορας καὶ πρὸ τῶν Μωσέως χρόνων γενομένους Χριστοὺς ἀποκαλεῖ, οὐ δι' ἄλλο ἢ διὰ τὴν τοῦ θείου πνεύματος, οὗ μετεῖχον, (175) ἐπιρροήν. 23. ἱστορήσας γοῦν ὅπως ἐπεξενώθησαν τοῖς ἀλλοφύλοις καὶ ὡς ἐπιβουλευθέντες σωτῆρος ἔτυχον τοῦ θεοῦ, κατὰ τὰ παρὰ Μωσεῖ δηλούμενα, προφήτας αὐτοὺς ὁμοῦ καὶ Χριστοὺς ὀνομάζει, οὔπω τότε Μωσέως ἐν ἀνθρώποις ὄντος, οὐδὲ τοῦ κατ'

---

12 1. Cor. 12, 4.

αὐτὸν σκευαστοῦ μύρου νενομοθετημένου. ἄκουε δὲ
οἷά φησιν ὁ Ψαλμός "μνήσθητε τῶν θαυμασίων
αὐτοῦ ὧν ἐποίησε· τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα
τοῦ στόματος αὐτοῦ· σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ,
οἱ υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. 24. αὐτὸς κύριος ὁ
θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. ἐμνήσθη
b εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο
εἰς χιλίας γενεάς, ὃν διέθετο τῷ Ἀβραάμ, καὶ τοῦ
ὅρκου αὐτοῦ τῷ Ἰσαάκ. καὶ ἔστησεν αὐτὴν τῷ Ἰακὼβ
εἰς πρόσταγμα καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον,
λέγων, σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρο-
νομίας ὑμῶν. καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος καὶ
ἐκ βασιλείας εἰς λαὸν ἕτερον. οὐκ ἀφῆκεν ἄνθρωπον
ἀδικῆσαι αὐτούς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς·
c μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις
μου μὴ πονηρεύεσθε."

25. Ταῦτα μὲν ὁ Δαβίδ· ὁ δὲ Μωσῆς καὶ οἵους
βασιλεῖς ἤλεγξεν ἱστορεῖ λέγων "καὶ ἤτασε κύριος
τὸν Φαραὼ ἐτασμοῖς μεγάλοις, καὶ τὸν οἶκον αὐτοῦ
περὶ Σάρρας τῆς γυναικὸς Ἀβραάμ." 26. καὶ πάλιν
περὶ τοῦ βασιλέως Γεράρων γράφει "καὶ ἦλθεν ὁ
θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα, καὶ εἶπεν,
ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικὸς ἧς ἔλαβες·
αὕτη δὲ ἦν τοῦ Ἀβραάμ." 27. περὶ οὗ ἑξῆς προϊὼν
d φησι "νῦν δὲ ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι
προφήτης ἐστίν, καὶ προσεύξεται περὶ σοῦ."

28. Ὁρᾷς ὅπως διὰ τούτων τοὺς πάλαι θεοφιλεῖς
καὶ προφήτας Χριστοὺς ὁ Δαβίδ, μᾶλλον δὲ τὸ θεῖον
δι' αὐτοῦ προσεῖπε πνεῦμα, οὐ τῷ γεώδει μύρῳ

2 Ps. 104, 5. 18 Gen. 12, 17. 21 Gen. 20, 3.
25 Gen. 20, 7.

κεχρισμένους. πῶς γάρ, Μωσέως ὑστέροις χρόνοις οὕτω διαταξαμένου; ἄκουε δὲ καὶ Ἡσαΐου οὕτω σαφέστατα περὶ τοῦ Χριστοῦ θεσπίζοντος, ὡς ἀποσταλησομένου ὑπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις λυτρωτοῦ καὶ σωτῆρος, ἥξοντός τε κηρῦξαι τοῖς τὰς ψυχὰς αἰχμαλώτοις ἄφεσιν καὶ τοῖς τὰς διανοίας τυφλοῖς ἀνάβλεψιν. 29. *τοῦτον γὰρ πάλιν ὁ προφήτης οὐ σκευαστῷ μύρῳ, ἀλλὰ τῷ τῆς πατρικῆς θεότητος* [112] *νοητῷ καὶ θεοπρεπεῖ Χριστὸν γεγεννῆσθαι διδάσκει, οὐχ ὑπ' ἀνθρώπων, ἀλλὰ ἐκ τοῦ πατρὸς κεχρισμένον.* 30. *λέγει δ' οὖν ἐξ αὐτοῦ προσώπου "πνεῦμα κυρίου* (176) *ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν καὶ τυφλοῖς ἀνάβλεψιν."*

31. *Τοῦτο μὲν οὖν πρῶτον τετηρήσθω, ὡς καὶ Ἡσαΐας τῷ Δαβὶδ παραπλησίως ὃν ἥξειν ἔφησεν εἰς ἀνθρώπους καὶ κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, οὐ σκευαστῷ μύρῳ, ἀλλὰ τῷ τῆς ἀγεννήτου πατρικῆς τε καὶ παναγάθου δυνάμεως* b *Χριστὸν γεγονέναι θεσπίζει. κατά τινα δὲ συνήθειαν προφητικὴν τὸ μέλλον ὁ προφήτης ὡς παρῳχηκὸς ἀναφωνεῖ καὶ ὡς περὶ ἑαυτοῦ τοῦ προφητεύοντος δηλοῖ.*

32. *Τέως μὲν οὖν ὑπὸ θεοῦ, ἀλλ' οὐχ ὑπ' ἀνθρώπων, καὶ πνεύματι θείῳ, ἀλλ' οὐ σκευαστῷ ἐλαίῳ χριομένους, τοὺς κατὰ τὸν ἀληθῆ λόγον Χριστοὺς ὀνομαζομένους ἔγνωμεν.* 33. *καιρὸς δὲ συνιδεῖν ὅτι καὶ θείαν τινὰ δύναμιν κρείττονα ἢ κατ' ἀνθρώπου φύσιν τὸν ἀληθῆ Χριστὸν τοῦ θεοῦ τυγχάνειν ὁ παρ'*

---

7 Es. 61, 1. 11 Ibid.

*Ἑβραίοις ἐπίσταται λόγος. ἄκουε δ' οὖν αὖθις τοῦ
Δαβὶδ αἰώνιόν τινα ἱερέα τοῦ θεοῦ φάσκοντος εἰδέ-
c ναι, κύριόν τε αὐτοῦ τοῦτον ἀναγορεύοντος, καὶ σύν-
θρονον εἶναι τοῦ ἀνωτάτου θεοῦ ὁμολογοῦντος ἐν
ἑκατοστῷ καὶ ἐνάτῳ Ψαλμῷ, καθ' ὃν ὧδέ πώς φησιν
"εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου,
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
σου. ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ
Σιών, καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν ἐχθρῶν σου.
μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν τῇ
λαμπρότητι τῶν ἁγίων σου. ἐκ γαστρὸς πρὸ ἑωσφό-
ρου ἐγέννησά σε. ὤμοσε κύριος, καὶ οὐ μεταμελη-
d θήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν
Μελχισεδέκ."*

34. *Καὶ θέα γε ὡς ἐν τούτοις Δαβὶδ, βασιλεὺς
ὢν τοῦ παντὸς Ἑβραίων ἔθνους καὶ πρὸς τῇ βασιλείᾳ
θείῳ πνεύματι κεκοσμημένος, τοιοῦτόν τινα μέγαν
καὶ ὑπερφυῶς θαυμάσιον τὸν πρὸς αὐτοῦ δηλούμενον
καὶ τῷ πνεύματι θεωρούμενον συνεῖδεν, ὡς κύριον
αὐτὸν ἑαυτοῦ προσειπεῖν. "εἶπε γὰρ (φησὶ) κύριος
τῷ κυρίῳ μου."* 35. *ἀλλὰ καὶ αἰώνιον αὐτὸν ἀρχιερέα
οἶδεν, καὶ ἱερέα τοῦ θεοῦ τοῦ ὑψίστου, καὶ σύνθρο-
νον τοῦ ἐπὶ πάντων θεοῦ, καὶ γέννημα αὐτοῦ· δίχα
δὲ χρίσεως ἀδύνατον ἦν παρ' Ἑβραίοις ἱερᾶσθαι τῷ
θεῷ, διόπερ καὶ Χριστοὺς ὀνομάζειν αὐτοὺς πάντας
ἦν αὐτοῖς φίλον. Χριστὸς ἄρα καὶ ὁ ἐν τῷ Ψαλμῷ
(177) δηλούμενος ἱερεὺς εἴη ἄν.* 36. *πῶς γὰρ ἐμαρτυρήθη
ἱερεὺς εἶναι μὴ οὐχὶ πρότερον Χριστὸς γεγονώς;
ἀλλὰ καὶ εἰς τὸν αἰῶνα λέγεται ἱερᾶσθαι. τοῦτο δ'
οὐκέτ' ἀνθρωπείᾳ φύσει ἐφαρμόττοι ἄν. οὐ γὰρ ἀν-*

---

6 Ps. 109, 1.

θρώπου τὸ διαιωνίζειν, ἐπειδὴ θνητὸν καὶ ἐπίκηρον
τὸ καθ' ἡμᾶς γένος. 37. κρείττων ἄρα τις ἢ κατ'
ἄνθρωπον ὁ δηλούμενος ἦν ἐν τούτοις ἱερεὺς τοῦ
θεοῦ μετὰ ὅρκου διαβεβαιώσεως διαρκῆ καὶ ἄπειρον
τὴν ἱερωσύνην παρὰ τοῦ θεοῦ δεδεγμένος. "ὤμοσε
γὰρ (φησὶ) κύριος, καὶ οὐ μεταμεληθήσεται. σὺ b
ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ."
38. ἐπειδὴ γὰρ τὸν Μελχισεδὲκ ὁ Μωσῆς ἱερέα τοῦ
θεοῦ τοῦ ὑψίστου γεγονέναι ἱστορεῖ, οὐ μύρῳ σκευ-
αστῷ κεχρισμένον, πολὺ πρότερόν τε τῆς κατ' αὐτὸν
νομοθεσίας γενόμενον ἱερέα τοῦ θεοῦ τοῦ ὑψίστου
καὶ κατὰ πολὺ κρείττονα τὴν ἀρετὴν τοῦ βεβοημένου
Ἀβραάμ· 39. (λέγει δ' οὖν "καὶ Μελχισεδὲκ βασι-
λεὺς Σαλὴμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου εὐλόγησε
τὸν Ἀβραάμ. χωρὶς δὲ πάσης ἀντιλογίας (φησὶν ὁ
ἀπόστολος) τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται·) c
ἐπεὶ τοίνυν καὶ ὁ Μελχισεδὲκ, ὅστις ποτὲ ἦν ἐκεῖνος,
τοιοῦτος εἰσῆκται, οὐ σκευαστῷ μύρῳ κεχρισμένος,
ἱερωμένος δὲ τῷ ὑψίστῳ θεῷ, εἰκότως καὶ ὁ διὰ τοῦ [113]
Δαβὶδ προφητευόμενος κατὰ τὴν τάξιν Μελχισεδὲκ
ἀνείρηται μέγας τις ὢν καὶ πάντας ὑπερβεβηκὼς τὴν
φύσιν, ὡς ἂν ἱερεὺς ὢν τοῦ ἐπὶ πάντων θεοῦ καὶ
τῆς ἀγεννήτου δυνάμεως σύνθρονος, τοῦ τε προφή-
του καὶ βασιλέως κύριος, καὶ ἱερεὺς οὐχ ἁπλῶς, ἀλλ'
αἰώνιος τοῦ πατρός. 40. λέγει δὲ καὶ ὁ θεῖος ἀπό-
στολος, ἐξετάζων τὰ κατὰ τοὺς τόπους "ἐν ᾧ περισσό-
τερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις
τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ ἐμεσίτευσεν ὅρκῳ, d
ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον
ψεύσασθαι θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν." καὶ

---

13 et 15 Heb. 7, 1. 7. 26 Heb. 6, 18.

πάλιν " οἱ μὲν χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, ὁ δὲ μετὰ ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτὸν, ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν, ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν." 41. διὰ τούτων συνέστηκεν οὖσά τις ἐν τοῖς οὖσι καὶ ὑφεστῶσα ἐν νοητοῖς θεία δύνα-
(178) μις, ἡ τῷ θεῷ τῶν ὅλων ἱερωμένη κατὰ τὰ Ἑβραίων λόγια, οὐ γεώδει καὶ ἀνθρωπίνῳ μύρῳ, θεοπρεπεῖ δέ τινι καὶ ἐνθέῳ ἀρετῇ τε καὶ δυνάμει ἱερᾶσθαι καθεσταμένη τῷ ἐπὶ πάντων θεῷ. 42. ὁ γοῦν διὰ τοῦ Ψαλμοῦ προφητευόμενος παρέστη ἄντικρυς ἱερεύς τις ὢν αἰώνιος καὶ υἱὸς ὑψίστου θεοῦ, ὡς ἂν ὑπ' αὐτοῦ τοῦ ὑψίστου θεοῦ γεγενημένος, καὶ σύνθρονος τῆς βασιλείας αὐτοῦ. 43. δέδεικται δὲ καὶ ὁ διὰ τοῦ Ἡσαΐου Χριστὸς οὐχ ὑπ' ἀνθρώπων γεγονὼς,
b ἀλλ' ὑπ' αὐτοῦ τοῦ πατρὸς καὶ διὰ τοῦ ἐνθέου πνεύματος κεχρισμένος, λυτρωτής τε ἀπεσταλμένος τῆς τῶν ἀνθρώπων αἰχμαλωσίας. 44. τοῦτον δὴ οὖν πνεύματι θείῳ τεθεαμένος ὁ Μωσῆς εἰκόνας καὶ σύμβολα ὡς ἐν ἀνθρώποις αὐτοῦ καθίστη, σκευαστῷ μύρῳ τέως ἀντὶ τοῦ θείου πνεύματος τὸν ἐν ἀνθρώποις προηγμένον ἱερέα χρίων τε καὶ ἀλείφων, Χριστόν τε αὐτὸν καὶ ἠλειμμένον εἰς ἀναφορὰν τοῦ ἀληθοῦς ἀποκαλῶν. 45. ὅτι δὲ ταῦτα οὕτως ἔχει τίς ἂν γένοιτο μάρτυς αὐτοῦ Μωσέως μᾶλλον ἀξιόχρεως; ἐν

1 Heb. 7, 20.

γὰρ τῇ αὐτοῦ γραφῇ τὸν χρηματίζοντα αὐτῷ θεὸν καὶ c κύριον διαρρήδην παρακελεύσασθαι αὐτῷ διδάσκει κατὰ τὴν ὑποδειχθεῖσαν αὐτῷ νοητὴν καὶ οὐράνιον αὐτοῦ θέαν σωματικωτέραν ἐπὶ γῆς συστήσασθαι λατρείαν, εἰκόνα τῶν νοητῶν καὶ ἀσωμάτων περιέχουσαν. λέγεται γοῦν τῶν ἐν τῷ οὐρανῷ ἀγγέλων καὶ θείων δυνάμεων διάταξιν τύπον τινὰ σκιογραφῆσαι, φήσαντος αὐτῷ τοῦ χρησμοῦ "ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει." 46. ἆρα οὖν ὡς τὰ ἄλλα, οὕτω καὶ τὸν ἀρχιερέα παρῆγεν, μύρῳ γεώδει χρίων αὐτὸν, καί τινα σκιώδη d καὶ εἰκονικὸν, ἀλλ' οὐκ ἀληθῆ Χριστὸν καὶ ἀρχιερέα, τοῦ κατ' οὐρανὸν Χριστοῦ τε καὶ ἀρχιερέως ἀντίμιμον ἀπεργαζόμενος, 47. ἀλλ' ὅτι μὲν ὁ κυρίως Χριστὸς οὐκ ἄνθρωπος ἦν, υἱὸς δέ τις θεοῦ, δεξιοῖς τῆς πατρικῆς θεότητος τετιμημένος, καὶ πολὺ κρείττων οὐ μόνον τῆς θνητῆς καὶ ἀνθρωπείας φύσεως, ἀλλὰ καὶ πάσης τῆς ἐν γεννητοῖς νοερᾶς οὐσίας, σαφῶς οἶμαι ἀποδεδειχέναι. 48. πλὴν ἀλλ' ὅτι κατὰ τὰ πρότερον εἰρημένα ὁ αὐτὸς Δαβὶδ ἐν μδ' Ψαλμῷ, προγραφῇ χρησάμενος τῇ "ὑπὲρ τοῦ ἀγαπητοῦ καὶ τῶν ἀλλοιωθησομένων," ὁμοῦ θεὸν καὶ βασιλέα καὶ Χριστὸν ἕνα τινὰ καὶ τὸν αὐτὸν ἀναγορεύει γράφων οὕτως "ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν, λέγω (179) ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. ἡ γλῶσσά μου κάλαμος [114] γραμματέως ὀξυγράφου, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων." 49. οἷς ἑξῆς ἐπιλέγει "ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν, διὰ τοῦτο ἔχρισέ

---

24 Ps. 44, 1.

σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς
μετόχους σου."

50. Σκόπει δ' οὖν ἐπιμελέστερον ὅπως κατὰ τὴν
b τοῦ Ψαλμοῦ προγραφὴν ὑπὲρ τοῦ ἀγαπητοῦ τὸν λόγον
εἶναι προοιμιάζεται, μετὰ τοῦ καὶ εἰς σύνεσιν τῶν
λεχθησομένων τὸν ἀκροατὴν παρορμᾶν. ἐπισημαί-
νεται δὲ καὶ τὸ αἴτιον τῆς οἰκονομίας τοῦ λόγου
φάσκων "εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων
εἰς σύνεσιν ὑπὲρ τοῦ ἀγαπητοῦ."

51. Τίνας δὲ ἄλλους εἴποις ἂν εἶναι τοὺς ἀλ-
λοιωθησομένους ὑπὲρ ὧν ὁ Ψαλμὸς εἴρηται ἢ τοὺς
μέλλοντας μεταβαλεῖσθαι ἐκ προτέρου βίου καὶ τρό-
c που, μετατεθήσεσθαί τε καὶ ἀλλοιωθήσεσθαι διὰ τοῦ
προφητευομένου; οὗτος δὲ ἦν ὁ ἀγαπητὸς τοῦ θεοῦ,
ὑπὲρ οὗ ἐπὶ τῆς προφητείας συνέσεως δεῖν ὁ Ψαλμὸς
ἡμῖν προοιμιάζεται. εἰ δ' οὖν ἐπαπορήσαις τίς ἄρα
ἦν ὁ ἀγαπητὸς οὗτος περὶ οὗ ἐν τῷ Ψαλμῷ προεφη-
τεύετο, παρὰ πόδας σοι ὁ λόγος παραστήσει ἀρχό-
μενος εὐθὺς καὶ λέγων "ἐξηρεύξατο ἡ καρδία μου
λόγον ἀγαθόν." εἴποι δ' οὖν ἄν τις αὐτὸν ἐκεῖνον
σημαίνεσθαι, τὸν ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγον, ὃν
θεολογῶν ὁ μέγας εὐαγγελιστὴς Ἰωάννης παρίστη λέ-
γων "ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν
d θεόν, καὶ θεὸς ἦν ὁ λόγος." 52. τὸ δ' "ἐξηρεύξατο ἡ
καρδία μου λόγον ἀγαθόν" εἴπερ ἐκ προσώπου τοῦ
πατρὸς καὶ θεοῦ τῶν ὅλων λέγοιτο, τὸν μονογενῆ
τοῦ θεοῦ λόγον ὑποφαίνοι ἄν, ὡς ἂν υἱὸν ἐκ τοῦ
πατρὸς ὑφεστῶτα, ἀλλ' οὐ κατὰ προβολήν, ἢ κατὰ
διαίρεσιν, ἢ τομήν, ἢ μείωσιν, ἢ κατά τι τῶν ἐν σώ-
μασιν ὑπονοουμένων· ἀσεβῆ γὰρ ταῦτα καὶ πάμπαν

23 Ioann. 1, 1.

ἀπῳκισμένα τῆς ἀρρήτου γενεσιουργίας. 53. κατὰ δὲ τὰ πρόσθεν ἡμῖν νενοημένα καὶ τάδε χρὴ μεταλαμβάνειν, ὥσπερ γε ἀπὸ γαστρὸς τοῦ θεοῦ καὶ πρὸ ἑωσφόρου ἐλέγετο γεγεννῆσθαι, τροπικῶς ἀκουόντων ἡμῶν τὰ τοιαῦτα, καὶ κατὰ μόνην τὴν ἐν νοητοῖς θεωρίαν τὸ παραπλήσιον ἀποδέχεσθαι χρή. καὶ ἐν τῷ "ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν" κατὰ (180) μόνην διάνοιαν τοῦ θείου πνεύματος καὶ ταῦτα διεξιόντος, ἐφ' οἷς καὶ νῦν ἡμῖν λέγειν προσήκει τὸ σύνηθες ἐφ' ἑκάστου τῶν περὶ αὐτοῦ θεολογουμένων καὶ εὐσεβὲς ἐκεῖνο ῥῆμα "τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;" κἂν θνηταῖς καὶ ἀνθρωπίναις φωναῖς συνήθως ἡμῖν αἱ θεῖαι γραφαὶ καὶ τὸ γεννᾶσθαι ἐπιλέγωσιν καὶ τὸ γαστρὸς ὄνομα παραλαμβάνωσιν. 54. ταῦτα γὰρ μόνης ἔχεται τῆς κατὰ διάνοιαν θεωρίας, οὐδ' ἄλλως ἢ νόμοις ἀλληγορίας ὑποβεβλημένα, ὥσπερ οὖν καὶ τὸ "ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν" περὶ τῆς τοῦ πρώτου λόγου συστάσεώς τε b καὶ οὐσιώσεως ἂν φαίη τις εἰρημένον, ἐπεὶ μηδ' ἄλλως καρδίαν κατὰ τὴν παρ' ἡμῖν νοουμένην καὶ ἐπὶ τοῦ τῶν ὅλων θεοῦ θεμιτὸν ἐκλαμβάνειν. ἀλλὰ γὰρ ὁ μέν τις τοῦτον εἶναι τὸν ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγον φήσαι ἂν τὸν Ψαλμῷ δηλούμενον, λόγον εἰκότως ὠνομασμένον ἀγαθόν, ὡς ἂν τοῦ παναγάθου πατρὸς ὄντα γέννημα. 55. ἡμεῖς δὲ μικρῷ ἐν τῷ Ψαλμῷ προελθόντες τὸν προφητευόμενον, αὐτὸν δὴ τοῦτον τὸν ἀγαπητὸν τοῦ θεοῦ, κεχρῖσθαι πάλιν οὐχ ὧδε ὥσπερ ὑπὸ Μωσέως, οὐδ' ὡς ὑπό τινος τῶν ἐν ἀνθρώποις, ἀλλ' ὑπ' αὐτοῦ τοῦ ἀνωτάτου καὶ ἐπὶ c πάντων θεοῦ τε καὶ πατρὸς αὐτοῦ εὑρήσομεν. λέγει δ' οὖν ἑξῆς προϊὼν "διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους

σου." 56. τὸν δὴ οὖν κἀνταῦθα ὑπ' αὐτοῦ τοῦ ἐπὶ [115] πάντων θεοῦ κεχρῖσθαι μεμαρτυρημένον πῶς ἂν ἄλλως τις ὀνομάσειεν ἢ Χριστόν; ἔχομεν τοιγαροῦν ἤδη καὶ διὰ τούτων δύο τοῦ θεσπιζομένου προσηγορίας, Χριστοῦ καὶ ἀγαπητοῦ, ἑνὸς καὶ τοῦ αὐτοῦ κεκλη- d μένου τοῦ τῆς χρίσεως αἰτίου· διὸ λέγεται κεχρῖσθαι ὁ δηλούμενος τῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ. τὴν αἰτίαν ἐκδιδάσκει, ἥτις ἀναδραμόντι σοι μικρόν, μᾶλλον δὲ τὴν πᾶσαν διάνοιαν τῆς λέξεως ἐπιθεωρήσαντι δήλη ἔσται. 57. φησὶ τοίνυν ὁ Ψαλμὸς αὐτῷ δὴ τῷ προφητευομένῳ Χριστῷ καὶ ἀγαπητῷ τοῦ θεοῦ προσφωνῶν τὰ μικρῷ πρόσθεν ἐκτεθειμένα, ἐν οἷς εἴρητο "ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς (181) μετόχους σου." 58. σκέψαι τοιγαροῦν εἰ μὴ θεῷ ταῦτα προσεφωνεῖτο ἄντικρυς. σὺ γάρ, φησίν, ὁ θεός ἀντὶ τοῦ ὦ θεέ· "ὁ θρόνος σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ὑπάρχει, καὶ ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. καὶ ἐπεὶ σὺ αὐτὸς ὁ θεὸς ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου, καὶ Χριστόν σε παρὰ πάντας κατεστήσατο." λευκότερον δὲ τούτων ἡ Ἑβραίων παρίστησι γραφή, ἣν πρὸς ἀκρίβειαν ἑρμηνεύων ὁ Ἀκύλας ὧδέ πως ἐξέδωκεν εἰπών "ὁ θρόνος σου, θεέ, εἰς b αἰῶνα καὶ ἔτι σκῆπτρον εὐθύτητος, σκῆπτρον βασιλείας σου. 59. ἠγάπησας δίκαιον καὶ ἐμίσησας ἀσέβημα· ἐπὶ τούτῳ ἤλειψέ σε θεὲ ὁ θεός σου ἔλαιον χαρᾶς ἀπὸ ἑταίρων σου." ἀντὶ γοῦν τοῦ "ὁ θεὸς ὁ θεός σου" αὐτὴ ἡ Ἑβραϊκὴ λέξις "θεέ, ὁ θεός σου" περιέχει, ἵνα ᾖ τὸ ὅλον "ἠγάπησας, ὦ θεέ, τὸ δίκαιον

καὶ ἐμίσησας τὸ ἀσέβημα· διόπερ ἐπὶ τούτῳ ἔχρισέ σε, ὦ θεὲ, ὁ ἀνωτάτω καὶ μείζων αὐτὸς ὁ καὶ σοῦ θεός," ὡς εἶναι καὶ τὸν χριόμενον καὶ τὸν χρίοντα πολὺ πρότερον, πάντων μὲν ὄντα θεὸν, καὶ αὐτοῦ δὲ διαφερόντως τοῦ χριομένου. 60. τοῦτο δὲ καὶ αὐτῇ c
ἐπιστήσαντι τῇ Ἑβραίᾳ γλώττῃ φανερὸν ἂν γένοιτο. ἐπὶ γὰρ τῆς πρώτης ἐπωνυμίας, καθ' ἣν ὁ Ἀκύλας "θρόνος σου, θεέ" ἡρμήνευσε, σαφῶς ἀντὶ τοῦ ὁ θεὸς θεέ εἰπὼν, τὸ Ἑβραϊκὸν ἐλωῒμ περιέχει. κἀνταῦθα δὲ ὁμοίως ἐπὶ τοῦ "διὰ τοῦτο ἔχρισέ σε, θεέ" τὸ ἐλωῒμ παρείληπται, ὅπερ τὴν ὦ θεέ κλητικὴν ἐδήλου πτῶσιν. 61. ἀντὶ δὲ τῆς ὀρθῆς καὶ εὐθείας τοῦ ὀνόματος, καθ' ὃ εἴρηται "διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός" τὸ Ἑβραϊκὸν ἐλωάχ περιέχει σφόδρα d
ἀπηκριβωμένως, ἵν' ᾖ τὸ μὲν ἐλωῒμ κατὰ κλητικὴν πτῶσιν ἐξενηνεγμένον, δηλοῦν τὸ ὦ θεέ, τὸ δὲ ἐλωὰχ ὁ θεός σου κατὰ τὴν εὐθεῖαν· ὥστε ἀκριβῶς ἔχειν τὴν φήσασαν ἑρμηνείαν "διὰ τοῦτο ἔχρισέ σε θεὲ ὁ θεός σου." 62. λευκότατα γοῦν ὁ λόγος διὰ τούτων θεῷ προσφωνῶν φησιν αὐτὸν κεχρῖσθαι ὑπὸ τοῦ θεοῦ ἐλαίῳ ἀγαλλιάσεως παρὰ πάντας τοὺς πώποτε τῆς αὐτῆς αὐτῷ μετεσχηκότας προσηγορίας. 63. ἔχεις τοιγαροῦν ἐν τούτοις σαφῶς θεὸν χριόμενον καὶ Χριστὸν γινόμενον, οὐ μύρῳ σκευαστῷ οὐδ' ὑπ' ἀνθρώπων εἰς τοῦτο παριόντα, ἀλλ' οὐδὲ τοῖς λοιποῖς ἀνθρώποις παραπλήσιον. 64. ὁ δ' αὐτὸς οὗτος ἦν καὶ ἀγαπητὸς τοῦ θεοῦ καὶ γέννημα αὐτοῦ, καὶ ἱερεὺς αἰώνιος καὶ σύνθρονος ἀνηγορευμένος τοῦ πατρός. τίς δ' ἂν οὗτος εἴη ἢ ὁ πρωτότοκος τοῦ θεοῦ λόγος, ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν θεὸς ὤν, ὁ διὰ πάσης τῆς (182)
ἐνθέου γραφῆς θεολογούμενος, ὡς καὶ ἐν τοῖς ἑξῆς διὰ πλειόνων ὁ λόγος προϊὼν ἐπιδείξει.

65. *Τούτων δῆτα προτεθεωρημένων ἡμῖν περὶ τῆς τοῦ Χριστοῦ οὐσιώσεώς τε καὶ προσηγορίας, φέρε λοιπὸν ἀναλαβόντες τὴν προταθεῖσαν ὑπόθεσιν, δι' ὅσων προφητικῶν προρρήσεων ὁ Χριστὸς ὀνομαστὶ προεκηρύττετο θεασώμεθα.*

XVI. *Ἀπὸ τοῦ Ψαλμοῦ β'.*

[116] *Δι' ὅσων γραφῶν ὁ Χριστὸς ὀνομαστὶ ὑπὸ βασιλέων καὶ ἀρχόντων καὶ ἐθνῶν καὶ λαῶν ἐπιβουλευόμενος, ἐξ αὐτοῦ τε τοῦ θεοῦ γεννώμενος, καὶ υἱὸς ἀνθρώπου ἀναγορευόμενος, ἐθνῶν τε καὶ περάτων γῆς κλῆρον λαμβάνων παρὰ τοῦ πατρὸς προεκηρύττετο.*

"*Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν* c *κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.*" 2. *οἷς ἑξῆς ἐπιλέγει* "*ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα κυρίου. κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.*"

d 3. *Σαφέστατα καὶ διὰ τούτων τὸ θεῖον πνεῦμα τὸν Χριστὸν ἀναφωνεῖ, υἱόν τε αὐτὸν ἀποκαλεῖ τοῦ θεοῦ κατὰ τὰ προηγορευμένα, ὁμοῦ καὶ ἐπιβουλήν τινα ἔσεσθαι κατ' αὐτοῦ σημαίνει, καὶ τῶν ἐθνῶν τὴν δι' αὐτοῦ γενομένην κλῆσιν προκηρύττει· ἅπερ διαρρήδην αὐτοῖς ἔργοις ἐπὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ τῶν πραγμάτων ἐπέδειξεν ἔκβασις. εἰσέτι γοῦν νῦν ἔθνη καὶ λαοὶ βασιλεῖς τε καὶ ἄρχοντες οὔπω παύονται τῆς κατά τε αὐτοῦ καὶ τῆς διδασκαλίας αὐτοῦ συσκευῆς.* 4. *εἰ δ' ἐπὶ μέλλοντα χρόνον ἀναφέροιεν ταῦτα οἱ ἐκ περιτομῆς, ὥρα τὸν προσδο-*

κώμενον αὐτοῖς Χριστὸν ἐπιβουλευθήσεσθαι αὖθις ὁμολογεῖν, κατὰ τὸ παρὸν λόγιον, φάσκον "παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν (183) ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ." ὅπερ οὐκ ἂν δοῖεν, δυνάστην τινὰ μέγαν καὶ βασιλέα αἰώνιον καὶ λυτρωτὴν ἑαυτῶν ἔσεσθαι τὸν ἥξοντα Χριστὸν προσδοκῶντες. 5. εἰ γὰρ δὴ κἀκεῖνος ἐλθὼν τὰ ὅμοια πάθοι τῷ ἐληλυθότι, καὶ τί μὴ μᾶλλον ἐκείνῳ ἢ τούτῳ πιστευτέον ἢ ἀπιστητέον; εἰ δὲ ἐντεῦθεν ἀποκλεισθέντες ἐπὶ τὸν Δαβὶδ ἤ τινα τῶν ἐξ αὐτοῦ γενομένων βασιλέων τοῦ Ἰουδαίων ἔθνους b ἀναφέροιεν τὸν χρησμόν, καὶ οὕτω δεικτέον ὡς οὔτε Δαβὶδ οὔθ' ἕτερός τις τῶν πώποτε παρ' Ἑβραίοις διαφανῶν ἱστόρηται οὔθ' υἱὸς χρηματίσας τοῦ θεοῦ οὔθ' ὑπὸ τοῦ θεοῦ γεγενημένος, κατὰ τὸν ἐν τῷ Ψαλμῷ θεσπιζόμενον, οὐδ' ἄρξας πάντων τῶν ἐθνῶν καὶ βασιλέων, ἀρχόντων τε καὶ λαῶν ἐπιβεβουλευμένος· εἰ δ' οὐδεὶς ἐκείνων δείκνυται, αὐτοῖς δ' ἔργοις συνίσταται ταῦτα πάντα, καὶ πάλαι μὲν ὑπομείνας, καὶ νῦν δὲ ἔτι καὶ σήμερον ὑπό τε βασιλέων c καὶ ἀρχόντων ἐθνῶν τε καὶ λαῶν πολεμούμενος ὁ Χριστὸς τοῦ θεοῦ, τί τὸ ἐμποδὼν μὴ οὐχὶ αὐτὸν εἶναι τὸν προφητευόμενον διὰ τοῦ φήσαντος λογίου "παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ·" μόνῳ δὲ αὐτῷ καὶ τὰ ἐπιφερόμενα ἁρμόττοι ἂν τοῦ Ψαλμοῦ δι' ὧν εἴρηται "κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς." 6. καὶ γὰρ καὶ ταῦτα ἀναμφίλεκτον d ἐπὶ μόνου αὐτοῦ τὴν ἔκβασιν τῆς προφητείας ἀνεί-

ληφεν, ὅτε τῶν αὐτοῦ μαθητῶν εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. 7. διαρρήδην δὲ τὸν Χριστὸν ὀνομάζει προαγορεύσας ὁ λόγος, ὡς ἂν ἐξ αὐτοῦ προσώπου διδάσκων αὐτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ, διὰ τοῦ "κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε." ᾧ παραθήσεις καὶ τὸ ἐν Παροιμίαις πάλιν ἐξ αὐτοῦ προσώπου ὧδέ πως εἰρημένον "πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν
[117] γεννᾷ με." τό τε ἐν ρθ' Ψαλμῷ πρὸς τοῦ πατρὸς
αὐτῷ προσπεφωνημένον κατὰ τὸ "ἐκ γαστρὸς πρὸ
(184) ἑωσφόρου γεγέννηκά σε." 8. ἐπίστησον δὲ ὡς ἕνα καὶ τὸν αὐτὸν ὀνομαστὶ Χριστὸν ὁμοῦ καὶ υἱὸν θεοῦ ὑπ' ἀνθρώπων ἐπιβουλευόμενον, καὶ κλῆρον τὰ ἔθνη ληψόμενον, περάτων τε γῆς κρατήσοντα θεσπίζουσιν αἱ ἱεραὶ γραφαί, δυσὶ τεκμηρίοις τὴν εἰς ἀνθρώπους οἰκονομίαν αὐτοῦ σημαίνουσαι, διά τε τῆς κατ' αὐτοῦ συσκευῆς καὶ διὰ τῆς ὑπ' αὐτὸν τῶν ἐθνῶν ὑποταγῆς.

Ψαλμοῦ ιθ'.

Χριστὸς ὀνομαστὶ τῶν αἰτημάτων ἁπάντων παρὰ τοῦ πατρὸς τυγχάνων.

b 9. "Πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου.
νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν Χριστὸν αὐτοῦ, ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ."

Ἐπεὶ πρόκειται νῦν παραστῆσαι δι' ὅσων ὀνομαστὶ ὁ Χριστὸς ἐν ταῖς προφητείαις ἀνηγόρευται, εἰκότως καὶ ταῦτα παρατίθεμαι ἐναργῶς κηρύττοντα τὸν Χριστόν. 10. ὅλος δὲ ὁ Ψαλμὸς ἐκ προσώπου

---

9 Prov. 8, 25. 11 Ps. 109, 3. 23 Ps. 19, 5.

τῶν ἁγίων ἀνδρῶν εὐχὴν ἀναπέμπει εἰς τὸ τοῦ Χριστοῦ πρόσωπον. ἐπειδὴ γὰρ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν c πᾶσαν ἀνεδέξατο ὕβριν ἐνανθρωπήσας, εὐχομένῳ αὐτῷ καὶ δεομένῳ τοῦ πατρὸς ὑπὲρ ἡμῶν διδασκόμεθα συνεύχεσθαι, οἷα δὴ τοὺς καθ' ἡμῶν πολέμους, εἴτε ὁρατοὺς εἴτε καὶ ἀοράτους, ἀμυνομένῳ. διὸ καί φαμεν ἡμεῖς πρὸς αὐτὸν ἀπὸ τοῦ Ψαλμοῦ οὕτως ἔχοντα "ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεώς σου, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ. ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου."

11. Εἶτ' ἐπειδήπερ ἐστὶν οἰκεῖον αὐτῷ ἅτε μεγάλῳ ὄντι ἀρχιερεῖ τὰς ἐν δοξολογίαις καὶ θεολογίαις d πνευματικὰς ἱερουργίας ὑπὲρ ἡμῶν ἐκτελεῖν, καὶ ἐπειδήπερ οἷά τε ἱερεὺς αὐτός τε ἑαυτὸν καὶ ὃν ἀνειλήφεν ἀπὸ γῆς ἄνθρωπον ὑπὲρ ἡμῶν ὁλοκαύτωμα προσανήνεγκε τῷ θεῷ καὶ πατρί, διὰ τοῦτό φαμεν αὐτῷ "μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω." 12. καὶ ἐπεὶ πάντα ὅσα βουλεύεται σωτήριά ἐστι καὶ ὠφέλιμα ἐν τῷ κόσμῳ, εἰκότως ἐπιφωνοῦμεν αὐτῷ "δῴη σοι κύριος κατὰ τὴν καρδίαν σου" λέγοντες "καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι." 13. οἷς ἑξῆς τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ ὁμολογοῦντες φαμὲν "ἀγαλλιασώμεθα ἐν τῷ σωτηρίῳ σου." σωτήριον γὰρ τοῦ Χριστοῦ τί ἂν ἕτερον νοοῖτο, εἰ μὴ ἡ ἐκ νεκρῶν ἀνάστασις αὐτοῦ, δι' (185) ἧς καὶ πάντας τοὺς πρὶν ἐκπεπτωκότας ἀνίστησιν; ὅθεν φαμὲν "καὶ ἐν ὀνόματι θεοῦ ἡμῶν μεγαλυνθησόμεθα, καὶ πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου." 14. ἐπὶ πᾶσι τούτοις διδασκόμεθα λέγειν τὸ "νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν Χριστὸν αὐτοῦ,"

8 Ps. 19, 1. 17 Ps. 19, 3.

μὴ πάλαι τοῦτο εἰδότες, εἰ μὴ ὅτε πρότερον τὸ σωτήριον αὐτοῦ συνήκαμεν τῆς ἀναστάσεως αὐτοῦ τὴν δύναμιν κατανοήσαντες.

Ψαλμοῦ κζ΄.

Χριστὸς ὀνομαστὶ κύριον τὸν πατέρα καὶ ὑπερασπιστὴν κεκτημένος.

b "Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστί."

15. Καὶ ὁ μετὰ χεῖρας Ψαλμὸς εἰς τὸν Χριστὸν ἀναφέρεται, αὐτοῦ δὴ τοῦ Χριστοῦ περιέχων εὐχὴν, ἣν παρὰ τὸν τοῦ πάθους προσηύξατο καιρόν. διὸ ἐν μὲν τῇ καταρχῇ τοῦ Ψαλμοῦ φησι "πρὸς σὲ, κύριε, ἐκέκραξα· ὁ θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον."
c 16. πρὸς δὲ τῷ τέλει τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ θεσπίζει λέγων "εὐλογητὸς κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου· κύριος βοηθός μου καὶ
[118] ὑπερασπιστής μου, ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ." ἐφ' οἷς τὸ θεῖον καὶ προφητικὸν πνεῦμα ἐπιλέγει "κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστίν," 17. παιδεῦον ἡμᾶς ὅτι δὴ πάντα τὰ ἐν ταῖς θείαις γραφαῖς ἀνά-
d γραπτα τοῦ Χριστοῦ θαυμάσια, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων γενόμενα, εἴτε οὖν μαθήματα εἴτε γράμματα εἴτε κατὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ μυστήρια νῦν ὀνομαζόμενα, νεύματι καὶ δυνάμει γεγένηται τοῦ πατρὸς ἐν ἅπασι τοῖς παραδόξοις καὶ σωτηρίοις λόγοις τε καὶ ἔργοις ὑπερασπίζοντος τοῦ ἰδίου Χριστοῦ.

7 Ps. 27, 8.

Ψαλμοῦ πγ'.

Χριστὸς ὀνομαστὶ τὸν θεὸν ἐπόπτην ἐπιγραφόμενος, μία τε ἡ τῆς ἀναστάσεως αὐτοῦ ἡμέρα, καὶ εἰς οἶκος θεοῦ ἡ ἐκκλησία αὐτοῦ.

18. "Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεός, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου. ὅτι κρείσσων (186) ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν·" 19. οἱ ἐπιστάμενοι τὸν Χριστὸν τοῦ θεοῦ ὄντα λόγον καὶ σοφίαν καὶ φῶς ἀληθινὸν καὶ ζωήν, ἔπειτα τὴν ἐνανθρώπησιν αὐτοῦ συννοήσαντες κατεπλάγησαν τὸ παράδοξον τοῦ θελήματος, ὥστε ἀνειπεῖν "καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλ' ἦν τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς b φέρειν μαλακίαν, ὅτι ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη."

20. Εἰκότως παρακαλοῦσι τὸν θεὸν ἐπιβλέψαι εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ τὸ δι' ἡμᾶς ἠτιμωμένον καὶ καθυβρισμένον, ἵλεώ τε ἡμῖν γενέσθαι δι' αὐτόν, "ἐπεὶ τὰς ἁμαρτίας ἡμῶν ἀνείληφεν καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται." ταῦτα δ' ἱκετεύουσι, μονονουχὶ ποθοῦντες καὶ ἐν εὐχῇ τιθέμενοι τὸ πρόσωπον τῆς δόξης ἰδεῖν τοῦ Χριστοῦ, καὶ τὴν ἡμέραν τοῦ φωτὸς αὐτοῦ θεάσασθαι· αὕτη δὲ ἦν ἡ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, ἥντινα μίαν οὖσαν καὶ μόνην ὡς ἀληθῶς κυ- c ρίαν οὖσαν καὶ κυριακὴν κρείττονα εἶναί φασι μυρίων ὅσων τῶν κοινοτέρως νοουμένων ἡμερῶν, ἢ τῶν παρὰ

---

5 Ps. 83, 9.   13 Es. 53, 2.

Μωσεῖ νενομοθετημένων ἐν ἑορταῖς καὶ νουμηνίαις καὶ σαββάτοις, ἃς σκιὰν εἶναι ἡμερῶν, ἀλλ᾽ οὐχ ἡμέρας ὁ θεῖος ἀπόστολος διδάσκει. μόνη δὲ αὕτη ἡ μία κυριακὴ τοῦ σωτῆρος ἡμῶν ἡμέρα οὐκ ἐν παντὶ τόπῳ φωτίζειν, ἀλλ᾽ ἐν μόναις ταῖς αὐλαῖς τοῦ κυρίου λέλεκται. 21. εἶεν δ᾽ ἂν αὗται αἱ κατὰ πᾶσαν τὴν οἰκουμένην τοῦ Χριστοῦ ἐκκλησίαι, ἑνὸς οἴκου τοῦ θεοῦ τυγχάνουσαι αὐλαὶ, ἐν αἷς ἀγαπᾷ καὶ αἱρεῖται
d *παραρριπτεῖσθαι ὁ τὰ τοιαῦτα εἰδὼς, παρὰ πολὺ κρείττονα τὴν ἐν ταύταις διατριβὴν ἀποφηνάμενος τῆς ἐν τοῖς σκηνώμασι τῶν ἁμαρτωλῶν· εἰ μὴ τὰς τῶν Ἰουδαίων συναγωγὰς τὸν Χριστὸν τοῦ θεοῦ ἀρνουμένας, ἢ καὶ τὰς τῶν ἀθέων ἑτεροδόξων καὶ τῶν ἄλλων ἀπίστων ἐθνῶν, πολὺ βελτίους εἶναι ἢ τὰς ἐκκλησίας τοῦ Χριστοῦ πᾶς ὁ ταύτας αἱρούμενος ἀποφαίνεται.*

Ψαλμοῦ πη´.

Χριστὸς ὀνομαστὶ ἐξουδενημένος, καὶ τὰ αἴσχιστα πεισόμενος, ἀντάλλαγμά τε αὐτοῦ λαὸς αὐτοῦ ὑπὸ τῶν ἐχθρῶν ὀνειδιζόμενος.

"Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν
(187) *Χριστόν σου, κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου. ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ"*
[119] *καὶ τὰ ἑξῆς. οἷς ἐπιλέγει "μνήσθητι, κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν, οὗ ὠνείδισαν οἱ ἐχθροί σου, κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου."*

22. Σαφῶς δὲ καὶ ἐν τούτοις ὁ Χριστὸς ὀνομαστὶ μνημονεύεται, καὶ ἡ κατὰ τὸ πάθος αὐτοῦ προφη-

21 Ps. 88, 38.

τευομένη περίστασις. ἐπὶ σχολῆς δὲ τὸν ὅλον Ψαλ- b
μὸν βασανίζοντες παραστήσομεν ὅτι ἐπὶ μηδέτερον ἢ
ἐπὶ μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἐφαρμόσαι
ἂν τὰ προκείμενα. 23. ἀλλὰ καὶ δεύτερον Χριστὸς
ὀνομαζόμενος τίνα ἄλλον ἢ τὸν αὐτὸν δηλοῖ, οὗ τὸ
ἀντάλλαγμα, δηλονότι τὴν ἐκκλησίαν, ὠνείδισάν τε
καὶ εἰσέτι νῦν ὀνειδίζουσιν οἱ λεγόμενοι τοῦ Χριστοῦ
ἐχθροί; τὰ γοῦν τοῦ σωτῆρος ἡμῶν πάθη ἃ ὑπὲρ
ἡμῶν ἀνεδέξατο, καὶ μάλιστα τὸν θάνατον καὶ τὸν
σταυρόν, πᾶς ὁ τῆς Χριστοῦ διδασκαλίας πολέμιος
ἐπονειδίζειν ἡμῖν εἴωθεν.

Ψαλμοῦ ρλα'.

Χριστὸς ὀνομαστὶ ἐκ σπέρματος Δαβὶδ ἀνιστάμενος, κέρας c
Δαβὶδ ὀνομαζόμενος, τοὺς Ἰουδαίους ἐχθροὺς καταισχύνων,
τὸ ἁγίασμα τοῦ πατρὸς ἀνανεῶν.

"Ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ
ἀθετήσει αὐτόν, ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι
ἐπὶ τοῦ θρόνου σου. 24. εἶθ' ὑποβὰς φησιν "ἐκεῖ
ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ
Χριστῷ μου· τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην,
ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου."

25. Κἀνταῦθα περὶ τοῦ ἐκ σπέρματος Δαβὶδ d
ὄμνυσιν ὁ κύριος, ὅπερ σπέρμα καὶ κέρας ὀνομάζει
αὐτοῦ. καὶ πάλιν ὀνομαστὶ τὸν Χριστὸν ἀναγορεύων
λύχνον φησὶν ἡτοιμακέναι αὐτῷ, τὸν προφητικόν, ὡς
εἰκός, λόγον, τὸν προωδευκότα τοῦ Χριστοῦ, ὃς μόνος
ἡλιακοῦ φωτὸς δίκην τοῖς πᾶσι καθ' ὅλης τῆς οἰκου-
μένης ἀνθρώποις ἀνατέταλκεν. 26. καὶ αὐτὸς δὲ ὁ
Δαβὶδ λύχνος τῷ Χριστῷ προητοίμαστο, ὡς παρα-

16 Ps. 131, 11.

θέσει ἡλίου καὶ τελείου φωτὸς λύχνου τάξιν ἐπέχων. "ἐκεῖ δὲ (φησὶν) ἐξανατελῶ κέρας," τὸν τόπον δηλῶν ἔνθα σημαίνει τὸν Χριστὸν γεννηθήσεσθαι. 27. εὐξαμένῳ γὰρ τῷ Δαβὶδ τὸν τόπον τῷ πνεύματι προθεω- (188) ρῆσαι τῆς γενέσεως τοῦ Χριστοῦ φήσαντί τε "εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ" ἀποκαλύπτει τὸ θεῖον πνεῦμα τὸν ἐν Βηθλεὲμ τόπον. 28. διὸ ἐπιφέρει λέγων 28. "ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, (αὕτη b δέ ἐστιν ἡ Βηθλεὲμ) εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ." εἰκότως οὖν μετὰ τὴν τούτων φανέρωσιν ἐπιλέγει "ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου," 29. τάχα ἴσως καὶ τὸ ἐπὶ τῆς Βηθλεὲμ ἀναληφθὲν τῷ Χριστῷ σῶμα καθ' ἑτέραν ὑπόνοιαν σημαίνων, ἐπειδὴ διὰ τοῦ σώματος ὡς δι' ὀστρακίνου σκεύους ἐνοικήσασα ἐν αὐτῷ ἡ θεία δύναμις ὡς διὰ λύχνου τὰς τοῦ θείου καὶ c λογικοῦ φωτὸς μαρμαρυγὰς εἰς πάντας ἐξέλαμψεν ἀνθρώπους.

Ἀπὸ τοῦ Ἀμώς.

Χριστὸς ὀνομαστὶ ὑπὸ τοῦ θεοῦ καταγγελλόμενος, καὶ πᾶσι μὲν ἀνθρώποις γνωριζόμενος, τὸ Ἰουδαίων δ' ἔθνος ἀφοσιούμενος.

30. "Ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν θεὸν τοῦ Ἰσραήλ, διότι ἰδοὺ στερεῶν βροντὴν καὶ κτίζων

---

28 Am. 4, 12.

πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ποιῶν ὄρθρον καὶ ὁμίχλην, καὶ ἐπιβαίνων [120] *ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς. κύριος ὁ θεὸς ὁ παντοκράτωρ* d *ὄνομα αὐτῷ. ἀκούσατε λόγον κυρίου, ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς, θρῆνον. οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκέτι προσθήσει τοῦ ἀναστῆναι. παρθένος Ἰσραὴλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτῆς, οὐκ ἔστιν ὁ ἀνιστῶν αὐτήν."*

31. *Ἕβδομον ἤδη τὸν Χριστὸν ὀνομαστὶ καταγγέλλων εἰς ἀνθρώπους ὁ θεὸς στερεοῦν βροντὴν καὶ κτίζειν πνεῦμα λέγεται, τοῦ εὐαγγελικοῦ κηρύγματος βροντῆς διὰ τὸ εἰς πάντας ἀνθρώπους ἐξάκουστον ὀνομαζομένου, ὁμοίως δὲ καὶ τοῦ τοῖς ἀποστόλοις ἐμπνεύσαντος Χριστοῦ πνεύματος δηλουμένου· ὃ καὶ σαφῶς ἐπὶ τῇ τοῦ σωτῆρος ἡμῶν ἐπιδημίᾳ πεπλήρωται, ἐφ' ᾗ ποιήσειν ὁ θεὸς ὄρθρον ὁμοῦ καὶ ὁμίχλην θεσπίζεται, τοῖς μὲν τὸ σωτήριον φῶς παραδεξαμένοις τὸν ὄρθρον, τοῖς δὲ ἀπειθήσασιν εἰς αὐτὸν τῶν ἐκ περιτομῆς τοὐναντίον.* 32. *οἷς καὶ τὴν ἐσχάτην* (189) *ἀπόφασιν ὁ λόγος προκηρύττει, θρῆνον ἐπιλέγων τοῦ Ἰουδαίων ἔθνους, τὸν καὶ μετελθόντα αὐτοὺς παραυτίκα μετὰ τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ δυσσέβειαν* 33. *ἐξ ἐκείνου γὰρ ἀληθῶς καὶ εἰς δεῦρο ὁ οἶκος Ἰσραὴλ πέπτωκεν, ὅρασίς τε ἅπαξ ὑπὸ τοῦ θεοῦ καὶ ἀπόφασις ἐξενήνεκται περὶ τοῦ πεσόντος αὐτῶν οἴκου τοῦ ἐν Ἱερουσαλὴμ, καὶ κατὰ παντὸς αὐτῶν τοῦ συστήματος, ὡς μηκέτ' ἂν ἀναστησομένων τῷ μηδὲ παρεῖναι τὸν ἀνιστῶντα αὐτούς.* b *οὐκ ἔστι γοῦν, φησὶν, ὁ ἀνιστῶν αὐτήν.* 34. *ἐπεὶ γὰρ ἐλθόντα τὸν Χριστὸν τοῦ θεοῦ οὐ προσήκαντο, εἰκότως αὐτοὺς καταλιπὼν ἐπὶ πάντα μετέστη τὰ ἔθνη, τὸ αἴτιον τῆς μεταπτώσεως διδάξας δι' ὧν ἀποκλαυ-*

σάμενος μονονουχὶ ἀπελογήσατο εἰπὼν "Ἱερουσαλὴμ Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· πολλάκις γὰρ ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ
c ἠθελήσατε, ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος."

Ἀπὸ τοῦ Ἀμβακούμ.

Χριστὸς ὀνομαστὶ ὑπὸ κυρίου τοῦ πατρὸς σωζόμενος καὶ σώζων τοὺς ἑαυτοῦ Χριστούς.

"Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς Χριστούς σου· ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον."

35. Ἀκύλας "ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, εἰς σωτηρίαν λαοῦ σου σὺν Χριστῷ σου." ἐπειδὴ ὁ Ἀκύλας ἀντὶ τοῦ πληθυντικοῦ ἑνικῶς ἐξέδωκε, σὺν Χρι-
d στῷ φήσας τὴν σωτηρίαν τῷ λαῷ πεποιῆσθαι τὸν τῶν ὅλων θεόν, εἰκότως παρεθέμεθα τὴν λέξιν σαφῶς τῷ προβλήματι παριστaμένην. 36. εἶεν δὲ ἂν κατὰ τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν πλείους οἱ ἐξ αὐτοῦ καὶ δι' αὐτὸν Χριστοὶ χρηματίζοντες, περὶ ὧν εἴρηται "μὴ ἅψησθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε," οἵ τε εἰς αὐτὸν πεπιστευκότες, καὶ τοῦ ἁγίου τῆς ἐν τῷ Χριστῷ παλιγγενεσίας χρίσματος κατηξιωμένοι, καὶ οἱ δυνάμενοι λέγειν ὁμοίως τῷ ἱερῷ ἀποστόλῳ "μέτοχοι τοῦ Χριστοῦ γεγόναμεν."

---

1 Matth. 23, 37. 10 Habb. 3, 13. 20 Ps. 105, 15. 24 Heb. 3, 14.

Ἀπὸ τῶν Ἱερεμίου θρήνων. (190)

Χριστὸς ὀνομαστὶ ὑπὸ Ἰουδαίων ἐπιβουλευόμενος καὶ τοῖς ἔθνεσιν ἐπιγινωσκόμενος.

"Πνεῦμα προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν οὗ εἴπομεν ἐν τῇ σκιᾷ αὐτοῦ, ζησόμεθα ἐν τοῖς ἔθνεσιν."

37. Οἱ θεσπέσιοι τοῦ θεοῦ προφῆται τὸ μέλλον θείῳ πνεύματι συνορῶντες ζήσεσθαι μὲν ἑαυτοὺς καὶ τοὺς ἑαυτῶν λόγους ὡς ἂν ζώντων ἐνεργήσειν ἐν τοῖς ἔθνεσιν, ἀλλ' οὐκ ἐν τῷ Ἰσραὴλ, ἐθέσπιζον. τὸν b
Χριστὸν πάλιν ὀνομαστὶ, ὡς ἂν αὐτὸν ὄντα τὸν Χρι- [191]
στὸν παρ' οὗ καὶ τὸ προφητικὸν αὐτοῖς κεχορήγητο πνεῦμα, συλληφθήσεσθαι ἔφασκον ἐν ταῖς διαφθοραῖς αὐτῶν. 38. τίνων; ἢ δῆλον ὅτι τῶν ἐκ περιτομῆς ἐπιβουλευόντων αὐτῷ; τήρει δὲ κἀνταῦθα ὅπως ὁ λόγος τὸν Χριστὸν προαγορεύει συλληφθήσεσθαι, ὅπερ οὐκ ἂν ἐφαρμόσαι τῇ δευτέρᾳ τοῦ Χριστοῦ παρουσίᾳ, ἣν ἔνδοξον ἔσεσθαι καὶ μετὰ βασιλείας ἐνθέου προκηρύττουσιν οἱ προφητικοὶ λόγοι. διόπερ εἰκὸς τοὺς ἐκ περιτομῆς ἀποσφάλλεσθαι τὰ περὶ τῆς δευτέρας ἐπιφανείας αὐτοῦ ὡς ἐπὶ πρώτης ἀφίξεως c
ἐκλαμβάνοντας, οὐδαμῶς τοῦτο συγχωροῦντος τοῦ λόγου· 39. ἐπεὶ μὴ οἷόν τέ ἐστιν ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἔνδοξον αὐτὸν καὶ ἄδοξον ὑποτίθεσθαι, καὶ ἔντιμον καὶ βασιλέα, καὶ πάλιν οὐκ ἔχοντα εἶδος οὐδὲ κάλλος, ἀλλ' ἄτιμον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· καὶ αὖθις σωτῆρα καὶ λυτρωτὴν τοῦ Ἰσραὴλ, καὶ πάλιν ἐπιβουλευόμενον πρὸς αὐτῶν, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγόμενον ἀπό τε τῶν ἀνομιῶν αὐτῶν

---

4 Jer. Lam. 4, 20.

a *εἰς θάνατον παραδιδόμενον.* 40. *εὖ δὲ καθ' ἡμᾶς, ὡς ἡ τῶν πραγμάτων ὄψις ἐπιδείκνυσιν, εἰς δύο τρόπους τῶν περὶ τοῦ Χριστοῦ προρρήσεων διαιρουμένων τὰ μὲν ἀνθρωπινώτερα καὶ σκυθρωπὰ κατὰ τὴν προτέραν ἄφιξιν αὐτοῦ πεπληρῶσθαι ὁμολογεῖται, τὰ δ' ἐνδοξότερα καὶ θειότερα εἰσέτι νῦν προσδοκᾶται κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν.* 41. *ἀπόδειξις δὲ τῆς προτέρας ἐναργὴς ἡ ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς ἔργον χωρήσασα δι' αὐτοῦ θεογνωσία, ἣν διαφόρως μυρίαι θεσπίζουσι προφητικαὶ φωναί, ὥσπερ οὖν καὶ ἡ παροῦσα, δι' ἧς εἴρηται "οὗ εἴπομεν, ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσι."*

(191) ## *Ἀπὸ τῆς πρώτης τῶν Βασιλειῶν.*

Χριστὸς ὀνομαστὶ ὑπὸ κυρίου τοῦ πατρὸς ὑψούμενος.

"Κύριος ἀνέβη εἰς οὐρανούς, καὶ ἐβρόντησεν, αὐτὸς κρινεῖ ἄκρα γῆς, καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας Χριστοῦ αὐτοῦ."

42. *Τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν αὖθις ὀνομαστὶ τοῦ Χριστοῦ ἢ καὶ θεοῦ λόγος ἐπινοεῖται, τήν τε ἐξάκουστον βροντῆς δίκην εἰς ἅπαντας διδασκαλίαν*
b *αὐτοῦ, καὶ τὴν μετὰ ταῦτα γενησομένην αὐτοῦ κατὰ πάντων κρίσιν ἡ θεία γραφὴ θεσπίζει. ἑξῆς δὲ τούτοις αὐτὸς ὁ κύριος δώσειν ἰσχὺν λέγεται τοῖς βασιλεῦσιν ἡμῶν. οὗτοι δ' ἂν εἶεν οἱ ἀπόστολοι τοῦ Χριστοῦ, περὶ ὧν ἔχεις ἐν ξζ' Ψαλμῷ τὸ "κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ."* 43. *κἂν τούτῳ δὲ Χριστοῦ ὀνομαστὶ μνημονεύει, τοῦ κατὰ τὸν ἄνθρωπον νοουμένου σωτῆρος ἡμῶν, οὗ τὸ κέρας*

---

15 1. Reg. 2, 10. 25 Ps. 67, 11

φησὶν ὑψωθήσεσθαι, τὴν ἐν αὐτῷ ἀόρατον δύναμιν καὶ τὴν βασιλείαν αὐτοῦ δηλῶν. ἔθος γοῦν τῇ γραφῇ τὴν βασιλείαν κέρας ὀνομάζειν. κεῖται δὲ καὶ ἐν τῷ c
πη΄ Ψαλμῷ τὸ "καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ."

Ἀπὸ τῆς πρώτης τῶν Βασιλειῶν.

Χριστὸς ὀνομαστὶ οἶκον πιστὸν παρὰ τοῦ πατρὸς λαμβάνων τὴν ἐκκλησίαν αὐτοῦ, καὶ ἱερεὺς πιστὸς πάντα τὸν χρόνον τῆς ἐκκλησίας αὐτοῦ γνησίως προϊστάμενος.

"Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου, καὶ τὸ σπέρμα οἴκου πατρός σου· καὶ οὐκ ἔσται πρεσβύτης ἐν τῷ οἴκῳ σου."

44. Ταῦτα πρὸς τὸν Ἠλεὶ φήσας ὁ χρηματισμὸς d
ἐπιφέρει μεθ' ἕτερα λέγων "καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστὸν, ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ μου καὶ τὰ [122]
ἐν τῇ ψυχῇ μου ποιήσει, καὶ οἰκοδομήσω αὐτῷ οἶκον πιστὸν, καὶ διελεύσεται ἐνώπιον Χριστοῦ μου πάσας τὰς ἡμέρας."

45. Μετάστασιν καὶ ἀποβολὴν ἀπειλήσας ὁ θεῖος λογος τοῖς οὐ κατὰ τὸν ὀρθὸν τρόπον λειτουργοῦσιν, ἕτερον ἐξ ἑτέρου γένους καταστήσειν ἱερέα ἐπαγγέλλεται, ὃν καί φησιν διελεύσεσθαι ἐνώπιον Χριστοῦ αὐτοῦ, ἢ ἐμπεριπατήσειν εἰς πρόσωπον ἠλειμμένου αὐτοῦ, ὡς ὁ Ἀκύλας ἡρμήνευσεν, ἢ ὡς ὁ Σύμμαχος, ἀναστραφήσεσθαι ἔμπροσθεν τοῦ Χριστοῦ αὐτοῦ. 46. τίς δ' ἂν οὗτος εἴη; πᾶς ὁ εὐσεβῶς προσιὼν τῇ ἱερουργίᾳ τοῦ Χριστοῦ τοῦ θεοῦ, ᾧ τὸν τῆς ἐκκλησίας οἶκον, οἷα σοφὸς ἀρχιτέκτων καὶ οἰκοδόμος, αὐ- (192)
τὸς ὁ τῶν ὅλων θεὸς οἰκοδομήσειν ὑπισχνεῖται, οὐδ'

4 Ps. 88, 24. 10 1. Reg. 2, 31.

ἄλλον οἶκον σημαίνων ἢ τὴν καθ᾽ ὅλης τῆς οἰκουμένης τῷ Χριστῷ ὀνομαστὶ συστᾶσαν ἐκκλησίαν, ἔνθα πᾶς ὁ διὰ Χριστοῦ τοῦ θεοῦ ἱερωμένος κατὰ τὰς πνευματικὰς λειτουργίας τὰ καταθύμια καὶ τὰ κατὰ ψυχὴν τοῦ θεοῦ λέγεται ποιήσειν, τῶν δι᾽ αἵματος ταύρων καὶ τράγων κατὰ τὴν πάλαι τυπικὴν ἀγωγὴν ἐπιτε-
b λουμένων μεμισῆσθαι ὑπὸ τοῦ θεοῦ διὰ τῆς Ἡσαΐου προφητείας ὁμολογουμένων.

47. Τοσαῦτα δι᾽ ὧν ὁ Χριστὸς ὀνομαστὶ προκεκήρυκτο· πλὴν ἀλλ᾽ ἐπεὶ διὰ τῶν πλείστων τὰ πάθη τοῦ Χριστοῦ συνῆπται τῇ αὐτοῦ προσηγορίᾳ, ἀναγκαῖον ἐπαναλαβεῖν τὰ προειρημένα περὶ τῆς κατ᾽ αὐτὸν θεότητος, ἣν ἐν τῷ μδ´ Ψαλμῷ ἐπιγεγραμμένῳ "ὑπὲρ τοῦ ἀγαπητοῦ" φέρεσθαι προπαρεστήσαμεν, ἔνθα ὁ λόγος ἐν πρώτοις αὐτὸν ὑπομνήσας ὡς βασιλέα μεθ᾽
c ἕτερα ἐπάγει περὶ τῆς θεότητος τοῦ Χριστοῦ "ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου." 48. σαφῶς γὰρ ἐν τούτοις, ὡς ἤδη καὶ πρότερον προπαρεστήσαμεν, εἷς ὢν καὶ αὐτὸς ὁ δηλούμενος θεὸς εἶναι λέγεται, ἠγαπηκὼς δικαιοσύνην καὶ μεμισηκὼς ἀδικίαν. καὶ τούτου χάριν ὑφ᾽ ἑτέρου μείζονος θεοῦ καὶ πατρὸς αὐτοῦ κεχρισμένος ἐλαίῳ κρείττονι καὶ διαφέροντι ἢ κατὰ τοὺς τύπους,
d τῷ καλουμένῳ τῆς ἀγαλλιάσεως. 49. ὁ δὲ τῷ τοιούτῳ χρισθεὶς ἐλαίῳ οὐ πρὸς ἀνθρώπων, οὐδὲ δι᾽ ἀνθρώπων, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ ἀνωτάτου θεοῦ, τί ἕτερον ἢ Χριστὸς εἰκότως ἂν ὀνομασθείη; οὐκοῦν ὁ αὐτὸς ὁμοῦ

7 Es. 1, 11. 17 Ps. 45, 6.

καὶ θεὸς δείκνυται ὠνομασμένος, ὥσπερ οὖν καὶ ἤδη πρότερον κατὰ τοὺς οἰκείους τόπους παρέστη. καὶ τοῦ Ἡσαΐου δὲ κἀνταῦθα πάλιν ὑπομνηστέον, ὃς ἔφησε "πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν."

50. Ἐδείκνυμεν καὶ ἐν τούτοις ὡς οἱ μὲν ἐξ ἀνθρώπων πάλαι πρότερον ἐπὶ τὴν τοῦ θείου θεραπείαν προσιόντες ἱερεῖς ἐλαίῳ ἐχρίοντο σκευαστῷ. ὁ δὲ διὰ (193) τῆς προφητείας δηλούμενος τῇ ἐνθέῳ δυνάμει κεχρῖσθαι λέγεται. 51. τοῦτο δὲ ὅλον ἐπὶ τὸν ἡμέτερον σωτῆρα ἀνεφέρετο, Ἰησοῦν τὸν μόνον ἀληθῆ Χριστὸν τοῦ θεοῦ, ὃς ἐπὶ τῆς τῶν Ἰουδαίων συναγωγῆς ποτὲ λαβὼν τὴν προφητείαν καὶ διελθὼν τὴν ἐκτεθεῖσαν περικοπὴν πεπληρῶσθαι εἰς ἑαυτὸν ἐδίδαξεν τὸ ἀνάγνωσμα. 52. γέγραπται γὰρ ὡς ἄρα "ἀναγνοὺς καὶ πτύξας τὸ βιβλίον καὶ ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισε· καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτε- b νίζοντες αὐτῷ, ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν." 53. ἐπὶ τούτοις ἅπασιν καὶ τὰ Μωσέως αὖθις παραθετέον, ὃς κατὰ τὸν δειχθέντα αὐτῷ τύπον τὸν ἴδιον ἀδελφὸν τὸν Ἀαρὼν ἀρχιερέα καταστησάμενος ἀκο- [123] λούθως τῷ φήσαντι πρὸς αὐτὸν χρησμῷ "ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει" δῆλός ἐστιν ὡς τοῖς τῆς διανοίας ὄμμασιν καὶ τῷ c θείῳ πνεύματι συνιδὼν τὸν μέγαν τῶν ὅλων ἀρχιερέα, τὸν ἀληθῆ Χριστὸν τοῦ θεοῦ, οὗ μετὰ τῆς ἄλλης σωματικῆς καὶ τυπικῆς λατρείας τὴν εἰκόνα δια-

---

4 Es. 6, 1. 17 Luc. 4, 20.

γράφων τὸν δηλωθέντα τῇ τοῦ ἀληθοῦς Χριστοῦ
προσωνυμίᾳ τετίμηκεν. 54. τοῦτο δὲ παρίστησι καὶ
ὁ θεῖος ἀπόστολος, λέγων περὶ τῶν κατὰ Μωσέως
νόμων τὸ "οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι
τῶν ἐπουρανίων." καὶ πάλιν "σκιὰν γὰρ ἔχων ὁ νό-
d μος τῶν μελλόντων ἀγαθῶν." καὶ πάλιν "μὴ οὖν
τις ὑμᾶς κρινέτω ἢ ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέ-
ρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων, ἅ ἐστι σκιὰ
τῶν μελλόντων." 55. εἰ γὰρ τὰ περὶ τῆς τῶν βρω-
μάτων ἀδιαφορίας καὶ τὰ περὶ ἑορτῶν καὶ σαββάτου
νενομοθετημένα, ὡς ἂν σκιώδη ὄντα, ὑπογραμμὸν
ἑτέρων ἀληθῶν καὶ μυστικῶν πραγμάτων ἔσωζεν,
οὐκ ἀπεικότως ἐρεῖς καὶ τὸν ἀρχιερέα εἰς ἑτέρου ἀρχιε-
ρέως παρειλῆφθαι σύμβολον, καὶ Χριστὸν αὐτὸν ἐπω-
νομάσθαι, εἰς ἑτέρου τοῦ μόνου καὶ ἀληθῶς Χριστοῦ·
τοσοῦτόν γε μὴν λειπόμενον τοῦ ἀληθοῦς, καθ' ὅσον
ὁ μὲν ἀληθὴς Χριστὸς πρὸς τοῦ τῶν ὅλων θεοῦ ἀκούει
"κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου." καὶ "κατακυρίευε ἐν
μέσῳ τῶν ἐχθρῶν σου." 56. καὶ "ἐκ γαστρὸς πρὸ
ἑωσφόρου ἐγέννησά σε." καὶ "ὤμοσε κύριος, καὶ οὐ
(1[illegible]) μεταμεληθήσεται. σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν
τάξιν Μελχισεδέκ." δι' ὧν σαφῶς γέννημα καὶ υἱὸς
θεοῦ πρὸ ἑωσφόρου καὶ πρὸ πάσης δημιουργίας ὑπο-
στὰς αἰώνιος ἀρχιερεὺς ἀναπέφανται. 57. ὁ δὲ Μω-
σέως Χριστὸς, οἷον ἐν δράματι τὸν τύπον ἐν βραχεῖ
καθυποκρινάμενος χρόνῳ, κεῖται ἐν θνητοῖς λελογι-
σμένος, ἑτέρῳ τὴν ἀλήθειαν τῷ μόνῳ καὶ ἀληθεῖ
παραδούς. καὶ ὁ μὲν ἀληθὴς Χριστὸς οὐ δεηθεὶς τῆς
b κατὰ Μωσέα χρίσεως, οὐδ' ἐλαίου σκευαστοῦ καὶ

4 Heb. 8, 5. 10, 1. 6 Col. 2, 17.

γεώδους ὕλης, ὅμως τῆς ἀρετῆς καὶ τῆς προσωνυμίας τῆς αὐτοῦ τὴν οἰκουμένην κατέπλησε, παρώνυμον αὐτοῦ τὸ Χριστιανῶν γένος ἐν πᾶσι τοῖς ἔθνεσι συστησάμενος. 58. ὁ δὲ Μωσέως οὐδ᾽ ὅ τι ποτὲ ἐν ἀνθρώποις ὠνομάσθη δῆλος ἦν, εἰ μὴ διὰ τῆς Μωσέως γραφῆς· καὶ οὗτος μὲν ὀψέ ποτε μετὰ τὴν ἔξοδον τὴν ἀπὸ Αἰγύπτου περιρραντηρίοις τισὶ καὶ ταῖς δι᾽ αἱμάτων θυσίαις καθαρθεὶς ἐλαίῳ κέχριστο σκευαστῷ, Μωσέως αὐτὸν κεχρικότος. 59. ὁ δὲ ἀρχέτυπος καὶ ἀληθὴς ἀρχῆθεν καὶ εἰς ἄπειρον αἰῶνα ὅλος δι᾽ ὅλου c καὶ αὐτὸς αὐτῷ τὰ πάντα ὅμοιος μηδ᾽ ὁτιοῦν παραλλάττων Χριστὸς, ἦν ἀεὶ καὶ πρὸ τῆς ἐν ἀνθρώποις ἐπιδημίας, καὶ μετ᾽ αὐτὴν ὁμοίως, οὐ πρὸς ἀνθρώπου οὐδὲ δι᾽ ὕλης τῆς ἐν ἀνθρώποις, ἀλλὰ πρὸς τοῦ ἐπὶ πάντων θεοῦ τῇ ἀγενεῖ θεότητι κεχρισμένος. 60. καὶ ἐπειδήπερ τὸ τῆς προσηγορίας αὐτοῦ παρ᾽ ἡμῶν ἐξετάζεται, τῶν εἰρημένων ἁπάντων εἴη ἂν ἐπισφράγισμα τὸ παρὰ τῷ σοφωτάτῳ Σολομῶντι λόγιον φάσκον ἐν τῷ Ἄισματι τῶν ᾀσμάτων "μύρον ἐκκενωθὲν ὄνομά σου." 61. καὶ οὗτος γὰρ ἐνθέῳ σοφίᾳ κεχορηγημένος, καὶ καταξιωθεὶς ἀπορρητοτέρων περὶ τοῦ d Χριστοῦ καὶ τῆς ἐκκλησίας αὐτοῦ θεωρημάτων, καὶ τοῦ μὲν ὡς ἐπουρανίου νυμφίου, τῆς δὲ ὡς νύμφης αὐτοῦ μνημονεύσας, ἐπιζητουμένου τί ἄρα ἦν ὄνομα τῷ νυμφίῳ, ἐπιφωνεῖ ὡς πρὸς αὐτὸν λέγων, τὸ ὄνομά σου, νυμφίε, μύρον ἐστὶν, καὶ μύρον οὐχ ἁπλῶς, ἀλλὰ κεκενωμένον. 62. ποῖον δὲ ἂν γένοιτο ὄνομα μύρου κεκενωμένου δηλωτικὸν ἢ τὸ τοῦ Χριστοῦ ὄνομα; οὐ γὰρ ἂν ἄλλως οὔτ᾽ ἂν γένοιτο οὔτ᾽ ἂν ὀνομασθείη Χριστὸς ἢ μύρου προσχυθέντος. ὁποιὸν δὲ

19 Cant. Cant. 1, 2.

[121] (195) τοῦτο ἦν τὸ μύρον, ᾧ χρισθεὶς ὁ δηλούμενος Χριστὸς ἀποπέφανται, διὰ τῶν πρόσθεν ἡμῖν ἀποδέδοται. τοσούτων περὶ τῆς τοῦ Χριστοῦ προσηγορίας διηγορευμένων φέρε καὶ περὶ τῆς τοῦ Ἰησοῦ διασκεψώμεθα.

b XVII. *Πρῶτος πάλιν Μωσῆς πρὸς τὸν αὑτοῦ διάδοχον ἑτέρᾳ χρώμενος προσωνυμίᾳ Ἰησοῦν μετωνόμασεν.* γέγραπται γὰρ "ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οὓς ἀπέστειλε Μωσῆς κατασκέψασθαι τὴν γῆν, καὶ ἐπωνόμασε Μωσῆς τὸν Ναυσὴν υἱὸν Ναυὴ Ἰησοῦν, καὶ ἀπέστειλεν αὐτούς." 2. ὅρα δὴ οὖν τίνα τρόπον οὐ μικρὰ νοήσας περὶ φύσεως ὀνομάτων ὁ c προφήτης, ἀλλὰ καὶ πλεῖστα ὅσα περὶ τῶν παρ' αὐτῷ μετονομαζομένων θείων ἀνδρῶν καὶ ὧν ἕνεκα μετονομάζονται φιλοσοφήσας εἰσάγει τὸν Ἀβραὰμ ἔπαθλον ἐπ' ἀρετῇ ἀπολαμβάνοντα πρὸς τοῦ θεοῦ τὴν πατρὸς Ἀβραὰμ ἐντελῆ προσηγορίαν, ὅπερ τί ποτε δηλοῖ οὐ νῦν διασαφεῖν καιρός. 3. οὕτω δὲ καὶ τὴν Σαρὰν Σάρραν ἐπονομάσας, καὶ γέλωτα τὸν Ἰσαὰκ πρὸ γενέσεως ἐπικεκλημένον, καὶ τὸν Ἰακὼβ τῆς πάλης τὸ βραβεῖον διὰ τῆς τοῦ Ἰσραὴλ ἐπωνυμίας ἀναδούμενον, μυρία τε ἄλλα περὶ ὀνομάτων δυνάμεώς τε καὶ d φύσεως θειότερα ἢ κατ' ἄνθρωπον ἐνθέῳ σοφίᾳ καὶ ἐπιστήμῃ διαλαβών, μηδενὸς τῶν πρὸ αὐτοῦ τῶν ἐξ αἰῶνος τῷ τοῦ Ἰησοῦ κεχρημένου ὀνόματι, πρῶτος αὐτὸς θείῳ πνεύματι θεοφορηθεὶς τὸν μέλλοντα αὐτοῦ διάδοχον τῆς ἀρχῆς τοῦ λαοῦ καταστήσεσθαι, ἑτέρῳ πρότερον ὀνόματι κεχρημένον μεταβαλών, Ἰησοῦν καλεῖ, οὐκ ἀρκεῖν ἡγούμενος τὴν ἐκ προγόνων ἐπικληθεῖσαν αὐτῷ γεννωμένῳ προσηγορίαν· Ναυσὴν γὰρ αὐτὸν ἐφώνουν οἱ γεννήσαντες. 4. ἀλλ' ὅ γε προφήτης τοῦ θεοῦ τὸ ἐκ γενετῆς ἀμείψας ὄνομα Ἰησοῦν τὸν ἄνδρα κατὰ τὸ θεῖον πνεῦμα καλεῖ· οὐκ

ἄλλως αὐτὸν καθηγεῖσθαι τοῦ παντὸς λαοῦ μετὰ τὴν ἑαυτοῦ τελευτήν, ** τῆς πρὸς αὐτοῦ τεθείσης νομοθεσίας μεταστησομένης ποτὲ καὶ τέλος ἰσχούσης, καὶ (196) αὐτῷ γε ὁμοίως Μωσεῖ τρόπον τινὰ τελευτώσης, μηδένα ἕτερον ἢ μόνον Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ πολιτείας ἑτέρας ἡγήσεσθαι κρείττονος ἢ κατὰ τὴν προτέραν. 5. οὕτω μὲν δὴ Μωσῆς ὁ πάντων προφητῶν θαυμασιώτατος, ἀμφοτέρας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θείῳ πνεύματι διαγνοὺς τὰς ἐπωνυμίας, ταύταις ὡς ἂν βασιλικοῖς διαδήμασι τοὺς παρ᾽ αὐτὸν πάντων τῶν ἀρχόντων ἐκκρίτους ἐτίμησεν, δυσὶν ἄρχουσι καὶ ἡγεμόσι τοῦ λαοῦ, τῷ τε ἀρχιερεῖ καὶ τῷ οἰκείῳ διαδόχῳ, τὸν Χριστὸν καὶ τὸν Ἰησοῦν ἐπι- b φημίσας κατ᾽ ἀξίαν, τῷ μὲν Ἀαρὼν τὸν Χριστόν, τῷ δὲ Ναυῆ, ὡς ἂν τὴν αὐτοῦ τελευτὴν διαδεξομένῳ, τὸν Ἰησοῦν ἀπονείμας. 6. τοῦτον μὲν οὖν τὸν τρόπον ἡ αὐτοῦ Μωσέως γραφὴ ταῖς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κεκόσμητο προσηγορίαις.

Ἀπὸ τῆς Ἐξόδου.

Ὡς ὁ Μωσέως διάδοχος Ἰησοῦς, ἄγγελος ἐπικεκλημένος, καὶ c τοῦ λαοῦ καθηγεῖσθαι μέλλων, τὸ ὄνομα τοῦ χρηματίζοντος Χριστοῦ ἐπιφέρεσθαι λέγεται.

"Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάσσῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι. πρόσεχε σεαυτῷ καὶ εἰσάκουε αὐτοῦ, μὴ ἀπείθει αὐτῷ· οὐ γὰρ μὴ ὑποστείληταί σε. τὸ γὰρ ὄνομά μού ἐστιν ἐπ᾽ αὐτῷ." 7. ἐμοῦ, φησὶν αὐτὸς ὁ κύριος, τοῦ σοι ταῦτα χρηματίζοντος τοὔνομα ἐπιγέγραπται ὁ μέλλων εἰσάγειν [125]

23 Ex. 23, 30.

τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας· εἰ δ' αὐτὸς ἦν ὁ Ἰησοῦς, οὐκ ἄλλος, πρόδηλον ὡς τοὔνομα τὸ αὐτοῦ φησιν ἐπιτεθεῖσθαι αὐτῷ. 8. οὐ θαυμαστὸν οὖν εἰ καὶ ἄγγελον αὐτὸν ἀποκαλεῖ, ὅτε καὶ περὶ Ἰωάννου ἀνθρώπου γεγονότος λέλεκται τὸ "ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου."

Ἀπὸ τοῦ Ζαχαρίου.

Ὡς καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας εἰκόνα καὶ τύπον ἔφερεν τοῦ σωτῆρος ἡμῶν, ἐπιστρέφοντος ἐπὶ τὸν θεὸν τὴν πάλαι ἐπικρατήσασαν τῶν ἀνθρωπείων ψυχῶν αἰχμαλωσίαν.

(197) 9. "Καὶ ἔδειξέ μοι κύριος Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου· καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ ἀντικεῖσθαι αὐτῷ. καὶ εἶπε κύριος πρὸς τὸν διάβολον, ἐπιτιμήσαι κύριος ἐν σοὶ, διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ, ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ. οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός; καὶ ἦν Ἰησοῦς ἐνδεδυμένος ἱμάτια ῥυπαρὰ, καὶ εἱστήκει πρὸ προσώπου 1. ἀγγέλου κυρίου, καὶ ἀπεκρίθη, καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προσώπου, λέγων, ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ· καὶ εἶπε πρὸς αὐτὸν, ἰδοὺ ἀφήρηκα τὰς ἀνομίας σου, καὶ ἐνδύσατε αὐτὸν ποδήρη, καὶ ἐπίθετε κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ περιέβαλον αὐτὸν ἱμάτια." 10. καὶ ἑξῆς ἐπιλέγει "ἄκουε δὴ Ἰησοῦ ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου, καθήμενοι πρὸ προσώπου σου, διότι

---

13 Zach. 3, 1.

ἄνδρες τερατόσκοποί εἰσιν, διότι ἄγω τὸν δοῦλόν μου ἀνατολήν." 11. καὶ μετὰ βραχέα τούτοις ἐπιφέρει c λέγων "καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν χρησμῶν αὐτῆς, καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτήν, καὶ εἰσελεύσῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον Σοφονίου τοῦ ἥκοντος ἐκ Βαβυλῶνος, καὶ λήψῃ ἀργύριον καὶ χρυσίον, καὶ ποιήσεις στεφάνους, καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου. καὶ ἐρεῖς πρὸς αὐτόν, τάδε λέγει κύριος παντοκράτωρ, ἰδοὺ ἀνήρ, ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν d οἶκον κυρίου, καὶ αὐτὸς λήψεται ἀρετήν, καὶ καθιεῖται καὶ κατάρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ. καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων."

12. Καὶ ὁ ἐν τῷ παρόντι προφήτης μέγας ἱερεὺς ἀναγορευόμενος Ἰησοῦς λευκοτάτην εἰκόνα καὶ σύμβολον ἐναργὲς δοκεῖ μοι σώζειν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ, τῇ τε αὐτοῦ προσηγορίᾳ τιμηθεὶς καὶ τῆς ἐπανόδου τῆς ἀπὸ Βαβυλῶνος αἰχμαλωσίας τοῦ λαοῦ καθηγησάμενος. 13. ἐπεὶ καὶ ὁ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀφεῖσθαι εἴρηται διὰ Ἡσαΐου τοῦ προφήτου "κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, παρακαλέσαι τε πάντας τοὺς πενθοῦντας, καὶ δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης." ἔχεις τοιγαροῦν ἤδη δύο μεγάλους ἀρχιερεῖς, τὸν μὲν παρὰ Μωσεῖ (198) Χριστόν, τὸν δὲ μετὰ χεῖρας Ἰησοῦν, τὰ σύμβολα τῆς περὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν

---

3 Ex. 6, 9. 24 Es. 61, 1.

ἀληθείας δι' αὐτῶν ἐπενηνεγμένους. 14. ἀλλ' ὁ μὲν
Ἀαρὼν, ὁ παρὰ Μωσεῖ Χριστὸς, τῆς παρὰ Αἰγυπτί-
οις ἀπαλλάξας τὸν λαὸν δουλείας, ἐπ' ἐλευθερίᾳ τε
καὶ θεραπείᾳ τοῦ τῆς ἀπ' Αἰγύπτου πορείας αὐτῶν
ἡγησάμενος, τὴν εἰκόνα σώζοι ἂν τοῦ ἀληθοῦς κυρίου,
[126] ὃς τῆς Αἰγυπτιακῆς εἰδωλολατρίας πάντας ἡμᾶς τοὺς
b ἐξ ἐθνῶν ἐλυτρώσατο· 15. ὁ δ' ἐν τῷ προφήτῃ Ἰησοῦς
ὁ ἱερεὺς ὁ μέγας τῆς ἀπὸ Βαβυλῶνος ἐπὶ τὴν Ἱερου-
σαλὴμ ἐπανόδου προέστη, δεῖγμα φέρων καὶ αὐτὸς
Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, ὃν ἔχομεν ἱερέα μέγαν
διεληλυθότα τοὺς οὐρανοὺς, δι' οὗ καὶ αὐτοὶ ὥσπερ
ἐκ Βαβυλῶνος τῆς κατὰ τὸν ἐνεστῶτα βίον συγχύσεώς
τε καὶ αἰχμαλωσίας ἀπολυτρωθέντες εἰς τὴν οὐρανό-
πολιν, τὴν ἀληθῶς Ἱερουσαλὴμ, σπεύδειν ἐδιδάχθη-
μεν. 16. εἰκότως δὲ ὁ τὴν εἰκόνα τῆς ἀληθείας δι'
c ἑαυτοῦ φέρων Ἰησοῦς καὶ ῥυπαρὰ ἱμάτια περιεβέ-
βλητο, καὶ ὁ διάβολος ἐκ δεξιῶν αὐτοῦ ἑστὼς καὶ
ἀντικείμενος αὐτῷ λέγεται, ἐπεὶ καὶ ὁ ἀληθῶς σωτὴρ
καὶ κύριος ἡμῶν Ἰησοῦς εἰς τὴν ἡμετέραν καταβὰς
αἰχμαλωσίαν τὰς ἁμαρτίας ἡμῶν ἀνείληφεν, καὶ τὸν
ἀνθρώπειον ῥύπον ἀνεμάξατο, τά τε κατὰ τὸ πάθος
αἴσχη διὰ τὴν πρὸς ἡμᾶς φιλανθρωπίαν ὑπέμεινεν.
17. διό φησιν ὁ Ἡσαΐας "οὗτος τὰς ἁμαρτίας ἡμῶν
d φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισά-
μεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κα-
κώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας
ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν."
ἀλλὰ καὶ Ἰωάννης ὁ βαπτιστὴς ἰδὼν τὸν κύριον εἶπεν
"ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ
κόσμου. 18. καὶ ὁ Παῦλος τούτοις παραπλησίως περὶ

---

23 Es. 53, 4. 29 Jo. 1, 29.

αὐτοῦ γράφων φησὶ "τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς δικαιοσύνη θεοῦ γενώμεθα ἐν αὐτῷ." καὶ "Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα." ταῦτα δὴ οὖν ἅπαντα θεσπίζουσα ἡ προφητεία ἐδήλου δι' ὧν φησιν "καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρά." 19. πλὴν ἀλλὰ ταῦτα ἀποθέμενος κατὰ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ τὴν ἀπὸ τῆς καθ' (199) ἡμᾶς αἰχμαλωσίας εἰς τὰ οἰκεῖα ἐπάνοδον, τῷ τῆς πατρικῆς θεότητος στεφανοῦται διαδήματι, καὶ τὴν λαμπροτάτην στολὴν τοῦ πατρικοῦ φωτὸς περιτίθεται, κιδάρει τε ἐνθέῳ καὶ τοῖς ἄλλοις ἀρχιερατικοῖς κόσμοις κατακοσμεῖται· οὐ χαλεπὰ δὲ καὶ τὰ κατὰ τὸν διάβολον ἀποδοῦναι, ὃς ἔτι καὶ νῦν ἀντικείμενος τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, καὶ τῇ καθ' ὅλης τῆς οἰκουμένης ὑπ' αὐτοῦ ἱδρυθείσῃ ἐκκλησίᾳ, αὐτῷ τῷ σωτῆρι ἡμῶν ἀνθέστηκεν, καὶ πρότερον αὐτῷ ἐξ ἐναντίας ἐπιστρατεύσας, ὅτε παρῆν ἡμᾶς ἐκ τῆς ὑπ' αὐτὸν b αἰχμαλωσίας ῥυόμενος. 20. ἐπείρασε γοῦν αὐτὸν καὶ πρότερον καὶ δεύτερον, ὅτε κατὰ τὸ πάθος τὴν ἐπιβουλὴν αὐτῷ συνεσκευάσατο. 21. ἐφ' οἷς ἅπασι καὶ τὸν διάβολον καὶ τοὺς ὑπ' αὐτῷ πάντας ἀοράτους ἐχθρούς τε καὶ πολεμίους τροπωσάμενος τοὺς αἰχμαλώτους ἡμᾶς οἰκείους αὐτοῦ κατηρτίσατο, καὶ ἐξ ἡμῶν αὐτῶν, ὡς ἂν ἐκ λίθων ζώντων, τὸν οἶκον τοῦ θεοῦ καὶ τὸ τῆς εὐσεβείας πολίτευμα ἐστήσατο, ὥστε εἰκότως ἐφαρμόζειν αὐτῷ τὸ λόγιον φάσκον "ἰδοὺ ἀνήρ, c ἀνατολὴ ὄνομα αὐτῷ. καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν οἶκον κυρίου. καὶ αὐτὸς λήψεται ἀρετήν, καὶ καθιεῖται, καὶ κατάρξει ἐπὶ τοῦ

1 2. Cor. 5, 21. 3 Gal. 3, 13.

θρόνου αὐτοῦ." 22. πρόσσχες δ' οὖν ἐπιμελῶς τίνα τρόπον νῦν μὲν πνευματικῶς περὶ τοῦ πάλαι λέγων Ἰησοῦ, τοῦ τὴν εἰκόνα τοῦ ἀληθοῦς φέροντος, φησὶ τὸ "ἰδοὺ ἀνήρ, ἀνατολὴ ὄνομα αὐτῷ." σμικρὸν δὲ ὑποβὰς ὡς περὶ ἑτέρου ὄντος ἀνατολῆς, αὐτῷ δὴ τῷ
d τότε παρόντι Ἰησοῦ λέλεκται "ἄκουε δὴ Ἰησοῦ, ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου, διότι ἄνδρες τερατοσκόποι εἰσίν. ἰδοὺ ἄγω τὸν δοῦλόν μου ἀνατολήν." εἰ δὴ οὖν ὁ λόγος ἦν περὶ μέλλοντος ἥξειν ἑτέρου, ἀληθέστερον παρὰ τὸν τότε ἀνατολῆς ὀνομαζομένου, εἰκὼν ἄρα τοῦ μέλλοντος ἥξειν ἀνατολῆς ἐκεῖνος ἦν, ὡς ἐν εἰκόνι οὐ μόνον Ἰησοῦς, ἀλλὰ καὶ
[127] ἀνατολὴ προσαγορευόμενος, εἴ γε ὡς πρὸς παρόντα αὐτὸν τὸ "ἰδοὺ ἀνήρ, ἀνατολὴ ὄνομα αὐτῷ" ἐλέγετο. 23. εἰκότως οὖν τῆς εἰκόνος ἕνεκα καὶ οὗτος τῆς τοῦ σωτῆρος προσηγορίας ἠξίωτο, ὥσπερ οὖν καὶ τῆς ἀνατολῆς, ἐπειδὴ σωτήριον θεοῦ εἰς τὴν Ἑλλάδα φωνὴν τὸ τοῦ Ἰησοῦ μεταληφθὲν ὄνομα σημαίνει· Ἰσουὰ μὲν
(200) γὰρ παρ' Ἑβραίοις σωτηρία, υἱὸς δὲ Ναυῆ παρὰ τοῖς αὐτοῖς Ἰωσουὲ ὀνομάζεται· Ἰωσουὲ δέ ἐστιν Ἰαὼ σωτηρία, τοῦτ' ἔστι θεοῦ σωτήριον. εἰκότως εἴ που θεοῦ σωτήριον ἐν τοῖς Ἑλληνικοῖς ἀντιγράφοις ὠνόμασται, οὐδ' ἄλλο τι ἢ τὸν Ἰησοῦν κατὰ τὴν Ἑβραίων φωνὴν πέπεισο δηλοῦσθαι.

24. Τούτων καὶ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν προσηγορίας ἐπὶ τοσοῦτον εἰρημένων ἐξ ἑτέρας αὖθις ἀρχῆς τὸν λόγον ἀναλαβόντες ἐπὶ τὰς ἐντελεστέρας περὶ αὐτοῦ προφητικὰς ἀποδείξεις μεταβησόμεθα.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ. [128] (202)

Ἐπειδὴ διττὸς ὁ τρόπος ὁ περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πέφανται ἐν τῷ πρὸ τούτου συγγράμματι τῆς Εὐαγγελικῆς Ἀποδείξεως, ὁ μὲν ὑπερφυὴς καὶ ἐπέκεινα· (καθ' ὃν ὁριζόμεθα αὐτὸν εἶναι μονογενῆ θεοῦ υἱὸν, ἢ οὐσιώδη τοῦ θεοῦ λόγον, δεύτερον τῶν ὅλων αἴτιον, ἢ οὐσίαν νοερὰν, καὶ θεοῦ πρωτότοκον ἐνάρετον φύσιν, τὴν πρὸ τῶν γεννητῶν θείαν καὶ πανάρετον δύναμιν, ἢ τῆς ἀγεννήτου φύσεως νοερὰν εἰκόνα·) ὁ δὲ συγγενὴς ἡμῖν καὶ μᾶλλον οἰκεῖος, (καθ' ὃν πάλιν αὐτὸν ὁριζόμεθα θεοῦ λόγον, ἐν ἀνθρώπῳ τῆς τοῦ πατρὸς εὐσεβείας ἀπαγγελτικὸν, καθ' ὃν πέφηνε πάλαι πρότερον ἐν ἀνθρώπου σχήματι τοῖς ἀμφὶ τὸν Ἀβραὰμ, αὐτὸν δὴ ἐκεῖνον τὸν βοώμενον ἐθνάρχην θεοφιλέσιν, 2. αὖθίς τε φανησόμενον ἐν ἀνθρώποις δι' ἀνθρώπου γενέσεως, καὶ παραπλησίας ἡμῖν σαρκὸς, αἴσχιστα πείσεσθαι προείρητο·) ὁδῷ καὶ τάξει προχωρῆσαι ἂν ἡμῖν ὁ λόγος μέλλουσι τὰς περὶ αὐτοῦ προφητικὰς ἐκτίθεσθαι μαρτυρίας, εἰ δὴ ἐν πρώτοις κατὰ τὰ ἐπηγγελμένα τὸ πρῶτον ἐξετάσαιμεν, καὶ τὴν ἐν τοῖς εὐαγγελίοις περὶ αὐτοῦ θεολογίαν ἀπὸ τῆς παλαιᾶς καὶ προφητικῆς μαρτυρίας πιστώσαιμεν. ἀναγκαῖον δὲ προεπισκέψασθαι ὁποῖός ποτε ἦν ὁ τρόπος τῆς παρ' Ἑβραίοις τῶν προφητῶν θεοληψίας, παρ' ὧν καὶ τὰ προηγορευμένα προπεπαιδεύμεθα.

3. Μαντεῖα καὶ χρηστήρια πανταχόσε γῆς Ἕλληνες καὶ βάρβαροι μνημονεύουσι συστῆναι. ταῦτα δέ φασιν ἐκ προνοίας τοῦ δημιουργοῦ ἐπὶ χρῆσιν καὶ ὠφέλειαν τῶν ἀνθρώπων καταδειχθῆναι, ὡς μηδὲν

(203) εἶναι τὸ διαφέρον τῶν παρ' Ἑβραίοις προφητῶν πρὸς τὰ τῶν λοιπῶν ἐθνῶν χρηστήρια· ὡς γὰρ Ἑβραίοις διὰ τῶν τοιῶνδε προφητῶν, οὕτω καὶ τοῖς ἄλλοις ἔθνεσι διὰ τῶν κατὰ τόπον μαντειῶν τὸν ἐπὶ πάντων θεὸν χρᾶν καὶ τὰ συμφέροντα ὑποτίθεσθαι. 4. μὴ γὰρ Ἰουδαίων μόνον εἶναι θεόν, ἀλλὰ καὶ τῶν λοιπῶν ἁπάντων ἀνθρώπων· καὶ οὐ μᾶλλον ἐκείνων ἢ τούτων κήδεσθαι, πάντων δ' ἐξ ἴσου προνοεῖν, ὥσπερ οὖν καὶ ἥλιον ἀφθόνως τοῖς πᾶσι δεδωρῆσθαι, ἀλλ' οὐ μόνοις Ἑβραίοις, καὶ τὰς ἐτησίους τῶν ἐπιτηδείων
b χορηγίας, σωμάτων τε τοῖς πᾶσι κατασκευὴν ὁμοίαν, ἕνα τε γενέσεως τοῖς πᾶσι τρόπον καὶ φύσιν λογικῆς ψυχῆς μίαν. 5. οὕτω δὲ καὶ τῆς τῶν μελλόντων προγνώσεως τὴν ἐπιστήμην πᾶσιν ἀνθρώποις ἀφθόνως παρέχειν, τοῖς μὲν διὰ προφητῶν ἀνδρῶν, τοῖς δὲ διὰ χρηστηρίων, τοῖς δὲ διὰ ὀρνίθων πτήσεως, ἢ διὰ θυτικῆς, ἢ δι' ὀνειροπομπείας, ἢ διὰ κληδόνων, ἢ παλμῶν, ἤ τινων ἑτέρων συμβόλων. ταῦτα γάρ φασιν πᾶσιν ἀνθρώποις ἐκ τῆς τοῦ θεοῦ προνοίας δεδωρῆσθαι, ὡς μηδὲν πλέον ἔχειν δοκεῖν τοὺς Ἑβραίων προφήτας.

c 6. Τοιοῦτος μὲν οὖν ὁ παρ' ἐκείνων λόγος· ὁ δὲ παρ' ἡμῶν ὧδέ πως αὐτοῖς ἀπαντήσεται. εἰ μέν τις συνίστη λόγος θεοὺς ἀληθῶς, ἢ θείας δυνάμεις, ἢ
[129] δαίμονας ἀγαθοὺς ἐφεστάναι τοῖς τῶν εἰρημένων μαντείοις, ἢ τοῖς οἰωνοῖς, ἢ τοῖς λοιποῖς τοῖς κατωνομασμένοις, ἣν ἂν χώραν ἀπονεῖμαι τοῖς λεγομένοις, ὡς τοῦ ἐπὶ πάντων θεοῦ κἀκεῖνα τοῖς χρωμένοις ἐπ' ὠφελείᾳ δεδωρημένου· εἰ δὲ ἐντελέσιν ἀποδείξεσι καὶ αὐτῶν Ἑλλήνων ὁμολογίαις ἤδη πρότερον δαίμονας αὐτοὺς εἶναι καὶ οὐδ' ἀγαθούς, πάσης δὲ βλά-
d βης καὶ μοχθηρίας αἰτίους, πῶς ἂν δύναιντο θεοῦ

εἶναι προφῆται; φαύλους δὲ αὐτοὺς ὁ λόγος ἐφώρασε διὰ τῆς Εὐαγγελικῆς Προπαρασκευῆς, ἔκ τε τῆς πάλαι κατὰ πάντα τόπον καὶ πόλιν καὶ χώραν συντελουμένης αὐτοῖς ἀνθρωποθυσίας, ἔκ τε ὧν ἠπάτων τοὺς ἐρωτῶντας ἀγνοίᾳ τοῦ μέλλοντος, ἔκ τε ὧν ἡλίσκοντο μυρία ψευδόμενοι, τοτὲ μὲν ἐκ τοῦ προφανοῦς, τοτὲ δὲ διὰ τῆς τῶν χρησμῶν ἀμφιβολίας, δι' ἧς τοὺς πρόσφυγας πλείστοις πλειστάκις περιβάλλοντες κακοῖς ἀπηλέγχθησαν. 7. καὶ ἐπεὶ προαπεδείκνυτο μιαρὸν αὐτῶν καὶ ἀκάθαρτον τὸ φῦλον ἐκ τοῦ χαίρειν αἰσχραῖς καὶ ἀκολάστοις περὶ αὐτῶν λεγομέναις (204) ᾠδαῖς καὶ ὕμνοις καὶ μυθικοῖς διηγήμασιν, ἱστορίαις τε ἀσέμνοις καὶ ἐπιβλαβέσιν, ἃς καὶ καθ' ἑαυτῶν κυροῦντες καὶ ὡς ἀληθεῖς βεβαιοῦντες ἤλωσαν. 8. καὶ τέλος ἁπάντων ἔλεγχος τῆς ἀδρανοῦς αὐτῶν φύσεως ἦν τὸ σβεσθῆναι καὶ μηκέθ' ὁμοίως χρᾶν· καὶ σβεσθῆναι μὴ ἄλλοτε ἢ ἀπὸ τῶν χρόνων τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ. 9. ἐξ οὗ γὰρ εἰς πάντα τὰ ἔθνη διέδραμεν ὁ τῆς εὐαγγελικῆς διδασκαλίας αὐτοῦ λόγος, ἐξ ἐκείνου καὶ τὰ χρηστήρια διέλιπεν, καὶ δαιμόνων θάνατοι μνημονεύ- b ονται. πάντα δὲ οὖν ἦν ταῦτα καὶ ἄλλα τούτοις παραπλήσια μυρία, δι' ὧν πονηροὶ δαίμονες ὄντες οἱ περὶ ὧν ὁ λόγος ἐν τοῖς τῆς Εὐαγγελικῆς Προπαρασκευῆς ἀπηλέγχθησαν. 10. εἰ δὴ οὖν τοιοίδε τινὲς τυγχάνουσι, τίς αἱρεῖ λόγος τοῦ ἐπὶ πάντων θεοῦ μαντείας εἶναι ἡγεῖσθαι τὰ τῶν δαιμόνων χρηστήρια, ἢ τοῖς τοῦ θεοῦ προφήταις τὰ κατ' αὐτοὺς παραβάλλειν; ποταπαὶ δὲ αὐτῶν αἱ προρρήσεις, ἅς, ὅτε καὶ c ἐδόκουν ὑφεστάναι, πρὸς τοὺς ἐρωτῶντας ἐποιοῦντο; ἆρα οὐχὶ περὶ ἀσέμνων ταπεινῶν τε καὶ εὐτελῶν ἀνδρῶν, πυκτῶν, φέρε, ἢ τινων τοιούτων, οὓς θυσίαις

τιμᾶν ἐκέλευον; ποῖα δὲ τὰ περὶ τῆς ἀνθρωποθυσίας νενόμιστο; κεφάλαιον γὰρ δὴ τοῦτο τῶν εἰρημένων. 11. ἆρά τινι πράγματι κατέλιπον φαύλῳ ἀτοπίας ὑπερβολήν, εἰ δὴ οἱ σωτῆρες ἀνθρώπων θεοί τε καὶ ἀγαθοὶ δαίμονες τοὺς ἱκέτας αὐτῶν καὶ εὐσεβεῖς πρόσφυγας κατασφάττειν τὰ ἑαυτῶν φίλτατα, ὥσπερεί
d τινα ἄλλα θρέμματα, παρεκελεύοντο, ἄντικρυς ἀνθρωπείων αἱμάτων ὑπὲρ πᾶσαν θηρίων φύσιν διψῶντες, καὶ οὐδὲν ἄλλο ἢ αἱμοπότας καὶ ἀνθρωποβόρους ἀπωλείας τε φίλους εἶναι σφᾶς αὐτοὺς ἀπελέγχοντες· ἢ λεγέτω ὁ βουλόμενος, εἰ ἔχοι σεμνόν τι καὶ ἀρετῆς ἄξιον τῶν δηλουμένων ἐπιδεῖξαι, ἢ μαντείας καὶ προρρήσεις εἰς πᾶν γένος ἀνθρώπων συντεινούσας, ἢ νόμους καὶ πολιτικὰς διατάξεις καθ᾽ οὓς χρῆν βιοῦν πάντας ἀνθρώπους διαγορευούσας, ἢ φιλοσοφίας δόγματά τε καὶ μαθήματα πρὸς τῶν θεῶν προβεβλημένα τοῖς ἐρασταῖς φιλοσοφίας. 12. ἀλλ᾽ οὐκ ἂν ἔχοι τις
(205) φάναι τοιοῦτον πώποτε ὑπῆρχθαι τῷ βίῳ ἐκ τῶν περιβοήτων χρηστηρίων· εἰ γὰρ ἦν ταῦτα, οὐκ ἂν διαφόροις ἐχρήσαντο καὶ μαχομένοις νόμοις ἄνθρωποι ὑπὸ θεῶν νομοθετούμενοι. 13. θεοὶ γὰρ ὄντες καὶ ἀγαθοὶ πῶς οὐκ ἂν τοῖς αὐτοῖς ἐχρήσαντο διατάγμασι; πῶς δ᾽ οὐχὶ ταῖς σώφροσι καὶ δικαιοτάταις νομοθεσίαις; τίς οὖν τῆς Σόλωνος, ἢ Δράκοντος, ἢ τῶν ἄλλων ἀνθρώπων Ἕλλησίν τε καὶ βαρβάροις νομοθετῶν χρεία ἦν, θεῶν ἐγγὺς παρόντων, καὶ διὰ τῶν χρησμῶν διαταττομένων τὰ δέοντα; 14. εἰ δὲ δὴ
[150] φαίη τις αὐτοὺς καὶ οὐδ᾽ ἄλλους εἶναι τοὺς καθ᾽
b ἕκαστον ἔθνος ἀνθρώπων νομοθετοῦντας, καὶ τίς ἆρα ἐκεῖνος καὶ ποταπὸς εἰπάτω θεός, ὁ Σκύθαις, φέρε, ἀνθρωποβορεῖν διαταξάμενος, ἢ ὁ μητράσιν ἑτέροις καὶ θυγατράσι μίγνυσθαι νομοθετήσας, ἢ ὁ κυσὶν

παραβάλλειν τοὺς γεγηρακότας, ὡς ἀγαθὸν, διατε-
ταγμένος, ἢ ὁ ἐπιτρέπων ἀδελφὰς γαμεῖν καὶ ἄρρε-
νας ἄρρεσιν ἐπιμίγνυσθαι; καὶ τί με δεῖ τοὺς ἐκθέ-
σμους τῶν παρ' Ἕλλησι καὶ βαρβάροις λόγους ἀπα-
ριθμεῖν, εἰς ἔλεγχον τοῦ μὴ θεοὺς γεγονέναι, πονηροὺς
δὲ καὶ ἀλιτηρίους δαίμονας, τοὺς θαυμαστοὺς αὐτῶν c
χρησμοδότας, ἐπὶ τὰ παρὰ φύσιν ἀτοπήματα τὸ τρισ-
άθλιον τῶν ἀνθρώπων γένος καταβεβληκότας, 15.
ὁπότ' οὐδ' οἱ παρ' Ἕλλησι βεβοημένοι θεοὶ καὶ μάν-
τεις ὀνησιφόρον τι καὶ λυσιτελὲς εἰς ψυχῆς ὠφέλειαν
τοῖς χρωμένοις ἀποδείκνυνται παρεσχημένοι; 16. τί
γὰρ δή ποτε καταλιπόντες ἄνδρες Ἕλληνες τὴν ἐξ
αὐτῶν ὠφέλειαν ἐπὶ τὴν βάρβαρον ἐστέλλοντο γῆν
ἐμπορίαν μαθημάτων ἔξωθέν ποθεν ἐρανιζόμενοι,
παρὸν διδασκάλοις τοῖς θεοῖς χρῆσθαι; θεῶν γὰρ ἢ
καὶ δαιμόνων ἀγαθῶν χρηματιζόντων, καὶ τοτὲ μὲν d
διὰ τῆς προγνώσεως καὶ τῆς ἄλλης παραδοξοποιίας
τὴν οἰκείαν δύναμιν παραφαινόντων, τοτὲ δὲ διὰ τῆς
ἀδιαπτώτου τῶν μαθημάτων ἀληθείας τὴν ἀληθῆ
σοφίαν ἐκδιδασκόντων, τί ποτ' ἦν ἄρα τὸ μὴ τούτοις
μαθητευθῆναι φιλοσόφων παῖδας, ἄλλων δὲ ἀπ' ἄλ-
λου δογμάτων τινῶν ἐπινοίας ποριζομένων, ἐκ τῆς
μακρᾶς διαφωνίας ποικίλας αἱρέσεις φιλοσόφων συ-
στῆναι; ἀλλ' εἰ μὴ προσεῖχον αὐτοῖς οἱ πολλοὶ τῶν
ἀνθρώπων, τοὺς εὐσεβεῖς δ' οὖν καὶ θεοῖς προσιόν-
τας χρῆν δήπου τὸ ἀδιάπτωτον ἐκ τῆς τῶν θεῶν ὠφε-
λείας πεπορίσθαι. 17. τίνες οὖν οὗτοι; οὓς γὰρ ἂν (206)
φῇς, τούτους ἀπελέγχουσι πλανωμένους οἱ ἀντιδοξά-
ζοντες. ἀλλὰ γὰρ, ὡς ἔοικε, δαιμόνων ἦν μαντεία,
μέχρι κλέπτου φωρᾶς ἢ σκεύους ἀπωλείας ἤ τινος
ἄλλου τοιούτου φθάνοντα, ὧν οὐκ ἀπεικὸς ἦν αὐτοὺς
ἐν τῷ περὶ γῆν ἀέρι τὰς διατριβὰς ποιουμένους τὴν

εἴδησιν ἐσχηκέναι· καλοῦ δὲ καὶ σοφοῦ μηδενὸς ἐπη-
βόλους εἶναι δόγματος φιλοσόφου, μὴ πολιτείας, μὴ
νόμου ὀρθῷ λόγῳ κειμένου· μᾶλλον δὲ, εἰ χρὴ φά-
b ναι ἐλευθέρᾳ φωνῇ, τούτους ἅπαντας ἀρχεκάκους
ἡγεῖσθαι χρὴν γεγονέναι· οἵ δὴ περὶ σφῶν αὐτῶν
μοιχείας καὶ ἀρρενομιξίας, μητρογαμίας τε καὶ ἀδελ-
φῶν ἐκθέσμους κοινωνίας, καὶ μυρίας ἄλλας θεομα-
χίας, ἔχθρας τε καὶ πολέμους θεῶν πρὸς θεοὺς, ἀν-
θρώπων τε ᾠδαῖς καὶ ὕμνοις καὶ διηγήμασι, μυστη-
ρίων τε ἐν ἀπορρήτοις τελεταῖς λεγόντων ἀκροώμε-
νοι, οὐδεὶς γοῦν αὐτῶν πώποτε ἐπὶ τοῖς εἰρημένοις,
ὡς ἐπ᾽ ἀκολάστοις καὶ μηδὲ σώφροσιν ἀνθρώποις ἁρ-
c μόζουσι φρονεῖν ἢ λέγειν τὰ τοιαῦτα, ἀγανακτήσας
φαίνεται. 18. καὶ τί με χρὴ διατείνεσθαι, παρὸν ἐξ
ἑνὸς τοῦ μεγίστου παραδείγματος τὸ ὠμὸν καὶ ἀπάν-
θρωπον καὶ ὡς ἀληθῶς μιαρὸν τῶν δηλουμένων συν-
ορᾶν; λέγω δὲ ἐκ τῆς ἀνθρωποθυσίας. 19. τὸ γὰρ
μὴ μόνον ἀλόγων ζῴων σφαγαῖς χαίρειν, ἀλλὰ καὶ ἀν-
θρώπων ἀπωλείαις, ποίας ὠμότητος ὑπερβολὴν οὐχ
ὑπερηκόντισε; ταῦτα γὰρ ἦν, ὡς ἔφην, τὰ διὰ τῆς
Προπαρασκευῆς ἐξ αὐτῶν τῶν Ἑλληνικῶν φιλοσόφων
d τε καὶ συγγραφέων μεμαρτυρημένα, ἐξ ὧν καὶ μά-
λιστα δαίμονες ὄντες πονηροὶ πολυπλόκοις μηχαναῖς,
τοτὲ μὲν ταῖς διὰ μαντειῶν, τοτὲ δὲ ταῖς δι᾽ οἰωνῶν
ἢ συμβόλων ἢ θυμάτων ἢ τῶν παραπλησίων, τὸ ἀν-
θρώπειον διαστρέφοντες γένος δείκνυνται. 20. διό-
περ ἀποφαντέον αὐτῶν τὰ χρηστήρια μὴ τοῦ ἐπὶ πάν-
[131] των γεγονέναι θεοῦ. οὐκοῦν οὐδὲ συγκρίνειν αὐτὰ
τοῖς Ἑβραίων προφήταις θεμιτὸν ἂν εἴη, ὧν ὁ πρῶ-
τος ἱεροφάντης καὶ θεολόγος γέγονε Μωσῆς· θέα
ὅσων ἀγαθῶν τῷ βίῳ παραίτιος κατέστη· πρῶτον
207) μὲν δογμάτων εὐαγγελικῶν καὶ ἀληθῶν περὶ τοῦ ποι-

ητοῦ καὶ δημιουργοῦ τῶν ἁπάντων θεοῦ, περί τε τοῦ δευτέρου αἰτίου τῶν μετ᾽ αὐτὸν λογικῶν καὶ νοερῶν οὐσιῶν, περί τε κοσμογονίας καὶ ἀνθρωπογονίας γραφὴν ἱερὰν ἐξέδωκεν, ἔτι τε τῶν θεοσεβῶν ἱστορίας τῶν πάλαι θεοφιλῶν Ἑβραίων, ὥσπερ τινὰς ἀρετῶν εἰκόνας ὑποτυπωσάμενος, εἰς ζῆλον τῶν ἀγαθῶν ἀνδρῶν τοὺς ὑπηκόους ἀνεκίνησε, καὶ νομοθεσίας ἐνθέου καὶ καταλλήλου τοῖς τότε χρωμένοις φωτὸς b ἀπήρξατο λόγων, καὶ θρησκείας θεοσεβοῦς πέφηνεν εἰσαγωγεύς, καὶ ἐπὶ πᾶσι τῶν μακροῖς ὕστερον χρόνοις ἔσεσθαι μελλόντων τὰς προρρήσεις ἀναπεφώνηκεν, ὡς μικρὸν ὕστερον μνημονευθήσεται. 21. καὶ τοιοῦτος μὲν οὗτος· κατὰ τὰ αὐτὰ δὲ καὶ οἱ μετ᾽ αὐτὸν προφῆται, πάρεργον μὲν, εἴ πού τι τῶν ἐφημέρων ἐξητεῖτο, καὶ τοῦτο προὔλεγον τοῖς ἐρωτῶσι, τὸ δὲ κεφάλαιον τῆς προφητείας αὐτοῖς ἐπὶ μεγάλοις συνετελεῖτο. c 22. οὐ γὰρ ἐπὶ μαντείᾳ τῶν ἐφημέρων καὶ πρὸς τὸν παρόντα καιρὸν ἐπιζητουμένων οὐδέ γε σμικρῶν καὶ ταπεινῶν τὰ τῆς θεοφορίας ἠξιοῦντο, ἀλλ᾽ ἐπὶ τοῦ παντὸς ἀνθρώπων γένους ἡ τοῦ θείου πνεύματος ἐν αὐτοῖς ἔλλαμψις μεγίστην ὑπόθεσιν περιέχουσα, οὐ περὶ νοσοῦντος ἀνθρώπου τὸ σῶμα, οὐδὲ περὶ τῆς προσκαίρου καὶ πολυπαθοῦς ταύτης ζωῆς τὴν πρόρρησιν ἐπαγγελλομένη, οὐδὲ περί τινος ἀπολωλότος, οὐδ᾽ ἄλλως περί τινων μέσων καὶ ἀδιαφόρων, d ἃ οὔτε παρόντα ψυχῆς βελτιώσει συμβάλλεται οὔτε μὴ παρόντα ζημίαν ἢ βλάβην περιποιεῖ. ἀλλ᾽ ἦν μὲν, ὡς ἔφην, ὅτε καὶ ταῦτα προὔλεγον, οὐ κατὰ τὸν προηγούμενον δὲ λόγον, ἀλλὰ κατὰ ἀκολουθίαν τῆς τῶν κρειττόνων καταλήψεως· τὰ δέ γε πρωτοτύπως αἴτια τῆς ἐν τῷ προφητεύειν αὐτοὺς θεοληψίας μείζονα τὴν ὑπόθεσιν ἢ κατὰ τὰ εἰρημένα περι-

εἶχεν· 23. εἰ δ' οὖν τις τὴν πᾶσαν περιοχὴν τῆς Μωσέως γραφῆς καὶ τῶν μετ' αὐτὸν ἀκριβῶς διερευνήσειεν, εὕροι ἂν προτροπὴν καὶ διδασκαλίαν εὐσεβείας τῆς εἰς τὸν τῶν ὅλων θεὸν αὐτὸν δὴ τὸν δημιουργὸν ἁπάντων περιέχουσαν, γνῶσίν τε καὶ θεολογίαν τὴν ἀνωτάτω τοῦ δευτέρου αἰτίου, πάσης (208) δὲ πολυθέου πλάνης ἀποτροπήν, εἶτα τῶν πάλαι θεοφιλῶν ἀνδρῶν τῶν δὴ καὶ ἀπαρξαμένων τῆς εἰρημένης εὐσεβείας μνήμην, προρρήσεις τε καὶ ἀναφωνήσεις κατὰ τὸν ἐκείνων βίον ὑστέροις ποτὲ χρόνοις μελλόντων βιώσεσθαι, δι' ἐπιφανείας καὶ παρουσίας εἰς ἀνθρώπους θεοῦ, αὐτοῦ δὴ τοῦ δευτέρου κυρίου καὶ θεοῦ μετὰ τὸν ἀνωτάτω πατέρα καὶ αὐτοῦ χρηματίζοντος διδασκάλου τῆς αὐτῆς εὐσεβείας, καὶ σωτῆρος ἐπιφανησομένου τῷ τῶν ἀνθρώπων βίῳ, δι' b οὗ πᾶσι τοῖς ἔθνεσιν, Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις, προύλεγον τὸν τῆς θεοσεβείας τῶν πάλαι θεοφιλῶν Ἑβραίων τρόπον παραδοθήσεσθαι. 24. ταῦτα Μωσῆς, ταῦτα δὲ καὶ τῶν λοιπῶν προφητῶν παῖδες, οἳ πάντες ἐξ ἑνὸς στόματος προεκήρυττον· καὶ τοῦτ' ἦν τὸ τῆς εἰς ἀνθρώπους τοῦ θείου πνεύματος ἐπιφορᾶς αἴτιον, διδάξαι θεογνωσίαν ἀνθρώπους καὶ τὴν ἀνωτάτω περὶ πατρὸς καὶ υἱοῦ θεολογίαν, παιδεῦσαί τε τρόπον ἀληθοῦς εὐσεβείας, καὶ μνημονεῦσαι τῶν πάλαι κατωρθωκότων, καὶ τῶν μετὰ ταῦτα τῆς τῶν προγόνων εὐσεβείας ἐκπεπτωκότων, τόν τε c κατὰ τούτων ἔλεγχον διὰ μακρῶν ἐκφᾶναι λόγων, θεσπίσαι τε τὴν παρουσίαν τοῦ σωτῆρος καὶ διδασκάλου τοῦ παντὸς ἀνθρώπων γενους, καὶ τὴν δι' αὐτοῦ τῆς παλαιᾶς Ἑβραίων θεοσεβείας εἰς πάντα τὰ ἔθνη μετάδοσιν προκηρῦξαι.

25. Ταῦτα ἦν τὰ ἐξ αἰῶνος στήλαις καὶ βίβλοις

ἱεραῖς τῶν προφητῶν συμφώνως ἀναπεφωνημένα· αὐτὰ δὴ ταῦτα, ἃ καὶ ἡμῖν αὐτοῖς ὀφθαλμοῖς μετὰ [132] τὸν μακρὸν αἰῶνα εἰσέτι νῦν πληρούμενα συνορᾶται, μιᾷ δὲ φωνῇ πάντες οὗτοι καὶ θείῳ πνεύματι d κάτοχοι πᾶσιν ἀνθρώποις τὸ φῶς τῆς ἀληθοῦς προεκήρυττον εὐσεβείας, ἁγνείαν τε ψυχῆς καὶ σώματος, παντελῆ τε κάθαρσιν διανοίας, ἣν αὐτοὶ πρότερον ἠσκηκότες τοῖς ὑπηκόοις προυβάλλοντο, πάσης ἀκολάστου πράξεως τοὺς προσιόντας ἀπείργοντες, μηδὲ τῆς πολυθέου πλάνης ἀπομιμεῖσθαι τὰς ἐκθέσμους ἐπιτηδεύσεις, προτροπάδην δὲ φεύγειν διδάσκοντες πᾶσαν δαιμονικὴν ἐγχείρησιν, καὶ τὰς πάλαι περισπουδάστους ἐκείνας ἀνθρωποθυσίας, τάς τε αἰσχρὰς καὶ ἐπιρρήτους περὶ θεῶν διηγήσεις, ὧν ἀπείργοντες μόνῳ προσανέχειν συνεβούλευον τῷ πάντων δημιουργῷ θεῷ, οἷα ἐφόρῳ καὶ κριτῇ τυγχάνοντι τῶν (209) ἐν ἀνθρώποις πραττομένων, μηδὲ ἀγνοεῖν τὸν μέλλοντα εἰς ἀνθρώπους ἐπιδημεῖν τὸν Χριστὸν τοῦ θεοῦ, σωτῆρα παντὸς γένους ἀνθρώπων καὶ διδάσκαλον βαρβάρων ὁμοῦ καὶ Ἑλλήνων εὐσεβείας τῆς ἀληθοῦς καταστησάμενον. 26. τοσοῦτόν τι ἦν τὸ διάφορον τῶν ὑπὸ τοῦ θείου πνεύματος κατόχων καὶ τῶν ὑπὸ δαιμονικῆς ἐνεργείας μαντεύεσθαι προσποιουμένων. εἶτα τὸ μὲν πονηρὸν δαιμόνιον, οἷα σκότου οἰκεῖον, σκότον καὶ ἀχλὺν περιβάλλον τῇ ψυχῇ διὰ τῆς ἐπιφοιτήσεως, τὸν ὑπ' αὐτοῦ οἷα νε- b κρὸν ἐξήπλου τοῦ κατὰ φύσιν λογισμοῦ παρενηνεγμένον, οὐδ' ἑπόμενον τοῖς λεγομένοις ἢ πραττομένοις δι' αὐτοῦ, παντελῶς δ' ἀναίσθητον καὶ παράφρονα, παρ' ὃ καὶ μαντείαν ὥσπερ τινὰ μανίαν εἰκότως ἐοίκασι τὴν τοιάνδε κατάπτωσιν ἐπικεκλῆκέναι. 27. τὸ δέ γε ἀληθῶς καὶ ἔνθεον πνεῦμα, φωτοειδές, μᾶλλον

δὲ φῶς αὐτὸ τυγχάνον, ᾗ δ' ἂν ἐπέλθῃ ψυχῇ, καινὴν παραχρῆμα καὶ λαμπροτάτην φωτὸς ἡμέραν ἐν αὐτῇ κατειργάζετο, διαυγεστέραν τε καὶ θεωρητικω-
c τέραν πολὺ πλέον νῦν ἢ πρότερον αὐτὴν αὐτῆς ἀποφαῖνον, ὥστε νήφειν καὶ ἐγρηγορέναι, συνορᾶν τε πάντων μάλιστα καὶ συγκρίνειν τὰ θεσπιζόμενα. 28. παρ' ὃ μοι δοκοῦμεν εὖ καὶ ἀληθῶς προφήτας ἀποκαλεῖν τοὺς τοιούσδε παρὰ τὸ προφαίνειν καὶ προφωτίζειν ἐν αὐτοῖς τὸ θεῖον πνεῦμα μὴ μόνον τὰ παρόντα, ἀλλὰ καὶ τῶν μελλόντων ἀληθῆ καὶ ἀκριβῆ γνῶσιν. 29. σκέψασθε δὲ εἰ μὴ πολὺ κρείττων οὗτος καὶ ἀληθὴς ὁ λόγος, φάσκων πνεῦμα θεῖον ψυχαῖς ἐπιφοιτᾶν κεκαθαρμέναις καὶ νῷ λογικῷ καὶ διαυγεῖ
d πρὸς ὑποδοχὴν τοῦ θείου παρεσκευασμέναις, ἢ ὁ τῶν ἐν ἀψύχῳ ὕλῃ καὶ σκοτίοις μυχοῖς ἐναποκλειόντων τὸ θεῖον ἔν τε γυναικῶν καὶ ἀνδρῶν οὐ καθαραῖς ψυχαῖς, ἤδη δὲ καὶ ἐπὶ κόρακας καὶ ἱέρακας καὶ ἄλλους οἰωνούς, ἐπί τε αἶγας καὶ ἄλλα ζῷα, ναὶ μὴν καὶ ἐπὶ ὑδάτων συστάσεις, ἔν τε ἡπατοσκοπίαις, καὶ αἵμασι μυσερῶν καὶ εἰδεχθῶν κνωδάλων, ἑρπετῶν τε ἰοβόλων σώμασιν, οἷον δρακόντων καὶ γαλῶν καί τινων ἄλλων τοιουτοτρόπων, δι' ὧν τὴν τῶν μελλόντων πρόγνωσιν οἱ θαυμάσιοι τὸν ἐπὶ πάντων
(210) θεὸν ἐκφαίνειν ὑπειλήφασι. 30. τοῦτο δ' ἀνδρῶν ἦν μὴ συνεωρακότων θεοῦ φύσιν, μηδέ γε θείου πνεύματος δύναμιν ἐπινενοηκότων, οὐδαμῶς μὲν ἐμφιλοχωροῦσαν ἀψύχοις ἢ ἀλόγοις ζῴοις, ἀλλ' οὐδ' ἐν λογικοῖς ἅπασιν, εἰ μή ποτε ** ἄρα ἢ μόνων ψυχῶν καὶ ἐναρέτοις ψυχαῖς, οἵους ἡμῖν ἀρτίως ὁ λόγος τοὺς Ἑβραίων ὑπέγραψε προφήτας· οὓς τοῦ θείου πνεύματος φαμὲν ἀξιωθῆναι, μεγάλων ἕνεκεν πραγμάτων οἰκουμένης ἁπάσης ἀνθρώπων βελτιώσει

συμβαλλομένων. 31. εἰ δέ ποτ' αὐτοῖς σκιᾶς δίκην ἐπηκολούθει τὸ καὶ τὰ παρόντα τῶν μέσων καὶ ἀδια- b φόρων γνωρίζειν, καὶ προλέγειν κατὰ καιρὸν τὰ ἀγνοούμενα τοῖς ἐρωτῶσιν, ἀναγκαίως καὶ τοῦτο τοῖς [133] πάλαι αὐτοῖς πλησιάζουσι παρεῖχον, ὡς ἂν μὴ δοκοῖεν οἱ λίχνοι περὶ τὰς προγνώσεις εὐλόγως ἀποκλίνειν ἐπὶ τὰ ἔξω τῶν ἀλλοφύλων ἐθνῶν μαντεῖα σπάνει προφητῶν οἰκείων.

32. Ἀλλὰ ταῦτα μὲν ὧδε τέλος ἐχέτω, τῆς ἐν τοῖς Ἑβραίων προφήταις θείας δυνάμεως ὄντα πα- c ραστατικά. ὥρα δὴ οὖν αὐτοῖς, οἷα δὴ ἐνθέοις ἀνδράσι καὶ σοφοῖς οὐ κατ' ἄνθρωπον γενομένοις, κατ' ἐπίπνοιαν δὲ θείου πνεύματος, πείθεσθαι διδάσκουσι, παιδεύεσθαί τε τὰ παρ' αὐτοῖς δόγματα καὶ τὰς εὐσεβεῖς καὶ ἀδιαπτώτους θεολογίας, οὐκέτ' ἀμφιβολίαν ἔχοντα, μή πη ἀρετῆς καὶ ἀληθείας ἀλλότριον ἐπάγονται· φέρ' οὖν ἤδη λοιπὸν ἀναλαβόντες ἐξ ὑπαρχῆς τὸν λόγον τὴν ἐν τοῖς εὐαγγελίοις περὶ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ θεολογίαν ἀπὸ τῆς προφητικῆς μαρτυρίας πιστωσώμεθα. 33. ἡ μὲν οὖν εὐαγγελικὴ μαρτυρία ὧδε τὸν d Χριστὸν θεολογεῖ "ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδ' ἕν." καλεῖ δ' αὐτὸν καὶ φῶς νοερόν, καλεῖ δὲ καὶ κύριον, ὥσπερ οὖν καὶ θεόν. 34. καὶ ὁ θεσπέσιος δὲ Παῦλος, οἷα τοῦ Χριστοῦ μαθητὴς ὢν καὶ ἀπόστολος, συνᾴδει τῇ θεολογίᾳ, ταῦτα περὶ αὐτοῦ διεξιών "ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν

22 Io. 1, 1. 28 Col. 1, 15.

τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι. τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα δι' αὐτοῦ συνέστηκε." κέκληται καὶ θεοῦ δύναμις καὶ θεοῦ σοφία. αὐτὰ δὴ οὖν (211) ταῦτα πρόκειται καὶ νῦν ἀπὸ τῶν παρὰ Ἑβραίοις προφητικῶν γραφῶν ἐξανθίσασθαι, ὡς ἂν διὰ τῆς ἐν ἑκατέροις τοῖς μέρεσι συμφωνίας ἡ τοῦ ἀληθοῦς ἀπόδειξις παρασταθείη. 35. χρὴ δὲ μὴ ἀγνοεῖν ὅτι οἱ μὲν θεῖοι χρησμοὶ πολὺ τὸ καὶ πρὸς λέξιν καὶ πρὸς διάνοιαν ὑπερφυὲς τῇ Ἑβραίων φωνῇ περιέχοντες, διαφόρου τῆς ἐπὶ τὸ Ἑλληνικὸν ἑρμηνείας τετυχήκασι, τοῦ δυσθεωρήτου χάριν. ἑβδομήκοντα δ' οὖν ἄν-
b δρες ἀθρόως Ἑβραῖοι συμφώνως αὐτὰς μεταβεβλήκασιν, οἷς μάλιστα τὸν νοῦν προσέξομεν, ὅτι δὴ καὶ τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ τούτοις κεχρῆσθαι φίλον. 36. εἰ δέ που γίνοιτο χρεία, οὐδὲ τὰς τῶν μετὰ ταῦτα νεωτέρων ἑρμηνευτῶν ἐκδόσεις, αἷς φίλον εἰσέτι νῦν Ἰουδαίοις χρῆσθαι, παραιτησόμεθα· ὡς ἂν πανταχόθεν τὰ τῆς ἀποδείξεως ἡμῖν βεβαιοτέρας τύχοι παραστάσεως. τούτων ἡμῖν πεπροοιμιασμένων καὶ τῶν ἐνθέων φωνῶν ἤδη λοιπὸν ἐφαψόμεθα.

d I. "Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν, καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. φόβος κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονηρῶν. μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν. ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. δι' ἐμοῦ βασιλεῖς βασιλεύουσιν, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην. δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς·

---

5 1. Cor. 1, 24. 23 Prov. 8, 12.

ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν· πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλῶν καὶ δικαιοσύνη. 2. βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· τὰ δὲ ἐμὰ γεννήματα κρεῖσσον ἀργυρίου ἐκλεκτοῦ. [134] ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ, καὶ ἐν ὁδοῖς δικαιο- (212) σύνης ἀναστρέφομαι, ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν· ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι. 3. πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. κύριος b ἐποίησεν χώρας ἀοικήτους καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν· ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων· ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανὸν, ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσονται στόμα αὐτοῦ· ἡνίκα ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα· ἐγὼ ἤμην ᾗ προσέχαιρε, καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν c προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε ηὐφραίνετο τὴν οἰκουμένην συντελέσας καὶ ἐνηυφραίνετο ἐν υἱοῖς ἀνθρώπων."

4. Ἡ πρὸ τῶν γεννητῶν θεία καὶ πανάρετος οὐσία, ἡ νοερὰ καὶ πρωτότοκος τῆς ἀγεννήτου φύσεως εἰκὼν, ὁ γνήσιος καὶ μονογενὴς τοῦ τῶν ὅλων θεοῦ υἱὸς πολυώνυμός τις ὢν καὶ διὰ πλείστων προσρήσεων θεολογούμενος, τῷ τῆς σοφίας ἐπὶ τοῦ παρόν-

τος ἀξιώματί τε καὶ προσηγορίᾳ τετίμηται, λόγον δὲ
θεοῦ αὐτὸν καὶ φῶς, καὶ ζωὴν καὶ ἀλήθειαν καὶ
d ἐπὶ πᾶσι Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν
προσαγορεύειν μεμαθήκαμεν 5. ἤδη οὖν τὰ μετὰ
χεῖρας αὐτὸς περὶ ἑαυτοῦ, ὡς ἂν θεοῦ σοφία ζῶσα
καὶ καθ' αὐτὴν ὑφεστῶσα, διὰ τοῦ σοφωτάτου Σο-
λομῶνος διεξέρχεται "ἐγὼ ἡ σοφία κατεσκήνωσα βου-
λὴν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην,"
καὶ τὰ τούτοις ἐπαγόμενα λέγων. 6. ἀλλὰ καὶ ὡς
τὴν τῶν ὅλων διοίκησιν καὶ πρόνοιαν ἀναδεδεγμένος
ἐπιφέρει "δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυ-
νάσται γράφουσι δικαιοσύνην. δι' ἐμοῦ μεγιστᾶνες
μεγαλύνονται." εἶτα εἰπὼν μνημονεύσειν τὰ ἐξ αἰῶ-
νος ἐπάγει λέγων "κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν
αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ
(213) με." δι' ὧν ὁμοῦ καὶ γεννητὸν ἑαυτὸν, οὐχὶ δὲ τὸν
αὐτὸν ὄντα τῷ ἀγεννήτῳ διδάσκει, πρὸ παντὸς αἰῶ-
νος οὐσιωμένον, θεμελίου τε τρόπον τῶν γεννητῶν
ἁπάντων προβεβλημένον. 7. ὅθεν τὸν θεῖον ἀπό-
στολον εἰκὸς ὁρμώμενον περὶ αὐτοῦ φάναι, ὅς ἐστιν
εἰκὼν τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι
ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τῷ οὐρανῷ καὶ
τὰ ἐπὶ τῆς γῆς. πρωτότοκος μὲν γὰρ πάσης ἀνείρη-
b ται κτίσεως κατὰ τὸ "κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν
αὐτοῦ εἰς ἔργα αὐτοῦ." νοοῖτο δ' ἂν εἰκότως εἰκὼν
τοῦ θεοῦ, ὡς ἂν γέννημα τῆς ἀγεννήτου φύσεως
τυγχάνων. 8. τοῦτο δ' οὖν ἐν τοῖς μετὰ χεῖρας ὁμο-
λογεῖ δι' ὧν φησι "πρὸ τοῦ ὄρη ἑδρασθῆναι, καὶ,
πρὸ δὲ πάντων βουνῶν γεννᾷ με." ἔνθεν αὐτὸν υἱὸν
μονογενῆ καὶ πρωτότοκον τοῦ θεοῦ λόγον ἀναγο-

---

3 1 Cor. 1, 24. 21 Col. 1, 15. 24 Prov. 8, 22.

ρεύομεν τὸν αὐτὸν ὄντα τῇ δηλουμένῃ σοφίᾳ. ὅπως δὲ γέννημα θεοῦ αὐτὸν εἶναι φαμὲν ἰδίας ἂν δέοιτο ἐξετάσεως, ἐπεὶ μήτε κατὰ προβολὴν μήτε κατὰ διάστασιν, ἢ διαίρεσιν, ἢ μείωσιν, ἢ τομὴν, ἢ κατά τι ὅλως τῶν ἐπὶ τῆς θνητῆς γενέσεως ἐπιτελουμένων, τὴν ἀπόρρητον αὐτοῦ γενεσιουργίαν ἐπινοοῦμεν. c 9. οὐδὲ γὰρ θέμις τῶν ἐν γεννητοῖς τισι τὴν ἄρρητον καὶ ἀκατωνόμαστον αὐτοῦ γένεσίν τε καὶ οὐσίωσιν ἀφομοιοῦν, οὐδέ τινα τῶν ἐπικαίρων καὶ θνητῶν παραβάλλειν αὐτῷ εἰκόνα, ἐπεὶ μηδὲ κατὰ τὰς παρ' ἡμῖν τῶν ζῴων γενέσεις οὐσίαν ἐξ οὐσίας κατὰ πάθος ἢ διαίρεσιν μεριστὴν καὶ χωριστὴν ἐκ τοῦ πατρὸς προεληλυθέναι τὸν υἱὸν φάναι ὅσιον. 10. ἀμερὲς [135] γὰρ καὶ ἄτομον τὸ θεῖον, οὐ τεμνόμενον, οὐ διαιρούμενον, οὐκ ἐκτεινόμενον, οὐ μειούμενον, οὐ συστελ- d λόμενον, οὐ μεῖζον, οὐ χεῖρον, οὐ κρεῖττον αὐτοῦ γινόμενον, οὐκ ἔχον ἐν ἑαυτῷ ἕτερόν τι αὐτοῦ, ἵνα καὶ πρόηται τοῦτο. 11. πᾶν γὰρ τὸ ἔν τινι ὂν ἢ ὡς συμβεβηκὸς, οἷον λευκὸν ἐν σώματι, ἢ ὡς ἕτερον ἐν ἑτέρῳ τυγχάνει, ὡς τὸ ἐν τῇ κυοφορούσῃ κατὰ γαστρὸς κυοφορούμενον, ἢ ὡς μέρος ἐν τῷ ὅλῳ, ὡς ἂν ἐν σώματι χεὶρ ἢ ποὺς ἢ δάκτυλος τοῦ παντὸς ὄντα μέρη, ὧν ἀποκοπὴν ἤ τινα τομὴν ἢ διαίρεσιν πεπονθότων, ἀτελὲς καὶ κολοβὸν, ὡς ἂν τοῦ μέρους ἠκρωτηριασμένου, ἀπολέλειπται τὸ πᾶν. 12. ἀλλὰ γὰρ καὶ τὸ εἰκόνι τοιᾷδε καὶ ὁμοιώσει χρῆσθαι ἐπὶ τῆς ἀγεννήτου φύσεως τοῦ τῶν ὅλων θεοῦ, καὶ τῆς (214) τοῦ μονογενοῦς αὐτοῦ καὶ πρωτοτόκου γενέσεως, πάντων ἂν εἴη ἀσεβέστατον. 13. οὐ τοίνυν ὡς ἕτερον ἐν ἑτέρῳ ἐξ ἀπείρων καὶ ἀνάρχων αἰώνων ἦν ὁ υἱὸς ἀγέννητος ἐν τῷ πατρὶ, μέρος ὢν αὐτοῦ, ὃ μεταβληθὲν ὕστερον καὶ κενωθὲν ἐκτὸς αὐτοῦ γέγονε· τροπῇ

γὰρ ἤδη τοῦτο οἰκεῖον· καὶ δύο γ' ἂν οὕτως ἀγέννητα εἶεν, τὸ προβεβληκὸς καὶ τὸ προβεβλημένον. καὶ τίς ἦν κατάστασις κρείττων; ἆρα ἡ πρὸ τῆς τρο- b *πῆς τῆς κατὰ τὴν προβολὴν διαστάσεως; οὔκουν ὡς μέρος ἢ μέλος ἀγεννήτως ἡνωμένον ἀεὶ πρότερον, ἔπειτα δὲ διαστὰν καὶ χωρὶς γενόμενον τοῦ ὅλου, τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς οἷόν τε ἐπινοεῖν.* 14. *ἄρρητα γὰρ καὶ ἄντικρυς ἀσεβῆ ταῦτα, ὕλης μὲν ὄντα σωμάτων οἰκεῖα, τῆς δὲ ἀσωμάτου καὶ ἀΰλου φύσεως ἀλλότρια. διὸ κατὰ καιρὸν εἰκότως ἄν τις ἐνταῦθα πάλιν τὸ "τὴν γένεσιν αὐτοῦ τίς διηγήσεται; ἀναφθέγξαιτο ἄν·* 15. *ἐπειδὴ καὶ τὴν ἐναντίαν ἐλθεῖν οὐκ* c *ἀκίνδυνον, καὶ ἁπλῶς οὕτως ἐξ οὐκ ὄντων γεννητὸν τὸν υἱὸν τοῖς λοιποῖς γεννητοῖς ὁμοίως ἀποφήνασθαι· ἄλλη γὰρ υἱοῦ γένεσις καὶ ἄλλη ἡ διὰ τοῦ υἱοῦ δημιουργία.* 16. *ἀλλὰ γὰρ ὥσπερ ἡ θεία γραφὴ τοτὲ μὲν πρωτότοκον πάσης κτίσεως τὸν υἱὸν ἀναγορεύει ἐξ αὐτοῦ προσώπου, τὸ "κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ" φάσκουσα, τοτὲ δὲ γέννημα τοῦ πατρὸς εἶναι λέγει κατὰ τὸ "πρὸ δὲ πάντων βουνῶν γεννᾷ με,"* 17. *ταύτῃ καὶ ἡμῖν ἕπεσθαι ὑγιῶς ἂν ἔχοι, καὶ τὸ πρὸ πάντων αἰώνων εἶναι λόγον ὄντα θεοῦ δη-* d *μιουργικὸν καὶ τὸ πατρὶ συνεῖναι, μονογενῆ τε υἱὸν εἶναι τοῦ τῶν ὅλων θεοῦ, ὑπουργόν τε καὶ συνεργὸν τῷ πατρὶ τῆς τῶν ὅλων οὐσιώσεώς τε καὶ διακοσμήσεως γεγεννημένον ὁμολογεῖν.* 18. *εἰ γὰρ οὖν καὶ ἄλλο τι ἄρρητον καὶ ἀκατάληπτον ἡμῖν ἐν τῇ τῶν ὅλων ἀπολέλειπται φύσει, μυρία δὲ τὰ τοιαῦτα, ὁποῖα καὶ τὰ τοῖς θεοφιλέσιν ἐπηγγελμένα τυγχάνει, "ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ*

---

30 1 Cor. 2, 9.

καρδίαν ἀνθρώπου οὐκ ἀνέβη," κατὰ τὸν ἱερὸν ἀπόστολον, πολὺ πρότερον πάσης ἐννοίας ἐπέκεινα, ἄρρητα καὶ ἀκατωνόμαστα, ἀνεπινόητά τε καὶ ἀνενθύμητα γένοιτο ἂν τὰ περὶ τῆς πρώτης τοῦ μονογενοῦς τοῦ θεοῦ γενέσεως, ἄλλο μηδὲν πλέον ἐχόντων ἡμῶν περὶ αὐτοῦ λέγειν τε καὶ νοεῖν, ἢ τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; εἰ δέ τις τούτου περαιτέρω χωρῶν (215) τόλμῃ προαχθείη τὰ πάντῃ ἀπερινόητα ὁρατικοῖς καὶ σωματικοῖς παραβάλλειν ὑποδείγμασι, τάχα ἂν εἴποι τῆς τοῦ πατρὸς ἀγεννήτου φύσεως καὶ τῆς ἀνεκφράστου οὐσίας, ὥσπερ εὐωδίαν τινὰ καὶ φωτὸς αὐγὴν, τὸν υἱὸν ἐξ ἀπείρων αἰώνων, μᾶλλον δὲ πρὸ πάντων αἰώνων ὑποστῆναι, γενόμενόν τε συνεῖναι, καὶ συγγενόμενον ἀεὶ τῷ πατρὶ ὡς τῷ μύρῳ τὸ εὐῶδες καὶ τῷ φωτὶ τὴν αὐγὴν, ἀλλ' οὐ τοῖς ὑποδείγμασι κατὰ πάντα τρόπον ὁμοίως, ὥσπερ οὖν ἤδη πρότερον εἴρη- b ται. 19. τὰ μὲν γὰρ ἄψυχα σώματα τὸ συμβεβηκὸς ἐν ποιότησι κέκτηνται· ἥ τε γὰρ αὐγὴ σύμφυτος [136] οὖσα τῇ τοῦ φωτὸς φύσει καὶ οὐσιωδῶς συνυπάρχουσα τῷ φωτὶ, οὐκ ἂν δύναιτο ἐκτὸς ὑφεστάναι τοῦ ἐν ᾧ ἐστιν· ὁ δέ γε τοῦ θεοῦ λόγος καθ' ἑαυτὸν οὐσίωταί τε καὶ ὑφέστηκε, καὶ οὐκ ἀγεννήτως συνυπάρχει τῷ πατρὶ, ἀλλ' ὡς μονογενὴς υἱὸς μόνος πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένος, ἥ c τε εὐωδία ἀπορροή τις οὖσα σωματικὴ τοῦ ὑποκειμένου, καὶ οὐ καθ' ἑαυτὴν ἐκτὸς τοῦ πρώτου αἰτίου τὸ πλησιάζον πληροῦσα, οὐδὲν ἧττον σωματικὴ οὖσα καὶ αὐτὴ τυγχάνει. 20. οὐ ταύτῃ οὖν ἡμῖν νοηθήσεται καὶ τὰ περὶ τῆς πρώτης οὐσιώσεως τοῦ σωτῆρος ἡμῶν. οὐδὲ γὰρ ἐξ οὐσίας τῆς ἀγεννήτου κατά τι πάθος ἢ διαίρεσιν οὐσιωμένος, οὐδέ γε ἀνάρχως συνυφέστηκε τῷ πατρὶ, ἐπεὶ ὁ μὲν ἀγέννητος, ὁ δὲ

γεννητὸς, καὶ ὁ μὲν πατὴρ, ὁ δὲ υἱός. προϋπάρχειν δὲ καὶ προϋφεστάναι πατέρα υἱοῦ πᾶς ὅστις οὖν ἂν ὁμολογήσειεν. 21. *εἴη δ' ἂν ταύτῃ καὶ εἰκὼν θεοῦ,* d *ἀρρήτως πάλιν καὶ ἀνεπιλογίστως ἡμῖν, ζῶντος θεοῦ ζῶσά τις καὶ καθ' αὑτὴν ὑφεστῶσα ἀΰλως καὶ ἀσωμάτως καὶ τοῦ ἐναντίου παντὸς ἀμιγῶς, ἀλλ' οὐχ οἵα τις πάλιν ἡ παρ' ἡμῖν εἰκὼν, ἕτερον μὲν ἔχουσα τὸ κατ' οὐσίαν ὑποκείμενον, ἕτερον δὲ τὸ εἶδος, ἀλλ' ὅλον αὐτὸ εἶδος ὢν, καὶ αὐτοουσίᾳ τῷ πατρὶ ἀφομοιούμενος, οὕτω δὲ καὶ ζωτικωτάτη τοῦ πατρὸς εὐωδία τυγχάνει, ἀρρήτως ἡμῖν πάλιν καὶ ἀνεπιλογίστως.* 22. *ἐπεὶ καὶ πάντα, ὅσα ἐστὶ περὶ αὐτὸν ἀληθῆ, ἄρρητα ἂν εἴη ἀνθρώπων φωναῖς, καὶ λογισμοῖς θνητῶν ἀνεπιλόγιστα κατὰ τὸν ἀκριβῆ λόγον.* (216) *ἀλλὰ γὰρ ὡς ἡμῖν ἀκούειν φίλον, τοιῶσδε καὶ τὰ λόγια παιδεύει.* 23. *ἢ οὐχὶ καὶ Χριστοῦ εὐωδίαν αὐτὸς ἑαυτὸν καὶ τοὺς αὐτῷ παραπλησίους ὁ ἱερὸς ἀπόστολος προσεῖπεν, διὰ τὴν τοῦ Χριστοῦ πνεύματος μετοχὴν, μύρον τε ἐκκενωθὲν ὁ οὐράνιος νυμφίος ἐν τοῖς Ἄισμασιν ἀνηγόρευται; διὸ τῆς αὐτοῦ ἐκκενώσεως τὰ πάντα ὁρατά τε καὶ ἀόρατα, σώματά τε καὶ ἀσώματα, λογικά τε καὶ ἄλογα μετασχόντα, ἀναλόγως κατηξίωται μετουσίας, καὶ τῆς τοῦ θείου* b *λόγου μετείληφε κοινωνίας.* 24. *ταύτης γε τῆς ἐνθέου πνοῆς τὴν ἀντίληψιν τοῖς τὰς λογικὰς αἰσθήσεις μὴ πεπηρωμένοις ὁ σύμπας ἀποδίδωσι κόσμος, ὡς τὰ τῇ φύσει γεώδη καὶ φθαρτὰ σώματα τῆς ἀΰλου καὶ ἀκηράτου εὐωδίας ἀποπνεῖν, πηγάζοντος μὲν ἄνωθεν τοῦ τῶν ὅλων θεοῦ, ὃς τοῦ μονογενοῦς αὐτοῦ λόγου πατὴρ ὢν αὐτὸς ἂν εἴη τὸ πρῶτον καὶ*

---

19 Cant. 1, 2.

κύριον καὶ μόνον ἀληθῶς ἀγαθὸν, ἀγαθοῦ γεννητικὸν, δευτερεύοντος δὲ, καὶ ὡς ἂν ἀπὸ πρώτης καὶ ἡγουμένης οὐσίας ἐπιχορηγουμένου τοῦ υἱοῦ, ὃς καὶ μόνος τῆς πατρικῆς οὐσίας εὐωδία τις ἡμῖν ἀνείρηται c δουλεύουσι λογίῳ παιδεύοντι περὶ αὐτοῦ, ὅτι δὴ "ἀτμίς ἐστι τῆς τοῦ θεοῦ δυνάμεως, καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινὴς, καὶ ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ."

25. Πλὴν ἀλλὰ ταῦτα ὅπῃ ἄν τις καὶ θέλοι, ταύτῃ τιθέσθω· ἡμῖν δὲ ἐξαρκεῖ τὸ ἀληθὲς ἐκεῖνο καὶ εὐσεβὲς αὖθις ἐπαναλαμβάνειν ῥῆμα, δι' οὗ καὶ τὴν λύσιν ἐπιθήσομεν τοῖς ἐξητημένοις, πολλάκις ἤδη ἐπειπόντες "τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;" ἀνέφικτος γὰρ ὡς ἀληθῶς, καὶ οὐκ ἀνθρώποις μόνον, d ἀλλὰ καὶ ταῖς πάσης ἐπέκεινα οὐσίας δυνάμεσιν, ἡ τοῦ μονογενοῦς τοῦ θεοῦ τυγχάνει γένεσις, ὥσπερ οὖν καὶ αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν τοὺς οἰκείους μαθητὰς αὐτὰ δὴ ταῦτα μυσταγωγῶν "οὐδεὶς ἔγνω (φησὶ) τὸν πατέρα εἰ μὴ ὁ υἱός." 26. ᾧ καὶ ἐπιλέγει "καὶ οὐδεὶς ἔγνω τὸν υἱὸν εἰ μὴ ὁ πατήρ." ἀγνώστου τοίνυν ὁμοίως τῆς τε περὶ τοῦ πατρὸς καὶ τῆς περὶ τοῦ υἱοῦ θεολογίας τοῖς πᾶσι πλὴν αὐτοῖς τυγχανούσης, ὡς [137] ἐν ἀπορρήτοις ἐν ταῖς παρατεθείσαις τοῦ Σολομῶνος λέξεσι τῆς Σοφίας ἀκουστέον λεγούσης "πρὸ τοῦ ὄρη ἑδρασθῆναι καὶ πλασθῆναι τὴν γῆν, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με." 27. ἔτι δέ φησι συμπαρεῖναι (217) τῷ πατρὶ τὸν οὐρανὸν κατασκευάζοντι· "ἡνίκα γοῦν ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ." καὶ τὸ

---

6 Sap. 7, 25. 14 Es. 53, 8. 19 Matth. 11, 27.
28 Prov. 8, 25. 28 Prov. 8, 27.

ἐξ ἀπείρων δὲ αἰώνων ἀΐδιον τῆς σὺν πατρὶ διαμο-
νῆς ἐμφαίνει, οἷς ἐπιλέγει "ἤμην παρ' αὐτῷ ἁρμό-
ζουσα, ἐγὼ ἤμην ᾗ προσέχαιρε, καθ' ἡμέραν δὲ προσ-
ώπῳ αὐτοῦ προσέχαιρον." 28. καὶ ἀβύσσους δὲ καὶ
πηγὰς ὑδάτων, ὄρη τε καὶ βουνούς, καὶ ὅσα ἄλλα
κατὰ τὸν τόπον κοινοῖς ῥήμασιν οἷς ἐπωνόμασται,
ἤτοι περὶ τῆς τοῦ κόσμου συστάσεως ἐκ μέρους τὸ
b πᾶν δηλοῦντος ἀκουστέον, ἢ τροπικώτερον ἐκληπτέον,
ταῦτα μεταφέροντα τὰ σημαινόμενα ἐπὶ νοητὰς οὐ-
σίας καὶ θείας δυνάμεις, ὧν πάντων πρωτότοκος Σο-
φία καὶ μονογενὴς καὶ πρωτόγονος τοῦ θεοῦ προϋ-
πέστη λόγος, ὅντινα Χριστὸν ἡμεῖς προσαγορεύομεν,
διδασκάλῳ μαθητευόμενοι τῷ ἀποστόλῳ λέγοντι "Χρι-
στὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία." κέκληται δὲ
ἐνταῦθα τῷ τῆς σοφίας εἰκότως προσρήματι, ὡς τοῦ
μόνου σοφοῦ πατρὸς τὰς πανσόφους καὶ ἐπιστημονι-
κὰς τῶν ὅλων θεωρίας τε . . . . .

II. * * * * * * * * *

c ἐν δὲ τῷ δευτέρῳ σκήπτρῳ βασιλικῷ τιμᾷ, ἐν δὲ
τῷ τρίτῳ τὴν κατ' ἀρετὴν αὐτῷ τελείωσιν μαρτυρεῖ.
εἶτ' ἐπὶ τούτοις αὐτὸν δὴ τοῦτον τὸν θεὸν καὶ βασι-
λέα κεχρῖσθαι πρὸς τοῦ ἀνωτάτου διδάσκει θεοῦ, καὶ
ταύτῃ γε Χριστὸν γεγονέναι. τί γὰρ ἂν καὶ ὀνομά-
σαιτό τις τὸν μὴ ὑπ' ἀνθρώπων μέν, ὑπ' αὐτοῦ δὲ
τοῦ ἐπὶ πάντων θεοῦ κεχρισμένον; ἐπὶ τούτῳ γοῦν
φησὶν "ὦ θεέ, (πρὸς τὸν χρισθέντα ἀποτεινόμενος)
d ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ
τοῦτο γὰρ ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου." 2 ὡσεὶ
ἔλεγεν, ὁ ἐπὶ πάντων θεὸς ἔχρισέ σε ἔλαιον ἀγαλ-

---

14 1 Cor. 1, 24. 17 θεωρίας τε] Post haec in cod. Parisino scriptum ἐλλείπει πολλά. 27 Ps. 44, 7.

λιάσεως παρὰ τοὺς μετόχους σου. ὥστε οὐδὲ κοινὸν καὶ γεῶδες τὸ δηλούμενον τοῦτο χρῖσμα ἦν οὐδὲ ὅμοιον τῷ παρὰ Μωσεῖ νενομοθετημένῳ καὶ φθαρτῆς ἐξ ὕλης κατεσκευασμένῳ, ᾧ φίλον ἦν τοὺς παλαιοὺς Ἑβραίων ἱερέας καὶ βασιλέας χρίεσθαι. 3. ἔνθεν ἡμῖν εἰκότως καὶ θεὸς ὁμοῦ καὶ Χριστὸς ἀνηγόρευται, ὡς ἂν μόνος, μὴ δι' ἀνθρώπων, μηδ' ἐξ ἀνθρώπων, πρὸς αὐτοῦ δὲ τοῦ τῶν ὅλων ποιητοῦ, τῆς ἐνθέου χαρᾶς καὶ ἀγαλλιάσεως ἀσωμάτῳ καὶ θεοπρεπεῖ χρίσματι κεχρισμένος. 4. διόπερ ἐνδίκως μόνος, ἀκάκως μόνος, ἀγαθῶς καὶ κυρίως παρὰ τοὺς ὀνο- (218) μαζομένους αὐτοῦ μετόχους, Χριστὸς ἂν ἀναγορευθείη. οἱ μέτοχοι δὲ αὐτοῦ τίνες ἂν εἶεν, ἢ οἱ οἷοί τε λέγειν "μέτοχοι γὰρ γεγόναμεν Χριστοῦ;" περὶ ὧν εἴρηται "μὴ ἅπτεσθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε." 5. καὶ δὴ πεφηνότος διὰ τούτων σαφῶς τοῦ Χριστοῦ ἀγαπητοῦ καὶ θεοῦ καὶ βασιλέως, ὥρα σε ζητεῖν, ὁ τηλικοῦτος πῶς ἐχθροὺς ἔχειν λέγεται, καὶ τίνας καὶ δι' ἣν αἰτίαν, καθ' ὧν τὰ ἑαυτοῦ βέλη καὶ τὴν ἑαυτοῦ ῥομφαίαν b ἠκονήσατο, ὅπως τε οὐ δι' ὁπλιτικῆς παρατάξεως, ἀλλ' ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης μυρίους ὑπηγάγετο ἑαυτῷ λαούς. 6. ζητοῦντα δὲ ἀκριβῶς ταῦτα καλῶς ἂν ἔχοι μεταφέρειν αὐτὰ ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ, ἀνατρέχοντα ἐπὶ τὰ διεξωδευμένα περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ παρόδου, καθ' ἣν τὰς ἐχθρὰς καὶ ἀοράτους δυνάμεις τῶν μοχθηρῶν καὶ λυμαντικῶν δαιμόνων τῶν τε πονηρῶν καὶ ἀκαθάρτων πνευμάτων τροπωσάμενος, μυρίους ὅσους ἑαυτῷ λαοὺς [138]

14 Heb. 3, 14. 15 Ps. 104, 15.

c ἐξ ἁπάντων τῶν ἐθνῶν συνεστήσατο· ὃν καὶ Χριστὸν ἀληθῆ προσήκοι ἂν τοῦ θεοῦ ἐντεῦθεν ἀναγορεύειν, οὐ κοινῷ μὲν ἐλαίῳ τοῖς πάλαι συνήθως χρισθέντα, οὔτε οὖν ἱστορεῖταί τι περὶ αὐτοῦ τοιοῦτον, κρείττονι δὲ καὶ ἐνθέῳ χρίσματι, παρ' ὃ δὴ καὶ διὰ Ἡσαΐου φησὶ "πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με." 7. ὅθεν καὶ μᾶλλον ἁπάντων τῶν πώποτε παρ' Ἑβραίοις σωματικώτερον χρισθέντων μόνος ἀνὰ πᾶσαν τὴν οἰκουμένην Χριστὸς παρὰ τοῖς πᾶσι βεβόηται, καὶ τῆς ἐξ αὐτοῦ Χριστιανῶν προσηγορίας τὴν σύμπασαν ἔπλησεν οἰκουμένην. ὅπως δὲ φαμὲν αὐτὸν κεχρῖσθαι καὶ τί τὸ χρῖσμα καὶ τίς ὁ τῆς χρίσεως τρόπος αὐτάρκως ἐν τῷ πρὸ τούτου συγγράμματι διειλήφαμεν. 8. τούτου δὲ ἐν τοῖς χείλεσι καὶ ἐν τῇ διδασκαλίᾳ τοσαύτη κατεχύθη χάρις, ὡς ἐν ὀλίγῳ πάντα τόπον ἐμπλῆσαι τῆς πρὸς αὐτοῦ καταγγελθείσης εὐσεβείας. ὥστε ἤδη ἐν πᾶσιν ἔθνεσι παρὰ τοῖς τὴν διδασκαλίαν αὐτοῦ μετιοῦσιν, ἀκολούθως τῇ μετὰ χεῖρας προφητείᾳ, καὶ βασιλέως καὶ θεοῦ δόξαν περιβεβλῆσθαι, καὶ παρὰ πᾶσιν ἀνθρώποις Χριστὸν ἀναγορεύεσθαι. 9. πρόδηλοι δὲ καὶ οἱ ἐχθροί, οὐ μόνον οἱ πρὶν γεγονότες αὐτοῦ, ἀλλὰ
d καὶ οἱ ἀεὶ προσπολεμοῦντες αὐτοῦ τῷ λόγῳ, εἴτε ἐν ἀνθρώποις εἴτε καὶ ἐν ἀοράτοις δυνάμεσιν, οὓς ἀοράτῳ καὶ λεληθυίᾳ δυνάμει πάντοτε καθαιρῶν ἐξ ἁπάντων τῶν ἐθνῶν παντοίους ἑαυτῷ λαοὺς ὑποχειρίους πεποίηται. 10. τὰ δὲ ἑξῆς ἐν τῷ Ψαλμῷ "σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου," τά τε ἐπὶ τούτοις, ὡς περὶ βασιλίδος δηλούμενα καὶ θυγατρὸς τὸν πατρῷον οἶκον ἀπολιπούσης, καὶ τῷ

---

6 Es. 61, 1.

προδηλωθέντι Χριστῷ καὶ βασιλεῖ καὶ θεῷ νυμφευ-
θείσης, κύριόν τε αὐτὸν ἀναγορευούσης, ἐπὶ τὴν ἐξ
ἐθνῶν ἐκκλησίαν, τὴν πατρῴαν καὶ δαιμονικὴν ἀπο- b
στραφεῖσαν πλάνην, καθηραμένην τε καὶ τῇ τοῦ θείου
λόγου κοινωνίᾳ καθαρμοσαμένην, ἀναφέροιτ' ἂν τῆς
προσηκούσης τυγχάνοντα κατὰ σχολὴν ἑρμηνείας.

III. "Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δε- c
ξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον
τῶν ποδῶν σου. ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι
κύριος ἐκ Σιὼν, καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν
ἐχθρῶν σου. μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνά-
μεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. ἐκ
γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε. ὤμοσε κύριος
καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα
κατὰ τὴν τάξιν Μελχισεδέκ."

2. Κύριος ἐκ δεξιῶν σου. τὸν σωτῆρα καὶ κύριον
ἡμῶν, τὸν πρωτότοκον πάσης κτίσεως θεοῦ λόγον,
τὴν πρὸ αἰῶνος σοφίαν, τὴν ἀρχὴν τῶν ὁδῶν τοῦ
θεοῦ, τὸ πρωτότοκον καὶ μονογενὲς τοῦ πατρὸς γέν- (220)
νημα, τὸν τῇ τοῦ Χριστοῦ τιμώμενον προσηγορίᾳ, καὶ
ὁ παρὼν Ψαλμὸς κύριον ἀποκαλεῖ, διδάσκων αὐτὸν
εἶναι σύνθρονον ὁμοῦ καὶ υἱὸν τοῦ ἐπὶ πάντων θεοῦ
τε καὶ κυρίου τῶν ὅλων, αἰώνιόν τε τοῦ πατρὸς ἱερέα.
3. πρῶτον δὴ οὖν ἐπίστησον ὡς ἤδη τοῦτο δεύτερον
γέννημα θεοῦ προσηγόρευται. καὶ ἐπεὶ θεοῦ γε πνεύ-
ματι τὰ τῆς προφητείας ἡμῖν εἰρῆσθαι πεπίστευται,
ὅρα εἰ μὴ αὐτὸ δὴ τὸ ἐν τῷ προφήτῃ πνεῦμα ἅγιον [130]
ἑαυτοῦ κύριον δεύτερον μετὰ τὸν τῶν ὅλων ἀναγο- b
ρεύει. "εἶπε γὰρ (φησὶν) ὁ κύριος τῷ κυρίῳ μου,
κάθου ἐκ δεξιῶν μου." τὸν πρῶτον κύριον, ὡς ἂν
καθόλου τῶν ἁπάντων δεσπότην, Ἑβραῖοι ἀνεκφω-
νήτῳ προσρήσει τῇ διὰ τῶν τεσσάρων στοιχείων

ἀνηγόρευον· τὸν δὲ δεύτερον οὐκέθ' ὁμοίως, ἰδίως
δ' αὐτὸν κύριον ὠνόμαζον. 4. εἰκότως οὖν ὁ σωτὴρ
καὶ κύριος ἡμῶν, αὐτὸς Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ,
ἐρόμενός ποτε τοὺς Φαρισαίους "τί ὑμῖν περὶ τοῦ
c Χριστοῦ δοκεῖ; τίνος ἐστὶν υἱός;" εἰπόντων "τοῦ Δα-
βίδ" ἐπιλέγει "πῶς οὖν Δαβὶδ ἐν πνεύματι κύριον
αὐτὸν καλεῖ λέγων, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κά-
θου ἐκ δεξιῶν μου;" μονονουχὶ ἑρμηνεύων τὴν λέξιν,
ὡς οὐ μόνον τοῦ Δαβὶδ κύριον αὐτὸν ἀναγορεύουσαν,
ἀλλὰ γὰρ καὶ τοῦ ἐν τῷ προφήτῃ πνεύματος. 5. εἰ
δὲ τὸ πνεῦμα τὸ προφητικόν, τοῦτο δ' ἡμῖν εἶναι
πεπίστευται τὸ ἅγιον πνεῦμα, ὁμολογεῖ τοῦτον εἶναι
κύριον, ὃν σύνθρονον εἶναι τοῦ πατρὸς ἐκδιδάσκει,
καὶ οὐκ ἀπολύτως, ἀλλὰ καὶ ἑαυτοῦ κύριον, κατὰ
d πολὺ πλέον καὶ μᾶλλον τοῦτ' ἂν εἴποιεν αἱ μετὰ τὸ
ἅγιον πνεῦμα λογικαὶ δυνάμεις, ἥ τε σύμπασα ὁρω-
μένη τε ἐν σώμασι καὶ ἐν ἀσωμάτοις ἑστῶσα δημιουρ-
γία, ἧς ἁπάσης εἰκότως ἂν καταδειχθείη κύριος ὁ
μόνος τοῦ πατρὸς σύνθρονος, δι' οὗ τὰ σύμπαντα
ἐγένετο, ὅτι δὴ κατὰ τὸν θαυμάσιον ἀπόστολον "ἐν
αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ
ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα." 6. μόνον γοῦν
εἰκὸς αὐτὸν τῆς τοῦ πατρὸς ὁμοιώσεως ἔχειν τὸ κῦρος,
ὡς ἂν καὶ μόνον σύνθρονον τοῦ πατρὸς ἀναδεδει-
γμένον. πρόδηλον οὖν ὅτι οὐδενὶ τῶν γεννητῶν θέ-
μις τῶν δεξιῶν λαχεῖν τῆς παντοκρατορικῆς ἀρχῆς τε
καὶ βασιλείας, εἰ μὴ ἄρα ἑνὶ μόνῳ τῷ διὰ τῶν προ-
κειμένων ποικίλως θεολογουμένῳ. 7. ἐπίστησον οὖν
(221) ὡς πρὸς ἕνα καὶ τὸν αὐτὸν ὁ ἀνωτάτω καὶ ἐπὶ πάν-
των κύριος καὶ τὴν "κάθου ἐκ δεξιῶν μου" δωρεῖται

---

21 Col. 1, 16.

φωνὴν, καὶ τὴν "πρὸ ἑωσφόρου γεγέννηκά σε," μεθ'
ὅρκου δὲ διαβεβαιώσεως ἄσειστον καὶ ἀπαράβατον
αὐτῷ τὴν τιμὴν τῆς εἰς ἄπειρον αἰῶνα διαρκοῦς ἱερω-
σύνης παραδίδωσιν "ὤμοσε κύριος καὶ οὐ μεταμελη-
θήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα." 8. τίς δ' ἂν ἐπι-
νοοῖτο, οὔτι δὴ θνητὸς ἀνὴρ, ἀλλὰ οὐδὲ τῆς ἀγγελικῆς
φύσεως, ὑπὸ θεοῦ μὲν γεγενημένος, εἰς αἰῶνα δὲ
ἱερωμένος, ἢ μόνος ὁ καὶ ἐν τοῖς πρόσθεν εἰπὼν
"κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, b
πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ ὄρη
ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με;" καὶ
πρόσσχες δὲ ἐπιμελῶς τὸν νοῦν ἐπιστήσας τῷ τε πα-
ρόντι Ψαλμῷ καὶ ταῖς ἐν τῷ πρὸ τούτου παρατεθεί-
σαις φωναῖς. 9. ἐν μὲν γὰρ τούτῳ ὁ ἀνωτάτω θεὸς
σύνθρονον τὸν δεύτερον καὶ ἡμῶν κύριον ἑαυτοῦ
καθίστησι λέγων "κάθου ἐκ δεξιῶν μου·" ἐν δὲ τῷ
πρὸ τούτου τὸν θρόνον εἰς αἰῶνα αἰῶνος διαμένειν ὁ c
λόγος ἔφησεν, ὁμοῦ θεὸν αὐτὸν ἀναγορεύων δι' ὧν φη-
σιν "ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος."
10. πάλιν ἐν μὲν τῷ μετὰ χεῖρας "ῥάβδον" φησὶν
"δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ Σιών·" ἐν δ'
ἐκείνῳ "ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας
σου." καὶ αὖθις ὁ μὲν παρὼν φησιν "κάθου ἐκ δε-
ξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον
τῶν ποδῶν σου, καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν
ἐχθρῶν σου·" ὁ δὲ πρόσθεν "τὰ βέλη σου ἠκονημένα,
δυνατὲ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως." οὐκ- d
οῦν καὶ τὰ περὶ τῶν ἐχθρῶν τοῦ δηλουμένου ἐν
ἀμφοτέροις συνᾴδει. 11. τίς δῆτα οὖν ὀφθαλμοῖς
ὁρῶν ἐν μέσαις ταῖς πόλεσιν ἔν τε κώμαις καὶ χώραις
καθ' ὅλης τε τῆς οἰκουμένης ἀνθούσας τὰς τοῦ σω-
τῆρος ἡμῶν ἐκκλησίας, τούς τε πρὸς αὐτοῦ κυριευο-

[140] μένους λαοὺς, καὶ μυρίανδρα πλήθη τῶν αὐτῷ καθωσιωμένων πανταχόθεν ὑπὸ τῶν ὁρωμένων τε ἐν ἀνθρώποις ἀοράτων τε καὶ ἀφανῶν ἐχθρῶν καὶ πολεμίων τῆς τοῦ Χριστοῦ διδασκαλίας κυκλούμενα, οὐκ ἂν θαυμάσειε τὸν παρόντα χρησμὸν εἰς πρόσωπον ἀναφωνηθέντα τοῦ θεσπιζομένου, τὸ "κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου." 12. καὶ ἐπειδήπερ ἐν τῷ πρόσθεν "κεχρῖσθαι τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως παρὰ (222) τοὺς μετόχους σου," ἱερέων δὲ οἰκεῖον ἦν παρ' Ἑβραίοις τὸ χρίεσθαι, εἰκότως ὁ μετὰ χεῖρας ἤδη λευκότερον ἱερέα αὐτὸν ἐπιφημίζει, πλείονα προτιθεὶς περὶ αὐτοῦ διδασκαλίαν, δι' ἧς μόνον αὐτὸν παρὰ τοὺς πώποτε αἰώνιον ἱερέα εἶναι παιδεύει, ὅπερ οὐδεμιᾷ ἀνθρώπου φύσει δυνατὸν ἐφαρμόζειν. 13. κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερᾶσθαί φησιν αὐτὸν, πρὸς b ἀντιδιαστολὴν τοῦ κατὰ τὴν Μωσέως διάταξιν ἱερέως, ἤτοι τοῦ Ἀαρὼν, ἢ καί τινος τῶν ἐξ ἐκείνου, ὧν ἕκαστος μὴ ὢν πρότερον ἱερεὺς, ὕστερόν ποτε δι' ἀνθρώπων ἀλοιφῇ τινι σκευαστῇ χριόμενος, ὡς ἐν τύποις εἰπεῖν καὶ συμβόλοις, σκιώδης τις καὶ εἰκονικὸς Χριστὸς ἀπετελεῖτο, ἀλλὰ καὶ ἅτε θνητὸς ὢν οὐκ εἰς μακρὸν ἀπετίθετο τὴν ἱερωσύνην, καὶ παρὰ μὲν τῷ Ἰουδαίων μόνῳ ἱερᾶτο λαῷ, οὐ μὴν καὶ παρὰ τοῖς ἄλλοις c ἔθνεσιν· ἀλλὰ οὐδὲ μεθ' ὁρκωμοσίας θεοῦ ἐπὶ τὴν λειτουργίαν παρῄει, κρίσει δὲ ἀνθρώπων τιμώμενος, ὡς καί ποτε μὴ ἄξιον εὑρίσκεσθαι ἐν αὐτοῖς τῆς τοῦ θεοῦ θεραπείας, οἷος ἀναγέγραπται ὁ Ἠλεί. 14. ἔτι πρὸς τούτοις ὁ παλαιὸς ἐκεῖνος ἱερεὺς ὁ κατὰ τὴν Μωσέως διάταξιν ἐκ μόνης ἐκρίνετο φυλῆς τῆς Λευί· ἔδει δὲ ἐξ ἅπαντος καὶ τὸ γένος ἐκ τῆς τοῦ Ἀαρὼν διαδοχῆς αὐτὸν φέρειν, θύμασί τε ζῴων ἀλόγων καὶ αἵμασι σωματικῇ γε λατρείᾳ θεραπεύειν τὸ θεῖον· ὁ δὲ Μελ-

χισεδὲκ ὠνομασμένος, ὃ μεταλαμβάνεται εἰς τὴν Ἑλλάδα φωνὴν βασιλεὺς δικαιοσύνης, ἔπειτα βασιλεὺς Σαλήμ, ὃ καὶ αὐτὸ ἂν εἴη "βασιλεὺς εἰρήνης, ἀπάτωρ, d ἀμήτωρ, ἀγενεαλόγητος, οὐκ ἔχων κατὰ τὴν ἱστορίαν οὐκ ἀρχὴν ἡμερῶν, οὐ ζωῆς τέλος," ἀλλ' οὐδὲ κοινόν τι φέρων πρὸς τὸν τῆς τοῦ Ἀαρὼν ἱερωσύνης τρόπον. 15. οὔτε γὰρ ὑπ' ἀνθρώπων ᾕρητο, οὐκ ἐλαίῳ σκευαστῷ κέχριστο, οὐ γένος ἦν τῶν μηδὲ φανέντων πω· καὶ τὸ πάντων γε παραδοξότατον, ὅτι μηδὲ τὴν σάρκα περιτέτμητο, καὶ ὅμως τὸν Ἀβραὰμ εὐλογεῖ, ὡς ἂν πολὺ κρείττων αὐτοῦ τυγχάνων, ἀλλὰ οὐδὲ θυσίαις καὶ σπονδαῖς τῷ ὑψίστῳ ἱερᾶτο θεῷ, οὐδὲ μὴν παρὰ τῷ ἐν Ἱερουσαλὴμ ναῷ τὴν λειτουργίαν ἐξετέλει. 16. πῶς γὰρ τῷ μηδὲ ὄντι; εἰκότως (223) οὖν, ἐπεὶ καὶ τῷ ἡμετέρῳ σωτῆρι τῷ Χριστῷ οὐδὲν μὲν τῷ Ἀαρὼν ἐμφερὲς ἔμελλεν συμβήσεσθαι, οὔτε γὰρ μὴ ὢν πρότερον ὕστερόν ποτε ἱερεὺς ἀναδέδεικται, καὶ ἱερεὺς οὐ γενόμενος, ἀλλὰ ὤν. προσεκτέον γὰρ ἐπιμελῶς τῷ "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα." οὐ γὰρ ἔσῃ, φησί, μὴ ὢν πάλαι, ἀλλ' οὐδ' ἦσθα μὲν πάλαι, νῦν δὲ οὔ, ἀλλὰ παρὰ τοῦ φήσαντος "ἐγώ εἰμι ὁ ὢν" σὺ εἶ καὶ ἱερεὺς εἰς τὸν αἰῶνα διαμένεις. 17. ἐπεὶ οὖν οὔτε ἀπὸ χρόνου τῆς ἱερωσύνης ἀπήρξατο οὔτε ἐκ φυλῆς τῶν ἱερωμένων ὁ Χριστός, οὐδὲ διὰ σκευαστοῦ b καὶ σωματικοῦ ἐλαίου κέχριστο, οὐδὲ τέλος ἕξειν ἔμελλε τῆς ἱερωσύνης, οὐδὲ μόνοις Ἰουδαίοις, ἀλλὰ καὶ πᾶσιν ἔθνεσι καταστήσεσθαι, τούτων ἕνεκα πάντων εἰκότως αὐτὸν τῆς μὲν κατὰ τὸν τύπον Ἀαρὼν λειτουργίας ἀπαλλάττει, κατὰ τὴν τάξιν δὲ Μελχισεδὲκ ἱερέα φησὶν ἔσεσθαι. 18. καὶ τό γε ἀποτέλεσμα

---

3 Hebr. 7, 3.

τοῦ χρησμοῦ θαυμάσιον συνορῶντι ὅπως ὁ σωτὴρ
ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ τῷ τοῦ Μελχισεδὲκ
c τρόπῳ τὰ τῆς ἐν ἀνθρώποις ἱερουργίας εἰσέτι καὶ νῦν
[141] διὰ τῶν αὐτοῦ θεραπευτῶν ἐπιτελεῖ. 19. ὥσπερ γὰρ
ἐκεῖνος ἱερεὺς ἐθνῶν τυγχάνων οὐδαμοῦ φαίνεται
θυσίαις σωματικαῖς κεχρημένος, οἴνῳ δὲ μόνῳ καὶ
ἄρτῳ τὸν Ἀβραὰμ εὐλογῶν, τὸν αὐτὸν δὴ τρόπον
πρῶτος μὲν αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ἔπειτα
οἱ ἐξ αὐτοῦ πάντες ἱερεῖς ἀνὰ πάντα τὰ ἔθνη τὴν
πνευματικὴν ἐπιτελοῦντες κατὰ τοὺς ἐκκλησιαστικοὺς
θεσμοὺς ἱερουργίαν, οἴνῳ καὶ ἄρτῳ τοῦ τε σώματος
αὐτοῦ καὶ τοῦ σωτηρίου αἵματος αἰνίττονται τὰ μυ-
d στήρια, τοῦ Μελχισεδὲκ ταῦτα πνεύματι θείῳ προτε-
θεωρηκότος, καὶ τῶν μελλόντων ταῖς εἰκόσι προκεχρη-
μένου, ὡς ἡ Μωσέως γραφὴ μαρτυρεῖ λέγουσα "καὶ
Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ
οἶνον· ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, καὶ εὐλό-
γησε τὸν Ἀβραάμ." 20. εἰκότως οὖν καὶ μεθ' ὅρκου
παραλήψεως μόνῳ τῷ δηλουμένῳ "ὤμοσε κύριος ὁ
θεὸς, καὶ οὐ μεταμεληθήσεται, σὺ εἶ, λέγων, ἱερεὺς
εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ." 21. ἐπά-
κουσον δὲ οἷα καὶ περὶ τῶνδε ὁ ἀπόστολός φησιν "ἐν
ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς
κληρονόμοις τῆς βασιλείας τὸ ἀμετάθετον τῆς βουλῆς
αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο πραγμάτων
(221) ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι θεὸν, ἰσχυ-
ρὰν παράκλησιν ἔχωμεν οἱ προκαταφυγόντες κρατῆ-
σαι τῆς προκειμένης ἐλπίδος." 22. καὶ ἐπιφέρει λέγων
"καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ

15 Gen. 14, 18. 19 Heb. 7, 21. 22 Heb. 6, 17.
29 Heb. 7, 23.

θανάτῳ κωλύεσθαι παραμένειν· ὁ δὲ διὰ τὸ μένειν
αὐτὸν ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. ὅθεν καὶ
σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους
δι' αὐτοῦ τῷ θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν
ὑπὲρ αὐτῶν. τοιοῦτος γὰρ ἡμῖν καὶ ἔπρεπεν ἀρχιε-
ρεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν b
ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος."
23. καὶ ἐπιλέγει "κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις,
τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τῆς
μεγαλωσύνης ἐν ὑψηλοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ
τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος, καὶ
οὐκ ἄνθρωπος." ταῦτα μὲν ὁ ἀπόστολος. 24. ὁ δὲ
Ψαλμὸς ὑποβὰς καὶ τὸ πάθος ἐπικεκαλυμμένως τοῦ
προφητευομένου δηλοῖ λέγων "ἐκ χειμάρρου ἐν ὁδῷ
πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν." 25. χείμαρρον
δὲ τὸν καιρὸν τῶν πειρασμῶν καὶ ἄλλος δηλοῖ Ψαλ- c
μὸς λέγων "χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα
διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. ἐν
τῷ χειμάρρῳ τοίνυν πίεται, φησὶ, τὸ ποτήριον δη-
λονότι, ὃ ᾐνίττετο πρὸς τῷ καιρῷ τοῦ πάθους, λέγων
"πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο
ἀπ' ἐμοῦ." 26. καὶ πάλιν "εἰ μὴ δυνατόν ἐστιν αὐτὸ
παρελθεῖν, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά
σου." τοῦτο δὴ οὖν ἐκπιὼν τὸ ποτήριον ὕψωσε κε-
φαλὴν, καὶ κατὰ τὸν ἀπόστολον "ἐπεὶ γὰρ γέγονεν
ὑπήκοος τῷ πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυ-
ροῦ, διὰ τοῦτο, φησὶν, ὑπερύψωσεν αὐτὸν ὁ θεὸς, d
ἐγείρας αὐτὸν ἐκ τῶν νεκρῶν καὶ καθίσας αὐτὸν
ἐν δεξιᾷ αὐτοῦ, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας

---

17 Ps. 123, 4. 21 Matth. 26, 42. 25 Phil. 2, 8. Eph. 1, 20.

καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. καὶ πάντα ὑπέταξε, φησὶν, ὑπὸ τοὺς πόδας αὐτοῦ," κατὰ τὴν πρὸς αὐτὸν ἐπαγγελίαν, ἣν διὰ τοῦ Ψαλμοῦ παρίστησι λέγων "κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου." πρόδηλον παντὶ ὡς ἔτι νῦν ἡ τοῦ σωτῆρος ἡμῶν δύναμις καὶ ὁ τῆς διδασκαλίας αὐτοῦ λόγος ἐν μέσῳ τῶν ἐχθρῶν καὶ πολεμίων αὐτοῦ τῶν πεπιστευκότων εἰς αὐτὸν ἁπάντων κατακυριεύει.

[142] (225) IV. "Ἐγὼ κύριος ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ'
b αὐτῆς· ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανὸν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην, ἐγὼ ἤγειρα τὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. οὗτος οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, εἶπε κύριος Σαβαώθ."

2. Τέως μὲν ταῦτα ὁ τῶν ὅλων ποιητὴς θεὸς περί τινος βασιλέως καὶ σωτῆρος μέλλοντος οἰκοδομεῖν τὸ τῆς εὐσεβείας πολίτευμα λυτρώσασθαί τε τὴν ἐπι-
c συμβᾶσαν ἀνθρώποις ὑπὸ τῆς δαιμονικῆς πλάνης αἰχμαλωσίαν διὰ τοῦ προφήτου θεσπίζει· ἑξῆς δὲ τούτοις τὸ προφητικὸν πνεῦμα τὴν ὑποταγὴν τῶν ἀλλοφύλων ἐθνῶν αἰνίττεται, ἣν ὑποταγήσονται τῷ προφητευομένῳ, καὶ ὡς προσκυνήσουσιν αὐτῷ οἷα θεῷ οἱ ὑποταγησόμενοι, καὶ ὡς προσεύξονται ἐν αὐτῷ, διὰ τὸ μείζονα κατοικεῖν ἐν αὐτῷ θεὸν, τὸν ἀνωτάτω δηλαδὴ πατέρα καὶ θεὸν τῶν ὅλων. 3. τὰ δὲ τῆς λέξεως οὕτως ἔχει "οὕτω λέγει κύριος, ἐκοπίασεν

12 Es. 45, 12. 30 Es. 45, 14.

Αἴγυπτος, καὶ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καί σοι ἔσονται d *δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ προσκυνήσουσι νέοι, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ θεός ἐστι καὶ οὐκ ἔστι θεὸς πλήν σου. σὺ γὰρ εἶ θεὸς, καὶ οὐκ ᾔδειμεν, θεὸς τοῦ Ἰσραὴλ σωτήρ. αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ καὶ πορεύσονται ἐν αἰσχύνῃ."*

4. *Ταῦτα μὲν ἡ προφητεία. οὐχ ἡγοῦμαι δὲ ἀντωπήσειν δύνασθαί τινα, κἂν σφόδρα ᾖ ἀγνώμων, τῷ προδήλῳ καὶ σαφεῖ τῆς λέξεως ἐναργῶς οὕτως εἰσαγούσης θεὸν τοῦ Ἰσραὴλ σωτῆρα καὶ ἕτερον ἐν αὐτῷ θεόν. "προσκυνήσουσί σοι (φησὶν) οἱ δίκαιοι, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ θεός ἐστι, καὶ οὐκ ἔστι θεὸς πλήν σου. σὺ γὰρ εἶ ὁ θεὸς καὶ οὐκ ᾔδειμεν, θεὸς τοῦ Ἰσραὴλ σωτήρ."* 5. *τὸ δὲ "οὐκ ᾔδειμεν" ἐκ προσώπου τῶν πρὶν αὐτὸν μὴ ἐπεγνωκότων παρὰ μόνοις τοῖς ἑβδομήκοντα εἰρημένον ἑτέρως* (226) *εἶχε τὸ Ἑβραϊκὸν, ὃ μεταλαβὼν ὁ μὲν Ἀκύλας φησὶ "θεὸς ἄρα ἰσχυρὸς ἀποκρυπτόμενος, θεὸς Ἰσραὴλ σώζων,"* 6. *ὁ δὲ Θεοδοτίων "διὰ τοῦτο ἰσχυρὸς κρυφαῖος θεὸς σώζων." σφόδρα θαυμαστῶς κρυφαῖον θεὸν τὸν Χριστὸν ὀνομάζει, καὶ τὴν αἰτίαν δὲ, δι' ἣν θεὸν αὐτὸν μόνον ὡς ἐν γεννητοῖς μετὰ τὸ πρῶτον καὶ ἀγέννητον ἀποκαλεῖ, σαφῶς ἐκδιδάσκει, τὴν τοῦ πατρὸς ἐν αὐτῷ κατοίκησιν. "ἐν τούτῳ γὰρ (κατὰ τὸν θεῖον ἀπόστολον) εὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι."* b 7. *τοῦτο δηλοῖ φάσκουσα ἡ λέξις, ὅτι ἐν σοὶ ὁ θεός ἐστι καὶ οὐκ ἔστι θεὸς πλήν σου.*

---

27 Col. 1, 19.

ἀντὶ δὲ τοῦ "πλήν σου" "πλὴν αὐτοῦ" ὁ Θεοδοτίων
πεποίηκεν, ἵν' ᾖ "οὐκ ἔστι θεὸς πλὴν αὐτοῦ, δηλαδὴ
τοῦ ἐν σοὶ θεοῦ δι' ὃν καὶ σὺ τυγχάνεις ὢν θεός."
κατὰ δὲ τὸν Ἀκύλαν οὕτως ἔχει "πλὴν ἐν σοὶ ἰσχυρὸς,
καὶ οὐκ ἔστιν ἔτι παρὰ σοὶ, θεὸς ἄρα ἰσχυρὸς καὶ
ἀποκρυπτόμενος, θεὸς σώζων." κατὰ δὲ τὸν Σύμμα-
c χον "μόνον ἐν σοὶ θεὸς, καὶ οὐκ ἔστιν ἔτι οὐδ' ὑπάρ-
χει θεὸς, ὄντως σὺ θεὸς κρυφαῖος, θεὸς Ἰσραὴλ σώ-
ζων." 8. δι' ὧν τὸ αἴτιον τοῦ εἶναι θεὸν τὸν Χριστὸν
τοῦ θεοῦ σαφῶς ὁ λόγος παρέστησεν. 9. ἐπεὶ γὰρ ἐν
σοὶ, φησὶν, ἐστὶ θεὸς, διὰ τοῦτο σὺ θεὸς ἰσχυρὸς καὶ
κρυφαῖος. οὐκοῦν διὰ τούτων ὁ μὲν ἀληθὴς καὶ μό-
νος θεὸς εἷς ἂν εἴη, μόνος κυρίως τυγχάνων τῆς προσ-
ηγορίας· ὁ δὲ δεύτερος μετουσίᾳ τοῦ ἀληθοῦς τῆς
κοινωνίας ἠξίωται, οὔτε ὢν καθ' ἑαυτὸν, οὔτε ὑφε-
[143] στὼς δίχα τοῦ θεοποιοῦντος αὐτὸν πατρὸς, οὔτ' ἄνευ
d τοῦ πατρὸς θεολογούμενος, ἀλλ' ὅλον αὐτὸ τοῦτο ὢν
τε καὶ ζῶν καὶ ὑφεστὼς διὰ τὸν ἐν αὐτῷ πατέρα,
συνὼν τε τῷ πατρὶ καὶ ἐξ αὐτοῦ καὶ δι' αὐτὸν θεο-
ποιούμενος, τό τε εἶναι ὁμοῦ καὶ τὸ θεὸς εἶναι οὐκ
ἐξ ἑαυτοῦ, παρὰ δὲ τοῦ πατρὸς ἐσχηκώς. 10. διὸ δὴ
μετὰ τὸν πατέρα τιμᾶν καὶ αὐτὸν ὡς θεὸν ἐδιδάχθη-
μεν διὰ τὸν ἐν αὐτῷ κατοικοῦντα θεὸν, ὥσπερ οὖν
αἱ μετὰ χεῖρας περιέχουσι προφητεῖαι. ὡς γὰρ ἂν
τιμηθείη βασιλέως εἰκὼν διὰ τὸν οὗ τοὺς χαρακτῆ-
ρας καὶ τὴν ὁμοίωσιν φέρει, (τιμωμένης δὲ τῆς εἰκό-
νος καὶ τοῦ βασιλέως αὐτοῦ εἷς ἂν εἴη ὁ τιμώμενος
καὶ οὐ δύο· οὐ γὰρ δύο βασιλεῖς, ὅ τε πρῶτος καὶ
ἀληθὴς καὶ ὁ ἐπὶ τῆς εἰκόνος τετυπωμένος, εἷς δ'
ὁ κατ' ἀμφοτέρων, οὐ μόνον νοούμενος, ἀλλὰ καὶ
ὀνομαζόμενος καὶ τιμώμενος) οὕτω δῆτα καὶ ὁ μονο-
(227) γενὴς υἱὸς, εἰκὼν ὢν μόνος τοῦ θεοῦ τοῦ ἀοράτου,

εἰκότως διὰ τὸν οὗ φέρει ὁμοίωσιν εἰκών τε ἀνηγόρευται τοῦ ἀοράτου θεοῦ θεοποιεῖταί τε πρὸς αὐτοῦ τοῦ πατρὸς, οὕτω πεφυκὼς τὴν οὐσίαν, αὐτόθεν τε ἀπὸ πρώτης ὑπάρξεως φυσικὴν, ἀλλ' οὐκ ἐπίκτητον τὴν εἰκόνα τοῦ πατρὸς ἐπαγόμενος. 11. διὸ καὶ φύσει θεὸς ὁμοῦ καὶ μονογενὴς υἱὸς ὢν τυγχάνει, οὐχὶ δὲ ὁμοίως τοῖς ἔξωθεν εἰσποιούμενος, ἐπισυμβεβηκός τε τὸ ἀξίωμα τῆς τοῦ θεοῦ προσηγορίας ἐπέχουσι, πλὴν εἰ καὶ φύσει μονογενὴς υἱὸς καὶ θεὸς ἡμῶν ἀνευφημεῖται, ἀλλὰ οὐχ ὁ πρῶτος θεὸς, πρῶτος δὲ b
τοῦ θεοῦ μονογενὴς υἱὸς καὶ διὰ τοῦτο θεός. 12. καὶ ὅλον γε τοῦτο αἴτιον ἂν εἴη τοῦ καὶ αὐτὸν εἶναι θεὸν, τὸ μόνον εἶναι φύσει τοῦ θεοῦ υἱὸν καὶ μονογενῆ χρηματίζειν, καὶ τὸ δι' ὅλου σώζειν τοῦ μόνου θεοῦ τὴν ἔμψυχον καὶ ζῶσαν νοερὰν εἰκόνα, κατὰ πάντα τῷ πατρὶ παρωμοιωμένην, τῆς θεότητός τε αὐτῆς τὴν ὁμοίωσιν ἐπιφερομένην. 13. ταύτῃ τοιγαροῦν καὶ αὐτὸν ὡς ἂν μόνον υἱὸν καὶ μόνον εἰκόνα ὄντα τοῦ θεοῦ καὶ τῆς ἀγεννήτου καὶ ἀνάρχου τοῦ πατρὸς οὐσίας τὰς δυνάμεις κατὰ τὸ παράδειγμα τῆς ὁμοι- c
ώσεως περιβεβλημένον, ὑπό τε τοῦ πάντων τεχνικωτάτου καὶ πανεπιστήμονος ζωγράφου τε καὶ ζωοποιοῦ πατρὸς εἰς τὸ ἔτι ἀκριβὲς τῆς ὁμοιώσεως ἀπειργασμένον, θεὸν εἰκότως οἱ θεῖοι ἀναγορεύουσι λόγοι, ὡς καὶ ταύτης μετὰ τῶν ἄλλων παρὰ τοῦ πατρὸς ἠξιωμένον τῆς προσηγορίας, εἰληφότα τε, ἀλλ' οὐκ ἰδιόκτητον αὐτὴν ἐσχηκότα. 14. ὁ μὲν γὰρ δίδωσιν, ὁ δὲ λαμβάνει· ὥστε κυρίως καὶ ἕνα ἐκεῖνον εἶναι θεὸν d
καὶ μόνον μὲν καὶ φύσει ὄντα καὶ μὴ παρ' ἑτέρου λαβόντα, τὸν δὲ τῶν δευτερείων ἠξιῶσθαι καὶ το θεὸν εἶναι λαβόντα παρὰ τοῦ πατρὸς ἔχειν, ὡς ἂν εἰκόνα τοῦ θεοῦ, μιᾶς ἐπ' ἀμφοῖν κατὰ τὸ παράδειγμα

τῆς θεότητος ἐπινοουμένης, ἑνός τε ὄντος θεοῦ τοῦ καθ᾽ ἑαυτὸν ἀνάρχως καὶ ἀγεννήτως ὄντος, διὰ δὲ τοῦ υἱοῦ ὡς ἂν δι᾽ ἐσόπτρου καὶ εἰκόνος ἐπιθεωρουμένου. 15. τοῦτό τοι καὶ τὸ πνευματικὸν παιδεύει λόγιον, οὐκ ἄλλως φάσκον θεὸν εἶναι προσκυνητὸν τὸν δηλούμενον ἀλλ᾽ ἢ διὰ τὸν ἐνοικοῦντα αὐτῷ πατέρα. "ἐν σοὶ γάρ, φησί, προσεύξονται, ὅτι ἐν σοὶ ὁ θεός ἐστι, καὶ σὺ δὲ αὐτὸς θεὸς ὢν σωτὴρ τοῦ Ἰσραὴλ τυγχάνεις, καὶ διὰ τοῦτο ἰσχυρὸς καὶ κρυ-
(228) φαῖος θεὸς εἶ, ἐπεὶ ἐν σοὶ ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ." 16. ἀντὶ δὲ τοῦ "ἐκοπίασεν Αἴγυπτος" τὸ Ἑβραϊκὸν καὶ οἱ λοιποὶ πάντες ἑρμηνευταὶ "κόπος Αἰγύπτου" ἐκδεδώκασιν, ἵν᾽ ᾖ τὸ λεγόμενον τοιοῦτον "σοὶ προσκυνήσουσι, καί σοι ἔσονται δοῦλοι ὁ κόπος Αἰγύπτου, καὶ ἡ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σεβωείμ·" δι᾽ ὧν βάρβαρα οἶμαι καὶ ἄσημά τινα ἔθνη δηλοῦσθαι καὶ πάντα ὅσα ἤδη πάλαι πρότερον τῇ δαιμονικῇ τετρύχωτο δεισιδαιμονίᾳ. 17. ἐπειδὴ γὰρ Αἰγύπτιοι ἐδόκουν πάντων τῶν ἐθνῶν δεισιδαιμονέστατοι τυγχάνειν πρῶτοί τε κατάρξαι τῆς εἰδω-
[141] λολάτρου πλάνης, εἰκότως πρώτους αὐτοὺς τίθησιν
b ὑποταγησομένους τῷ Χριστῷ, καὶ δι᾽ αὐτῶν καὶ τὰ περὶ τῶν λοιπῶν εἰδωλολατρῶν φανερὰ καθιστᾶσα. 18. καὶ ταῦτα πεπλήρωται ἐπὶ τοῦ σωτῆρος καὶ κυρίου ἡμῶν, τῷ ἐν πᾶσιν ἔθνεσι προσκυνεῖσθαι καὶ δουλεύειν αὐτῷ μυρία πλήθη τῶν ἀνὰ τὴν οἰκουμένην ἐθνῶν. 19. Αἰθίοπας δὲ καὶ Σεβωεὶμ τοὺς ἐνταῦθα προσκυνήσειν τῷ Χριστῷ προφητευομένους καὶ διὰ τοῦ οα´ Ψαλμοῦ ἡγοῦμαι δηλοῦσθαι δι᾽ ὧν εἴρηται "ἐνώπιον αὐτοῦ προσπεσοῦνται Αἰθίοπες, καὶ

---

30 Ps. 71, 9.

βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι, καὶ προσκυνήσουσιν αὐτῷ." δῆλον ἐκ τῆς συμφράσεως c
ὅτι καὶ τῷ ἐν ἐκείνοις προφητευομένῳ Χριστῷ προσκυνήσουσιν.

Ψαλμοῦ λβ΄.

Ὡς θεοῦ λόγον οὐσιώδη κατ' ἐπικέλευσιν τοῦ πατρὸς ὁμοίως ἡμῖν οἶδε δημιουργὸν τῶν ἁπάντων ὁ Δαβίδ· καὶ ὡς τὸν αὐτὸν τοῦ θεοῦ λόγον ὁ αὐτὸς προφήτης ἐπὶ θεραπείᾳ τῶν ἀνθρώπων ἐκ τοῦ πατρὸς ἀπεστάλθαι μαρτυρεῖ· καὶ ὡς ἐν βραχεῖ χρόνῳ τὴν σύμπασαν γῆν πληρώσειν τῆς αὐτοῦ διδασκαλίας θεσπίζει.

V. "Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, d
καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν."

Καὶ ἐν ρ΄ δὲ καὶ ς΄ Ψαλμῷ εἴρηται "ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν." καὶ πάλιν ἐν ρμζ΄ "ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ."

2. Ἀλλὰ γὰρ τῷ μετὰ χεῖρας Ψαλμῷ φάσκοντι "τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν" συνᾴδει
τὸ ἱερὸν εὐαγγέλιον διαρρήδην λέγον "ἐν ἀρχῇ ἦν ὁ (220)
λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν." θεὸν εἰκότως τὸ εὐαγγέλιον ὀνομάζει, ἐπεὶ καὶ διὰ τῶν πρόσθεν αὐτὸς οὗτος ὁ νῦν θεολογούμενος λόγος καὶ σοφία καὶ γέννημα θεοῦ καὶ ἱερεὺς καὶ Χριστὸς βασιλεὺς καὶ κύριος καὶ θεὸς καὶ εἰκὼν ἀνηγόρευτο τοῦ θεοῦ. 3. καὶ ὅτι γε ἕτερος ὢν τοῦ πατρὸς

---

12 Ps. 32. 15 Ps. 106, 20. 18 Ps. 147. 22 Jo. 1, 1.

b ὑπουργὸς ἦν αὐτοῦ, ὥστε ἐπικελευομένου τοῦ μείζονος αὐτὸν δημιουργεῖν, ἑξῆς κατὰ τὸν παρόντα ἐπιλέγει Ψαλμὸν "φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ, ὑπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες οἰκουμένην, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν."

4. Πρόδηλον γὰρ ὡς ὁ λέγων ἑτέρῳ λέγει καὶ ὁ ἐντελλόμενος ἑτέρῳ παρ' ἑαυτὸν ἐντέλλεται. σαφῶς δὲ ἐπὶ τῇ τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσει μυρία πλήθη ἐκ πάσης τῆς γῆς, τοῦτ' ἔστιν ἐξ ἁπάντων
c τῶν ἐπὶ τῆς γῆς ἐθνῶν, οὐκέτι ὡς τὸ πρὶν τοὺς δαίμονας, ἀλλ' αὐτὸν ἐφοβήθη τὸν κύριον Ἰησοῦν, 5. πάντες τε οἱ κατοικοῦντες τὴν οἰκουμένην ἐσαλεύθησαν ἐπὶ τῷ τοῦ Χριστοῦ ὀνόματι, ἀκολούθως τῷ νῦν φάσκοντι λογίῳ "φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ. ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην."

6. Ταῦτα μὲν οὖν ἐκ τοῦ β' καὶ λ' Ψαλμοῦ. σύμφωνα δὲ τούτοις εὕροις ἂν καὶ ἐν ρμη' Ψαλμῷ, ὃς διδάσκει οὐ τὰ περὶ γῆν μόνα, ἀλλὰ καὶ τὰ κατ' οὐρανὸν καὶ συλλήβδην ἅπασαν τὴν κτίσιν κατ' ἐπικέλευσιν τοῦ τῶν ὅλων θεοῦ γεγονέναι. λέγει δ'
d οὖν "αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθη-
[145] σαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν."

7. Εἰ γὰρ αὐτὸς ἐνετείλατο, καὶ τίς ἦν ὁ τοσοῦτος ὡς τὴν περὶ τῶν τηλικούτων ἐντολὴν ὑποδέ-

---

23 Ps. 148, 1.

ξασθαι, ἢ ὁ τοῦ θεοῦ λόγος, ὁ ποικίλως διὰ τῆς παρούσης ἡμῖν ὑποθέσεως θεολογούμενος, καὶ λόγος θεοῦ προσαγορευόμενος εἰκότως, ὅτι δὴ τοὺς τῶν ἁπάντων δημιουργικούς τε καὶ ποιητικοὺς λόγους ὁ παντοκράτωρ ἐν αὐτῷ καταβέβληται, λόγῳ καὶ τάξει τὰ σύμπαντα διέπειν αὐτῷ καὶ διακυβερνᾶν παρα- (230)
δούς; 8. μὴ γὰρ οὖν τις ὑπολάβοι τῷ παρὰ ἀνθρώποις ἐκ συλλαβῶν συνεστῶτι, ἔκ τε ὀνομάτων καὶ ῥημάτων συγκειμένῳ, ἐνάρθρῳ καὶ προφορικῷ λόγῳ τὸν τοῦ θεοῦ παρόμοιον τυγχάνειν· ὅτι δὴ ὁ παρ' ἡμῖν λόγος ἐν φωναῖς καὶ συλλαβαῖς καὶ τοῖς διὰ τούτων σημαινομένοις κέκτηται τὴν οὐσίαν, διὰ γλώττης καὶ ἀρτηριῶν φάρυγγός τε καὶ στόματος προφερόμενος, ὁ δὲ τῆς ἀϊδίου καὶ ἀσωμάτου φύσεως πάντη κατὰ πάντα τοῦ καθ' ἡμᾶς παρηλλαγμένος οὐδὲν ἀνθρώπειον ἐπάγοιτ' ἂν, μόνῃ κεχρημένος τῇ τῆς προσ- b
ρήσεως ὁμωνυμίᾳ, 9. ἐπεὶ μήτε φωνὴν τὴν δι' ἀέρος κρούσεως ὑφισταμένην, μήτε ῥήματα, μήτε συλλαβάς, μήτε γλῶτταν, μήτε στόμα, μήτε ὅλως τι τῶν ἀνθρωπείων καὶ θνητῶν ἐπὶ τοῦ τῶν ὅλων θεοῦ παραληπτέον· ψυχῆς γὰρ ἂν εἴη λόγος οὗτος, οὐδαμῶς οἷός τε καθ' ἑαυτὸν δίχα ψυχῆς εἶναι ἢ ὑποστῆναι. τοιόσδε γὰρ ὁ ἐν ἀνθρώποις λόγος, ἰδίως μὲν ἀνούσιος ὢν καὶ ἀνυπόστατος, ὅλον δὲ αὐτοκίνησίς τε καὶ ἐνέργεια διανοίας τυγχάνων. 10. ἀλλὰ οὐ καὶ ὁ τοῦ θεοῦ τοιοῦτος, ἔχων δὲ καθ' ἑαυτὸν οἰκείαν ὑπόστασιν πάντη θείαν καὶ νοερὰν, ἰδίως μὲν ὑφεστῶ- c
σαν, ἰδίως δ' αὖ πάλιν ἐνεργοῦσαν, ἄϋλόν τε οὖσαν καὶ ἀσώματον, καὶ κατὰ πάντα τῇ τοῦ πρώτου καὶ ἀγεννήτου καὶ μόνου θεοῦ φύσει παρωμοιωμένην, τοὺς τῶν γεννητῶν ἁπάντων λόγους καὶ τὰς τῶν ὁρωμένων ἀσωμάτους τε καὶ ἀοράτους ἰδέας ἐν ἑαυτῇ

φέρουσαν. διὸ καὶ σοφίαν αὐτὴν καὶ θεοῦ λόγον οἱ
θεῖοι χρησμοὶ προσαγορεύουσιν.

d VI. "Ἄκουέ μου Ἰακὼβ καὶ Ἰσραὴλ, ὃν ἐγὼ καλῶ.
ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα, καὶ ἡ
(231) χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστε-
ρέωσε τὸν οὐρανόν. καλέσω αὐτοὺς, καὶ στήσονται
ἅμα, καὶ συναχθήσονται πάντες, καὶ ἀκούσονται τίς
αὐτοῖς ἀνήγγειλε ταῦτα. κύριος ἀγαπῶν σε ἐποίησε
τὸ θέλημά σου ἐπὶ Βαβυλῶνα, τοῦ ἆραι σπέρμα Χαλ-
δαίων. ἐγὼ ἐλάλησα καὶ ἐγὼ ἐκάλεσα. ἤγαγον αὐτὸν,
καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ. προσαγάγετε πρός με,
καὶ ἀκούσατε ταῦτα. οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελά-
ληκα. ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην. καὶ νῦν κύριος
κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ."

b 2. Ὅρα δὴ καὶ νῦν τίνα τρόπον ὁ φήσας "ἐγώ
εἰμι ὁ πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα," ὁ τὴν
γῆν καὶ τὸν οὐρανὸν συστησάμενος, ἐναργῶς οὕτως
ἀπεστάλθαι ὁμολογεῖ ὑπὸ κυρίου κυρίου, οὕτω τὸν
πατέρα συνήθως δὶς κύριον ἀναγορεύων, ὡς ἂν ἔχοις
καὶ ταύτην ἀναμφίλεκτον τοῦ ζητουμένου τὴν μαρ-
τυρίαν. 3. πρῶτον δὲ αὐτὸν ὡς ἐν γεννητοῖς εὐσε-
βῶς εἶναι λέγει, τὴν ἄναρχον καὶ ἀγέννητον καὶ τὴν
ὑπὲρ τὸ πρῶτον οὐσίαν ἀπονέμων τῷ πατρί. τὸ γάρ
τοι πρῶτον ἀριθμοῦ πλείονος ἡγεῖται, τιμῇ καὶ τάξει
προτεταγμένον· ὅπερ οὐκ ἂν ἐπὶ τοῦ πατρὸς ἁρμό-
σειεν. 4. οὐ γὰρ δὴ γεννητῶν πρῶτος ὁ ἐπὶ πάντων
[146] θεὸς, ἐπεὶ μηδ' ἀρχή τις ἐπινοεῖται αὐτοῦ· ἐπέκεινα
c δ' ἂν εἴη καὶ ἀνωτάτω τοῦ πρώτου, ἅτε δὴ αὐτὸς καὶ
τὸ πρῶτον γεννήσας καὶ ὑποστησάμενος, μόνου τοῦ
θείου λόγου πάντων τῶν γεννητῶν πρώτου χρηματί-

3 Es. 48, 12.

ζοντος. 5. ζητουμένου δὲ ἄρα κατὰ τὸ "αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν," τίνι τὴν τῶν γεννητῶν ἐντέταλται δημιουργίαν, νῦν σαφῶς ἀποδέδεικται ὅτι τῷ φήσαντι "ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν·" ὃς καὶ πρὸς τοῦ κρείττονος ἀπεστάλθαι ὁμολογεῖ λέγων "νῦν κύριος κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ." 6. εἴη δ' ἂν ὁ θεὸς λόγος καὶ ταῦτα φάσκων "ἐπειδὴ τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν" κατὰ τὴν ἀπὸ τοῦ Ψαλμοῦ παράθεσιν. πλὴν ἀλλὰ εἰ καὶ αὐτὸς ὁ τοῦ θεοῦ λόγος τῇ κύριος θεολογεῖται προσηγορίᾳ, ὅμως τὸν ἀνωτάτω καὶ κρείττονα πατέρα αὐτοῦ καὶ κύριον εὖ μάλα εὐσεβῶς δὶς κύριον αὐτὸν ἀνακαλεῖ, τῷ διαφόρῳ χρώμενος ἐπ' αὐτοῦ ὀνόματι. 7. καὶ νῦν γάρ φησι "κύριος κύριος ἀπέσταλκέ με," ὡς ἂν κυρίως ὄντος τοῦ ἐπὶ πάντων θεοῦ πρώτου καὶ ἀληθῶς κυρίου αὐτοῦ τε τοῦ μονογενοῦς αὐτοῦ λόγου, καὶ τῶν μετ' αὐτὸν γεννητῶν ἁπάντων, καθ' ὧν δευτέρως τὴν κυρείαν καὶ δεσπο- (232)
τείαν παρὰ τοῦ πατρὸς ὁ τοῦ θεοῦ λόγος ἀναδεξάμενος, οἷα γνήσιος υἱὸς καὶ μονογενής, δεύτερος εἰκότως καὶ αὐτὸς ἂν εὐσεβῶς χρηματίζοι κύριος.

Ἀπὸ τῆς Γενέσεως.

Ὡς καὶ ὁ μέγιστος τοῦ θεοῦ θεράπων Μωσῆς ἐν τῇ κοσμοποιίᾳ οἶδε πατέρα καὶ θεὸν τῶν ὅλων ἑτέρῳ κοινολογούμενον ἐπὶ τῇ τοῦ ἀνθρώπου δημιουργίᾳ· τὸν θεῖον δὲ λόγον τοῦτον εἶναι προμεμαθήκαμεν.

VII. "Καὶ εἶπεν ὁ θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν." καὶ αὖθις

---

29 Gen. 1, 26.

c "καὶ εἶπεν ὁ θεός, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν."

2. Καὶ ἵνα γε μή τις πρὸς ἀγγέλους ταῦτα εἰρῆσθαι νομίσειε, παραχρῆμα δηλοῖ τὸν κεκελευσμένον οὐκ ἄγγελον ὄντα θεοῦ, λέγων "καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν."

Ἀπὸ τῆς αὐτῆς.

Ὡς ὁ αὐτὸς Μωσῆς δύο σαφέστατα κυρίους ἀνεπικαλύπτως θεολογεῖ.

d VIII. "Ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ, καὶ ἔβρεξε κύριος ἐπὶ Σόδομα θεῖον καὶ πῦρ παρὰ κυρίου."

2. Σαφῶς δεύτερον ἀναγορεύει, ὃν καὶ διδάσκει παρὰ τοῦ μείζονος ἐπιτραπέντα τὴν κατὰ τῶν ἀσεβῶν ποιήσασθαι τιμωρίαν. πλὴν ἀλλ' εἰ καὶ δύο κυρίους ἀνεπικαλύπτως ὁμολογοῦμεν, ἀλλ' οὐ καὶ ταῖς ὁμοίαις ἐπ' ἀμφοτέροις χρώμεθα θεολογίαις· εὐσεβῶς δὲ τῇ τάξει χρώμενοι τὸν μὲν ἀνωτάτω πατέρα καὶ θεὸν καὶ κύριον, καὶ τοῦ δευτέρου κύριον καὶ θεὸν εἶναι πεπαιδεύμεθα· τὸν δὲ τοῦ θεοῦ λόγον τὸν δεύτερον κύριον, τῶν μὲν ὑπ' αὐτὸν δεσπότην, οὐκέτι δὲ ὁμοίως καὶ τοῦ μείζονος. 3. οὐ γὰρ τοῦ
(233) πατρὸς κύριος, οὐδὲ τοῦ πατρὸς θεός, ὁ θεὸς λόγος, ἀλλ' ἐκείνου μὲν εἰκὼν καὶ λόγος καὶ σοφία καὶ δύναμις, τῶν δὲ μετ' αὐτὸν δεσπότης καὶ κύριος καὶ θεός· ὁ δέ γε πατὴρ καὶ τοῦ υἱοῦ πατὴρ καὶ κύριος καὶ θεός. ὅθεν εἰκότως ἀνατρέχουσιν εἰς μίαν ἀρχὴν καὶ εἰς ἕνα θεὸν συνίσταται ἡμῖν τὰ τῆς εὐσεβοῦς θεολογίας.

---

1 Gen. 2, 18. 5 Gen. 1, 27. 10 Gen. 19, 23.

Ἀπὸ τῆς αὐτῆς. [147]

Ὡς ὁ αὐτὸς θεράπων τὸν θεὸν λόγον δηλοῖ δεύτερον θεὸν καὶ κύριον προωνομασμένον, ἐν ἀνθρώπου τε μορφῇ καὶ σχήματι ὦφθαί τε καὶ χρηματίσαι τοῖς παλαιοῖς ἱστορεῖ.

IX. „"Ὤφθη δὲ κύριος τῷ Ἀβραάμ, καὶ εἶπεν αὐ- c τῷ, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην." καὶ πάλιν "ἐγένετο Ἀβραὰμ ἐτῶν ἐνενήκοντα ἐννέα, καὶ ὤφθη κύριος τῷ Ἀβραάμ, καὶ εἶπεν αὐτῷ, ἐγώ εἰμι ὁ θεός. εὐαρέστει ἐνώπιόν μου καὶ γίνου ἄμεμπτος, καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον ἐμοῦ, καὶ πληθυνῶ σε σφόδρα." 2. καὶ αὖθις "ὤφθη δὲ ὁ θεὸς αὐτῷ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, d καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε· καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ. καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς καὶ προσεκύνησε." 3. καὶ ἑξῆς μετὰ τὴν ὀπτασίαν ἐπιφέρει "ὁ δὲ κύριος εἶπεν, οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ. Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς." 4. καὶ τούτοις αὖθις ἐπιλέγει ὡς περὶ ἑτέρου "ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἐπαγάγῃ κύριος ἐπὶ Ἀβραὰμ ἃ ἐλάλησε πρὸς αὐτόν."

5. Ταῦτα αὐτὸς ἀναγέγραπται λέγων ὁ χρηματί- (234) ζων τῷ Ἀβραὰμ κύριος, ἕτερον κύριον ὁμολογῶν δη-

---

5 Gen. 12, 7. 7 Gen. 17, 1. 14 Gen. 18, 1. 20 Gen. 18, 17.

λαδὴ τὸν αὐτοῦ πατέρα καὶ ποιητὴν τοῦ παντός. ὅ γε μὴν Ἀβραάμ, οἷα προφήτης κατάληψιν ἔχων ἀκριβῆ τοῦ χρηματίζοντος, ἑξῆς τοῖς προεκτεθεῖσι ποτνιᾶται λέγων "μὴ συναπολέσῃς δίκαιον μετ' ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον, ἕνεκεν τῶν πεντήκοντα δικαίων;
b μηδαμῶς σὺ ποιήσεις τὸ ῥῆμα τοῦτο τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. μηδαμῶς ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν."

6. Ἀγγέλοις δὴ φάσκειν ταῦτα, ἤ τινι τῶν τοῦ θεοῦ λειτουργῶν, οὐχ ἡγοῦμαι λέγεσθαι ἁρμόζειν· οὐδὲ γὰρ τοῦ τυχόντος ἂν εἴη τὸ κρίνειν πᾶσαν τὴν γῆν. ἀλλ' οὐδ' ἄγγελος ὁ προγραφεὶς ἀνηγόρευται, κρείττων δέ τις ἀγγέλου θεὸς καὶ κύριος πρὸς τῇ ἀναγεγραμμένῃ δρυῒ μετὰ τῶν δυοῖν ἀγγέλων ἐν ἀνθρώπου σχήματι ὁραθείς. 7. πάλιν γε μὴν οὐδὲ τὸν ἐπὶ
c πάντων θεὸν ἡγητέον διὰ τούτων δηλοῦσθαι. μεταβάλλειν γὰρ φάναι τὸ θεῖον, καὶ σχηματίζεσθαι εἰς ἀνδρὸς εἶδος καὶ μορφὴν οὐκ εὐαγές. λείπεται δὴ αὐτὸν εἶναι τὸν τοῦ θεοῦ λόγον τὸν διὰ τῶν πρόσθεν τεθεολογημένον ὁμολογεῖν· ὅθεν εἰσέτι καὶ νῦν παρὰ τοῖς πλησιοχώροις ὡς ἂν θεῖος ὁ τόπος εἰς τιμὴν τῶν αὐτόθι τῷ Ἀβραὰμ ἐπιφανέντων θρησκεύεται, καὶ θεωρεῖταί γε εἰς δεῦρο διαμένουσα ἡ τερέβινθος. 8. οἱ γὰρ τῷ Ἀβραὰμ ἐπιξενωθέντες, ἐπὶ γραφῆς ἀνακείμενοι, δύο μὲν ἑκατέρωθεν, μέσος δὲ ὁ κρείττων ὑπερέχων τῇ τιμῇ. εἴη δ' ἂν ὁ δεδηλωμένος ἡμῖν
d κύριος αὐτὸς, ὁ ἡμέτερος σωτήρ, ὃν καὶ οἱ ἀγνῶτες

4 Gen. 18, 23.

σέβουσι, τὰ θεῖα λόγια πιστούμενοι. οὗτος δὴ οὖν αὐτὸς ἐξ ἐκείνου τὰ τῆς εὐσεβείας σπέρματα εἰς ἀνθρώπους καταβαλλόμενος, ἀνθρώπειον ὑποδὺς εἶδός τε καὶ σχῆμα, τῷ θεοφιλεῖ προπάτορι Ἀβραὰμ ὅστις εἴη αὐτὸν ἐξέφηνε καὶ τὴν τοῦ πατρὸς αὐτοῦ παρεδίδου γνώμην.

Ἀπὸ τῆς αὐτῆς. [148] (235)

Ὡς ὁ αὐτὸς προφήτης ἐπὶ τοῦ Ἰακὼβ σαφέστερον ἐμφαίνει τὸν δηλούμενον κύριον, ὃν δὴ καὶ θεὸν καὶ ἄγγελον ἀποκαλεῖ, τοῦ ἐπὶ πάντων θεοῦ προσειπών.

X. "Καὶ ἐπορεύθη εἰς Χαρρὰν, καὶ ἀπήντησε b
τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. καὶ ἔλαβεν ἀπὸ τῶν λίθων, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη· καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη εἰς τὴν γῆν, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανὸν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτήν. ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν, ἐγὼ κύριος c
ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς Ἰσαὰκ, μὴ φοβοῦ· ἡ γῆ ἐφ' ἣν σὺ καθεύδεις ἐπ' αὐτὴν, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. 2. καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς θαλάσσης, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ ἀνατολὰς καὶ ἐπὶ βορρᾶν καὶ λίβα· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου. καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. 3. καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ d

---

11 Gen. 28, 10.

ὕπνου αὐτοῦ, καὶ εἶπεν ὅτι ἐστὶ κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. καὶ ἐφοβήθη, καὶ εἶπεν, ὡς φοβερὸς ὁ τόπος οὗτος. οὐκ ἔστι τοῦτο ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. καὶ ἀνέστη Ἰακὼβ τὸ πρωΐ, καὶ ἔλαβε τὸν λίθον, ὃν ὑπέθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς, καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, οἶκος θεοῦ."

4. Τοῦτον τὸν ἐνταῦθα διὰ τοσούτων χρηματίζοντα κύριον καὶ θεὸν ἄγγελον τοῦ θεοῦ προϊὼν ἑξῆς εὑρήσεις, ἐν οἷς φησι πρὸς τὰς γυναῖκας αὐτὸς Ἰακὼβ "καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ' ὕπνον, Ἰακώβ· ἐγὼ δὲ εἶπα, τί ἐστι;" καὶ ἑξῆς "ἑώρακα, (236) φησὶ, πάντα ὅσα Λάβαν σοὶ ποιεῖ. ἐγὼ ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι εὐχήν."

5. Ἆρ' οὖν ὁ ἀνωτέρω φήσας "ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς Ἰσαὰκ," ᾧ καὶ στήλην ἀνίστησιν ὁ θεοφιλὴς, θεὸς μὲν ἦν καὶ κύριος· αὐτῷ γὰρ λέγοντι πιστευτέον· οὐ μὴν ὁ ἐπὶ πάντων, ἀλλ' ὁ ἐκείνου δεύτερος, τὰ τοῦ πατρὸς εἰς ἀνθρώπους διακονούμενος καὶ διαγγέλλων. 6. διὸ b καὶ ἄγγελον αὐτὸν ὁ Ἰακὼβ ἐπὶ τοῦ παρόντος καλεῖ "εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ φάσκων καθ' ὕπνον, ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τῷ τόπῳ." οὐκοῦν ὁ αὐτὸς ἄγγελος κυρίου καὶ θεὸς καὶ κύριος σαφῶς διὰ τούτων ἀνηγόρευται. καὶ ἐν Ἡσαΐᾳ δὲ τῷ προφήτῃ μεγάλης βουλῆς ἄγγελος, ὁμοῦ δὲ καὶ θεὸς καὶ ἄρχων καὶ ἐξουσιαστὴς προσαγορεύεται, ἐν οἷς τὴν εἰς ἀνθρώπους αὐτοῦ γένεσιν θεσπίζει λέγων "ὅτι

---

12 Gen. 31, 11.

παιδίον ἐγενήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, ἄρχων εἰρήνης, θεὸς c *ἰσχυρὸς, ἐξουσιαστὴς, πατὴρ τοῦ μέλλοντος αἰῶνος."*

XI. "*Ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην ἔλαβε τὰς* d *δύο γυναῖκας καὶ τὰς δύο παιδίσκας καὶ τὰ ἕνδεκα παιδία αὐτοῦ. καὶ διέβη τὴν διάβασιν τὴν Ἰαβὼχ, καὶ ἔλαβεν αὐτοὺς, καὶ διεβίβασε πάντα τὰ ἑαυτοῦ. ὑπελείφθη δὲ Ἰακὼβ μόνος, καὶ ἐπάλαιε μετ' αὐτοῦ ἄνθρωπος ἕως πρωΐ. εἶδε δὲ ὅτι οὐ δύναται πρὸς* [149] *αὐτὸν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ. καὶ εἶπεν αὐτῷ, ἀπόστειλόν με, ἀνέβη γὰρ ὁ ὄρθρος· ὁ δὲ εἶπεν, οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς. εἶπε δ' αὐτῷ, τί τὸ ὄνομά σου; ὁ δὲ εἶπεν, Ἰακώβ. εἶπε δ' αὐτῷ, οὐκέτι* (237) *Ἰακὼβ κληθήσεται τὸ ὄνομά σου, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ θεοῦ, καὶ μετ' ἀνθρώπων δυνατὸς ἔσῃ. ἠρώτησε δὲ Ἰακὼβ, καὶ εἶπεν, ἀνάγγειλόν μοι τὸ ὄνομά σου. καὶ εἶπεν, ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἰακὼβ εἶδος θεοῦ· εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου. ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ."*

2. *Τῷ μὲν Μωσεῖ εἴρητο "οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται." ἐν τούτοις δὲ ὁ Ἰακὼβ εἶδε* b *θεὸν οὐχ ἁπλῶς, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον· καὶ σωθείς γε οὐ τὸ σῶμα, ἀλλὰ τὴν ψυχὴν τῆς ἐπὶ τὸν Ἰσραὴλ προσωνυμίας ἠξιώθη, φερωνύμου ψυχῶν*

1 Es. 9, 6. 5 Gen. 32, 22. 26 Ex. 33, 20.

προσηγορίας, εἴ γε ἑρμηνευθὲν ὁρῶντα θεὸν τὸ Ἰσραὴλ ὄνομα σημαίνει. οὐκ ἄρα τὸν ἐπὶ πάντων θεὸν ἑώρα· ἀόρατος γὰρ οὗτος καὶ ἄτρεπτος, καὶ οὐδαμῶς ἂν εἰς ἄνθρωπον μεταβάλοι ὁ πάσης ὢν ἀνωτάτω οὐσίας· ἕτερον ἄρα, οὗ καὶ πολυπραγμονοῦντι c καιρός πω οὐκ ἦν ἐκφᾶναι τῷ Ἰακὼβ τὴν προσηγορίαν. 3. εἰ δὲ ἀγγέλων τινα, ἢ τῶν κατ' οὐρανὸν θείων πνευμάτων τὸν τοῖς ἁγίοις τοὺς χρησμοὺς διακονούμενον ὑπολάβοι τις εἶναι, σαφῶς διέψευσται· τοῦτο μὲν ἀπὸ τοῦ κυριολεκτεῖσθαι καὶ θεολογεῖσθαι τὸν δηλούμενον· καὶ γὰρ καὶ θεὸν αὐτὸν ἡ θεία γραφὴ διαρρήδην ἀναγορεύει, καὶ κύριον ἀποκαλεῖ, τῇ διὰ τῶν τεσσάρων παρ' Ἑβραίοις στοιχείων ἐπισημειώσει τιμῶσα, ἣν ἐπὶ μόνης τῆς ἀνεκφωνήτου καὶ ἀρρήτου προσηγορίας τῆς τοῦ θεοῦ συντιθέναι παῖδες Ἑβραίων εἰώθασι· τοῦτο δὲ καὶ ἀπὸ τοῦ ἀγγέλους σαφῶς διορίζειν, ὅτε δὴ βούλοιτο ἀγγέλους καd λεῖν ὁ λόγος, ὥσπερ τοὺς ἐν Σοδόμοις ἀσεβεῖς ὄντας ὁ μὲν τῷ Ἀβραὰμ χρηματίζων θεὸς καὶ κύριος τῆς αὐτοῦ παρουσίας οὐδαμῶς ἀξιοῖ, ὡς αὖθις ἡ θεία γραφὴ λέγει "ὁ μὲν κύριος ἀπῆλθεν, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, οἱ δὲ δύο ἄγγελοι ἀπῆλθον εἰς Σόδομα ἑσπέρας." 4. καὶ τῷ Ἰακὼβ δὲ "συνήντησαν ἄγγελοι θεοῦ· καὶ ἰδὼν εἶπε, παρεμβολὴ θεοῦ αὕτη. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου παρεμβολαί."

5. Οὕτως δὴ ὁ θεοφιλὴς εὖ διέκρινεν τὰς ὀπτασίας ὥστε νῦν μὲν τὸ ὄνομα τοῦ τόπου παρεμβολὰς καλεῖν, ἀπὸ τῆς τῶν ἀγγελικῶν παρεμβολῶν θέας. ὅτε δὲ τῷ θεῷ προσομιλεῖ, καλεῖ τὸ ὄνομα τοῦ τόπου

---

21 Gen. 32, 2. 23 Gen. 32, 1.

εἶδος θεοῦ, ἐπιλέγων "εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον." ἀλλὰ καὶ τῷ Μωσεῖ ὅτ' ἄγγελος ἐπιφαίνεται, τοῦτ' αὐτὸ καὶ ἡ θεία γραφὴ σημαίνει λέ- (238) γουσα "ὤφθη δὲ ἄγγελος κυρίου αὐτῷ ἐν φλογὶ πυρὸς βάτου." ὅτε δὲ τὸν αὐθέντην, αὐτὸν δὴ τὸν χρηματίζοντα, δηλοῖ, θεὸν καὶ κύριον, ἀλλὰ οὐκέτι ἄγγελον ὀνομάζει. 6. ὁμοίως καὶ ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης διορίζει σαφῶς τὸν ἄγγελον καὶ τὸν κύριον δι' ὧν φησιν "ἐξῆρε δὲ ὁ ἄγγελος τοῦ θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν αὐτῶν. ἐξῆρε δὲ καὶ ὁ στῦλος τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν."

7. Ὥσπερ δὲ ἐπὶ τῶν προτέρων ἐν ἀνθρώπου σχήματι τοῖς παλαιοῖς ὁ κύριος χρηματίζων εἰσῆκται, b οὕτω καὶ ἐνταῦθα διὰ νεφέλης. λέλεκται γοῦν ἑξῆς "ἐγενήθη δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, καὶ ἐπέβλεψε κύριος εἰς τὴν παρεμβολὴν τῶν Αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νεφέλης," δι' ὅλης δὲ τῆς ἐρήμου ἐν στύλῳ διὰ τῆς νεφέλης ὁ θεὸς τῷ Μωσεῖ χρηματίζων. 8. ἀκριβῶς ἄρα ὅτε μὲν ἀγγέλου φύσιν ὁ λόγος δηλοῦν [150] βούλεται, οὐδὲ θεὸν οὐδὲ κύριον, ἀλλ' ἀνεπικαλύπτως ἄγγελον ὀνομάζει, ὅτε δὲ κύριον καὶ θεὸν οἶδε τὸν ἐπιφαινόμενον, ταύταις αὐταῖς σαφῶς κέχρηται c ταῖς προσρήσεσι· κύριον δὲ καὶ θεὸν ὅτι μὴ τὸν αἴτιον δηλοῖ προφανῶς ἀπέδειξαν τῆς θείας γραφῆς αἱ λέξεις ἄγγελον θεοῦ προσειποῦσαι τὸν ἐπὶ τοῦ Ἰακὼβ κύριον καὶ θεὸν προωνομασμένον. 9. λείπεταί τις ἄρα ὢν ἐν τοῖς οὖσι θεὸς καὶ κύριος μετὰ τὸν παμβασιλέα καὶ θεὸν τῶν ὅλων. εἴη δ' ἂν οὗτος ὁ πρὸ αἰώνων τοῦ θεοῦ λόγος, ὁ κρείττων μὲν ἢ

9 Ex. 14, 19.

πᾶσα ἀγγελικὴ φύσις, μείων δὲ ἢ κατὰ τὸ πρῶτον αἴτιον.

d XII. "*Εἶπε δὲ ὁ θεὸς Ἰακὼβ, ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθὴλ, καὶ οἴκει ἐκεῖ, καὶ ποίησον θυσιαστήριον τῷ θεῷ, τῷ ὀφθέντι σοὶ ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ σου. εἶπε δὲ Ἰακὼβ τῷ οἴκῳ αὐτοῦ καὶ πᾶσι τοῖς μεθ' αὐτοῦ, ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ καθαρίσασθε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ*
(239) *ἀναστάντες ἀναβῶμεν εἰς Βαιθὴλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ καὶ ἔσωσέ με ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθην.*"

2. *Ἐνταῦθα ὁ θεὸς αὐτὸς ὁ τῶν ὅλων, ὁ μόνος ἀγέννητος καὶ ἀνωτάτω πάντων, οὐκ ὀφθεὶς, ἀλλὰ γὰρ ἀοράτως χρηματίσας τῷ Ἰακὼβ, δυνάμει τε ἀρρήτῳ αὐτὸν ἀνακινήσας, περὶ ἑτέρου σαφῶς ποιεῖται τὸν λόγον. εἶπε γοῦν ὁ θεὸς αὐτῷ* "*ποίησον θυσιαστήριον τῷ θεῷ τῷ ὀφθέντι σοί.*" *τίς δ' ἦν ὁ προγραφεὶς ὦφθαι αὐτῷ ἀρτίως παρεστήσαμεν, τὸν θεὸν λόγον εἶναι ἀποδείξαντες.*

Ἀπὸ τῆς Ἐξόδου.

Ὡς ὁ ἐπὶ πάντων θεὸς, αὐτὸς ὢν ὁ δι' ἀγγέλου τῷ Μωσεῖ χρηματίζων, ὦφθαι τοῖς πατράσιν, οὐκέτι δι' ἀγγέλου, διὰ δὲ τοῦ υἱοῦ διδάσκει.

c XIII. "*Καὶ Μωσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰωθὼρ τοῦ γαμβροῦ αὐτοῦ, καὶ ἦλθεν εἰς τὸ ὄρος τοῦ θεοῦ ἐν Χωρήβ. ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἐν πυρὶ φλογὸς βάτου.*" *καὶ μεθ' ἕτερα* "*ὡς δὲ εἶδεν*

---

3 Gen. 35, 1. 26 Ex, 3, 1.

ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ἐκ μέσου τοῦ βάτου λέγων, Μωσῆ Μωσῆ, μὴ ἐγγίσῃς ὧδε. λῦσαι τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας γῆ ἁγία ἐστί." καὶ μετ' ὀλίγα "καὶ εἶπε κύριος πρὸς αὐτὸν, ἐγώ εἰμι ὁ ὤν." 2. καὶ αὖθις d
"ἐλάλησε κύριος πρὸς Μωσῆν, καὶ εἶπε πρὸς αὐτὸν, ἐγὼ κύριος ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς, καὶ ἔστησα τὴν διαθήκην μου πρὸς αὐτούς."

3. Ὥσπερ ἐπὶ τῶν ἐν ἀνθρώποις προφητῶν, Ἡσαΐου φέρε εἰπεῖν καὶ Ἱερεμίου καὶ τῶν παραπλησίων, ἄνθρωπος μὲν ἦν τὸ ὁρώμενον, θεὸς δὲ ὁ διὰ τοῦ φαινομένου, ὡς ἂν δι' ὀργάνου, θεσπίζων, καὶ τοτὲ μὲν Χριστοῦ πρόσωπον, τοτὲ δὲ πνεύματος ἁγίου, τοτὲ δὲ τοῦ ἐπὶ πάντων θεοῦ ἦν διὰ τοῦ προφήτου χρηματίζον, οὕτω δὴ καὶ νῦν εἰσαγομένῳ τῷ Μωσεῖ ὁ ἀνωτάτω καὶ ἐπὶ πάντων θεὸς διὰ τοῦ φανέντος ἀγγέλου τὰ προκείμενα θεσπίζει. 4. ὧν γένοιτο ἂν (240)
ὁ νοῦς τοιόσδε, σοὶ μὲν, ὦ προφῆτα, ὡς ἂν εἰσαγομένῳ καὶ μηδὲν πλέον ἀγγελικῆς ὀπτασίας χωροῦντι, τέως τὸν ἐμὸν ἄγγελον ἐβουλήθην ὀφθῆναι, ἐμαυτοῦ τε τοὔνομά σοι μόνον ἐμφανὲς καθίστημι, διδάσκων [151]
ὅτι ἐγώ εἰμι ὁ ὤν, καὶ ὅτι τὸ ὄνομά μού ἐστι κύριος· τοῖς δὲ σοῖς πατράσιν οὐ τοῦτο μόνον ἐδήλωσα, ἀλλὰ καὶ τούτου μεῖζον ἐδωρησάμην· ὤφθην γὰρ αὐτοῖς. τίς δ' ἦν ὁ τοῖς πατράσιν ὀφθεὶς, καὶ ὅτι μὴ ὁ ἐπὶ πάντων θεὸς, προαποδέδεικται, ἡνίκα τὸν θεὸν καὶ τὸν κύριον ἄγγελον θεοῦ ὠνομάσθαι ἐπεδείκνυμεν. b
5. πῶς οὖν ἐνταῦθα ὁ ἐπέκεινα τῶν ὅλων, αὐτὸς ὢν ὁ μόνος ἐπὶ πάντων θεὸς, ὦφθαί φησι τοῖς πατράσιν ζητήσαι ἄν τις εἰκότως. λυθείη δ' ἂν τὸ ζητηθὲν, εἰ τῇ ἀκριβείᾳ τῆς θείας γραφῆς ἐπιστήσαιμεν. λεγο-

μένου παρὰ τοῖς ἑβδομήκοντα τοῦ "καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, θεὸς αὐτῶν ὤν" ὁ μὲν Ἀκύλας φησὶ "καὶ ὠράθην πρὸς Ἀβραὰμ καὶ πρὸς Ἰσαὰκ καὶ πρὸς Ἰακὼβ ἐν θεῷ ἱκανῷ·" 6. δι' ὧν σαφῶς παρίστησιν ὅτι μὴ αὐτὸς ὁ ἐπὶ πάντων θεὸς, ὁ μόνος ὤν, δι' ἑαυτοῦ ὤφθη, ἀλλ' οὐδ' ὥσπερ τῷ
c Μωσεῖ, οὕτω καὶ τοῖς πατράσι δι' ἀγγέλου, ἢ διὰ βάτου, ἢ πυρὸς, ἀλλ' ἐν θεῷ ἱκανῷ χρηματίζων ἐστὶν, ὥστε διὰ τοῦ υἱοῦ τὸν πατέρα καὶ τοῖς πατράσιν ἑωρᾶσθαι, κατὰ τὸ εἰρημένον ἐν εὐαγγελίοις πρὸς αὐτοῦ "ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα." ἐν αὐτῷ γὰρ καὶ δι' αὐτοῦ ἡ τοῦ πατρὸς ἀπεκαλύπτετο γνῶσις. 7. ἀλλ' ὅτε μὲν ἀνθρώπων σωτήριος ἐπεφαίνετο, διὰ τῆς τοῦ υἱοῦ ἀνθρωπείας μορφῆς ἑωρᾶτο, τοῖς θεοφιλέσι τὴν εἰς ἀνθρώπους αὐτοῦ ἐσομένην σωτηρίαν τοῖς πᾶσι παροῦσαν ἐξ ἐκείνου προαρραβωνιζό-
d μενος· ὅτε δὲ τῶν ἀσεβῶν τιμωρὸς καὶ κολαστὴς τῶν Αἰγυπτίων ἔμελλεν ἔσεσθαι, οὐκέτι ἐν θεῷ ἱκανῷ, ἀλλ' ἐν ἀγγέλῳ διακόνῳ τῆς τιμωρίας, καὶ ἐν εἴδει πυρὸς καὶ τῆς ὅσον οὔπω μελλούσης αὐτοὺς, δίκην ἀγρίας καὶ ἀκανθώδους ὕλης, κατεσθίειν φλογὸς παρεφαίνετο. αἰνίττεσθαι οὖν φασι τὴν μὲν βάτον τὴν τῶν Αἰγυπτίων ἀγρίαν καὶ ἀπηνῆ καὶ ἀνήμερον μοχθηρίαν, τὸ δὲ πῦρ τὴν διαλαβοῦσαν αὐτοὺς τιμωρὸν καὶ κολαστήριον δύναμιν."

(241) b XIV. "Εἶπε δὲ κύριος πρὸς Μωσῆν, ἰδοὺ ἐγὼ παραγίνομαι πρὸς σὲ ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σὲ, καὶ σοὶ πιστεύσωσι." καὶ ἑξῆς "ὁ δὲ θεὸς ἡγεῖτο αὐτῶν ἡμέρας μὲν ἐν στύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδὸν, τὴν δὲ νύκτα

---

26 Exod. 19, 9. 29 Exod. 13, 21.

ἐν στύλῳ πυρὸς, τοῦ φαίνειν αὐτοῖς." καὶ πάλιν "κατέβη κύριος ἐν στύλῳ νεφέλης." 2. καὶ αὖθις "ἡνίκα δ' ἂν εἰσῆλθεν Μωσῆς εἰς τὴν σκηνὴν, κατέβαινεν ὁ στῦλος τῆς νεφέλης, καὶ ἵστατο ἐπὶ τὰς θύρας τῆς σκηνῆς, καὶ ἐλάλει τῷ Μωσεῖ, καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν στῦλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς. καὶ στάντες πᾶς ὁ λαὸς προσεκύ- c νησαν, ἕκαστος ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ."

3. Ὁ μὲν οὖν λαὸς ἑώρα τὸν στῦλον τῆς νεφέλης, Μωσεῖ δ' ἐλάλει. τίς δ' ἐλάλει; ἢ δῆλον ὅτι ὁ στῦλος τῆς νεφέλης, ὁ πρότερον τοῖς πατράσιν ἐν ἀνθρώπου φανεὶς σχήματι. προαποδέδεικται δὲ ὅτι μὴ ὁ ἐπὶ πάντων θεὸς οὗτος ἦν, ἕτερος δὲ ὃν θεοῦ λόγον ὑπάρχοντα Χριστὸν ἡμεῖς προσαγορεύομεν, ὃς καὶ τότε τοῦ πλήθους ἕνεκεν Μωσεῖ τε αὐτῷ καὶ τῷ λαῷ ἐν στύλῳ νεφέλης ἐθεωρεῖτο, διὰ τὸ μὴ χωρεῖν αὐτοὺς d ὁμοίως τοῖς πατράσιν ἐν ἀνθρώπου σχήματι ὁρᾶν αὐτόν. 4. τελείων γάρ τοι ἦν τὸ προορᾶν δύνασθαι τὴν μέλλουσαν ἔσεσθαί ποτε εἰς ἀνθρώπους ἔνσαρκον ἐπιφάνειαν αὐτοῦ, ἣν ἐπεὶ μηδὲ τότε οἷός τε ἦν ὁ πᾶς λαὸς χωρεῖν, εἰκότως τοτὲ μὲν αὐτοῖς διὰ πυρὸς φόβου χάριν καὶ καταπλήξεως, τοτὲ δὲ διὰ νεφέλης, ὡς ἂν ἐπεσκιασμένως καὶ κεκαλυμμένως νομοθετῶν [152] αὐτοὺς ὁρῷτο, ὁμοίως δὲ καὶ τῷ Μωσεῖ δι' αὐτούς.

XV. "Εἶπε κύριος, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγ- (242) γελόν μου πρὸ προσώπου μου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι. πρόσεχε σαυτῷ καὶ εἰσάκουε αὐτοῦ, καὶ μὴ ἀπείθει αὐτῷ. οὐ γάρ μὴ ὑποστείληταί σε· τὸ γάρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ." καὶ ἐν ἑτέρῳ τόπῳ "εἶπε δὲ κύριος

2 Num. 12, 5. 3 Exod. 33, 9. 25 Ex. 23, 20.

πρὸς Μωσῆν, βάδισον καὶ ὁδήγησον τὸν λαὸν εἰς τὸν τόπον ὃν εἴρηκά σοι· ἰδοὺ ὁ ἄγγελός μου προπορεύεται πρὸ προσώπου σου." καὶ πάλιν "καὶ εἶπε κύριος πρὸς Μωσῆν, πορεύου καὶ ἀνάβηθι ἐντεῦθεν
c σὺ καὶ ὁ λαός." 2. καὶ ἑξῆς "καὶ συναποστελῶ πρὸ προσώπου σου τὸν ἄγγελόν μου." αὗται ὅτι μὴ ἀγγέλου, μόνου δὲ θεοῦ γένοιντο ἂν φωναὶ, παντί τῳ πρόδηλον. θεοῦ δὲ τίνος ἢ τοῦ τοῖς προπάτορσιν ἑωραμένου, ὃν ἄγγελον θεοῦ σαφῶς προσεῖπεν ὁ Ἰακώβ; οὗτος δὲ ἦν ἡμῖν ὁ θεοῦ λόγος, ὡς ἂν καὶ θεοῦ παῖς καὶ αὐτὸς θεὸς καὶ κύριος ὠνομασμένος.

Ἀπὸ τῆς Δεκαλόγου.

d XVI. "Ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ." καὶ ἑξῆς "ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτής." 2. καὶ ἐπιλέγει "οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ. οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ." κἀνταῦθα αὐτὸς ὁ κύριος περὶ ἑτέρου κυρίου τὰ προκείμενα διδάσκει. εἰπὼν γοῦν "ἐγώ εἰμι κύριος ὁ θεός σου" ἐπιλέγει "οὐ λήψῃ τὸ
(243) ὄνομα κυρίου τοῦ θεοῦ σου," περὶ τοῦ πατρὸς δηλαδὴ καὶ θεοῦ τῶν ὅλων ὁ δεύτερος κύριος τὸν θεράποντα μυσταγωγῶν. 3. εὕροις δ' ἂν καὶ ἄλλα μυρία δι' ὅλης τῆς ἱερᾶς γραφῆς παραπλησίως τούτοις ἐξενηνεγμένα, δι' ὧν ὁ θεὸς ὡς περὶ ἑτέρου θεοῦ καὶ αὐτὸς ὁ κύριος ὡς περὶ ἑτέρου κυρίου τοὺς χρησμοὺς ἐποιεῖτο.

---

10 Ex. 20, 2.

XVII. "Καὶ εἶπε κύριος πρὸς Μωσῆν, καὶ τοῦτόν b σοι τὸν λόγον, ὃν εἴρηκας, ποιήσω. εὕρηκας γὰρ χάριν ἐνώπιόν μου, καὶ οἶδά σε παρὰ πάντας. καὶ εἶπε Μωσῆς, δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν. καὶ εἶπεν, ἐγὼ προπορεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματί μου κύριον ἐναντίον σοῦ καὶ ἐλε- c ήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω." καὶ μεθ' ἕτερα ἐπιφέρει λέγων "καὶ κατέβη κύριος ἐν νεφέλῃ καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ ἐκάλεσεν ἐν ὀνόματι κυρίου. καὶ παρῆλθε κύριος ἐν ὀνόματι αὐτοῦ, καὶ ἐκάλεσε, κύριε κύριε, ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος, καὶ ἀληθινὸς καὶ δικαιοσύνην διατηρῶν, ποιῶν ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν ἔνοχον, ἐπάγων ἁμαρτίας πατέρων ἐπὶ τέκνα καὶ τέκνα τέκνων ἐπὶ τρίτην καὶ τετάρτην γενεάν. καὶ σπεύσας Μωσῆς κύψας ἐπὶ τὴν γῆν προσεκύνησεν." d

2. Ὅρα δὴ τίνα τρόπον καὶ νῦν αὐτὸς ὁ κύριος ὁ καταβὰς ἐκάλεσεν ἐν νεφέλῃ, καὶ τῷ Μωσεῖ παραστὰς ἐν ὀνόματι κυρίου, ἕτερον παρ' ἑαυτὸν, συνή- [153] θως κατὰ ἀναδίπλωσιν δὶς κύριον ἐπικαλούμενον, ὡς ἂν καὶ ἑαυτοῦ καὶ τῶν λοιπῶν ἁπάντων δεσπότην θεολογούμενον, τὸν ἑαυτοῦ πατέρα, καὶ ὅτι γε ἐν τούτοις οὐ Μωσῆς, ὡς ἂν ὑπολάβοι τις, ἀλλὰ γὰρ αὐτὸς ὁ κύριος ἕτερον κύριον τὸν πατέρα καλεῖ, προλαβὼν αὐτὸς ὁ χρηματίζων τῷ Μωσεῖ φησιν "ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματι κυρίου." 3. τοῦτο γοῦν εἰρηκότος ἑξῆς ἐπιλέγει ἡ γραφὴ διηγηματικῶς "καὶ κατέβη κύριος (244)

1 Ex. 33, 17. 8 Ex. 34, 5.

ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ ἐκάλεσεν ἐν ὀνόματι κυρίου." οὐκοῦν αὐτὸς ὁ κύριος τὴν ὑπόσχεσιν τὴν αὐτοῦ πληρώσων κάτεισι, καὶ ὥσπερ ὁ λόγος φησὶ, πρόεισι πρὸ προσώπου Μωσῆ. 4. καὶ αὐτὸς δὲ ὁ κύριος καλεῖ λέγων "κύριε ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων" καὶ τὰ ἑξῆς, σαφῶς ὁ κύριος τὸν θεράποντα ἑαυτόν τε ὅστις εἴη καὶ τὴν τοῦ κρείττονος κυρίου γνῶσιν μυσταγωγῶν. τοῦτο δέ σοι παραστήσει ἔνθα προσευχόμενος ὑπὲρ τοῦ λαοῦ τῶν προκειμένων τοῦ κυρίου μνημονεύει φωνῶν τὸν κύριον b ταῦτα εἰρηκέναι, ἀλλ' οὐκ αὐτὸν, ἐν οἷς φησι "καὶ νῦν ὑψωθήτω ἡ χείρ σου, κύριε, ὃν τρόπον εἶπας λέγων, κύριος μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν ἔνοχον, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως ἐπὶ τρίτην καὶ τετάρτην γενεάν." 5. ἐπιτήρει δὲ τίνα τρόπον ἐν τούτοις αὐτὸς ὁ κύριος τὸν πατέρα μακρόθυμον καὶ πολυέλεον ἐπειπὼν προστίθησι λέγων αὐτὸν καὶ c ἀληθινὸν, συμφώνως τῷ "ἵνα γιγνώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, ἐν εὐαγγελίοις ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ σωτῆρος ἡμῶν εἰρημένῳ." μόνον γοῦν ἀληθινὸν θεὸν σφόδρα εὐσεβῶς ἀποκαλεῖ τὸν πατέρα, τὸ προσῆκον ἀπονέμων σέβας τῇ ἀγεννήτῳ φύσει, ἧς αὐτὸν εἰκόνα εἶναι καὶ γέννημα οἱ θεῖοι λόγοι παιδεύουσιν.

---

20 Jo. 17, 3.

Ἀπὸ τῶν Ἀριθμῶν.

Ὡς τὸν θεὸν τῷ Ἰσραὴλ ὁρατὸν εἶναι ἡ θεία διδάσκει γραφὴ, τὸν τοῦ θεοῦ λόγον αἰνιττομένη.

XVIII. Ἐν τοῖς Ἀριθμοῖς ὁ Μωσῆς εὐχόμενός φησιν a "ὅτι σὺ εἶ κύριος ἐν τῷ λαῷ τούτῳ, ὅστις ὀφθαλμοῖς κατ' ὀφθαλμοὺς ὀπτάνῃ σὺ κύριε·" ἀνθ' οὗ ὁ μὲν Ἀκύλας ἐξέδωκεν "ὅτι σὺ εἶ κύριος ἐν ἐγκάτῳ τοῦ λαοῦ τούτου, ὃς ὀφθαλμὸν ἐν ὀφθαλμοῖς ὁρᾷ σὺ κύριε." ὁ δὲ Σύμμαχος "ὅτι σὺ εἶ κύριε." 2. καὶ ἐν (245) Ἐξόδῳ εἴρηται "καὶ ἀνέβη Μωσῆς καὶ Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων τοῦ Ἰσραὴλ, καὶ εἶδον τὸν τόπον ὅπου ἕστηκεν ὁ θεὸς Ἰσραήλ." ἀνθ' οὗ ὁ μὲν Ἀκύλας "καὶ εἶδον (φησὶ) τὸν θεὸν Ἰσραήλ," ὁ δὲ Σύμμαχος "καὶ εἶδον ὁράματι τὸν θεὸν Ἰσραήλ." 3. διὰ τὸ "θεὸν οὐδεὶς ἑώρακε πώποτε" τάχ' ἄν τις ἐναντίαν εἶναι τῷ σωτηριώδει λόγῳ τὴν παροῦσαν ὑπολάβοι λέξιν, ὡς ὁρατὸν ὑποτιθεμένην τὸν τὴν φύσιν ἀόρατον. ἀλλ' εἰ καὶ ταῦτα ἐπὶ τὸν λόγον τοῦ θεοῦ τὸν πολυμερῶς καὶ b πολυτρόπως ὀφθέντα τοῖς πατράσιν ἐκλάβοις ὁμοίως τοῖς προαποδειχθεῖσιν ἡμῖν, οὐκέτ' ἂν δόξοιο τοῖς ἐναντίοις περιπίπτειν. θεὸν Ἰσραὴλ ἐνταῦθα ὁρώμενον αὐτὸν ἐκεῖνον εἶναι διδάσκει, ὃν καὶ τῷ Ἰσραὴλ ὀφθέντα, ὅτε ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ, ὃς καὶ πρῶτος αὐτοῦ τὴν προσωνυμίαν ἐκ τοῦ Ἰακὼβ ἐπὶ τὸν Ἰσραὴλ μεταβέβληκεν εἰπὼν "ὅτι ἐνίσχυσας μετὰ θεοῦ" ὅτε καὶ τῆς θείας αὐτοῦ δυνάμεως αἴσθησιν c λαβὼν ὁ Ἰακὼβ ἐκάλεσε τὸν τόπον ἐκεῖνον εἶδος θεοῦ,

---

4 Num. 14, 14. 10 Ex. 24, 9. 15 Jo. 1, 18. 19 Heb. 1, 1.

εἰπὼν "εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή," οὐχ ἕτερον ὑπάρχειν τοῦ θεοῦ λόγου κατὰ τὸν οἰκεῖον καιρὸν παρεστήσαμεν.

[154] ## Ἀπὸ τοῦ Ἰησοῦ τοῦ Ναυῆ.

d Ὡς ὁ θεὸς λόγος, ὁ τῷ Μωσεῖ χρηματίζων, ὁμοίως τοῖς πάλαι προπάτορσιν ὤφθη καὶ Ἰησοῦ τῷ Μωσέως διαδόχῳ ἐν ἀνθρώπου σχήματι.

XIX. "*Καὶ ἐγενήθη ὡς ἦν Ἰησοῦς ἐν Ἰεριχῷ, καὶ ἀναβλέψας ὁρᾷ ἄνθρωπον ἑστηκότα κατέναντι αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. καὶ προσελθὼν ὁ Ἰησοῦς εἶπεν, ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; καὶ εἶπεν αὐτῷ, ἐγὼ ἀρχιστράτηγος δυνάμεως κυρίου νυνὶ παραγέγονα. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ εἶπεν αὐτῷ, δέσποτα* (246) *τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ λέγει ὁ ἀρχιστράτηγος κυρίου, Ἰησοῦ, λῦσαι τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας γῆ ἁγία ἐστίν.*"

2. *Αὐτὰ δὴ ταῦτα καὶ Μωσεῖ ἀρχομένῳ τῆς θεωρίας ἐπὶ τῆς βάτου πρὸς τοῦ κυρίου εἴρητο, ὡς δηλοῖ ἡ γραφὴ "ὡς δὲ εἶδε κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ μέσου τοῦ βάτου λέγων, Μωσῆ Μωσῆ, μὴ ἐγγίσῃς ὧδε· λῦσαι τὸ ὑπόδημα τῶν ποδῶν σου·* b *ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας ἐπ' αὐτοῦ γῆ ἁγία ἐστίν.*"

3. *Εἷς ἄρα καὶ ὁ αὐτὸς ἦν ὁ τοῖς ἀμφοτέροις χρηματίσας θεός, ὡς ἐκ τοῦ παραγγέλματος δείκνυται. ἀλλὰ νῦν μὲν διὰ τοῦ ἀρχιστρατήγου τῆς δυνάμεως αὐτοῦ, Μωσεῖ δὲ διὰ τοῦ ὀφθέντος ἀγγέλου θεσπίζει. στρατιῶν δὲ ὑπερουρανίων καὶ δυνάμεων ὑπερκο-*

8 Jos. 5, 13.   20 Ex. 3, 4.

σμίων καὶ πνευμάτων ἀοράτων, ἀγγέλων τε θείων καὶ ἀρχαγγέλων τῷ παμβασιλεῖ καὶ πανηγεμόνι θεῷ λειτουργούντων, κατὰ τὸ εἰρημένον παρὰ τῷ Δανιὴλ "χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυρι- c
άδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ," ὁ πάντων ἀνωτάτω τίς ἂν γένοιτο ἕτερος τοῦ θεοῦ λόγου καὶ τῆς πρωτοτόκου σοφίας τοῦ τε ἐνθέου γεννήματος; εἰκότως ἄρα καὶ ἀρχιστράτηγος δυνάμεως κυρίου ἐπὶ τοῦ παρόντος ἀνείρηται, ὡς καὶ μεγάλης βουλῆς ἄγγελος ἐν ἑτέροις, καὶ σύνθρονος τοῦ πατρὸς, αἰώνιός τε καὶ μέγας ἀρχιερεύς. 4. ἀποδέδεικται δὲ ὅτι καὶ κύριος καὶ θεὸς ὁ αὐτὸς, καὶ Χριστὸς ὑπὸ τοῦ πατρὸς ἐλαίῳ ἀγαλλιάσεως κεχρισμένος. τῷ μὲν οὖν Ἀβραὰμ d
παρὰ τῇ δρυῒ φανεὶς ἐν ἀνθρώπου εἴδει γαληνῷ καὶ εἰρηναίῳ σχήματι ἑαυτὸν ὑποδείκνυσι, τὴν σωτήριον εἰς ἀνθρώπους αὐτοῦ παρουσίαν ἐξ ἐκείνου προοιμιαζόμενος, τῷ δὲ Ἰακὼβ, ὡς ἀσκητῇ καὶ ἀγωνιστῇ παλαίειν πρὸς ἐχθροὺς καὶ ἀγωνίζεσθαι μέλλοντι, οἷα ἄνθρωπος, Μωσεῖ δὲ καὶ τῷ λαῷ ἐν εἴδει νεφέλης καὶ πυρὸς καθηγεῖτο, φοβερὸν ὁμοῦ καὶ ἐπεσκιασμένον παρέχων ἑαυτόν. 5. ἐπεὶ δὲ ὁ τοῦ Μωσέως διάδοχος Ἰησοῦς πολεμίοις ἔμελλε παρατάττεσθαι τοῖς τὸ πρὶν Παλαιστίνων γῆς οἰκήτορσιν, ἀλλοφύλοις ἔθνεσι καὶ ἀσεβεστάτοις, εἰκότως μετὰ ῥομφαίας ἐσπασμένης καὶ κατὰ τῶν πολεμίων ἠκονημένης ὑποφαίνεται, μονονουχὶ διὰ τῆς ὄψεως ἐπιδεικνὺς ὅτι δὴ αὐτὸς ἀοράτῳ ῥομφαίᾳ ἐνθέῳ δυνάμει τοὺς ἀσεβεῖς (247)
μετιέναι ἔμελλε, τοῖς οἰκείοις συστρατευόμενος καὶ συναγωνιζόμενος. διὸ κατὰ καιρὸν καὶ ἀρχιστράτηγον κυρίου ἑαυτὸν ἀνηγόρευσεν.

---

4 Dan. 7, 10.

Ἀπὸ τοῦ Ἰώβ.

Ὡς ὁμοίως τοῖς πατράσι καὶ τῷ Ἰὼβ αὐτὸς ὁ δημιουργὸς τῶν
b ὅλων θεὸς λόγος ἔχρησέ τε καὶ ὀφθαλμοῖς ἑωρᾶσθαι λέγεται.

XX. "Εἶπε δὲ κύριος τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν, ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; ἀπάγγειλον δή μοι εἰ ἐπίστασαι σύνεσιν, τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας." καὶ ἑξῆς "ὅτε ἐγενήθησαν, φησὶν, ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγε-
[155] λοί μου· ἔφραξα δὲ θάλασσαν πύλαις." 2. καὶ ἑξῆς
c "ἢ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν; ἑωσφόρος δὲ ἐπεῖδε τὴν ἑαυτοῦ τάξιν;" 3. καὶ πάλιν "ἢ σὺ λαβὼν γῆς πηλὸν ἔπλασας ζῷον καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ τῆς γῆς; ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονα δ' ὑπερηφάνων συνέτριψας; ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ Ἅιδου ἰδόντες σε ἔπτηξαν;" 4. καὶ ἐπὶ τέλει τοῦ παντὸς χρησμοῦ ἀποκρίνεται Ἰὼβ τῷ κυρίῳ λέ-
d γων "ἄκουσον δέ μου, κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον. ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νῦν δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε· διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην, ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν."

5. Ὅτι μὲν οὖν κυρίου τοῦ δημιουργοῦ τυγχάνουσιν αἱ προκείμεναι φωναὶ οὐκ ἐκ τῶν προτεθέντων μόνον, ἀλλὰ καὶ ἐκ τῶν σοι φαινομένων διαγνῶναι ῥᾴδιον· ὅτι δὲ τὸ "ἦλθες ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας" καὶ τὸ "ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ

---

4 Job. 38. 19 Job. 42, 4.

"Ἅιδου ἰδόντες σε ἔπτηξαν," τὴν εἰς Ἅιδου κάθοδον
τοῦ σωτῆρος ἡμῶν θεσπίζει κατὰ τὸν προσήκοντα και-
ρὸν ἀποδείξομεν, τοσοῦτον νῦν ἐπισημηνάμενοι, ὡς
μᾶλλον τῷ θεῷ λόγῳ ἤπερ τῷ θεῷ τῶν ὅλων τὰ κατὰ
τὸν τόπον ἀνατιθέναι προσήκει. 6. ὁ γοῦν Ἰὼβ ἑξῆς (248)
ὁμοίως τοῖς πατράσιν αὐτὸν δὴ τοῦτον τὸν ἐν ἀρχαῖς
διὰ λαίλαπος καὶ νεφῶν χρηματίζοντα αὐτῷ κύριον
αὐτοψίᾳ τεθεωρηκέναι μαρτυρεῖ λέγων "ἄκουσον δέ
μου, κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ
δέ με δίδαξον. ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρό-
τερον, νῦν δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε. διὸ ἐφαύ-
λισα ἐμαυτὸν, καὶ ἐτάκην, ἥγημαι δὲ ἐμαυτὸν γῆν
καὶ σποδόν." 7. πῶς δ' ἂν τὸν ἀνωτάτω θεὸν, τὸν
τῶν ὅλων ἐπέκεινα, τὴν ἄτρεπτον καὶ ἀγέννητον οὐ- b
σίαν, σάρκα περιβεβλημένη ψυχὴ καὶ ὀφθαλμοὶ θνη-
τῶν θεάσαιντο, εἰ μὴ ἄρα σαφῶς κἀνταῦθα ὑποβαί-
νοντα τοῦ οἰκείου μεγέθους τὸν θεὸν λόγον τὸν δια-
φόρως ἀποδεικνύμενον κύριον εἴποιμεν ἂν παρίστα-
σθαι, ὡς ἔστι καὶ ἐξ αὐτῶν τῶν χρησμῶν μαθεῖν, δι'
ὧν αὖθις ὁ κύριος πρὸς τὸν Ἰὼβ τὰ περὶ τοῦ διαβό-
λου ὡς περὶ δράκοντος διιὼν ἐπεχείρει "οὐ δέδοικας
ὅτι ἡτοίμασταί μοι;" 8. δράκοντα γὰρ ἡτοιμάσθαι
ποίῳ κυρίῳ προσήκει νομίζειν ἢ τῷ θεῷ λόγῳ καὶ
σωτῆρι ἡμῶν; ὃς τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου πά-
λαι πρότερον πολιορκοῦντα τὸ τῶν ἀνθρώπων γένος c
καθεῖλε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, ὃ καὶ αὐτὸς
παρίστησι φήσας "ἦλθες δ' ἐπὶ πηγὴν θαλάσσης, ἐν
δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας· ἀνοίγονται δέ σοι
φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ Ἅιδου ἰδόντες σε
ἔπτηξαν." 9. ταῦτα δὲ εἰκότως πρὸς τὸν Ἰὼβ χρημα-
τίζει μετὰ τὸν μέγαν πειρασμὸν, ὃν ὑπέμεινε, καὶ
ἀγῶνα, διδάσκων αὐτὸν ὅτι ὑπὲρ μέρους ἠγώνισται,

c τοῦ μείζονος καὶ κραταιοτέρου πολέμου καὶ ἀγῶνος αὐτῷ τῷ κυρίῳ πεφυλαγμένου κατὰ τὸν καιρὸν τῆς εἰς τὸν θάνατον αὐτοῦ παρουσίας.

Ἀπὸ τοῦ ϟ′ Ψαλμοῦ.

Ὡς δύο κυρίους καὶ ὁ προκείμενος οἶδε Ψαλμός.

XXI. "Ὅτι σὺ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. οὐ προσελεύσεται πρός σε κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, ἐπὶ χειρῶν (249) ἀροῦσί σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα."

2. Ταύταις ὁ διάβολος ἐν τῷ κατὰ τοῦ σωτῆρος [156] ἡμῶν πειρασμῷ κέχρηται ταῖς λέξεσιν. ὅρα δὴ οὖν τίνα τρόπον ὁ Ψαλμὸς πρὸς αὐτὸν τὸν κύριόν φησιν "ὅτι σὺ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. σὺ γὰρ αὐτὸς, φησὶν, ἡ ἐμὴ ἐλπὶς, ὦ κύριε, μείζονα σαυτοῦ τὸν θεὸν αὐτὸν τὸν ὕψιστον καὶ ἐπὶ πάντων καὶ σαυτοῦ πατέρα καταφυγὴν ἔθου· δι᾽ ὃν οὐ προσελεύσεται πρὸς σὲ κακὰ, πρὸς σὲ τὸν b ἐμὸν κύριον, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου." 3. κἂν γὰρ ἀσεβεῖς ἄνδρες ἐπιχειρήσωσι ἐνανθρωπήσαντά σε μαστίζειν κἂν τῷ θανάτῳ παραδιδόναι, ἀλλ᾽ οὔτι γε ἡ ἐκ θεοῦ μάστιξ τῷ σῷ προσεγγιεῖ σκηνώματι, τοῦτ᾽ ἔστι σώματι, ὃ δηλονότι δι᾽ ἡμᾶς ἐνανθρωπήσας περιβέβλησαι. τούτοις ἀκολούθως ἐφαρμόσεις αὐτῷ τὰ δι᾽ ὅλου τοῦ Ψαλμοῦ δηλούμενα, ἃ καὶ αὐτοὶ κατὰ τὸν οἰκεῖον καιρὸν ἐπιθεωρήσομεν.

6 Ps. 90, 9.

Ἀπὸ τοῦ Ὡσηέ.

Περὶ τοῦ θεοῦ λόγου καὶ τοῦ πατρὸς ὡς περὶ κυρίου. c

XXII. "Οὐ μὴ ἐγκαταλείψω τοῦ ἐξαλειφθῆναι τὸν Ἰακώβ, ὅτι θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν· ὀπίσω κυρίου πορεύσομαι."

Ταῦτα καὶ διὰ τούτων ὁ θεὸς λόγος ἐνανθρω- d πήσας πρὸς τοὺς ἄνθρωπον αὐτὸν ἅγιον, ἀλλ' οὐ θεὸν εἶναι ὁμολογοῦντας, θεὸς ἐγώ εἰμι, φησί, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος. 2. εἶτα θεὸν αὐτὸν εἰπὼν τὸν ἐπὶ πάντων κύριον καὶ θεὸν καὶ πατέρα αὐτοῦ δηλοῖ, ἐπιλέγων "ὀπίσω κυρίου πορεύσομαι." τὸ δὲ "οὐκ εἰσελεύσομαι εἰς πόλιν" ἀρνουμένου ἂν εἴη τὴν κοινὴν καὶ δημώδη ἀνθρώπων πολιτείαν, ἧς καὶ τοὺς ἰδίους μαθητὰς ἀποτρέπων φησὶν "εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε."

Ἀπὸ τοῦ Ἀμώς. (250)

Περὶ τοῦ σωτῆρος ἡμῶν ὡς περὶ κυρίου, καὶ τοῦ πατρὸς ὡς περὶ θεοῦ, καὶ τῆς τοῦ Ἰουδαίων ἔθνους καταστροφῆς.

XXIII. "Κατέστρεψα ὑμᾶς καθὼς κατέστρεψεν ὁ b θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός. καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με, λέγει κύριος."

Κἀνταῦθα αὐτὸς ὁ κύριος θεόν τινά φησι τὴν ἐπὶ Σοδόμων καταστροφὴν πεποιηκέναι, ἕτερος ὢν δηλαδὴ τοῦ πρὸς αὐτοῦ δηλουμένου. 2. καὶ ἐν τῇ ἐπὶ Σοδόμων δὲ καταστροφῇ δύο κύριοι παρίστανται,

---

3 Os. 11, 9. 15 Matth. 10, 5. 21 Amos. 4, 11.

ὅτε ἔβρεξεν ὁ κύριος πῦρ παρὰ κυρίου ἐπὶ Σόδομα
καὶ Γόμορρα. ὁποίαν τοιγαροῦν, φησί, διὰ τὰς ἐκτό-
c πους δυσσεβείας ὑπέμεινε καταστροφὴν τὰ Σόδομα,
τοιαῦτα καὶ ὑμεῖς, ὦ οὗτοι, πείσεσθε, καὶ οὐδ' οὕ-
τως ἐπεστρέψατε πρός με. σύνηθες δὲ τῇ γραφῇ τὸ
μέλλον ὡς παρεληλυθὸς δηλοῦν. ὥστε καὶ τὰ πα-
ρόντα ὁμοίως χρὴ νοεῖν, ἀντὶ μὲν τοῦ καταστρέψω
μέλλοντος τοῦ παρῳχημένου εἰρημένου τοῦ κατέ-
στρεψα, ἀντὶ δὲ τοῦ ἐπιστραφήσεσθε τοῦ ἐπεστρέ-
ψατε κειμένου. 3. ταῦτα δὲ πρὸς τὸ Ἰουδαίων ἔθνος
ἀποτείνεται, ἃ καὶ οὐδ' ἄλλοτε ἢ μετὰ τὴν κατὰ τοῦ
σωτῆρος ἡμῶν ἐπιβουλὴν εἰς αὐτοὺς ἐπληροῦτο. ὁ
d γοῦν ἱερὸς αὐτῶν καὶ τὸ πρὶν ἅγιος τόπος εἰς τοῦτο
νῦν περιῆλθεν, ὡς κατὰ μηδὲν τῆς Σοδόμων κατα-
στροφῆς ἀποδεῖν. πλὴν ὅμως καίπερ ἀκόλουθα τῇ
προρρήσει πεπονθότες, οὔπω καὶ εἰς δεῦρο τὴν πρὸς
τὸν Χριστὸν τοῦ θεοῦ, δι' ὃν ταῦτα πεπόνθασιν, ἐπι-
στροφὴν ἐποιήσαντο· ὡς εἰκότως καὶ τοῦτο διὰ τῆς
ἐν χερσὶ θεσπίζεσθαι προφητείας λεγούσης "καὶ οὐδ'
ὣς ἐπεστρέψατε πρός με, λέγει κύριος."

[157]
[251]

Ἀπὸ τοῦ Ἀβδιοῦ.

Περὶ τῶν δύο κυρίων, πατρὸς καὶ τῆς τῶν ἐθνῶν κλήσεως.

XXIV. "Ὅρασις Ἀβδιοῦ. τάδε λέγει κύριος τῇ Ἰδουμαίᾳ, ἀκοὴν ἤκουσα παρὰ κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλε. κύριος ὁ θεὸς ἀκοὴν ἤκουσε παρὰ κυρίου." καὶ αὕτη δὲ ἦν περὶ τῆς τῶν ἐθνῶν κλήσεως.

---

23 Obd. 1.

Ἀπὸ τοῦ Ζαχαρίου.

Ὡς ὁ θεὸς λόγος κύριος ὢν πρὸς τοῦ μείζονος ἀπεστάλθαι ὁμολογεῖ κυρίου.

XXV. "Τάδε λέγει κύριος παντοκράτωρ, ὀπίσω c δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς." εἶτ' ἐπιφέρει μετὰ βραχέα λέγων "καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με." εἰ καὶ ὁ ἀποστέλλων κύριός ἐστι παντοκράτωρ, καὶ ὁ ἀπεστάλθαι λέγων ὡσαύτως, δύο ἄρα. σαφῶς δὲ ὁ ἀπεσταλμένος κύριος παντοκράτωρ ἐπὶ τὰ ἔθνη, φησίν, ἀπέσταλκέ με.

XXVI. "Τέρπου καὶ εὐφραίνου θύγατερ Σιών, d διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος. καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν, καὶ κατασκηνώσω ἐν μέσῳ σου, καὶ γνώσῃ ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε" καὶ τὰ ἑξῆς. οἷς μεθ' ἕτερα ἐπιλέγει "καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καυχήσονται, λέγει κύριος."

2. Καὶ ταῦτα τοῖς προτέροις ὅμοια, τὴν τοῦ Χριστοῦ εἰς ἀνθρώπους παρουσίαν, καὶ τὴν γενομένην τῶν ἐθνῶν σωτήριον δι' αὐτοῦ κλῆσιν ἀναφωνοῦντα. (252) ἐγὼ μὲν οὖν αὐτὸς ὁ κύριος ἥξω, φησίν, ἐπὶ δὲ τῇ ἐμῇ παρουσίᾳ οὐκέθ' ὁ πάλαι Ἰσραήλ, ἀλλ' οὐδὲ ἓν μόνον ἐπὶ γῆς ἔθνος, ἔθνη δὲ πολλὰ καταφεύξονται ἐπὶ τὸν κρείττονα καὶ μέγαν κύριον, τὸν ἐμοῦ τε αὐτοῦ καὶ τῶν ὅλων θεόν, ἐφ' ὃν τὰ καταφεύγοντα ἔθνη τοσαύτης τεύξεται εὐεργεσίας, ὡς καὶ χρηματίσαι καὶ γενέσθαι λαὸν θεοῦ, κατοικῆσαί τε ἐν μέσῳ τῆς κα-

4 Zach. 2, 10.

λουμένης θυγατρὸς Σιών. οὕτω δὲ τὴν ἐπὶ γῆς ἐκ-
b κλησίαν τοῦ θεοῦ, ὥσπερ τινὰ θυγατέρα τυγχάνουσαν τῆς ἐπουρανίου, τοῖς ἱεροῖς γράμμασι ἀποκαλεῖν φίλον. 3. ταύτην δὲ καὶ εὐαγγελίζεται τὸ φάσκον λόγιον, χαῖρε καὶ εὐφραίνου θύγατερ Σιὼν, διότι ἰδοὺ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου. ἐν μέσῳ γὰρ τῆς ἐκκλησίας τὸν θεὸν λόγον κατασκηνοῦν πεπιστεύκαμεν· ὡς γοῦν καὶ ἐπήγγελται φήσας "ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος." 4. καὶ "ὅπου δύο ἢ τρεῖς συνη-
c γμένοι εἰσὶν εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν." ἐπειδὰν δὲ ἐγὼ, φησὶν, αὐτὸς ὁ κύριος ἐλθὼν κατασκηνώσω ἐν μέσῳ σου, μείζονα τότε γνῶσιν περὶ τοῦ θεοῦ τοῦ παντοκράτορος ἀναλήψῃ, ἐμοῦ τοῦ κυρίου τὴν αἰτίαν τῆς εἰς ἀνθρώπους ἀποστολῆς ἀνατιθέντος τῷ ἐξαποστείλαντί με πατρί. 5. γνώσῃ δὲ ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με πρός σε. καὶ ἑξῆς περὶ ἑτέρου κυρίου καὶ θεοῦ ὧδέ πως αὐτὸς ὁ κύριος ἐπιλέγει "καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καυχήσονται, λέγει
d κύριος." τίνες δὲ ἂν εἶεν οἱ ἐν τῷ κυρίῳ καυχώμενοι;

XXVII. "Καὶ ἔδειξέ μοι κύριος Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου. καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντι-
[158] κεῖσθαι αὐτῷ. καὶ εἶπε κύριος πρὸς τὸν διάβολον, ἐπιτιμήσαι κύριος ἐν σοὶ, διάβολε, καὶ ἐπιτιμήσαι
(253) κύριος ἐν σοὶ, ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ."

2. Πάλιν καὶ ἐνταῦθα ὁ κύριος ἕτερον κύριον ἐπιτιμήσειν τῷ διαβόλῳ φησὶν, οὐκ αὐτὸς ὁ προσδια-

---

8 Matth. 28, 20. 10 Matth. 18, 20. 23 Zach. 3, 1.

λεγόμενος κύριος ἐπιτιμῶν, ἀλλ' ἑτέρου μνημονεύων κυρίου. δι' ὧν ἡγοῦμαι σαφῶς παρίστασθαι τὴν περὶ τῶν δύο κυρίων, τοῦ πατρὸς καὶ θεοῦ τῶν ὅλων καὶ τοῦ μετὰ τὸν πατέρα τὴν κατὰ πάντων τῶν γεννητῶν κυρείαν καὶ δεσποτείαν διειληφότος, ἀπόδειξιν.

Ἀπὸ τοῦ Μαλαχίου. b

Ὡς ἄγγελον διαθήκης τὸν Χριστόν, τὸν αὐτὸν δὲ καὶ κύριον ὁ παντοκράτωρ θεὸς ἀποκαλεῖ.

XXVIII. *"Ἰδοὺ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. ἰδοὺ ἔρχε-* c
ται, λέγει κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ;"

2. *Ὅμοια καὶ ταῦτα τοῖς προτέροις. κύριος γὰρ αὐτὸς ὁ θεὸς ὁ παντοκράτωρ ἥξειν φησὶν εἰς τὸν ναὸν αὐτοῦ κύριον, περὶ ἑτέρου λέγων· δηλοῖ δὲ ἄρα τὸν θεὸν λόγον. μετὰ τοῦτο δὲ καὶ ἄγγελον τῆς διαθήκης ὀνομάζει, ὃν καὶ αὐτὸς ὁ παντοκράτωρ κύριος ἐξαποστέλλειν ἑαυτοῦ πρὸ προσώπου διδάσκει λέγων "ἰδοὺ ἐγὼ ἐξαποστέλλω ἄγγελόν μου πρὸ προσώπου μου."* 3. *τὸν αὐτὸν δὲ τοῦτον, ὃν ἄγγελόν μου ἀπεκάλεσε, πάλιν ἑξῆς κύριον ὀνομάζει "καὶ ἐξαίφνης* d
ἥξει κύριος, ἐπιλέγων, καὶ ὁ ἄγγελος τῆς διαθήκης." ἕνα δὲ καὶ τὸν αὐτὸν προειπὼν ἐπιφέρει "ἰδοὺ ἔρχεται, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ;" τὴν δευτέραν καὶ ἔνδοξον παρουσίαν αὐτοῦ σημαίνων. ὁ ταῦτα δὲ πάντα θεσπίζων κύριός ἐστι παντοκράτωρ ὁ τῶν ὅλων θεός.

---

9 Mal. 3, 1.

(254) XXIX. "*Καὶ ἀνατελεῖ τοῖς φοβουμένοις τὸ ὄνομά
μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἔσται ἐν ταῖς πτέ-
ρυξιν αὐτοῦ.*"

*Ὁ πολλάκις ὀνομασθεὶς κύριος καὶ θεὸς καὶ ἄγ-
γελος καὶ ἀρχιστράτηγος, Χριστός τε καὶ ἱερεὺς, καὶ
λόγος καὶ σοφία θεοῦ καὶ εἰκὼν νῦν αὐτὸς οὗτος
b ἥλιος κέκληται δικαιοσύνης. τοῦτον δὴ οὖν αὐτὸν ὁ
γεννήσας πατὴρ οὐ τοῖς πᾶσιν, ἀλλὰ μόνοις τοῖς τὸ
ὄνομα αὐτοῦ φοβουμένοις ἀνατελεῖν ἐπαγγέλλεται,
γέρας αὐτοῖς τοῦ εἰς αὐτὸν φόβου διδοὺς τὸ φῶς τοῦ
τῆς δικαιοσύνης ἡλίου. εἴη δ' ἂν οὗτος ὁ θεὸς λόγος,
ὁ εἰπὼν "ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὅπερ ἦν φῶς
τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κό-
σμον."* 2. *τοῦτον δὴ οὖν, ἀλλ' οὐ τὸν αἰσθητὸν, οὐδὲ
τὸν προφανῆ τοῖς πᾶσι λογικοῖς τε καὶ ἀλόγοις ἥλιον,
c ἀλλὰ τὸν ἔνθεον καὶ νοερὸν καὶ πάσης ἀρετῆς καὶ
δικαιοσύνης αἴτιον, μόνοις τοῖς φοβουμένοις αὐτὸν
ἀνατελεῖν ἐπὶ τοῦ παρόντος ὁ θεός φησιν, ἀποκρύ-
πτων αὐτὸν τῶν ἀναξίων. περὶ ὧν ἀλλαχόθι που λέ-
γει "καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας τοὺς πλα-
νῶντας τὸν λαόν μου."*

Ἀπὸ τοῦ Ἱερεμίου.

d *Ὡς ὁ θεὸς λόγος κύριος ὢν κυρίῳ τῷ πατρὶ εὐχὴν ἀναπέμπει,
τὴν τῶν ἐθνῶν ἐπιστροφὴν θεσπίζων.*

XXX. "*Κύριε ἡ ἰσχύς μου καὶ βοήθειά μου καὶ
καταφυγή μου ἐν ἡμέρᾳ θλίψεως, πρὸς σὲ ἔθνη ἥξου-
σιν ἀπ' ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν ὡς ψευδῆ*

---

1 Mal. 4, 2. 12 Jo. 8, 12. 1, 9. 20 Mic. 3, 5. 6.
25 Jer. 16, 19.

ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέλεια. εἰ ποιήσει αὐτῷ ἄνθρωπος θεούς, καὶ οὗτοι οὐκ εἰσὶ θεοί, διὰ τοῦτο ἰδοὺ ἐγὼ δηλώσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν χεῖρά μου, καὶ γνωριῶ (255)
αὐτοῖς τὴν δύναμίν μου, καὶ γνώσονται ὅτι ἐγὼ κύ- [159]
ριος.”

2. *Κύριος ἑτέρῳ εὔχεται κυρίῳ, τῷ πατρὶ δηλαδὴ καὶ θεῷ τῶν ὅλων, ἐν οἷς ἀρχόμενός φησι “κύριε ἰσχύς μου” καὶ τὰ ἑξῆς. σαφῶς δὲ τὴν τῶν ἐθνῶν ἐκ τῆς πολυπλανοῦς εἰδωλολατρίας ἐπὶ τὴν εἰς τὸν θεὸν εὐσέβειαν μεταβολὴν θεσπίζει. καὶ αὕτη δὲ ἡ προφητεία μετὰ τὴν εἰς ἀνθρώπους τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν ἐναργέστατα δείκνυται πεπληρωμένη.*

3. *Ἀλλὰ γὰρ δι᾽ ὅλων τριάκοντα προφητικῶν κεφαλαίων δεύτερον θεὸν μετὰ τὸν ἀνωτάτω καὶ ἐπὶ πᾶσι τὸν σωτῆρα καὶ κύριον ἡμῶν τὸν τοῦ θεοῦ λό-* b
γον εἶναι μεμαθηκότες ἐφ᾽ ἑτέραν τῆς κατὰ αὐτὸν οἰκονομίας ὑπόθεσιν μεταβησόμεθα, αὐτὸν δὴ τοῦτον θεὸν εἰς ἀνθρώπους ἐλεύσεσθαι δεῖν ἐκ τῶν αὐτῶν παρὰ Ἑβραίοις ἱερῶν βίβλων συστήσοντες.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

I. *Σαφῶς ἐν τῷ πέμπτῳ συγγράμματι τῆς Εὐαγ-* (257)
γελικῆς Ἀποδείξεως ὡρισμένου τοῦ περὶ πατρὸς καὶ υἱοῦ λόγου, καὶ θεοῦ μὲν ἑνὸς τοῦ ἐπὶ πάντων ὡμολογημένου, δευτέρας δὲ μετ᾽ αὐτὸν ἀποδειχθείσης οὐσίας ἡγουμένης τῶν γεννητῶν ἁπάντων, ἣν σοφίαν

b θεοῦ πρωτότοκον, μονογενῆ τε υἱὸν, καὶ θεὸν ἐκ θεοῦ, μεγάλης τε βουλῆς ἄγγελον, καὶ τῶν κατ᾽ οὐρανὸν στρατιῶν ἄρχοντα, καὶ τοῦ πατρὸς ὑπουργὸν, ναὶ μὴν καὶ κύριον τῶν ὅλων, καὶ θεοῦ λόγον καὶ θεοῦ δύναμιν, οἱ θεῖοι προηγόρευον λόγοι, εἰ φανεῖεν [160] ἐπὶ τοῦ παρόντος αἱ προφητικαὶ μαρτυρίαι θεὸν εἰς ἀνθρώπους ἀφίξεσθαι μέλλοντα προαναφωνοῦσαι, παντί τῳ δῆλον ἐπὶ τίνα χρὴ τὴν ἀναφορὰν τοῦ σημαινομένου ποιεῖσθαι, ὅτε μάλιστα διὰ τῶν πρόσθεν ἐν ἀνθρώπου μορφῇ καὶ σχήματι τοῖς ἀμφὶ τὸν Ἀβραὰμ c θεοφιλέσιν ὁ θεὸς λόγος ἐπ᾽ ὀνόματος κυρίου καὶ θεοῦ πέφηνε τὰς εἰς ἀνθρώπους ὀπτασίας πεποιημένος. 2. φέρε οὖν ἴδωμεν ὅπως ποτὲ μὲν κύριον, ποτὲ δὲ θεὸν καταβήσεσθαι εἰς ἀνθρώπους καὶ πάλιν ἀναβήσεσθαι ἐναργῶς οὕτως προαναφωνεῖ τὰ παρ᾽ Ἑβραίοις λόγια, καὶ τάς γε αἰτίας τῆς καθόδου· σημειώσῃ δ᾽ ὡς τινὰ μὲν εἴρηται δι᾽ αἰνιγμάτων, τινὰ δὲ φανερώτερον. 3. τὰ μὲν οὖν δι᾽ ἐπικρύψεως ἡγοῦμαι τῶν ἐκ περιτομῆς ἕνεκα κεκαλυμμένως ἀποδεd δόσθαι, διὰ τὰ θεσπιζόμενα κατ᾽ αὐτῶν σκυθρωπά· δι᾽ ἅπερ εἰκὸς ἦν καὶ ἀφανίσαι αὐτοὺς τὴν γραφὴν, εἰ ἐκ τοῦ προφανοῦς τὴν ἐσχάτην αὐτῶν ἀποβολὴν ἐσήμαινεν· οὕτως γοῦν καὶ τοῖς προφήταις αὐτοῖς ἐπιβουλεῦσαι αὐτοὺς κατέχει λόγος, δι᾽ οὓς ἐποιοῦντο κατ᾽ αὐτῶν ἐλέγχους. 4. αἱ δὲ σαφεῖς προφητεῖαι τὴν τῶν ἐθνῶν κλῆσιν λευκότατα περιέχουσι, τῶν κατ᾽ εὐσέβειαν ἀγαθῶν τὰς ἐπαγγελίας οὐ τῷ Ἰουδαίων ἔθνει, πᾶσι δὲ ἀνθρώποις τοῖς καθ᾽ ὅλης τῆς οἰκουμένης καταγγέλλουσαι. ὧν οὕτως ἐχόντων καιρὸς ἤδη καὶ τῶν θείων ἐπακοῦσαι λογίων.

Ἀπὸ Ψαλμοῦ ιζ΄. (258)

Θεοῦ εἰς ἀνθρώπους ἀφίξεως δήλωσις καὶ ἐπὶ ταύτῃ κλῆσις ἐθνῶν.

1. "*Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνό-
φος ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ ἐπέβη ἐπὶ Χερουβὶμ,
καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων, καὶ* b
*ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ
αὐτοῦ.*"

2. *Ἡγοῦμαι διὰ τούτων ἄντικρυς θεοῦ κάθοδον
οὐρανόθεν παρίστασθαι· προειπὼν γὰρ πολλὰς θεο-
λογίας ἐπιλέγει τὰ ἐκκείμενα. τῷ δὲ λέγειν κλίνειν
αὐτὸν οὐρανοὺς καὶ κατεληλυθέναι σημαίνει τὴν ὑπο-
στολὴν τῆς ἐνθέου δόξης, ἣν ὁ θεῖος ἀπόστολος παρι-
στὰς ἔλεγεν "ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπα-
γμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' αὐτὸν ἐκένωσε,
μορφὴν δούλου λαβών." καὶ τὸ "ἐπέβη δὲ ἐπὶ Χε-
ρουβὶμ καὶ ἐπετάσθη" αἰνίττεσθαί μοι δοκεῖ τὴν ἐπὶ* c
*τὴν τοῦ θεοῦ δόξαν ἀποκατάστασιν, ἣν πεποίηται
ἀγγελικαῖς καὶ θείαις δυνάμεσι δορυφορούμενος. ὃ
καὶ αὐτὸ δηλοῦσθαί μοι δοκεῖ διὰ τοῦ "ἐπετάσθη ἐπὶ
πτερύγων ἀνέμων."* 3. *τὸ δὲ σκότος τεθεῖσθαι τὴν
ἀποκρυφὴν αὐτοῦ καὶ γνόφον ὑπὸ τοὺς πόδας αὐτοῦ
λέγεσθαι παραστατικὸν ἂν εἴη τῆς κρυφίου καὶ ἀποῤ-
ῥήτου οἰκονομίας, καθ' ἣν ταῦτα πάντα αὐτῷ ἐτε-
λεῖτο. κύκλῳ δὲ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ τίνα λέγεσθαι
προσήκει νοεῖν ἢ τὴν ἁγίαν αὐτοῦ καὶ καθολικὴν
ἐκκλησίαν, εἴτε τὴν ἐπὶ τῆς γῆς εἴτε τὴν ἐν οὐρα-
νοῖς;* 4. *ἑξῆς δὲ κατὰ τὸν αὐτὸν Ψαλμὸν τελευτῶν ὁ* d
λόγος ὁμοῦ τὴν παραίτησιν τοῦ προτέρου λαοῦ καὶ

4 Ps. 17, 9. 14 Phil. 2, 6.

τὴν κλῆσιν τῶν ἐθνῶν προθεσπίζει δι' ὧν φησι "ῥῦσαί με ἐξ ἀντιλογιῶν λαοῦ, καταστήσεις με εἰς κεφαλὰς ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι, υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν."

Ταῦτα δὲ ὁποίας διανοίας ἔχεται κατὰ τὸν προσήκοντα καιρὸν ἐξετασθήσεται.

(259) Ψαλμοῦ μϛ'.

II. "Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε
b τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι κύριος ὕψιστος,
[161] φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. ψάλατε τῷ θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε, ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεὸς, ψάλατε συνετῶς· ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη. ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. ἄρχοντες λαῶν συνήχθησαν
c μετὰ τοῦ θεοῦ Ἀβραὰμ, ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν."

2. Καὶ τί ἕτερον βούλεται σημαίνειν ἡ διὰ τούτων δηλουμένη κυρίου τοῦ θεοῦ ἄνοδος ἢ τὴν πρὸ τῆς ἀνόδου κάθοδον αὐτοῦ, ἐφ' ᾗ πάλιν ἡ τῶν ἐθνῶν ἁπάντων κλῆσις θεσπίζεται, χαρᾶς τε καὶ εὐφροσύνης σημεῖα ἐπὶ τῇ μελλούσῃ θεογνωσίᾳ τοῖς ἔθνεσιν ἅπασιν εὐαγγελίζεται, ὅτε κύριος αὐτὸς ὁ ὕψιστος μόνος θεὸς καὶ βασιλεὺς ἁπάσης τῆς γῆς ὁμολογηθεὶς ὑποτάξειν λαοὺς ἡμῖν λέλεκται; 3. ἡμῖν δὲ τίσιν; ἢ

δηλαδὴ τοῖς ταῦτα προφητεύουσιν· ὃ καὶ ἔστιν ἐναργῶς ἰδεῖν πεπληρωμένον, ὅτε πάντα τὰ εἰς Χριστὸν d πεπιστευκότα ἔθνη τοῖς λόγοις τῶν προφητῶν ὑποτέτακται. λέγοιτο δ' ἂν ταῦτα καὶ ἐκ προσώπου τῶν ἀποστόλων τοῦ σωτῆρος ἡμῶν, οἳ καὶ εἴποιεν ἂν τὸ "ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ." 4. κληρονομίαν δὲ αὐτοῦ τίνα χρὴ νοεῖν ἢ τὴν κλῆσιν τῶν ἐθνῶν ἁπάντων, ἣν αὐτὸς ὁ Χριστὸς τοῦ θεοῦ παριστὰς ἔφησε "κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς." 5. ταύτην οὖν τὴν ὑπὸ τοῦ πατρὸς δεδομένην αὐτῷ κληρονομίαν ὑπέταξε τοῖς ἀποστόλοις αὐτοῦ καὶ προφήταις, τῷ τοὺς εἰς αὐτὸν (260) πεπιστευκότας τοῖς τούτων ὑποτετάχθαι λόγοις ἀκολούθως τοῖς προκειμένοις θεσπίσμασι. καὶ ταῦτα δὲ πάντα κατορθώσας ἐπὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ παρουσίας ὁ θεὸς λόγος, περὶ οὗ πλεῖστα ἡμῖν διείληπται, "ἀνέβη ἐν ἀλαλαγμῷ." 6. τοῦτο δὲ ἑρμηνεύων ὁ ἀπόστολός φησι "τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτατα τῆς γῆς; ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν." ἐν ἀλαλαγμῷ δὲ αὐτόν φησιν ἀνεληλυθέναι διὰ τὴν εἰς αὐτὸν θεολογίαν τῶν δορυφορούντων αὐ- b τὸν ἀνιόντα ἀγγέλων, οἳ καὶ ἔλεγον "ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης." φωνὴν δὲ σάλπιγγος οὐκ ἂν σφαλείης τὸ κήρυγμα εἰπὼν τὸ εὐαγγελικὸν εἰς πᾶσαν ἐξηχῆσαν τὴν οἰκουμένην. 7. παντὸς γὰρ ὀργάνου μουσικοῦ μεγαλοφωνοτέρας οὔσης

9 Ps. 2, 7. 20 Eph. 4, 9. 25 Ps. 23, 7.

*τῆς σάλπιγγος, οἰκείως παρείληπται τὸ παράδειγμα
εἰς παράστασιν τοῦ πάντων τῶν ἐξ αἰῶνος κραταιο-
c τέραν καὶ μεγαλοφωνοτέραν τὴν περὶ τοῦ Χριστοῦ
πᾶσιν ἀνθρώποις κατηγγέλθαι διδασκαλίαν, δι' ἧς
ὥσπερ διὰ σάλπιγγος εἰς ἐξάκουστον πάντων τῶν
ἀνθρώπων βοᾷ καὶ κέκραγε τὸ πνεῦμα τὸ ἅγιον τὰ
ἑξῆς τοῦ Ψαλμοῦ, δι' ὧν εἴρηται "ψάλατε τῷ θεῷ
ἡμῶν, ψάλατε ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε."
ὅτι βασιλεὺς οὐκέτι μόνου τοῦ Ἰουδαίων ἔθνους, ἀλλὰ
πάσης φησὶ τῆς γῆς ὁ θεὸς, ψάλατε συνετῶς. 8. οὐκ-
έτι γὰρ οἱ πρὶν δαίμονες, φησὶ, οὐδὲ τὰ περίγεια
καὶ ἀπατηλὰ πνεύματα, ἀλλ' αὐτὸς ὁ θεὸς ἐβασίλευ-
σεν ἐπὶ πάντα τὰ ἔθνη, ὁ θεὸς αὐτὸς, ὃς κάθηται ἐπὶ
d θρόνου ἁγίου αὐτοῦ. ἤδη δὲ πρότερον τοῦ θεοῦ λό-
γου τὸν θρόνον, ἐφ' ὃν καθέξεσθαι ὁ πατὴρ αὐτῷ
παρεκελεύσατο εἰπὼν "κάθου ἐκ δεξιῶν μου, ἕως ἂν
θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου,"
[162] διὰ τοῦ πρὸ τούτου συγγράμματος παρεστήσαμεν. 9.
τὸ δὲ "ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ
Ἀβραάμ" ἔτι σαφέστερον δηλοῖ μετατεθεῖσθαι εἰς τὸν
κλῆρον τῶν πάλαι θεοφιλῶν τοῦ θεοῦ προφητῶν τοὺς
ἐξ ἐθνῶν ἄρχοντας τῆς Χριστοῦ ἐκκλησίας, οἳ καὶ
τῇ δυνάμει τοῦ σωτῆρος ἡμῶν κραταιωθέντες σφό-
δρα ἐπήρθησαν, οὐδενὸς ἀνθρώπων καταβαλεῖν αὐ-
τοὺς καὶ ταπεινῶσαι δεδυνημένου διὰ τὴν ἀνυψοῦ-
σαν αὐτοὺς καὶ δυναμοῦσαν τοῦ θεοῦ δεξιάν. καὶ
(261) ταῦτα δὲ ἐπὶ σχολῆς ἐντελοῦς τεύξεται διηγήσεως.*

Ἀπὸ Ψαλμοῦ μθ'.

III. *"Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν
γῆν ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν· ἐκ Σιὼν*

ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται." καὶ μεθ' ἕτερα "ἄκουσον (φησὶ) λαός μου, καὶ λαλήσω σοὶ, Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι. ὁ θεὸς ὁ θεός σου εἰμὶ ἐγώ. οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε. τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου εἰσὶ διὰ παντός. οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ c τῶν ποιμνίων σου χιμάρους, ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες. ἔγνωκα πάντα τὰ πετηνὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστίν. ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως."

3. *Κἀνταῦθα* ἡ θεία πρόρρησις σαφῶς θεὸν ἐμφανῶς ἥξειν θεσπίζει, οὐκ ἄλλον ἢ τὸν τοῦ θεοῦ λόγον δηλοῦσα. καὶ τὸ αἴτιον δὲ τῆς παρουσίας αὐτοῦ σαφέστατα παρίστησιν, αὖθις τὴν κλῆσιν σημαίνουσα τῶν d καθ' ὅλης τῆς οἰκουμένης ἐθνῶν. "ἐκάλεσε" γοῦν φησι "τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν." σφόδρα δὲ ἀκολούθως μετὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ μετὰ τὴν κλῆσιν τῶν ἐθνῶν τὴν παραίτησιν τῆς κατὰ τὸν Μωσέως νόμον σωματικωτέρας λατρείας διδάσκει, ἣ καὶ αὐτὴ τέλους ἔτυχε μετὰ τὴν τοῦ θεοῦ λόγου εἰς πάντας ἀνθρώπους ἐπιφάνειαν. 4. ἐξ ἐκείνου γάρ τοι καὶ εἰς δεῦρο κέκληνται μὲν πάντες οἱ ἐπὶ πάσης τῆς οἰκουμένης ἄνθρωποι, καὶ πάντα τὰ ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν ἔθνη. πέπαυται δὲ καὶ καθῄρηται ἡ κατὰ Ἰουδαίους θρησκεία, κατὰ τὴν καινὴν διαθήκην τοῦ εὐαγγελικοῦ κηρύγ- (262)

ματος, ἀλλ' οὐ κατὰ τὸν Μωσέως νόμον, πάντων ἀνθρώπων εὐσεβεῖν παρηγγελμένων. ταῦτα δὲ καὶ ἐπὶ τὴν δευτέραν καὶ ἔνδοξον ἐπιφάνειαν τοῦ σωτῆρος ἀναφέροιτο ἄν.

Ἀπὸ Ψαλμοῦ πγ'.

b IV. "Ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν Σιών. κύριε ὁ θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ θεὸς Ἰακώβ· ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεὸς, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου."

2. Τὸν θεὸν τῶν θεῶν ὀφθήσεσθαι προειπὼν
c εὔχεται τὴν ἐπιφάνειαν αὐτοῦ ᾗ τάχος ἐπιστῆναι, καθ'
[163] ὃν ὀφθήσεται τρόπον διδάσκων διὰ τοῦ "ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου·" ὡσεὶ σαφέστερον εἰρήκει, διὰ τοῦ προσώπου τοῦ Χριστοῦ σου ἐπιφάνηθι. ἐπεὶ γὰρ ὁ ἑωρακὼς τὸν υἱὸν ἑώρακε τὸν πατέρα τὸν πέμψαντα αὐτὸν, εἰκότως διὰ τοῦ προσώπου τοῦ Χριστοῦ ἐπιφανήσεσθαι τὸν ἐν τῷ Χριστῷ κατοικοῦντα θεὸν τῶν θεῶν ἐπαγγέλλει.

Ἀπὸ Ψαλμοῦ ϟε'.

d V. "Ἄισατε τῷ κυρίῳ ᾆσμα καινὸν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. ᾄσατε τῷ κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ. εὐαγγελίσασθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ, ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν

6 Ps. 83, 7. 13 Jo. 14, 8.

ἐπὶ πάντας τοὺς θεούς." 2. καὶ πάλιν "ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν." καὶ πάλιν "εἴπατε ἐν τοῖς ἔθνεσιν, ὁ κύριος ἐβασίλευσε." 3. καὶ ἐπὶ πᾶσιν ἐπιλέγει "τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ."

4. Κἀνταῦθα πάλιν ἐρχόμενος εἰς ἀνθρώπους κύριος προφητεύεται, καινόν τε ᾆσμα ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ ᾄσεσθαι, τὴν καινὴν δηλονότι διαθήκην, b
οὐ τὸ Ἰουδαίων ἔθνος, ἀλλὰ πᾶσαν τὴν γῆν· εὐαγγελισθήσεσθαί τε οὐκέτι τὸν Ἰσραὴλ, ἀλλὰ πάντα τὰ ἔθνη, ἐπειδήπερ αὐτῶν ἔσεσθαί φησι βασιλέα τὸν ἐρχόμενον κύριον. 5. τίς δ' ἂν εἴη οὗτος ἢ ὁ θεὸς λόγος; ὃς μέλλων δικαιοσύνῃ τὴν οἰκουμένην καὶ ἀληθείᾳ τὴν ἀνθρωπότητα κρίνειν, ἐξ ἴσης ἅπαντας τοὺς ἐπὶ τῆς οἰκουμένης ἀνθρώπους τῆς αὐτοῦ κλήσεως καὶ τῆς ἐπὶ ταύτῃ παρὰ τῷ θεῷ σωτηρίας κατηξίωσεν.

Ἀπὸ Ψαλμοῦ ϟζ'. c

VI. "Ἄισατε τῷ κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησε." καὶ τὰ ἑξῆς "ἐγνώρισε κύριος τὸ σωτήριον d
αὐτοῦ, ἐναντίον πάντων τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ." καὶ πάλιν "εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν. ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ." καὶ ἐπὶ πᾶσι "τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐθύτητι."

2. Πολλῶν ἀγαθῶν αἰτία καὶ διὰ τούτων ἡ τοῦ κυρίου παρουσία τοῖς ἔθνεσι γεγενῆσθαι προφητεύ-

εται, ἃ καὶ διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν ἐπὶ πέρας ἀχθέντα δείκνυται. ἐξ ἐκείνου γάρ τοι καὶ οὐ πρότερον τὸ καινὸν ᾆσμα τῆς καινῆς διαθήκης εἰς πάντας ἀνθρώπους ᾄδεται, καὶ τὰ θαυμάσια αὐτοῦ διὰ τῆς τῶν εὐαγγελίων γραφῆς γνώριμα καὶ ἐξά-
(264) κουστα τοῖς πᾶσι γίνεται. οὐ μὴν ἀλλὰ καὶ τὸ σωτήριον, τὸ κατὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ, πᾶσιν ἀπεκαλύφθη τοῖς ἔθνεσι, καὶ ἡ ἀληθὴς δικαιοσύνη, δι' ἧς ἐναργῶς ἀπεδείχθη ὅτι μὴ Ἰουδαίων ὁ θεὸς μόνον, ἀλλὰ καὶ ἐθνῶν. 3. "ἐπείπερ εἷς ὁ θεός" κατὰ τὸν ἱερὸν ἀπόστολον "ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως." τὸ δὲ "ὅτι ἔρχεται κρῖναι τὴν γῆν" γένοιτ' ἂν δηλωτικὸν καὶ τῆς δευτέρας αὐτοῦ παρουσίας.

[161] ## Ἀπὸ Ψαλμοῦ ρϛ'.

VII. "Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. ὅτι συνέτριψε πύλας χαλκᾶς καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν, ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν. διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν, πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν· καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου, καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς· ἀπέστειλε τὸν λόγον
d αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν." 2. καὶ μεθ' ἕτερα "ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. ἔθετο ποταμοὺς εἰς

10 Rom. 3, 30. 16 Ps. 106, 8.

ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψος, γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. ἔθετο τὴν ἔρημον εἰς λίμνας ὑδάτων καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας."

3. Καὶ ταῦτα σαφῶς ὀνομαστὶ τὴν τοῦ θεοῦ λόγου ἐξ οὐρανῶν κάθοδον εὐαγγελίζεται, τά τε τῆς παρουσίας αὐτοῦ κατορθώματα. "ἀπέστειλε" γοῦν φησὶ "τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς." λόγον δὲ θεοῦ ἡμεῖς σαφῶς τοῦτόν φαμεν τὸν πρὸς τοῦ πατρὸς ἀποσταλέντα πᾶσιν ἀνθρώποις σωτῆρα, ὃν καὶ διὰ τῶν ἱερῶν εὐαγγελίων θεολογεῖν πεπαιδεύμεθα. 4. (265) αἰνίττεται δὲ καὶ τὴν μέχρι θανάτου κάθοδον αὐτοῦ διὰ τοὺς ἐφθακότας εἰς τοῦτον γεγεννημένην, καὶ τήν γε αἰτίαν τῆς ἀφίξεως αὐτοῦ παρίστησι, τὴν ἀπολύτρωσιν ἐμφαίνων τῶν δι' αὐτοῦ σωθησομένων. τοὺς γὰρ ἐφθακότας ἕως τῶν πυλῶν τοῦ θανάτου ἔσωσε μόνος αὐτός· τούτους δὲ καὶ ἐρρύσατο ἰασάμενος ἐκ τῶν διαφθορῶν αὐτῶν· καὶ διεπράξατό γε ταῦτα οὐκ ἄλλως ἢ τοῦ θανάτου τὰς λεγομένας πύλας χαλκᾶς συντρίψας καὶ τοὺς σιδηροῦς μοχλοὺς συγκλάσας. b
5. καὶ δὴ μετὰ ταῦτα ἀκολούθως προφητεύει τὴν εἰς ἔρημον κατάστασιν τῶν μὴ ἐλθόντα παραδεξαμένων αὐτόν. "ἔθετο γὰρ (φησὶ) ποταμοὺς εἰς ἔρημον καὶ διεξόδους ὑδάτων εἰς δίψος, γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ." ἃ καὶ νοήσεις ἀναδραμὼν τοῦ Ἰουδαίων ἔθνους ἐπὶ τὴν πάλαι βοωμένην Ἱερουσαλήμ, καὶ τὴν δόξαν αὐτῆς, καὶ τὴν ἐν θεῷ καρποφορίαν, τῶν ἐν αὐτῇ πολιτευομένων ἁγίων καὶ θεοφιλῶν ἀνδρῶν ἐπὶ τοῦ παρόντος ἐστερημένην. 6. μετὰ γὰρ τὴν τοῦ Χριστοῦ παρουσίαν γέγονεν ἀληθῶς ἄκαρπος καὶ ἄνυδρος καὶ c

παντελῶς ἔρημος, καὶ ὥς φησιν ἡ προφητεία "εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων αὐτήν." τούτοις ἐπισυνάπτει σφόδρα ἀκολούθως προφητικῷ τρόπῳ αἰνιττόμενος τῆς πάλαι ἐρήμου καὶ διψάδος, ἤτοι πάσης ἀνθρώπου ψυχῆς, ἢ τῆς ἐξ ἐθνῶν ἐκκλησίας τὴν εἰς εὐσέβειαν μεταβολήν, τήν τε ἐν θείοις λόγοις καρποφορίαν. 7. ἃ καὶ προδήλως αἰνίττεται λέγων "ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων" καὶ τὰ ἑξῆς· ἅπερ νοῆσαι μόνου τοῦ παρὰ θεῷ γένοιτ' ἂν σοφοῦ, κατὰ τὴν ἐπὶ τέλει τοῦ Ψαλμοῦ φήσασαν ἐπαγωγὴν "τίς
d σοφὸς, καὶ φυλάξει ταῦτα;" καὶ τὰ ἑξῆς.

Ἀπὸ Ψαλμοῦ ριζ'.

VIII. "Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, καὶ
(266) ἐπαινεσάτωσαν αὐτὸν πάντες οἱ λαοὶ, ὅτι ἐκραταιώθη ἐφ' ἡμᾶς τὸ ἔλεος αὐτοῦ." καὶ τὰ ἑξῆς "ὦ κύριε, σῶσον δὴ, ὦ κύριε, εὐόδωσον δή. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν."

[165] 2. Καὶ τούτου μέμνηται ἡ ἱερὰ τοῦ εὐαγγελίου γραφὴ τέλους τετυχηκότος ὁπηνίκα ὁ σωτὴρ καὶ κύριος ἡμῶν αὐτὸς ὁ Χριστὸς εἰσῄει εἰς τὰ Ἱεροσόλυμα, πολύ τε πλῆθος ἀνδρῶν καὶ παίδων προῆγεν αὐτὸν μετ' εὐφροσύνης ἐπιβοώντων "ὡς ἀννὰ τῷ υἱῷ τῷ
b Δαβὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡς ἀννὰ ἐν τοῖς ὑψίστοις." ἀντὶ γὰρ τοῦ "ὦ κύριε σῶσον δή" κειμένου ἐν τῷ Ψαλμῷ τὸ "ὡς ἀννά" Ἑβραϊκώτερον φάσκοντες ἐπεβόων· ἑρμηνεύεται δὲ τοῦτο σῶσον δή. 3. καὶ τὸ "εὐλογημένος ὁ ἐρχόμενος

---

23 Matth. 21, 9.

ἐν ὀνόματι κυρίου" διασαφεῖ τὸ λόγιον ἑξῆς φάσκον "θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν." οὐκοῦν εἷς καὶ ὁ αὐτὸς ἦν ὁ ἐπιφανεὶς ἡμῖν θεὸς κύριος, ὁ τοῦ θεοῦ δηλαδὴ λόγος, ὁ καὶ διὰ τοῦτο εὐλογημένος, ὅτι δὴ ἐν ὀνόματι κυρίου τοῦ πέμψαντος αὐτὸν πατρὸς τὴν εἰς ἀνθρώπους αὐτοῦ παρουσίαν ἐποιήσατο. ἐλέγχων c γοῦν τοὺς ἀπιστοῦντας αὐτῷ τῶν ἐκ περιτομῆς ἔλεγε πρὸς αὐτοὺς "ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με. ἄλλος ἐὰν ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε." εἰκότως οὖν τὸ πνεῦμα τὸ ἅγιον οὐκέτι τῷ Ἰουδαίων λαῷ, ἀλλὰ πᾶσι τοῖς ἔθνεσι, τὰ ἐν τῇ ἀρχῇ τοῦ Ψαλμοῦ προσφωνεῖ.

Ἀπὸ Ψαλμοῦ ρμγʹ. d

IX. "Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; κύριε, κλῖνον οὐρανούς, καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται." καὶ ὑποβὰς ἐπιλέγει "ὁ θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι."

Ἔχεσθαι καὶ ταῦτα τῆς προκειμένης ὑποθέσεως (267) ἡγοῦμαι. τὴν γὰρ εἰς ἀνθρώπους γνῶσιν τοῦ θεοῦ λόγου θαυμάζων ὑπερεκπλήττεται τῆς φιλανθρωπίας, δι' ἧς τῆς θεότητος ὑποβὰς καὶ τοῦ συμφυοῦς μεγέθους ἑαυτὸν σμικρύνας, ἠξίωσε τῆς ἰδίας γνώσεως τὸ ἀνθρώπειον γένος. 2. ἐνταῦθα μὲν οὖν εὔχεται λέγων "κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι." ἐν δὲ τῷ ἑπτακαιδεκάτῳ Ψαλμῷ εἴρηται "καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ." καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ἐπε-

---

8 Jo. 5, 43. 14 Ps. 143, 3. 26 Ps. 18, 8.

b τάσθη ἐπὶ πτερύγων ἀνέμων. 3. δι' ὧν τὰ τῆς ἀνό-
δου, ἣν ἀπὸ γῆς εἰς οὐρανοὺς ἐποιήσατο, θεσπίζει.
ὅπως δὲ κάθοδον χρὴ νοεῖν καὶ ἄνοδον τοῦ θεοῦ λό-
γου, οὐ τοπικῶς μεταβάσεις ποιουμένου, τροπικῶς
δὲ τὰς τοιάσδε οἰκονομίας αὐτοῦ τοῦτον τῆς γραφῆς
ἀποκαλούσης τὸν τρόπον, ἐπ' οἰκείας ἀποδώσομεν
σχολῆς. 4. ἔδει δὲ μνημονεῦσαι ἐν τούτοις καὶ τῆς
καινῆς διαθήκης, ἣν ἔμελλεν ἡ τοῦ Χριστοῦ παρου-
σία προξενήσειν ἀνθρώποις· αὕτη δέ ἐστιν ἡ καινὴ
διαθήκη μετὰ τὴν παλαιὰν ὑπὸ Χριστοῦ πᾶσι τοῖς
c ἔθνεσι δεδομένη. διό φησι τὸ μετὰ χεῖρας λόγιον "ὁ
θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι." 5. τὸ δὲ "ἅψαι τῶν
ὀρέων καὶ καπνισθήσονται" αἰνίττεσθαι ἡγοῦμαι
ἐμπρησμὸν καὶ ἀφανισμὸν πάσης εἰδωλολατρίας, ἥτις
παρὰ τοῖς παλαιοῖς ἐν τοῖς ὄρεσι μάλιστα ἐσπουδά-
ζετο. ὥστε ἤδη καὶ αὐτοὺς Ἰουδαίους ἀπελέγχεσθαι,
ὡς ἐπὶ πᾶν ὄρος ὑψηλὸν κατὰ μίμησιν τῶν ἀλλοφύ-
λων ἐθνῶν εἰδωλολατροῦντας.

d

Ἀπὸ Ψαλμοῦ ρμζ'.

X. "Ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν
θεόν σου Σιών." εἶθ' ὑποβάς φησιν "ὁ ἀποστέλλων
[166] τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος
αὐτοῦ."

Σαφὲς δὲ ὅτι τοῦ ἀποστελλομένου ὁ ἀποστέλλων
ἕτερος ὢν τυγχάνει. ἔχεις τοιγαροῦν κἀνταῦθα τὸν
(268) μὲν ἀποστέλλοντα τὸν ἐπὶ πάντων θεὸν, τὸν δὲ ἀπο-
στελλόμενον τὸν λόγον, ὃς πολυώνυμος ὢν τοτὲ μὲν
σοφία, τοτὲ δὲ λόγος, ἄλλοτε δὲ θεὸς, καὶ πάλιν

---

20 Ps. 147, 12.

κύριος διὰ τῶν θείων χρησμῶν ἀνηγόρευται. 2. ἐπιστήσας δέ τινα τρόπον ἐν σφόδρα χρόνῳ βραχεῖ τὴν πᾶσαν οἰκουμένην ἔπλησεν ὁ τῆς διδασκαλίας αὐτοῦ λόγος, εὖ οἶδ' ὅτι τὸ ἀποτέλεσμα θαυμάσεις τῆς προρρήσεως φασκούσης "ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ."

Ἀπὸ τῆς δευτέρας τῶν Βασιλειῶν.

XI. "Καὶ ἐλάλησε Δαβὶδ τῷ κυρίῳ τοὺς λόγους c
τῆς ᾠδῆς ταύτης." εἶθ' ἑξῆς φησι "καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ. καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ." 2. καὶ ἐπὶ τέλει τῆς αὐτῆς ᾠδῆς "ῥῦσαί με (φησὶν) ἐξ ἀντιλογιῶν λαοῦ. καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου, υἱοὶ ἀλλότριοι ἀπορριφθήσονται."

3. Ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς θεός, ὁ ἐπι- d
βὰς ᾧ ἀνείληφεν ἀνθρώπῳ, ὅντινα νῦν Χερουβὶμ ὁ λόγος ὀνομάζει, ἀνέπτη σὺν αὐτῷ τὴν ἄνοδον πεποιημένος μετὰ τῶν δορυφορούντων αὐτὸν θείων πνευμάτων, πτερύγων ἀνέμων καὶ αὐτῶν χρηματιζόντων. σκοτεινῶς δὲ ταῦτα καὶ ἐν παραβύστῳ γεγενῆσθαι κατά τινας ἀπορρήτους καὶ λανθάνοντας αἰνίττεται λόγους, φάσκων "καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ." τὰ δὲ ἑξῆς ἀκολούθως τῇ τοῦ Χριστοῦ ἐνανθρωπήσει τὴν κατ' αὐτοῦ γενομένην ἀντιλογίαν τοῦ Ἰουδαίων λαοῦ σημαίνει, καὶ τὴν τῶν ἐθνῶν ὑπα-

8 2. Reg. 22.

κοὴν τῆς τοῦ Χριστοῦ διδασκαλίας. αὐτοῖς δὲ ῥήμασι τὰ παραπλήσια εὕροις ἂν καὶ ἐν ἑπτακαιδεκάτῳ Ψαλμῷ, εἰς ἃ τὰ φανέντα προείρηται.

(269) *Ἀπὸ τῆς τρίτης τῶν Βασιλειῶν.*

b XII. "*Καὶ νῦν, κύριε, ὁ θεὸς Ἰσραὴλ, πιστωθήτω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δαβὶδ τῷ πατρί μου. ὅτι εἰ ἀληθῶς κατοικήσει θεὸς μετὰ ἀνθρώπων ἐπὶ γῆς, εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι.*"

2. *Κεῖται ταῦτα αὐταῖς λέξεσιν καὶ ἐν Παραλειπομέναις. τῷ μὲν οὖν Δαβὶδ ἐπηγγείλατο ὁ θεὸς ἀναστήσειν ἐκ κοιλίας αὐτοῦ βασιλέα, οὗ πατὴρ αὐτὸς ὁ θεὸς ἔσεσθαί φησιν, ὥστε τὸν γεννώμενον ἐκ*
c *σπέρματος Δαβὶδ υἱὸν ὀνομασθῆναι θεοῦ, θρόνον τε βασιλείας ἕξειν αἰώνιον.* 3. *ταῦτα δὲ ἐν μὲν τῇ δευτέρᾳ τῶν Βασιλειῶν διὰ Νάθαν τοῦ προφήτου ἐχρήσθη τῷ Δαβὶδ τοῦτον τὸν τρόπον* "*καὶ ἔσται, ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σὲ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ. αὐτὸς οἰκοδομήσει μοι οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.*"

4. *Τὰ δ' αὐτὰ καὶ ἐν Παραλειπομέναις ὁμοίως εἴρηται. ἐν δὲ Ψαλμῷ ὀγδοηκοστῷ ὀγδόῳ λέλεκται*
d "*αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σὺ, θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. κἀγὼ πρωτότοκον*

5 3. Reg. 8, 27. 17 2. Reg. 7, 12. 27 Ps. 88, 26. 3. 36.

θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ, καὶ θήσομαι εἰς τὸν αἰῶνα [167] τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ." 5. καὶ πάλιν "ὤμοσα Δαβὶδ τῷ δούλῳ μου, ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου." 6. καὶ αὖθις "ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι. τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα."

7. Τούτων δὴ καὶ ὁ ἑκατοστὸς τριακοστὸς πρῶ- (270) τος Ψαλμὸς μνημονεύσας ἐπὶ τὸν Χριστὸν ἀναφέρει τὰ δηλούμενα. ἄκουε δ' οὖν καὶ τούτου "μνήσθητι, κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραΰτητος αὐτοῦ· ὡς ὤμοσε τῷ κυρίῳ, ηὔξατο τῷ θεῷ Ἰακώβ." οἷς μεθ' ἕτερα ἐπιλέγει "ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτόν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου."

8. Καὶ ὑποκαταβὰς ἑξῆς τὸν ἐκ καρποῦ τῆς κοιλίας Δαβὶδ ἀναστησόμενον λευκότερον ὀνομάζει λέγων "ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύ- b χνον τῷ Χριστῷ μου· τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην· ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου."

9. Ταῦτα τοιγαροῦν Σολομῶν ὁ σοφώτατος τῷ ἑαυτοῦ πατρὶ χρησθέντα συννοήσας, μὴ μικρὰ, μείζονα δὲ τῆς κατὰ ἄνθρωπον φύσεως τυγχάνοντα συνιδὼν, καὶ μᾶλλον ἁρμόζοντα θεῷ ἤπερ αὐτῷ, καίπερ ὄντι υἱῷ Δαβὶδ, συνιείς τε τὸν πρὸς τοῦ θεοῦ πρω-

15 Ps. 131.

τόποκον ὠνομασμένον, καὶ τὸν σαφῶς προφητευόμενον υἱὸν θεοῦ, ὑπεργέγηθε ταῖς ἐπαγγελίαις, καὶ συνεύχεται πιστωθῆναι τὰ τῆς προρρήσεως, ἐπιδη-
c μήσειν τε τὸν προφητευόμενον, πρωτότοκον καὶ θεοῦ υἱὸν ἀναγορεύων. διό φησι "καὶ νῦν ὁ θεὸς Ἰσραὴλ πιστωθήτω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδί σου Δαβὶδ τῷ πατρί μου. ὅτι εἰ ἀληθῶς κατοικήσει θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς, εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι."

Ἀπὸ τοῦ Μιχαία.

XIII. "Ἀκούσατε λαοὶ πάντες καὶ προσεχέτω ἡ γῆ καὶ πάντες οἱ ἐν αὐτῇ. καὶ ἔσται κύριος ὁ θεὸς
(271) ἡμῶν εἰς μαρτύριον, κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. διότι ἰδοὺ κύριος κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρός, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. δι' ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ."

2. Καὶ νῦν ἀκαλύπτως ἐξ οὐρανοῦ κατιὼν κύριος ὁ θεός, ἐκπορευόμενός τε ἐκ τοῦ τόπου αὐτοῦ, διὰ
b τῶν προκειμένων κηρύττεται. εἴη δ' ἂν ὁ τοῦ θεοῦ λόγος, ὃν μόνον διὰ τῶν ἔμπροσθεν γεννητὸν ὑπάρχειν θεὸν καὶ κύριον μετὰ τὸν ἀνωτάτω καὶ ἐπὶ πάντων ἀπεδείξαμεν. τόπον δ' αὐτοῦ οὐκ ἂν ἁμάρτοις λέγων εἶναι τὴν ἐν οὐρανοῖς βασιλείαν, τόν τε ἔνδοξον τῆς θεότητος αὐτοῦ θρόνον, ὃν θεολογῶν ὁ προφήτης ἔψαλλεν "ὁ θρόνος σου" φάσκων "ὁ θεὸς εἰς

10 Mic. 1, 2. 28 Ps. 45, 6 et Ps. 110, 1.

τὸν αἰῶνα τοῦ αἰῶνος·" ἐφ' ὃν αὐτῷ ὁ πατὴρ, ὡς ἂν υἱῷ μονογενεῖ, καθέζεσθαι παρεκελεύσατο εἰπὼν "κάθου ἐκ δεξιῶν μου." 3. ταῦτα γὰρ σαφῶς ἤδη πρότερον ἐπὶ μόνον ἀναφέρεσθαι τὸν ἡμέτερον σωτῆρα c τὸν θεὸν λόγον παρεστήσαμεν· αὐτὸν δὴ οὖν τοῦτον ὁ παρὼν θεσπίζει λόγος ἐκπορεύεσθαι ἐκ τοῦ [168] τόπου αὐτοῦ, καταβήσεσθαί τε ἐπὶ τὰ ὕψη τῆς γῆς. 4. ποῖα δ' ἂν εἴη ταῦτα, ἢ ῥητῶς μὲν τὰ ὄρη τοῦ Ἰσραὴλ καὶ οἱ βουνοὶ, περὶ ὧν μυρίαι προφητεῖαι θεσπίζουσιν, αὐτή τε Ἱερουσαλὴμ, καὶ τὸ Σιὼν ὄρος, ἐν ᾧ τὰς πλείστας ἐποιεῖτο διατριβὰς ὁ σωτὴρ καὶ κύριος ἡμῶν; τούτων δὲ διαφθορὰν ἔσεσθαι καὶ ἀπώ- d λειαν ἐπὶ τῇ τοῦ Χριστοῦ καθόδῳ θεσπίζει. καὶ πρόδηλον ὡς μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν καὶ τὰ κατ' αὐτοῦ τετολμημένα τὰ προειρημένα πάντα πεπολιόρκηται καὶ εἰς ἐσχάτην ἐρημίαν ἐλήλυθεν. 5. οὐ μὴν ἀλλὰ καὶ οἱ ἄρχοντες τοῦ Ἰουδαίων ἔθνους, ἥ τε παρ' αὐτοῖς τὸ πρὶν συνεστῶσα βασιλεία, ἱερωσύνη τε καὶ διδασκάλων προεδρία, ὄρη νῦν τροπικῶς ὀνομαζόμενα, σαλευθήσεσθαι λέγονται ἐπὶ τῇ τοῦ κυρίου ἐξ οὐρανῶν παρουσίᾳ. καὶ τοῦτο δὲ ὅπως τέλους ἔτυχε τίς οὐκ ἂν ὁμολογήσειε μετὰ τοὺς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χρόνους, πάντ' ἐκεῖνα θεωρῶν οὐ μόνον σαλευθέντα, ἀλλὰ καὶ ἐκποδὼν γεγενημένα; κοιλάδες δὲ εἰσέτι νῦν τηκόμεναι εἶεν ἂν αἱ ἀντὶ τῆς Ἱερουσαλὴμ καὶ τοῦ Σιὼν ὄρους κατὰ πᾶσαν πόλιν συνεστῶσαι αὐτῶν συναγωγαὶ, ἀποθρη- (272) νοῦσαι καὶ ἀποκλαιόμεναι καὶ ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τηκόμεναι διὰ λύπην καὶ πένθους ὑπερβολὴν, τῆς τε τῶν οἰκείων ἐρημίας καὶ τῆς μακρᾶς καὶ πολυετοῦς δουλείας ἕνεκεν. 6. καὶ ἄλλως δὲ κατὰ διάνοιαν ἡ τοῦ λόγου τοῦ θείου ἐπίβασις, οὐκ ἐν

χάσμασι καὶ κοιλώμασιν, οὐδ' ἐν ταπειναῖς καὶ χα-
μαιπετέσι διανοίαις, ἀλλ' ἐν ἐπηρμέναις τὸ φρόνημα
κατεγίνετο. ταύτῃ γοῦν τροπικώτερον αὐτὸς ὁ κύριος
b καταβήσεσθαι ἐπὶ τὰ ὕψη τῆς γῆς εἴρητο. 7. ὄρη δὲ
σειόμενα ὑποκάτωθεν αὐτοῦ αὐτὰ δὴ ἐκεῖνα ἦν ἔνθα
ἀνήχθη ὑπὸ τοῦ πνεύματος πειρασθῆναι ὑπὸ τοῦ
διαβόλου "ὅτε καὶ παραλαμβάνει αὐτὸν ὁ διάβολος
εἰς ὄρος ὑψηλὸν λίαν, καὶ ἦν μετὰ τῶν θηρίων." 8.
ὄρη δ' ἂν εἴη αὖθις τροπικώτερον ἡ ἐν τοῖς ὄρεσι τὸ
πρὶν ἐπιτελουμένη εἰδωλολατρία, καὶ αἱ ἐν τούτοις
ἐνεργήσασαι ἀόρατοι καὶ ἀρχοντικαὶ δυνάμεις, ἃς οὐ
μικρῶς ἡ τοῦ σωτῆρος ἡμῶν ἀνέσειέ τε καὶ ἀνεκίνει
διδασκαλία. τούτων γὰρ ὁ ἔνθεος αὐτοῦ λόγος, ἥ τε
c θαυματουργὸς καὶ παραδοξοποιὸς ἰσχύς, λεληθότως
τὴν κατὰ τῶν ἀνθρώπων μακρὰν καὶ παλαιὰν δυνα-
στείαν καθῄρει. 9. ὡσαύτως δὲ καὶ κοιλάδες τηκό-
μεναι ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς δαίμονες ἂν εἶεν
χθόνιοι καὶ περίγειοι, καθ' ὧν τὸ καυστικὸν τῆς
μοχθηρίας αὐτῶν πῦρ ἠφίει, λέγων "πῦρ ἦλθον βα-
λεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;" ὑφ'
οὗ πυρὸς δὴ καιόμενοι, καὶ μὴ οἷοί τε ὄντες τὰς ἀπὸ
τῆς ἀοράτου φλογὸς φέρειν βασάνους, ὑπανεχώρουν
τῶν ἀνθρωπείων σωμάτων, καὶ τὸ συνέχον γε καὶ
d ἐλαῦνον αὐτοὺς ἀνωμολόγουν βοῶντες "ἔα, τί ἡμῖν
καὶ σοί, υἱὲ τοῦ θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι
ἡμᾶς; οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ." 10. τού-
τους δὲ μάλιστα ᾐκίζετο, καὶ τοὺς ἐπὶ τούτων ἄρχον-
τας καθῄρει, ὅτι μὴ ἀρκεσθέντες τῇ τῶν λοιπῶν
ἐθνῶν διαφθορᾷ, δι' ἧς τοὺς πάντας εἰς τὴν πολύ-

---

7 Matth. 4, 8. Marc. 1, 13. 19 Luc. 12, 49.
24 Matth. 8, 29. Marc. 1, 24.

θεον πλάνην καταβεβλήκεσαν, καὶ τῷ πάλαι τοῦ θεοῦ λαῷ, αὐτῷ δὴ τῷ ἐκ περιτομῆς, ἐπιβεβουλεύκεσαν, καὶ ἀποστήσαντές γε τοῦ θεοῦ καὶ τοῦτον παντοίαις περιέπειραν δυσσεβείαις. διὸ καὶ μάλιστα τὴν ἐξ οὐρανῶν πεποίητο ὁ κύριος κάθοδον. 11. ὅθεν ἑξῆς φησι "διὰ τὴν ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ." καὶ ἔτι πρὸς τούτοις τῆς ἐξ οὐρανοῦ καθόδου τοῦ λόγου τὴν αἰτίαν ἑξῆς διασαφεῖ, τοῦ μὲν ἐκ περιτομῆς λαοῦ τὰς δυσσεβείας (273) ἀπαριθμούμενος, καὶ τὸν ἐπὶ ταύταις μετελθόντα αὐτοὺς ὄλεθρον, τῶν δὲ ἀνὰ πᾶσαν τὴν οἰκουμένην, [169] ἐθνῶν προαναφωνῶν τὴν κλῆσιν. διὰ ταῦτα γὰρ ἐπεδήμει ὁ τοῦ θεοῦ λόγος ἐξ οὐρανῶν ἐπὶ γῆς. 12. καὶ τῶν γε λέξεων ἄκουε·

"Δι' ἀσέβειαν οἴκου Ἰακὼβ πάντα ταῦτα καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ. τίς ἡ ἀσέβεια οἴκου Ἰακώβ; οὐ Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου Ἰούδα; οὐχὶ Ἱερουσαλήμ; καὶ θήσομαι Σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ καὶ εἰς φυτείαν ἀμπελῶνος, καὶ κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια b αὐτῆς ἀποκαλύψω." 13. καὶ ἐπιλέγει "κατέβη κακὰ παρὰ κυρίου ἐπὶ πύλας Ἱερουσαλὴμ, ψόφος ἁρμάτων καὶ ἱππευόντων." 14. καὶ αὖθις "ἡ δόξα τῆς θυγατρὸς Ἱερουσαλὴμ, ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ τρυφερά σου. ἐμπλάτυνον τὴν χηρείαν σου, ὡς ἀετὸς, ὅτι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ." ἐπὶ τούτοις "Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ."

---

6 Mic. 1, 5. 21 Mic. 1, 12. 23 Mic. 1, 15. 27 Mic. 3, 12.

c 15. *Σιὼν δὲ καὶ Ἱερουσαλὴμ καὶ τὸ καλούμενον ὄρος τοῦ οἴκου, ταῦτ' ἦν ἐκεῖνα τὰ πρόσθεν δεδηλωμένα διὰ τοῦ "καὶ σαλευθήσονται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, δι' ἀσέβειαν Ἰακώβ. διὰ γὰρ τὰς δρασθείσας κατ' αὐτοῦ δυσσεβείας εὐθὺς καὶ οὐκ εἰς μακρὸν καὶ τὰ ὄρη καὶ οἱ ἐν τούτοις οἰκοῦντες πεπολιόρκηντο, ἐμπρησμόν τε καὶ ἐσχάτην ἐρημίαν τὸ Σιὼν ὄρος ὑπέμεινε, καὶ γέγονε τὸ ὄρος τοῦ οἴκου τοῦ θεοῦ εἰς ἄλσος δρυμοῦ. 16. ταῦτα μὲν οὖν ἐπὶ τῇ τοῦ κυρίου ἐξ οὐρανῶν καθόδῳ περὶ ἐκείνους ἔσεσθαι καὶ ἡ παροῦσα προφητεία σημαίνει, ἃ καὶ ἐν-*
d *αργῆ τὴν ἔκβασιν εἴληφε μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν. 17. εἰ γοῦν τι δύναται καὶ ἡ ἡμετέρα ἱστορία, καθ' ἡμᾶς αὐτοὺς τὴν πάλαι βοωμένην Σιὼν ζεύγεσι βοῶν ὑπὸ Ῥωμαίων ἀνδρῶν ἀρουμένην ὀφθαλμοῖς παρειλήφαμεν, καὶ τήν γε Ἱερουσαλὴμ, ὡς αὐτό γέ φησι τὸ λόγιον, ὀπωροφυλακίου δίκην ἀπολειφθέντος, ἐν παντελεῖ καταστᾶσαν ἐρημίᾳ· ἃ καὶ δι' οὐδὲν ἕτερον αὐτοῖς ἢ διὰ τὰς δυσσεβείας αὐτῶν συμβέβηκε, δι' ἃς καὶ ὁ λόγος ὁ οὐράνιος ἐκ τοῦ οἰκείου τόπου προελήλυθε. 18. καὶ δι' ἑτέρας δὲ αἰτίας ὁ τοῦ θεοῦ λόγος οὐρανόθεν κατεληλυθέναι τε καὶ ἐπιβεβηκέναι ἐπὶ τὰ ὕψη τῆς γῆς ἤδη πρότερον ἐλέγετο, ὅπως τὰ μὲν πάλαι ἐπαιρό-*
(274) *μενα καὶ ὑπερυψούμενα κατὰ τῆς γνώσεως τοῦ θεοῦ ὄρη σαλευθῇ ὑποκάτωθεν αὐτοῦ, (αἱ δυνάμεις δηλονότι αἱ ἀντικείμεναι, αἳ πρὸ τῆς αὐτοῦ παρουσίας μετὰ τῶν λοιπῶν ἀνθρώπων καὶ τὸ Ἑβραίων ἔθνος τοῖς τῆς δυσσεβείας καὶ εἰδωλολατρίας πράγμασι καταδεδούλωνται,) οἱ δὲ πονηροὶ δαίμονες, (κοιλάδες ἐπικαλούμενοι διὰ τὸ ἐν χάσμασι σκοτίοις καὶ τοῖς τῶν*

σωμάτων κοιλώμασιν ἐνδιατρίβειν) ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τηκόμενοι, τῇ τοῦ θείου λόγου δυνάμει ἐξ ἀνθρώπων ἀποφύγοιεν, καὶ ἑτέρα δ' ἂν εἴη b παρὰ ταύτας αἰτία οὐχ ἡ τυχοῦσα τῆς ἐξ οὐρανῶν καθόδου τοῦ κυρίου, ἣν ὁ λόγος ἐπισημαίνεται, ὅπως πάντα τὰ ἐπὶ γῆς ἔθνη, τῶν δαιμόνων ἀπελασθέντων καὶ τῶν ἀρχοντικῶν πνευμάτων σεισθέντων, τῆς πάλαι αὐτῶν σκληρᾶς καὶ ἀκινήτου τυραννίδος ὑπαναπνεύσαντα, τὴν ἐπίγνωσιν τοῦ ἐπὶ πάντων ἀναλάβῃ θεοῦ. 19. καὶ αὐτὰ ὧδέ πως αἱ τῆς αὐτῆς προφητείας φωναὶ ἑξῆς καὶ κατὰ τὸ αὐτὸ ὑπὸ μίαν συνάφειαν διανοίας κηρύττουσι "καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοί, καὶ c πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι, δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ [170] πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν."

20. Τοιαῦτα καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως, ἃ καὶ ὁποίας ἔχεται διανοίας, ὅπως τε καὶ αὐτὰ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν τέλος εἴληφεν, ἐπὶ σχολῆς ἂν τις καταμάθοι. ἀκολούθως γε μὴν τούτοις ἀρχόμενος ὁ τῆς προφητείας λόγος, ὡς ἂν ἐπὶ σωτη- d ρίᾳ οὐ μόνον τοῦ Ἰουδαίων ἔθνους, ἀλλὰ γὰρ καὶ τῶν ἐθνῶν ἁπάντων τῆς τοῦ κυρίου εἰς ἀνθρώπους καθόδου γενησομένης, τοῖς λαοῖς καὶ τοῖς ἐπὶ τῆς γῆς ἅπασιν ἐπιφωνεῖ, λέγων "ἀκούσατε λαοὶ πάντες, καὶ

12 Es. 2, 2.

προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ." 21. καὶ τὸ μαρτύριον δὲ τοῦ πάθους ἠνίττετο τοῦ κυρίου ἐπιφέρων "καὶ ἔσται κύριος ὁ θεὸς ὑμῶν εἰς μαρτύριον." εἶθ' ἑξῆς ὁ αὐτὸς προϊὼν προφήτης, ὡς ἂν ἤδη προπαιδεύσας τὰ περὶ τῆς ὑπάρξεως τοῦ θεοῦ λόγου τῆς τε ἐξ οὐρανῶν αὐτοῦ καταβάσεως, καὶ ὡς τὰ αἴτια (275) τῆς εἰς ἀνθρώπους αὐτοῦ παρουσίας προειπών, ἑπομένως τὴν εἰς ἀνθρώπους αὐτοῦ ἐσομένην γένεσιν, καὶ αὐτὸ δὴ χωρίον ἔνθα τεχθήσεσθαι ἔμελλεν, ὧδέ πως διδάσκει λέγων "καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα, ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος."

22. Ἐπιμελῶς δὲ πρόσσχες τίνα τρόπον τοῦ ἐπὶ τὴν Βηθλεὲμ, (χωρίον δέ ἐστι τοῦτο τῆς Ἰουδαίας) φανησομένου τὰς ἐξόδους ἄνωθεν καὶ ἐξ αἰῶνος ὑφεστάναι φησὶ, τὴν ἔνθεον δηλῶν προϋπαρξίν τε καὶ b οὐσίωσιν τοῦ ἐκ Βηθλεὲμ προελευσομένου ἄρχοντος. εἰ μὲν οὖν ἔχοι τις ἐφ' ἕτερον ἀναφέρειν τὸν χρησμὸν, τίς οὗτος ἀποδεικνύτω· εἰ δ' οὐκ ἔστιν εὑρεῖν ἕτερον τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς μόνος μετὰ τὴν προφητείαν ἐνθένδε ὡρμημένος βοᾶται, τί λοιπὸν ἐμποδὼν μὴ οὐχὶ συνομολογεῖν ἀλήθειαν τῇ προφητείᾳ, ἐπὶ μόνῳ αὐτῷ σαλευούσῃ τὴν πρόρρησιν; μόνος γοῦν οὗτος ἐπιφανὴς τῶν πώποτε γεγονὼς ἐκ τοῦ προειρημένου χωρίου τῆς Βηθλεὲμ μετὰ τοὺς τῆς προφητείας χρόνους τὸ ἀνθρώπειον ὑποδὺς c σχῆμα προελήλυθεν, ἅμα τε τῇ αὐτοῦ παρουσίᾳ ἐπληροῦτο τὰ προηγορευμένα. 23. αὐτίκα γοῦν καὶ οὐκ εἰς

10 Mic. 5, 2.

μακρὸν τῷ μὲν Ἰουδαίων ἔθνει ἕκαστα τῶν προπεφητευμένων σκυθρωπῶν ἀπήντα, τοῖς δὲ ἔθνεσι πάλιν τὰ ἀκόλουθα τοῖς θεσπίσμασιν, αὐτός τε οὗτος ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἐκ Βηθλεὲμ ὁρμηθεὶς ἡγούμενος ἀνεδείχθη τοῦ κατὰ διάνοιαν Ἰσραήλ, οὕτω παντὸς τοῦ διορατικοῦ καὶ θεοσεβοῦς λαοῦ χρηματίζοντος. καὶ θέα γε ὅπως τὰς ἐξόδους αὐτοῦ τῆς ἐνθέου προϋπάρξεως ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν αἰῶνος ἔχειν λέγεται, ὅπερ οὐκ ἂν ἁρμόσειεν ἀνθρώπου φύσει. 24. d τούτοις ἑξῆς ὁ προφητικὸς λόγος ὑποβὰς μικρὸν καὶ νῦν πάλιν τῆς πάλαι νομικῆς θρησκείας τὴν περιγραφὴν καὶ τὴν καθαίρεσιν ὑποσημαίνει, ἐκ προσώπου τοῦ λαοῦ λέγων "ἐν τίνι καταλάβω τὸν κύριον, ἐπιλήψομαι θεοῦ μου ὑψίστου; εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν μόσχοις ἐνιαυσίοις; εἰ δῶ πρωτότοκα κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου;"

25. Ἐκ δὲ προσώπου τοῦ θεοῦ τοιάνδε αὐτοῖς τὴν ἀπόκρισιν ποιούμενος "εἰ ἀνηγγέλη σοί, ἄνθρωπε, τί καλόν; καὶ τί κύριος ἐκζητεῖ παρὰ σοῦ ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεος, καὶ ἕτοιμον εἶναι πορεύεσθαι ὀπίσω κυρίου τοῦ θεοῦ σου;"

26. Ἔχεις τοιγαροῦν κἀνταῦθα ἐπὶ τῇ προφητευο- (276) μένῃ τοῦ κυρίου ἐξ οὐρανῶν εἰς ἀνθρώπους καθόδῳ ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ πλεῖστα ὅσα σημαινόμενα, Ἰουδαίων ἀποβολήν, ἐλέγχους τῶν ἀσεβειῶν αὐτῶν, καθαίρεσιν τῆς βασιλικῆς αὐτῶν μητροπόλεως, τῆς [171] τε πάλαι πρότερον παρ' αὐτοῖς ἐπιτελουμένης κατὰ Μωσέα λατρείας παραίτησιν· ἔμπαλιν δὲ περὶ τῶν ἐθνῶν ἀγαθὰς ἐπαγγελίας, ἐπίγνωσιν θεοῦ, καινὸν τρόπον εὐσεβείας, νόμον τε νέον καὶ λόγον ἐκ μὲν

---

13 Mic. 6, 6.

τῆς Ἰουδαίων χώρας προελευσόμενον, εἰς πάντα δὲ
τὰ ἔθνη διαδοθησόμενον, ἅπερ ὁποῖον τέλος καὶ
ὁποίαν ἔκβασιν τῶν λόγων μετὰ τὴν τοῦ σωτῆρος
b ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν ἐπιδέδεκται, σοὶ κα-
ταλείπω σκοπεῖν.

Ἀπὸ Ἀμβακούμ.

c XIV. "Καὶ ἀπεκρίθη κύριος πρός με, καὶ εἶπε,
γράψον ὅρασιν σαφῶς ἐν πυξίῳ, ὅπως διώκῃ ὁ ἀνα-
γινώσκων αὐτὰ, διότι ἔτι ὅρασις εἰς καιρὸν, καὶ ἀνα-
τελεῖ εἰς πέρας, καὶ οὐκ εἰς κενόν. ἐὰν ὑστερήσῃ,
ὑπόμεινον αὐτὸν, ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ μὴ
χρονίσῃ. ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου
ἐν αὐτῷ, ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται."

2. Καὶ ἐνταῦθα διαῤῥήδην ἐρχόμενον ἥξειν τὸν
προφητευόμενον θεσπίζει. τίς δ᾽ ἦν οὗτος ἢ ὁ ἀνω-
τέρω δηλωθεὶς κατὰ τὸ "εὐλογημένος ὁ ἐρχόμενος ἐν
d ὀνόματι κυρίου, θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν;"
τοῦτον δὲ οἷα φῶς τυγχάνοντα εἰς πέρας ἀνατελεῖν
φησιν, ἐπὶ συντελείᾳ δηλαδὴ τῶν αἰώνων. ᾧ συνᾴ-
δει καὶ ὁ Ζαχαρίας λέγων "ἰδοὺ ἀνὴρ, ἀνατολὴ ὄνομα
αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ." 3. καὶ τὸν
χρόνον ὑποσημαίνων ὁ αὐτὸς ἐπιλέγει "τὸ πρὸς ἑσπέ-
ραν ἔσται φῶς. ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν."
ἀνθ᾽ οὗ ὁ Ἀκύλας πεποίηκεν "ἐὰν δὲ μελλήσῃ, προσ-
δέχου αὐτὸν, ὅτι ἐρχόμενος ἥξει καὶ οὐ βραδυνεῖ."
τούτου δὲ μέμνηται καὶ ἡ πρὸς Ἑβραίους ἐπιστολὴ
δι᾽ ὧν φησι "μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν,

7 Hab. 2, 2. 16 Hab. 9, 26. 20 Zach. 6, 12.
22 Zach. 14, 7. 27 Heb. 10, 35.

ἥτις ἔχει μεγάλην μισθαποδοσίαν. ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν. ἔτι γὰρ μικρὸν ὅσον ὅσον (277) ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται, καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ." 4. καὶ ὅρα γε ὅπως διὰ τούτων ἀσαφῶς κείμενον τὸ προφητικὸν, διὰ τὸ καθ' ὑπερβατὸν εἰρῆσθαι, ἐπὶ τὸ σαφέστερον ἡ ἐπιστολὴ διείληφεν. 5. ἡ μὲν γὰρ τῆς προφητείας λέξις "ὁ ἐρχόμενος" φησὶν "ἥξει καὶ οὐ χρονίσει." καὶ ἐπιφέρει "ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ," ὅπερ συναπτόμενον ἀνάγεσθαι δόξειεν ἂν b ἐπὶ τὸν ἐρχόμενον καὶ οὐ χρονίζοντα, ὅπερ ἐστὶν ἄτοπον. πῶς γὰρ ἐπ' ἐκεῖνον ἁρμόσει τὸ λέγεσθαι μὴ εὐδοκεῖν ἐν αὐτῷ τὸν θεόν; ἀλλ' ἡ τῆς διαστολῆς παράθεσις ἐναλλάξασα τὴν τοῦ λόγου σύνταξιν τὴν διάνοιαν ἐσώσατο. 6. μετὰ γὰρ τὸ "ἔτι μικρὸν ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονίσει" ἑξῆς συνῆψε τὸ "ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται." εἶτα τὸ ἐν τῇ προφητείᾳ πρῶτον κείμενον ὑπέταξε δεύτερον ἐν τῷ "καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ." ἅπαξ γὰρ θεσπίσας ὁ λόγος διὰ τῆς προφη- c τείας ὅτι δὴ τὸ φῶς τὸ πᾶσι τοῖς ἔθνεσιν ἐπηγγελμένον διὰ τῆς Χριστοῦ παρουσίας "ὀψέ ποτε καὶ ἑσπέρας ἀνατελεῖ, καὶ οὐ διαψεύσεται·" 7. (οὕτω γὰρ ἀντὶ τοῦ "καὶ οὐκ εἰς κενόν" ὁ Ἀκύλας ἡρμήνευσεν·) ἔπειτα διὰ τὸ μέλλειν ὀψὲ καὶ ἑσπέρας ἔσεσθαι τὴν τοῦ προφητευομένου παρουσίαν εἰς ὑπομονὴν παρακαλέσας διὰ τοῦ "ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτὸν, ἢ ἐὰν μελλήσῃ, προσδέχου αὐτὸν, ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ μὴ χρονίσῃ," ἐπὶ τὴν πίστιν τῆς d προρρήσεως τὸν ἀκροατὴν παρορμᾷ λέγων, ὁ δὴ τού-

[172] τοις πιστεύων ἐξ αὐτῆς τῆς πίστεως αὐτοῦ δίκαιος ἀναδειχθεὶς τὴν κατὰ θεὸν ζήσεται ζωὴν, ὡς ἔμπαλιν ὁ ἀπιστῶν, ἐν οἷς ἂν ὑποστείληται μὴ θαρσήσας, μηδὲ ἐμπιστεύσας τοῖς εἰρημένοις, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. 8. οὐκοῦν καὶ αὐτοὶ τούτοις ἀκολούθως ἐναλλάξαντες τὸ πρῶτον ὕστερον, καὶ μεταθέντες τὸ ὕστερον ἐπὶ τὸ πρῶτον, σώσομεν τὸν νοῦν τῆς λέξεως μετὰ τὸ "ὅτι ὁ ἐρχόμενος. ἥξει καὶ οὐ χρονίσει" καθ' ὑπερβατὸν συνάπτοντες τὸ "ὁ δὲ δίκαιός μου ἐκ πίστεως ζήσεται," 9. καὶ τούτῳ ἐπιλέγοντες τὸ "ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή (278) μου ἐν αὐτῷ." ταύτῃ δὲ καὶ ὁ Ἀκύλας τῇ διανοίᾳ συντρέχει λέγων "ἐὰν μελλήσῃ, προσδέχου αὐτὸν, ὅτι ἐρχόμενος ἐλεύσεται καὶ οὐ βραδυνεῖ." ἰδοὺ νωχελευομένου, οὐκ εὐθεῖα ἡ ψυχή μου ἐν αὐτῷ, καὶ δίκαιος ἐν πίστει αὐτοῦ ζήσεται.

Ἀπὸ τοῦ αὐτοῦ.

c XV. "Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. κύριε, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ. ὁ θεὸς ἐκ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου, δασέος. ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται· κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος

---

18 Hab. 3. 2.

αὐτοῦ. πρὸ προσώπου αὐτοῦ προπορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς πεδία." d

2. Ἐπακούσας δὲ αὐτὸς ἑαυτοῦ, μᾶλλον δὲ τοῦ ἐμπνέοντος καὶ ἐνθεσπίζοντος ἐν αὐτῷ θείου πνεύματος, ὁ ἱερὸς προφήτης περὶ τοῦ προφητευομένου φήσαντος ὅτι "ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ, ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται," πιστεύσας τε ὡς δίκαιος τῷ χρησμῷ, διὰ τῶν μετὰ χεῖράς φησι "κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην" καὶ τὰ ἑξῆς, δι' ὧν σαφῶς θεὸν εἰς ἀνθρώπους ἥξειν καταγγέλλει. τίς δὲ ἂν οὗτος εἴη ὁ πάλαι γνωριζόμενος, ὕστερον δέ ποτε ἐν τῷ ἐγγίζειν τὰ ἔτη γνωσθησόμενος, καὶ κατὰ τὸν προφητευόμενον χρόνον ἀναδειχθησόμενος, ἢ ὁ αὐτὸς ἐκεῖνος ὁ προδηλωθεὶς (279) δεύτερος τῶν ὅλων κύριος, ὁ καὶ τῇ προρρήσει ἀκολούθως ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἐξάκουστον πᾶσιν ἀνθρώποις κηρυχθείς; τούτου δὴ οὖν τὰ ἀνάγραπτα ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔργα, τὴν ἐκ παρθένου δηλονότι οὗ ἀνείληφε σκήνους γένεσιν, καὶ "ὡς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλὰ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών," τάς τε ἐπιτελεσθείσας αὐτῷ εἰς ἀνθρώπους παραδοξοποιίας καὶ τὰ κατ' αὐτοῦ γε τετολμημένα τῷ Ἰουδαίων ἔθνει τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς b προλαβών, τά τε μέλλοντα συμβήσεσθαι κεκαθαρμέναις ταῖς διανοίαις παρὰ τοῦ διδάσκοντος αὐτὸν θείου πνεύματος μαθών, ἐκστῆναι ὁ προφήτης ἐπὶ τοῖς ἀκουσθεῖσι καὶ πεφοβῆσθαι ὁμολογεῖ φάσκων "κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κύριε, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην." 3. ὁ σω-

---

20 Phil. 2, 6.

τὴρ δὲ καὶ κύριος ἡμῶν αὐτὸς οὗτος ὁ τοῦ θεοῦ λόγος "ἐν μέσῳ δύο ζωῶν ἐγνώσθη·" πληθυντικῶς ἐν- [173] ταῦθα καὶ περισπωμένως τῶν ζωῶν ἀπὸ ἑνικοῦ τοῦ c τῆς ζωῆς ὀνόματος ἐξακουομένων. 4. οὐ γὰρ παροξυτόνως τῶν ζώων ἀπὸ οὐδετέρου τοῦ ζώου λέγεται, ἀλλὰ ζωῶν περισπωμένως ἀπὸ πληθυντικῆς εὐθείας τῆς αἱ ζωαί. δύο οὖν, φησὶ, ζωῶν μέσον γνωσθήσῃ. μιᾶς γὰρ οὔσης τῆς κατὰ θεὸν ζωῆς, καὶ θατέρας τῆς κατὰ ἄνθρωπον, καὶ τῆς μὲν θνητῆς, τῆς δὲ ἀϊδίου, ἀμφοτέρων εἰκότως ὁ κύριος διὰ πείρας ἐλθὼν ἐν μέσῳ δύο ζωῶν γνωσθῆναι λέγεται κατὰ τὴν τῶν ο´ ἑρμηνείαν· κατὰ γὰρ τὸν Ἀκύλαν οὐχ οὕτως, ἀλλ' "ἐν τῷ ἐγγίζειν τὰ ἔτη ζώωσον αὐτό" εἴρηται. 5. τί d δὲ αὐτὸ ἢ τὸ κάτεργόν σου φησί; καὶ ὁ Θεοδοτίων δέ φησιν "ἐν μέσῳ ἐτῶν ζώωσον αὐτόν," καὶ ὁ Σύμμαχος "ἐντὸς τῶν ἐνιαυτῶν ἀναζώωσον αὐτόν" ἐκδέδωκε. πάντες οὖν "ζώωσον αὐτόν" εἰπόντες σαφῶς ὅτι μὴ περὶ οἷον ἀλόγων τινῶν ἢ λογικῶν ζῴων ὁ λόγος τυγχάνει παρέστησαν. 6. διὸ παρὰ τοῖς ο´ λεγομένου τοῦ "ἐν μέσῳ δύο ζωῶν γνωσθήσῃ" οὐ κατὰ τοὺς πρὸ ἡμῶν ἐξειλήφαμεν, ἀλλὰ δύο ζωὰς τοῦ προφητευομένου δηλοῦσθαι ἔφαμεν, μίαν μὲν τὴν ἔνθεον, θατέραν δὲ τὴν ἀνθρωπίνην. 7. τούτοις ὁ προφήτης ἐπιλέγει "ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ," διδάσκων ὅτι τὸν τοῦ πάθους τοῦ προφητευομένου καιρὸν συνιδὼν τῷ (280) πνεύματι τεθορύβητο. πλὴν ἀλλ' ἐν αὐτῷ τούτῳ, φησὶ, τῷ καιρῷ ἐφ' ᾧ τὴν ψυχὴν ἐταράχθην, ὀργῆς τοῖς ἀνθρώποις οὐδεπώποτε ἄλλοτε ἐπαιωρηθείσης διὰ τὰς τολμηθείσας κατὰ τοῦ κυρίου δυσσεβείας, ἐλέους αὐτὸς ὁ φιλανθρωπότατος κύριος ἀντὶ ὀργῆς ἐμνήσθη, ὡς ἂν ἀγαθοῦ τυγχάνων πατρὸς υἱός. 8. τὸ

γοῦν πάθος αὐτοῦ τῷ παντὶ κόσμῳ σωτηρίας τῆς κατὰ θεὸν καὶ ἐλέους κατέστη αἴτιον. τούτοις ἐπιλέγεται "ὁ θεὸς ἀπὸ Θαιμὰν ἥξει." τὸ δὲ Θαιμὰν μεταλαμβάνεται εἰς τὴν Ἑλλάδα φωνὴν συντέλεια, b *ὡς μηδὲν διαφέρειν εἰ σαφῶς ἐλέγετο "ὁ θεὸς ἐπὶ συντελείᾳ ἥξει." ἐπὶ γὰρ συντελείᾳ τοῦ αἰῶνος καὶ ἐν ταῖς ἐσχάταις ταύταις ἡμέραις ἐπέφανεν ἡμῖν ἡ τοῦ θεοῦ τῶν ὅλων διὰ τοῦ σωτῆρος ἡμῶν εὐεργεσία.* 9. *τάχα δὲ καὶ τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον ἐν τούτοις ἄφιξιν θεσπίζει, ὥστε ἀπὸ ἑτέρας ἀναγινώσκεσθαι ἀρχῆς τὰ ἀπὸ τοῦ "ὁ θεὸς ἀπὸ Θαιμὰν ἥξει," ὡς ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ἥξοντος αὐτοῦ ἀπὸ τῶν κατὰ τὰ νότια μέρη τοῦ οὐρανοῦ· μεταλαμβάνεται γὰρ Θαιμὰν εἰς τὸν νότον.* 10. *διόπερ ὁ* c *Θεοδοτίων τοῦτον ἑρμηνεύει τὸν τρόπον "ὁ θεὸς ἀπὸ νοτίου ἥξει." τὸ δὲ ἑξῆς εἰρημένον "καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου, δασέος," νοήσεις, παραθεὶς τὰς οὕτως ἐχούσας ἐν τῷ Ζαχαρίᾳ φωνὰς "ἑώρακα τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυρρὸν, καὶ οὗτος εἱστήκει ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων."* 11. *τοῦτον γοῦν τὸν ἐπιβεβηκότα ἐπὶ ἵππον πυρρὸν, καὶ ἑστῶτα ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων, αὐτὸν ἡγοῦμαι εἶναι τὸν ἐν τῇ μετὰ χεῖρας δηλούμενον προφητείᾳ, φασκούσῃ τὸν ἅγιον ἥξειν ἐξ ὄρους κατασκίου, δασέος. ἐν ἑκατέροις γοῦν ὄρη* d *κατάσκια λέλεκται, καὶ ἡγοῦμαι τοῦ παραδείσου τοῦ θεοῦ τυγχάνειν, ὃν ἐφύτευσεν ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, ἢ καὶ τῆς ἐπουρανίου Ἱερουσαλήμ. "ὄρη γὰρ κύκλῳ αὐτῆς, καὶ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ."* 12. *ταῦτα γοῦν διὰ τὸ πλήρη τυγχάνειν θείων δυ-*

---

18 Zach. 1, 8. 28 Ps. 125, 2.

νάμεων καὶ πνευμάτων ἁγίων ὡς ἂν σύμφυτα καὶ ἀμφιλαφῆ κατάσκια λέγεται. ἀλλ' ἐν μὲν τῷ Ζαχαρίᾳ σαφῶς ἀνὴρ ἐποχούμενος ἵππῳ πυρρῷ θεωρεῖται, οὕτω τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως καὶ τῆς σαρκὸς, ᾗ ἐπωχήσατο, δηλουμένης· ἐνταῦθα δὲ ὁ θεὸς καὶ ἅγιος ὠνόμασται. 13. ὡς γὰρ ἐκ θεοῦ εἰς ἀνθρώπους τὴν ἄφιξιν πεποιημένος, καὶ ὡς ἂν ἐκ
[174] τῶν θειοτέρων χωρίων ἐπιφοιτήσας, λέγεται "ὁ θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου,
(281) δασέος." εἶτα ἑξῆς ἐπιλέγει "ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ, καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται." 14. δι' ὧν ὁμοῦ ἥ τε εἰς οὐρανοὺς ἔνδοξος αὐτοῦ βασιλεία παρίσταται καὶ ἡ μετὰ ταῦτα γενομένη τε καὶ ἐπὶ πλέον γενησομένη εἰς πᾶσαν τὴν γῆν τῆς περὶ αὐτοῦ διδασκαλίας αἴνεσις. τὸ δὲ "κέρατα ἐν ταῖς χερσὶν αὐτοῦ" τῆς βασιλείας αὐτοῦ τὰ σύμβολα δηλοῖ, δι' ὧν κεράτων τὰς ἀοράτους καὶ ἀντικειμένας δυνάμεις ὠθούμενος καὶ κερατίζων ἀπελαύνει. ἀκολούθως τούτοις
b ἐπιλέγει "καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ." 15. καὶ τῆς γε εἰς ἀνθρώπους κραταιᾶς διαθέσεως αὐτοῦ καὶ ἀγάπης δεῖγμα μέγιστον ἦν τὸ "πρὸ προσώπου αὐτοῦ πορευθῆναι λόγον," δηλονότι τὸν σωτήριον καὶ εὐαγγελικὸν, ἐξελθόντα τε τοῦτον διαδραμεῖν εἰς πεδία, ὥστε ἐν ὀλίγῳ πᾶσαν πληρῶσαι τὴν οἰκουμένην τῆς ὑπ' αὐτοῦ προξενηθείσης ἅπασιν ἀνθρώποις σωτηρίας ἀκολούθως τῇ προφητείᾳ φησάσῃ "πρὸ προσώπου αὐτοῦ προπορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς πεδία." κατὰ τὴν δευτέ-
c ραν δὲ αὐτοῦ παρουσίαν ἔτι μᾶλλον καὶ κυριώτερον ὁ λόγος αὐτοῦ πέρας ἐπιθήσει τοῖς τε εἰρημένοις καὶ τοῖς ἑξῆς ἐπιφερομένοις, ἃ καὶ οὐ νῦν ἐξετάζειν καιρός.

Ἀπὸ τοῦ Ζαχαρίου.

XVI. "Τάδε λέγει κύριος παντοκράτωρ, ὀπίσω d δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς· διότι ὁ ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτούς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύσασιν αὐτοῖς, καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με."

2. Κύριος αὐτὸς ὁ παντοκράτωρ ἐν τούτοις ἑαυτὸν ἀπεστάλθαι φησί, καὶ τὸν ἀποστείλαντα ὅστις εἴη διδάσκει, λέγων "καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με." οὐκοῦν καὶ ἐνταῦθα δύο σαφῶς ἔχεις μιᾷ χρωμένους προσηγορίᾳ, τόν τε ἀποστείλαντα κύριον παντοκράτορα καὶ τὸν ἀποστελλόμενον ὁμώνυμον τῷ ἀποστείλαντι. 3. τίνα δ' ἂν ἕτε- (282) ρον εἴποις τὸν ἀποστελλόμενον ἢ τὸν διὰ πλειόνων ἡμῖν προηγορευμένον θεὸν λόγον, πρὸς τοῦ πατρὸς ἀπεστάλθαι ὁμολογοῦντα, σαφῶς δὲ εἰρηκότα "ὀπίσω δόξης ἀπέσταλκέ με;" δηλῶν ὅτι προϋπάρχων ἐν δόξῃ τῇ παρὰ τῷ πατρὶ μετὰ ταῦτα ἀπέσταλτο ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς· ἐπὶ γὰρ τὰ πρότερον ἐχθρὰ καὶ πολέμια τοῦ λαοῦ τοῦ θεοῦ ἔθνη ἀποσταλεὶς ὁ τοῦ θεοῦ λόγος ταῦθ' ὑφ' ἑαυτὸν ἠγάγετο, σκυλεύσας αὐτὰ διὰ τῶν αὐτοῦ μαθητῶν, οἵτινες ἦσαν μέρος b τοῦ ἐκ περιτομῆς λαοῦ, ὅντινα πάλαι καταδεδούλωντο τὰ ἔθνη σκυλεύσαντα αὐτὸν τῇ οἰκείᾳ εἰδωλολατρίᾳ. 4. ταῦτ' οὖν φησι πείσεσθαι τὰ ἔθνη ἅπερ διατέθεικεν. ὡς γὰρ τὸν λαὸν τοῦ θεοῦ τῆς πατρῴας εὐσεβείας μεταστησάμενα σκῦλα τοῖς ἰδίοις δαίμοσι κατε-

---

2 Zach. 2, 8.

στήσαντο, οὕτω ποτὲ καὶ αὐτὰ τῆς πατρικῆς εἰδωλολατρίας πρὸς τῶν πάλαι δεδουλευκότων αὐτοῖς σκυλευθήσονται, καὶ ὑπὸ τὸν ζυγὸν τῆς καθ' Ἑβραίους εὐσεβείας μεταστήσονται. τοῦτο δὲ ἔσεσθαί φησιν ὁ c *κύριος δι' ἑαυτοῦ ἐπὶ τῷ τοιῷδε κατορθώματι πρὸς τοῦ πατρὸς ἀποσταλησομένου.* 5. *εἴποι δ' ἄν τις καὶ* [175] *νοητάς τινας καὶ ἀοράτους δυνάμεις ἔθνη νῦν ὀνομάζεσθαι τὰ σκυλεύσαντα καὶ αἰχμαλωτεύσαντα τὰς τῶν ἀνθρώπων ψυχάς, ὧν ψυχῶν οὕτω φησὶ κήδεσθαι ὁ φιλάνθρωπος τοῦ θεοῦ λόγος ὡσεί τις ἰδίας ὀφθαλμοῦ κόρης· καὶ δεῖγμα τῆς τοιᾶσδε αὐτοῦ περὶ τὸ τῶν ἀνθρώπων γένος κηδεμονίας τὸ μηδ' ὑπο-* d *στείλασθαι αὐτόν, θεοῦ λόγον ὄντα καὶ ἐν δόξῃ τῇ παρὰ τῷ πατρὶ τυγχάνοντα, τὴν εἰς ἀνθρώπους ἐπιδημίαν τε καὶ οἰκονομίαν ἀναδέξασθαι.*

Ἀπὸ τοῦ αὐτοῦ.

(283) XVII. "*Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιών, διότι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος, καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν, καὶ κατασκηνώσω ἐν μέσῳ σου, καὶ γνώσῃ ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σέ.*"

2. *Ἐπεὶ πρόκειται νῦν τὸ δεύτερον αἴτιον ἐκ τῶν προφητῶν ἀποδεῖξαι ἀνθρώποις μέλλον ἐπὶ γῆς συμπολιτεύεσθαι, οἶμαι τούτου παραστατικὸν εἶναι καὶ τὴν παροῦσαν προφητείαν, ὡς διὰ τὸ πρόδηλον μηδὲ* b *πλείονος ἐξεργασίας δεῖσθαι. τηρήσεις δὲ ὅτι καὶ τὴν αἰτίαν αὖθις τῆς ἀφίξεως αὐτοῦ δηλοῖ ἐν οἷς φησι*

17 Zach. 2, 10.

"καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν." 3. ταῦτα δὲ ὁ λόγος τὴν θυγατέρα Σιὼν εὐαγγελίζεται, οὕτω τὴν ἐκκλησίαν τοῦ θεοῦ προσαγορεύων, διὰ τὸ τῆς ἐπουρανίου Ἱερουσαλὴμ θυγατέρα εἶναι δοκεῖν, μητρὸς οὔσης ἐκείνης τῶν ἁγίων, κατὰ τὸν ἱερὸν ἀπόστολον. 4. ἢ καὶ ἄλλως θυγάτηρ Σιὼν ἡ ἐκκλησία Χριστοῦ λεχθείη ἄν, ὡς ἂν ἐκ τῆς προτέρας συναγωγῆς τῶν ἐκ περιτομῆς διά τε ἀποστόλων καὶ εὐαγγελιστῶν c ὑποστᾶσα, οἳ καὶ γεννήματα ἐτύγχανον μητρὸς τῆς ἀπορριφείσης διὰ τὰς οἰκείας δυσσεβείας, καὶ χήρας γεγενημένης διὰ τὸ ἀπελάσαι τὸν ἄνδρα, διὰ τῶν προφητῶν ἐπιμεμψάμενον αὐτῇ καὶ φήσαντα "οὐχ ὡς ἄνδρα με ἐκάλεσας καὶ πατέρα καὶ ἀρχηγὸν τῆς παρθενίας σου;" ὃς καὶ τοῖς ἐξ αὐτῆς γενομένοις τὸν τρόπον τῆς μητρὸς διαβάλλων φησὶ "ποῖον τοῦτο τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξαπέστειλα αὐτήν;" καὶ πάλιν "κρίθητε πρὸς τὴν d μητέρα ὑμῶν, κρίθητε, ὅτι αὕτη οὐ γυνή μου, κἀγὼ οὐκ ἀνὴρ αὐτῆς." 5. εἰκότως δῆτα ὡς ἂν τὴν μητέρα ἀπαρνησαμένους τοῦ κυρίου τὴν θυγατέρα ἡ παροῦσα προφητεία εὐαγγελίζεται τὴν αὐτοῦ τοῦ κυρίου παρουσίαν. εἴη δ' ἂν αὕτη ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἐν χώρᾳ θυγατρὸς τῆς προτέρας διὰ τοὺς ἀποστόλους τοῦ σωτῆρος ἡμῶν λελογισμένη.

Ἀπὸ τοῦ αὐτοῦ. (284)

XVIII. "Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ κυρίου, καὶ διαμερισθήσονται τὰ σκῦλά σου ἐν σοί, καὶ ἐπισυνάξω b

---

14 Jer. 3, 4. 16 Es. 50, 1. 18 Os. 2, 2.
27 Zach. 14, 1.

πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ [176] μου οὐ μὴ ἐξολοθρευθῶσι, καὶ ἐξελεύσεται κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου. καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος c τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλὴμ ἐξ ἀνατολῶν, καὶ σχισθήσεται τὸ ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς θάλασσαν, χάος μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸν βορρᾶν καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον. 2. καὶ ἐμφραχθήσεται ἡ κοιλὰς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται ἡ φάραγξ ὀρέων ἕως Ἀσαὴλ, καὶ ἐμφραχθήσεται ὃν τρόπον ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα. καὶ παρέσται κύριος ὁ θεός μου καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἔσται φῶς, ἀλλὰ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν. 3. καὶ ἡ d ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα, καὶ οὐχὶ νὺξ, τὸ πρὸς ἑσπέραν ἔσται φῶς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. καὶ ἔσται κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον."

4. Μετὰ τὴν πρώτην πολιορκίαν τῆς Ἱερουσαλὴμ καὶ τὴν παντελῆ καθαίρεσιν αὐτῆς καὶ ἐρήμωσιν τὴν ὑπὸ Βαβυλωνίων καὶ μετὰ τὴν ἀπὸ τῆς πολεμίας γῆς

ἐπὶ τὴν οἰκείαν ἐπάνοδον, τὴν ἐπὶ Κύρου τοῦ Περσῶν βασιλέως γενομένην, ἄρτι τῆς Ἱερουσαλὴμ ἀνεγηγερμένης, ἀνανεωθέντος δὲ τοῦ ἁγιάσματος καὶ τοῦ πρὸς αὐτῷ θυσιαστηρίου ἐπὶ Δαρείου τοῦ Πέρσου, ὁ παρὼν προφήτης θεσπίζει, τὴν μετὰ ταῦτα δευτέραν (286) πολιορκίαν τῆς Ἱερουσαλὴμ σημαίνων, ἣν πέπονθεν ὑπὸ Ῥωμαίων οὐκ ἄλλοτε ἢ μετὰ τὰ κατὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς οἰκήτορσιν αὐτῆς τετολμημένα. 5. ἐναργέστατα τοιγαροῦν καὶ ἐνταῦθα τοῦ σωτῆρος ἡμῶν τοῦ θεοῦ λόγου ἡ παρουσία καὶ τὰ ἐπὶ ταύτῃ συμβεβηκότα δηλοῦνται. ταῦτα δὲ ἦν ὁμοῦ τὰ περὶ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ πεπραγμένα, καὶ ἡ παραυτίκα τῷ Ἑβραίων ἔθνει ἐπελθοῦσα πολιορκία, καὶ τῆς Ἱερουσαλὴμ ἡ ἅλωσις, καὶ ἡ πρὸς τούτοις κλῆσις τῶν ἐθνῶν, τοῦ τε ἑνὸς καὶ μόνου θεοῦ εἰς πᾶν γένος ἀνθρώπων ἐπίγνωσις. 6. ὅ γε b μὴν πνευματοφόρος προφήτης περιπαθέστερον ὡς ἂν ἐπ' οἰκείοις ὀλοφυρόμενος τοῖς ἐκ περιτομῆς, ἐκ τῆς κατ' αὐτῶν ἐκφωνήσεως τὴν καταρχὴν πεποίηται τῆς προφητείας. ἡμέρας δὴ οὖν τοῦ κυρίου, ὥσπερ οὖν καὶ ἐν ἑτέροις κἀνταῦθα ὀνομάζει, οὕτως τὸν χρόνον τῆς εἰς ἀνθρώπους τοῦ Χριστοῦ παρουσίας σημαίνων, καὶ σαφῶς δηλῶν ὡς ἄρα ὁ κύριος αὐτὸς, οἷα φῶς ἀληθινὸν τυγχάνων, ἰδίων ποιητής ποτε γενήσεται c ἡμερῶν, τοῖς τε ἐπὶ γῆς ἅπασιν ἀνθρώποις ἐπιλάμψει, τῶν ἐθνῶν ἁπάντων αὐτόν τε καὶ τὰς ἀκτῖνας τοῦ φωτὸς αὐτοῦ καταδεξαμένων, ὅτε τῶν ἐθνῶν ἁπάντων φωτιζομένων, κατὰ τὸ "τέθεικά σε εἰς φῶς ἐθνῶν, εἰς διαθήκην γένους," τὸ Ἰουδαίων ἔθνος διὰ τὴν εἰς αὐτὸν ἀπιστίαν τοῖς ἐσχάτοις περιπεσεῖται

---

28 Es. 42, 6.

δεινοῖς. 7. τοιοῦτον γάρ ἐστι τὸ "ἰδοὺ ἡμέραι ἔρχον-
ται τοῦ κυρίου, καὶ διαμερισθήσονται τὰ σκῦλά σου
ἐν σοί, καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσα-
λὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρ-
παγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσον-
d ται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμα-
λωσίᾳ." 8. μετὰ δὲ τὴν τῆς Ἱερουσαλὴμ πολιορκίαν,
καὶ τὴν μετ' αὐτὴν αἰχμαλωσίαν τοῦ Ἰουδαίων ἔθνους,
ἐπιλέγει ἑξῆς ἀγαθὰ τοῖς πᾶσι θεσπίζων "καὶ ἔσται
κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν." καὶ πάλιν
[177] "ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν
πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον. 9. ἀλλὰ γὰρ καὶ τὸ
Ἰουδαίων ἔθνος τοιαῦτα πείσεσθαι ἐν ταῖς τοῦ κυ-
ρίου ἡμέραις τῆς προρρήσεως ἀποφηναμένης, τίς οὐκ
ἂν θαυμάσειε τῆς προρρήσεως τὸ ἀποτέλεσμα; ἅμα
γὰρ Ἰησοῦς ὁ σωτὴρ καὶ κύριος ἡμῶν παρῆν, ἠσέ-
βουν τε εἰς αὐτὸν οἱ ἐκ περιτομῆς, καὶ πάντα αὐτοῖς
ἀθρόως τὰ προηγορευμένα μετὰ πεντακοσιοστὸν ἔτος
(286) τῆς προρρήσεως τέλους ἐτύγχανεν, ἐξ αὐτοῦ Πιλάτου
καὶ μέχρι τῆς κατὰ Νέρωνα καὶ Τίτον καὶ Οὐεσπα-
σιανὸν πολιορκίας οὐ διαλελοιπότων αὐτοὺς παντοίων
καὶ ἐπαλλήλων συμφορῶν, ὡς πάρεστιν ἐκ τῆς Φλαυ-
ίου Ἰωσήπου γραφείσης ἱστορίας ἀναλέξασθαι. 10.
τότε μὲν οὖν εἰκὸς τὸ ἥμισυ τῆς πόλεως ἀπολωλέναι
τῇ πολιορκίᾳ, ὥς φησιν ἡ προφητεία· μετ' οὐ πολὺν
δὲ χρόνον, κατὰ Ἀδριανὸν αὐτοκράτορα κινήσεως
αὖθις Ἰουδαϊκῆς γενομένης, τὸ λοιπὸν τῆς πόλεως
b μέρος ἥμισυ πολιορκηθὲν αὖθις ἐξελαύνεται, ὡς ἐξ
ἐκείνου καὶ εἰς δεῦρο πάμπαν ἄβατον αὐτοῖς γενέ-
σθαι τὸν τόπον. 11. εἰ δὲ λέγοι τις κατὰ Ἀντίοχον
τὸν Ἐπιφανῆ ταῦτα πεπληρῶσθαι, σκεψάσθω εἰ οἷός
τέ ἐστιν ἀποδιδόναι καὶ τὰ λοιπὰ τῆς προφητείας

κατὰ τοὺς Ἀντόχου χρόνους· οἷον τὸ αἰχμαλωσίαν πεπονθέναι τὸν λαὸν, καὶ τὸ στῆναι τοὺς πόδας κυρίου ἐπὶ τὸ τῶν ἐλαιῶν ὄρος, καὶ εἰ γέγονε κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἰ τὸ ὄνομα κυρίου ἐκύκλωσε τὴν γῆν πᾶσαν καὶ τὴν ἔρημον, ὅτε τῆς Συρίας Ἀντίοχος ἐκράτει· καὶ τὰ λοιπὰ δὲ τῆς προρρήσεως ὁποίου τέλους ἔτυχεν Ἀντιόχου βασιλεύοντος πῶς τις ἀποδώσει; 12. καθ' c ἡμᾶς δὲ ταῦτα καὶ πρὸς λέξιν μὲν ἀποδέδοται, καὶ καθ' ἑτέραν δὲ διάνοιαν· μετὰ γὰρ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν ἡ πόλις αὐτῶν, αὕτη γε ἡ Ἱερουσαλὴμ, καὶ τὸ πᾶν σύστημα καὶ πολίτευμα τῆς κατὰ τὸν νόμον Μωσέως θρησκείας καθῃρεῖτο· αὐτίκα δὲ τὴν κατὰ διάνοιαν αἰχμαλωσίαν πρὸς τῇ σωματικῇ πεπόνθασι, τὸν σωτῆρα καὶ λυτρωτὴν τῶν ἀνθρωπίνων ψυχῶν μὴ παραδεξάμενοι, τὸν ἐλθόντα κηρῦξαι τοῖς ὑπὸ δαιμόνων πονηρῶν αἰχμαλώτοις d ἄφεσιν καὶ τοῖς τὰς διανοίας τυφλοῖς ἀνάβλεψιν. 13. ταῦτα δὲ πεπονθότων ἐκείνων διὰ τὴν ἀπιστίαν αὐτῶν, οἱ τὸν σφῶν λυτρωτὴν ἐπιγνόντες, οἰκεῖοί τε αὐτοῦ γενόμενοι μαθηταὶ καὶ ἀπόστολοι καὶ εὐαγγελισταὶ, πλεῖστοί τε ἄλλοι τῶν ἐκ περιτομῆς εἰς αὐτὸν πεπιστευκότων, περὶ ὧν φησιν ὁ ἀπόστολος "οὕτω καὶ νῦν λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονε." 14. καὶ τὸ "εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα ἂν ὡμοι- (287) ώθημεν·" τῆς νενοημένης ἡμῖν κατὰ διάνοιαν πολιορκίας ἄπειροι διεφυλάχθησαν οὐ μόνον, ἀλλὰ καὶ τῆς πρὸς λέξιν ἀποδοθείσης. οἱ γοῦν ἀπόστολοι καὶ μαθηταὶ τοῦ σωτῆρος ἡμῶν, καὶ πάντες οἱ ἐξ Ἰουδαίων

17 Es. 61, 1. Luc. 4, 18. 23 Rom. 11, 5. 25 Es. 1, 9.

*εἰς αὐτὸν πεπιστευκότες, μακρὰν τῆς Ἰουδαίας γῆς
γενόμενοι, καὶ τοῖς λοιποῖς ἔθνεσιν ἐπισπαρέντες, τὸν
κατὰ τῶν οἰκούντων τὴν πόλιν ὄλεθρον διαδρᾶναι
τότε ἠδυνήθησαν.* 15. *καὶ τοῦτο δὲ ἡ προφητεία
προλαβοῦσα ἐθέσπισε δι' ὧν ἔφησεν "οἱ δὲ κατάλοι-
b ποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν." οἷς ἑξῆς
ἐπιλέγει "καὶ ἐξελεύσεται κύριος καὶ παρατάξεται ἐν
τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐ-
τοῦ ἐν ἡμέρᾳ πολέμου."* 16. *ἐν ποίοις δὲ ἔθνεσι κύ-
ριος παρατάξεται ἢ ἐν τοῖς τὴν Ἱερουσαλὴμ πολιορ-
κήσουσι; δηλοῖ δὲ ὁ λόγος αὐτὸν τὸν κύριον συμμα-
χήσειν τοῖς πολιορκοῦσιν, ἐν αὐτοῖς ὄντα καὶ σὺν
αὐτοῖς παρατατττόμενον, ὥσπερ τινὰ στρατηγὸν καὶ
ὑπέρμαχον αὐτῶν κατὰ τῆς Ἱερουσαλὴμ στρατευό-
[178] μενον.* 17. *οὐ γάρ φησιν ὁ λόγος τὸν κύριον κατὰ
c τῶν ἐθνῶν παρατάξεσθαι. τίσιν δὲ καὶ κατὰ τίνων;
κατὰ τῆς Ἱερουσαλὴμ καὶ τῶν οἰκητόρων αὐτῆς, περὶ
ὧν ἦν ὁ λόγος. τὸ δὲ "καὶ στήσονται οἱ πόδες αὐτοῦ
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ κατέ-
ναντι Ἱερουσαλὴμ, ἐξ ἀνατολῶν" τί ἕτερον δηλοῖ ἢ
κυρίου τοῦ θεοῦ, αὐτοῦ δὴ τοῦ θεοῦ λόγου, τὴν ἐπὶ
τῆς ἐκκλησίας αὐτοῦ στάσιν τε καὶ βεβαίωσιν, ἣν ὄρος
ἐλαιῶν ἐπὶ τοῦ παρόντος κατὰ τρόπον ἀλληγορίας
ὀνομάζει;* 18. *ὡς γὰρ ἀμπελὼν ἐγενήθη τῷ ἠγαπη-
μένῳ, καὶ ἦν ἀμπελὼν κυρίου Σαβαὼθ ἀλληγορικῶς
ὁ οἶκος τοῦ Ἰσραὴλ, καὶ ἄμπελος τοῦ Ἰούδα νεόφυτον
ἠγαπημένον, οὕτω δὴ κατὰ τὴν αὐτὴν θεωρίαν εἴποις
d ἂν ὅτι δὴ καὶ ἐλαιὼν ἐγενήθη τῷ δεσπότῃ ἡ ἐξ ἐθνῶν
ἐκκλησία αὐτοῦ, ἣν πάλαι ἀγριέλαιον οὖσαν κατεφύ-
τευσεν, ἐγκεντρίσας ἐπὶ τὰς ἀποστολικὰς τῆς καλλιε-*

---

24 Es. 5, 1.

λαίου ῥίζας μετὰ τὴν τῶν προτέρων κλάδων ἐκτομὴν, ὥσπερ οὖν ὁ ἀπόστολος παιδεύει "καὶ κατεφύτευσέ γε αὐτὴν ὁ κύριος ἑαυτῷ," μονονουχὶ διὰ τῆς προφητείας λέγων "ἐλαίαν ὡραίαν εὔσκιον ἐκάλεσε κύριος τὸ ὄνομά σου." 19. ἐπεὶ γὰρ ὁ πρῶτος ἀμπελὼν δέον ποιῆσαι σταφυλὴν ἐποίησεν ἀκάνθας, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγὴν, εἰκότως ὡς ἂν ἀκάρπου αὐτοῦ καθελὼν ὁ θεὸς τὸν φραγμὸν αὐτοῦ καὶ τὸν τοῖχον αὐτοῦ, παραδούς τε αὐτὸν τοῖς ἐχθροῖς εἰς διαρπαγὴν καὶ καταπάτησιν, κατὰ τὴν τοῦ Ἡσαΐου προφη- (288) τείαν, ἕτερον αὐτὸς ἑαυτῷ ἀγρὸν συνεστήσατο, τὸν ἐπὶ τοῦ παρόντος ἐλαιῶνα ὀνομαζόμενον, ἅτε τοῦ ἐκ θεοῦ ἐλέους τετυχηκότα, καὶ πρὸς τοῦ Χριστοῦ καταφυτευθέντα ἀειθαλέσι φυτοῖς, τοῦτ' ἔστι ψυχαῖς ἁγίαις καὶ φωτὸς θρεπτικαῖς, οἵαις τε λέγειν "ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ." 20. τοῦτο δὲ τὸ τῶν ἐλαιῶν ὄρος κατέναντι τῆς Ἱερουσαλὴμ εἶναι λέλεκται, ἐπειδήπερ ἀντὶ τῆς παλαιᾶς ἐπιγείου Ἱερουσαλὴμ καὶ τῆς ἐν αὐτῇ θρησκείας συνέστη τῷ θεῷ μετὰ τὴν τῆς Ἱερουσαλὴμ καθαίρε- b σιν. φήσας γοῦν ἀνωτέρω ὁ λόγος περὶ τῆς Ἱερουσαλὴμ "ὡς ἁλώσεται ἡ πόλις, καὶ τὰ ἐχθρὰ καὶ πολέμια ἔθνη συναχθήσεται ἐπ' αὐτὴν, καὶ διαμερισθήσεται τὰ σκῦλα αὐτῆς," εἰκότως οὐκ ἐπὶ τῆς Ἱερουσαλὴμ τοὺς πόδας τοῦ κυρίου στήσεσθαί φησι. 21. πῶς γὰρ καὶ οἷόν τε ἦν ἅπαξ καθῃρημένης; μεταβάντων δὲ ἐξ αὐτῆς ἐπὶ τὸ ἄντικρυς τῆς Ἱερουσαλὴμ ὄρος τὸ καλούμενον ἐλαιῶν, ἐνταῦθα στήσεσθαι διδάσκει. τοῦτο δὲ καὶ ὁ προφήτης Ἰεζεκιὴλ τῷ θείῳ πνεύματι προ- c

---

2 Rom. 11, 24. 4 Jer. 11, 16. 5 Es. 5, 4.
15 Ps. 52, 8.

λαβὼν θεωρεῖ. 22. λέγει δὴ οὖν "καὶ ἐξήγειρε τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ ἡ δόξα θεοῦ Ἰσραὴλ ἦν ἐπ' αὐτοῖς ὑπεράνω αὐτῶν, καὶ ἀνέβη ἡ δόξα κυρίου ἐκ μέσου τῆς πόλεως, καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι τῆς πόλεως." 23. ὅπερ ἐστὶ καὶ ἄλλως πρὸς λέξιν ὁρᾶν πεπληρωμένον εἰσέτι καὶ σήμερον, τῶν εἰς Χριστὸν πεπιστευκότων ἁπάντων πανταχόθεν γῆς συντρεχόντων, οὐχ ὡς πάλαι τῆς κατὰ τὴν Ἱερουσαλὴμ ἀγλαΐας ἕνεκα, οὐδ' ὥστε προσκυνῆσαι ἐν τῷ πάλαι
a συνεστῶτι ἐπὶ τῆς Ἱερουσαλὴμ ἁγιάσματι, καταλύειν δὲ ἕνεκεν ἱστορίας τε ὁμοῦ τῆς κατὰ τὴν προφητείαν ἁλώσεως καὶ ἐρημίας τῆς Ἱερουσαλήμ, καὶ τῆς ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλὴμ προσκυνήσεως, ἔνθα ἡ δόξα κυρίου μετέστη καταλείψασα τὴν προτέραν πόλιν. ἔστησαν δὲ ἀληθῶς καὶ κατὰ τὴν πρόχειρον καὶ ῥητὴν διήγησιν οἱ πόδες τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν, αὐτοῦ δὴ τοῦ θεοῦ λόγου, δι' οὗ ἀνείληφεν ἀνθρωπείου σκήνους ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν πρὸς τῷ αὐτόθι δεικνυμένῳ σπηλαίῳ, εὐξαμένου τε καὶ τοῖς ἑαυτοῦ μαθηταῖς ἐπὶ τῆς ἀκρωρείας τοῦ τῶν ἐλαιῶν ὄρους τὰ περὶ τῆς συντελείας μυστήρια παραδεδωκότος, ἐντεῦθέν τε τὴν εἰς οὐρα-
[179] νοὺς ἄνοδον πεποιημένου, ὡς ὁ Λουκᾶς ἐν ταῖς Πρά-
(289) ξεσι τῶν ἀποστόλων διδάσκει φάσκων ὅτι δὴ ἐν τῷ τῶν ἐλαιῶν ὄρει συμπαρόντων αὐτῷ τῶν ἀποστόλων "βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν." 24. καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆσι

---

1 Ez. 11, 22. 27 Act. 1, 9

λευκαῖς, οἳ καὶ εἶπον, ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν." 25. οἷς ἐπιφέρει λέγων "τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστι κατέναντι Ἱερουσαλήμ." 26. ἔστι μὲν οὖν καὶ b πρὸς λέξιν κατέναντι Ἱερουσαλὴμ καὶ ἐξ ἀνατολῶν αὐτῆς τὸ δηλούμενον τῶν ἐλαιῶν ὄρος. πλὴν ἀλλὰ κατὰ τὴν διάνοιαν ἡ ἁγία Χριστοῦ ἐκκλησία, καὶ τὸ ὄρος ἐφ᾽ ᾧ τεθεμελίωται, περὶ οὗ διδάσκει λέγων ὁ σωτὴρ "οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη," ἀντὶ τῆς πεσούσης καὶ μὴ ἐγερθείσης Ἱερουσαλὴμ ἀνεγερθεῖσα, καὶ τῶν ποδῶν τοῦ κυρίου καταξιωθεῖσα, οὐ μόνον κατέναντί ἐστιν Ἱερουσαλήμ, ἀλλὰ καὶ ἐξ ἀνατολῶν αὐτῆς, προσλαβοῦσα τὰς αὐγὰς τοῦ τῆς θεοσεβείας φωτός, καὶ πολὺ προτέρα τῆς Ἱερουσαλὴμ γενομένη, αὐτῷ τε πλησιάσασα τῷ τῆς δικαιο- c σύνης ἡλίῳ, περὶ οὗ λέλεκται "τοῖς δὲ φοβουμένοις με ἀνατελεῖ ἥλιος δικαιοσύνης."

27. Εἰ δὲ λέγοι τὸ ἑξῆς ὅτι "σχισθήσεται τὸ ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ θάλασσαν, χάος μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ αὐτοῦ πρὸς τὸν βορρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον," δύναται μὲν τὴν καθ᾽ ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἐξάπλωσιν τῆς ἐκκλησίας σημαίνειν, ἐπεὶ καὶ ἀνατολὰς ἡλίου, αὐτά τε τὰ ἑῷα καὶ ἀνατολικὰ ἔθνη πεπλήρωκεν, διατείνει δὲ καὶ ἐπὶ τὴν δυτικὴν θάλασ- d σαν τάς τε ἐν αὐτῇ νήσους· οὐ μὴν ἀλλ᾽ ἔφθακε κατά τε νότον καὶ μεσημβρίαν, κατά τε βορρᾶν καὶ

12 Matth. 5, 14. 21 Mal. 4, 2.

ἄρκτον. 28. πάντη γὰρ καὶ πανταχοῦ ὁ σημαινόμενος τροπικῶς τοῦ κυρίου ἐλαιὼν ἡ ἐκκλησία αὐτοῦ καταπεφύτευται. δύναται δὲ καὶ κατὰ διάνοιαν τὰ ἐπὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας γενόμενά τε καὶ εἰσέτι νῦν γινόμενα σχίσματα καὶ τὰς αἱρέσεις τάς τε ἠθικὰς κατὰ τὸν βίον ἀποπτώσεις αἰνίττεσθαι σχισθέντα· φησὶ γὰρ "τὸ ὄρος διαστήσεσθαι, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς θάλασσαν, χάος μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους
(290) πρὸς τὸν βορρᾶν καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον," ὡς εἰς τέσσαρα μέρη διαιρεῖσθαι, δύο μὲν τὰ σεμνότερα καὶ κρείττω, δύο δὲ τὰ ἐναντία. 29. καὶ ὅρα μή ποτε διὰ τούτων τὸ μὲν πρὸς ἀνατολὰς καὶ πρὸς νότον δύο τάγματα σημαίνει τῶν τῆς κατὰ θεὸν προκοπῆς ἐπειλημμένων, ἓν μὲν τῶν ἐν γνώσει καὶ λόγῳ καὶ τοῖς λοιποῖς τοῦ θείου πνεύματος χαρίσμασι τελειουμένων, θάτερον δὲ τῶν διὰ βίου κατορθούντων, ἐν ἐκλογαῖς γε μὴν διατριβόντων. 30. τὰ δὲ λοιπὰ δύο μέρη τῶν προτέρων διῃρημένα εἴη ἄν, τὸ κατὰ
b θάλασσαν καὶ πρὸς βορρᾶν, ἀμφότερα πρὸς τῇ κακίᾳ σημαινόμενα. "ἀπὸ προσώπου γὰρ (φησὶ) βορρᾶ ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν·" ὅ τε δράκων ἐπὶ τῆς θαλάσσης ποιεῖσθαι τὰς διατριβὰς λέγεται. 31. ὥστε εἰκότως κἀνταῦθα τῶν ἀπὸ τῆς ἐκκλησίας ἀποπιπτόντων δύο πάλιν δηλοῦσθαι τρόπους, τόν τε κατὰ τὸ ἦθος ἁμαρτάνοντα καὶ τὸν τῆς ὑγιοῦς καὶ ὀρθοδόξου γνώσεως ἐξολισθαίνοντα, ὡς εἶναι ταύτας τοῦ δηλουμένου τοῦ ἐλαιῶνος ὄρους τὰς ὑπὸ τῆς προφητείας αἰνιττομένας διαστάσεις.

---

21 Jer. 1, 14. 22 Es. 27, 1.

32. Τούτοις ἑξῆς ἐπιλέγεται "καὶ ἐμφραχθήσεται ἡ κοιλὰς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως Ἀσαήλ. καὶ ἐμφραχθήσεται, ὃν τρόπον c
ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα." κοιλὰς δὲ ἐν τούτοις τῶν [180]
ὀρέων τοῦ θεοῦ τίς ἂν εἴη ἢ ἡ κατὰ τὸν Μωσέως νόμον ἐν τῇ Ἱερουσαλὴμ πάλαι πρότερον συντελουμένη σωματικὴ καὶ Ἰουδαϊκὴ θρησκεία, ἣν ἀποκλεισθήσεσθαι ὥσπερ ἀποφραχθεῖσαν ὁ παρὼν λόγος θεσπίζει φάσκων "καὶ ἐμφραχθήσεται ἡ κοιλὰς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως Ἀσαὴλ, καὶ ἐμφραχθήσεται;" 33. ἀνθ' ὧν ὁ Σύμμαχος πεποίηκε "καὶ ἐμφραχθήσεται ἡ φάραγξ τῶν ὀρέων μου, καὶ ἔτι ἐγγιεῖ ἡ φάραγξ τῶν ὀρέων πρὸς τὸ παρακεί- d
μενον, καὶ ἐμφραχθήσεται," δι' ὧν παρίστησι τὸ αἴτιον τῆς ἐμφραχθείσης φάραγγος. τί δὲ ἦν τοῦτο ἀλλ' ἢ τὸ ἐγγίσαι αὐτὴν καὶ πλησιάσαι τῷ παρακειμένῳ αὐτῇ; τοῦτο δὲ ἦν τὸ τοῦ κυρίου ὄρος τὸ τῶν ἐλαιῶν προωνομασμένον, ὅπερ Ἀσαὴλ ὠνόμασται παρὰ τοῖς ἑβδομήκοντα. 34. δηλοῖ δὲ τοῦτο κατὰ τὴν Ἑβραίων φωνὴν ποίησιν θεοῦ. οὕτω δὲ, φησὶν, ἡ παλαιὰ φάραγξ πλησιάσασα τῷ ὄρει καὶ τῇ Χριστοῦ ἐκκλησίᾳ τῷ τε ποιήματι θεοῦ ἐμφραχθήσεται καὶ ἀποκλεισθήσεται, ὃν τρόπον ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα. 35.
ζητῶν δὲ παρ' ἐμαυτῷ καὶ τὰς θείας περιιὼν γραφὰς, (291)
εἴ ποτε ἐν ταῖς ἡμέραις Ὀζίου ἡ ἐνταῦθα δηλουμένη φάραγξ ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ, ἐν μὲν ταῖς τῶν Βασιλειῶν ἱστορίαις οὐδὲν ηὕρισκον· οὐδὲ γὰρ σωματικῶς κατ' αὐτὸν σεισμὸς γεγονὼς, οὔτε τι τοιοῦτο περὶ φάραγγος ἐν αὐταῖς εἰρημένον ἀναγέγραπται. 36. ἱστορεῖταί γε μὴν Ὀζίας ἐν ἀρχαῖς δίκαιος

γεγονέναι, εἶτα διαβέβληται ὡς ἐπαρθεὶς τῇ διανοίᾳ, καὶ δι᾽ αὐτοῦ θῦσαι τῷ θεῷ τολμήσας, διὸ καὶ λέ- b πραν αὐτῷ κατὰ τοῦ προσώπου ἀνθῆσαι. τοῦτο μὲν οὖν ἡ βίβλος τῶν Βασιλειῶν παρίστησιν· ὁ δέ γε Ἰώσηπος καὶ τὰς ἔξωθεν Ἰουδαϊκὰς δευτερώσεις ἀπηκριβωκὼς, ἅτε Ἑβραῖος ἐξ Ἑβραίων τυγχάνων, ἐπάκουσον οἷα γενέσθαι κατὰ τοὺς αὐτοῦ δηλοῖ χρόνους, λέγων "ὡς ἄρα κατεπειγόντων τὸν Ὀζίαν τῶν ἱερέων ἐξιέναι τοῦ ἱεροῦ, καὶ μὴ παρανομεῖν εἰς τὸν θεὸν, ὀργισθεὶς ἠπείλησεν αὐτοῖς θάνατον, εἰ μὴ τὴν ἡσυχίαν ἄξουσιν. 37. μεταξὺ δὲ σεισμὸς ἐκλόνησε τὴν c γῆν, καὶ διαστάντος τοῦ ναοῦ φέγγος λαμπρὸν ἐξέλαμψεν, καὶ τῇ τοῦ βασιλέως ὄψει προσέπεσεν, ὡς τῷ μὲν εὐθέως λέπραν ἐπιδραμεῖν, πρὸ δὲ τῆς πόλεως πρὸς τῇ καλουμένῃ Ἐρωγῇ τοῦ ὄρους ἀπορραγῆναι τὸ ἥμισυ τοῦ κατὰ τὴν δύσιν, καὶ κυλισθὲν τέσσαρας σταδίους ἐπὶ τὸ ἀνατολικὸν ὄρος στῆναι, ὡς τάς τε παρόδους ἐμφραχθῆναι καὶ τοὺς παραδείσους τοὺς βασιλικούς." 38. ταῦτά μοι ἀπὸ τοῦ συγγράμματος τῆς Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας κεί- d σθω. καὶ ἐν τῷ προφήτῃ δὲ Ἀμὼς εὗρον κατ᾽ ἀρχὰς τῆς προφητείας αὐτοῦ ὡς ὅτι ἤρξατο προφητεύειν ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. ποίου δὲ σεισμοῦ οὐκέτι σαφῶς ἐπιλέγει. 39. οἶμαι δὲ τὸν αὐτὸν προφήτην προϊόντα τὸν σεισμὸν ὑπογράφειν ἐν οἷς φησιν "εἶδον τὸν κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπε, πάταξον ἐπὶ τὸ θυσιαστήριον, καὶ σεισθήσεται τὰ πρόπυλα, καὶ διάκοψον εἰς κεφαλὰς πάντων, καὶ τοὺς καταλοίπους

---

4 2. Paralip. 26, 19. 5 Joseph. Ant. IX. 10, 4.
27 Amos. 9, 1.

αὐτῆς ἐν ῥομφαίᾳ ἀποκτενῶ." 40. δι' ὧν ἡγοῦμαι θεσπίζεσθαι τὸν σεισμὸν, καὶ τὴν καθαίρεσιν τῶν πάλαι σεμνῶν τοῦ Ἰουδαίων ἔθνους καὶ τῆς ἐπιτελουμένης ὑπ' αὐτῶν ἐν τῇ Ἱερουσαλὴμ θρησκείας, τήν τε ἀπώλειαν τὴν μετελθοῦσαν αὐτοὺς μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν, ὅτε παραιτησαμένων αὐτῶν τὸν Χριστὸν τοῦ θεοῦ, τὸν ἀληθῆ ἀρχιερέα, (292) λέπρα κατὰ τῶν ψυχῶν ἐξήνθησεν, ὥσπερ οὖν καὶ ἐπὶ τοῦ Ὀζίου, ὅτε καὶ ἀοράτῳ δυνάμει αὐτὸς ὁ κύριος ἐπιστὰς τῷ θυσιαστηρίῳ αὐτῶν τὴν ἐξουσίαν [181] ἔδωκε τῷ πατάσσοντι, φήσας "πάταξον τὸ θυσιαστήριον." 41. δυνάμει γοῦν τοῦτο ἐδήλου λέγων "ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος." αὐτίκα γοῦν ἐπὶ τῷ πάθει αὐτοῦ "τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἀπὸ ἄνωθεν ἕως κάτω," ὥσπερ οὖν ὁ Ἰώσηπος ἱστορεῖ γεγονέναι κατὰ τοὺς Ὀζίου χρόνους· εἶτα πρότερον μὲν ἐσείσθη τὰ πρόπυλα, ὅτε ἡ γῆ ἐσείσθη κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρόν· μετ' οὐ πολὺ δὲ καὶ b τὴν ἐσχάτην ὑπέμεινε πτῶσιν, λαβών τε τὴν ἐξουσίαν ὁ πατάσσων διέκοψεν εἰς κεφαλὰς ἁπάντων. 42. κατὰ τοῦτο δὴ οὖν τοῦ καιροῦ καὶ ἡ κοιλὰς τῶν τοῦ θεοῦ ὀρέων ἐνεφράγη, ὥσπερ οὖν γέγονεν ἐπὶ Ὀζίου· πρὸς μὲν ῥητὸν καὶ λέξιν κατὰ τὴν Ῥωμαίων πολιορκίαν, καθ' ἣν οἶμαι συμβῆναί τινα τοιαῦτα, πρὸς δὲ διάνοιαν ὅτε ἡ σωματικὴ καὶ ταπεινοτέρα τοῦ Μωσέως νόμου λατρεία ἀπεκλείσθη εἰς τὸ μηκέτι ἐνεργεῖσθαι διὰ τὸν σεισμὸν τὸν ἐπελθόντα προφητικῶς ἐξ ἐκείνου τῷ Ἰουδαίων ἔθνει, καὶ διὰ τὰ λοιπὰ τὰ ἀναγεγραμμένα. μετὰ ταῦτα ἐπαναλαβὼν ὁ λόγος τὴν τοῦ κυρίου παρουσίαν σαφέστερον ἀνακηρύττει

14 Matth. 27, 51.

λέγων "καὶ παρέσται κύριος ὁ θεός μου, καὶ πάντες
οἱ ἅγιοι μετ' αὐτοῦ," 43. εἴτε τοὺς ἀποστόλους αὐ-
τοῦ καὶ μαθητὰς ὀνομάζων ἁγίους αὐτοῦ εἴτε δυνά-
μεις τινὰς ἀοράτους καὶ πνεύματα λειτουργικά, περὶ
ὧν εἴρηται "καὶ προσῆλθον ἄγγελοι, καὶ διηκόνουν
αὐτῷ." εἶτα ἐπὶ τῆς παρουσίας τοῦ κυρίου "ἔσται
(φησὶν) ἡμέρα, καὶ οὐκ ἔσται φῶς, καὶ ψῦχος καὶ
d πάγος ἔσται μίαν ἡμέραν." 44. ἀνθ' οὗ ὁ Σύμμαχος
ἡρμήνευσε "καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς,
ἀλλὰ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν, ἥτις ἔγνω-
σται τῷ κυρίῳ, οὐχ ἡμέρα οὐδὲ νύξ, ἀλλ' ἔσται τὸ
πρὸς ἑσπέραν φῶς." καὶ ὅρα εἰ μὴ διὰ τούτων λευ-
κότατα τὴν ἡμέραν τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν
δηλοῖ, ἐν ᾗ ἡμέρᾳ τὸ μὲν "οὐκ ἔσται φῶς" ἐπληροῦτο,
ἡνίκα ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν
γῆν ἕως ὥρας ἐνάτης, τὸ δὲ "ἀλλὰ ψῦχος καὶ πάγος,"
ὅτε κατὰ τὸν Λουκᾶν "παραλαβόντες τὸν Ἰησοῦν ἤγα-
γον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως. ὁ δὲ Πέτρος ἠκο-
λούθει μακρόθεν." 45. περιαψάντων δὲ πῦρ ἐν μέσῳ
τῆς αὐλῆς ἐκάθητο κατὰ τὸν Μάρκον μετὰ τῶν λοι-
(293) πῶν θερμαινόμενος. ὁ δὲ Ἰωάννης ἄντικρυς καὶ τοῦ
ψύχους ἐμνημόνευσεν εἰπὼν "εἱστήκεισαν οἱ δοῦλοι
καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος
ἦν, καὶ ἐθερμαίνοντο."

46. "Γνωστὴ δὲ (φησὶν) ἦν αὕτη ἡ ἡμέρα τῷ κυ-
ρίῳ, καὶ οὐκ ἦν ἡμέρα, καὶ οὐκ ἦν νύξ·" οὐχ ἡμέρα
μέν, διὰ τὸ προειρῆσθαι "οὐκ ἔσται φῶς," ὃ καὶ
ἐπληροῦτο, ὅτε ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ
πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης· οὐδὲ νὺξ δέ, διὰ

---

5 Matth. 4, 11. 15 Matth. 27, 45. 17 Luc. 22, 54.
20 Marc. 14, 54. 21 Jo. 18, 18.

τὸ ἐπιλέγεσθαι "πρὸς ἑσπέραν ἔσται φῶς," ὃ καὶ
αὐτὸ τέλους ἐτύγχανεν, ὅτε μετὰ τὴν ἐνάτην ὥραν b
αὖθις τὸ σύνηθες φῶς ἀπελάμβανεν ἡ ἡμέρα. 47.
καὶ κατὰ διάνοιαν δὲ ταῦτα ἐπληροῦτο, καθόλου μὲν
ἐπὶ τὸ Ἰουδαίων ἔθνος, μετὰ τὴν κατὰ τοῦ Χριστοῦ
τόλμαν σκότους καὶ πάγου καὶ ψύχους γεγενημένου,
σκοτισθείσης αὐτῶν τῆς διανοίας εἰς τὸ μὴ αὐγάσαι
τὸν φωτισμὸν τοῦ εὐαγγελίου ἐν ταῖς καρδίαις αὐ-
τῶν, ψυγείσης τε τῆς πρὸς τὸν θεὸν ἀγάπης, ἔμπαλιν
δὲ πρὸς τῇ ἑσπέρᾳ τὸ φῶς τῆς γνώσεως τοῦ Χριστοῦ
ἀνατέταλκεν, ὡς τοὺς πάλαι καθημένους ἐν σκότει c
καὶ σκιᾷ θανάτου μέγα τὸ φῶς ἰδεῖν, κατὰ τὰς τοῦ
Ἡσαΐου φωνάς.

48. Ἐν αὐτῇ δὴ οὖν τῇ τοιαύτῃ ἡμέρᾳ τοῦ κυ-
ρίου, ἐξελεύσεται, φησὶν, ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ.
τοῦτο δὲ ἦν τὸ λογικὸν καὶ πότιμον ζωτικόν τε καὶ
σωτήριον τῆς τοῦ Χριστοῦ διδασκαλίας ποτὸν, περὶ
οὗ καὶ αὐτὸς ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ τὴν
Σαμαρεῖτιν παιδεύων ἔλεγεν "εἰ ᾔδεις τίς ἐστιν ὁ λέ- [182]
γων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδω-
κεν ἄν σοι ὕδωρ ζῶν." αὐτὸ οὖν τοῦτο τὸ σωτήριον
ποτὸν ἐξ αὐτῆς τῆς Ἱερουσαλὴμ προῆλθεν. 49. ἐν-
θένδε γοῦν ὥρμητο αὐτοῦ τὸ εὐαγγέλιον, καὶ οἱ τού-
του κήρυκες πᾶσαν κατέπλησαν τὴν οἰκουμένην· ὃ d
καὶ δηλοῦται διὰ τοῦ λέγεσθαι "εἰς τὴν θάλασσαν τὴν
πρώτην καὶ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην τὸ ζῶν
ὕδωρ ἐξελεύσεσθαι," δι' ὧν τὰ τῆς συμπάσης γῆς
πέρατα δηλοῦται, τά τε πρὸς τῷ ἀνατολικῷ ὠκεανῷ
πρώτῃ θάλαττα ὀνομαζόμενα καὶ τὰ κατὰ δύοντα
ἥλιον διὰ τῆς θαλάττης τῆς ἐσχάτης σημαινόμενα,

---

19 Jo. 4, 10.

ἃ καὶ πεπλήρωκε τὸ ζῶν ὕδωρ τῆς σωτηρίου καὶ εὐαγγελικῆς διδασκαλίας, περὶ οὗ πάλιν ἐπαίδευε λέγων "ὃς ἂν πίῃ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα." καὶ πάλιν "ποταμοὶ (φησὶν) ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, ἀλλομένου εἰς ζωὴν αἰώνιον." 50. καὶ αὖθις "εἴ τις διψᾷ, (291) ἐρχέσθω πρός με, καὶ πινέτω." μετὰ γοῦν τὸ ἀνομβρῆσαν ἐκ τῆς Ἱερουσαλὴμ ἐπὶ πᾶν γένος ἀνθρώπων σωτήριον καὶ λογικὸν νᾶμα, ὅπερ σαφέστερον ἐν ἑτέρῳ δηλοῦται διὰ τοῦ "ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. ἔσται (φησὶ) κύριος εἰς βασιλέα." 51. οὐκ ἔσται δὲ ἐν Ἱερουσαλὴμ, οὐδὲ ἐπὶ τὸ Ἰουδαίων ἔθνος, ἀλλὰ "ἐπὶ πᾶσαν τὴν γῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν." ἃ καὶ αὐτὰ συνᾴδει τοῖς ἀπὸ τῶν Ψαλμῶν παρατεθεῖσιν, δι' ὧν ἐλέγετο "ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη." καὶ πάλιν "εἴπατε ἐν τοῖς ἔθνεσιν, ὁ κύριος ἐβασίλευσε." ταῦτα δὲ ὁμοῦ πάντα ἐν ταῖς τοῦ κυρίου ἡμέραις ἔσεσθαι προφητεύεται. 52. ἐν ἀρχῇ γοῦν τῆς ὅλης προφητείας "ἰδοὺ ἡμέραι (φησὶν) ἔρχονται τοῦ κυρίου, καὶ ἔσται τάδε." τίνα δὴ ταῦτα ἀλλ' ἢ ἡ πολιορκία τῆς Ἱερουσαλὴμ καὶ ἡ τοῦ κυρίου μετάστασις ἐπὶ τὸ τῶν ἐλαιῶν ὄρος, κατὰ τὸ "παρέσται κύριος," καὶ τὰ συμβεβηκότα περὶ τὴν ἡμέραν τοῦ πάθους αὐτοῦ, καὶ τὸ ζῶν ὕδωρ, τὸ ἐπὶ πᾶσαν ῥεῦσαν τὴν οἰκουμένην, καὶ ἐπὶ πᾶσι τούτοις ἡ τοῦ κυρίου βασιλεία πάντων τῶν ἐθνῶν ἄρχουσα, "καὶ τὸ ὄνομα αὐτοῦ ἕν, πληροῦν πᾶσαν τὴν γῆν," ἅπερ ὁποίου τέλους ἔτυχεν ὡς ἐν ἐπιτομῇ διει-

10 Mic. 4, 2.

λήφαμεν; 53. πρόδηλον δὲ καὶ πῶς ἀπὸ τῆς τοῦ Χριστοῦ τοῦ θεοῦ προσηγορίας τὸ Χριστιανῶν ὄνομα κατέπλησε τὴν πᾶσαν οἰκουμένην· ὃ καὶ αὐτὸ παρίστησιν ὁ φάσκων λόγος "καὶ τὸ ὄνομα αὐτοῦ ἓν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον." καὶ σοὶ δὲ ἐπὶ σχολῆς παρέσται ἑκάστην βασανίσαντι λέξιν ἐπὶ πλάτους θεωρῆσαι τὰ νενοημένα.

Ἀπὸ τοῦ Βαρούχ.

XIX. "*Τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ ἔλαβεν αὐ-* (295) *τὴν (δηλοῖ δὲ τὴν σοφίαν) καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν νεφελῶν; τίς διέβη πέραν τῆς θαλάσσης καὶ εὗρεν αὐτὴν καὶ οἴσει αὐτὴν χρυσίου ἐκλεκτοῦ; οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς, οὐδ' ὁ ἐνθυμούμενος τὴν τρίβον αὐτῆς, ἀλλὰ ὁ εἰδὼς τὰ πάντα γινώσκει αὐτὴν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ. ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων. ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται· ἐκάλεσεν αὐτὸ, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ, καὶ οἱ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐ-* b *τῶν, καὶ ηὐφράνθησαν, ἐκάλεσεν αὐτοὺς, καὶ εἶπον,* [183] *πάρεσμεν· 2. ἔλαμψαν μετὰ εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.*"

Οὐδὲν ἐπιλέγειν δεῖ ταῖς θείαις φωναῖς ἐναργῶς c *τῷ προβλήματι παρισταμέναις.*

---

9 Bar. 3, 29.

Ἀπὸ τοῦ Ἡσαΐου.

d XX. "Ὅρασις Αἰγύπτου. ἰδοὺ κύριος κάθηται
ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σει-
σθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου
αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς,
καὶ ἐπεγερθήσονται Αἰγύπτιοι ἐπὶ Αἰγυπτίους, καὶ
πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρω-
πος τὸν πλησίον αὐτοῦ. πόλις ἐπὶ πόλιν καὶ νόμος
ἐπὶ νόμον. καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυ-
πτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω,
καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλ-
ματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ
τοὺς ἐγγαστριμύθους, καὶ παραδώσω Αἴγυπτον εἰς
χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς
σκληροὶ κυριεύσουσιν αὐτῶν·" καὶ τὰ τούτοις ἑξῆς.
(296) 2. καὶ νῦν τὸν δεύτερον μετὰ τὸν τῶν ὅλων θεὸν καὶ
κύριον, αὐτὸν δὴ τὸν τοῦ θεοῦ λόγον, ἥξειν εἰς Αἴ-
γυπτον ἡ παροῦσα προφητεία σημαίνει, καὶ ἥξειν
οὐκ ἀφανῶς, οὐδ' ἀοράτως, οὐδ' ἄνευ τινὸς σωμα-
τικῆς περιβολῆς, ἀλλ' ἐπὶ νεφέλης κούφης ὀχούμενον,
μᾶλλον δὲ ἐπὶ πάχους ἐλαφροῦ· οὕτω γὰρ ἔχειν φασὶ
τὴν Ἑβραίων φωνήν. 3. λεγέτωσαν δῆτα Ἑβραίων
παῖδες πότε μετὰ τοὺς Ἡσαΐου χρόνους ὁ κύριος Αἰ-
γυπτίοις ἐπιδεδήμηκεν, καὶ ποῖος κύριος· εἷς γὰρ ὁ
b ἐπὶ πάντων θεός· καὶ πῶς ἐπὶ πάχους ἐλαφροῦ οὗ-
τος ἐποχεῖσθαι λέγεται καὶ τοπικῶς ἐπιβαίνειν μέρει
τινὶ τῆς γῆς. 4. ἑρμηνευέτωσαν δὲ καὶ τὸ πάχος ἐλα-
φρὸν, τί ποτε ἄρα ἐστὶ, καὶ διὰ τί μὴ ἄνευ τούτου
λέγεται ὁ κύριος ἐπιδημεῖν τῇ Αἰγύπτῳ. 5. πότε δὲ

---

2 Es. 19, 1.

καὶ ἱστόρηται τὰ ἐν τῇ προφητείᾳ εἰρημένα τέλους τετυχηκέναι, τὸ σεισθῆναι, λέγω, τὰ εἴδωλα τὰ χειροποίητα Αἰγύπτου, καὶ τὸ Αἰγυπτίους Αἰγυπτίοις πολεμῆσαι διὰ τὴν τοῦ κυρίου εἰς ἀνθρώπους παρουσίαν· καὶ τοὺς θεοὺς αὐτῶν, δηλαδὴ τοὺς δαίμονας, πολλὰ τὸ παλαιὸν δυναμένους, μηκέτι ἰσχύειν, μηδὲ ἀποκρίνασθαι c *τοῖς ἐπερωτῶσι διὰ τὸ τοῦ κυρίου δέος, εἰς χεῖρας δὲ ποίων κυρίων σκληρῶν, ποίων δὲ βασιλέων μετὰ τὴν θεσπιζομένην τοῦ κυρίου παρουσίαν παρεδόθη Αἴγυπτος, καὶ διὰ τί κυρίου παρόντος σκληροῖς ἄρχουσι παραδίδονται· καὶ τὰ λοιπὰ δὲ τούτοις παραπλησίως ὁ βουλόμενος ἑρμηνευσάτω.* 6. *ἡμεῖς γὰρ οὐκ ἄλλως ταῦτά φαμεν συνίστασθαι ἢ διὰ μόνης τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἀνθρώπους ἐπιφανείας. οὗτος γὰρ θεοῦ λόγος ὢν καὶ θεοῦ δύναμις κατὰ διάνοιαν καὶ πρὸς λέξιν ἐπιδημήσας τῇ* d *Αἰγυπτίων χώρᾳ διὰ νεφέλης κούφης ἐπλήρου τὰ προηγορευμένα. νεφέλην δὲ κούφην ἀλληγορικῶς ὀνομάζει τὴν δι' οὗ ἀνείληφε σώματος ἐκ παρθένου καὶ ἁγίου πνεύματος ἐπιδημίαν αὐτοῦ, ὥσπερ οὖν ἡ Ἑβραίων γραφὴ καὶ ὁ Ἀκύλας σαφέστερον ᾐνίξατο εἰπὼν "ἰδοὺ κύριος ἐπιβαίνει ἐπὶ πάχους ἐλαφροῦ, καὶ ἔρχεται ἐπ' Αἴγυπτον," πάχος ἐλαφρὸν τὸ ἐξ ἁγίου πνεύματος σῶμα προσαγορεύσας.* 7. *καὶ τοῦτο* [184] *τοιγαροῦν τὸ τῆς προφητείας μέρος πρὸς λέξιν τέλους ἐτύγχανεν, ὅτε ἄγγελος κυρίου ὄναρ ἐπιφανεὶς εἶπε τῷ Ἰωσὴφ "ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι."* 8. *τότε γοῦν αὐτὸς ὁ κύριος ὁ* (297) *θεὸς λόγος ἐπιπαρὼν τῇ τοῦ παιδὸς ἡλικίᾳ, καὶ ἐν*

27 Matth. 2, 13.

τῇ συστάσῃ αὐτοῦ ἐξ ἁγίας παρθένου σαρκὶ (παχείᾳ
μὲν οὔσῃ διὰ τὸ τῆς σωματικῆς ὕλης ἀντίτυπον, ἐλα-
φρᾷ δὲ πάλιν διὰ τὸ κρείττονα ἢ καθ' ἡμᾶς εἶναι,
καὶ νεφέλῃ κούφῃ ὀνομαζομένῃ διὰ τὸ μὴ ἐξ ἡδυπα-
θοῦς φθορᾶς, ἀλλὰ ἐξ ἁγίου πνεύματος συστῆναι), τῇ
τῶν Αἰγυπτίων ἐπιδημεῖ χώρᾳ. 9. ἡ δ' αἰτία τῆς
ἐκεῖσε ἐπιδημίας αὐτοῦ τοῦτον ἔχει τὸν λόγον. ἐπεὶ
γὰρ ἐν αὐτῇ πρώτῃ κατάρξαι τὰ τῆς εἰδωλολάτρου
b πλάνης μνημονεύεται, ἐδόκουν τε πάντων ἀνθρώπων
μάλιστα δεισιδαιμονέστατοι τυγχάνειν, ἐχθροί τε εἶναι
καὶ πολέμιοι τοῦ λαοῦ τοῦ θεοῦ, τῶν προφητῶν κατὰ
πλεῖστον ὅσον ἀφεστῶτες, εἰκότως αὐτοῖς πρώτοις ἡ
τοῦ θεοῦ ἐφίστη δύναμις· διὸ καὶ πάντων ἀνθρώπων
μᾶλλον παρ' Αἰγυπτίοις ἴσχυσεν ὁ τῆς εὐαγγελικῆς
αὐτοῦ διδασκαλίας λόγος· ὅθεν ἡ παροῦσα προφητεία
αὐτὸν αὐτοῖς ἐπιδημήσειν τὸν κύριον θεσπίζει, 10. ἀλλ'
οὐχὶ τοὺς Αἰγυπτίους ἥξειν εἰς τὴν Ἰουδαίων χώραν,
οὐδέ γε εἰς τὰ Ἱεροσόλυμα προσκυνήσειν αὐτῷ, οὐδ'
c ἐνταῦθα κατὰ τὰ παρὰ Μωσεῖ προστεταγμένα προση-
λυτεύσειν Ἰουδαίοις, οὐδὲ θύσειν θυσίας ἐν τῷ πρὸς
τῇ Ἱερουσαλὴμ θυσιαστηρίῳ· ἀλλὰ τούτων μὲν ἔσε-
σθαί φησιν οὐδὲν, τὸν δὲ κύριον αὐτὸν ἐπιδημήσειν
τοῖς Αἰγυπτίοις, καὶ τῆς αὐτοῦ παρουσίας καταξιώ-
σειν τοὺς ἄνδρας, μεγάλων τε ἀγαθῶν καταστήσεσθαι
αἴτιον αὐτοῖς. 11. κατορθώσειν γοῦν αὐτοῦ τὴν ἐπι-
δημίαν ταῦτα, ἅπερ καὶ αὐτοῖς ἔργοις μετὰ τὴν τοῦ
σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ ἐπιφάνειαν συνί-
σταται πεπληρωμένα· τίνα δὲ ἦν θεασώμεθα. οἱ
πρὶν τὴν Αἴγυπτον οἰκοῦντες φαῦλοι καὶ μοχθηροὶ
d δαίμονες, ἐξ αἰῶνος μακροῦ τοῖς ξοάνοις ἐμφωλεύ-
οντες καὶ τὰς τῶν Αἰγυπτίων ψυχὰς πάσῃ δεισιδαι-
μονίας πλάνῃ καταδουλούμενοι, συναισθόμενοι ξένης

τινος καὶ ἐνθέου δυνάμεως ἐπιδημούσης αὐτοῖς, αὐτίκα συνεκινοῦντο σάλον καὶ κλόνον ἐν ἑαυτοῖς πάσχοντες, ἥ τε καρδία αὐτῶν καὶ ἡ διανοητικὴ δύναμις ἡττᾶτο ἔνδον ἐν ἑαυτοῖς, ὑποχωροῦσα καὶ νικωμένη ὑπὸ τῆς ἀοράτως συνελαυνούσης καὶ πυρὸς δίκην ἀρρήτῳ λόγῳ φλεγούσης αὐτοὺς δυνάμεως. 12. ἀλλὰ τότε μὲν ἀοράτως οἱ δαίμονες ταῦτα ἔπασχον ἐπὶ τῇ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὴν Αἴγυπτον ἐνσάρκῳ ἐπιδημίᾳ· ἐπειδὴ δὲ μετὰ ταῦτα γυμνῶς ἤδη (298) λοιπὸν τὸ περὶ αὐτοῦ εὐαγγέλιον τοῖς Αἰγυπτίοις, ὥσπερ οὖν καὶ τοῖς λοιποῖς ἔθνεσιν, ἐκηρύττετο, ἥ τε ἀόρατος αὐτοῦ δύναμις σὺν τοῖς ἀποστόλοις αὐτοῦ παρῆν ἀφανῶς συμπράττουσα αὐτοῖς καὶ συνεργοῦσα καὶ καταγγέλλουσα δι᾽ αὐτῶν τὴν εὐσεβῆ διδασκαλίαν αὐτοῦ, μόνον τὸν ἕνα καὶ μόνον ἀληθῆ θεὸν εὐσεβεῖν παρακελευομένη, τῶν δὲ δαιμόνων τοὺς πάλαι πεπλανημένους ἀφιστῶσα, 13. ἐνταῦθα λοιπὸν ἤδη Αἰγυπτίοις, ὥσπερ οὖν καὶ τοῖς λοιποῖς ἔθνεσι, στάσις καὶ πόλεμος ἐμφύλιος συνίστατο, τῶν μὲν ἀναχω- b ρούντων τῆς πολυθέου πλάνης καὶ τῷ τοῦ Χριστοῦ λόγῳ προστρεχόντων, τῶν δὲ ἐξ ἐναντίας τούτοις πολεμούντων καὶ ὑπὸ τῶν οἰκείων δαιμόνων ἐξοιστρουμένων, ὡς καὶ ἀδελφοὺς ἀλλήλων διίστασθαι, καὶ τοὺς φιλτάτους διὰ ξιφῶν χωρεῖν τῆς τοῦ Χριστοῦ διδασκαλίας ἕνεκεν, φησὶν ὁ χρησμὸς "καὶ ἐπεγερθήσονται Αἰγύπτιοι ἐπ᾽ Αἰγυπτίους καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ." 14. πιστοῦται δὲ τὴν προφητικὴν πρόρρησιν καὶ αὐ- [185] τὸς ὁ σωτὴρ ἡμῶν, φάσκων ἐν τοῖς εὐαγγελίοις "παρα- c δώσει ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον,

29 Matth. 10. 21.

καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς." 15. καὶ αὖθις "μὴ νομίσητε ὅτι ἦλθον εἰρήνην δοῦναι ἐν τῇ γῇ, οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν. ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶν καὶ δύο ἐπὶ τρισί· διαμερισθήσονται πατὴρ ἐπὶ υἱῷ καὶ υἱὸς ἐπὶ πατρὶ, μήτηρ ἐπὶ τὴν θυγατέρα, καὶ θυγάτηρ ἐπὶ τὴν μητέρα, πενθερὰ ἐπὶ τὴν νύμφην, καὶ νύμφη d ἐπὶ τὴν πενθεράν." 16. τί γὰρ ταῦτα τῆς προφητικῆς διαφέροι ἂν φωνῆς ἐπὶ τῇ τοῦ κυρίου εἰς Αἴγυπτον παρουσίᾳ λεγούσης ἐπεγερθήσεσθαι Αἰγυπτίους κατ' Αἰγυπτίων καὶ πολεμήσειν ἄνθρωπον τὸν ἀδελφὸν αὐτοῦ; καὶ νόμος δὲ ὁ τῆς καινῆς διαθήκης τοῦ Χριστοῦ ἐπὶ νόμον τὸν τῆς πολυθέου δεισιδαιμονίας ἠγείρετο, ὅτε τῶν εἰδωλολατρῶν ἐθνῶν νόμος τὴν Χριστοῦ πολεμῶν διδασκαλίαν, πόλις τε καὶ πολιτεία τῆς ἐν Χριστῷ ἐκκλησίας τοῖς τῶν ἀπίστων ἐθνῶν πολιτεύμασιν ἐπανίστατο. 17. διὸ λέλεκται "πόλις ἐπὶ πόλιν καὶ νόμος ἐπὶ νόμον." ἔστι δὲ ἐπὶ τούτοις τοὺς Αἰγυπτίους πάντας τοὺς εἰδωλολάτρας, τό τε ἐνεργοῦν ἐν αὐτοῖς τῆς εἰδωλολατρίας πνεῦμα, συνιδεῖν (299) ταραττομένους εἰσέτι νῦν, καὶ πολλὰ μὲν βουλευομένους κατὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας, ὡς ἂν σβέσοιεν αὐτὴν καὶ ἐξ ἀνθρώπων ἀφανίσοιεν, διασκεδαννυμένους δὲ ὑπὸ τοῦ θεοῦ, φήσαντος ἐν τῇ προφητείᾳ "καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω." 18. μυρία δὲ ὅσα πυνθανόμενοι καὶ ἐπερωτῶντες καθ' ἡμῶν ἔν τε χρησμοῖς καὶ μαντείαις τοὺς θεοὺς αὐτῶν, καὶ τοὺς ἐν τοῖς ἀγάλμασιν ἐμφωλεύοντας δαίμονας,

2 Luc. 12, 51. coll. Matth. 10, 34.

τούς τε πάλαι ἐν αὐτοῖς πολλὰ δυναμένους ἐγγαστριμύθους, οὐδέν τι πλέον ἐξ αὐτῶν ἔχουσι. 19. διό b
φησιν ὁ λόγος "καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν καὶ τὰ ἀγάλματα αὐτῶν καὶ τοὺς ἐγγαστριμύθους." ἀλλ' οὐδεμιᾶς γάρ, φησί, τεύξονται βοηθείας οἱ ἐπὶ τοὺς πεπλανημένως δοκοῦντας αὐτῶν εἶναι θεοὺς καταφεύγοντες, τότε μάλιστα αὐτοὺς τοῦ θεοῦ κυρίοις σκληροῖς καὶ βασιλεῦσι παραδιδόντος, ὅτε τοῖς δαίμοσιν αὐτῶν πειθόμενοι καὶ ὑπ' αὐτῶν ἐνεργούμενοι τοὺς κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ διωγμοὺς ἐπεγείρουσιν. 20. ἔνθα μοι τὸν νοῦν ἐπιστήσεις, τίνα τρόπον μέχρι μὲν τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιφανείας οἰκείοις βασιλεῦσιν ἰδίως καὶ καθ' c
ἑαυτὴν πᾶσα Αἴγυπτος κέχρητο, ἐν αὐτονομίᾳ τε καὶ ἐν ἐλευθερίᾳ διῆγον οἱ Αἰγύπτιοι, δυναστεία δὲ αὐτῶν ἐξ αἰῶνος μακρά τις καὶ πολλὴ βεβόητο, ἐξ ἐκείνου τε πρώτου Ῥωμαίων Αὐγούστου, καθ' ὃν ὁ κύριος ἡμῶν γεγέννητο, χειρωσαμένου τὴν Αἴγυπτον, ὑστάτης τε τῶν Πτολεμαίων Κλεοπάτρας ἁλούσης, ὑπὸ τὴν Ῥωμαίων γεγόνασιν ἐξουσίαν ὑπό τε τοὺς αὐτῶν νόμους καὶ ἐπιτάγματα, τῆς προτέρας αὐτονομίας καὶ ἐλευθερίας ἀφῃρημένοι· ὡς καὶ ἐν τούτῳ d
τὸ προφητικὸν ἐπαληθεύειν λόγιον, περὶ μὲν τῶν εἰς τοὺς τόπους ἐκπεμπομένων ἐπιτρόπων τε καὶ ἡγουμένων καὶ περὶ τῶν λοιπῶν ἐν μέρει ἀρχόντων φάσκον "καὶ παραδώσω Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν," περὶ δὲ τῶν τὴν καθ' ὅλου διεπόντων ἀρχὴν τὸ ἑξῆς. 21. ἀνθ' οὗ ὁ Ἀκύλας φησὶ "καὶ βασιλεὺς κεκραταιωμένος ἐξουσιάσει ἐν αὐτοῖς·" ὁ δὲ Σύμμαχος "καὶ βασιλεὺς ἰσχυρὸς ἐξουσιάσει αὐτῶν." οὕτω δὴ τὴν Ῥωμαίων ἡγοῦμαι κεκλῆσθαι βασιλείαν, ὑφ' ἧς ὥσπερ χαλινῷ καὶ δεσμῷ πεπεδη-

μένους οὐ μόνον τοὺς πάντων ἀνθρώπων δεισιδαι-
[183] μονεστάτους Αἰγυπτίους, ἀλλὰ καὶ τοὺς λοιποὺς πάν-
τας ἀνθρώπους μηδὲν δύνασθαι τολμᾶν κατὰ τῆς
(300) τοῦ σωτῆρος ἡμῶν ἐκκλησίας δυσφημεῖν. 22. μετὰ ταῦτα προφητεύεται τούτοις ἑξῆς σκοτεινότερά τινα καὶ δι' αἰνιγμάτων μακροτέρας καὶ βαθυτέρας τῆς κατὰ τροπολογίαν δεόμενα ἑρμηνείας, ἃ δὴ ἐπὶ σχολῆς κατὰ τὸν προσήκοντα καιρὸν τῆς προσηκούσης τεύξεται διηγήσεως, ἐπὰν σὺν θεῷ τὸν περὶ τῶν ἐπαγγελιῶν ἀποδώσωμεν λόγον.

Ἀπὸ τοῦ αὐτοῦ.

c XXI. "Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον, καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου. καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου καὶ τὸ ὕψος τοῦ θεοῦ. ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα παρακαλέσατε. οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ ἰσχύσατε, μὴ φοβεῖσθε, ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει, καὶ σώ-
d σει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκούσονται. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων, ὅτε ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται."

2. Κἀνταῦθα διαρρήδην θεοῦ ἄφιξις θεσπίζεται σωτήριος καὶ πολλῶν ἀγαθῶν αἰτία· κωφοῖς γοῦν ἴασις καὶ τυφλοῖς ἀνάβλεψις, προσέτι τε χωλοῖς καὶ

11 Es. 35, 1.

τὴν γλῶτταν συνδεδεμένοις θεραπεία ἔσεσθαι προφητεύεται, ἃ καὶ τέλους ἔτυχεν οὐκ ἄλλως ἢ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας, ὑφ' οὗ καὶ τυφλῶν ἀνεῴχθησαν οἱ ὀφθαλμοὶ καὶ κωφοὶ τὴν ἀκοὴν ἀπειλήφασιν. 3. τί δεῖ λέγειν ὅσοι καὶ διὰ τῶν αὐτοῦ μαθητῶν παρειμένοι καὶ κωφοὶ καὶ χωλοὶ τὰς κατὰ φύσιν ἰάσεις ἀπελάμβανον, ἄλλοι τε μυρίοι ποικίλαις νόσοις καὶ μαλακίαις τετρυχωμένοι (301) τῆς παρ' αὐτοῦ θεραπείας τε καὶ σωτηρίας ἠξιοῦντο, κατά τε τὴν ἔνθεον τῆς προφητείας πρόρρησιν καὶ κατὰ τὴν ἀψευδεστάτην τῶν ἱερῶν εὐαγγελίων μαρτυρίαν; 4. ἔρημον δὲ ἐν τούτοις ὁ λόγος αἰνίττεται τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἣν πάλαι θεοῦ ἔρημον οὖσαν διὰ τῶν ἐν χερσὶν εὐαγγελίζεται, καὶ ταῦτα δὲ πρὸς τοῖς ἄλλοις τῇ ἐρήμῳ φησὶν ὁ λόγος δοθήσεσθαι τὴν δόξαν τοῦ Λιβάνου. 5. Λίβανον δὲ τὴν Ἱερουσαλὴμ ἀλληγορικῶς σύνηθές ἐστιν ἀποκαλεῖν, ὡς ἐπὶ καιροῦ διὰ τῶν ἀπὸ τῆς θείας γραφῆς ἀποδείξεων b παραστήσομεν. ἐν δὴ οὖν τῇ τοῦ θεοῦ εἰς ἀνθρώπους παρουσίᾳ, τῇ δηλωθείσῃ ἐρήμῳ, λέγω δὴ τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ, τὴν δόξαν τοῦ Λιβάνου δοθήσεσθαι ἡ προκειμένη διδάσκει πρόρρησις. ἀντὶ δὲ τοῦ "καὶ ἡ τιμὴ τοῦ Καρμήλου" ὁ μὲν Ἀκύλας φησὶ "διαπρέπεια τοῦ Καρμήλου καὶ τοῦ Σαρὼν, αὐτοὶ ὄψονται δόξαν κυρίου·" 6. ὁ δὲ Σύμμαχος "εὐπρέπεια τοῦ Καρμήλου καὶ τοῦ πεδίου, αὐτοὶ ὄψονται τὴν δόξαν κυρίου·" καὶ ὁ Θεοδοτίων δὲ "ὡραιότης, c φησὶ, τοῦ Καρμήλου καὶ τοῦ Σαρὼν, αὐτοὶ ὄψονται τὴν δόξαν κυρίου." δι' ὧν αἰνίττεσθαι ἡγοῦμαι τὴν προφητείαν οὐ τὴν Ἱερουσαλὴμ, οὐδὲ τὴν Ἰουδαίαν, ἀλλὰ τὴν τῶν ἐθνῶν χώραν καταξιωθήσεσθαι τῆς ἐνθέου γνώσεως. ὁ γοῦν Κάρμηλος καὶ ὁ καλούμενος

Σαρὼν τόποι τῶν ἀλλοφύλων ὑπῆρχον ἐθνῶν. 7. *ταῦτα μὲν οὖν πρὸς λέξιν· καὶ κατὰ διάνοιαν δὲ εἰσέτι σήμερον οἱ πρὶν τὰς ψυχὰς πεπηρωμένοι, ὡς* [187] *ξύλα καὶ λίθους καὶ τὴν λοιπὴν ἄψυχον ὕλην δαί-* d *μονάς τε περιγείους καὶ πνεύματα πονηρὰ ἀντὶ τοῦ θεοῦ τῶν ὅλων προσκυνεῖν, οἵ τε τὰ ὦτα τῆς διανοίας κεκωφωμένοι καὶ σκάζοντες καὶ παρειμένοι τὸν πάντα ἑαυτῶν βίον τούτων ἁπάντων καὶ τῶν ἄλλων παθῶν τε καὶ ἀρρωστημάτων διὰ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διδασκαλίας εἰσέτι καὶ νῦν ἀπαλλάττονται, πολὺ κρείττονος ἢ κατὰ σῶμα ἰάσεως καὶ ὠφελείας ἀξιούμενοι, καὶ τῆς εἰς ἀνθρώπους τοῦ θεοῦ λόγου παρουσίας ἐναργῆ τὴν θείαν καὶ ὑπὲρ ἄνθρωπον δύναμιν ἐπιδεικνύμενοι.*

(302) *Ἀπὸ τοῦ αὐτοῦ.*

b XXII. "*Ἄκουέ μου Ἰακὼβ καὶ Ἰσραήλ, ὃν ἐγὼ καλῶ· ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα, καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν.*" *καὶ ἐπιφέρει λέγων* "*καὶ νῦν κύριος κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ.*"

Ἔχεις κἀνταῦθα κύριον τὸν ἀποστελλόμενον καὶ τὸν ἀποστέλλοντα, δηλαδὴ τὸν πατέρα καὶ θεὸν τῶν ὅλων, συνήθως δὶς κύριον ὀνομαζόμενον.

Ἀπὸ τοῦ αὐτοῦ.

XXIII. "*Οὕτω λέγει κύριος, ποῖον τοῦτο τὸ βι-* d *βλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξαπέ-*

---

16 Es. 48, 12. 26 Es. 50, 1.

στειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν, διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων. μὴ οὐχὶ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι;" 2. εἶτ' ἐπὶ τῆς αὐτῆς προφητείας ὑποβὰς "ἐγὼ δέ, φησίν, οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. τὸ νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων."

3. Αὐτὸς ὁ κύριος διὰ τούτων τὴν εἰς ἀνθρώπους αὐτοῦ παρουσίαν σαφῶς ὁμολογῶν ἀπελέγχει τὸν (303) Ἰουδαίων λαόν, ὅτι μὴ ἐλθόντα αὐτὸν καταδέξονται, μηδὲ καλοῦντι ὑπακούσονται. καὶ τοῦθ' ὥσπερ ἀπολογούμενος αἴτιον τῆς αὐτῶν ἐκείνων ἀποβολῆς γεγονέναι διδάσκει· "ἐπεὶ γὰρ ἦλθον" φησὶν "καὶ οὐκ ἦν ἐν ὑμῖν ἄνθρωπος, ἐκάλεσά τε καὶ οὐδεὶς ἦν ὁ ὑπακούων," διὰ τοῦτο, φησί, ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, ἅτε αὐτοὶ ἀφ' ἑαυτῶν ἀποστάται τῆς ἐμῆς κλήσεως καταστάντες, ἀλλ' οὐκ ἐμοῦ βιβλίον ὑμῖν ἀποστασίου δεδωκότος. 4. σαφῶς δὲ ταῦτα πρὸς τὸν ἐκ περιτομῆς λαὸν ἀποτείνεται, ὁμοῦ δὲ τὰ περὶ τὸ b
πάθος τετολμημένα αὐτοῖς δηλοῖ λέγων "τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα" καὶ τὰ τούτοις ἑξῆς. καὶ ταῦτα ἐπὶ σχολῆς τῆς προσηκούσης τεύξεται ἑρμηνείας.

Ἀπὸ τοῦ αὐτοῦ.

XXIV. "Τάδε λέγει κύριος, δι' ὑμᾶς τὸ ὄνομά μου

28 Es. 52, 5.

βλασφημεῖται ἐν τοῖς ἔθνεσι· διὰ τοῦτο γνώσεται ὁ
d λαός μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτι ἐγώ εἰμι αὐτὸς ὁ
λαλῶν, πάρειμι ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες
[188] εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος
ἀγαθά, ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου, λέ-
γων, Σιὼν βασιλεύσει σου ὁ θεός. φωνὴ τῶν φυλασ-
σόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσον-
ται, ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα
ἂν ἐλεήσῃ κύριος τὴν Σιών. ῥηξάτω εὐφροσύνην ἅμα
τὰ ἔρημα Ἱερουσαλὴμ, ὅτι ἠλέησε κύριος αὐτὴν, καὶ
ἐρρύσατο Ἱερουσαλὴμ, καὶ ἀποκαλύψει τὸν βραχίονα
τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ
ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν
παρὰ τοῦ θεοῦ ἡμῶν."

2. Τούτοις ἑξῆς ἐπισυνῆπται ὑφ' ἕνα καὶ τὸν αὐ-
τὸν εἱρμὸν ἡ περὶ τοῦ πάθους τοῦ Χριστοῦ προφη-
τεία, ἣν καὶ ἐπὶ σχολῆς ἐκθήσομαι. εἷς δὲ ὢν καὶ ὁ
αὐτὸς κύριος ὁ φήσας ἐν τῇ πρὸ ταύτης περικοπῇ
(304) πρὸς τὸν Ἰουδαίων λαὸν "ταῖς ἁμαρτίαις ὑμῶν ἐπρά-
θητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μη-
τέρα ὑμῶν, διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκά-
λεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων," διὰ τῶν ἐν χερσὶ
πρὸς τοὺς αὐτούς φησιν "δι' ὑμᾶς τὸ ὄνομά μου βλασ-
φημεῖται ἐν τοῖς ἔθνεσιν." 3. εἶθ', ὡς ἔχων ἕτερον
παρ' αὐτοὺς λαὸν, ἐπιφέρει "διὰ τοῦτο γνώσεται ὁ
λαός μου τὸ ὄνομά μου" διδάσκει τε ὅτι μὴ ἕτερος,
ἀλλ' αὐτὸς ὁ ἐν τοῖς προφήταις λαλήσας κύριος, ἐπι-
δημήσει ποτὲ τῷ βίῳ, λέγων "ἐγώ εἰμι, αὐτὸς ὁ λα-
b λῶν πάρειμι." τὸ δὲ "ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς
πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελι-
ζόμενος ἀγαθὰ, ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου,
λέγων, Σιὼν, βασιλεύσει σου ὁ θεὸς," σαφέστερον

οἱ λοιποὶ ἐκδεδώκασιν ἑρμηνευταί· 4. ὁ μὲν Ἀκύλας εἰπὼν "τί ὡραιώθησαν ἐπὶ τὰ ὄρη πόδες εὐαγγελιζομένου, ἀκουτίζοντος εἰρήνην, εὐαγγελιζομένου ἀγαθόν, ἀκουτίζοντος σωτηρίαν, λέγοντος τῇ Σιών, ἐβασίλευσεν ὁ θεός σου;" καὶ ὁ Σύμμαχος φήσας "τί εὐπρεπεῖς ἐπὶ τῶν ὀρέων πόδες εὐαγγελιζομένου, ἀκουστὴν ποιοῦντος εἰρήνην, εὐαγγελιζομένου ἀγαθά, ἀκουστὴν ποιοῦντος σωτηρίαν, λέγοντος τῇ Σιών, c ἐβασίλευσεν ὁ θεός σου;" ἀντὶ δὲ τοῦ "φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται, ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται," ὁ μὲν Σύμμαχος οὕτως ἡρμήνευσεν "φωνὴ τῶν σκοπῶν σου ἐπῆραν φωνήν, ἐπὶ τὸ αὐτὸ αἰνέσουσιν· ὀφθαλμοφανῶς γὰρ ὄψονται." 5. λέγοιντο δ' ἂν ἐν τούτοις σκοποὶ οἱ ἱεροὶ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι, οἳ καὶ ὀφθαλμοφανῶς ἰδόντες τὸν προφητευόμενον ὕψωσαν αὐτῶν τὴν φωνὴν εἰς πᾶσαν τὴν οἰκουμένην κηρύξαντες. Σιὼν δὲ καὶ Ἱερουσαλὴμ τὴν ἐν τοῖς d τόποις εὐαγγελιζομένην οἶδεν ἐπουρανίους ὁ ἀπόστολος δι' ὧν φησιν "ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν." 6. καὶ "προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει." λέγοιτο δ' ἂν Σιὼν καὶ ἡ εἰς πάντα τὸν ἐπὶ γῆς τόπον διὰ Χριστοῦ συστᾶσα ἐκκλησία, ὡς καὶ Ἱερουσαλὴμ πᾶν τὸ θεοσεβὲς πολίτευμα, ὃ καὶ παρὰ μόνοις Ἰουδαίοις τοῖς πάλαι τὸ πρὶν συνεστὼς εἰς ἐρημίαν διὰ τὰς δυσσεβείας αὐτῶν περιτέτραπται, εἶτ' αὖ πάλιν τῆς ἐπὶ τὸ κρεῖττον ἀνανεώσεως ἔτυχε διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας. 7. διό φησιν ἡ προφητεία "ῥηξάτω (305)

20 Gal. 4, 26. 21 Heb. 12, 22.

εὐφροσύνην ἅμα τὰ ἔρημα Ἱερουσαλὴμ, ὅτι ἠλέησε
κύριος αὐτὴν καὶ ἐρρύσατο Ἱερουσαλήμ." οὐκ ἂν
δὲ ἁμάρτοις τὴν παντὸς ἁγίου καὶ θεοφιλοῦς ψυχὴν,
καθὸ μὲν ἐπῆρται τῷ βίῳ τὸ πολίτευμα ἔχουσα ἐν
οὐρανοῖς σκοποῦσα τὰ ὑπερκόσμια, Σιὼν ὀνομάζων·
(ἑρμηνεύεται γὰρ σκοπευτήριον·) καθὸ δὲ ἐν εὐστα-
θείᾳ καὶ γαλήνῃ παθῶν καθέστηκεν, Ἱερουσαλὴμ
αὐτὴν ἀποκαλῶν· ὅρασιν γὰρ εἰρήνης μεταληφθὲν
b τοὔνομα σημαίνει. 8. τούτοις ἀκολούθως ἡ τῶν ἐθνῶν
[180] ἐπὶ τὴν εὐσέβειαν τοῦ θεοῦ κλῆσις ἐναργέστατα δη-
λοῦται διὰ τοῦ "καὶ ἀποκαλύψει κύριος ὁ θεὸς τὸν
βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν
ἐθνῶν." καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὴν
σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ ἡμῶν." βραχίονα δὲ
τοῦ θεοῦ μὴ ἄλλον εἶναι τοῦ λόγου καὶ τῆς σοφίας
καὶ αὐτοῦ τοῦ κυρίου, ὅς ἐστιν ὁ Χριστὸς τοῦ θεοῦ,
νόμιζε. 9. τοῦτο γοῦν ἐκ πολλῶν παραστῆσαι ῥᾴδιον.
c ἔχεις δὲ καὶ ἐν Ἐξόδῳ τὸν Ἰσραὴλ βραχίονι θεοῦ
ῥυσθέντα τῆς ὑπ' Αἰγυπτίοις δουλείας. αὐτὸν δὴ
ἐκεῖνον τὸν βραχίονα τοῦ θεοῦ τὸν ἀναφανέντα σω-
τῆρα τοῦ πάλαι λαοῦ πᾶσι τοῖς ἔθνεσιν ἀποκαλυφθή-
σεσθαι, ὡς ἂν τὸ πρὶν ἐπικεκρυμμένον, ἡ παροῦσα
σημαίνει προφητεία. τὴν δὲ σωτηρίαν, ἣν φησιν
ὄψεσθαι πάντα τὰ ἄκρα τῆς γῆς, καὶ ἣν ἀνώτερον
ἐδήλου λέγων "ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν
σου," ἴσθι τῇ Ἑβραίων φωνῇ τῷ τοῦ Ἰησοῦ ὀνόματι
προσαγορεύεσθαι.

d Ἀπὸ τοῦ αὐτοῦ.

XXV. "Ἰδοὺ κύριος ὡς πῦρ ἥξει καὶ ὡς καται-

---

29 Es. 66, 15.

γὶς τὰ ἅρματα αὐτοῦ." καὶ ἑξῆς "εἶπε κύριος, κἀγὼ τὰ ἔργα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν· ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου, καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους
εἰς τὰ ἔθνη, εἰς Θαρσεὶς καὶ Φοὺδ καὶ Λοὺδ καὶ (306)
Μοσὸχ καὶ Θοβὲλ καὶ εἰς τὴν Ἑλλάδα καὶ εἰς τὰς νήσους τὰς πόρρω, οἳ οὐκ ἤκουσάν μου τὸ ὄνομα, οὐδ' ἑωράκασί μου τὴν δόξαν, καὶ ἀναγγελοῦσί μου τὰ ἔργα ἐν τοῖς ἔθνεσιν."

2. "Ἄντικρυς καὶ ἐν τούτοις ἡ τοῦ κυρίου εἰς ἀνθρώπους παρουσία δηλοῦται. καὶ ἐπειδήπερ εἴρηται ὡς πῦρ ἥξειν, εἰκότως φησὶν ὁ σωτὴρ ἡμῶν "πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνή-
φθη;" ἅρματα δὲ αὐτοῦ τὰς δορυφορούσας αὐτὸν b
θείας δυνάμεις καὶ τοὺς ἐξυπηρετουμένους αὐτῷ ἱεροὺς ἀγγέλους εἴποις ἄν, περὶ ὧν εἴρηται "καὶ προσῆλθον ἄγγελοι καὶ διηκόνουν αὐτῷ," καὶ τοὺς ἱεροὺς ἀποστόλους αὐτοῦ καὶ μαθητάς, οἷς ἐποχούμενος ἐνθέῳ καὶ ἀοράτῳ δυνάμει ὁ τοῦ θεοῦ λόγος τὴν πᾶσαν διέδραμεν οἰκουμένην. 3. λέγοιτο δ' ἂν καὶ ἄλλως πρὸς λέξιν πῦρ καὶ ἅρματα καταγγέλλεσθαι σὺν τῇ αὐτοῦ παρουσίᾳ διὰ τὴν καταλαβοῦσαν πολιορκίαν τὴν Ἱερουσαλὴμ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἄφιξιν,
μεθ' ἣν οὐκ εἰς μακρὰν ὁ μὲν νεὼς αὐτὸς ἐπυρπο- c
λεῖτο καὶ τὴν ἐσχάτην ὑπέμεινεν ἐρημίαν, ἡ δὲ πόλις ἐκυκλώθη ὑπὸ ἁρμάτων καὶ στρατοπέδων πολεμικῶν, μεθ' ἃ καὶ τὰ περὶ τῶν ἐθνῶν ἁπάντων προηγγελμένα συμφώνως τῇ προφητείᾳ τέλους ἔτυχεν. 4. τίς δ' οὐκ ἂν θαυμάσειεν ἀκούων τοῦ κυρίου διὰ τοῦ

---

13 Luc. 12, 49. 17 Matth. 4, 11.

προφήτου λέγοντος "ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, ὁρῶν καθ' ὅλης τῆς τῶν ἀνθρώπων γῆς διὰ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ παρουσίας τε καὶ κλήσεως τὰς τῶν ἐθνῶν d συναγωγὰς ἐπ' ὀνόματος τοῦ Χριστοῦ συγκροτουμένας, τάς τε γλώσσας ἁπάντων τῶν ἐθνῶν ἐν παντοίαις διαλέκτοις ἀνθρώπων τὸν ἕνα θεὸν καὶ κύριον ἐπικαλουμένας; καὶ ἐπὶ πᾶσι δὲ τούτοις, τίς θεώμενος τῷ σωτηριώδει σημείῳ πάντας τοὺς εἰς Χριστὸν πεπιστευκότας σφραγῖδι χρωμένους, οὐκ ἂν εὐλόγως καταπλαγείη ἀκούων πρόπαλαι τοῦ κυρίου εἰρηκότος "καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου, καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον;" 5. ἐν μέρει μὲν οὖν ἐντεῦθεν ἤδη κατὰ τὴν προτέραν τοῦ σωτῆρος ἡμῶν εἰς ἀν-[190]θρώπους ἐπιφάνειαν αὐτοῖς ὀφθαλμοῖς ὁρῶμεν τῶν θείων χρησμῶν τὰ ἀποτελέσματα· γένοιτο δ' ἂν ἐντελῆ ταῦτα καὶ κατὰ τὴν δευτέραν καὶ ἔνδοξον αὐτοῦ παρουσίαν, ὅτε πάντα τὰ ἔθνη ὄψονται τὴν δόξαν αὐτοῦ, ἐρχόμενόν τε αὐτὸν ἐξ οὐρανῶν μετὰ δυνά-(307)μεως καὶ δόξης πολλῆς. ἀναχθείη δ' ἂν εἰς ἐκεῖνο καιροῦ καὶ τὰ λοιπὰ τῶν ἐν τῇ προρρήσει δηλουμένων, ὥσπερ οὖν συστήσομεν κατὰ τὴν οἰκείαν ὑπόθεσιν.

Τοσούτων ἡμῖν ἐπὶ τοῦ παρόντος συνειλεγμένων περὶ τῆς εἰς ἀνθρώπους θεσπιζομένης ἔσεσθαι παρουσίας θεοῦ ἑξῆς ἂν εἴη ἐπισυνάψαι ὁποῖός τις ὁ τρόπος τῆς προτέρας αὐτοῦ εἰς τὸν ἀνθρώπινον βίον παρόδου γενήσεσθαι προανεφωνεῖτο.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ. (308)

Θεὸν εἰς ἀνθρώπους ἀφίξεσθαι καὶ σὺν ἀνθρώποις ἐπὶ γῆς πολιτεύσεσθαι, δύο τε ταῦτα μέγιστα τεκμήρια τῆς αὐτοῦ παρουσίας ἔσεσθαι, κλῆσιν ἐπ' ἀναλήψει τῆς ἀληθοῦς θεογνωσίας τῶν ἀνὰ τὴν οἰκουμένην ἐθνῶν, ἀπόπτωσίν τε καὶ ἐρημίαν διὰ τὴν εἰς αὐτὸν ἀπιστίαν τοῦ Ἰουδαίων ἔθνους, ἐν τῷ πρὸ τούτου συγγράμματι διὰ τῶν προφητικῶν φωνῶν μεμα- (309) *θηκότες, ἐπισκεψάμενοί τε κατὰ τὸ αὐτὸ ὁποίου τέλους ἔτυχε τὰ προηγορευμένα, ἑξῆς καὶ ἀκολούθως ἐν ἑβδόμῳ τούτῳ συγγράμματι τῆς Εὐαγγελικῆς Ἀποδείξεως τὸν τρόπον ἐπιθεωρῆσαι πειρασόμεθα, καθ' ὃν φησιν αὐτὸν τὴν εἰς ἀνθρώπους ποιήσασθαι πάροδον.* 2. *φέρε οὖν ἐντεῦθεν ἤδη σκοπήσωμεν ὁποῖός τις ὁ τρόπος ἔσεσθαι τῆς τοῦ θεοῦ εἰς ἀνθρώπους ἐπιδη-* [191] *μίας ἐθεσπίζετο, καὶ ποῦ γῆς γεννηθήσεσθαι προεκηρύττετο, ἀπὸ ποίου τε γένους προελεύσεσθαι ἐβοᾶτο.*

Ἀπὸ τοῦ Ἡσαΐου. b

1. "*Πρόρρησις τῆς εἰς Χριστὸν ἀπιστίας τοῦ Ἰουδαίων ἔθνους καὶ σημεῖον αὐτοῖς ἀπὸ κυρίου διδόμενον. ἦν δὲ τοῦτο παρθένος θεὸν γεννῶσα, ἐφ' οὗ* c *τῇ γενέσει καθαίρεσις παντελὴς τοῦ Ἰουδαίων ἔθνους ἐθεσπίζετο, καὶ ὡς ἀλλόφυλοι καὶ πολέμιοι τὴν χώραν αὐτῶν καθέξουσιν, καὶ ὡς ἡ πρὶν ἔρημος τῆς ἐνθέου τυχοῦσα γεωργίας εὐφορήσει.* 2. *τῆς ἐξ ἐθνῶν ἐκκλησίας τοῦτον δηλουμένης τὸν τρόπον, ὥσπερ ὁ θαυμάσιος εὐαγγελιστὴς Ἰωάννης μείζονι ἢ κατὰ ἄνθρωπον μεγαλοφωνίᾳ τὸν σωτῆρα καὶ κύριον ἡμῶν θεο-*

λογῶν, αὐτὸν δὴ τὸν τοῦ θεοῦ λόγον, τῆς τε ἱερᾶς
γραφῆς αὐτοῦ ἀπαρχόμενος, ὁμοῦ τῇ θεολογίᾳ καὶ
τὴν ἔνσαρκον αὐτοῦ εἰς ἀνθρώπους παρίστησιν ἐπι-
d δημίαν "ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς
τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ
πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο," φήσας·
τούτοις ἑξῆς ἐπάγων "καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ
ἐσκήνωσεν ἐν ἡμῖν." 3. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ
θεσπέσιος προφήτης θεὸν ἐκ παρθένου γεγεννημένον
μέλλων ἀνακηρύττειν τὴν ἔνδοξον αὐτοῦ θεοπτίαν
προθεωρεῖ, ὧδε τὴν θεολογίαν ὑπογράφων "εἶδον
τὸν κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ
καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ,
καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. ἓξ πτέρυγες
τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ
ἐκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον
(310) τοὺς πόδας· ταῖς δὲ δυσὶν ἐπέταντο. καὶ ἐκέκραγον
ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον, ἅγιος ἅγιος
κύριος Σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ."
4. καὶ ἑξῆς ἐπιλέγει "καὶ ἤκουσα τῆς φωνῆς κυρίου
λέγοντος, τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς
τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδοὺ ἐγώ εἰμι, ἀπόστει-
λόν με. καὶ εἶπε πρός με, πορεύθητι, καὶ εἶπον τῷ
λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ
βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ
ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βα-
ρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν,
b μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκού-
σωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ
ἰάσωμαι αὐτούς. καὶ εἶπα, ἕως πότε, κύριε; καὶ

4 Io. 1, 1. 11 Es. 6, 1.

εἶπεν, ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους."

5. Ποῖον δὲ θεμιτὸν φάσκειν τὸν προφήτην ἑωρακέναι κύριον ἢ ὃν τοῖς περὶ τὸν Ἀβραὰμ προπάτορσιν ὦφθαί τε καὶ ὡμιληκέναι ἐν τοῖς πρὸ τούτων ἀπεδείξαμεν; τοῦτον γὰρ ὁμοῦ θεὸν καὶ κύριον καὶ δὴ ἄγγελον εἶναι καὶ ἀρχιστράτηγον δυνάμεως κυρίου c προμεμαθήκαμεν. μέλλων τοιγαροῦν τὴν εἰς ἀνθρώπους αὐτοῦ πάροδον ὁ παρὼν λόγος θεσπίζειν τὴν ἔνθεον αὐτοῦ προθεωρεῖ βασιλείαν, δι' ἧς φησιν ἑωρακέναι αὐτὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. 6. οὗτος δ' ἂν εἴη ὁ θρόνος αὐτοῦ ἐκεῖνος ὁ καὶ ἐν τῷ περὶ τοῦ ἀγαπητοῦ Ψαλμῷ δεδηλωμένος, κατὰ τὸ "ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος," ἐφ' ὃν καὶ ὁ ἀνωτάτω τῶν ὅλων ποιητὴς θεὸς πατήρ τε αὐτοῦ ὡς ἂν μονογενεῖ καὶ ἀγαπητῷ καθέζεσθαι παρεκελεύετο λέγων "κάθου ἐκ δε- d ξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου." 7. συνίστησι δὲ ταύτην ἡμῶν τὴν εἰς τοὺς τόπους ἑρμηνείαν Ἰωάννης ὁ εὐαγγελιστής, ὃς παραθέμενος τὰς προκειμένας τοῦ Ἡσαΐου φωνάς, [192] ἐν αἷς εἴρητο "ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν" ἐπιφέρει περὶ τοῦ Χριστοῦ λέγων "ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐμαρτύρησε περὶ αὐτοῦ." 8. ἰδὼν δὴ οὖν ὁ προφήτης τὴν ἐπὶ τοῦ πατρικοῦ θρόνου τῆς ἐνθέου δόξης τε καὶ βασιλείας ἵδρυσιν τοῦ σωτῆρος ἡμῶν, τῷ τε ἁγίῳ ἐπιθειάσας πνεύματι, καὶ μέλλων ἑξῆς τὴν εἰς ἀνθρώπους αὐτοῦ πάροδον καὶ τὴν ἐκ

---

14 Ps. 44, 6. 17 Ps. 109, 1. 25 Jo. 12. 41.

παρθένου γέννησιν ὑπογράφειν προμαρτύρεται τὴν (311) *εἰς πᾶσαν τὴν γῆν μέλλουσαν ἔσεσθαι γνῶσίν τε καὶ δοξολογίαν, τὰ Σεραφὶμ εἰσάγων κυκλοῦντα αὐτὸν καὶ φάσκοντα ἅγιος ἅγιος ἅγιος κύριος Σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.*" 9. *τίνα δ' ἂν εἴη τὰ Σεραφὶμ τὰ τὸν Χριστὸν τοῦ θεοῦ δορυφοροῦντα ἢ τάχα ἴσως ἀγγέλων καὶ θείων δυνάμεων χοροὶ, ἢ καὶ προφητῶν καὶ ἀποστόλων; ἑρμηνεύεται γὰρ τὰ Σεραφὶμ* "*ἀρχὴ στόματος αὐτῶν.*" 10. *τοιοῦτοι δὲ οἱ προφῆται καὶ ἀπόστολοι, ὧν διὰ τοῦ στόματος ἡ ἀπαρχὴ* b *γέγονε τοῦ σωτηρίου κηρύγματος, διὸ ταύτης ἔτυχον τῆς προσηγορίας, ὡς καὶ τοῦ ἁγίου πνεύματος αἱ δυνάμεις πτέρυγες ὠνομασμέναι, τὰ μὲν πρῶτα καὶ τὰ ὕστατα τῆς τοῦ θεοῦ λόγου γνώσεως ἐπικρύπτουσιν, ὡς ἄρρητα καὶ ἀκατάληπτα ὄντα τὴν φύσιν, τὰ δὲ μέσα τῆς περὶ αὐτοῦ οἰκονομίας ἐκφαίνουσιν, ὅτι δὴ μόνα γνωστὰ ταῦτα ἀνθρώπων φύσει, τῶν ἐπέκεινα καὶ τῶν μετὰ ταῦτα ἐν ἀπορρήτοις σεσιγημένων.* 11. *καὶ δυνάμεις δὲ θεῖαι καὶ οὐράνιοι εἶεν ἂν διὰ τῶν Σεραφὶμ δηλούμεναι, καθὸ ἑτέρως τὰ Σεραφὶμ* c *ἑρμηνεύεται ἐμπρησμοί. διὸ εἴρηται* "*ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.*" 12. *κεκράγασι δὲ οὗτοι καὶ βοῶσιν ἕτερος τῷ ἑτέρῳ κατὰ τὴν οἰκείαν δύναμιν, τὴν ἁγιότητα τοῦ θεολογουμένου παριστῶντες, καὶ τό γε πάντων παραδοξότατον θεολογοῦντες, ὅτι δὴ μὴ μόνον οὐρανὸς καὶ τὰ ἐν οὐρανῷ πάντα πλήρη τυγχάνει τῆς δοξολογίας αὐτοῦ, ἀλλὰ καὶ πᾶσα ἡ γῆ τῆς αὐτῆς μετέσχε δυνάμεως διὰ τὴν ἐξ οὐρανῶν εἰς ἀνθρώπους αὐτοῦ θεσπιζομένην κάθοδον, ἣν προϊὼν ἑξῆς*

---

21 Ps. 104, 5.

ὁ λόγος προφητεύει, τὴν ἐκ παρθένου γένεσιν καὶ τὴν
διὰ ταύτης εἰς πᾶσαν τὴν γῆν ἐφαπλωθεῖσαν δοξο- a
λογίαν αὐτοῦ κηρύττων. 13. κύριος δὲ Σαβαὼθ ἑρμη-
νεύεται κύριος τῶν δυνάμεων. αὐτὸς δ' ἂν εἴη ὁ
ἀρχιστράτηγος δυνάμεως κυρίου, ὃν καὶ ἐν κγ'
Ψαλμῷ κύριον Σαβαὼθ αἱ θεῖαι πάλιν ἀποκαλοῦσι
δυνάμεις, τὴν ἀπὸ γῆς εἰς οὐρανοὺς ἄνοδον αὐτοῦ
θεσπίζουσαι δι' ὧν φασιν "ἄρατε πύλας οἱ ἄρχοντες
ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται
ὁ βασιλεὺς τῆς δόξης. τίς ἐστιν οὗτος ὁ βασιλεὺς
τῆς δόξης; κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασι-
λεὺς τῆς δόξης." τὸ γοῦν Ἑβραϊκὸν πάλιν ἐνταῦθα (312)
κύριον Σαβαὼθ αὐτὸν καλεῖ. 14. καὶ ἐπειδήπερ αὐ-
τός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, διά τε τὴν ἐπιδημίαν
αὐτοῦ ἔμελλε πᾶσα ἡ γῆ πληροῦσθαι τῆς δόξης αὐ-
τοῦ, εἰκότως τὸ μέλλον ἔσεσθαι ἔν τε τῷ προφήτῃ
λέλεκται καὶ ἐν τῷ Ψαλμῷ· ἐν μὲν τῷ προφήτῃ διὰ
τοῦ "πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ," ἐν δὲ τῷ
Ψαλμῷ διὰ τῆς ἀρχῆς φασκούσης "τοῦ κυρίου ἡ γῆ
καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ
κατοικοῦντες ἐν αὐτῇ." 15. τούτων τεθεσπισμένων
ἑξῆς ὑποβὰς ὁ προφήτης μαρτύρεται ὅτι δὴ εἰ καὶ
πλήρης ἔσται πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ, ἀλλά γε b
τὸ Ἰουδαίων ἔθνος οὐ προσήσεται αὐτόν, διό φησιν
"καὶ εἶπε κύριος (αὐτὸς δηλαδὴ ὁ τεθεωρημένος κύ-
ριος Σαβαὼθ,) τίνα ἀποστείλω καὶ τίς πορεύσεται
πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδού εἰμι ἐγώ, ἀπό-
στειλόν με. καὶ εἶπε, πορεύθητι, καὶ εἶπον τῷ λαῷ [193]
τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέ-
ποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ

8 Ps. 23, 9.

καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή- c ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν καὶ τοῖς ὠσὶν αὐτῶν ἀκούσωσι καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς." 16. δι' ὧν ἄντικρυς θεσπίζει τὴν ἐσομένην εἰς αὐτὸν ἀντιλογίαν τοῦ Ἰουδαίων λαοῦ, καὶ ὡς ὄψονται μὲν αὐτὸν, οὐ μὴν προσέξουσι τίς εἴη, λέγοντός τε ἐν αὐτοῖς καὶ διδάσκοντος ἀκούσονται, οὐ μὴν καὶ συνήσουσιν οὔθ' ὅστις ὢν αὐτοῖς διαλέξοιτο οὔθ' ἅπερ αὐτοῖς τῆς καινῆς διδασκαλίας παραδώσει μαθήματα. 17. μαρτυρεῖ δὲ τοῖς τῶν λόγων ἀποτελέσμασιν ὁ εὐαγγελιστὴς Ἰωάννης περὶ τοῦ σωτῆρος ἡμῶν λέγων "τοσαῦτα δὲ αὐτοῦ σημεῖα πε- d ποιηκότος ἔμπροσθεν αὐτῶν οὐκ ἐπίστευσαν εἰς αὐτὸν, ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε, κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν ὅτι πάλιν εἶπεν Ἡσαΐας, τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσι τῇ καρδίᾳ καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. ταῦτα εἶπεν Ἡσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐμαρτύρησε περὶ αὐτοῦ." 18. ἀναμφιλόγως οὖν ἐπὶ τὸν Χριστὸν ἀνήνεγκε τὴν ἐν τῷ Ἡσαΐᾳ θεοφάνειαν ὁ εὐαγγελιστὴς, καὶ ἐπὶ τὸν Ἰουδαίων λαὸν οὐ παραδεδεγμένον τὸν ἑωραμένον τῷ προφήτῃ κύριον κατὰ (313) τὴν περὶ αὐτοῦ πρόρρησιν. τῷ γοῦν προφήτῃ ἑωρακότι τὸν κύριον Σαβαὼθ φησιν ὁ χρησμὸς εἰπεῖν τῷ Ἰουδαίων ἔθνει ὅτι δὴ καὶ αὐτοὶ ὄψονταί ποτε τὸν αὐτὸν, ἀλλ' οὐ συνήσουσιν ὅστις εἴη, καὶ ἀκούσονται

---

13 Jo. 12, 37.

αὐτοῦ λέγοντος ἐν αὐτοῖς καὶ διδάσκοντος, ἀλλ' οὐ νοήσουσι, διὰ τὸ πεπωρῶσθαι αὐτῶν τὴν καρδίαν. 19. ταῦτ' οὖν ὁ Ἡσαΐας δι' ὧν παρεθέμεθα λέξεων θεσπίσας, ἐν ἱστορίας ἀφηγήσει πολεμίων ἔφοδον κατὰ τοῦ Ἄχαζ, ὃς ἐπεῖχε τότε τὰ τῆς βασιλείας τοῦ Ἰουδαίων λαοῦ, ὑπογράφει, καὶ τὴν τῶν μὲν αἰσθητῶν πολεμίων καθαίρεσιν αὐτίκα καὶ οὐκ εἰς μακρὸν b γενήσεσθαι σημαίνει· ὧν δὲ σύμβολα ἔφερε νοητῶν καὶ ἀοράτων ἐχθρῶν, δαιμόνων τινῶν καὶ ἀφανῶν δυνάμεων, (περὶ ὧν ἀρχόμενοι τῆς ὅλης πραγματείας διεληλύθαμεν, ὡς οὐ μόνον τὸ Ἰουδαίων ἔθνος, ἀλλὰ καὶ πᾶν τὸ ἀνθρώπειον γένος ἐπὶ πᾶν εἶδος κακίας καὶ ἐπ' αὐτήν γε τὴν ἄθεον εἰδωλολατρίαν καταβεβληκότων), οὐκ ἄλλως τὴν ἧτταν ἔσεσθαι δηλοῖ ἢ διὰ μόνης τῆς θεσπιζομένης εἰς ἀνθρώπους ἐπιδημίας τοῦ θεοῦ λόγου, ἐξ ἀπειρογάμου παρθένου σκῆνος c ἀνθρώπειον ἀναληψομένου. τίς δὲ αὐτῷ ἡ τούτου χρεία ἦν καιρὸς ἂν εἴη διαλαβεῖν.

20. Ἐπειδὴ δι' ἀνθρώπου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, φησὶν ὁ ἀπόστολος, χρῆν δήπου διὰ τοῦ αὐτοῦ ἀνθρώπου τὴν κατὰ τοῦ θανάτου βραβευθῆναι d νίκην, καὶ τὸ σῶμα τοῦ θανάτου σῶμα ζωῆς ἀναδειχθῆναι, καὶ τῆς ἁμαρτίας τὴν βασιλείαν ἐν τῷ θνητῷ σώματι τὸ πρὶν ἐνεργοῦσαν καταλυθῆναι, μηκέτι ἁμαρτίας αὐτοῦ, ἀλλὰ δικαιοσύνης κρατούσης. 21. καὶ ἐπειδὴ διὰ τῶν τῆς σαρκὸς ἁμαρτημάτων πάλαι πρότερον ἡ πτῶσις ἐγίνετο πᾶσιν ἀνθρώποις, εἰκότως πάλιν δι' ἀναμαρτήτου καὶ πάσης ἀχράντου κακίας τὰ κατὰ τῶν ἐχθρῶν ἀνηγείρετο τρόπαια. 22. τίνων δὲ ἐχθρῶν, ἢ τῶν πάλαι διὰ τῶν τῆς σαρκὸς

---

19 Rom. 5, 12.

ἡδονῶν καταπαλαιόντων τὸ ἀνθρώπειον γένος; καὶ
[194] ἄλλως δὲ ἐχρῆν ἀνθρώποις θεοῦ λόγον ὁμιλεῖν μέλ-
λοντα, καὶ σαρκὸς ἀκοαῖς τὰ τῆς εὐσεβείας μαθήματα
παραδώσοντα, τεραστείας τε καὶ παραδοξοποιίας ἀν-
(314) θρώπων ὀφθαλμοῖς θεοῦ τε δύναμιν ἐναργῆ παρα-
στήσοντα, μὴ ἄλλως ἢ διὰ τοῦ συνήθους ἡμῖν ὀργά-
νου τοῦτο πρᾶξαι, ὅτι οὐδὲ πλέον οὐδὲν σωμάτων
ὁρᾶν ἀνθρώπων δυνατὸν ἦν ὀφθαλμοῖς, οὐδ' ἀκούειν
ἀκοὴν πλέον τι τοῦ διὰ γλώττης προφερομένου ἤχου.
23. ἵν' οὖν καὶ διὰ σωμάτων αἰσθήσεως τῆς τῶν νοη-
τῶν καὶ ἀσωμάτων ἐννοίας ἐπιλαβώμεθα, τὸν ἡμῖν
συγγενῆ καὶ γνώριμον λόγον αὐτὸς ὁ θεὸς λόγος ἀνε-
λάμβανε, καὶ πάντα γε δι' αὐτοῦ τὰ σωτήρια τοῖς
b αὐτηκόοις καὶ αὐτόπταις τῶν ἐνθέων αὐτοῦ λόγων τε
καὶ ἔργων προεβάλλετο. 24. καὶ ταῦτ' ἔπραττε ταῖς
τοῦ σώματος ἀνάγκαις ὁμοίως ἡμῖν οὐδαμῶς καταδε-
σμούμενος, οὐδέ τι χεῖρον ἢ μεῖζον αὐτὸς ἑαυτοῦ τῆς
θεότητος ὑπομένων, οὐδ' οὕτως οἷα ἀνθρώπου ψυχὴ
τῷ σώματι πεδούμενος ὡς μὴ ἐνεργεῖν δύνασθαι τὰ
θεῖα, μηδὲ πανταχῆ παρεῖναι θεοῦ λόγον ὄντα, καὶ
τὰ πάντα πληροῦντα καὶ διὰ πάντων ἥκοντα· ἀλλ'
οὐδὲ ῥύπον ἢ φθορὰν ἢ μίασμα ἐξ ἧς ἀνείληφε σαρ-
κὸς ἐπενηνεγμένος, ὅτι δὴ ἀσώματος ὢν τὴν φύσιν
καὶ ἄϋλος καὶ ἄσαρκος, οἷα θεοῦ λόγος, ἐνθέῳ δυνά-
c μει καὶ λόγοις ἡμῖν ἀρρήτοις πᾶσαν ὑπῄει τὴν οἰκο-
νομίαν, τῶν οἰκείων μεταδιδοὺς, ἀλλ' οὐκ ἀντεπαγό-
μενος τῶν ἀλλοτρίων. 25. οὐκοῦν τι φοβεῖσθαι χρὴ
τὴν ἔνσαρκον οἰκονομίαν, ἐπεὶ μὴ ἐμολύνετο ὁ ἀμό-
λυντος μηδὲ ἐκ τῆς σαρκὸς ὁ ἀμίαντος ἐμιαίνετο μηδὲ
συνεφθείρετο τῇ τοῦ σώματος οἰκείᾳ φύσει ὁ ἀπαθὴς
τοῦ θεοῦ λόγος, ἐπεὶ μηδὲ ἡλίου πάθοιεν νᾶ τι ἀκτῖ-
νες νεκρῶν καὶ παντοίων σωμάτων ἐπαφώμεναι; τῷ

δὲ θείῳ λόγῳ τοὔμπαλιν τὸ φθαρτὸν μετεσκευάζετο, καὶ ἅγιόν τε καὶ ἀθάνατον, ἅτε καὶ ἦν αὐτῷ βουλη- d τόν, ἀπετελεῖτο· ναὶ μὴν καὶ ταῖς ἐνθέοις τοῦ πνεύματος βουλαῖς τε καὶ πράξεσι διηκονεῖτο. 26. τοῦτο οὖν ὅλον τῷ φιλανθρωποτάτῳ θεῷ τε καὶ θεοῦ λόγῳ ὑπὲρ τῆς πάντων ἀνθρώπων θεραπείας τε καὶ σωτηρίας ταῖς τῶν προφητῶν ἀκολούθως ἐνηργεῖτο φωναῖς, ἄνωθεν ἐκ παλαιῶν χρόνων τὴν θαυμασίαν ἐκ παρθένου γέννησιν αὐτοῦ προμαρτυρομέναις. σφόδρα δὲ ἀναγκαίως ὁ προφήτης προτάττει τῆς ἐκ παρθένου γενέσεως τοῦ Χριστοῦ τὸ ἐπιστρεφές, ἐπιφωνῶν ἄντικρυς τοῖς τούτων ἀκροωμένοις τὸ „ἐὰν μὴ πιστεύσητε, (315) οὐδὲ μὴ συνῆτε.“ 27. ᾧ ἐπιφέρει ἑξῆς τὰ τοῦτον ἔχοντα τὸν τρόπον „ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. καὶ προσέθετο κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων, αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. καὶ εἶπεν Ἄχαζ, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω κύριον. καὶ εἶπεν, ἀκούσατε δὴ οἶκος Δαβίδ, μὴ μικρὸν ὑμῖν ἀνθρώποις παρέχειν ἀγῶνα· καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ παρθένος b ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων.“

28. Καὶ τὰ μὲν τῆς προφητείας ὧδέ πῃ εἶχεν. ἐπιστῆσαι δὲ ἄξιον τῷ τοῦ λόγου προοιμίῳ μαρτυρα-

14 Es. 7, 9.

c *μένῳ τοῖς ἐντυγχάνουσιν, ὅτι "ἐὰν μὴ πιστεύσωσιν, οὐδὲ μὴ συνῶσι." καὶ ἀναγκαίως χρὴν ἐπισημήνασθαι, δεικνύντας ὅτι μὴ μόνον συνέσεως, ἀλλὰ καὶ πίστεως δεῖ τοῖς ἐντευξομένοις, καὶ οὐ μόνον πίστεως, ἀλλὰ καὶ συνέσεως. ὅθεν οἱ ἐκ περιτομῆς μὴ πιστεύσαντες εἰς τὸν Χριστὸν τοῦ θεοῦ, εἰσέτι καὶ νῦν τούτων ἀκροώμενοι, οὔπω καὶ εἰς δεῦρο συνῆ- [195] καν τὸν προφητευόμενον, ὥστε ἐπ' αὐτοῖς πρώτοις ἐπαληθεῦσαι τὴν πρόρρησιν.* 29. *ἀκοῇ γὰρ τῶν περὶ τοῦ Χριστοῦ προφητειῶν διὰ πάσης ἡμέρας ἀκούοντες ὠσὶ διανοίας οὐκ ἀκούουσιν. τῆς τε* d *ἀγνοίας αὐτῶν αἴτιον οὐδὲν ἕτερον ἢ ἀπιστία τυγχάνει, καὶ τοῦτο τῆς προρρήσεως ἀψευδῶς περὶ αὐτῶν καὶ πρὸς αὐτοὺς ἀποφηναμένης. "ἐὰν γάρ, φησί, μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε."* 30. *ἀλλ' εἰ φαῖεν μὴ παρθένον, νεᾶνιν δὲ ὠνομάσθαι ἐν τῇ γραφῇ, (οὕτως γάρ φασι φέρεσθαι παρ' αὐτοῖς) καὶ ποῖον ἂν γένοιτο, φήσομεν, σημεῖον ἐπαγγελίας θεοῦ ἄξιον, εἰ συνήθως τίκτειν οἷα καὶ πᾶσαι γυναῖκες ἐξ ὁμιλίας ἀνδρὸς ἐν γαστρὶ λαβοῦσα νεᾶνίς τις ἔμελλε; πῶς δὲ καὶ θεὸς ἦν ὁ ἐξ αὐτῆς γεννώμενος; καὶ οὐχ ἁπλῶς θεός, ἀλλ' ὁ μεθ' ἡμῶν; τοῦτο γὰρ σημαίνειν βούλεται τὸ Ἐμμανουήλ, ὅπερ φησὶ δεῖν ὀνομάζειν τὸν γεννώμενον. "ἰδοὺ γὰρ ἡ παρθένος, φησίν,* (316) *ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός."* 31. *ποῖος δὲ καὶ ἀγὼν θεῷ, ἢ ποῖος ἂν εἴη κόπος καὶ μόχθος ἐπὶ συνήθει τρόπῳ γυναικὸς τικτούσης; ἐν μὲν γὰρ τοῖς ἡμετέροις ἀντιγράφοις ὑφ' ἑβδομήκοντα ἀνδρῶν, ἄνωθεν μὲν Ἑβραίων τὸ γένος, ἐπ' ἀκριβείᾳ δὲ τῆς πατρίου παιδείας δεδοκιμασμένων, ἑρμηνευομένοις ὧδέ πως φέ-*

ρεται "μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις;
καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει b
κύριος αὐτὸς ὑμῖν σημεῖον. 32. ἰδοὺ ἡ παρθένος
ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, ὃς κεκλήσεται ὁ
μεθ' ἡμῶν θεός·" (τοῦτο γάρ, ὡς ἔφην, δηλοῦν
βούλεται τὸ Ἐμμανουὴλ ὄνομα·) ἐν δὲ τοῖς αὐτῶν
Ἰουδαίων ἀντιγράφοις κατὰ τὴν Ἀκύλου μεταβολὴν
φερομένοις, (προσήλυτος δὲ ὁ Ἀκύλας ἦν, οὐ φύσει
Ἰουδαῖος) ὅμως δ' οὖν καὶ κατ' αὐτὸν τοῦτον εἴρη-
ται τὸν τρόπον "ἀκούσατε δὴ οἶκος Δαβίδ, μή τι
ὀλίγον ἀπὸ ὑμῶν μοχθοῦν ἄνδρας, ὅτι μοχθοῦτε καί
γε τὸν κύριον θεόν μου; διὰ τοῦτο δώσει αὐτὸς c
ὑμῖν σημεῖον. ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ συλλαμβά-
νει, καὶ τίκτει υἱόν, καὶ καλέσεις ὄνομα αὐτοῦ Ἐμ-
μανουήλ." 33. παρὰ δὲ τῷ Συμμάχῳ ταῦθ' οὕτως
ἔχει (λέγεται δὲ ὁ Σύμμαχος Ἐβιωναῖος εἶναι· αἵρε-
σις δὲ ἦν οὕτω καλουμένων τινῶν Ἰουδαίων εἰς Χρι-
στὸν πιστεύειν λεγομένων, ἐξ ὧν ὁ Σύμμαχος ἦν,
παρ' ᾧ καὶ αὐτῷ ταῦτα οὕτως ἔχει) "ἀκούσατε οἶκος
Δαβίδ, μὴ οὐκ αὔταρκες ὑμῖν κοποῦν ἀνθρώπους,
ὅτι κοποῦτε τὸν θεόν μου; διὰ τοῦτο δώσει κύριος
αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ νεᾶνις συλλαμβάνει καὶ
τίκτει υἱόν, καὶ καλέσεις ὄνομα αὐτοῦ Ἐμμανουήλ."
34. ἐπειδὴ γὰρ τοῦ Ἰουδαίων ἔθνους τὸ σκληρὸν d
τοῦ τρόπου καὶ πρὸς εὐσέβειαν δυσένδοτον ἱδρῶτα
καὶ κόπον μόχθον τε οὐ τὸν τυχόντα καὶ ἀγῶνα πα-
ρεῖχε τοῖς πάλαι θεοφιλέσι προφήταις, τούτου χάριν
"οὐκ αὔταρκες ὑμῖν, φησί, τοὺς προφήτας τοῦ θεοῦ
μοχθοῦν, καὶ ἀγῶνα παρέχειν ἀνθρώποις; ἀλλ' ἤδη
καὶ τὸν θεόν μου κοποῦτε, καὶ ἀγῶνα παρέχετε καί
γε τῷ θεῷ μου;" οὕτω γὰρ καὶ Θεοδοτίων ἐξέδω-
κεν. 35. ὁ γοῦν προφήτης ἰδίως ἑαυτοῦ θεόν, ἀλλ'

οὐχὶ καὶ τῶν πρὸς οὓς ὁ λόγος, τὸν κοπούμενον καὶ ἐπὶ τὸν ἀγῶνα ἀποδυόμενον προσεῖπεν, οὐκ ἂν φήσας θεόν μου τὸν ἐπὶ πάντων θεὸν ἐν Ἰουδαίοις, παρ᾽ οἷς ἐκ πατέρων τὸ περὶ τὸν τῶν πάντων δη-
(317) μιουργὸν θεὸν σέβας ἐφυλάττετο. 36. τίς δ᾽ ἂν εἴη ὁ ἀγὼν καὶ μόχθος ἢ ὁ κόπος τοῦ προφητευομένου θεοῦ, ἢ τὸ εἰς ἀνθρώπων γένεσιν ἐλθεῖν, κατὰ μὲν ἡμᾶς καὶ τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν ἐκ παρθένου γεννώμενον, κατὰ δὲ τὴν νῦν παρὰ Ἰουδαίοις φερομένην ἐκ νεάνιδος; εὕροις δ᾽ ἂν παρὰ Μωσεῖ καὶ τὴν ὁμολογουμένως παρθένον νεᾶνιν
[196] προσηγορευμένην, τὴν γοῦν ἑτέρῳ μεμνηστευμένην, ὑφ᾽ ἑτέρου δὲ ἐκβεβιασμένην τούτῳ κέκληκε τῷ προσρήματι. 37. ἀλλὰ καὶ ὁ ἐκ τῆς δηλουμένης
b τεχθησόμενος Ἐμμανουὴλ μείζονα ἢ κατὰ τὸν κοινὸν ἄνθρωπον ἐπιφέρεται δύναμιν, ἐκλεγόμενος τὸ ἀγαθὸν πρὶν ἢ γνῶναι πονηρά, καὶ ἀπειθῶν πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· καὶ ταῦτα οὐκ ἐν τῇ τοῦ ἀνδρὸς ἡλικίᾳ, ἀλλ᾽ ἐν τῇ τοῦ παιδίου. 38. διὸ εἴρηται "πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν", δι᾽ ὧν παντελῶς τὸ τῆς κακίας ἄπειρον τοῦ δηλουμένου παρίσταται. ἀλλὰ καὶ κρείττονα ἢ κατὰ ἄνθρωπον ἐπά-
c γεται τὴν ἐπωνυμίαν ὁ μεθ᾽ ἡμῶν ὑπάρχων θεός. 39. διὸ καὶ τὸ περὶ αὐτοῦ σημεῖον βάθος ἐλέγετο περιέχειν, ὁμοῦ δὲ καὶ ὕψος· βάθος μὲν διὰ τὴν εἰς ἀνθρώπους κάθοδον, ἢ καὶ τὴν μέχρι θανάτου παρουσίαν, ὕψος δὲ διὰ τὴν ἔνθεον ἐκ τοῦ βάθους ἀποκατάστασιν, ἢ διὰ τὴν τῆς ἐνθέου προϋπάρξεως αὐτοῦ θεολογίαν. 40. τίς δ᾽ ἂν εἴη ὁ μεθ᾽ ἡμῶν

---

11 Deut. 22, 19 seqq.

θεὸς ἢ ὁ διὰ τῶν πρόσθεν ἀποδεδειγμένος θεὸς κύριος, ὁ καὶ τῷ Ἀβραὰμ οὐκ ἄλλως ἢ δι' ἀνθρώπου μορφῆς τεθεαμένος; εἰ δ' ἀναφέροιεν ἐπὶ τὸν Ἐζεκίαν οἱ ἐκ περιτομῆς ταῦτα, τὸν τοῦ Ἄχαζ παῖδα, τοῦτον εἶναι φάσκοντες τὸν τῷ πατρὶ προσημαινόμε- d
νον, ἀλλ' οὔτε ὁ μεθ' ἡμῶν θεὸς Ἐζεκίας ἦν οὔτε σημεῖον θεοπρεπὲς πέπρακταί τι ἐπ' αὐτῷ· ἀλλ' οὐδὲ ἀγὼν ἢ μόχθος τῷ θεῷ ἦν περὶ τὴν ἐκείνου γένεσιν· καὶ ἄλλως παρὰ ταῦτα δείκνυται ὁ Ἐζεκίας ἀποκλειόμενος τῶν χρόνων τῆς προφητείας. 41. ταῦτα μὲν γὰρ βασιλεύοντος αὐτοῦ δὴ τοῦ πατρὸς Ἄχαζ περὶ μελλόντων ἐθεσπίζετο· ὁ δὲ Ἐζεκίας πρὸ τοῦ βασιλεῦσαι τὸν Ἄχαζ συνίσταται γεγεννημένος. εἰ δὲ μὴ ἐπὶ τοῦτον ἀναχθείη τὰ τῆς προκειμένης προρρήσεως, πολλοῦ δεῖ ἐφ' ἕτερον τῶν παρὰ Ἰουδαίοις μετὰ τοὺς τῆς προφητείας χρόνους γενομένων, ἐπί γε μὴν τῆς τοῦ ἀληθοῦς Ἐμμανουὴλ, (318)
τοῦτ' ἔστι τοῦ γεγονότος μεθ' ἡμῶν θεοῦ, γενέσεως, καὶ ἐπὶ μόνης τῆς τοῦ σωτῆρος ἡμῶν τοῦ θεοῦ λόγου εἰς ἀνθρώπους ἐπιδημίας. 42. τῶν γὰρ δυοῖν βασιλέων καθῃρημένων κατελείφθη ἔρημος ἡ τῶν Ἰουδαίων γῆ, ὥσπερ ἔσεσθαί φησιν ὁ χρησμὸς εἰπὼν "καταλειφθήσεται ἡ γῆ ἀπὸ προσώπου τῶν δύο βασιλέων·" ὃ καὶ αὐτὸ ῥητῶς μὲν καὶ κατὰ λέξιν οὕτως ἂν ἀποδοθείη. κατὰ γὰρ βασιλέα Ἄχαζ καὶ Ἡσαΐαν υἱὸν Ἀμὼς καὶ τοὺς τῆς προφητείας χρόνους, βασιλεὺς Συρίας ὁ ἐν Δαμασκῷ καὶ βασιλεὺς Ἰσραὴλ ὁ ἐν Σαμαρείᾳ, οὐχ ὁ ἐν Ἱερουσαλὴμ, ἀλλ' ὁ τοῦ πλή- b
θους τῶν Ἰουδαίων τῶν ἀποστάντων τοῦ θείου νόμου, συνθήκας πρὸς ἀλλήλους θέμενοι, τοὺς ὑπὸ τοῖς διαδόχοις τοῦ Δαβὶδ βασιλευομένους ἐπολιόρκουν. 43. τούτων οὖν ἀμφοῖν τὴν καθαίρεσιν ἡ προφητεία

θεσπίζουσα αὐτοὺς μὲν τοὺς κατ᾽ ἐκεῖνο καιροῦ Ἰουδαίους τε καὶ ἀλλοφύλους, κατὰ τοῦ λαοῦ τοῦ θεοῦ δεξιὰς ἀλλήλοις δεδωκότας, αὐτίκα μάλα διαλυθήσεσθαι καὶ ἀποχωρήσειν τοῦ πολέμου φησί· τήν γε μὴν βασιλείαν αὐτῶν καὶ τὴν διαδοχὴν εἰς τὸ παντελὲς καταλυθήσεσθαι καὶ ἀποσβεσθήσεσθαι ἐπὶ τῆς τοῦ προφητευομένου μεθ᾽ ἡμῶν θεοῦ γενέσεως. c 44. ἐπίστησον τοίνυν πότε ἡ Δαμασκηνῶν ὁμοῦ καὶ Ἰουδαίων κατελύθη βασιλεία, καὶ κατὰ ποίους χρόνους κατελείφθη ἡ γῆ τῶν Ἰουδαίων ἀβασίλευτος, καὶ αὐτή γε ἡ πρὶν πολλὰ δυναμένη Δαμασκηνῶν χώρα, μεγάλη χειρὶ τὸ παλαιὸν τῆς Συρίας ἁπάσης βασιλεύουσα. 45. ἐπὶ γὰρ τῆς τούτων καθαιρέσεως τὸν Ἐμμανουὴλ πάντως που γεννηθήσεσθαι εἰκὸς, d καὶ τὸν προφητευόμενον ἐληλυθέναι. εἰ μὲν οὖν τῶν δηλουμένων παρῆν ὁρᾶν συνεστώσας τὰς βασιλείας, οὐδὲν χρῆν περαιτέρω ζητεῖν, μόνον δὲ ἔτι καὶ νῦν [197] εἰς μέλλοντα χρόνον ἀναρτᾶν τὰς ἐλπίδας· εἰ δὲ ἔργῳ προφανὴς ἡ καθαίρεσις τῶν εἰρημένων, ὡς μήτε ἐν Δαμασκῷ μήτε ἐν τῇ Ἰουδαίᾳ καθ᾽ ἡμᾶς αὐτοὺς φαίνεσθαι βασιλέα, πρόδηλον ὡς τέλους ἔτυχε τὸ λόγιον φῆσαν "καὶ καταλειφθήσεται ἡ γῆ ἀπὸ προσώπου τῶν δύο βασιλέων, ὧν σὺ φοβῇ, ἀπὸ προσώπου αὐτῶν," τῶν βασιλέων ἀντὶ τῶν βασιλειῶν 319 ὠνομασμένων. 46. ὁ γοῦν Σύμμαχός φησιν "ἐγκαταλειφθήσεται ἡ γῆ, ἀφ᾽ ἧς σὺ ἐγκακεῖς, ἀπὸ προσώπου τῶν δύο βασιλέων αὐτῆς." καὶ ὁ Ἀκύλας "ἐγκαταλειφθήσεται ἡ χθὼν, ἣν σὺ σικχαίνεις, ἀπὸ προσώπου τῶν δύο βασιλέων αὐτῆς." 47. καὶ ὁ Θεοδοτίων δὲ τοῦτον ἡρμήνευσε τὸν τρόπον "ἐγκαταλειφθήσεται ἡ γῆ, ἣν σὺ βδελύσσῃ, ἀπὸ προσώπου τῶν δύο βασιλέων αὐτῆς." 48. ὁρᾷς ὅπως τὴν

γῆν καταλειφθήσεσθαι ἀβασίλευτον θεσπίζει; ποίαν δὲ γῆν ἢ τὴν τῶν Δαμασκηνῶν καὶ τὴν τοῦ Ἰσραήλ; τούτων γὰρ ἦσαν οἱ δύο βασιλεῖς οἱ περὶ ὧν ὁ λόγος. ὧν ὁ Ἄχαζ τὴν γῆν ἐσίκχαινεν, ἢ ἐβδελύσσετο, ἀποκάμνων ἢ ἐγκακῶν ἀπ' αὐτῆς. πότ' οὖν τοῦτο γέγονεν; τούτων γὰρ συμπερασθέντων πᾶσα ἀνάγκη καὶ τὸ προλεγόμενον μέρος τῆς προφητείας εἰς ἔργον κεχωρηκέναι· τοῦτο δὲ ἦν τὸ τὴν παρθένον τεκεῖν τὸν μεθ' ἡμῶν θεόν. 49. καὶ δὴ πρόδηλον τοῖς b τὰς ἱστορίας ἐξετάζουσιν ὡς μέχρι μὲν τῶν χρόνων τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ καὶ ἐπὶ τῆς Δαμασκοῦ συνειστήκει τὸ ἐκ προγόνων διαδοχῆς βασίλειον. μέμνηται γοῦν ὁ ἱερὸς ἀπόστολος Ἀρέτα τοῦ βασιλέως Δαμασκηνῶν, καὶ τοῦ Ἰουδαίων δὲ ἔθνους ἡ ἄτακτος καὶ οὐ κατὰ νόμον εἰσέτι τότε διέμενε βασιλεία· οὐ γὰρ ἀπὸ γένους Δαβὶδ ἔφερον τὴν τῆς ἀρχῆς διαδοχὴν Ἡρῴδης, καὶ οἱ μετ' αὐτὸν ἐπὶ τοῦ σωτῆρος ἡμῶν γενόμενοι. 50. μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὸ εὐαγγελικὸν εἰς πάντας c ἀνθρώπους τοῦ ἐκ τῆς παρθένου παιδὸς κήρυγμα καταλέλειπται αὐτίκα ἡ γῆ ἀπὸ προσώπου τοῖν δυοῖν βασιλέων. ἐξ ἐκείνου γὰρ τῆς Ῥωμαίων μοναρχίας τῶν ἐθνῶν ἐπικρατησάσης λέλυτο μὲν καὶ πᾶσα ἡ κατὰ τοὺς τόπους ἐθναρχία τε καὶ πολιαρχία, τέλος δὲ μετὰ τῶν ἄλλων καὶ τὰ τῆς ἐν χερσὶν ἐλάμβανε προφητείας.

51. Ῥητὰ μὲν οὖν τάδε· πρὸς δὲ διάνοιαν ὁ τῆς προφητείας λόγος ἁπάσης ψυχῆς τὸ εὐσταθὲς καὶ γαληναῖον καὶ εἰρηναῖον σημαίνει τῆς τὸν γεννηθέντα θεόν, αὐτὸν δὴ τὸν Ἐμμανουήλ, παραδεξαμένης. d

---

14 2. Cor. 11, 32.

ἑνὸς γὰρ Χριστοῦ καὶ τοῦ καταγγελθέντος πρὸς αὐτοῦ λόγου τῆς τῶν ἀνθρώπων ψυχῆς βασιλεύοντος οἱ πρὶν ἀποπεφεύγασι πολέμιοι, δύο τρόποι δυσσεβείας, ὅ τε τὴν εἰδωλολατρίαν καὶ τὴν ἐν πολυτρόποις δόγμασιν ἑτεροδοξίαν ὑποβάλλων ἀνθρώποις καὶ ὁ τὴν ἐν ἤθεσι διαστροφὴν ἐνεργῶν. 52. *τούτων δ' οὖν ἔφερον οἱ πάλαι δηλούμενοι σωματικοὶ βασιλεῖς τὰ σύμβολα· ὧν ὁ μὲν Δαμασκηνῶν τῆς τῶν ἐθνῶν περὶ τὰ εἴδωλα πλάνης εἰκὼν ἦν, ὁ δ' ἕτερος τῶν ἀποστάντων τῆς Ἱερουσαλήμ, δηλαδὴ τῶν ἀποπεπτωκότων τῆς κατὰ τὸν νόμον τοῦ θεοῦ λατρείας.*
(820) 53. *ὅτι δὲ ταῦτα κατὰ διάνοιαν τροπικῶς ἀποδέχεσθαι προσήκει μάθοι ἄν τις καὶ ἀπὸ τῶν ἑξῆς ἐπιλεγομένων, δι' ὧν ἐν τῇ ἡμέρᾳ τοῦ Ἐμμανουὴλ μυίας τινὰς καὶ μελίσσας ἐπελεύσεσθαι τῷ Ἰουδαίων ἔθνει καὶ ὁ λόγος θεσπίζει, τὰς μὲν ἀπ' Αἰγύπτου, τὰς δὲ ἀπὸ τῶν Ἀσσυρίων, τὴν κεφαλὴν καὶ τοὺς πόδας καὶ τὸν πώγωνα ἀποξυρήσειν, ἄνθρωπον δὲ δάμαλιν βοῶν καὶ δύο πρόβατα θρέψειν, καὶ ἄλλα τινὰ καθ' ἕνα*
b *καὶ τὸν αὐτὸν χρόνον ἔσεσθαι οὐδαμῶς πρὸς λέξιν νοούμενα, κατὰ μόνην δὲ διάνοιαν θεωρούμενα.*

54. *Ταῦτα μὲν οὖν τοιαῦτα· ὅπως δὲ ἡ παροῦσα*
[198] *γραφὴ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσεως προεσήμαινε τὸν τρόπον μαρτυρήσει ὧδέ πως ὁ εὐαγγελιστὴς γράφων "τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γένεσις οὕτως ἦν· μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν καὶ μὴ θέλων παραδειγματίσαι αὐτήν, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν.*

---

25 Matth. 1, 18.

ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ ἄγγελος κυρίου c κατ' ὄναρ φαίνεται αὐτῷ λέγων, Ἰωσὴφ υἱὸς Δαβίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. 55. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου, διὰ τοῦ προφήτου λέγοντος, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός."

56. Οὕτω δὴ καθ' ἡμᾶς τὰ τῆς θείας προγνώσεως ἀπὸ τῆς τῶν πραγμάτων ἐκβάσεως πιστοῦται, ἄλλως d οὐκ ἂν τῆς προφητείας ἀληθοῦς ἀποφανθησομένης. ἑξῆς δὲ τούτοις τίνα καὶ ὁπόσα λέγεται ἔσεσθαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, δῆλον δὲ ὅτι ἐν τῷ χρόνῳ τῆς ἐπιφανείας τοῦ Ἐμμανουήλ, φέρε κατανοήσωμεν.

57. "Συριεῖ, φησί, κύριος μυίαις, ὃ κυριεύσει μέρους ποταμοῦ Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων, καὶ ἐλεύσονται, καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος ἐν τῷ ξυρῷ τῷ μεγάλῳ, τῷ μεμισθωμένῳ, πέραν τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων, τὴν κεφα- (321) λήν, καὶ τὰς τρίχας τῶν ποδῶν καὶ τὸν πώγωνα ἀφελεῖ. 58. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα, καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, φάγεται βούτυρον, ὅτι βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς

---

18 Es. 7, 18.

ἐπὶ τῆς γῆς. 59. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς
τόπος, οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς
χέρσον ἔσονται καὶ εἰς ἄκανθαν, μετὰ βέλους καὶ το-
ξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα
ἔσται πᾶσα ἡ γῆ, καὶ πᾶν ὄρος ἀροτριώμενον ἀρο-
b τριαθήσεται. οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος. ἔσται γὰρ
ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης εἰς βόσκημα προβάτου
καὶ καταπάτημα βοός."

60. Τοσαῦτα ἔσεσθαι ἐν τῇ ἡμέρᾳ τοῦ Ἐμμα-
νουὴλ ἡ παροῦσα προφητεία περιέχει· ἅπερ ὁποίας
ἔχεται θεωρίας ὥρα διελθεῖν, τὴν διάνοιαν ἐπιτε-
μνομένους. "συριεῖ, φησί, κύριος μυίαις ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, ὃ κυριεύσει μέρους ποταμοῦ Αἰγύπτου, καὶ
τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων." 61. ταῖς
μὲν προτέραις εἰδωλολατρῶν ἀνδρῶν ψυχαῖς ἢ καὶ
c δυνάμεσιν, ὡς οἶμαι, ἀκαθάρτοις καὶ ἀηδέσι μυίαις
ὀνομαζομέναις, καὶ μυίαις Αἰγυπτιακαῖς, θυσίαις καὶ
αἵμασιν εἰδώλων χαιρούσαις· τῇ δὲ μελίσσῃ ζῴῳ κέν-
τρον ἐπιφερομένῳ, βασιλεύειν τε καὶ βασιλεύεσθαι
καὶ πολεμεῖν ἐπισταμένῳ, ἀμύνεσθαί τε καὶ τιτρώ-
σκειν εἰδότι τοὺς ἀνθισταμένους. 62. ταύτας οὖν
ὁμοῦ συνελθούσας, τὰς μὲν ἐκ τῆς τῶν εἰδωλολατρῶν
χώρας, τὰς δὲ ἀπὸ τῆς τῶν κατευθυνόντων γῆς, (κα-
τευθύνοντες γὰρ οἱ Ἀσσύριοι ἑρμηνεύονται) κελεύσει
d καὶ ὥσπερ συρίσματι τοῦ κυρίου καὶ θεοῦ τῶν ὅλων
τῆς Ἰουδαίας ἁπάσης ἐπικρατήσειν, διὰ τὴν εἰς Χρι-
στὸν ἀπιστίαν αὐτῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Ἐμμανουήλ,
φησί· σημαίνει δὲ διὰ τούτων ἔθνη ἀλλόφυλα καὶ
στρατιωτικὰ οἰκήσειν τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰου-
[199] δαίαν γῆν. 63. ὅπερ καὶ ὁ σωτὴρ ἡμῶν λευκοτέροις
ὀνόμασιν ἐθέσπιξεν εἰπών "καὶ Ἱερουσαλὴμ ἔσται

31 Luc. 21, 24.

πατουμένη ὑπὸ ἐθνῶν." ὃ καὶ τέλους ἔτυχε, μετ' οὐ πολὺν χρόνον τῶν τοῦ σωτῆρος ἡμῶν φωνῶν Ῥωμαίων τὴν πόλιν ἑλόντων, ἀλλοφύλους τε ἄνδρας αὐτόθι κατοικισάντων καὶ ἐπὶ τοῦ τόπου καταστησάντων. 64. πάλιν δὲ ὁ αὐτὸς κύριος ξυρήσειν λέγεται ἐν τῷ τοῦ βασιλέως Ἀσσυρίων ξυρῷ, ἤτοι τῇ κολαστικῇ δυνάμει τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, τὴν κεφαλὴν καὶ τοὺς πόδας καὶ τὸν πώγωνα οὐκ ἄλλου τινὸς ἢ αὖθις τοῦ Ἰουδαίων ἔθνους, τοῦτ' ἔστι τὸν (322) κόσμον αὐτῶν καὶ τὴν δόξαν περιελεῖν διὰ τῆς τῶν καθόλου ἐπικρατούντων ἀρχῆς. 65. Ῥωμαίους δὲ εἶναι τούτους αἰνίττεται. διὰ γὰρ τοῦ τῶν Ἀσσυρίων ὀνόματος ἡγοῦμαι τὴν καθ' ἕκαστον χρόνον ἐπικρατοῦσαν τῶν ἐθνῶν βασιλείαν σημαίνεσθαι, διὰ τὸ "κατευθύνοντας" ἀπὸ τῆς Ἑβραίων φωνῆς ἑρμηνεύεσθαι τοὺς Ἀσσυρίους· ὥστε εἶναι Ῥωμαίους τοὺς νῦν κατευθύνοντας, 66. ἐπεὶ καὶ ἀληθῶς τῷ Ῥωμαίων ξυρῷ, ἤτοι τῇ πολιτικῇ καὶ πολεμικῇ δυνάμει, πᾶσαν τὴν δόξαν τοῦ Ἰουδαίων ἔθνους, ἐν ᾗ τὸ πρὶν ἐκόμα, καὶ πᾶσαν αὐτῶν τὴν ἀνδρείαν διὰ τοῦ πώγωνος καὶ τῶν b τριχῶν τῶν ποδῶν σημαινομένην, περιεῖλεν ὁ τῶν ὅλων θεός. 67. οὐδὲ ἄλλοτε γοῦν πω πρότερον ἐξ αἰῶνος ἢ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν, αὐτοῦ δὴ τοῦ Ἐμμανουὴλ, γένεσιν, περιεῖλεν αὐτῶν ὁ θεὸς πάντα τὸν κόσμον διὰ τῆς τῶν Ῥωμαίων ἀρχῆς. ἀντὶ δὲ τοῦ "βασιλέως Ἀσσυρίων" ὁ μὲν Ἀκύλας "ἐν βασιλείᾳ Ἀσσυρίων," ὁ δὲ Θεοδοτίων "ἐν τῷ βασιλεῖ Ἀσσυρίων" ἐκδέδωκεν, ὁμοίως δὲ καὶ Σύμμαχος, σαφὲς ποιοῦντες ὅτι μὴ τοῦ βασιλέως Ἀσσυρίων τὴν κεφαλὴν ξυρήσειν ὁ λόγος ἀπειλεῖ, ἀλλ' ἐν τῷ αὐτοῦ ξυρῷ c καὶ ἐν αὐτῷ τε τῷ βασιλεῖ τῶν Ἀσσυρίων τὰ προφητευόμενα διαθήσειν τὸ Ἰουδαίων ἔθνος. 68. τούτοις

οὖν καὶ ἡ ἔκβασις ἐπιμαρτυρεῖ τῶν λόγων. ἐπὶ σχο-
λῆς δέ τις καὶ πλεῖστα ἕτερα ὥσπερ εἰς Ἀσσυρίων
πρόσωπον ἐν ταῖς προφητείαις εἰρημένα εὕροι ἂν
ἐπιτηρήσας, οὐδαμῶς μὲν τοῖς Ἀσσυρίοις ἐφαρμόσαι
δυνάμενα, τῇ δὲ ἐπικρατούσῃ καθόλου τῶν κατὰ
χρόνους ἐθνῶν βασιλείᾳ. 69. ἤδη γοῦν καὶ Πέρσας
εὕρομεν παρὰ Ἑβραίοις Ἀσσυρίους ὠνομασμένους·
d διὸ καὶ νῦν ὑπειλήφαμεν αἰνίττεσθαι τὸν λόγον τὴν
Ῥωμαίων ἀρχήν. κατευθύνουσαν γὰρ καὶ κατευθυ-
νομένην ὑπὸ τοῦ θεοῦ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν πα-
ρουσίαν ὁρῶμεν. 70. μηδεὶς δὲ ὑπολαμβανέτω πάντα
ἡμᾶς λέγειν τὰ περὶ Ἀσσυρίων ἐν ταῖς θείαις φερό-
μενα γραφαῖς ἐπὶ Ῥωμαίους ἀνάγεσθαι (ἠλίθιον γὰρ
καὶ ἀναιδὲς τοῦτο), ἀλλά τινας εἶναι προφητικὰς φω-
νὰς ταῖς περὶ τοῦ Χριστοῦ μαρτυρίαις συμπεριπε-
πλεγμένας, ἅς φαμεν περὶ Ῥωμαίων αἰνίττεσθαι διὰ
τῆς τῶν Ἀσσυρίων προσηγορίας, ἐκ τῆς τοῦ ὀνόματος
ἑρμηνείας ἀεὶ συνισταμένης τῆς κατὰ χρόνους ἐπι-
κρατούσης τῶν ἐθνῶν βασιλείας, ὡς ἐπὶ καιροῦ τοῦ
προσήκοντος παραστήσομεν. 71. καὶ ἔγωγε τὸν λογι-
σμὸν τῆς αὐτῆς ἀποδόσεως πρὸς ἐμαυτὸν διερευνώ-
(323) μενος οἶμαι δι' οὐδὲν ἕτερον μὴ ὀνομαστὶ τῶν Ῥω-
μαίων μνημονεῦσαι τὰ προφητικὰ λόγια ἢ διὰ τὸ
μέλλειν ἐπὶ τῆς Ῥωμαίων βασιλείας τὴν τοῦ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ διαλάμπειν εἰς πάντας ἀνθρώ-
πους διδασκαλίαν, καὶ τὰς προφητικὰς γραφὰς ἐπ'
αὐτῆς τε τῆς Ῥωμαίων πόλεως καὶ ἐν πᾶσι τοῖς ὑπὸ
Ῥωμαίους ἔθνεσι δημοσιεύεσθαι. 72. ἵν' οὖν τοῖς
τῆς ἀρχῆς κρατοῦσι δυσαρέστησις μηδεμία γένηται
ἐκ τῆς προδήλου περὶ αὐτῶν ἀναγραφῆς, δι' αἰνι-
b γμάτων ὁ λόγος ἐπεκρύψατο ἔν τε ἑτέροις πλείοσιν,
οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς τοῦ Δανιὴλ θεωρίαις, ὥσπερ

οὖν καὶ ἐν τῇ μετὰ χεῖρας προφητείᾳ, ἐν ᾗ κατευθύνοντας αὐτοὺς ὀνομάζει προσειπὼν Ἀσσυρίους. 73. τῷ τούτων τοιγαροῦν ξυρῷ τὸν σύμπαντα κόσμον τοῦ [200] Ἰουδαίων ἔθνους μετὰ τὴν τοῦ Ἐμμανουὴλ γένεσιν ἀφανισθήσεσθαι θεσπίζει. 74. ἔτι δὲ ἐν τῇ δηλουμένῃ ἡμέρᾳ, δῆλον δὲ ὅτι τῇ τοῦ Ἐμμανουήλ, τοῦτ' ἔστι τῆς τοῦ Χριστοῦ ἐπιφανείας, "θρέψει, φησίν, ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα. καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, βούτυρον καὶ μέλι c φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς." 75. δι' ὧν φαίη ἄν τις ἤτοι λιμὸν αἰνίττεσθαι καὶ πτωχείαν ὑπερβάλλουσαν τοῦ ἐκ περιτομῆς λαοῦ, μὴ εὐποροῦντος μὲν τῆς ἀπὸ σίτου κατὰ φύσιν τροφῆς, μηδὲ γῆν ἀροῦντος καὶ σπείροντος καὶ θερίζοντος, μηδὲ ποίμνας προβάτων μηδὲ βοῶν ἀγέλας κεκτημένου, ἐχομένου δὲ δύο προβάτων καὶ δαμάλεως μιᾶς, τὸ τούτων γάλα ποριζομένου· ἢ ἄλλως τροπολογῶν τὸν μὲν καταλειφθέντα ἐπὶ τῆς γῆς αἰνίττεσθαι φαίη ἂν τὸν τῶν ἐκ περιτομῆς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν πεπιστευκότων ἀποστόλων τε καὶ εὐαγγελιστῶν χορόν, ὧν ἕκαστος "λεῖμμα κατ' ἐκλογὴν χάριτος γεγονώς," καὶ διὰ τοῦτο "ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς ὠνομα- d σμένος θρέψειν λέγεται δάμαλιν βοῶν καὶ δύο πρόβατα, τρία καθ' ἑκάστην ἐκκλησίαν τάγματα, ἓν μὲν τὸ τῶν ἡγουμένων, δύο δὲ τὰ τῶν ὑποβεβηκότων, τοῦ τῆς ἐκκλησίας τοῦ Χριστοῦ λαοῦ εἰς δύο τάγματα διῃρημένου, εἴς τε τὸ τῶν πιστῶν καὶ τῶν μηδέπω τῆς διὰ λουτροῦ παλιγγενεσίας ἠξιωμένων, οἷς καί φησιν ὁ θεῖος ἀπόστολος "γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα·" τοὺς δὲ ἐν ἤδη τελειοτέρᾳ καθεστῶτας ἕξει

---

21 Rom. 11, 5. 29 1. Cor. 3, 2.

δάμαλιν βοῶν εἰκότως ἀποκαλεῖ, γεννήματα τελειοτέρων βοῶν τυγχάνοντας, οἷος αὐτὸς ἦν ὁ ἀπόστολος, περὶ ἑαυτοῦ καὶ τῶν παραπλησίως αὐτῷ καμνόντων λέγων "μὴ τῶν βοῶν μέλει τῷ θεῷ;" ἢ δι' ἡμᾶς πάν-
(324) τως λέγει; 76. εἴη δὲ ἂν καὶ πᾶν τὸ τάγμα τῶν τῆς ἐκκλησίας προεστώτων, ἀροῦν τε καὶ γεωργεῖν τὰς τῶν ἀνθρώπων ψυχὰς ἐγκεχειρισμένων, δάμαλις ὠνομασμένη βοῶν, γεννήματα τυγχάνουσα τῶν ἀποστολικῶν τρόπων τε καὶ μαθημάτων, οἳ καὶ εἰς τοσοῦτον ἀρετῆς ἐπιδώσειν λέγονται ὡς ἐκ πολυγονίας τοσοῦτον προβάλλεσθαι γόνιμον καὶ λογικὸν ταῖς εἰσαγωγικαῖς διδασκαλίαις γάλα, ὡς καὶ ἑτέρους μυρίους τρέφεσθαι ἐξ αὐτῶν. 77. τούτων δὲ πέρι τῶν κατα-
b λειφθέντων ἐπὶ τῆς γῆς γενησομένων ἕτερόν τι συμβήσεσθαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, δῆλον δὲ ὅτι ἐν τῷ χρόνῳ τῆς τοῦ Ἐμμανουὴλ παρουσίας, προαναφωνεῖ· τί δὲ τοῦτο; "πᾶς τόπος, φησί, τοῦ ἐκ περιτομῆς λαοῦ, ἐφ' οὗ ἦσαν χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν. μετὰ γὰρ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, (δῆλον δ' ὅτι οἱ πολέμιοι) ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ." 78. καὶ θέα γε ὅσα ἐν τῇ ἡμέρᾳ τοῦ Ἐμμανουήλ, (λέγω δὲ ἐν τῷ τῆς ἀνατολῆς καιρῷ τοῦ λογικοῦ φωτὸς τοῦ
c διὰ τοῦ σωτῆρος ἡμῶν εἰς πάντας ἀνθρώπους ἐπιλάμψαντος) περὶ τὸ Ἰουδαίων ἔθνος ἔσεσθαι ὁ λόγος θεσπίζει· δυνάμεις τε ἀκαθάρτους καὶ πολεμικὰς τὰς πάλαι ἐν τοῖς ἔθνεσιν ἐνεργούσας, ἔν τε Αἰγύπτῳ καὶ τῇ χώρᾳ τῶν Ἀσσυρίων, τοῦ κυρίου συρίσαντος καὶ ὡσπερεὶ παρορμήσαντος καὶ παρακελευσαμένου αὐταῖς, τῇ χώρᾳ φησὶν αὐτῶν ἐπελεύσεσθαι, διὰ

4 1. Cor. 9, 9.

τὸ τοιούτων ἀξίαν γεγονέναι. 79. καὶ ἀναπαύσεσθαι τὰς εἰρημένας δυνάμεις φησὶν "ἐν φάραγξι καὶ ἐν τρώγλαις πετρῶν, εἴς τε τὰ σπήλαια καὶ εἰς πᾶσαν ῥαγάδα αὐτῶν," κατὰ μὲν διάνοιαν, ἐν ταῖς ψυχαῖς αὐτῶν καὶ ἐν ταῖς τοῦ σώματος αἰσθήσεσι τοῖς τε λογισμοῖς καὶ ταῖς διερρωγυίαις αὐτῶν διανοίαις, d κατὰ δὲ τὴν πρόχειρον λέξιν, καθ' ὅλης αὐτῶν τῆς χώρας, ὃ καὶ τίς οὐκ ἂν ἀποθαυμάσειεν, ὀφθαλμοῖς ὁρῶν τοὺς πολεμίους αὐτῶν πάντα τόπον τῆς Ἰουδαίας [201] κατειληφότας, καὶ τούς γε ἀλλοφύλους καὶ εἰδωλολάτρας ἀνθρώπους ἐν πάσαις αὐτῶν πόλεσί τε καὶ χώραις ἀναπεπαυμένους; οὐ ταῦτα δὲ ἄρα μόνα διαθήσειν φησὶν αὐτοὺς ὁ λόγος, ἀλλὰ ξυρῷ τοῦ νενοημένου ἡμῖν βασιλέως Ἀσσυρίων τὴν κεφαλὴν αὐτῶν καὶ τὰς τρίχας τῶν ποδῶν καὶ τὸν πώγωνα, πάντα δηλαδὴ τὸν πάλαι περικείμενον αὐτοῖς κόσμον, ξυρήσειν. 80. κατὰ δὲ τὴν αὐτὴν ταύτην ἡμέραν καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀπειλεῖ ἐν ἐσχάτῃ πενίᾳ τοῦ κατὰ θεὸν πλούτου καταστήσεσθαι αὐτούς, ὡς μὴ ἄρτων λογικῶν εὐπορεῖν, μήτε στερεᾶς καὶ πνευματικῆς (325) τροφῆς, ἀγαπᾶν δὲ γάλακτι τρέφεσθαι τῷ νηπιώδει καὶ εἰσαγωγικῷ λόγῳ. ἔτι πρὸς τούτοις καὶ τὰς ἀμπέλους αὐτῶν εἰς χέρσον ἔσεσθαι. 81. ἐπειδὴ γάρ, ὡς ὁ αὐτὸς προφήτης φησίν, ἔμεινεν ὁ γεωργὸς ἅμα καὶ δεσπότης αὐτῶν "τοῦ ποιῆσαι σταφυλὴν τὸν ἀμπελῶνα, ὁ δὲ ἐποίησεν ἀκάνθας," καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν· διὸ καὶ ἀφαιρῶν τὸν φραγμὸν αὐτοῦ καὶ καθαιρῶν τὸν τοῖχον εἰς χέρσον καταστήσειν τὸν ἀμπελῶνα μαρτύρεται, καὶ τοῖς ἐχθροῖς παραδώσειν αὐτόν, οὓς μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσεσθαί

25 Es. 5, 4.

b φησιν ἐκεῖ τοὺς τὴν ἐξουσίαν εἰληφότας ὑπὸ τοῦ θεοῦ, τοῦ παραδόντος αὐτοῖς οὐκ ἀκρίτως, ἀλλ' εὖ μάλα ἐν δίκῃ, ὅτι δὴ χέρσος καὶ ἄκανθα αὐτῶν γέγονε πᾶσα ἡ γῆ. 82. διὰ τοῦτο γοῦν ἐπείπερ εἰς χέρσον καὶ ἄκανθαν αὐτοὶ ἑαυτοὺς κατέστησαν, εἰσελεύσονται, φησίν, ἐκεῖ μετὰ βέλους καὶ τοξεύματος οἱ τὴν κατ' αὐτῶν ἐξουσίαν εἰληφότες. μὴ θαύμαζε δ' εἰ καὶ ταῦτα συνεσκιασμένως καὶ δι' αἰνιγμάτων ἀποδέδοται. 83. λέλεκται γοῦν ἤδη πρότερον ἡ αἰτία τῆς τοιαύτης οἰκονομίας τοῦ λόγου, βουληθέντος ἐπι-
c κρύψασθαι τὸν ἔσχατον τοῦ Ἰουδαίων ἔθνους ὄλεθρον, ὡς ἂν φυλάττοιτο παρ' αὐτοῖς ἡ γραφὴ εἰς ἡμῶν τῶν ἐθνῶν βελτίωσίν τε καὶ ὠφέλειαν. 84. εἰ γοῦν ἀναφανδὸν αὐτοῖς μὲν ὄλεθρον, τοῖς δὲ ἔθνεσιν ἀγαθὰ προεκήρυττον αἱ προφητεῖαι, οὐδεὶς ἂν περὶ αὐτὰς ἐσπούδασε τῶν ἐκ περιτομῆς, ἀλλὰ ὡς αὐτοῖς ἐναντίας οὔσας καὶ ἐχθρὰς διέφθειραν ἂν αὐτάς, καὶ οὐκέθ' ἡμῖν τοῖς ἐξ ἐθνῶν παρῆν ταῖς τῶν προφητῶν περὶ τοῦ σωτῆρος ἡμῶν καὶ περὶ ἡμῶν αὐτῶν
d μαρτυρίαις χρήσασθαι. 85. ἀλλὰ γὰρ τοσούτων ἐν τῇ τοῦ Ἐμμανουὴλ ἡμέρᾳ περὶ τὸ Ἰουδαίων ἔθνος γενησομένων κατὰ τὴν ἑτέραν ἑρμηνείαν, σπάνιός τις ἔσεσθαι λέγεται ὁ καταλειφθεὶς ἐξ αὐτῶν, περὶ οὗ φησιν ὁ ἀπόστολος "λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν. ὃς δὴ θρέψει δάμαλιν βοῶν καὶ δύο πρόβατα, καὶ ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα βούτυρον καὶ μέλι φάγεται." τοιοῦτος δὲ ἡμῖν ἀπεδείχθη κατὰ τὴν δευτέραν ἀπόδοσιν πᾶς ὁ ἀποστολικὸς τῶν μαθητῶν χορὸς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. 86. ὥσπερ δὲ ὁ καταλειφθεὶς οὗτος τοιοῦτος ἔσεσθαι προ-

24 Rom. 11. 5.

φητεύεται, οὕτως καὶ τῆς χώρας ἁπάσης τοῦ Ἰουδαίων ἔθνους τοῦ τε ἀμπελῶνος αὐτῶν εἰς χέρσον καὶ ἄκανθαν μεταβεβλημένου, καὶ διὰ ταῦτα τοῖς πολεμίοις παραδεδομένου, ἔμπαλιν ἐκ θατέρου μέρους πᾶν ὄρος ἀροτριώμενον ἀροτριαθήσεσθαι προφητεύεται. ἡγοῦμαι δὲ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (326) ἐκκλησίαν οὕτως αἰνίττεσθαι, περὶ ἧς καὶ αὐτός φησιν "οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη." τὸ γὰρ ἐπηρμένον μετέωρόν τε καὶ ὑψιπετὲς τοῦ τῆς ἐκκλησίας πολιτεύματος ὄρος ἡγοῦμαι διὰ τούτων ἀνηγορεῦσθαι. 87. τοῦτο δ' οὖν, φησί, τὸ ὄρος ἀροτριώμενον ἀροτριαθήσεται, ὡς μὴ ἐπελθεῖν ἐκεῖ φόβον, ἀλλὰ καὶ εἰς τοσοῦτον αὐτὸ μεταβαλεῖσθαι ἀπὸ τῆς προτέρας ἐρημίας καὶ χέρσου καὶ ἀκάνθης, ὡς ἐπιτήδειον καταστῆναι εἰς βόσκημα προβάτου [202] καὶ καταπάτημα βοός. 88. καὶ πάρεστί γε ἐπιλογίσασθαι b ὅπως ἡ τοῦ Χριστοῦ ἐκκλησία πάλαι οὖσα χέρσος καὶ ἄκανθα διὰ τῆς αὐτοῦ χάριτος εἰς τοσοῦτον ἤλασε μεταβολῆς ὥστε πόαν καὶ βοτάνην εὔθετον τῆς λογικῆς καρποφορίας ἐπὶ τοσοῦτον βλαστῆσαι ὡς καὶ τοὺς προβατώδεις καὶ ἁπλουστέρους ἀπολαύειν αὐτῆς δύνασθαι, τούς τε ἐν ἕξει τελειοτέρᾳ προβεβηκότας ἀροῦν καὶ γεωργεῖν αὐτήν, βόας προσαγορευομένους, ὥσπερ οὖν τὸν θεῖον ἀπόστολον παιδεύοντα παρεστήσαμεν ἐν τῷ φάναι "μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ὑμᾶς πάντως λέγει; δι' ὑμᾶς γὰρ ἐγράφη ὅτι c ὀφείλει ὁ ἀροτριῶν ἐπ' ἐλπίδι ἀροτριᾶν καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν." 89. οὕτως ἡ πάλαι ἔρημος καὶ χέρσος μεταβέβληκε μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, ὡς καὶ τοῖς οὕτως νενοημένοις βουσὶν εἰς τὴν κατάλληλον γεωργίαν ἐπιτηδείως ἔχειν. ἐπίστησον

8 Matth. 5, 14. 25 1. Cor. 9, 9.

δὲ τίνα τρόπον ὑπὸ μίαν καὶ τὴν αὐτὴν διάνοιαν γένεσις ἐκ παρθένου προφητεύεται, καὶ κατὰ τὸ αὐτό φησιν ὁ λόγος τὴν μὲν πάλαι καρποφόρον γῆν τὸ πρὶν οὖσαν χιλίων σίκλων εἰς χέρσον ἔσεσθαι καὶ εἰς ἄκαν-
d θαν, πᾶσάν τε τὴν γῆν αὐτῶν διὰ τὸ γενέσθαι εἰς ἄκανθαν καὶ εἰς χέρσον παραδοθήσεσθαι τοῖς μετὰ βέλους καὶ τοξεύματος εἰσελευσομένοις· τοὐναντίον δὲ πείσεσθαι πᾶν ὄρος· ἀπὸ γοῦν τῆς προτέρας χέρσου καὶ ἀκάνθης μεταβαλεῖσθαι "εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοός," ὥστε αὐτὸ ἀροτριώμενον ἀροτριαθήσεσθαι καὶ μὴ ἐπελεύσεσθαι ἐκεῖ φόβον. 90. δι' ὧν σαφῶς ἡγοῦμαι σημαίνεσθαι τὴν τοῦ σωτῆρος ἡμῶν ἐκ παρθένου γένεσιν, καὶ τὰ μετὰ ταύτην ὁμοῦ καὶ ἀθρόως Ἰουδαίοις τε καὶ τοῖς λοιποῖς ἔθνεσι συμβεβηκότα, τὴν γοῦν ἑκατέρων τῶν ταγμάτων εἰς τοὐναντίον μεταβολὴν ἡ προφητεία παρίστησιν, τοῦ μὲν Ἰουδαίων ἔθνους τὴν ἀπὸ τῶν κρειττόνων ἐπὶ τὸ χεῖρον, τῆς δὲ ἐξ ἐθνῶν ἐκκλησίας τὴν ἀπὸ τῆς πάλαι ἐρημίας ἐπὶ τὴν κατὰ θεὸν καρποφο-
(327) ρίαν, ἅπερ, καθ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν τῆς τοῦ Ἐμμανουὴλ ἐπιφανείας ἐπιτελεσθήσεσθαι προφητευθέντα, ταῖς προρρήσεσιν ἀκολούθως οὐκ ἄλλοτε ἢ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν τέλος εἰληφότα δείκνυται, διά τε τῶν ἐμφανῶς εἰρημένων κατὰ Ἰουδαίους πραγμάτων καὶ διὰ τῆς ἐξ ἐθνῶν ἐκκλησίας. 91. εἰ μὲν γὰρ μετὰ τὴν παρουσίαν τοῦ σωτῆρος ἡμῶν, αὐτοῦ δὴ Ἰησοῦ τοῦ Χριστοῦ, μὴ πέπαυτο βασιλευομένη ἡ τῶν Δαμασκηνῶν ἀρχὴ καὶ τῶν Ἰουδαίων, καὶ εἰ μὴ ἐν ὄψεσιν ἡμῖν αὐτοῖς νῦν θεωρεῖται καταλελειμμένη ὑπ' αὐτῶν ἡ γῆ, καὶ ὑπ' ἐθνῶν
b ἀλλοφύλων καὶ εἰδωλολατρῶν κατοικουμένη· καὶ πρὸς τούτοις εἰ μὴ γέγονεν εἰς χέρσον καὶ ἄκανθαν πᾶσα

ἡ πάλαι σεμνοτάτη αὐτοῦ δὴ τοῦ ἱεροῦ αὐτῶν ἁγιάσματος ὥρα, καὶ εἰ μὴ εἰδωλολάτραι ἀκάθαρτοι ἄνδρες, οἵ τε πολέμιοι αὐτῶν μετὰ βέλους καὶ τοξεύματος ἐπελθόντες, ὑπ' αὐτοῦ γε τοῦ κυρίου παρορμηθέντες ἐκ τῆς ἀλλοδαπῆς ἐληλύθασιν; ἀνεπαύσαντό τε ἐν ταῖς χώραις αὐτῶν πάντα τόπον καὶ πάσας τὰς πόλεις αὐτῶν ἰδιοποιησάμενοι· καὶ ἔμπαλιν, εἰ μὴ c ἀπὸ χέρσου καὶ ἀκάνθης τῆς πρὶν ἀγεωργίας διὰ τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας μεταβαλόντα πάντα τὰ εἰς αὐτὸν πεπιστευκότα ἔθνη τὴν εὐσεβῆ καὶ κατὰ θεὸν λογικὴν ἀπείληφε καρποφορίαν· καὶ ἐπὶ τούτοις, εἰ μὴ ὀφθαλμοῖς τὸν Χριστὸν ἰδόντες οὐκ ἐπίστευσαν, καὶ διδάσκοντος ἀκούσαντες εἰ μὴ παρήκουσαν, καὶ εἰ μὴ τὰ λοιπὰ τῆς προφητείας ἐναργέστατα τέλους τυχόντα ἀπὸ τῶν χρόνων Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν δείκνυται, οὐκ ἂν εἴη αὐτὸς ὁ προφητευόμενος. 92. εἰ δὲ καὶ τυφλῷ, ὥς φασι, δῆλα τὰ τῶν λόγων ἀποτελέσματα, οὐκ ἄλλοτε ἢ ἀπὸ τῶν χρόνων τῆς ἐπιφανείας αὐτοῦ πεπληρωμένα, τί χρὴ d λοιπὸν καὶ περὶ τῆς ἐκ παρθένου γενέσεως αὐτοῦ [203] ἀμφιβόλως ἔχειν, οὐχὶ δὲ εὐγνώμονι λογισμῷ ἀπὸ τῶν εἰσέτι νῦν ὁρωμένων καὶ τὴν καταρχὴν τῶν πραγμάτων πιστοῦσθαι; ὁρώμενα δὲ εἰσέτι νῦν τίνα ἂν εἴη ἀλλ' ἢ ἡ Ἰουδαίων εἰς αὐτὸν ἀπιστία, ἐναργῶς κατὰ τὸν χρησμὸν πληρουμένη τὸν φάσκοντα "ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· 93. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου," καὶ ἡ πολιορκία τῆς Ἱερουσαλὴμ, καὶ τοῦ πάλαι αὐτῶν ἁγιάσματος ἡ παντελὴς ἐρήμωσις, τῶν τε ἀλλοφύλων ἐθνῶν ἐπὶ τῆς χώρας αὐτῶν κατοί-

25 Es. 6, 9.

κησις μετὰ κέντρων αὐτούς, τοῦτ' ἔστι μετὰ σκληρῶν ἐπιταγμάτων, καταδουλουμένων, (τοῦτο γὰρ ἐδή- (328) λου τῶν μυιῶν καὶ τῶν μελιττῶν τὰ παραδείγματα) καὶ ἐπὶ πᾶσιν ἡ τῶν ἐθνῶν ἀπὸ τῆς προτέρας ἐρημίας εἰς τὴν κατὰ θεὸν γεωργίαν μεταβολή; 94. ταῦτα δὴ οὖν ὀφθαλμοῖς ὁρώμενα τίς οὐκ ἂν ἐκπλαγείη θαυμάσας; τίς δὲ οὐ θείαν ὡς ἀληθῶς ὁμολογήσειεν ἂν τὴν πρόρρησιν, ἀκούων ἄνωθεν πρὸ χιλίων ὅλων ἐτῶν ἐν βίβλοις ἀποκείμενα ταῦτα καὶ μελετώμενα, οὐ μὴν ἄλλοτε εἰς τέλος ἀχθέντα ἢ μετὰ τὴν τοῦ σω- b τῆρος ἡμῶν παρουσίαν; εἰ δὴ οὖν θαυμάσιος ἡ πρόρρησις, καὶ ἔτι θαυμασιωτέρα καὶ ὑπὲρ πάντα λόγον ἡ τῆς προρρήσεως ἔκβασις, τί δεῖ ἀπιστεῖν εἰ καὶ ἡ πρώτη τοῦ προφητευομένου πάροδος παράδοξον καὶ ὑπὲρ πᾶσαν ἀνθρώπου φύσιν τὴν τῆς γενέσεως καταβολὴν εἴληχεν, ὁπότε καὶ ἡ τῶν λοιπῶν θαυμάτων ἐναργὴς ὄψις οὐχ ἧττων οὖσα ἀπὸ τῆς γενέσεως αὐτοῦ βιάζεται καὶ τὴν τῶν ἄλλων τῶν κατ' αὐτὸν πραχθέντων ἀποδέχεσθαι μαρτυρίαν; ἀλλὰ γὰρ τούτοις c ἑξῆς μετὰ τὸ "εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοός" συνῆπται δευτέρα τις πρόρρησις συγγενὴς τῇ προτεθειμένῃ, ἀρχομένη ἀπὸ τοῦ "καὶ εἶπε κύριος πρός με, λάβε σεαυτῷ τόμον," ἣν καὶ αὐτὴν ἐκθέμενοι φέρε διασκοπήσωμεν.

d

Ἀπὸ τοῦ αὐτοῦ.

95. "Καὶ εἶπε κύριος πρός με, λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων·

26 Es. 8, 1.

πάρεστι γάρ· καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀν-
θρώπους, τὸν Οὐρίαν τὸν ἱερέα καὶ Ζαχαρίαν υἱὸν
Βαραχίου. καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ (329)
ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν υἱόν. καὶ εἶπε κύριός
μοι, κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον,
ὀξέως προνόμευσον, διότι πρὶν ἢ γνῶναι τὸ παιδίον
καλεῖν πατέρα ἢ μητέρα λήψεται δύναμιν Δαμασκοῦ,
καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων."

96. Ἔχεται τῆς προτεταγμένης καὶ ἡ παροῦσα
προφητεία. ἡ γὰρ ἐκεῖσε παρθένος, ἡ τὸν μεθ' ἡμῶν
θεὸν τίκτειν λεγομένη, προφῆτις ἐπὶ τοῦ πάροντος
ὠνόμασται. ζητουμένου δὲ πόθεν ἄρα συλλήψεται
ἀπειρόγαμος οὖσα, τοῦτο νῦν ὁ λόγος διδάσκει "καὶ b
προσῆλθον" λέγων "πρὸς τὴν προφῆτιν, καὶ ἐν γα-
στρὶ ἔλαβε καὶ ἔτεκεν υἱόν." 97. ἀκουστέον δὲ ταῦτα
ὡς ἐξ ἁγίου πνεύματος, ὑφ' οὗ θεοφορούμενος ὁ
προφήτης ἐθέσπιζεν. αὐτὸ δὴ οὖν τὸ πνεῦμα τὸ ἅγιον [204]
προσεληλυθέναι ὁμολογεῖ τῇ προφήτιδι· ὃ καὶ σαφῶς
πεπλήρωται ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χρι-
στοῦ γενέσεως "ὅτε ἀπεστάλη ἄγγελος Γαβριὴλ ὑπὸ
τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲθ,
πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰω-
σὴφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ." ᾗ καὶ εἶπε "χαῖρε c
κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν
γυναιξί." 98. καὶ πάλιν "μὴ φοβοῦ· εὗρες γὰρ χάριν
παρὰ τῷ θεῷ. καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ
υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν." εἰπού-
σης τε τῆς Μαρίας "πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ
γινώσκω; ἀπεκρίνατο, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ
σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοί. διὸ καὶ τὸ

---

20 Luc. 1, 26.

γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ.” 99. *καὶ
ἐν μὲν τῇ πρὸ ταύτης προφητείᾳ ἅμα τῇ γενέσει τοῦ
d Ἐμμανουὴλ, πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κα-
κὸν, ἐλέγετο ἐγκαταλειφθήσεσθαι τὴν γῆν ἀπὸ τῶν
πολιορκούντων αὐτὴν δυεῖν βασιλέων, ἑνὸς μὲν τοῦ
τῆς Σαμαρείας, θατέρου δὲ τοῦ τῆς Δαμασκοῦ· ἐπὶ
δὲ τῆς παρούσης, πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν
πατέρα ἢ μητέρα λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ
σκῦλα Σαμαρείας· ὧν καὶ πρόσθεν καταλυθήσεσθαι
τοὺς βασιλέας ἐπὶ τῇ γενέσει τοῦ Ἐμμανουὴλ ἐθέ-
σπιζεν.* 100. *αἰσθητῶς μὲν οὖν ἐν ἡμέραις Ἄχαζ βασι-
λέως Ἰούδα, καὶ κατ᾽ αὐτὸν Ἡσαΐαν τὸν προφήτην,
δύο βασιλεῖς ἐκ συνθήκης τοὺς ὑπὸ τοῖς διαδόχοις
Δαβὶδ βασιλευομένους ἐπολιόρκουν, ὡς ἤδη πρότε-
ρον δεδήλωται· ὁ μὲν ἐπὶ τῆς Δαμασκοῦ τῶν εἰδω-
λολατρῶν ἐθνῶν βασιλεὺς, ὁ δὲ τοῦ πλήθους τῶν
Ἰουδαίων, ἐν τῇ καλουμένῃ Σαμαρείᾳ πόλει τῆς
Παλαιστίνης, ἣν Σεβαστὴν οἱ καθ᾽ ἡμᾶς ὀνομάζουσι·
(330) περὶ ὧν ὁ θεὸς διὰ τοῦ προφήτου τῷ Ἄχαζ εἶπε “μὴ
φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο
ξύλων, τῶν δαλῶν τῶν καπνιζομένων τούτων.”* 101.
*καὶ τὴν ἀπώλειάν γε τῶν ἀνδρῶν αὐτίκα μάλα καὶ
οὐκ εἰς μακρὸν ἔσεσθαι εἰπὼν, ἑξῆς προφητεύει ὡς
ἐπὶ τῇ τοῦ μεθ᾽ ἡμῶν ἐσομένου θεοῦ γενέσει πάμπαν
ἀμφοτέρων σβεσθήσεται καὶ καταλυθήσεται ἡ βασι-
λεία.* 102. *δείκνυμεν δὲ ἀπὸ τῆς ἱστορίας ὡς μέχρι
τῶν χρόνων τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χρι-
στοῦ παρουσίας διαμεμένηκεν ἥ τε τῶν Ἰουδαίων καὶ
b Δαμασκηνῶν βασιλεία, μετὰ δὲ τὴν εἰς πάντας ἀν-
θρώπους ἐπιφάνειαν αὐτοῦ ἀκολούθως τῇ προρρήσει*

---

19 Es. 7, 4.

διαλελοίπασι, τῆς Ῥωμαίων μοναρχίας ἐπικρατησάσης σὺν τῷ τοῦ σωτῆρος ἡμῶν κηρύγματι. 103. καὶ ταῦτά γε πρὸς λέξιν θεσπίσας ὁ λόγος μετέβαινεν ἐπὶ τὴν διάνοιαν καὶ τὴν καθόλου πνευματικωτέραν ἐν θεωρίαις ἀπόδοσιν, ὑποστησάμενός τε δύο στίφη ἀοράτων ἐχθρῶν καὶ πολεμίων δαιμόνων πονηρῶν, τὸ πάντων ἀνθρώπων γένος διαφόρως πολεμούντων, ἓν μὲν τῶν τὰς ἐν ἀνθρώποις ἐνεργούντων ἀεὶ καὶ πάντοτε εἰδωλολατρίας καὶ τὰς ἐν δόγμασι ψευδοδοξίας, θάτερον δὲ τῶν ἐν ἤθεσι ψυχῶν διαφθορὰν κατεργα- c ζομένων· καὶ τὸ μὲν τῆς εἰδωλολάτρου πλάνης εἰκόνα φέρειν ἀποδείξας, τὸν ἄρχοντα τῆς Δαμασκοῦ, τὸ δὲ τῶν ἐν ἀποπτώσει τοῦ σώφρονος καὶ ὑγιοῦς βίου τύπον εἶναι, τὸν τῆς Σαμαρείας, οὐ πρότερόν φησι τούτων ἀπαλλαγήσεσθαι τὴν γῆν (οὕτω καλῶν τοὺς ἐπὶ γῆς κατοικοῦντας ἀνθρώπους) ἢ φανῆναι ἐπὶ γῆς τὸν Ἐμμανουὴλ θεόν· τούτου δὲ ἐπιλάμψαντος καὶ βασιλεύοντος ἀνθρώπου ψυχῆς μηδένα ἔτι λείπεσθαι τῶν πάλαι κατακρατούντων αὐτῆς. 104. οὕτω δὴ οὖν καὶ ἐνθάδε περὶ τῶν αὐτῶν εἰρῆσθαι νοήσεις τὸ "λή- d ψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας," τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δυνάμεως καθαιρούσης ἀθρόως πάντας τοὺς ἀοράτους ἡμῶν [205] ἐχθροὺς, οἳ δὴ πάλαι πρότερον ταῖς προειρημέναις ἀθέοις καὶ ἐπιβλαβέσιν ἐνεργείαις πάντας ἀνθρώπους ἐπολιόρκουν. 105. καὶ πρὸς λέξιν δὲ πάλιν ἴδοις ἂν ὁμοῦ τῇ γενέσει καὶ ἐπιφανείᾳ τοῦ σωτῆρος ἡμῶν τὴν δύναμιν Δαμασκοῦ καθῃρημένην καὶ τὰ σκῦλα Σαμαρείας ἠρμένα, τοῦτ' ἔστι τὰς βασιλείας αὐτῶν, αἳ μέχρι τῶν δηλουμένων χρόνων διαρκέσασαι ἐξ ἐκείνου καὶ εἰς δεῦρο διαλελοίπασι κατὰ τὰς θείας προρ- (331) ρήσεις. 106. φασὶ δέ τινες καὶ ἄλλως τοὺς ἀπ' ανα-

τολῆς ἐληλυθότας μάγους καὶ τῷ Χριστῷ παιδίῳ ὄντι προσκεκυνηκότας, τούτους εἶναι τὴν δύναμιν Δαμασκοῦ· εἴποις δ' ἂν καθολικώτερον πάντας τοὺς τὴν μὲν ἄθεον καὶ πολύθεον εἰδωλολατρίαν ἀποστραφέντας, τῷ δὲ τοῦ Χριστοῦ λόγῳ καταδουλωθέντας, μάλιστα εἰ δυνατοί τινες εἶεν ἐν λόγῳ καὶ σοφίᾳ τοῦ αἰῶνος τούτου, αὐτοὺς εἶναι τοὺς ὀνομαζομένους δύναμιν Δαμασκοῦ. 107. *κατὰ ταυτὰ δὲ καὶ τὰ σκῦλα Σαμαρείας νοήσεις τοὺς ἀπὸ τοῦ Ἰουδαίων ἔθνους*
b *τοῦ σωτῆρος ἡμῶν μαθητὰς καὶ ἀποστόλους, οὓς ὥσπερ ἐκ πολεμίων τῶν ἐκ περιτομῆς κατ' αὐτοῦ στρατευσαμένων σκῦλα ὑφ' αὐτὸν λαβὼν ἐξ ἐναντίας καθώπλισε τοῦ τῶν Ἀσσυρίων βασιλέως, οὕτω πάλιν τροπικῶς δηλουμένου τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου.* 108. *ἐπεὶ δὲ τὸ "ἐναντίον βασιλέως Ἀσσυρίων" σαφέστερον ὁ Ἀκύλας ἐξέδωκεν εἰπὼν "εἰς πρόσωπον βασιλέως Ἀσσυρίων," ἐπίστησον μή ποτε ἄρα καὶ ἐν τούτοις τὴν Ῥωμαίων ἀρχὴν δηλοῖ, εἴ γε κατευθύνοντες ἢ κατευθυνόμενοι Ἀσσύριοι μεθερμηνεύονται κατὰ τὰ*
c *μικρῷ πρόσθεν ἀποδεδομένα. ἐπεὶ τοίνυν τῇ περὶ τοῦ σωτῆρος ἡμῶν προρρήσει καὶ νῦν ὁ τῶν Ἀσσυρίων συμπέπλεκται βασιλεύς, εἰκότως ἡμῖν κἀνταῦθα ἡ Ῥωμαίων ἀρχὴ παρείληπται, διὰ τὸ πρὸς τοῦ θεοῦ εἰς τὴν τῶν ἐθνῶν ὑποταγὴν κατευθύνεσθαι.* 109. *λήψεσθαι τοιγαροῦν τὸ τικτόμενον παιδίον τὴν δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας, καὶ παραδώσειν εἰς πρόσωπον Ἀσσυρίων καὶ ἐν ὀφθαλμοῖς τῶν ὑπὸ τοῦ θεοῦ κατευθυνομένων θεσπίζεται, καὶ ταῦτα ποιήσειν ἅμα τῇ αὐτοῦ γενέσει, ἀρρήτῳ καὶ ἐνθέῳ*
d *δυνάμει, ἔτι νηπιάζοντι σώματι τοσαῦτα ἐν ἀνθρώποις οἰκονομούμενον.* 110. *πάντα δὲ ταῦτα ὁ προφήτης ἐν τόμῳ καινῷ καὶ μεγάλῳ γραφῇ παραδοῦναι*

ἀνθρώπου προστάσσεται, τοῦτον καὶ τῆς καινῆς διαθήκης δηλουμένης τὸν τρόπον. προσπαραλαμβάνει δὲ τῶν εἰρημένων μάρτυρας ἱερέα καὶ προφήτην, τοῦ λόγου παιδεύοντος ὡς ὅτι δεήσει ἐν ταῖς ἀποδείξεσι ταῖς περὶ τοῦ Χριστοῦ τὰς ἀπὸ τῆς ἐν νόμῳ ἱερουργίας καὶ τῶν μετὰ ταῦτα προφητῶν μαρτυρίας παραλαμβάνειν· πιστοὺς δὲ βούλεται καὶ ἄλλως μάρτυρας εἶναι τοὺς τὴν γένεσιν τοῦ δηλουμένου παιδίου μέλλοντας ἐποπτεύειν, εἰς τὸ συνιέναι δύνασθαι τὰ προφητευόμενα. 111. "ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε," ἐλέγετο ἀνωτέρω, καὶ τὸν μὲν ἔχειν φῶς θεοῦ, (τοῦτο γὰρ ὁ Οὐρίας ἑρμηνεύεται) τὸν δὲ υἱὸν (332) ὄντα εὐλογίας τὴν μνήμην τοῦ θεοῦ ἐν ἑαυτῷ φέρειν· (τοῦτο γὰρ καὶ ὁ τοῦ Βαραχίου Ζαχαρίας δηλοῖ.)

Ταῦτα μὲν οὖν εἰς τοὺς τόπους ἡμεῖς ἐπιβεβλήκαμεν· 112. εἰ δέ τις τῶν ἐκ περιτομῆς οὐ ταῦτα οὕτως ἔχειν βούλεται, ὥρα ἡμῖν αὐτὸν ἀποδεικνύναι, τίς πώποτε παρ' αὐτοῖς Ἐμμανουὴλ γέγονε, καὶ πῶς ὁ προφήτης προσῆλθε πρὸς τὴν προφῆτιν, καὶ τίνα ταύτην, καὶ πῶς παραχρῆμα συνέλαβε, καὶ τίς ὁ ἐκ τῆς προφήτιδος ἀποτεχθεὶς υἱὸς, ᾧ αὐτὸς ὁ κύριος ἐπιτέθειται ὄνομα "ταχέως σκύλευσον, ὀξέως προνόμευσον," b καὶ τίς ἡ αἰτία τῆς τοιᾶσδε τοῦ τεχθέντος προσηγορίας. 113. δεικνύτωσαν δὲ καὶ τὸ πρὶν ἢ [206] γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, τὴν δύναμιν εἰληφότα Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων. ἡμεῖς γὰρ ταῦτα καὶ πρὸς λέξιν καὶ τροπικῶς ἐξειληφότες πεπληρῶσθαι αὐτὰ δείκνυμεν ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν γενέσεως, παριστῶντες τοτὲ μὲν ῥητῶς κατὰ τὴν πρόχειρον διάνοιαν, τοτὲ δὲ τροπικῶς δεῖν ἐπιβάλλειν ταῖς προφητείαις. 114. αὐτίκα ἑξῆς ταῖς προειρημέναις φωναῖς c

δι' αἰνιγμάτων αὖθις ἐπιλέγεται "καὶ προσέθετο κύριος λαλῆσαί μοι ἔτι, διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥαασὶμ καὶ τὸν υἱὸν Ῥομελίου, διὰ τοῦτο ἰδοὺ κύριος ἀνάγει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολὺ, τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ· καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄν- d θρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι· καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου. μεθ' ἡμῶν ὁ θεός. γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς."

115. Σαφῶς γὰρ ταῦτα οὐδὲ ἄλλως ἢ μετὰ θεωρίας τῆς κατὰ μόνην τροπολογίαν τὴν διάνοιαν σώζει. δηλοῖ γοῦν καὶ αὐτὰ διὰ μὲν τοῦ ὕδατος τοῦ Σιλωὰμ τοῦ ἡσυχῇ πορευομένου τὴν εὐαγγελικὴν τοῦ σωτηρίου λόγου διδασκαλίαν· ἑρμηνεύεται γὰρ Σιλωὰμ ἀπεσταλμένος. 116. οὗτος δ' ἂν εἴη ὁ ἐκ τοῦ πατρὸς ἡμῖν ἀπεσταλμένος θεὸς λόγος, περὶ οὗ καὶ Μωσῆς φησιν "οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ (333) αὐτὸς ἔσται προσδοκία ἐθνῶν." ἀντὶ γὰρ τοῦ "ᾧ ἀπόκειται" τὸ Ἑβραϊκὸν Σιλωάμ περιέχει, τὸν ἐνταῦθα Σιλωὰμ, τοῦτ' ἔστι τὸν ἀπεσταλμένον, κἀκεῖ δηλοῦντος τοῦ λόγου. 117. ὁ δὲ Ῥαασὶμ βασιλεὺς ἦν πάλιν τῶν ἐν Δαμασκῷ εἰδωλολατρῶν ἐθνῶν, ὡς καὶ ὁ υἱὸς Ῥομελίου, τῶν ἐν Σαμαρείᾳ τοῦ Ἰουδαίων ἔθνους ἀποστάντων τῆς πατρίου θρησκείας. 118. ἀπειλεῖ

1 Es. 8, 5. 22 Gen. 49, 10.

τοιγαροῦν ὁ θεὸς τοῖς μὴ τὸν Σιλωὰμ, τοῦτ' ἔστι τὸν ἀπεσταλμένον Ἐμμανουὴλ, καὶ τὸν ἐκ τῆς προφήτιδος γεγενημένον υἱὸν, τόν τε πότιμον καὶ γόνιμον b αὐτοῦ λόγον παραδεξαμένοις, ἀλλὰ τοῦτον μὲν, καίτοι πράως καὶ ἡσυχῇ φερόμενον, παραιτουμένοις, καθ' ἑαυτῶν δὲ ἤτοι τὸν τῶν εἰδωλολατρῶν ἐθνῶν ἄρχοντα ἢ τὸν τῆς ἀποστασίας τοῦ λαοῦ τοῦ θεοῦ ἑλομένοις ἐπάξειν τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολὺ, ὅπερ ὕδωρ αὐτὸς ὁ τῆς προφητείας λόγος ἑρμηνεύει, λέγων αὐτὸν εἶναι τὸν βασιλέα τῶν Ἀσσυρίων· οὕτω πάλιν ἤτοι κατὰ διάνοιαν σημαίνων τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, ἢ τὴν νῦν ἐπικρατοῦσαν Ῥωμαίων ἀρχὴν, ἢ καὶ παρεδόθησαν οἱ τὸ μὲν δηλωθὲν τοῦ c Σιλωὰμ ὕδωρ τὸ πορευόμενον ἡσυχῇ παραιτησάμενοι, τοῖς δὲ ἐναντίοις καὶ πολεμίοις τοῦ ὀρθοῦ λόγου δόγμασιν ἑαυτοὺς ὑποβεβληκότες. 119. αὐτίκα γοῦν καὶ οὐκ εἰς μακρὸν μὴ παραδεξαμένοις αὐτοῖς τὸ τοῦ σωτῆρος ἡμῶν εὐαγγέλιον, παραιτησαμένοις δὲ τὸ τοῦ Σιλωὰμ ποτὸν τὸ πορευόμενον ἡσυχῇ, ἐπελθὼν ὁ ὑπ' τοῦ θεοῦ κατευθυνόμενος Ῥωμαίων στρατὸς ἀνελήλυθεν ἐπὶ πᾶσαν φάραγγα αὐτῶν, καὶ περιεπάτησεν ἐπὶ πᾶν τεῖχος αὐτῶν, καὶ ἀφεῖλεν ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι, καὶ γέγονεν ἡ παρεμβολὴ τοῦ δηλωθέντος τοσαύτη ὥστε πληρῶσαι τὸ πλάτος τῆς d Ἰουδαίας ἁπάσης.

120. Καὶ τοῦτό γε πρὸς λέξιν οὕτως εἰς ἐκείνους ἐκπεπλήρωται· διὰ ποίαν αἰτίαν, εἰ δὴ μαθεῖν ἐθέλεις, ἄκουε. ὅτι μεθ' ἡμῶν ὁ θεὸς Ἐμμανουὴλ, ὁ ἐκ [207] τῆς παρθένου γεγεννημένος, ἀλλ' οὐ καὶ μετ' αὐτῶν ἦν· ὡς εἴ γε εἶχον αὐτὸν, οὐκ ἂν ταῦτα πεπόνθεισαν. διὸ δὴ ἑξῆς ὁ λόγος τοῖς ἔθνεσιν ἐπιβοᾶται τὸν

Ἐμμανουὴλ λέγων "μεθ' ἡμῶν ὁ θεός· γνῶτε ἔθνη καὶ ἡττᾶσθε." καὶ ταῦτα δ' ἡμῖν ἑρμηνεύεται εἰς τὸ παραστῆσαι ὡς ποτὲ μὲν κατὰ λέξιν, ποτὲ δὲ δι' αἰνιγμῶν τὰ πλεῖστα τῶν προφητειῶν ἐκλαμβάνειν δεῖ. 122. ἔνθεν δὲ ὁρμωμένους προσήκει καὶ τὰ λοιπὰ τῆς ἐν χερσὶ προφητείας ὁμοίως ἐπιθεωρεῖν. 123. (334) εἰ δὲ ἔτι καὶ νῦν εἰς μέλλοντά ποτε χρόνον γενήσεσθαι ταῦτα οἱ ἐκ περιτομῆς φασιν, ἐπὶ τοῦ προσδοκωμένου αὐτοῖς Χριστοῦ ῥητῶς μόνον καὶ πρὸς λέξιν ἔσεσθαι αὐτὰ προσδεχόμενοι, ἐρωτητέον αὐτοὺς πῶς ὁ μέλλων ἥξειν κατ' αὐτοὺς λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων, καθῃρημένης μὲν ἤδη τῆς Σαμαρείας κατὰ τὸν παρόντα καιρὸν, καὶ μηκέτι οὔσης, ἀλλὰ καὶ τῆς ὀνο- b μαζομένης δυνάμεως Δαμασκοῦ μηδαμῶς ὑπαρχούσης, μηδὲ τῆς τῶν Ἀσσυρίων δυναστείας, ἣν Μῆδοι καὶ Πέρσαι καθελόντες πάλαι ποτὲ διεδέξαντο, ὧν ὁμοῦ πάντων κατὰ τὸν ἐνεστῶτα καιρὸν μηδὲ τὴν ἀρχὴν ὑφεστώτων, πῶς δυνατὸν εἰς μέλλοντα χρόνον τὴν καθαίρεσιν αὐτῶν προσδοκᾶν; ἀλλ' οὐδὲ ἄλλοτε πώποτε πάλαι πρότερον γεγενῆσθαι τὰ προφητευόμενα ἔστιν εἰπεῖν. 124. οὐδεὶς γοῦν παρ' Ἑβραίοις πώποτε ἐκ προφήτιδος μητρὸς καὶ Ἡσαΐου τοῦ προφήτου γεννηθεὶς σκῦλα Σαμαρείας καὶ δύναμιν Δαμασκοῦ, c κατὰ τοῦ βασιλέως Ἀσσυρίων στρατεύσας, ὡς πρὸς ῥητὴν διάνοιαν λαβὼν ἱστόρηται. 125. ὥστε ἐξ ἅπαντος ὁμολογεῖν αὐτὰ κατὰ τὴν ἀποδοθεῖσαν διάνοιαν μόνως πεπληρῶσθαι, οὐκ ἄλλοτε δηλαδὴ ἢ κατὰ τὴν γενομένην παρουσίαν Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, καθ' ὃν ἀπεδείξαμεν τέλος εἰληφέναι τὰ προηγορευμένα. 126. ἐγράφη δ' οὖν κατὰ τὴν προφητείαν καὶ ὁ καινὸς τόμος ἐπὶ τῆς αὐτοῦ παρουσίας, ὁ τῆς καινῆς

διαθήκης λόγος τὴν γένεσιν περιέχων τοῦ τῆς προφήτιδος υἱοῦ, ὃς καὶ πρὸς λέξιν καὶ Δαμασκοῦ καὶ Συρίας ἁπάσης τὴν βασιλικὴν δύναμιν τά τε ἑρμηνευθέντα ἡμῖν σκῦλα Σαμαρείας ἀρρήτῳ καὶ ἐνθέῳ d δυνάμει εἰς χεῖρας τῆς Ῥωμαίων βασιλείας παρέδωκεν· οὐ μὴν ἀλλὰ καὶ κατὰ διάνοιαν, τοὺς ἐξ Ἰουδαίων αὐτοῦ μαθητάς, ὥσπερ τινὰ σκῦλα περιπεποιημένος, νοητοῖς καὶ λογικοῖς ὅπλοις περιφράξας, εἰς πρόσωπον τοῦ δηλωθέντος βασιλέως Ἀσσυρίων κατεστήσατο, καὶ τούτους μὲν ὡς οἰκείους στρατιώτας ὁπλίτας παρεσκεύασεν, 127. τούς γε μὴν παραιτησαμένους τὸ γόνιμον καὶ ζωτικὸν ὕδωρ τῆς αὐτοῦ διδασκαλίας τὸ πορευόμενον ἡσυχῇ, ἑλομένους δὲ τὰ πολεμικὰ καὶ ἐχθρὰ τῷ θεῷ, τῷ τῶν Ἀσσυρίων ἐξέδωκε βασιλεῖ, ᾧ καὶ εἰσέτι νῦν τυγχάνουσι δεδουλωμένοι. 128. ἀνέβη γοῦν οὗτος ἐπὶ πᾶσαν φάραγγα (335) αὐτῶν, καὶ ἐπὶ πᾶν τεῖχος αὐτῶν, καὶ ἀφεῖλεν ἀπὸ τῆς Ἰουδαίας πάντα ἄρχοντα καὶ βασιλέα, κεφαλὴν ὀνομαζόμενον, καὶ πάντα δυνατὸν συντελέσασθαί τι· ὥστε ἐξ ἐκείνου καὶ εἰς δεῦρο μήτε κεφαλὴν αὐτοὺς κεκτῆσθαι μήτε τινὰ δυνατὸν ἐν τοῖς θείοις, οἷος ἦν ὁ πάλαι διαπρέπων ἐν αὐτοῖς εἴτε προφήτης εἴτε ἄλλως δίκαιος καὶ θεοφιλὴς ἀνήρ. 129. πρόδηλον δὲ ὅπως καὶ πᾶσα αὐτῶν ἡ χώρα ὑποχείριος τοῖς αὐτῶν ἐχθροῖς καὶ πολεμίοις εἰσέτι νῦν καθέστηκε, καὶ ὡς b ταῦτα πάντα ἐπὶ τῇ παρουσίᾳ τοῦ Ἐμμανουὴλ τετέλεσται. οὕτω γοῦν ἡ Ἑβραίων γραφὴ περιέχει, μονονουχὶ σημαίνουσα τὸν Ἐμμανουὴλ τὸν ἀπιστηθέντα μὲν ὑπὸ Ἰουδαίων καὶ αἴτιον αὐτοῖς τῶν τοσούτων [208] γενόμενον συμφορῶν, ἡμῖν δὲ τοῖς ἔθνεσι πιστευθέντα σωτηρίας τε καὶ γνώσεως θεοῦ παραίτιον ἀποδειχθέντα. 130. διὸ ἑξῆς ἐπιλέγεται, μεθ' ἡμῶν ὁ

θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε. ἡττήμεθα γοῦν ὡς
ἀληθῶς ἡμεῖς οἱ ἐξ ἐθνῶν εἰς αὐτὸν πεπιστευκότες,
c νικηθέντες ὑπὸ τῆς ἀληθείας καὶ τῆς τοῦ γενομένου
μεθ' ἡμῶν θεοῦ δυνάμεως, ἡττηθέντες τε ὑπηκού-
σαμεν αὐτῷ πάντες ὁμοῦ οἱ μέχρι τῶν ἐσχάτων κατοι-
κοῦντες τῆς γῆς, κατὰ τὴν φήσασαν προφητείαν "ἐπα-
κούσατε ἕως ἐσχάτου τῆς γῆς." 131. ἀλλ' ἡμεῖς μὲν
καὶ ἡττήμεθα καὶ καλοῦντι ὑπηκούσαμεν, τοῖς δὲ ἔτι
τῶν ἐθνῶν ἀπειθοῦσι τὰ ἑξῆς ἀποτείνεται λέγων
"ἰσχυκότες ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν
ἡττηθήσεσθε. καὶ λόγον ὃν ἐὰν βουλεύσησθε, οὐ μὴ
ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ θεός. οὕτω λέγει
d κύριος τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσιν" 132. δι' ὧν
σαφῶς ὁ λόγος ἀφηνιῶσι καὶ ἀντιταττομένοις τῇ τοῦ
Χριστοῦ διδασκαλίᾳ καὶ τοῖς ἀπειθοῦσι τῇ κραταιᾷ
αὐτοῦ χειρὶ θεσπίζει, ὅτι μηδὲ ἰσχύσουσι προσπολε-
μεῖν τὸν μεθ' ἡμῶν θεὸν πειρώμενοι, καὶ ὅτι πᾶν ὃ
ἐὰν βουλεύσωνται καθ' ἡμῶν οὐ μὴ ἐμμείνῃ αὐτοῖς,
διὰ τὸ μεθ' ἡμῶν εἶναι τὸν Ἐμμανουήλ. καὶ τούτῳ
δὲ τῷ συμπεράσματι ῥᾴδιον ἐπιστῆσαι τὰς καθ' ἡμῶν
ἀπειλὰς καὶ τὰς κατὰ χρόνους τῶν ἀρχόντων ἐπανα-
στάσεις συνορῶντας, καὶ ὡς ἄπρακτον αὐτοῖς διὰ τὸν
μεθ' ἡμῶν θεὸν ἀεὶ καθίσταται τῶν ἀπειλῶν τὸ τέλος.

(336) Ἀπὸ τοῦ αὐτοῦ.

133. "Τοῦτο πρῶτον, πίε, ταχὺ ποίει, χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἴδετε φῶς

25 Es. 9, 1.

μέγα, καὶ τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς" καὶ τὰ ἑξῆς· 134. οἷς ἐπιλέγει "ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ c ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν, καὶ θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι, ὅτι παιδίον ἐγεννήθη ἡμῖν καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας καὶ ὑγείαν αὐτῷ· μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον, ἐπὶ τὸν θρόνον Δαβὶδ καὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ δικαιοσύνῃ ἀπὸ τοῦ νῦν καὶ d εἰς τὸν αἰῶνα. ὁ ζῆλος κυρίου Σαβαὼθ ποιήσει ταῦτα."

135. Τοῦτο τρίτον ἤδη τὸ παιδίον προφητεύεται, τοῦ αὐτοῦ ποικίλως σημαινομένου. ἐπειδὴ τοίνυν πρόκειται νῦν ἡμῖν τὸν τρόπον τῆς εἰς ἀνθρώπους τοῦ θεοῦ παρουσίας ἐπιδεῖξαι, θέα δι' ὅσων οὗτος καὶ ὅπως παρίσταται. ἐδεικνύετο πρῶτον ὁ ἐπικληθεὶς Ἐμμανουὴλ θεὸς ἐκ παρθένου γεννώμενος· δεύτερον τὸ ἐκ τῆς προφήτιδος καὶ τοῦ ἁγίου πνεύματος παιδίον οὐκ ἄλλο τυγχάνον τοῦ προηγορευμένου· τρίτον ὁ μετὰ χεῖρας, εἷς ὢν καὶ ὁ αὐτὸς τοῖς προτέροις, καὶ τούτῳ γοῦν ὄνομα εἶναι λέγεται κατὰ μὲν τοὺς ἑβδομήκοντα "μεγάλης βουλῆς ἄγγελος," καὶ ὥς τινα τῶν ἀντιγράφων ἔχει "θαυμαστὸς σύμβουλος, [209] θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος·" 136. κατὰ δὲ τὸ Ἑβραϊκὸν, (337) ὡς ὁ μὲν Ἀκύλας φησὶν, "ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν, καὶ ἐγένετο μέτρον ἐπ' ὤμου αὐτοῦ.

καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ θαυμαστὸς σύμβουλος, ἰσχυρὸς, δυνατὸς, πατὴρ, ἔτι ἄρχων εἰρήνης, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστι πέρας·" 137. ὡς δὲ ὁ Σύμμαχος "νεανίας γὰρ ἐδόθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν. καὶ ἔσται ἡ παιδεία αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ παραδοξασμὸς, βουλευτικὸς, ἰσχυρὸς, δυνατὸς, πατὴρ αἰῶνος, ἄρχων εἰρή-
b νης, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστι πέρας." 138. οὐκοῦν οὐχ ἁπλῶς ἄγγελος κατὰ τοὺς ἑβδομήκοντα, ἀλλὰ "τῆς μεγάλης βουλῆς ἄγγελος, καὶ θαυμαστὸς σύμβουλος, καὶ θεὸς ἰσχυρὸς, καὶ ἐξουσιαστὴς καὶ ἄρχων εἰρήνης, καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος γεννηθήσεσθαι," καὶ παιδίον ἔσεσθαι διὰ τούτων ἐθεσπίζετο. ἔχεις δὲ ἐν τοῖς προτέροις τὸν τοῦ θεοῦ λόγον καὶ θεὸν καὶ κύριον διαφόρως ἀνηγορευμένον, ὁμοῦ δὲ τὸν αὐτὸν ἄγγελον ὠνομασμένον τοῦ πατρὸς, καὶ ἀρχιστράτηγον δυνάμεως κυρίου. 139. τίς δ' ἂν οὖν γένοιτο κατὰ μὲν τὸν Ἀκύλαν καὶ τὰς εἰσέτι νῦν φερο-
c μένας παρ' Ἑβραίοις μαρτυρίας "ἐν ἀνθρώποις γεννώμενος, καὶ παιδίον γινόμενος, θαυμαστὸς σύμβουλος καὶ ἰσχυρὸς, δυνατὸς, καὶ πατὴρ, ἔτι καὶ ἄρχων εἰρήνης, ἧς εἰρήνης οὔποτέ φησιν ἔσεσθαι τέλος·" κατὰ δὲ τὸν Σύμμαχον "παραδοξασμὸς, βουλευτικὸς, ἰσχυρὸς, δυνατὸς, πατὴρ αἰῶνος, ἄρχων εἰρήνης, καὶ ταύτης ἀπείρου καὶ ἀτελευτήτου·" καὶ κατὰ Θεοδοτίωνα "θαυμαστῶς βουλεύων, ἰσχυρὸς, δυνάστης, πατὴρ, ἄρχων εἰρήνης, τῷ πληθύνειν τὴν παιδείαν, οὗ τῆς εἰρήνης οὐκ ἔστι πέρας·" 140. καὶ αὐτῷ σοι τὰ ἑξῆς καταλείπω σκοπεῖν, τοσοῦτον ἐπισημηνάμε-
d νος, ὡς ἄρα αὐτὸς οὗτος ὁ λεγόμενος πατὴρ αἰῶνος καὶ ἀπείρου εἰρήνης ἄρχων μεγάλης τε βουλῆς ἄγγελος γεννηθήσεσθαι καὶ παιδίον ἔσεσθαι προφητεύ-

εται, ἐπί τε τῇ εἰς ἀνθρώπους αὐτοῦ γενέσει πυρικαύστους ἐθελήσειν ἔσεσθαι τοὺς ἐπὶ τῇ δι' αὐτοῦ γενομένῃ σωτηρίᾳ τῶν ἐθνῶν διαφθονουμένους, εἴτε δαίμονας πονηροὺς εἴτε καὶ ἀσεβεῖς ἄνδρας, περὶ ὧν φησιν ὅτι "πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσι." 141. τίνες δὲ ἄρα ἦσαν οὗτοι ἢ περὶ ὧν ἀλλαχοῦ ἐξ αὐτοῦ προσώπου τοῦ σωτῆρος ἡμῶν εἴρηται "διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον;" οἵ τε τῆς τούτων μέτοχοι δυσσεβείας, οἳ καὶ θελήσουσι, τὴν σφῶν αὐτῶν κρίσιν ὕστερόν (338) ποτε ὀψόμενοι, εἰ πρὸ τῆς ἀσεβείας αὐτῶν ἐγεγόνεισαν πυρίκαυστοι, πρὶν ἢ τὸν τῆς μεγάλης βουλῆς ἄγγελον πρὸς αὐτῶν ἀσεβηθῆναι. 142. καὶ σὺ δὲ παρὰ σαυτῷ σκέψαι εἰ μὴ ὑπερβαίνει πᾶσαν φύσιν ἀνθρώπων τὸ μὴ τέλος ἔχειν τὴν εἰρήνην αὐτοῦ λέγεσθαι καὶ τὸ πατέρα ὀνομάζεσθαι αἰῶνος. καὶ αὐτὸ δὲ τὸ καλεῖσθαι αὐτὸν οὐχ ἁπλῶς ἄγγελον, ἀλλὰ τῆς μεγάλης βουλῆς ἄγγελον καὶ θεὸν ἰσχυρὸν, καὶ ὅσα τούτοις συγκατείλεκται. ἔτι δέ φησι δι' αὐτοῦ κατορ- b θωθήσεσθαι τὴν τοῦ Δαβὶδ βασιλείαν, ὃ καὶ αὐτὸ τοῦτον νοήσεις τὸν τρόπον. 143. πλεῖσται ὅσαι τῷ Δαβὶδ γεγόνασιν ἐπαγγελίαι, ἐν αἷς εἴρηται "καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ· αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σὺ, θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου, κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς· εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ, καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρό-

8 Ps. 22, 18. 24 Ps. 89, 25.

c νον αὐτοῦ, ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ." 144. καὶ αὖθις "ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ [210] ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα." τοσαῦτα ἐν τοῖς Ψαλμοῖς τοῦ θεοῦ τῷ Δαβὶδ ἐπηγγελμένου, τἀναντία συνέβη ταῖς ἐπαγγελίαις ἐπελθεῖν διὰ τὰς τῶν διαδόχων αὐτοῦ δυσσεβείας. 145. ἡ γοῦν ἐκ σπέρματος Δαβὶδ βασιλεία διαρκέσασα μέχρις Ἰεχονίου καὶ τῆς ὑπὸ Βαβυλωνίοις τοῦ ἱεροῦ πολιορκίας λε- d λυτο, ὡς ἐξ ἐκείνου μηκέτι τὸν θρόνον Δαβὶδ μηδὲ τοὺς ἐκ σπέρματος αὐτοῦ βασιλεῦσαι τοῦ Ἰουδαίων ἔθνους. 146. καὶ ταύτην γε τὴν γενομένην διάπτωσιν τῆς πρὸς τὸν Δαβὶδ ἐπαγγελίας κατὰ τὴν προειρημένην τοῦ Ψαλμοῦ παράθεσιν τὸ θεῖον ὧδέ πως πνεῦμα θεσπίζει "σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν Χριστόν σου· κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ, καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ." 147. καὶ μετ' ὀλίγα "τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας, ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, κατέχεας αὐτοῦ αἰσχύνην," ἃ καὶ ἐναργῶς ἀρξάμενα συντελεῖσθαι ἀπὸ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τοῦ λαοῦ, μέχρι τῆς Ῥωμαίων καὶ Τιβερίου παρεξετάθη (339) βασιλείας. οὐδεὶς γοῦν ἐκ τῆς τοῦ Δαβὶδ διαδοχῆς ἐν τοῖς μεταξὺ χρόνοις φαίνεται ἐπὶ τὸν βασιλικὸν τοῦ Ἑβραίων ἔθνους καθεσθεὶς θρόνον μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας. 148. τοῦ δὲ ἐκ σπέρματος Δαβὶδ γενομένου κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βασιλέως ἐπὶ πᾶσαν τὴν οἰκουμένην ἀνακηρυχθέντος,

2 Ps. 89, 35. 16 Ps. 89, 38.

ὥσπερ ἀπὸ γῆς καὶ πτώματος ἀνανεωθεὶς αὐτὸς ἐκεῖνος ὁ θρόνος Δαβὶδ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνθέου βασιλείας ἀνώρθωται, καὶ διαμενεῖ εἰς τὸν αἰ- b
ῶνα, καὶ εἰσέτι γε ὡς ὁ ἥλιος ἐναντίον τοῦ θεοῦ τὴν πᾶσαν καταλάμπων οἰκουμένην ταῖς ἀκτῖσι τοῦ φωτὸς τῆς διδασκαλίας αὐτοῦ, ἀκολούθως τῇ τε ἀπὸ τοῦ Ψαλμοῦ μαρτυρίᾳ καὶ τοῦ μετὰ χεῖρας προφήτου, περὶ τοῦ γεννηθησομένου παιδίου λέγοντος "ἐπὶ τὸν θρόνον Δαβίδ," δηλαδὴ τὸν αἰώνιον καὶ διαρκῆ, τὸν δὴ καὶ ἐπηγγελμένον τῷ Δαβὶδ, "καθεσθήσεσθαι αὐτὸν ἐπὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ δικαιοσύνῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα." 149. ὅπως δὲ ταῦτα ἐπληροῦτο διδάσκαλος γένοιτ' ἂν ἀξιόχρεως Γαβριὴλ ὁ c
ἄγγελος ἐν τῷ πρὸς τὴν παρθένον χρηματισμῷ φάσκων "μὴ φοβοῦ Μαριὰμ, εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τὸν αἰῶνα, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος." 150. ταύτην ἐν τῷ προειρημένῳ Ψαλμῷ καὶ ὁ προφήτης προσδοκῶν d
τὴν τοῦ Χριστοῦ γένεσιν, τήν τε ὑπέρθεσιν αὐτῆς καὶ ἀναβολὴν ὥσπερ αἰτίαν συνορῶν τῆς τοῦ θρόνου Δαβὶδ ἀποπτώσεως ἀποδυσπετεῖ λέγων "σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν Χριστόν σου." 151. εὔχεται δὲ ὥσπερ δυσωπῶν τὸ θεῖον ᾗ τάχος πληρωθῆναι τὰ τῆς ἐπαγγελίας, φάσκων "ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ

16 Luc. 1, 30.

ἀληθείᾳ σου;" ἃ δὴ σαφέστατα καὶ αὐτὰ δὴ ταῦτα πληρωθήσεσθαι ἐπὶ τῇ γενέσει τοῦ τῆς μεγάλης βουλῆς ἀγγέλου θεσπίζει. "ἐφ' ᾧ θελήσουσι" φησὶν "οἱ προαποδοθέντες εἰ ἐγενήθησαν πυρίκαυστοι, διότι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν ὁ τῆς μεγάλης βουλῆς ἄγγελος." 152. τίσι δὲ ἡμῖν ἢ τοῖς εἰς αὐτὸν πεπιστευκόσι τοῖς ἐν τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν, οἷς αἴτιος γεγένηται φωτὸς καὶ εὐφροσύνης, καινοῦ τε καὶ νέου ποτοῦ τῆς καινῆς διαθήκης μυστηρίου; (340) κατὰ τὴν φήσασαν προφητείαν "τοῦτο πρῶτον πίε, [211] ταχὺ ποίει. χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν οἰκοῦντες, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς ἴδετε μέγα, καὶ τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς." εἶεν δ' ἂν ἐν τούτοις δηλούμενοι οἵ τε ἐξ ἐθνῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ πεπιστευκότες καὶ οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταὶ καὶ ἀπόστολοι, οὓς ἀπὸ γῆς Ζαβουλὼν καὶ b Νεφθαλεὶμ ἀνακαλεσάμενος ἐξελέξατο κήρυκας τοῦ εὐαγγελίου. 153. τούτοις μὲν οὖν ὁ τῆς μεγάλης βουλῆς ἄγγελος υἱὸς ἐδόθη σωτηρίας αἴτιος, τοῖς δὲ εἰς αὐτὸν ἠπιστηκόσι, πυρὸς δηλαδὴ καὶ καύσεως. ὅλης δὲ ταύτης τῆς οἰκονομίας ὑπόθεσιν γεγονέναι φησὶ τὸν ζῆλον κυρίου λέγων "ὁ ζῆλος κυρίου Σαβαὼθ ποιήσει ταῦτα." ποῖος δὲ ζῆλος; ἢ οὐ μέμνηται Μωσῆς λέγων "αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει· ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς."

c 154. Ἀλλ' ἐπεὶ σὺν θεῷ τὰ περὶ τῆς τοῦ προφη-

---

26 Deut. 32, 21.

τευομένου εἰς ἀνθρώπους ἐπιδημίας, οὐ μὴν ἀλλὰ καὶ ὁ τρόπος τῆς ἐπιφανείας αὐτοῦ διὰ τῶν προφητικῶν ἀποδέδεικται μαρτυριῶν, καιρὸς ἂν εἴη συνιδεῖν ποῦ γῆς γεννηθήσεσθαι καὶ ὅθεν γένους ἥξειν, ἐξ ὁποίας τε Ἑβραίων προελεύσεσθαι φυλῆς ἐκηρύττετο, ἃ καὶ αὐτὰ φέρε ἐρευνήσωμεν.

Ἀπὸ τοῦ Μιχαία.

II. "Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ ὀλιγοστὸς d
εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα, ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, (341)
καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης· τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ. καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ κύριος, καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος κυρίου θεοῦ αὐτῶν ὑπάρξουσι. διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς, καὶ ἔσται αὕτη εἰρήνη."

2. Ἐμμανουὴλ μεθερμηνευόμενος μεθ' ἡμῶν θεός, ἐκ τῆς παρθένου γεννώμενος, καὶ παιδίον γινόμενος b
ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, σαφῶς ἐδείχθη διὰ τῶν προεκτεθειμένων. ἀλλ' ἐχρῆν καὶ τὸν τῆς γενέσεως αὐτοῦ σημανθῆναι τόπον. προφητεύεται δῆτα ἐκ Βηθλεὲμ τις ἐξελεύσεσθαι ἄρχων ἐν τῷ Ἰσραήλ, τὰς ἐξόδους ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος ἔχων. τοῦτο δὲ οὐκ ἂν ἐφαρμόσειεν ἀνθρώπου φύσει, εἰ μὴ μόνῳ τῷ Ἐμμανουὴλ καὶ τῷ τῆς μεγάλης βουλῆς ἀγγέλῳ. τὸ γὰρ ἐξ αἰῶνος ὑφεστάναι τίνι ἄρα ἐφαρμόττοι ἂν

8 Mic. 5, 2.

ἢ μόνῳ θεῷ; ἐκ τοίνυν τῆς Βηθλεὲμ (χωρίον δέ ἐστι c τῆς Ἰουδαίας, οὐ πόρρω τῆς Ἱερουσαλὴμ διεστὼς) λέγεταί τις ἐξ αἰῶνος ὑπάρχων προελεύσεσθαι. οὐδέτερον δὲ ἐνθένδε ἢ μόνον τὸν Δαβὶδ εὕρομεν ἐπίδοξον γεγενημένον, καὶ ἔπειτα μετ' ἐκεῖνον τὸν ἡμέτερον σωτῆρα Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ, ἕτερον δὲ παρὰ τούτους οὐδένα. 4. ἀλλ' ὁ μὲν Δαβὶδ τοὺς χρόνους τῆς προφητείας προειληφὼς τετελευτήκει πλείστοις πρότερον ἔτεσι τῆς προρρήσεως· ἀλλ' οὐδὲ ἀφ' ἡμερῶν αἰῶνος οὗτος τὰς ἐξόδους πεποίητο. οὐκοῦν λείπεται ἐπὶ τὸν μετὰ ταῦτα ἐκ Βηθλεὲμ d γενόμενον, τὸν ἀληθῶς Ἐμμανουὴλ, τὸν πρὸ πάσης [212] κτίσεως προόντα θεὸν λόγον καὶ μεθ' ἡμῶν θεὸν λεγόμενον, συμπληροῦσθαι τὰ γεγραμμένα, ἐπεὶ καὶ ἡ ἐν Βηθλεὲμ γένεσις αὐτοῦ ἄντικρυς θεοῦ παρουσίαν ἐδήλου διὰ τῶν κατ' αὐτὴν παραδόξων. 5. γράφει γοῦν ὁ Λουκᾶς τοῦτον ἱστορῶν τὸν τρόπον "ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, τοῦ ἀπογράψασθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲθ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ (342) μεμνηστευμένῃ αὐτῷ [γυναικὶ] οὔσῃ ἐγκύῳ. ἐγένετο δὲ ἐν τῷ αὐτοὺς εἶναι ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, 6. καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν

---

17 Luc. 2, 1.

φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.
καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦν-
τες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν
ποίμνην αὐτῶν· καὶ ἄγγελος κυρίου ἐπέστη αὐτοῖς,
καὶ δόξα θεοῦ περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν
φόβον μέγαν. 7. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, μὴ φο- b
βεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην,
ἥτις ἔσται παντὶ τῷ λαῷ· ὅτι ἐτέχθη ὑμῖν σήμερον
σωτήρ, ὅς ἐστι Χριστὸς κύριος, ἐν πόλει Δαβίδ. καὶ
τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανω-
μένον καὶ κείμενον ἐν φάτνῃ. 8. καὶ ἐξαίφνης ἐγέ-
νετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰ-
νούντων τὸν θεὸν καὶ λεγόντων, δόξα ἐν ὑψίστοις
θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. καὶ
ἐγένετο, ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐρανὸν οἱ
ἄγγελοι, οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους, διέλθω- c
μεν δὴ ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ
γενόμενον, ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν. 9. καὶ ἦλθον
σπεύσαντες, καὶ εὗρον τὴν Μαριὰμ καὶ τὸν Ἰωσήφ,
καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. ἰδόντες δὲ
ἐγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς
περὶ τοῦ παιδίου τούτου. καὶ πάντες οἱ ἀκούσαντες
ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων
πρὸς αὐτούς." 10. ταῦτα μὲν ὁ Λουκᾶς. καὶ ὁ Ματ-
θαῖος δὲ, τὰ περὶ τὴν γένεσιν τοῦ σωτῆρος ἡμῶν d
ἱστορῶν, τοῦτον γράφει τὸν τρόπον "τοῦ δὲ Ἰησοῦ
γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις
Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι παρεγένοντο ἀπὸ
ἀνατολῶν εἰς Ἱερουσαλὴμ, λέγοντες, ποῦ ἐστιν ὁ τε-
χθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν

26 Matth. 2, 1.

ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ ὁ βασιλεὺς Ἡρώδης ἐταράχθη, καὶ πᾶσα ἡ Ἱεροσόλυμα μετ' αὐτοῦ. 11. *καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ' αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου, καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. τότε Ἡρώδης λάθρα καλέσας τοὺς μάγους ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος.* 12. *καὶ πέμψας αὐτοὺς*
(343) *εἰς Βηθλεὲμ εἶπε, πορευθέντες ἐξετάσατε ἀκριβῶς περὶ τοῦ παιδίου. ἐπὰν δὲ εὕρητε, ἀναγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν. καὶ ἰδοὺ ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα.* 13. *καὶ ἐλθόντες*
[213] *εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ. καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐ-*
b *τῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν. καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν."*
14. *ὅλα δὲ ταῦτα ἐξεθέμην εἰς παράστασιν τῶν πεπραγμένων ἐπὶ τῇ ἐν Βηθλεὲμ γενέσει τοῦ σωτῆρος ἡμῶν, ἐναργῆ τεκμήρια παρέχοντα αὐτὸν εἶναι τὸν ὑπὸ τῆς προφητείας δηλούμενον.* 15. *καὶ εἰς δεῦρο δὲ οἱ τὸν τόπον οἰκοῦντες, ὡς ἐκ πατέρων εἰς αὐτοὺς κατελθούσης παραδόσεως, τοῖς τῶν τόπων ἱστορίας χάριν εἰς τὴν Βηθλεὲμ ἀφικνουμένοις μαρτυροῦσι τῷ*

λόγῳ πιστούμενοι τὴν ἀλήθειαν διὰ τῆς τοῦ ἄντρου c δείξεως, ἐν ᾧ τεκοῦσα ἡ παρθένος κατατέθειται τὸ βρέφος, ἐφ' οἷς ἡ προφητεία φησὶ "διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης. τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν." 16. ἀκολούθως δὲ κἀνταῦθα τίκτουσαν δηλοῖ τὴν ἐν ταῖς πρόσθεν προφητείαις παρθένον ὠνομασμένην, καὶ προφήτιδα τὴν τὸν Ἐμμανουὴλ καὶ τὸν τῆς μεγάλης βουλῆς ἄγγελον ἀποτεξομένην. ἕως γὰρ τῶν ταύτης καιρῶν καὶ τοῦ ἐξ αὐτῆς ἀποτεχθέντος καὶ τὰ τοῦ προτέρου λαοῦ συνειστήκει, δοθείσης αὐτοῖς προθεσμίας "ἕως καιροῦ τικτούσης," τοῦτ' ἔστιν, ἕως d τῆς παραδόξου γενέσεως τοῦ ἐκ τῆς παρθένου τεχθέντος, μεθ' ὃν ἤρθη μὲν αὐτῶν ἡ βασιλεία, οἱ δὲ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν, οὗτοι ἂν εἶεν οἱ εἰς τὸν Χριστὸν τοῦ θεοῦ πεπιστευκότες ἀπόστολοι καὶ μαθηταὶ καὶ εὐαγγελισταὶ τοῦ σωτῆρος ἡμῶν, οὓς ἐπιστρέψαντας αὐτὸς ὁ κύριος ποιμαίνειν λέγεται, οὐ καθὼς τὸ πρὶν δι' ἀγγέλων ἢ διὰ θεραπόντων ἀνθρώπων, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, ὥστε διὰ τοῦτο μεγαλυνθῆναι αὐτοὺς ἕως ἄκρων τῆς γῆς. ἐμεγαλύνθησαν γὰρ ὅτε "εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματ' αὐτῶν." 17. πρόδηλον δὲ καὶ ὁποῖον μέγα ποίμνιον καθ' ὅλης τῆς γῆς ἐκ λογικῶν καὶ ἀνθρωπείων προβάτων τῷ κυρίῳ διὰ τῶν ἀποστόλων αὐτοῦ συνέστη· ὃ καὶ αὐτὸς ὁ (344) κύριος δι' ἑαυτοῦ, ποιμὴν ὁμοῦ καὶ κύριος ὢν τῆς ποίμνης, ἐπόψεσθαι καὶ ποιμανεῖν ἐν ἰσχύϊ λέγεται, ὥστε ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ πρὸς τοῦ δεσπότου καὶ ποιμένος φυλαττόμενα τὰ πρόβατα μηδέν τι παθεῖν δεινὸν πρὸς τῶν ἐφεδρευόντων αὐτοῖς ἀγρίων καὶ ἀπηνῶν θηρίων

18. *Καὶ τὰ μὲν περὶ τῆς ἐν Βηθλεὲμ καὶ τῆς ἀπὸ*
b *ταύτης προόδου τοῦ προκηρυττομένου θεοῦ τοῦτον ἔχει τὸν τρόπον. τὴν δὲ ἐξ οὐρανῶν εἰς ἀνθρώπους ἐπιδημίαν αὐτοῦ τοῦ κυρίου καὶ ποιμένος ἤδη καὶ πρότερον ἐξ αὐτοῦ τοῦ μετὰ χεῖρας προφήτου παρατέθειμαι, δι' ὧν ἔλεγεν "ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ, καὶ ἔσται κύριος ὑμῖν εἰς μαρτύριον, κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. διότι ἰδοὺ κύριος κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται," καὶ τὰ ἑξῆς·* 19. *οἷς ἐπιλέγων ἔφασκε "δι' ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ." σαφὲς δὲ καὶ ἀπὸ*
c *τῶν ἑξῆς τοῦ αὐτοῦ προφήτου ὅτι μὴ μόνον διὰ τὰς ἀσεβείας τοῦ Ἰουδαίων ἔθνους τὴν ἐξ οὐρανῶν ὁ κύριος πεποίητο κάθοδον, ἀλλὰ καὶ διὰ τὴν σωτηρίαν καὶ κλῆσιν τῶν ἐθνῶν ἁπάντων. ἐπιλέγει δ' οὖν ἑξῆς "καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοὶ πολλοί, καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι, δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου."* 20. *διὸ καὶ μετὰ ταῦτα τὸν πρὸ αἰώνων ἀπὸ τῆς Βηθλεὲμ ἐξελεύσεσθαι ἀνακηρύξας, οὐκέτι τοῦ Ἰσραὴλ μόνου, ἀλλὰ ἀθρόως*
[214] *πάντων ἀνθρώπων ἕως καὶ τῶν ἄκρων τῆς γῆς ἄρξειν αὐτόν φησι· λέγει δ' οὖν "καὶ στήσεται, καὶ ὄψεται,*
d *καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ κύριος, καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος κυρίου θεοῦ αὐτῶν ὑπάρξουσι· διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς, καὶ ἔσται αὕτη εἰρήνη."* 21. *τίνι δὲ ἔσται αὕτη εἰρήνη ἀλλ' ἢ τῇ γῇ, ἐν ᾗ μεγαλυνθήσονται τὰ ποίμνια τοῦ κυρίου; καὶ τοῦτο δὲ ὁποίου τέλους ἔτυχε*

---

6 Mic. 1, 2.

μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν παντί τῳ πρόδηλον. 22. πολλῆς γὰρ οὔσης πρὸ τούτου πολυαρχίας καὶ τῶν ἐθνῶν ἁπάντων τυραννουμένων ἢ δημοκρατουμένων, ὡς μηδεμίαν πρὸς ἀλλήλους ἐπιμιξίαν τοὺς ἀνθρώπους ἔχειν, ἰδίως δὲ, φέρε εἰπεῖν, Αἰγυπτίων ὑπὸ οἰκείῳ ἄρχοντι βασιλευομένων, καὶ Ἀράβων ὡσαύτως, καὶ Ἰδουμαίων Φοινίκων τε καὶ Σύρων καὶ τῶν ἄλλων ἐθνῶν, ἐπανι- (315) σταμένων τε ἐθνῶν ἔθνεσι καὶ πόλεων πόλεσι, πολιορκιῶν τε μυρίων καὶ αἰχμαλωσιῶν κατὰ πάντα τόπον τε καὶ χώραν ἐπιτελουμένων, ἐπειδὴ παρῆν ὁ σωτὴρ καὶ κύριος, ὁμοῦ τῇ εἰς ἀνθρώπους αὐτοῦ παρόδῳ, πρώτου τε Ῥωμαίων Αὐγούστου τῶν ἐθνῶν ἐπικρατήσαντος, λέλυτο μὲν ἡ πλείστη πολυαρχία, εἰρήνη δὲ διελάμβανε τὴν σύμπασαν γῆν, τῇ μετὰ χεῖρας ἀκολούθως προρρήσει διαρρήδην φησάσῃ περὶ τῶν τοῦ Χριστοῦ μαθητῶν "διότι νῦν μεγαλυνθήσονται b ἕως ἄκρων τῆς γῆς, καὶ ἔσται αὕτη εἰρήνη." 23. ᾧ συνᾴδει τὸ ἐν Ψαλμοῖς φάσκον περὶ τοῦ Χριστοῦ λόγιον "ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης." διό μοι δοκεῖ ἄρχων εἰρήνης ἐν τῇ πρὸ ταύτης παρατεθείσῃ προφητείᾳ ὠνομάσθαι. ἐπίστησόν γε μὴν τίνα τρόπον ὁ μετὰ χεῖρας προφήτης καὶ ἐξελεύσεσθαι μὲν ἐξ οὐρανῶν τὸν κύριον ἀρχόμενος ἔφησεν, οὐ πρότερον δὲ ποιμανεῖν τοὺς ἀνθρώπους ἢ γεννηθῆναι τὸν θεσπιζόμενον ἐν τῇ Βηθλεέμ. 24. ὅπως δὲ ταῦτα ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἐπεραιοῦτο ἐμαρτύρησεν ὁ εὐαγγελιστὴς δι' ὧν προεξεθέμην αὐτοῦ φωνῶν. ποιμὴν δὲ καὶ ἡγούμενος ὁ Χριστὸς ἀναδειχθήσεσθαι τοῦ Ἰσραὴλ εἴρηται, συνή-

20 Ps. 72, 7.

θως τῆς ἱερᾶς γραφῆς τὸν ἀληθῆ Ἰσραὴλ κατὰ διάνοιαν πάντα τὸν διορατικὸν καὶ ἀρεστῶς θεῷ βιοῦντα ἐπονομαζούσης, ὡς ἔμπαλιν τοὺς ἐκ περιτομῆς ὁπόθ' ἁμαρτάνοιεν, Χαναναίους καὶ σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα, ἄρχοντάς τε Σοδόμων καὶ λαὸν Γομόρ-
d *ρας, ἐμφερῶς αὐτῶν τοῖς τρόποις ἀποκαλούσης.* 25. *ἄλλως δὲ πρὸς λέξιν ἡ πᾶσα τοῦ σωτῆρος ἡμῶν διατριβὴ παρὰ τῷ Ἰουδαίων ἔθνει γέγονε, καὶ πολλῶν γε τοῦ Ἰσραὴλ ἡγήσατο, ὅσοι δὴ ἔγνωσαν αὐτὸν καὶ εἰς αὐτὸν πεπιστεύκασι τῶν ἐκ περιτομῆς.*

26. *Καὶ τὸ μὲν τῆς ἐκτεθείσης προρρήσεως τοιαύτην εἴληφε τὴν ἔκβασιν· τὰ δὲ ἑξῆς ἀφ' ἑτέρας ἀναγνωστέον ἀρχῆς, οὕτως ἔχοντα "Ἀσσύριος ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες, καὶ ὀκτὼ δήγματα ἀνθρώπων," καὶ τὰ τούτοις ἀκόλουθα, ἃ καὶ ὁποίας ἔχεται διανοίας οὐ τοῦ παρόντος τυγχάνει διηγήσασθαι καιροῦ.* 27. *εἴποι δ' ἄν τις μετὰ τὴν Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν ἐπι-*
(346) *δημίαν, καθ' ἣν εἷλον τὸ Ἰουδαίων ἔθνος, τοσαύτας ἐπαναστάσεις κατ' αὐτῶν γεγονέναι, ὅσαι δηλοῦνται διὰ τῶν ἑπτὰ ποιμένων καὶ διὰ τῶν ὀκτὼ δηγμάτων· ταῦτα δὲ δύνασθαι εἰδέναι τοὺς τὰ Ἀσσυρίων ἱστορηκότας, ὧν ἐπὶ τέλει τὸν ἐκ τῆς Βηθλεὲμ προφητευόμενον γεγονέναι, μετὰ τοὺς ἑπτὰ δηλαδὴ ποιμένας καὶ τὰ ὀκτὼ δήγματα τοῖς Ἀσσυρίοις συμβάντα ἐν ὑστέροις χρόνοις τῆς εἰς τὴν Ἰουδαίαν αὐτῶν ἐφόδου. ταῦτα δὲ πλείστης ἐρεύνης δεόμενα οὐ νῦν πολυπραγμονεῖν καιρός.*

Ἀπὸ Ψαλμοῦ ρλα΄. [215]

28. "Μνήσθητι, κύριε, τοῦ Δαβὶδ καὶ πάσης c τῆς πραΰτητος αὐτοῦ· ὡς ὤμοσε τῷ κυρίῳ, ηὔξατο τῷ θεῷ Ἰακώβ· εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου· εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ. ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθὰ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ· εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ d ἔστησαν οἱ πόδες αὐτοῦ." 29. εἶθ' ἑξῆς ἐπιλέγει "ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτόν. ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου." 30 καὶ ἐπιφέρει τούτοις λέγων "ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου· τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου."

31. Συνᾴδει τῇ πρὸ ταύτης καὶ ἡ παροῦσα προφητεία, ἐκ Βηθλεὲμ τὸν προκηρυττόμενον θεὸν προελεύσεσθαι σημαίνουσα. τοῦτο δὲ οὖν αὐτὸ καὶ ὁ Δαβὶδ πρότερον μὲν ἀγνοῶν εὔχεται παρὰ τοῦ θεοῦ μαθεῖν, εἶτ' εὐξάμενος παιδεύεται. 32. ἐπειδὴ γὰρ (347) τετύχηκε χρησμοῦ τοῦ πρὸς αὐτὸν ἐν τῷ Ψαλμῷ φήσαντος "ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου," καὶ αὖθις "ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου," εἰκότως

---

2 Ps. 131, 1,

προσπίπτει τῷ θεῷ, καὶ προσπεσὼν ἐπ' ἐδάφους
ποτνιᾶται, ἐπὶ πλέον δὲ τῇ προσευχῇ προσκαρτερῶν
ὄμνυσι τῷ θεῷ μὴ πρότερον εἰσελεύσεσθαι εἰς σκή-
νωμα οἴκου αὐτοῦ, μηδὲ δώσειν τοῖς ὀφθαλμοῖς αὐ-
τοῦ ὕπνον καὶ τοῖς βλεφάροις αὐτοῦ νυσταγμὸν, μηδὲ
b ἀναβήσεσθαι ἐπὶ κλίνης στρωμνῆς αὐτοῦ, κεῖσθαι δὲ
χαμαὶ προσκυνοῦντα καὶ ποτνιώμενον, ἔστ' ἂν εὕρῃ
τόπον τῷ κυρίῳ, καὶ σκήνωμα τῷ θεῷ Ἰακὼβ, τοῦτ'
ἔστιν, ἕως ἂν μάθῃ, τοῦ κυρίου φανερώσαντος αὐτῷ,
τὴν γένεσιν τοῦ Χριστοῦ. 33. εὐξάμενος δὲ καὶ τοι-
αῦτα γνῶναι ποθήσας οὐκ εἰς μακρὸν τῷ θείῳ πνεύ-
ματι τὰ μέλλοντα ἔσεσθαι θεωρεῖ, τοῦ θεοῦ τοῖς οἰ-
κείοις ἐπαγγειλαμένου ἔτι λαλούντων ἐπακούσεσθαι.
34. ἐπακουσθεὶς δῆτα καταξιοῦται χρησμοῦ τὴν Βηθ-
λεὲμ ἐπιφωνοῦντος αὐτῷ, ὡς ἂν ἐνθάδε τοῦ τόπου
c τοῦ κυρίου καὶ τοῦ σκηνώματος τοῦ θεοῦ Ἰακὼβ συ-
στησομένου. ταῦτα τοιγαροῦν τοῦ θείου πνεύματος
ἐν αὐτῷ θεσπίσαντος, αὐτὸς αὐτοῦ ἐπακούσας ἐπι-
λέγει "ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθά. 35. Ἐφραθὰ
δὲ ἡ αὐτή ἐστι τῇ Βηθλεὲμ, ὡς δῆλόν ἐστιν ἀπὸ τῆς
Γενέσεως, ἔνθα περὶ τῆς Ῥαχὴλ εἴρηται ὅτι ἔθαψαν
αὐτὴν ἐν τῷ ἱπποδρόμῳ Ἐφραθὰ, αὕτη ἐστὶ Βηθλεέμ."
36. καὶ ἡ πρὸ ταύτης δὲ περιεῖχε προφητεία "καὶ σὺ
Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά. ἰδοὺ, φησὶν, ἠκούσαμεν
αὐτήν," δῆλον δ' ὅτι τὴν τοῦ Χριστοῦ γένεσιν καὶ
d τὴν τοῦ θεοῦ Ἰακὼβ κατασκήνωσιν. ποῖον δ' ἂν εἴη
τὸ σκήνωμα τοῦ θεοῦ Ἰακὼβ ἢ τὸ σῶμα τοῦ Χριστοῦ
τὸ ἐν τῷ τόπῳ τῆς Βηθλεὲμ γεγεννημένον, ἐν ᾧ, ὡς
ἐν σκηνώματι, ἡ θεότης τοῦ μονογενοῦς κατεσκή-
νωσε; οὐχ ἁπλῶς δὲ θεοῦ, ἀλλὰ μετὰ προσθήκης τῆς

---

24 Gen. 35, 19. 48, 7.

τοῦ θεοῦ Ἰακὼβ λέγεται τὸ σκήνωμα εἶναι, διὰ τὸ μὴ ἄλλον εἶναι τὸ σκηνῶσαν ἐν αὐτῷ ἢ τὸν τῷ Ἰακὼβ ἐν ἀνθρώπου εἴδει καὶ σχήματι ὀφθέντα θεόν, δι' ὃν καὶ τῆς ἐπὶ τῷ Ἰσραὴλ προσωνυμίας ἠξιώθη ὁρῶν [216] θεόν, τοῦτο γὰρ ἑρμηνεύεται τὸ ὄνομα, προσαγορευθείς· οὐκ ἄλλον δὲ ὄντα τοῦ θεοῦ λόγου τὸν τῷ Ἰακὼβ ὀφθέντα ἐν τοῖς πρώτοις τῆς μετὰ χεῖρας ὑποθέσεως παρεστήσαμεν. 37. ἐδείχθη τοιγαροῦν τῷ Δαβὶδ εὐξαμένῳ καὶ ποθήσαντι τοῦ κυρίου καὶ θεοῦ Ἰακὼβ τὸν τόπον καὶ τὸ σκήνωμα ὁ ἐπὶ τῆς Βηθλεὲμ τόπος, διό- (348) περ εἰπὼν "ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ" ἐπιφέρει λέγων "προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ." 38. σαφῶς τοιγαροῦν καὶ ἐν τούτοις ἐν τῇ Ἐφραθᾷ, ἥτις ἐστὶν ἡ Βηθλεέμ, αὐτὸς ὁ κύριος καὶ θεὸς Ἰακὼβ τόπον ἑαυτῷ καὶ σκήνωμα συστήσεσθαι προεφητεύετο, ὁμοφώνως τῇ τοῦ Μιχαίου προφητείᾳ φησάσῃ "καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾷ, ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος," ἅπερ ἀρτίως ἐξετάσαντες ἐδείκνυμεν ἀναφέρεσθαι οὐδ' ἐφ' ἕτερον ἢ b ἐπὶ μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ, ἐν Βηθλεὲμ ταῖς προρρήσεσιν ἀκολούθως γεγεννημένον. 39. οὐκ ἂν γοῦν ἄλλον τις ἐπιδείξειεν ἐκ ταύτης ἐνδόξως μετὰ τοὺς τῆς προφητείας χρόνους προελθόντα· οὔτε γὰρ βασιλεὺς οὔτε προφήτης, οὐδ' ἕτερός τις τῶν παρ' Ἑβραίοις θεοφιλῶν ἢ μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν ὁ Χριστὸς τοῦ θεοῦ, ὁμοῦ καὶ ἐκ σπέρματος Δαβὶδ καὶ αὐτόθι γεγεννημένος ἀποδείκνυται. 40. ὥρα τοιγαροῦν αὐτὸν ἐκεῖνον εἶναι καὶ οὐδὲ ἄλλον τὸν καὶ ἐν τούτοις προφητευόμενον ὁμολογεῖν, ὅτι τε σαφῶς ἐν τοῖς ἑξῆς ὁ c αὐτὸς Ψαλμὸς ὀνομαστὶ τὸν Χριστὸν προσαγορεύων

τοῦτο παρίστησι δι' ὧν φησιν "ἕνεκεν Δαβὶδ τοῦ
δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ
σου." καὶ πάλιν "ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ,
ἡτοίμασα λύχνον τῷ Χριστῷ μου, τοὺς ἐχθροὺς αὐτοῦ
ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά
μου." 41. ποῦ δέ φησιν ἐκεῖ ἐξανατελῶ κέρας τῷ
Δαβὶδ ἢ ἐν τῇ Βηθλεὲμ τῇ Ἐφραθά; ἐντεῦθεν γοῦν
d τὸ κέρας τοῦ Δαβὶδ ὁ Χριστὸς τὸ κατὰ σάρκα οἷόν τι
μέγα φῶς ἐξανέτειλεν, ἐνταῦθά τε προητοίμαστο ὑπὸ
τοῦ θεοῦ τῶν ὅλων ὁ τοῦ Χριστοῦ λύχνος. 42. εἴη
δ' ἂν λύχνος αὐτοῦ, οἷα νοεροῦ φωτός, τὸ ἀνθρώ-
πειον σκῆνος, δι' οὗ δίκην ὀστρακίνου σκεύους, ὥσπερ
διὰ λύχνου, τὰς τοῦ ἰδίου φωτὸς ἀκτῖνας πᾶσι τοῖς
ἐν ἀγνοίᾳ θεοῦ καὶ σκότῳ βαθεῖ πιεζομένοις ἐξέλαμ-
ψεν. 43. ἀλλὰ γὰρ καὶ ἐν τούτοις ἀποδεδεῖχθαι σα-
φῶς ἡγοῦμαι θεὸν Ἰακὼβ ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν
τυγχάνοντα αἰῶνος ἀνθρώποις ἐπιδημήσειν, καὶ γεν-
νηθήσεσθαι οὐκ ἀλλαχόθι γῆς ἀλλ' ἢ ἐν τῷ κατὰ
Βηθλεὲμ τόπῳ, πρὸς τοῖς Ἱεροσολύμοις εἰσέτι καὶ νῦν
ἐπιδεικνυμένῳ χωρίῳ, ἔνθα οὐδ' ἄλλος μετὰ τοὺς
τῶν προφητῶν χρόνους ἐπιφανὴς καὶ εἰς πάντας ἀν-
(349) θρώπους ἐπίδοξος ἢ μόνος Ἰησοῦς ὁ Χριστὸς πρὸς
τῶν ἐπιχωρίων ἁπάντων ἀκολούθως ταῖς εὐαγγελικαῖς
φωναῖς γεγονὼς μαρτυρεῖται. 44. ἑρμηνεύεται δὲ ἡ
Βηθλεὲμ οἶκος ἄρτου, φερώνυμος οὖσα τοῦ προελ-
θόντος ἐξ αὐτῆς σωτῆρος ἡμῶν ὄντος θεοῦ λόγου,
ψυχῶν λογικῶν θρεπτικοῦ. ὃ καὶ παρίστησιν αὐτὸς
λέγων "ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς."
45. ἀλλ' ἐπειδὴ καὶ τοῦ Δαβὶδ γέγονεν αὕτη πατρίς,
εἰκότως καὶ ὁ κατὰ σάρκα γενόμενος υἱὸς Δαβὶδ τὴν

28 Jo. 6, 41.

πρόοδον ἐξ αὐτῆς ἐποιήσατο, ἀκολούθως ταῖς προφη- b
τικαῖς προρρήσεσιν, ὥστε οὐκ ἄδηλον εἶναι καὶ τὴν
αἰτίαν δι' ἣν πατρίδα τὴν Βηθλεὲμ ἐπεγράψατο. 46.
ἀλλὰ καὶ ἐν Ναζάροις ἀνατραφεὶς λέγεται, καὶ πάλιν
Ναζωραῖος κληθήσεσθαι. ἰστέον οὖν ὅτι καὶ τὸ ναζι-
ραῖον ὄνομα Ἑβραϊκὸν τυγχάνει ἐν Λευιτικῷ ἐπὶ τοῦ
χρίσματος τοῦ παρ' αὐτοῖς χριστοῦ. ἦν δὲ οὗτος ὁ
ἄρχων κατ' εἰκόνα τοῦ μεγάλου καὶ ἀληθῶς ἀρχιε- [217]
ρέως τοῦ Χριστοῦ τοῦ θεοῦ, σκιώδη τινὰ καὶ τυπικὸν
Χριστὸν ἐπιφερόμενος. 47. ἐν οἷς γοῦν εἴρηται κατὰ c
τοὺς ἑβδομήκοντα περὶ τοῦ ἀρχιερέως "καὶ οὐ βεβη-
λώσει τὸν ἡγιασμένον τοῦ θεοῦ αὐτοῦ, ὅτι τὸ ἅγιον
ἔλαιον χριστὸν τοῦ θεοῦ αὐτοῦ." τὸ μὲν Ἑβραϊκὸν
"ὅτι ναζὲρ ἔλαιον περιέχει·" ὁ δὲ Ἀκύλας "ὅτι ἀφό-
ρισμα, ἔλαιον ἀλείμματος θεοῦ αὐτοῦ ἐπ' αὐτῷ·" ὁ
δὲ Σύμμαχος "ὅτι ἄθικτον ἔλαιον τοῦ χρίσματος τοῦ
θεοῦ αὐτοῦ ἐπ' αὐτῷ·" ὁ δὲ Θεοδοτίων "ὅτι τὸ ναζὲρ
ἔλαιον τὸ χριστὸν παρὰ θεοῦ αὐτοῦ ἐπ' αὐτῷ." 48.
ὥστε εἶναι τὸ ναζὲρ κατὰ μὲν τοὺς ἑβδομήκοντα ἅγιον,
κατὰ δὲ τὸν Ἀκύλαν ἀφόρισμα, κατὰ δὲ τὸν Σύμμα-
χον ἄθικτον, ὥστε ἐκ τούτου τὸ ναζιραῖον ὄνομα ση-
μαίνειν ἤτοι τὸν ἅγιον, ἢ τὸν ἀφωρισμένον, ἢ τὸν
ἄθικτον. ἀλλ' οἱ μὲν πάλαι ἱερεῖς δι' ἐλαίου σκευ- d
αστοῦ, τοῦ παρὰ Μωσεῖ ναζὲρ καλουμένου, χριόμε-
νοι, παραγώγως ἀπὸ τοῦ ναζὲρ ἐκαλοῦντο ναζιραῖοι.
49. ὁ δὲ σωτὴρ καὶ κύριος ἡμῶν κατὰ φύσιν ἔχων τὸ
ἅγιον καὶ τὸ ἄθικτον καὶ τὸ ἀφωρισμένον, οὐ δεό-
μενός τε χρίσματος ἀνθρωπίνου, ὅμως τῆς τοῦ ναζι-
ραίου προσηγορίας παρ' ἀνθρώποις ἔτυχεν, οὐκ ἀπὸ
τοῦ καλουμένου ναζὲρ ἐλαίου ναζιραῖος γεγονώς, ἀλλ'

---

12 Levit. 21, 12.

τοῦτο παρίστησι δι' ὧν φησιν "ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου." καὶ πάλιν "ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου, τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου." 41. ποῦ δέ φησιν ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ ἢ ἐν τῇ Βηθλεὲμ τῇ Ἐφραθά; ἐντεῦθεν γοῦν
d τὸ κέρας τοῦ Δαβὶδ ὁ Χριστὸς τὸ κατὰ σάρκα οἷόν τι μέγα φῶς ἐξανέτειλεν, ἐνταῦθά τε προητοίμαστο ὑπὸ τοῦ θεοῦ τῶν ὅλων ὁ τοῦ Χριστοῦ λύχνος. 42. εἴη δ' ἂν λύχνος αὐτοῦ, οἷα νοεροῦ φωτός, τὸ ἀνθρώπειον σκῆνος, δι' οὗ δίκην ὀστρακίνου σκεύους, ὥσπερ διὰ λύχνου, τὰς τοῦ ἰδίου φωτὸς ἀκτῖνας πᾶσι τοῖς ἐν ἀγνοίᾳ θεοῦ καὶ σκότῳ βαθεῖ πιεζομένοις ἐξέλαμψεν. 43. ἀλλὰ γὰρ καὶ ἐν τούτοις ἀποδεδεῖχθαι σαφῶς ἡγοῦμαι θεὸν Ἰακὼβ ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν τυγχάνοντα αἰῶνος ἀνθρώποις ἐπιδημήσειν, καὶ γεννηθήσεσθαι οὐκ ἀλλαχόθι γῆς ἀλλ' ἢ ἐν τῷ κατὰ Βηθλεὲμ τόπῳ, πρὸς τοῖς Ἱεροσολύμοις εἰσέτι καὶ νῦν ἐπιδεικνυμένῳ χωρίῳ, ἔνθα οὐδ' ἄλλος μετὰ τοὺς τῶν προφητῶν χρόνους ἐπιφανὴς καὶ εἰς πάντας ἀν-
(349) θρώπους ἐπίδοξος ἢ μόνος Ἰησοῦς ὁ Χριστὸς πρὸς τῶν ἐπιχωρίων ἁπάντων ἀκολούθως ταῖς εὐαγγελικαῖς φωναῖς γεγονὼς μαρτυρεῖται. 44. ἑρμηνεύεται δὲ ἡ Βηθλεὲμ οἶκος ἄρτου, φερώνυμος οὖσα τοῦ προελθόντος ἐξ αὐτῆς σωτῆρος ἡμῶν ὄντος θεοῦ λόγου, ψυχῶν λογικῶν θρεπτικοῦ. ὃ καὶ παρίστησιν αὐτὸς λέγων "ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς." 45. ἀλλ' ἐπειδὴ καὶ τοῦ Δαβὶδ γέγονεν αὕτη πατρίς, εἰκότως καὶ ὁ κατὰ σάρκα γενόμενος υἱὸς Δαβὶδ τὴν

---

28 Jo. 6, 41.

πρόοδον ἐξ αὐτῆς ἐποιήσατο, ἀκολούθως ταῖς προφη- b
τικαῖς προρρήσεσιν, ὥστε οὐκ ἄδηλον εἶναι καὶ τὴν αἰτίαν δι' ἣν πατρίδα τὴν Βηθλεὲμ ἐπεγράψατο. 46. ἀλλὰ καὶ ἐν Ναζάροις ἀνατραφεὶς λέγεται, καὶ πάλιν Ναζωραῖος κληθήσεσθαι. ἰστέον οὖν ὅτι καὶ τὸ ναζιραῖον ὄνομα Ἑβραϊκὸν τυγχάνει ἐν Λευιτικῷ ἐπὶ τοῦ χρίσματος τοῦ παρ' αὐτοῖς χριστοῦ. ἦν δὲ οὗτος ὁ ἄρχων κατ' εἰκόνα τοῦ μεγάλου καὶ ἀληθῶς ἀρχιε- [217]
ρέως τοῦ Χριστοῦ τοῦ θεοῦ, σκιώδη τινὰ καὶ τυπικὸν Χριστὸν ἐπιφερόμενος. 47. ἐν οἷς γοῦν εἴρηται κατὰ c
τοὺς ἑβδομήκοντα περὶ τοῦ ἀρχιερέως "καὶ οὐ βεβηλώσει τὸν ἡγιασμένον τοῦ θεοῦ αὐτοῦ, ὅτι τὸ ἅγιον ἔλαιον χριστὸν τοῦ θεοῦ αὐτοῦ." τὸ μὲν Ἑβραϊκὸν "ὅτι ναζὲρ ἔλαιον περιέχει·" ὁ δὲ Ἀκύλας "ὅτι ἀφόρισμα, ἔλαιον ἀλείμματος θεοῦ αὐτοῦ ἐπ' αὐτῷ·" ὁ δὲ Σύμμαχος "ὅτι ἄθικτον ἔλαιον τοῦ χρίσματος τοῦ θεοῦ αὐτοῦ ἐπ' αὐτῷ·" ὁ δὲ Θεοδοτίων "ὅτι τὸ ναζὲρ ἔλαιον τὸ χριστὸν παρὰ θεοῦ αὐτοῦ ἐπ' αὐτῷ." 48. ὥστε εἶναι τὸ ναζὲρ κατὰ μὲν τοὺς ἑβδομήκοντα ἅγιον, κατὰ δὲ τὸν Ἀκύλαν ἀφόρισμα, κατὰ δὲ τὸν Σύμμαχον ἄθικτον, ὥστε ἐκ τούτου τὸ ναζιραῖον ὄνομα σημαίνειν ἤτοι τὸν ἅγιον, ἢ τὸν ἀφωρισμένον, ἢ τὸν ἄθικτον. ἀλλ' οἱ μὲν πάλαι ἱερεῖς δι' ἐλαίου σκευ- d
αστοῦ, τοῦ παρὰ Μωσεῖ ναζὲρ καλουμένου, χριόμενοι, παραγώγως ἀπὸ τοῦ ναζὲρ ἐκαλοῦντο ναζιραῖοι. 49. ὁ δὲ σωτὴρ καὶ κύριος ἡμῶν κατὰ φύσιν ἔχων τὸ ἅγιον καὶ τὸ ἄθικτον καὶ τὸ ἀφωρισμένον, οὐ δεόμενός τε χρίσματος ἀνθρωπίνου, ὅμως τῆς τοῦ ναζιραίου προσηγορίας παρ' ἀνθρώποις ἔτυχεν, οὐκ ἀπὸ τοῦ καλουμένου ναζὲρ ἐλαίου ναζιραῖος γεγονώς, ἀλλ'

12 Levit. 21, 12.

ὢν μὲν τῇ φύσει τοιοῦτος, κληθεὶς δὲ καὶ παρ' ἀνθρώποις Ναζιραῖος ἀπὸ τῆς Ναζαρὲθ, ἔνθα παρὰ τοῖς κατὰ σάρκα γονεῦσι τὴν ἐν παισὶν ἀνατροφὴν (350) ἔσχηκε. 50. διὸ λέλεκται παρὰ τῷ Ματθαίῳ "χρηματισθεὶς δὲ κατ' ὄναρ (δῆλον δὲ ὅτι ὁ Ἰωσὴφ) ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρὰ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται." 51. ἔδει μὲν γὰρ αὐτὸν ἐξ ἅπαντος φύσει καὶ ἀληθείᾳ ναζιραῖον ὄντα, τοῦτ' ἔστιν ἅγιον καὶ ἄθικτον καὶ ἀφωρισμένον, ἐξ ἀνθρώπων κληθῆναι ταύτῃ τῇ προσηγορίᾳ· ἀλλ' ἐπεὶ μὴ ἐκ τοῦ ναζὲρ ἐλαίου ταύτης ἔτυχε τῆς προσηγορίας, μὴ δεηθεὶς ἀνθρω-b πίνου χρίσματος, ἐκ τοῦ τόπου τῆς Ναζαρὲθ τὴν ἐπωνυμίαν ἐκτήσατο.

52. Τούτων οὕτως ἀποδεδειγμένων καιρὸς ἐπισκέψασθαι καὶ ἐξ ὁποίου γένους, ἐξ ὁποίας τε Ἑβραίων φυλῆς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν, ὁ Χριστὸς τοῦ θεοῦ, προελεύσεσθαι ἐκηρύττετο. πρώτας δὲ τὰς εὐαγγελικὰς καὶ περὶ τούτου παραθήσομαι λέξεις, εἶθ' ὥσπερ ἁρμονίους σφραγῖδας τὰς προφητικὰς αὐταῖς ἐπιθήσω μαρτυρίας. ὁ μὲν οὖν Ματθαῖος ὧδε τὸν Χριστὸν κατὰ σάρκα γενεαλογεῖ "Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε c τὸν Ἰσαὰκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακὼβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν" καὶ τὰ ἑξῆς. 53. συνᾴδει δὲ αὐτῷ καὶ ὁ ἀπόστολος λέγων "ἀφωρίσθαι εἰς εὐαγγέλιον θεοῦ ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. γένοιτο

---

4 Matth. 2, 22. 23 Matth. 1, 1. 27 Rom. 1, 1.

δ' ἂν σύμφωνα ταῦτα ταῖς οὕτως ἐχούσαις προρρήσεσιν.

Ἀπὸ τῆς δευτέρας τῶν Παραλειπομένων. d

III. Ὁ κύριος διὰ Νάθαν τοῦ προφήτου ταῦτα τῷ Δαβὶδ θεσπίζει ἐν δευτέρᾳ Παραλειπομένων "καὶ ἔσται, ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σὲ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ. αὐτὸς οἰκοδομήσει μοι οἶκον [218] τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ εἰς τὸν αἰῶνα. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν." (351)

2. Καὶ ἐν ὀγδόῳ δὲ καὶ ὀγδοηκοστῷ Ψαλμῷ περὶ τοῦ αὐτοῦ, ὡς περὶ Δαβὶδ, τάδε εἴρηται "αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σὺ, θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου, κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς· εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ." 3. καὶ αὖθις "ὤμοσα Δαβὶδ τῷ δούλῳ μου, ἕως αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου." 4. καὶ πάλιν "ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ b Δαβὶδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα." 5. καὶ αὖθις "καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ." ὅμοια δ' ἂν εἴη τούτοις καὶ τὰ δι'

---

5 1. Par. 17, 11. 14 Ps. 88, 26. 19 Ps. 88, 4.
22 Ps. 88, 35. 26 Ps. 88, 29.

ὧν εἴρηται "ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτόν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου."

6. Σολομῶν παῖς μὲν ὢν τοῦ Δαβὶδ καὶ τῆς βασιλείας διάδοχος πέφηνεν ὁμολογουμένως. οὗτος δὲ καὶ c τὸν ἐν Ἱεροσολύμοις νεὼν τῷ θεῷ πρῶτος ἐδείματο, καὶ τοῦτον εἰκὸς ὑπολήψεσθαι τοὺς ἐκ περιτομῆς τὸν προφητευόμενον εἶναι· οὓς ἐπιστῆσαι καλὸν εἰ οἷοί τε εἶεν ἐπὶ Σολομῶνα ἀνάγειν τὸν χρησμὸν φάσκοντα "καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ εἰς τὸν αἰῶνα," καὶ αὖθις μεθ' ὅρκου διατάσεως ὀμωμοκέναι τὸν θεὸν ἐν τῷ ἁγίῳ αὐτοῦ "ὡς ἄρα ἔσται ὁ θρόνος τοῦ προφητευομένου, ὡς ὁ ἥλιος, καὶ αἱ ἡμέραι τοῦ οὐρανοῦ." 7. εἰ γὰρ δή τις τοὺς χρόνους ἐξετάσειε τῆς τοῦ Σολο- d μῶνος βασιλείας, τεσσαράκοντα ἔτη, οὐ πλείονα, εὑρήσει· εἰ δὲ καὶ τῶν διαδόχων αὐτοῦ συνάξοι, οὐδ' ἐφ' ὅλοις πεντακοσίοις ἔτεσιν εὕροι ἂν τοὺς πάντας διαγενομένους. 8. ἀλλὰ ἔστω τοὺς αὐτοὺς καὶ μέχρι τῆς ὑστάτης ὑπὸ Ῥωμαίων πολιορκίας τοῦ Ἰουδαίων ἔθνους διαρκέσαι νομίζεσθαι· τί οὖν τοῦτο πρὸς τὴν προφητείαν "εἰς τὸν αἰῶνα, καὶ ὡς τὸν ἥλιον, καὶ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ διαμενεῖν τὸν θρόνον αὐτοῦ" θεσπίζουσαν; τὸ δὲ "καὶ ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν" πῶς ἂν τῷ Σολομῶνι ἁρμόσειεν, ὅτε διαρρήδην ἡ κατὰ αὐτὸν ἱστορία ἀλλότρια καὶ ἀπῳκισμένα τῆς τοῦ θεοῦ εἰσποιήσεως περὶ αὐτοῦ διδάσκει; 9. ἄκουε δ' οὖν οἵαν κατηγορίαν αὐτοῦ καταλέγει· "καὶ Σολομῶν ἦν φιλογύναιος, καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας πολλάς, καὶ τὴν θυγατέρα Φαραώ, Μωαβίτιδας, Ἀμμανίτιδας,

---

1 Ps. 131, 11. 28 3. Reg. 11, 1.

καὶ Ἰδουμαίας, Σύρας καὶ Χετταίας, καὶ Ἀμορραίας, (352)
ἐκ τῶν ἐθνῶν, ὧν ἀπεῖπε κύριος ὁ θεὸς τοῖς υἱοῖς
Ἰσραὴλ, οὐκ εἰσελεύσεσθαι εἰς αὐτάς." 10. καὶ ἐπι-
φέρει τούτοις "καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ εὐθεῖα
μετὰ κυρίου τοῦ θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαβὶδ
τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπορεύθη Σολομῶν ὀπίσω τῆς
Ἀστάρτης, βδελύγματος Σιδωνίων, καὶ ὀπίσω τοῦ
βασιλέως αὐτῶν εἰδώλου υἱῶν Ἀμμών. καὶ ἐποίησε
Σολομῶν τὸ πονηρὸν ἐνώπιον κυρίου." 11. καὶ αὖθις
ἑξῆς ἐπάγει "καὶ ἤγειρε κύριος σατὰν τῷ Σολομῶνι, b
τὸν Ἄδερ τὸν Ἰδουμαῖον." τὸν δὴ ἐπὶ τοσούτοις καὶ
τοιούτοις διαβεβλημένον τίς ἂν αἱρεῖ λόγος πατέρα
τὸν θεὸν τολμᾶν ἐπιγράφεσθαι, καὶ τὸν ἐπὶ πάντων
θεὸν υἱὸν ἑαυτοῦ πρωτότοκον ἀναγορεύειν αὐτόν;
πῶς δὲ ταῦτα τοτὲ μὲν ὡς περὶ αὐτοῦ λέγεται τοῦ
Δαβὶδ, τοτὲ δὲ ὡς περὶ σπέρματος αὐτοῦ; ἀλλ' οὐδὲ
τῷ Δαβὶδ ἐφαρμόζοι ἂν, ὡς ἐπιστήσαντί σοι δῆλον
ἔσται· 12. οὐκοῦν τὸν ἐκ σπέρματος Δαβὶδ ἀναστή-
σεσθαι ἐν τούτοις δηλούμενον ἕτερον ζητητέον. ἀλλ'
οὐδεὶς ἄλλος τοιοῦτος ἐξ αὐτοῦ γέγονεν, ὡς ἱστορεῖ- c
ται, ἢ ὅτι γε εἷς ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ [219]
Χριστὸς τοῦ θεοῦ, ὃς μόνος τῶν πώποτε ἐκ σπέρ-
ματος Δαβὶδ βεβασιλευκότων καθ' ὅλης ἀνηγόρευται
τῆς οἰκουμένης υἱὸς Δαβὶδ, κατὰ τὴν ἔνσαρκον αὐτοῦ
γένεσιν ὁμολογούμενος, καὶ τούτου γε μένει καὶ δια-
μενεῖ ἡ βασιλεία εἰς τὸν ἄπειρον αἰῶνα παρατείνουσα,
καίτοι μυρία μὲν ἐπιβεβουλευμένη, θείᾳ δὲ καὶ ὑπὲρ
ἄνθρωπον δυνάμει τὸ ἔνθεον καὶ ἀήττητον τῆς περὶ d
αὐτοῦ προφητείας ἀκολούθως ἐπιδεικνυμένη. 13. εἰ
δὲ ὀμνύντα τὸν θεὸν ἀκούεις κατὰ τοῦ ἁγίου αὐτοῦ,
ὡς πατρὸς ἄκουε ὀμνύντος κατὰ τοῦ θεοῦ λόγου, τοῦ
πάντων αἰώνων προϋφεστῶτος, ἁγίου καὶ μονογενοῦς

αὐτοῦ παιδὸς, ὃν ποικίλως ἐθεολόγησαν αἱ πρόσθεν ἡμῖν παρατεθεῖσαι φωναὶ, καθ᾽ οὗ ὄμνυσιν ὁ θεὸς καὶ πατὴρ αὐτοῦ, ὡς κατὰ ἠγαπημένου, τὸν ἐκ σπέρματος Δαβὶδ τὸν ἄπειρον αἰῶνα δοξάσειν· ὃ καὶ γέγονεν ὅτε ὁ λόγος σὰρξ γενόμενος τὸν ἐκ σπέρματος Δαβὶδ ἀνείληφέ τε καὶ ἐθεοποίησε. διὸ καὶ υἱὸν αὐτὸν ἀναγορεύει λέγων, "ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν." 14. καὶ πάλιν "κἀγὼ πρωτότοκον θήσομαι αὐτόν." σαφῶς τοιγαροῦν ἐκ (353) τούτων ὁ υἱὸς τοῦ θεοῦ ὁ πρωτότοκος ἐκ σπέρματος ἔσεσθαι Δαβὶδ ἀνείρηται, ὥστε ἕνα καὶ τὸν αὐτὸν εἶναι τὸν υἱὸν τοῦ Δαβὶδ τῷ θεοῦ υἱῷ καὶ τὸν υἱὸν τοῦ θεοῦ τῷ υἱῷ Δαβίδ. δι᾽ ὧν ἐναργῶς ὁ πρωτότοκος πάσης κτίσεως, αὐτὸς ὁ υἱὸς τοῦ θεοῦ, υἱὸς ἀνθρώπου γενήσεσθαι προεφητεύετο. 15. καὶ τοῦτο δὲ τὸ λόγιον ἡ τοῦ εὐαγγελίου γραφὴ ἐπισφραγίζεται, δι᾽ ὧν φησιν ἐπιστάντα τὸν Γαβριὴλ τῇ ἁγίᾳ παρθένῳ φάναι περὶ τοῦ σωτῆρος ἡμῶν "οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασι-
b λεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος." 16. καὶ μετὰ βραχέα δὲ ἐν τῷ αὐτῷ εὐαγγελίῳ Ζαχαρίας ὁ τοῦ Ἰωάννου πατὴρ τάδε περὶ τοῦ Χριστοῦ θεσπίζει "εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων ἀπ᾽ αἰῶνος αὐτοῦ προφητῶν." 17. ἀλλ᾽ ὅτι μὲν τὸν ἐπηγγελμένον

---

7 2. Reg. 7, 14. 8 Ps. 89, 27. 14 Col. 1, 15.
18 Luc. 1, 32. 25 Luc. 1, 68.

τῷ Δαβὶδ αἰώνιον θρόνον ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ καὶ οὐδὲ ἄλλος ἀνθρώ- c πων ἀπείληφεν, ἱκαναὶ πιστώσασθαι αἱ προπαρατεθεῖσαι μαρτυρίαι, ἥ τε τοῦ Γαβριὴλ καὶ ἡ τοῦ Ζαχαρίου, δι' ὧν καὶ συνίσταται ἐκ σπέρματος γεγονὼς Δαβὶδ κατὰ σάρκα. 18. τίνι δὲ λόγῳ τὸν Ἰωσὴφ γενεαλογοῦσιν οἱ ἱεροὶ εὐαγγελισταί, καίπερ μὴ ὄντος τοῦ σωτῆρος ἡμῶν ἐξ αὐτοῦ, ἀλλ' ἐξ ἁγίου πνεύματος καὶ τῆς ἁγίας παρθένου, ὅπως τε καὶ αὕτη ἡ τοῦ κυρίου μήτηρ ἀπὸ γένους καὶ σπέρματος ἀποδείκνυται εἶναι Δαβίδ, ἐν τῷ πρώτῳ τῶν εἰς τὴν γενεαλο- d γίαν τοῦ σωτῆρος ἡμῶν ζητημάτων καὶ λύσεων διειληφότος, ἐπ' ἐκεῖνα τοὺς φιλομαθεῖς ἀναπέμπομεν, ἐφ' ἑτέραν ἡμᾶς ὑπόθεσιν κατεπείγοντος τοῦ παρόντος καιροῦ.

Ἀπὸ Ψαλμοῦ οα'.

"Ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως." 19. καὶ ἑξῆς (354) ἐπιλέγει "καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης, γενεᾶς γενεῶν, καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν. ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, καὶ κατα- (220) κυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης." 20. καὶ μετὰ βραχέα φησὶν "ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ b καρπὸς αὐτοῦ. ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα

---

17 Ps. 71, 1.

αὐτοῦ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν."

21. *Ἐπειδὴ γέγραπται εἰς Σολομῶνα ὁ Ψαλμὸς, ὁ πρῶτος τοῦ Ψαλμοῦ στίχος εἰς αὐτὸν ἀναφέροιτο, τὰ δὲ ἑπόμενα πάντα εἰς τὸν υἱὸν Σολομῶνος, οὐ τὸν Ῥοβοὰμ, ὃς μετ᾽ αὐτὸν ἐβασίλευσε τοῦ Ἰσραὴλ, ἀλλὰ τὸν ἐκ σπέρματος αὐτοῦ κατὰ σάρκα γενόμενον τὸν Χριστὸν τοῦ θεοῦ.* 22. *ὅτι γὰρ οὐκ ἐπὶ τὸν Σολομῶνα, οὐδὲ ἐπὶ τὸν τούτου διάδοχον ἀναφέρειν δυνα-* c *τὸν τὰ ἐν τῷ Ψαλμῷ διὰ τὰ περὶ αὐτοῦ δεδηλωμένα πᾶς ὁ μὴ ἀνεπιστήμων τῶν θείων ὁμολογήσει γραφῶν. ἀλλὰ καὶ πῶς οἷόν τε ἐπὶ Σολομῶνα ἢ ἐπὶ τὸν τούτου υἱὸν Ῥοβοὰμ ἐκλαμβάνειν τὰ ἐμφερόμενα δι᾽ ὅλου τοῦ Ψαλμοῦ; οἷον τὸ "κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης." καὶ τὸ "συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν," καὶ ὅσα ἄλλα τούτοις ὅμοια ἐπιλέγεται.* 23. *διόπερ ἀβασανίστως ἀποδοθείη ἂν ὁ μὲν φάσκων ἐν ἀρχῇ τοῦ Ψαλμοῦ λόγος "ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δός," ἐπ᾽ αὐ-* d *τὸν ἐκεῖνον Σολομῶνα· ὁ ἐπιλέγων δὲ "καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως," ἐπὶ τὸν Σολομῶνος υἱὸν, οὐ τὸν πρωτότοκον ἐκεῖνον τὸν διάδοχον αὐτοῦ τῆς βασιλείας γενόμενον (οὐδ᾽ ὅλοις γὰρ ἐκεῖνος ἑπτακαίδεκα ἔτεσι μόνου τοῦ Ἰουδαίων ἔθνους προστὰς κάκιστα κέχρητο τῇ ἀρχῇ,) ἀλλ᾽ οὐδ᾽ ἐφ᾽ ἕτερον τῶν Ῥοβοὰμ τὸν θρόνον τῆς τοῦ Σολομῶνος βασιλείας διαδεξαμένων, ἐπὶ μόνον δὲ τὸν ἐκ σπέρματος Δαβὶδ, οὕτω καὶ τοῦ Σολομῶνος υἱὸν ὡς καὶ τοῦ Δαβὶδ χρηματίσαντα.* 24. *οὗτος δ᾽ ἦν ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. τούτου γὰρ μόνου καὶ οὐδ᾽ ἑτέρου τῶν πώποτε ὁ τῆς ἐνθέου βασιλείας*

θρόνος συμπαραμενεῖ τῷ ἡλίῳ. καὶ οὗτός γε, ἀλλ' οὐδεὶς ἕτερος ἀνθρώπων, πρὸ τῆς σελήνης καὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως, ἅτε λόγος ὢν θεοῦ, προϋ- (355) πῆρχεν, ἔσταξέ τε μόνος οὗτος οὐρανόθεν δρόσου δίκην ἐπὶ πᾶσαν τὴν γῆν· εἴρηταί τε αὐτὸν καὶ εἰς πάντας ἀνθρώπους ἀνατεταλκέναι κατὰ τὰ μικρῷ πρόσθεν ἡμῖν ἀποδεδομένα, καὶ δικαιοσύνη παραμένουσα μέχρι τῆς τοῦ βίου συντελείας, ἥτις ἀνταναίρεσις ὠνόμασται τῆς σελήνης. 25. ἐναργῶς τε ἡ τοῦ σωτῆρος ἡμῶν δύναμις κρατεῖ καὶ κυριεύει τῶν ἐξ ἑῴας θαλάσσης καὶ ἐπὶ δύοντα ἥλιον, ἐνεργεῖν μὲν b ἀρξαμένη ἀπὸ ποταμοῦ, ἤτοι τοῦ κατὰ λουτρὸν μυστηρίου, ἢ καὶ ἀφ' οὗπερ κατὰ τὸν Ἰορδάνην πρῶτον φανεὶς ἤρξατο τῆς εἰς ἀνθρώπους εὐεργεσίας. 26. παρεκταθεῖσα γοῦν ἐξ ἐκείνου ἡ ἐν ἀνθρώποις βασιλεία αὐτοῦ διῆλθε καθ' ὅλης τῆς οἰκουμένης. Λιβάνου δὲ ἐπινοουμένης τῆς Ἱερουσαλὴμ, ὡς ἀπὸ πλείστων ὅσων προφητειῶν ἀποδείκνυται, διὰ τὸ πάλαι ἐν αὐτῇ ἁγίασμα καὶ τὸ θυσιαστήριον, τά τε ἐπὶ τούτῳ εἰς τιμὴν ἀναφερόμενα λιβάνου δίκην τῷ θεῷ, ὁ τοῦ Χριστοῦ καρπὸς ἡ ἐξ ἐθνῶν ἐκκλησία ὑπὲρ τὸν Λίβανον ἀρθήσεσθαι θεσπίζεται. 27. ἐπὶ σχολῆς c δ' ἂν ὁ φιλομαθὴς ἑαυτῷ τὸν Ψαλμὸν πρὸς λέξιν βασανίσας, μόνῳ τῷ ἡμετέρῳ κυρίῳ τὰ ἐν αὐτῷ προσήκειν ὁμολογήσειεν ἄν, ἀλλὰ οὔτε τῷ παλαιῷ Σολομῶνι οὔτε ἑτέρῳ τῶν μετ' αὐτὸν βασιλέων ἑνὸς ἔθνους τῶν Ἰουδαίων ἀρξάντων, καὶ οὐ πλέον ὀλιγοστῶν ἐτῶν, καὶ οὐδ' ἐφ' ἑτέρας ἢ μόνης τῆς Ἰουδαίας γῆς.

[221] ## Ἀπὸ τοῦ Ἡσαίου.

d 28. "Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπὶ αὐτὸν πνεῦμα θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ. οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς. 29. καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευρὰς αὐτοῦ, καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ παρδαλὶς συναναπαύσεται ἐρίφῳ, καὶ (356) μοσχάριον καὶ λέων ἅμα βοσκηθήσονται, καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή."

30. Ὁ δηλούμενος ἐνταῦθα Ἰεσσαὶ πατὴρ ἦν τοῦ Δαβίδ. ὥσπερ οὖν ἐν ταῖς πρὸ ταύτης προφητείαις ἐκ καρποῦ καὶ σπέρματος Δαβὶδ προελεύσεσθαι ἐλέγετο, καὶ πάλιν ἐκ σπέρματος Σολομῶνος, τὸν αὐτὸν τρόπον κἀνταῦθα, πλείστοις ἔτεσιν ὕστερον τῆς τοῦ Δαβὶδ οὐ μόνον, ἀλλὰ καὶ τῆς τοῦ Σολομῶνος τελευτῆς, ἐκ ῥίζης Ἰεσσαί, δῆλον δ' ὅτι καὶ ἐκ τῆς τοῦ b Δαβίδ, προελεύσεσθαί τις θεσπίζεται. 31. λύσει δὲ ὁ παρὼν λόγος τὴν ἐν τοῖς πρόσθεν νομιζομένην παρὰ Ἰουδαίοις περὶ τοῦ Σολομῶνος ἀμφιβολίαν. μετὰ πλεῖστον γοῦν τῆς τοῦ Σολομῶνας τελευτῆς χρόνον ταῦτα Ἡσαΐας περί τινος ἑτέρου προφητεύει, μέλλοντος ἐκ ῥίζης Ἰεσσαὶ καὶ ἐκ σπέρματος Δαβὶδ ἀναφα-

---

2 Es. 11, 1.

νήσεσθαι. 32. ὅτι δὲ οὐδ' ἐφ' ἕτερον ἢ ἐπὶ τὸν ἡμέτερον σωτῆρα τὸν Χριστὸν τοῦ θεοῦ ἀνάγεται τὰ δηλούμενα, ἐκ ῥίζης γενόμενον Δαβίδ τε καὶ Ἰεσσαὶ, οὐκ οἶμαί τινα ἀμφιβάλλειν, ἐπιστήσαντα τῇ τε ἐπαγγελίᾳ τῆς προρρήσεως φασκούσῃ "καὶ ἔσται ἡ ῥίζα c τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι," καὶ τοῖς ἐπὶ τοῦ σωτῆρος ἡμῶν δεικνυμένοις ἀποτελέσμασι. 33. μόνος γοῦν οὗτος μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, δι' ἣν καὶ οἶμαι αὐτὸν ἀνιστάμενον ἐπικεκλῆσθαι, οὐ τοῦ Ἰουδαίων λαοῦ, ἀλλὰ τῶν ἐθνῶν ἁπάντων ἦρξεν, ὡς μὴ δεδεῆσθαι τὸ λόγιον ἑρμηνείας, σαφῶς προδήλου καθεστῶτος, ὅπως εἰς αὐτὸν τέλος εἴληφε μετὰ τῶν ἄλλων καὶ τὸ "ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν." 34. τὰ δ' ὡς περὶ ζώων καὶ θηρίων ἡμερουμένων καὶ τὸ ἄγριον ἦθος καὶ ἀτίθασον ἀποθησομένων ἐπὶ τῇ τοῦ προφητευομένου ἐπιδημίᾳ λεγόμενα ἀλληγοροῖτ' ἂν ἐπὶ τρόπους ἀπηνεῖς καὶ ἀγρίους καὶ ἤθη ἀνδρῶν θηριώδη διὰ τῆς d τοῦ Χριστοῦ διδασκαλίας τῆς ἀλογίας καὶ θηριωδίας μεταθησόμενα. 35. ἀλληγοροῖτο δ' ἂν ταῦτα σαφῶς οὕτως, ἂν καὶ τὴν δηλουμένην διὰ τῆς προφητείας ῥίζαν Ἰεσσαὶ, καὶ τὴν ῥάβδον, καὶ τὸ ἄνθος τροπολογῶν τις ἔτι ἑρμηνεύσειε, καὶ ὡς ἂν ἐπινοηθείη δικαιοσύνῃ μὲν τὰς πλευρὰς ζωννύμενος, ἀληθείᾳ δὲ τὴν ὀσφὺν εἰλημμένος. 36. ὡς γὰρ οὐ δυνατὸν ἑτέρως ταῦτα ἢ διὰ μόνης ἀλληγορικῆς ἀποδόσεως ἑρμηνεύειν, τὸν αὐτὸν τρόπον ἕπεται καὶ τὰ περὶ τῶν κατὰ τοὺς τόπους ὀνομαζομένων ζῴων χρῆναι δεῖν ἐκλαμβάνειν.

(357) ## Ἀπὸ τοῦ Ἱερεμίου.

b 37. "Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρίμα καὶ δικαι- [222] οσύνην ἐπὶ τῆς γῆς. ἐν ταῖς ἡμέραις αὐτοῦ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο τὸ ὄνομα ὃ καλέσει αὐτὸν κύριος, Ἰωσεδεκεὶμ ἐν τοῖς προφήταις. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπε κύριος, συντρίψω τὸν ζυγὸν ἀπὸ τραχήλου αὐτῶν, καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω, καὶ οὐκ ἐργῶνται ἔτι θεοῖς ἑτέροις, ἀλλὰ ἐργῶνται κυρίῳ τῷ θεῷ αὐ- c τῶν, καὶ τὸν Δαβὶδ βασιλέα αὐτῶν ἀναστήσω αὐτοῖς."

38. Μετὰ πλεῖστον τῆς τελευτῆς τοῦ Δαβίδ, ἀλλὰ καὶ τοῦ Σολομῶνος χρόνον ταῦτα καὶ Ἱερεμίας περὶ τοῦ μέλλοντος ἐκ σπέρματος ἀναστήσεσθαι Δαβὶδ βασιλέως θεσπίζει, ὃν πρῶτον μὲν ἀνατολὴν καλεῖ, καὶ οὐχ ἁπλῶς, ἀλλὰ δικαίαν, ὡς ἂν ἐξ ἡλίου δικαιοσύνης συστησόμενον, περὶ οὗ διειλήφαμεν ἐν ταῖς περὶ τοῦ δευτέρου αἰτίου ἀποδείξεσιν, ἐν αἷς τὸν d προόντα τοῦ θεοῦ λόγον μυρίαις κεχρημένον ἐπωνυμίαις καὶ ἥλιον δικαιοσύνης ὀνομάζεσθαι ἀπεδείκνυμεν, τὴν φάσκουσαν προφητείαν "τοῖς δὲ φοβουμένοις με ἀνατελεῖ ἥλιος δικαιοσύνης" παραθέμενοι. 39. ὥσπερ οὖν ἥλιον δικαιοσύνης, οὕτω καὶ ἀνατολὴν δικαίαν ὁ λόγος ἐπὶ τοῦ παρόντος ἀναστήσειν τῷ Δαβὶδ προφητεύει. τὸν αὐτὸν δὲ τοῦτον βασιλέα συνιέντα, καὶ ποιοῦντα κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς προαγορεύει. εἶτα καὶ ὁμωνύμως τὸν αὐτὸν

---

2 Jer. 23, 6.

καλεῖ τῷ πάλαι πρότερον τετελευτηκότι Δαβίδ. 40. πρόσσχες γὰρ ἐπιμελῶς τῷ ἀνωτέρω μὲν καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνατολὴν δικαίαν, ἐπὶ τέλει δὲ ἐπιφερομένῳ τῷ "καὶ τὸν Δαβὶδ βασιλέα αὐτοῦ ἀναστήσω αὐτῷ." τίνι δὲ αὐτῷ ἢ τῷ Δαβίδ; τούτῳ γὰρ ἔφησεν ἀναστήσειν τὴν ἀνατολὴν τὴν δικαίαν. 41. καὶ ὁ (358) Ζαχαρίας δὲ περὶ τοῦ αὐτοῦ προφητεύων ὁμοίως ἀνατολὴν αὐτὸν καλεῖ λέγων "ἰδοὺ ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ δικαιοσύνη." καὶ πάλιν "καλέσω τὸν δοῦλόν μου ἀνατολήν." ἀλλ' οὐδείς γε μετὰ τοὺς Ἱερεμίου χρόνους, ἀλλ' οὐδὲ μετὰ τοὺς τοῦ Ζαχαρίου, τοιοῦτος ἀνέστη τοῖς ἐκ περιτομῆς, ὡς ἀνατολὴ δικαία κληθῆναι, καὶ συνιεὶς βασιλεὺς καὶ ποιῶν κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. 42. εἰ δὲ λέγοι τις διὰ τούτων Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ δηλοῦσθαι, λεκτέον ὅτι οὐ συνέστηκεν ὁ λόγος αὐτῷ. οὔτε γὰρ ἀπὸ γένους Δαβὶδ οὗτος ἦν οὔτε b ὡς βασιλεὺς ἐβασίλευσεν. 43. πῶς δὲ ἐπ' ἐκεῖνον δύναται ἁρμόττειν τὸ "καὶ τὸν Δαβὶδ βασιλέα ἀναστήσω αὐτῷ," ὁπότε φυλῆς μὲν ἦν Λευὶ, τάξεως δ' ἀρχιερατικῆς, καὶ γένους ἑτέρου παρὰ τὸν Δαβὶδ, βασιλεὺς δ' οὐδαμῶς γεγονὼς ἱστορεῖται; ὥστε εἰ μηδεὶς ἕτερος εὑρίσκοιτο τοιοῦτος, ὥρα τὸν προφητευόμενον καὶ διὰ τούτων ὁμολογεῖν μόνον εἶναι τὸν σωτῆρα καὶ κύριον ἡμῶν, τὸν καὶ ἐν ἑτέροις φῶς τοῦ κόσμου καὶ φῶς τῶν ἐθνῶν ἀνηγορευμένον. 44. αὐτὸς τοιγαροῦν εἴη ἂν κἀνταῦθα ὁ προφητευόμενος, καὶ συνέστηκεν ἀψευδὴς ἡ πρόρρησις. μόνος γὰρ ἐκ c σπέρματος Δαβὶδ ὁμωνύμως τῷ προπάτορι κατὰ διάνοιαν, ἐπεὶ ἑρμηνεύεται δυνατὸς χειρὶ, χρηματίσας

---

8 Zach. 6, 12. 10 Zach. 3, 8.

(357) Ἀπὸ τοῦ Ἱερεμίου.

b 37. "Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην [222] ἐπὶ τῆς γῆς. ἐν ταῖς ἡμέραις αὐτοῦ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο τὸ ὄνομα ὃ καλέσει αὐτὸν κύριος, Ἰωσεδεκεὶμ ἐν τοῖς προφήταις. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπε κύριος, συντρίψω τὸν ζυγὸν ἀπὸ τραχήλου αὐτῶν, καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω, καὶ οὐκ ἐργῶνται ἔτι θεοῖς ἑτέροις, ἀλλὰ ἐργῶνται κυρίῳ τῷ θεῷ αὐτῶν, c καὶ τὸν Δαβὶδ βασιλέα αὐτῶν ἀναστήσω αὐτοῖς."

38. Μετὰ πλεῖστον τῆς τελευτῆς τοῦ Δαβίδ, ἀλλὰ καὶ τοῦ Σολομῶνος χρόνον ταῦτα καὶ Ἱερεμίας περὶ τοῦ μέλλοντος ἐκ σπέρματος ἀναστήσεσθαι Δαβὶδ βασιλέως θεσπίζει, ὃν πρῶτον μὲν ἀνατολὴν καλεῖ, καὶ οὐχ ἁπλῶς, ἀλλὰ δικαίαν, ὡς ἂν ἐξ ἡλίου δικαιοσύνης συστησόμενον, περὶ οὗ διειλήφαμεν ἐν ταῖς περὶ τοῦ δευτέρου αἰτίου ἀποδείξεσιν, ἐν αἷς τὸν d προόντα τοῦ θεοῦ λόγον μυρίαις κεχρημένον ἐπωνυμίαις καὶ ἥλιον δικαιοσύνης ὀνομάζεσθαι ἀπεδείκνυμεν, τὴν φάσκουσαν προφητείαν "τοῖς δὲ φοβουμένοις με ἀνατελεῖ ἥλιος δικαιοσύνης" παραθέμενοι. 39. ὥσπερ οὖν ἥλιον δικαιοσύνης, οὕτω καὶ ἀνατολὴν δικαίαν ὁ λόγος ἐπὶ τοῦ παρόντος ἀναστήσειν τῷ Δαβὶδ προφητεύει. τὸν αὐτὸν δὲ τοῦτον βασιλέα συνιέντα, καὶ ποιοῦντα κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς προαγορεύει. εἶτα καὶ ὁμωνύμως τὸν αὐτὸν

2 Jer. 23, 6.

καλεῖ τῷ πάλαι πρότερον τετελευτηκότι Δαβίδ. 40. πρόσσχες γὰρ ἐπιμελῶς τῷ ἀνωτέρω μὲν καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνατολὴν δικαίαν, ἐπὶ τέλει δὲ ἐπιφερομένῳ τῷ "καὶ τὸν Δαβὶδ βασιλέα αὐτοῦ ἀναστήσω αὐτῷ." τίνι δὲ αὐτῷ ἢ τῷ Δαβίδ; τούτῳ γὰρ ἔφησεν ἀναστήσειν τὴν ἀνατολὴν τὴν δικαίαν. 41. καὶ ὁ (358) Ζαχαρίας δὲ περὶ τοῦ αὐτοῦ προφητεύων ὁμοίως ἀνατολὴν αὐτὸν καλεῖ λέγων "ἰδοὺ ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ δικαιοσύνη." καὶ πάλιν "καλέσω τὸν δοῦλόν μου ἀνατολήν." ἀλλ' οὐδείς γε μετὰ τοὺς Ἱερεμίου χρόνους, ἀλλ' οὐδὲ μετὰ τοὺς τοῦ Ζαχαρίου, τοιοῦτος ἀνέστη τοῖς ἐκ περιτομῆς, ὡς ἀνατολὴ δικαία κληθῆναι, καὶ συνιεὶς βασιλεὺς καὶ ποιῶν κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. 42. εἰ δὲ λέγοι τις διὰ τούτων Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ δηλοῦσθαι, λεκτέον ὅτι οὐ συνέστηκεν ὁ λόγος αὐτῷ. οὔτε γὰρ ἀπὸ γένους Δαβὶδ οὗτος ἦν οὔτε b ὡς βασιλεὺς ἐβασίλευσεν. 43. πῶς δὲ ἐπ' ἐκεῖνον δύναται ἁρμόττειν τὸ "καὶ τὸν Δαβὶδ βασιλέα ἀναστήσω αὐτῷ," ὁπότε φυλῆς μὲν ἦν Λευὶ, τάξεως δ' ἀρχιερατικῆς, καὶ γένους ἑτέρου παρὰ τὸν Δαβὶδ, βασιλεὺς δ' οὐδαμῶς γεγονὼς ἱστορεῖται; ὥστε εἰ μηδεὶς ἕτερος εὑρίσκοιτο τοιοῦτος, ὥρα τὸν προφητευόμενον καὶ διὰ τούτων ὁμολογεῖν μόνον εἶναι τὸν σωτῆρα καὶ κύριον ἡμῶν, τὸν καὶ ἐν ἑτέροις φῶς τοῦ κόσμου καὶ φῶς τῶν ἐθνῶν ἀνηγορευμένον. 44. αὐτὸς τοιγαροῦν εἴη ἂν κἀνταῦθα ὁ προφητευόμενος, καὶ συνέστηκεν ἀψευδὴς ἡ πρόρρησις. μόνος γὰρ ἐκ c σπέρματος Δαβὶδ ὁμωνύμως τῷ προπάτορι κατὰ διάνοιαν, ἐπεὶ ἑρμηνεύεται δυνατὸς χειρὶ, χρηματίσας

8 Zach. 6, 12. 10 Zach. 3, 8.

κρίμα καὶ δικαιοσύνην διὰ τῆς αὐτοῦ διδασκαλίας τοῖς ἐπὶ γῆς ἅπασιν ἐκήρυξε, καὶ μόνος τῶν πώποτε οὐκ ἐπὶ μέρους ἐβασίλευσε τῆς οἰκουμένης, ἀλλὰ ἐπὶ πᾶσαν τὴν γῆς καὶ μόνος ἀνέτειλε δικαιοσύνην, ἀκολούθως καὶ τῷ ἐν Ψαλμῷ περὶ αὐτοῦ λεγομένῳ "ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης." 45. *Ἰούδας δὲ σωθησόμενος καὶ Ἰσραὴλ ἐν*
d *ταῖς ἡμέραις αὐτοῦ, πάντες εἰσὶν οἱ τῇ δι' αὐτοῦ θεοσεβείᾳ προσεληλυθότες τοῦ ἐκ περιτομῆς λαοῦ, ἀπόστολοί τε αὐτοῦ καὶ μαθηταὶ καὶ εὐαγγελισταί, ἢ καὶ πάντες οἱ τὸν ἐν κρυπτῷ Ἰουδαῖον καὶ τὸν ἀληθινὸν Ἰσραὴλ τὸν κατὰ διάνοιαν ὁρῶντα θεὸν ἀποσῴζοντες.* 46. *"οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστι (φησὶν ὁ*
[223] *ἀπόστολος) οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλὰ ἐκ τοῦ θεοῦ. τούτους οὖν διὰ τῆς τοῦ Χριστοῦ κλήσεως τὸν ἐν κρυπτῷ Ἰουδαῖον καὶ τὸν ἀληθῶς Ἰσραὴλ φέροντας ἑτέρῳ φησὶ κληθήσεσθαι ὀνόματι, οὐχὶ δὲ τῷ τοῦ Ἰουδαίου, οὐδὲ τῷ*
(359) *τοῦ Ἰσραήλ, ἀλλὰ ξένῳ τινὶ παρὰ ταῦτα.* 47. *τοῦτο γάρ φησι τὸ ὄνομα, ὃ καλέσει αὐτοὺς κύριος Ἰωσεδεκείμ, ὅπερ ἑρμηνεύεται "οἱ τοῦ θεοῦ δίκαιοι." ἐφίστημι δὲ μήποτε πεποιημένον ἐστὶ τοὔνομα ἀπὸ τοῦ Ἰοσουὲ Ἰωσεδεκείμ, ὃ παρὰ τῷ θεῷ οἱ τοῦ Ἰησοῦ μαθηταὶ κέκληνται, παρ' ἀνθρώποις μὲν Ἑλληνικώτερον προσαγορευόμενοι ἀπὸ τῆς τοῦ Χριστοῦ παρωνυμίας, κατὰ δὲ τὴν Ἑβραίων φωνὴν καὶ παρὰ αὐτοῖς τοῖς προφήταις, ἀπὸ τοῦ Ἰησοῦ, ὡς ἂν δι' αὐτοῦ σεσωσμένοι, Ἰωσεδεκείμ.* 48. *διὸ λέλεκται "καὶ*

13 Rom. 2, 28.

τοῦτο τὸ ὄνομα ὃ καλέσει αὐτοὺς κύριος, Ἰωσεδεκεὶμ b
ἐν τοῖς προφήταις." ὁ δὴ οὖν μέλλων, φησί, διὰ τοῦ
προφητευομένου λαὸς κατὰ διάνοιαν Ἰούδας ὄντες καὶ
Ἰσραὴλ ὀνομασθήσονται ἀπὸ τοῦ Ἰοσουὲ Ἰωσεδεκείμ,
καὶ τούτῳ γε, φησί, κληθήσονται τῷ προσρήματι οὐ
παρ' ἀνθρώποις, ἀλλὰ παρ' αὐτῷ τῷ θεῷ, καὶ παρὰ
τοῖς προφήταις αὐτοῦ. 49. ἐπιμελῶς γὰρ πρόσσχες τῷ
λόγῳ φήσαντι "καὶ τοῦτο τὸ ὄνομα, ὃ καλέσει αὐτοὺς
κύριος, Ἰωσεδεκεὶμ ἐν τοῖς προφήταις." μεταλαμβά-
νεται δέ, ὡς ἔφην, τοὔνομα εἰς τὴν Ἑλλήνων φωνὴν
οἱ τοῦ θεοῦ δίκαιοι." 50. τούτων δὲ οὕτως σωθησο- c
μένων, τὸν παλαιὸν καὶ βαρὺν τῶν πικρῶν δαιμόνων
ζυγὸν συντρίψειν καὶ τοὺς οἷς τὸ πρὶν συνείχοντο
δεσμοὺς τῶν ἀσεβημάτων διαρρήξειν ὁ θεὸς ἐπαγγέλ-
λεται, ὡς μηκέτι θεοῖς ἀλλοτρίοις δουλεύειν αὐτούς,
μόνῳ δὲ αὐτῷ καρποφορεῖν ἀρεσκόντως. 51. παρά-
θες δὲ τούτοις τὸ ἐν δευτέρῳ Ψαλμῷ ἐπὶ τῇ τοῦ Χρι-
στοῦ παρουσίᾳ καὶ τῇ τῶν ἐθνῶν κλήσει φάσκον
λόγιον "διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορ-
ρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν." ᾧ συγγενὲς
ἡγοῦμαι τυγχάνειν τὸ μετὰ χεῖρας λέγον ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ εἶπε κύριος "συντρίψω ζυγὸν ἀπὸ τραχήλου
αὐτῶν, καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω, καὶ οὐκ
ἐργῶνται ἔτι θεοῖς ἀλλοτρίοις, ἀλλ' ἐργῶνται κυρίῳ d
τῷ θεῷ αὐτῶν." 52. ἀλλ' ὅτι μὲν ἐκ καρποῦ τῆς
κοιλίας Δαβὶδ καὶ ἐκ σπέρματος Σολομῶνος καὶ ἐκ
ῥίζης Ἰεσσαὶ ὁ Χριστὸς τοῦ θεοῦ γεννηθήσεσθαι προ-
είρηται, ὅπερ καὶ γέγονεν, ὅτι μετὰ μυρίων ἄλλων
προσηγοριῶν καὶ Δαβὶδ αὐτὸν ὀνομάζουσιν οἱ θεῖοι
λόγοι, αὐτάρκη πιστώσασθαι τὰ εἰρημένα· ὅτι δὲ καὶ

22 Ps. 2, 2.

*ἐκ φυλῆς Ἰούδα λέγεται προελεύσεσθαι οὐδ' ἂν ζητη-
θείη, τῷ μηδ' ἑτέρας ἢ τῆς δηλωθείσης φυλῆς καὶ
αὐτὸν εἶναι τὸν Δαβίδ. γένοιτο δ' ἂν ἐκ περιουσίας
καὶ τούτου παραστατικὸν τὸ παρὰ Μωσεῖ λόγιον, τοῦ-
τον ἔχον τὸν τρόπον·*

(360) *Ἀπὸ τῆς Γενέσεως.*

53. "*Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου, αἱ
χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου, προσκυνή-
σουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. σκύμνος λέοντος
Ἰούδα, ἐκ βλαστοῦ μου υἱὲ ἀνέβης, ἀναπεσὼν ἐκοι-
b μήθης ὡς λέων, καὶ ὡς σκύμνος. τίς ἐγερεῖ αὐτόν;
οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν
μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς
ἔσται προσδοκία ἐθνῶν.*"

54. *Δώδεκα φυλῶν παρ' Ἑβραίοις οὐσῶν, δι' ὧν τὸ
πᾶν ἔθνος συνεστήκει, μιᾶς τούτων προπάτωρ γέγονε
[224] καὶ ἀρχίφυλος ὁ Ἰούδας, πρὸς ὃν τεθέσπισται τὰ προ-
κείμενα, ἐξ αὐτοῦ τὸν Χριστὸν προελεύσεσθαι σημαί-
νοντα. εἰ γοῦν συναγάγοις ἐπὶ ταυτὸ καὶ παραθείης
c τῇ μετὰ χεῖρας τὰς ἐν τοῖς πρόσθεν τεθείσας προφη-
τείας, εὕροις ἂν ὁμοίως κατά τι κοινὸν σημεῖον τὸν
αὐτὸν κηρυττόμενον.* 55. *ἡ μὲν γὰρ ἔλεγε περὶ τοῦ
ἐκ ῥίζης Ἰεσσαὶ ἀναστησομένου τὸ "καὶ ἔσται ὁ ἀνι-
στάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν·"
d ἡ δὲ περὶ τοῦ υἱοῦ Σολομῶνος τὸ "κατακυριεύσει ἀπὸ
θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περά-
των τῆς οἰκουμένης, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ
πάντα τὰ ἔθνη·" ἡ δὲ μετὰ χεῖρας παραπλησίως "ἕως*

7 Gen. 49, 8. 23 Es. 11, 10. 25 Ps. 72, 8.

ἂν ἔλθῃ, φησίν, ᾧ ἀπόκειται καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν." 56. *εἰ δὴ οὖν συνᾴδουσιν αἱ περὶ τῶν* d *ἐθνῶν προρρήσεις, ἀπεδείχθησαν δὲ αἱ πρὸ τούτων ὁρῶσαι τὸν ἡμέτερον σωτῆρα, οὐδὲν ἂν εἴη ἐμποδὼν μὴ οὐχὶ τὸν αὐτὸν βλέπειν καὶ τὴν παροῦσαν, εἴπερ σύμφωνα ἀλλήλαις ὁμολογοῦνται θεσπίζειν, μάλιστα ὅτε μέχρι μὲν τῶν χρόνων τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας οἱ τοῦ Ἰουδαίων ἔθνους ἄρχοντες καὶ ἡγούμενοι αὐτῶν ἐκ προγόνων διαδοχῆς συνεστήκεσαν, ἅμα δὲ τῇ αὐτοῦ παρουσίᾳ διαλελοίπεσαν, ὁμοῦ τε ἡ τῶν ἐθνῶν προσδοκία τέλος ἐπῆγε τῇ τοῦ Ἰακὼβ προρρήσει.* 57. *οὐκοῦν κἀνταῦθα ὁ Χριστὸς δηλούμενος, καὶ οὐδὲ ἄλλος, ἐκ φυλῆς Ἰούδα προελεύσεσθαι, καὶ ὅτε δὲ ἐκ Δαβὶδ καὶ Σολομῶνος ἔκ τε τῆς ῥίζης Ἰεσσαὶ γεγονὼς ἐδηλοῦτο, ἐκ τῆς αὐτῆς φυλῆς ὢν* (361) *ἐδείκνυτο.* 58. *παῖς μὲν γὰρ ἦν τοῦ Ἰεσσαὶ Δαβίδ, τοῦ δὲ Δαβὶδ Σολομῶν, συστάντες ἐκ φυλῆς Ἰούδα. εἴη ἂν τοιγαροῦν ἐξ αὐτῆς ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ὥσπερ οὖν ὁ θαυμάσιος εὐαγγελιστὴς γενεαλογεῖ Ματθαῖος λέγων* "*Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν*" *καὶ τὰ ἑξῆς.*

Ἀλλὰ γὰρ καὶ τούτων τὴν οἰκείαν ἀπόδειξιν ἀπειληφότων καιρὸς καὶ τοὺς χρόνους συνιδεῖν τῆς τῶν προηγορευμένων ἀποπληρώσεως.

(362) ## ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

[225] *Ἀποδείξαντες δι' ὅσων ὁ τοῦ θεοῦ λόγος εἰς ἀνθρώπους ἥξειν ἐθεσπίζετο, ὅθεν τε καὶ ὅπη καὶ ὅπως ὀφθήσεσθαι τοῖς ἐπὶ γῆς ἐν ταῖς παρ' Ἑβραίοις προ-
b φητικαῖς φωναῖς ἐκηρύττετο, ὅτι τε αὐτὸς ἐκεῖνος ἦν, καὶ οὐδ' ἄλλος, ὁ τῶν αἰώνων προϋφεστὼς υἱὸς τοῦ θεοῦ, ὃν διὰ τῶν ἑτέρων θεόν τε καὶ κύριον καὶ ἀρχιστράτηγον καὶ μεγάλης βουλῆς ἄγγελον θεοῦ τε ἀρχιερέα τυγχάνειν προμεμαθήκαμεν, ἀκολούθως μετὰ τὰ προδιεξωδευμένα τοὺς χρόνους τῆς ἐπιφανείας αὐτοῦ πάλιν ἐξ αὐτῶν τῶν προφητικῶν προρρήσεων
(363) ἐπιμαρτυρώμεθα, ἐνθένδε ἀρξάμενοι.*

*2. Τῶν χρόνων τῆς τοῦ Χριστοῦ παρουσίας ἐκφανῆ σημεῖα τάδε ἔσεσθαι προκηρύττουσιν αἱ ἱεραὶ γραφαί. τριῶν τὸ πρὶν ἐπιφανῶν ἀξιωμάτων παρὰ Ἑβραίοις διαπρεπόντων δι' ὧν τὸ ἔθνος συνεκροτεῖτο, ἑνὸς μὲν τοῦ βασιλικοῦ, ἑτέρου δὲ τοῦ προφητικοῦ, καὶ ἐπὶ τούτοις τοῦ ἀρχιερατικοῦ, τούτων ὁμοῦ τὴν κατάλυσιν καὶ τὴν παντελῆ καθαίρεσιν σημεῖα τῆς τοῦ Χριστοῦ παρουσίας ἔσεσθαι θεσπίζουσι. 3. δείγματα
b δὲ τῶν αὐτῶν εἶναι χρόνων καὶ τῆς κατὰ Μωσέα θρησκείας τὴν περιγραφήν, τῆς τε Ἱερουσαλὴμ καὶ τοῦ πρὸς αὐτῇ ἱεροῦ τὴν ἐρήμωσιν, οὐ μὴν ἀλλὰ καὶ τοῦ παντὸς Ἰουδαίων ἔθνους τὴν ὑπὸ τοῖς ἐχθροῖς καὶ πολεμίοις δουλείαν, καὶ ἄλλα δὲ τῶν αὐτῶν ὑποβάλλουσι σημεῖα χρόνων, πλῆθος εἰρήνης, ἐθνῶν τῆς ἐξ αἰῶνος κατ' ἔθνος καὶ κατὰ πόλιν τοπαρχίας καὶ πολυαρχίας ἀναίρεσιν, τῆς πολυθέου καὶ δαιμονικῆς εἰδωλολατρίας ἀποστροφήν, ἐπίγνωσιν εὐσεβείας ἑνὸς τοῦ ἐπὶ πάντων δημιουργοῦ θεοῦ. 4. ταῦτα
c οὖν ἅπαντα, μὴ ὄντα πάλαι κατὰ τοὺς τῶν προφητῶν*

χρόνους, ἐπὶ τῆς Χριστοῦ παρουσίας γενήσεσθαι οἱ θεῖοι χρησμοὶ προηγόρευον, ἃ καὶ ταῖς προρρήσεσιν ἀκολούθως εἰς πέρας ἐλθόντα ὅσον οὔπω παραστήσεται. 5. τά γε μὴν αἴτια τοῦ μὴ πρότερον, ἀλλὰ νῦν ἐπ' ἐσχάτων καιρῶν μετὰ τὸν μακρὸν καὶ πολὺν αἰῶνα τὸν Χριστὸν ἐμφανῆ γενέσθαι τῷ βίῳ λέλεκται μὲν ἤδη καὶ πρόσθεν, οὐ μὴν ἀλλὰ καὶ νῦν ἐν βραχέσιν εἰρήσεται. 6. πολὺς ἦν πάλαι πρότερον τὰς τῶν ἀνθρώπων ψυχὰς ἐπισκοτῶν ἀφροσύνης καὶ ἀσεβείας d αὐχμός, δεινή τε ἀθεότης κατακρατοῦσα τοῦ παντὸς ἀνθρώπων βίου, ὡς μηδὲν τῶν ἀγρίων καὶ ἀτιθάσων θηρίων διαφέρειν δοκεῖν· μήτε γοῦν πόλεις, μήτε πολιτείας, μήτε νόμους, μήτε τι σεμνὸν καὶ βιωφελὲς εἰδότες, μηδὲ μὴν ἐπιστήμας καὶ τέχνας ἐν νῷ τιθέμενοι ἀρετῆς τε καὶ φιλοσοφίας οὐδ' εἰς ἔννοιαν ἰόντες, μόναις ἐπ' ἐρημίαις ἔν τε ὄρεσι καὶ σπηλαίοις καὶ κώμαις τὰς διατριβὰς ἐποιοῦντο, λῃστρικώτερον ἐπιτιθέμενοι τοῖς πλησιάζουσι, πορίζοντες τὰ πρὸς τὸ ζῆν οὐκ ἄλλοθεν ἀλλ' ἢ ἐκ τῆς τῶν καταδεεστέρων καταδυναστείας. 7. ἀλλὰ μὴν οὐδὲ θεὸν τὸν ἐπὶ πάντων ᾔδεσαν, οὐδέ γε εὐσεβείας ἀληθοῦς τρόπον, φυσικαῖς δὲ ἐννοίαις ἀνακινούμενοι τὸ μὲν ὑπάρχειν ἐν τοῖς οὖσι θείαν τινὰ δύναμιν καὶ θεὸν εἶναι καὶ ὀνο- (364) μάζεσθαι σωτήριόν τε καὶ εὐεργετικὴν τυγχάνειν τὴν προσηγορίαν αὐτοφυεῖ διδασκαλίᾳ συνωμολόγουν, τὸ δὲ μὴ ἄλλο τι νομίζειν ἢ τὸν ἐπέκεινα ἁπάσης τῆς ὁρωμένης οὐσίας οὐκέθ' οἷοί τε ἦσαν ἀποδέχεσθαι. 8. διόπερ οἱ μὲν αὐτῶν "ἐσεβάσθησαν καὶ ἐλάτρευ- [226] σαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, οἱ δὲ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ

---

28 Rom. 1, 25 et 21.

ἀσύνετος αὐτῶν καρδία, ὡς ἐναλλάξαι τὴν δόξαν τοῦ
b ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀν-
θρώπου καὶ πετηνῶν καὶ τετραπόδων καὶ ἑρπετῶν.
νεκρῶν δὴ οὖν οἷδε ἀνδρῶν δυναστῶν τινων ἢ καὶ
τυράννων πάλαι γενομένων εἰκόνας ἀνειδωλοποιή-
σαντες, καὶ ταύταις τὸ θεῖον περιάψαντες σέβας, τάς
τε ἐκτόπους καὶ ἀκολάστους τῶν αὐτῶν πράξεις ὡς
θεῶν κατορθώματα σεμνύνειν ἐθεολόγησαν. 9. πῶς
οὖν τοῖς τυγχάνουσιν ἐν τοιαύτῃ βίου καταστάσει τὸν
πάνσοφον καὶ πανάρετον τοῦ Χριστοῦ λόγον τὴν εἰς
c ἄκρον καταγγέλλοντα φιλοσοφίαν τοῖς τε ἐν τοσούτῳ
βάθει κακίας καλινδουμένοις δύνασθαι ἁρμόττειν;
διὸ δὴ ἐκείνους ἡ θεία καὶ πάντων ἔφορος δίκη ὡς
ἀγρίαν καὶ βλαβερωτάτην ὕλην περικόπτουσα τοτὲ μὲν
κατακλυσμοῖς, τοτὲ δὲ πυρπολήσεσι μετῄει, τοτὲ δὲ
αὐτοὺς τοῖς κατ' ἀλλήλων πολέμοις ἀνδροκτασίαις τε
τε καὶ πολιορκίαις ἐπαλλήλοις παρεδίδου, πρὸς αὐτῶν
τῶν δαιμόνων, τῶν δὴ θεῶν αὐτοῖς νενομισμένων,
d ἐπὶ τὸν κατ' ἀλλήλων πόλεμον ἐξοιστρουμένους, ὥστε
ἄβατον εἶναι τοῖς πλησιοχώροις ἀνεπίμικτόν τε καὶ
ἀκοινώνητον τὸν τότε τῶν ἀνθρώπων βίον· βραχεῖς δέ
τινας, ὡς ἐν τοιαύτῃ καταστάσει, καὶ ἀριθμῷ ληπτούς,
10. ὧν τὰ παρ' Ἑβραίοις μνημονεύει λόγια, θεοφιλεῖς
εὑροῦσα, τούτοις διὰ χρησμῶν καὶ θειοτέρας ἐπιφα-
νείας ὡμίλει, δεξιουμένη τοὺς ἄνδρας καὶ θεραπεύ-
ουσα νόμοις τοῖς παρὰ Μωσέως εἰσαγωγικοῖς καὶ βιω-
φελέσιν. 11. ἀλλ' ὅτε δὴ ἐκ τῆς τούτοις διαταγείσης
νομοθεσίας ἔκ τε τῶν μετὰ ταῦτα προφητικῶν μαθη-
μάτων εἰς πάντας ἀνθρώπους εὐωδίας δίκην προχεο-
μένων ἤδη λοιπὸν ἡμέρωτο τῶν πολλῶν τὰ φρονή-
(365) ματα, τοῖς τε πολλοῖς ἔθνεσι πολιτεῖαι καὶ νομοθεσίαι
συνίσταντο, ἀρετῆς τε καὶ φιλοσοφίας ὄνομα παρὰ

πολλοῖς ἐβοᾶτο, ὡς ἂν πεπαυμένης τῆς παλαιᾶς θη-
ριωδίας, μετατιθεμένης δὲ τῆς ἀγρίας καὶ ἀπηνοῦς
διαίτης ἐπὶ τὸ πραότερον, αὐτὸς ἤδη λοιπὸν κατὰ και-
ρὸν τὸν προσήκοντα ὁ τῶν τελείων τε καὶ οὐρανίων
δογμάτων τε καὶ μαθημάτων τέλειος καὶ οὐράνιος δι-
δάσκαλος, ὁ τῆς ἀληθοῦς θεογνωσίας εἰσαγωγεὺς, ὁ
θεὸς λόγος ἐπέφανεν ἑαυτὸν κατὰ τὸν ὑπογραφέντα b
τῆς ἐνανθρωπήσεως αὐτοῦ χρόνον, μίαν τοῖς πᾶσιν
ἔθνεσιν, Ἕλλησί τε καὶ βαρβάροις, τῷ τε παντὶ ἔθνει
τῶν ἀνθρώπων τὴν τοῦ πατρὸς φιλανθρωπίαν εὐαγ-
γελιζόμενος, ἐπὶ μίαν τε τοὺς πάντας παρορμῶν ἐν
θεῷ σωτηρίαν, ἀλήθειάν τε αὐτὴν καὶ φῶς ἀληθοῦς
εὐσεβείας, βασιλείαν τε οὐρανῶν, καὶ αἰωνίου ζωῆς
ἐπαγγελίαν τοῖς πᾶσι προμνώμενος.

12. Ταῦτα μὲν οὖν περὶ τῶν χρόνων εἰρήσθω,
δι' ἣν αἰτίαν νῦν, ἀλλ' οὐ πάλαι πρότερον ὁ Χριστὸς
τοῦ θεοῦ εἰς πάντας ἐξέλαμψεν ἀνθρώπους. φέρε δὲ c
ἐπανελθόντες τῶν χρόνων τῆς ἀφίξεως αὐτοῦ τὰ ση-
μεῖα κατὰ μέρος ἐπισκεψώμεθα, τὰς εὐαγγελικὰς περὶ
τῆς γενέσεως αὐτοῦ φωνὰς ἐν πρώτοις ἐπισημειωσά-
μενοι. 13. ὁ μὲν οὖν Ματθαῖος τὸν χρόνον τῆς ἐν-
σάρκου αὐτοῦ ἐπιφανείας ὧδέ πως ἱστορεῖ, λέγων
"τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας,
ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως." καὶ μετ' ὀλίγα
φησὶν "ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει τῆς Ἰου-
δαίας, ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ." 14. ὁ δὲ
Λουκᾶς τὸν τῆς διδασκαλίας αὐτοῦ καὶ ἀναδείξεως
χρόνον παρέστησε λέγων "ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς d
ἡγεμονίας Τιβερίου Καίσαρος, ἐπιτροπεύοντος Ποντ-
ίου Πιλάτου τῆς Ἰουδαίας, τετραρχοῦντος δὲ τῆς

---

23 Matth. 2, 1. 28 Luc. 3, 1.

Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ [227] τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καιάφα. τούτοις δὴ οὖν καλῶς ἔχει παραθέσθαι τὴν παρὰ Μωσεῖ τοῦ Ἰακὼβ προφητείαν τοῦτον ἔχουσαν τὸν τρόπον·

(366) *Περὶ τῶν χρόνων τῆς εἰς ἀνθρώπους ἐπιφανείας αὐτοῦ.*

Ἀπὸ τῆς Γενέσεως.

b 1. "Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπε, συνάχθητε ἵνα ἐπαγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτου τῶν ἡμερῶν. ἀθροίσθητε καὶ ἀκούσατε, υἱοὶ Ἰακώβ, ἀκούσατε, Ἰσραήλ, τοῦ πατρὸς ὑμῶν." 2. εἶτα τούτοις ἑξῆς ἐπιμεμψάμενός τινά τισι τοῖς c προτέροις υἱοῖς, ὡς διά τινα αὐτῶν πλημμελήματα γενομένοις ἀναξίοις τῆς μελλούσης ἐπιλέγεσθαι προρρήσεως, τῷ τετάρτῳ ὡς τὸν βίον κρείττονα τῶν λοιπῶν ἀδελφῶν ἐπιδεδειγμένῳ τάδε θεσπίζει "Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου, προσκυνήσουσί σε οἱ υἱοὶ τοῦ πατρός σου· σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος. τίς ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ d Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς προσδοκία ἐθνῶν."

3. Σκόπει δὴ πρῶτον τίνα ἄρα φησὶν εἶναι τὰ

---

10 Gen. 49, 1.

ἀποκείμενα αὐτῷ, καὶ ὅρα εἰ μὴ αὐτὰ ἦν, ἃ τοῖς ἀμφὶ τὸν Ἀβραὰμ προπάτορσι περὶ τῆς τῶν ἐθνῶν κλήσεως ὁ θεὸς ἀνείρηκε θεσπίσας. γέγραπται γοῦν ὡς ἄρα εἶπεν ὁ θεὸς τῷ Ἀβραὰμ "καὶ ἔσῃ εὐλογητός, καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοι πᾶσαι αἱ φυλαὶ τῆς γῆς." 4. καὶ αὖθις "Ἀβραὰμ δὲ" φησὶ "γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς." τὰ ὅμοια δὲ καὶ τῷ Ἰσαὰκ ὁ χρησμὸς τοῦτον ἐκφωνεῖ τὸν τρόπον "καὶ πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ἐνευλογηθήσονται ἐν τῷ (367) σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς." ἔτι δὲ καὶ τῷ Ἰακὼβ τοιαῦτα δὴ εἴρηται "ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου καὶ ὁ θεὸς Ἰσαάκ, μὴ φοβοῦ." καὶ ἑξῆς "καὶ ἐνευλογηθήσονται ἐν σοι πᾶσαι αἱ φυλαὶ τῆς γῆς." καὶ ἄλλοτε εἶπεν αὐτῷ ὁ θεὸς "ἐγὼ ὁ θεός σου, αὐξάνου καὶ πληθύνου· ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἐξελεύσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται. 6. τοσαύτας περὶ τῆς τῶν ἐθνῶν κλήσεως προρρήσεις τοῦ θεοῦ προμεμαθηκὼς ὁ Ἰακώβ, παίδων αὐτῷ τὸν ἀριθμὸν γεγεννημένων δεκαδύο, πρὸς τῇ τελευτῇ συγκαλέσας τοὺς πάντας περιεσκόπει ἐξ ὁποίου ἄρα αὐτῶν b τῆς διαδοχῆς τὰ τῶν τοῦ θεοῦ προρρήσεων ἐπὶ τέλος ἥξει· εἶτ' ἐπιθεὶς τρισὶ μὲν τοῖς πρώτοις αὐτῷ γενομένοις παισὶν ἐλέγχους ὧν ἐπλημμέλησαν, ἐπιφέρει διδάσκων ὅτι τῶν τετολμημένων αὐτοῖς ἕνεκα οὐ δι' αὐτῶν ἐκπληρωθήσεται τὰ τῶν προρρήσεων ἀποτελέσματα. 7. ἐπὶ δὲ τὸν τέταρτον ἐλθὼν τὸν Ἰούδαν,

4 Gen. 12, 2. 7 Gen. 18, 18. 11 Gen. 26, 4. 14 Gen. 28, 13. 17 Gen. 35. 11.

ὁμοῦ τὸν φήσαντα αὐτῷ χρησμὸν "βασιλεῖς ἐκ τῆς
ὀσφύος αὐτοῦ ἐξελεύσονται" διὰ τῆς τούτου διαδοχῆς
τέλος λήψεσθαι θεσπίζει. πρόδηλον γὰρ ὡς ἐκ τῆς
c Ἰούδα φυλῆς τὸ βασιλικὸν συνέστη γένος· ὁμοῦ καὶ
τὰς τοῦ θεοῦ προρρήσεις καὶ τὰς τῶν ἐθνῶν ὑπο-
σχέσεις καθ' ὁποίους ἐνστήσονται χρόνους παρίστη-
σιν, ἐξ αὐτοῦ τε προελεύσεσθαι διδάσκει τὸν μέλλοντα
[228] αἴτιον καταστήσεσθαι πᾶσι τοῖς ἔθνεσι καὶ πάσαις
ταῖς φυλαῖς τῆς γῆς τῆς παραπλησίας τῷ Ἀβραὰμ
εὐλογίας. 8. ταῦτα οὖν ἅπαντα ἦν τὰ ἀποκείμενα τῷ
Ἰούδα, δηλαδὴ τὰ πάλαι προθεσπισθέντα περὶ τῶν
ἐθνῶν, καὶ τὸ "βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύ-
σονται." διὸ καὶ τῶν λοιπῶν ἀδελφῶν προκριθεὶς βασι-
λικῆς φυλῆς καὶ διαπρεπεστέρας παρὰ τὰς λοιπὰς
d ἠξιώθη. 9. αὐτίκα ἐπὶ τῆς διατάξεως τοῦ παντὸς
λαοῦ κατὰ τοὺς Μωσέως χρόνους ἡγεῖσθαι ταύτην
ὁ θεὸς τῶν λοιπῶν φυλῶν προστάττει. γέγραπται
γὰρ "καὶ ἐλάλησε κύριος πρὸς Μωσῆν καὶ Ἀαρὼν,
λέγων, ἄνθρωπος ἐχόμενος κατὰ τάγματα αὐτοῦ, κατὰ
σημαίας, κατ' οἴκους πατριῶν αὐτῶν παρεμβαλέτω-
σαν οἱ υἱοὶ Ἰσραὴλ ἔναντι κυρίου, κύκλῳ τῆς σκηνῆς
τοῦ μαρτυρίου, καὶ οἱ παρεμβάλλοντες πρῶτοι κατὰ
ἀνατολὰς, τάγμα παρεμβολῆς υἱῶν Ἰούδα, σὺν δυνά-
μει αὐτῶν." 10. καὶ ἑξῆς ἐπὶ τῶν εἰς τὸν ἐγκαινι-
σμὸν τῆς σκηνῆς ἀναφερομένων "εἶπε κύριος πρὸς
Μωσῆν, ἄρχων εἷς καθ' ἡμέραν προσοίσουσιν τὰ δῶρα
αὐτῶν. καὶ ἦν ὁ προσφέρων τῇ ἡμέρᾳ τῇ πρώτῃ τὸ
δῶρον αὐτοῦ Ναασσὼν υἱὸς Ἀμιναδὰβ, ἄρχων τῆς
(368) φυλῆς Ἰούδα." 11. καὶ ἐν τῇ βίβλῳ δὲ τοῦ Ἰησοῦ
τοῦ Ναυὴ τῆς γῆς τῆς ἐπαγγελίας κλήρῳ κατὰ τῶν

---

18 Num. 2, 1. 25 Num. 7, 11. 29 Jos. 15.

λοιπῶν φυλῶν διανεμηθείσης, ἀκληρωτὶ καὶ πασῶν πρώτη ἡ τοῦ Ἰούδα φυλὴ τὸ οἰκεῖον μέρος τῆς γῆς ἀπολαμβάνει. 12. ἀλλὰ καὶ "μετὰ τὴν τελευτὴν Ἰησοῦ ἐπηρώτων οἱ υἱοὶ Ἰσραὴλ ἐν κυρίῳ, λέγοντες, τίς ἀναβήσεται ἡμῖν πρὸς τὸν Χαναναῖον, ἀφηγούμενος τοῦ πολεμῆσαι ἐν αὐτῷ; καὶ εἶπε κύριος, Ἰούδας ἀναβήσεται. ἰδοὺ δέδωκα τὴν γῆν εἰς χεῖρας αὐτοῦ." σαφῶς οὖν τοῦ παντὸς Ἰσραὴλ ἡγεῖσθαι τὴν τοῦ Ἰούδα φυλὴν ὁ θεὸς διὰ τούτων προστάττει, ὅθεν b
ἑξῆς γέγραπται "καὶ ἀνέβη Ἰούδας, καὶ παρέδωκε κύριος τὸν Χαναναῖον, καὶ τὸν Φερεζαῖον ἐν χειρὶ αὐτοῦ." 13. καὶ πάλιν "καὶ ἐπολέμησαν οἱ υἱοὶ Ἰούδα ἐν Ἱερουσαλὴμ, καὶ κατελάβοντο αὐτὴν, καὶ κατέβησαν υἱοὶ Ἰούδα πολεμῆσαι ἐν τῷ Χαναναίῳ." καὶ αὖθις "καὶ ἐπορεύθη Ἰούδας μετὰ Συμεὼν τοῦ ἀδελφοῦ αὐτοῦ." καὶ ἑξῆς "καὶ ἦν κύριος μετὰ Ἰούδα, καὶ ἐκληρονόμησε τὸ ὄρος." καὶ μετὰ ταῦτα "καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰωσὴφ, καί γε αὐτοὶ ἐν Βαιθὴλ, καὶ Ἰούδας μετ' αὐτῶν." 14. καὶ ἐν τῇ βίβλῳ δὲ τῶν κριτῶν διαφόρως κατὰ χρόνους προϊσταμένων τοῦ c
λαοῦ, εἰ καὶ ἐκ διαφόρων ἐδόκουν εἶναι φυλῶν οἱ κριταὶ, ὅμως δὲ καθόλου ἡ τοῦ Ἰούδα φυλὴ τοῦ παντὸς ἔθνους ἡγεῖτο, πολλῷ δὲ πλέον ἐπὶ τῶν χρόνων τοῦ Δαβὶδ καὶ τῶν τούτου διαδόχων ἐκ φυλῆς μὲν τοῦ Ἰούδα γεγονότων, μέχρι δὲ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τὴν βασιλείαν διενεγκάντων, μεθ' ἣν τῶν ἐκ τῆς αἰχμαλωσίας ἐπὶ τὴν οἰκείαν γῆν ἐπανιόντων αὖθις ἡγεῖται Ζοροβάβελ, ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, ὁ καὶ τὸν νεὼν ἐγείρας. 15. ἔνθεν καὶ ἡ τῶν Παραλειπομένων γραφὴ τὰς δώδεκα φυλὰς

---

3 Jud. 1, 1.

ὁμοῦ τὸν φήσαντα αὐτῷ χρησμὸν "βασιλεῖς ἐκ τῆς ὀσφύος αὐτοῦ ἐξελεύσονται" διὰ τῆς τούτου διαδοχῆς τέλος λήψεσθαι θεσπίζει. πρόδηλον γὰρ ὡς ἐκ τῆς c Ἰούδα φυλῆς τὸ βασιλικὸν συνέστη γένος· ὁμοῦ καὶ τὰς τοῦ θεοῦ προρρήσεις καὶ τὰς τῶν ἐθνῶν ὑποσχέσεις καθ' ὁποίους ἐνστήσονται χρόνους παρίστησιν, ἐξ αὐτοῦ τε προελεύσεσθαι διδάσκει τὸν μέλλοντα [228] αἴτιον καταστήσεσθαι πᾶσι τοῖς ἔθνεσι καὶ πάσαις ταῖς φυλαῖς τῆς γῆς τῆς παραπλησίας τῷ Ἀβραὰμ εὐλογίας. 8. ταῦτα οὖν ἅπαντα ἦν τὰ ἀποκείμενα τῷ Ἰούδα, δηλαδὴ τὰ πάλαι προθεσπισθέντα περὶ τῶν ἐθνῶν, καὶ τὸ "βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται." διὸ καὶ τῶν λοιπῶν ἀδελφῶν προκριθεὶς βασιλικῆς φυλῆς καὶ διαπρεπεστέρας παρὰ τὰς λοιπὰς d ἠξιώθη. 9. αὐτίκα ἐπὶ τῆς διατάξεως τοῦ παντὸς λαοῦ κατὰ τοὺς Μωσέως χρόνους ἡγεῖσθαι ταύτην ὁ θεὸς τῶν λοιπῶν φυλῶν προστάττει. γέγραπται γὰρ "καὶ ἐλάλησε κύριος πρὸς Μωσῆν καὶ Ἀαρών, λέγων, ἄνθρωπος ἐχόμενος κατὰ τάγματα αὐτοῦ, κατὰ σημαίας, κατ' οἴκους πατριῶν αὐτῶν παρεμβαλέτωσαν οἱ υἱοὶ Ἰσραὴλ ἔναντι κυρίου, κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ οἱ παρεμβάλλοντες πρῶτοι κατὰ ἀνατολάς, τάγμα παρεμβολῆς υἱῶν Ἰούδα, σὺν δυνάμει αὐτῶν." 10. καὶ ἑξῆς ἐπὶ τῶν εἰς τὸν ἐγκαινισμὸν τῆς σκηνῆς ἀναφερομένων "εἶπε κύριος πρὸς Μωσῆν, ἄρχων εἷς καθ' ἡμέραν προσοίσουσιν τὰ δῶρα αὐτῶν. καὶ ἦν ὁ προσφέρων τῇ ἡμέρᾳ τῇ πρώτῃ τὸ δῶρον αὐτοῦ Ναασσὼν υἱὸς Ἀμιναδάβ, ἄρχων τῆς (368) φυλῆς Ἰούδα." 11. καὶ ἐν τῇ βίβλῳ δὲ τοῦ Ἰησοῦ τοῦ Ναυὴ τῆς γῆς τῆς ἐπαγγελίας κλήρῳ κατὰ τῶν

18 Num. 2, 1. 25 Num. 7, 11. 29 Jos. 15.

λοιπῶν φυλῶν διανεμηθείσης, ἀκληρωτὶ καὶ πασῶν πρώτη ἡ τοῦ Ἰούδα φυλὴ τὸ οἰκεῖον μέρος τῆς γῆς ἀπολαμβάνει. 12. ἀλλὰ καὶ "μετὰ τὴν τελευτὴν Ἰησοῦ ἐπηρώτων οἱ υἱοὶ Ἰσραὴλ ἐν κυρίῳ, λέγοντες, τίς ἀναβήσεται ἡμῖν πρὸς τὸν Χαναναῖον, ἀφηγούμενος τοῦ πολεμῆσαι ἐν αὐτῷ; καὶ εἶπε κύριος, Ἰούδας ἀναβήσεται. ἰδοὺ δέδωκα τὴν γῆν εἰς χεῖρας αὐτοῦ." σαφῶς οὖν τοῦ παντὸς Ἰσραὴλ ἡγεῖσθαι τὴν τοῦ Ἰούδα φυλὴν ὁ θεὸς διὰ τούτων προστάττει, ὅθεν b ἑξῆς γέγραπται "καὶ ἀνέβη Ἰούδας, καὶ παρέδωκε κύριος τὸν Χαναναῖον, καὶ τὸν Φερεζαῖον ἐν χειρὶ αὐτοῦ." 13. καὶ πάλιν "καὶ ἐπολέμησαν οἱ υἱοὶ Ἰούδα ἐν Ἱερουσαλὴμ, καὶ κατελάβοντο αὐτὴν, καὶ κατέβησαν υἱοὶ Ἰούδα πολεμῆσαι ἐν τῷ Χαναναίῳ." καὶ αὖθις "καὶ ἐπορεύθη Ἰούδας μετὰ Συμεὼν τοῦ ἀδελφοῦ αὐτοῦ." καὶ ἑξῆς "καὶ ἦν κύριος μετὰ Ἰούδα, καὶ ἐκληρονόμησε τὸ ὄρος." καὶ μετὰ ταῦτα "καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰωσὴφ, καί γε αὐτοὶ ἐν Βαιθὴλ, καὶ Ἰούδας μετ' αὐτῶν." 14. καὶ ἐν τῇ βίβλῳ δὲ τῶν κριτῶν διαφόρως κατὰ χρόνους προϊσταμένων τοῦ c λαοῦ, εἰ καὶ ἐκ διαφόρων ἐδόκουν εἶναι φυλῶν οἱ κριταὶ, ὅμως δὲ καθόλου ἡ τοῦ Ἰούδα φυλὴ τοῦ παντὸς ἔθνους ἡγεῖτο, πολλῷ δὲ πλέον ἐπὶ τῶν χρόνων τοῦ Δαβὶδ καὶ τῶν τούτου διαδόχων ἐκ φυλῆς μὲν τοῦ Ἰούδα γεγονότων, μέχρι δὲ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τὴν βασιλείαν διενεγκάντων, μεθ' ἣν τῶν ἐκ τῆς αἰχμαλωσίας ἐπὶ τὴν οἰκείαν γῆν ἐπανιόντων αὖθις ἡγεῖται Ζοροβάβελ, ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, ὁ καὶ τὸν νεὼν ἐγείρας. 15. ἔνθεν καὶ ἡ τῶν Παραλειπομένων γραφὴ τὰς δώδεκα φυλὰς

---

3 Jud. 1, 1.

d τοῦ Ἰσραὴλ γενεαλογοῦσα ἀπὸ τῆς τοῦ Ἰούδα τὴν
καταρχὴν ἐποιήσατο. ἕπεται δὴ οὖν τούτοις ἀκολού-
θως καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις τὴν αὐτὴν φυλὴν
τῶν λοιπῶν ὁμολογεῖν ἡγεῖσθαι, εἰ καὶ ἐν μέρει διά-
φοροι προειστήκεισαν τοῦ λαοῦ, ὧν οὐκέθ' ἡμῖν δυ-
νατὸν ἐξακριβάζεσθαι τὰ γένη, τῷ μηδὲ φέρεσθαι
θείαν βίβλον ἐξ ἐκείνου καὶ μέχρι τῶν τοῦ σωτῆρος
χρόνων. 16. πλὴν εἰς τοσοῦτον διαρκέσαι λόγος αἱρεῖ
φάναι τὴν τοῦ Ἰούδα φυλήν, εἰς ὅσον τὸ πᾶν ἔθνος
ἐλευθερίᾳ καὶ αὐτονομίᾳ χρώμενον ὑπὸ οἰκείοις ἄρ-
χουσιν καὶ ἡγουμένοις ἐπολιτεύετο. τοῦτο δὲ αὐτοῖς
ἐξ ἀρχῆς ὑπῆρξε καὶ μέχρι τῶν Αὐγούστου χρόνων,
καθ' οὓς Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν φανέντος ἐν ἀν-
(369) θρώποις τὸ πᾶν ἔθνος δοῦλον Ῥωμαίοις καθίσταται·
[229] καὶ ἀντὶ τῶν πατρόθεν αὐτοῖς καὶ κατὰ νόμους ἡγου-
μένων πρῶτος Ἡρώδης ἀλλόφυλος αὐτῶν ἡγεῖται καὶ
βασιλεὺς Αὔγουστος. 17. ἕως μὲν οὖν οὐδέπω δια-
λελοίπει "ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν
μηρῶν αὐτοῦ," τῶν προφητειῶν οἱ χρόνοι ἐκ τῆς τῶν
ἀρχόντων τοῦ ἔθνους παραθέσεως ἀνεγράφοντο. οὕ-
τως οὖν Ἡσαΐας ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωάθαν καὶ
Ἄχαζ καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας,
προφητεύει. 18. ὁμοίως δὲ καὶ Ὠσηέ. ὁ δὲ Ἀμὼς
ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις
b Ἱεροβοὰμ υἱοῦ Ἰωὰς, βασιλέως Ἰσραήλ, καὶ Σοφονίας
ἐν ἡμέραις Ἰωσίου, υἱοῦ Ἀμὼς, βασιλέως Ἰούδα.
ὁμοίως δὲ καὶ Ἱερεμίας. ἀλλ' ὅτε ἐκλέλοιπεν "ἄρχων
ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ," τῆς
διὰ τοῦ Χριστοῦ προφητευομένης προσδοκίας τῶν
ἐθνῶν ὅσον οὔπω μελλούσης ἐπιλάμπειν τῷ βίῳ, οὐκ-
έτι μὲν βασιλεῖς ἐχρημάτισαν Ἰούδα, οὐδὲ ἡγούμενοι
Ἰσραήλ. 19. τούτων δὲ ταῖς προφητείαις ἀκολούθως

κατὰ τοὺς ὡρισμένους χρόνους διαλελοιπότων, πρῶτος μὲν Αὔγουστος, δεύτερος δὲ Τιβέριος, μετὰ τῶν ἄλλων καὶ τοῦ Ἰουδαίων ἔθνους ἀνηγορεύθησαν βασιλεῖς c, οἵ τε κατὰ τούτους τῆς Ἰουδαίας ἐπίτροποι καὶ τετράρχαι, οὐ μὴν ἀλλὰ καὶ Ἡρώδης, ὡς ἔφην ἤδη καὶ πρότερον, οὐ προσήκων Ἰουδαίοις τὸ γένος, ὃς καὶ αὐτὸς παρὰ Ῥωμαίων τὴν ἀρχὴν τὴν κατὰ Ἰουδαίων ἐγχειρίζεται.

20. Τούτων ἡμῖν προτετηρημένων καιρὸς ἤδη καλεῖ τῆς εἰς τὴν προφητείαν θεωρίας ἐφάψασθαι "Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου." δώδεκα τῶν ὅλων ὑπαρχόντων παίδων τῷ Ἰακὼβ τέταρτος Ἰούδας ἦν, ὡς καὶ φθάσαντες εἰρήκαμεν, εἷς καὶ αὐτὸς ἀρχίφυλος τοῦ Ἑβραίων ἔθνους. 21. ἀλλ' ὅτι γε οὐκ αὐτὸν d ἐκεῖνον ἑώρα τὸν ἄνδρα τὰ ὡς πρὸς αὐτὸν ὑπὸ τοῦ πατρὸς εἰρημένα σαφὲς ἂν γένοιτο τοῖς ἐπιστήσασι ταῖς λέξεσι τῆς θείας γραφῆς, πρῶτον τοῦ Ἰακὼβ πρὸς τοὺς υἱοὺς φωνῆς λεγούσης "ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπε, συνάχθητε καὶ ἀναγγελῶ ὑμῖν, τί ὑμῖν ἀπαντήσεται ἐπ' ἐσχάτου τῶν ἡμερῶν· ἀθροίσθητε καὶ ἀκούσατε υἱοὶ Ἰακώβ, ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν." 22. σαφῶς γὰρ ἐπαγγέλλεται προφητεύειν αὐτοῖς τὰ μέλλοντα αὐτοῖς ἀπαντήσεσθαι μακροῖς ὕστερον χρόνοις καί, ὡς αὐτός φησιν, ἐπ' ἐσχάτου τῶν ἡμερῶν. καὶ ἄλλως δὲ τὰ ὡς πρὸς τὸν Ἰούδαν εἰρημένα οὐκ ἂν εὐλόγως ἐφαρμόσειε τῷ πρώτῳ ἐκείνῳ ἀνδρί. 23. οὐ γὰρ ἐκεῖνον τὸν Ἰούδαν ᾔνεσαν οἱ ἀδελφοί· ἐπὶ ποίῳ γὰρ αὐτοῦ κατορθώματι τοῦτο ἐποίησαν ἄν; οὐδὲ μὴν ἐκείνῳ προσεκύνησαν οἱ υἱοὶ τοῦ πατρός. μᾶλλον δ' ἂν ὁ λόγος ἥρμοσεν, εἰ τῷ Ἰωσὴφ εἴρητο, ἐπειδὴ τοῦτον (370) ἅμα τοῖς λοιποῖς ἀδελφοῖς καὶ αὐτὸς Ἰούδας προσκυ-

νήσας φαίνεται, πλὴν ἀλλὰ πρὸ τῶν λόγων τῆς προφητείας· μετὰ γὰρ τούτους οὐδέν τι τοιοῦτον οὐδὲ περὶ τὸν Ἰωσήφ, ἤπού γε περὶ τὸν Ἰούδαν, γεγονὸς ἡ ἱστορία παρίστησι. 24. καὶ τὸ "ἀναπεσὼν δὲ ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος" μείζονος ἂν δέοιτο ἢ κατὰ τὸν Ἰούδαν θεωρίας. ἀλλὰ καὶ τὸ μετὰ ταῦτα εἰρημένον "οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκεί-
b μενα αὐτῷ, καὶ αὐτὸς προσδοκία ἐθνῶν" τοὺς χρόνους αἰνίττεσθαί μοι δοκεῖ τῆς τοῦ προφητευομένου παρουσίας. τόδε γάρ, φησίν, οὐκ ἔσται, ἔστ' ἂν γένοιτο τόδε. 25. οὐδὲ γὰρ πρότερον παύσονται τοῦ Ἰουδαίων ἔθνους ἄρχοντες καὶ ἡγούμενοι ἢ τὴν τῶν ἐθνῶν προσδοκίαν ἐλθεῖν καὶ τὰ ἀποκείμενα τῷ προφητευομένῳ. ταῦτα δὲ ὁμοίως τοῖς ἑβδομήκοντα καὶ ὁ Θεοδοτίων ἡρμήνευσεν· ὁ δὲ Ἀκύλας τοῦτον ἐξέδωκε τὸν τρόπον "οὐκ ἀναστήσεται σκῆπτρον ἀπὸ Ἰούδα, καὶ ἀκριβαζόμενος ἀπὸ μεταξὺ ποδῶν αὐτοῦ,
[230] c ἕως ἂν ἔλθῃ καὶ αὐτῷ σύστημα λαῶν." 26. ἔνθα λεγομένου τοῦ "οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα," πάλιν οὐ περὶ τοῦ Ἰούδα, αὐτοῦ δὴ ἐκείνου τοῦ πρώτου ἀνδρός, ἀκούειν δεήσει, ὥσπερ οὐδὲ τὸ "Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου" καὶ τὰ ἑξῆς ἐπ' ἐκεῖνον ἀνεφέρετο. πλείστοις δ' οὖν χρόνοις ἄρχοντες καὶ ἡγούμενοι τοῦ Ἰουδαίων ἔθνους κατέστησαν, οὐκ ἐκ τῆς ἐκείνου τοῦ ἀνδρὸς διαδοχῆς. 27. πρῶτος μὲν γὰρ Μωσῆς αὐτὸς ἡγήσατο τοῦ λαοῦ, μὴ ἐκ τοῦ Ἰούδα, ἀλλ' ἐκ τοῦ Λευὶ γεγονώς, εἶτα Ἰησοῦς ἐκ φυλῆς Ἐφραΐμ, μεθ' ὃν ἦρξεν αὐτῶν Δεββώρα ἐκ φυλῆς Ἐφραΐμ, καὶ Βαρὰκ ἐκ φυλῆς Νεφθαλεὶμ, μεθ' οὓς
d Γεδεὼν ἐκ φυλῆς Μανασσῆ, ἔπειτα ὁ τοῦ Γεδεὼν παῖς, καὶ μετ' αὐτὸν Θωλὰ ἐκ φυλῆς τῆς αὐτῆς, ἔπειτα

Ἐσεβὼν ἐκ Βηθλεὲμ, καὶ μετὰ τοῦτον Αἰλὼν ἐκ φυλῆς Ζαβουλὼν, ἔπειτα Λαβδὼν ἐκ φυλῆς Ἐφραΐμ, καὶ αὖθις Σαμψὼν ἐκ φυλῆς Δὰν, ἔπειτα ἀναρχίας αὐτῶν γενομένης ἡγεῖτο αὐτῶν Ἠλεὶ ὁ ἱερεὺς ἐκ φυλῆς Λευί. 28. οὗτοι πάντες κριταὶ κρίναντες τὸν Ἰσραὴλ, οὐκ ἐκ διαδοχῆς Ἰούδα, ἐκ διαφόρων δὲ φυλῶν ἄλλοθεν ἄλλος γενόμενος· καὶ ὅ γε μετὰ τούτους πρῶτος αὐτῶν βασιλεύσας Σαοὺλ ἐκ φυλῆς ἦν Βενιαμίν. 29. πῶς οὖν τὸ "οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ" (ὡς ἂν οἰη- (371) θείη τις) ἐπὶ τοὺς ἐκ φυλῆς Ἰούδα ἄρχοντας καὶ ἡγουμένους ἀνενεχθήσεται, ὅτε φαίνονται ἀπὸ τῶν χρόνων τῆς τοῦ Ἰακὼβ τελευτῆς ὅλοις ἔτεσιν ἐγγύς που χιλίοις οὐκ ἐκ μόνης τῆς Ἰούδα φυλῆς προαχθέντες, ἀλλ' ἄλλοτε ἐξ ἄλλης, μέχρι τῶν Δαβὶδ χρόνων; εἰ δὲ μετὰ τοὺς τοσούτους ὁ Δαβὶδ οἵ τε ἐκ τῆς τούτου διαδοχῆς βασιλεύσαντες τοῦ Ἰουδαίων ἔθνους ἐκ φυλῆς γεγόνασιν Ἰούδα, ἀλλὰ χρή σε εἰδέναι ὅτι οὐδὲ ὅλοις πεντακοσίοις ἔτεσι διήρκεσαν οὗτοι τοῦ παντὸς ἔθνους βασιλεύσαντες, ἀλλὰ μόνων φυλῶν τριῶν, καὶ b οὐδὲ ὅλων τούτων, καθ' οὓς ἕτεροί τινες ἐτύγχανον τοῦ πλείονος ἔθνους καὶ ὅλων γε ἐννέα φυλῶν τὴν βασιλείαν διέποντες. 30. μετὰ γὰρ τὴν τοῦ Σολομῶνος τελευτὴν διαιρεθέντος τοῦ παντὸς ἔθνους ἐξ Ἰούδα, τοῦ Δαβὶδ διάδοχοι τριῶν, ὡς ἔφην, οὐδ' ὅλων φυλῶν ἐπὶ τῆς Ἱερουσαλὴμ ἐβασίλευον μέχρι τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας. 31. κατ' αὐτοὺς δὲ τούτους ἐπὶ τῆς Σαμαρείας οὕτω καλουμένης πόλεως τῶν ἐννέα φυλῶν ἡγούμενοι οὐκ ἐξ Ἰούδα, ἀλλ' ἐξ ἑτέρων φυλῶν ἕτεροι διετέλεσαν, ὧν πρῶτος ἦν Ἱερο- c βοὰμ ἐκ φυλῆς Ἐφραΐμ, καὶ οἱ καθεξῆς μετὰ τοῦτον, ὡς μηδ' ἐν τοῖς μεταξὺ χρόνοις τοῖς ἀπὸ Δαβὶδ ἐπὶ

τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν τοὺς ἐκ φυλῆς Ἰούδα τοῦ παντὸς ἔθνους ἡγήσασθαι. 32. τί δεῖ λέγειν ὡς μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον αὖθις ὑπὲρ τὰ πεντακόσια ἔτη μέχρι τῆς τοῦ Χριστοῦ γενέσεως διετέλεσαν πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ, τῶν μὲν κατὰ χρόνους ἀρχιερέων ἡγουμένων τοῦ ἔθνους, οὐδενὸς δὲ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς; ὥστε ἐξ ἁπάντων τούτων παρίστασθαι μὴ ἐπὶ τὸν πρῶτον ἐκεῖνον ἄνδρα τὸν Ἰούδαν, μηδὲ ἐπὶ τοὺς διαδόχους αὐτοῦ ἀναφέ-
d ρεσθαι τὸ φάσκον λόγιον "οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ," μόνως δ' ἂν συσταίη τὰ κατὰ τὸν τόπον, εἰ κατὰ τὰ πρόσθεν ἡμῖν ἀποδεδομένα περὶ τῆς φυλῆς ἁπάσης λέγεσθαι ταῦτα νοήσαιμεν. 33. αὕτη γοῦν ἐξ ἀρχῆθεν, ἐξ αὐτῶν τῶν κατὰ Μωσέα χρόνων, τοῦ παντὸς ἔθνους ἡγήσατο· κατὰ γοῦν τὴν ταύτης ἐπικράτειαν, ὡς ἂν ἀρχῆθεν ἡγεῖσθαι προκεχειρισμένης ὑπὸ τοῦ θεοῦ, Ἰουδαία τε εἰσέτι νῦν ἀπὸ τῆς φυλῆς ἥ τε χώρα ἐπικέκληται καὶ τὸ πᾶν αὐτῶν σύστημα Ἰουδαίων προσαγορεύεται. οὕτω τοίνυν νοήσαιμεν τὸ λεγόμενον
[231] ὡς εἰ σαφέστερον ἔλεγεν, οὐκ ἐκλείψει τοῦ παντὸς
(372) ἔθνους ἡγουμένη ἡ τοῦ Ἰούδα φυλή. 34. ὁ γοῦν Σύμμαχος "οὐ περιαιρεθήσεται" φησὶν "ἐξουσία ἀπὸ Ἰούδα," τὸ ἐξουσιαστικὸν δήπου καὶ ἀρχικὸν ἀξίωμα τῆς μετὰ ταῦτα ὑποστάσης τοῦ Ἰούδα φυλῆς παριστάς. ταύτης γοῦν οὔτε τὸ σκῆπτρον, ὡς ὁ Ἀκύλας φησί, βασιλικῆς δὲ τοῦτο σύμβολον ἦν ἀρχῆς, οὔτε τὴν ἐξουσίαν κατὰ τὸν Σύμμαχον περιαιρεθήσεσθαι θεσπίζει, ἕως ἂν ἔλθῃ, φησίν, ᾧ ἀπόκειται, καὶ αὐτὸν ἔσεσθαι τῶν ἐθνῶν προσδοκίαν. 35. ποίαν ταύτην προσδοκίαν ἢ τὴν πάλαι τῷ Ἀβραὰμ καὶ τοῖς μετ' αὐτὸν προπάτορσι κεχρηματισμένην; πρῶτον μὲν οὖν

θαυμάζειν ἄξιον ὅπως δώδεκα οὐσῶν τῶν παρ' Ἑβραί- b
οις φυλῶν ἐξ οὐδεμιᾶς ἄλλης ἢ ἀπὸ μόνης τῆς Ἰούδα
ἡ τοῦ ἔθνους εἰσέτι νῦν ἀνηγόρευται προσηγορία· οὐ
δι' ἕτερον ἢ διὰ τὸ τῆς προφητείας λόγιον τῇ τοῦ
Ἰούδα φυλῇ τὸ ἀρχικὸν περιάψαν ἀξίωμα. 36. ἀλλὰ
καὶ τὴν πάτριον αὐτῶν χώραν Ἰουδαίαν διὰ τὴν αὐ-
τὴν ἀποκαλεῖσθαι συμβαίνει αἰτίαν. ἐπεὶ διὰ τί μὴ
ἀπὸ τοῦ πρώτου τῶν δώδεκα, λέγω δὲ ἀπὸ τοῦ Ῥου-
βίμ, τὸ ἔθνος αὐτῶν ἐχρημάτισε, καίτοι παρὰ τῷ c
θείῳ νόμῳ τῶν πρωτοτόκων τετιμημένων; διὰ τί δὲ
μὴ ἀπὸ τῆς τοῦ Λευί, ὁμοῦ καὶ τῷ χρόνῳ καὶ τῷ τῆς
ἱερωσύνης τιμήματι τὸν Ἰούδαν παρεξάγοντος; τί δὲ
οὐχὶ μᾶλλον ἀπὸ τοῦ Ἰωσὴφ χρηματίσαι συνέβη τὸ
πᾶν ἔθνος καὶ τὴν χώραν, διὰ τὸ καὶ πάλαι πάσης
οὐ μόνον Αἰγύπτου, ἀλλὰ καὶ τῶν οἰκείων τὸ κράτος
ἀνάψασθαι τοῦτον, τούς τε ἐξ αὐτοῦ γενομένους μα-
κροῖς ὕστερον χρόνοις ἐπὶ πλεῖστον ὅσον ὅλων ἐννέα
φυλῶν τοῦ ἔθνους ἡγήσασθαι, δι' οὓς καὶ μᾶλλον
εἰκὸς ἦν τὴν τοῦ προπάτορος ἐπωνυμίαν τὸ πᾶν ἔθνος
καὶ τὴν χώραν ἐπιγράψασθαι; τίς δ' οὐκ ἂν ὁμολο-
γήσαι παρὰ τούτους ἅπαντας εὐλόγως ἂν ἐκ τοῦ Βεν- d
ιαμὶν τὴν ἐπωνυμίαν αὐτοὺς λαβεῖν, ἐπειδήπερ τῇ
τούτου φυλῇ ἡ περιβόητος αὐτῶν βασιλικὴ μητρό-
πολις ὅ τε ἐπὶ ταύτης ἁγιώτατος τοῦ θεοῦ νεὼς κε-
κλήρωτο; ἀλλ' ὅμως οὐδ' ἐκ τούτων, οὐδ' ἐξ ἑτέρας
ἢ μόνης ἐκ τῆς Ἰούδα φυλῆς, ἡ τῆς χώρας καὶ τοῦ
παντὸς ἔθνους προσηγορία διέπρεψε τῇ προφητείᾳ
ἀκολούθως. 37. οὕτω γέ τοι τὸ "οὐκ ἐκλείψει ἄρχων
ἐξ Ἰούδα" ἐπὶ τὴν φυλὴν ἡμῖν ἀνενήνεκται, καὶ μό-
νως οὕτως ἀληθῶς ἡ πρόρρησις ἀποδέδοται. ἀπὸ γοῦν
τῶν Μωσέως χρόνων καθεξῆς οὐ διέλιπον μερικοὶ μὲν
αὐτῶν ἄρχοντες, ἐκ διαφόρων, ὡς ἔφην, φυλῶν ἡγη-

(373) σάμενοι, καθόλου δὲ ἡ τοῦ Ἰούδα φυλὴ παντὸς προεστῶσα τοῦ ἔθνους. 38. παραδείγματι δὲ καταδέξῃ τὸ εἰρημένον. ὡς γὰρ ἐπὶ τῆς Ῥωμαίων ἀρχῆς οἱ μὲν κατ' ἔθνος ἐπίτροποί τε καὶ ἡγούμενοι, ἔπαρχοί τε καὶ στρατοπεδάρχαι, οἵ τε πάντων ἀνωτάτω βασιλεῖς, οὐ πάντες ἐκ τῆς Ῥωμαίων ὁρμῶνται πόλεως, οὐδ' ἀπὸ τῆς Ῥώμου καὶ Ῥωμύλου σπορᾶς, ἀλλ' ἐκ μυρίων ἄλλος ἄλλοθεν ἐθνῶν, ὅμως δὲ οἱ πάντες βασιλεῖς τε καὶ οἱ μετ' αὐτοὺς ἄρχοντες καὶ ἡγούμενοι τὴν Ῥωμαίων ἐπιγράφονται προσηγορίαν, Ῥωμαίων τε τὸ κράτος ἐπωνόμασται, καὶ ταύτης ἐξῆπται τῆς ἐπω-
b νυμίας ἡ καθόλου πάντων ἀρχή· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν καθ' Ἑβραίους χρὴ νοεῖν πραγμάτων, μιᾶς μὲν καθόλου τῆς τοῦ Ἰούδα φυλῆς κατὰ τοῦ παντὸς ἔθνους ἐπιπεφημισμένης, τῶν δὲ κατὰ μέρος ἡγουμένων τε καὶ βασιλέων ἐκ διαφόρων καθισταμένων φυλῶν, καθόλου δὲ τῇ τοῦ Ἰούδα τιμωμένων προσηγορίᾳ. λεγέσθω τοίνυν ὡς πρὸς τὴν ὅλην φυλὴν ὑπὸ τοῦ προφήτου τὸ "Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου." 39. οἶδε γὰρ αὐτὴν ἅτε προνομίας ἠξιωμένην πρὸ τῶν λοιπῶν φυλῶν τετιμῆσθαι, καὶ ἐπεὶ ἐξῆρχεν ἐν πολέμοις, καὶ μόνη τοῦ παντὸς ἔθνους
c ἡγεῖτο ἐν ταῖς πρὸς τοὺς ἐχθροὺς παρατάξεσιν, εἰκό-
[232] τως ἐπιλέγεται πρὸς αὐτὴν "αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου." εἶτα διὰ τὸ ἀρχικὸν καὶ βασιλικὸν ἀξίωμα "σκύμνος λέοντος" εἶναι λέγεται. 40. σεμνυνόμενος δὲ ὁ προπάτωρ ὁμοῦ καὶ προφήτης ἐπὶ τῷ τῆς φυλῆς ἀξιώματι προστίθησι λέγων "ἐκ βλαστοῦ υἱέ μου ἀνέβης." 41. τὸ δὲ "ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος λέοντος" τὸ γαῦρον ὁμοῦ καὶ θαρσαλέον καὶ τὸ τῶν ἔξωθεν ἐπιόντων ἀκατάπληκτον τό τε ἄφοβον καὶ τῶν ἐχθρῶν καταφρονητικὸν παρίστησι.

τοιοῦτον δὲ αὐτὸν ὄντα, μᾶλλον δὲ τοιαύτην οὖσαν d τὴν φυλὴν, τίς, φησὶν, ἀναστήσει; μέγαν τινὰ καὶ θαυμαστὸν σπάνιόν τε καὶ δυσθεώρητον ἔσεσθαι τὸν μέλλοντα ἀναστήσειν τοῦ θρόνου καὶ μεταστήσειν τοῦ ἀρχικοῦ ἀξιώματος τὴν δηλωθεῖσαν φυλὴν αἰνιξάμενος. 42. τίς δὲ ἄρα οὗτος ἦν ἑξῆς ἡμᾶς ἐφίστησι, τοῦτον εἶναι διδάσκων τὸν μέλλοντα προσδοκίαν ἔσεσθαι τῶν ἐθνῶν, ὃς οὐ πρότερον φανήσεσθαι ἐν ἀνθρώποις ἢ ἐκλείπειν καὶ ἄρχοντα καὶ ἡγούμενον μετασταθήσεσθαι, καὶ ἀπαναστήσεσθαι τῆς ἀρχῆς τὴν τοῦ Ἰούδα φυλὴν προφητεύεται. 43. τίς δ' οὗτος ἦν ἢ ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός; οὗ (374) ἐπὶ τῆς γενέσεως, ἀκολούθως τῇ προκειμένῃ προρρήσει, ἐξέλιπον μὲν ἄρχοντες καὶ ἡγούμενοι ἐξ αὐτῶν Ἰουδαίων ἐπὶ τὸ ἔθνος αὐτῶν καθιστάμενοι, ἡ δὲ τοῦ Ἰούδα φυλὴ αὐτῷ ἔθνει παντὶ τοῦ ἐξ αἰῶνος ἀρχικοῦ καὶ βασιλικοῦ ἀξιώματος καθαιρεθεῖσα, τοῖς εἰσέτι καὶ νῦν κρατοῦσιν ἐξ ἐκείνου καὶ εἰς δεῦρο δουλεύει Ῥωμαίοις, μετὰ τῶν λοιπῶν καὶ τὸ Ἰουδαίων ἔθνος χειρωσαμένοις, παρ' ὧν Ἡρώδης, πρῶτος ἐξ ἀλλοφύλου γένους ὑπάρχων ἰδίως τοῦ ἔθνους αὐτῶν, ὑπό τε Αὐγούστου καὶ τῆς Ῥωμαίων συγκλήτου βουλῆς βασιλεὺς ἀναδέδεικται. 44. ἦν γοῦν ὁ Ἡρώδης b Ἀντιπάτρου παῖς, ὁ δὲ Ἀντίπατρος Ἀσκαλωνίτης, ἔκ τινος τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἱεροδούλων καλουμένων, ὃς δὴ Κυπρίνην ὀνόματι, τὸ γένος τῶν ἐξ Ἀραβίας, γυναῖκα πρὸς γάμον ἀγαγόμενος τὸν Ἡρώδην ποιεῖται. 45. οὗτος δὴ οὖν πρῶτος ἐκ τοιούτου γένους ὁρμώμενος τὸν ἐκ διαδοχῆς τῶν ἀρχιερέων ὕστατον ἡγησάμενον Ὑρκανὸν, ἐφ' ὃν τὰ τῆς οἰκείας ἀρχῆς τοῦ Ἰουδαίων ἔθνους κατέληξεν, ἐκποδὼν μεθίστησιν ἀνελὼν, πρῶτός τε αὐτὸς, ὡς ἔφην, c

ἐξ ἀλλοφύλου γένους Ἰουδαίων ἀναγορεύεται βασιλεύς· καθ' ὃν γεννηθέντος Ἰησοῦ τοῦ Χριστοῦ καθήρητο μὲν ὁμοῦ καὶ τῆς Ἰούδα φυλῆς τὸ ἀξίωμα, καθήρητο δὲ καὶ ἡ τῶν Ἰουδαίων ἀρχή τε καὶ βασιλεία, πεπλήρωτο δὲ καὶ ἡ προτεταγμένη προφητεία "οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, φήσασα, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ," ὃν καί φησι γενήσεσθαι οὐ τοῦ Ἰουδαίων ἔθνους, ἀλλὰ τῶν ἐθνῶν προσδοκίαν. 46. *ἐπειδὴ τοίνυν ἀπέκειτο ἡ πρόπαλαι τῷ Ἀβραὰμ χρηματισθεῖσα τῆς τῶν ἐθνῶν κλήσεως προσδοκία, ὡς ἂν*
d *ἐκλελοιπότων τῶν ἐκ τοῦ Ἰουδαίων ἔθνους ἀρχόντων τε καὶ ἡγουμένων, μεταστάσης τε τῆς κατ' αὐτοὺς ἀρχῆς ἐπὶ Ῥωμαίους καὶ τὸν ἐξ ἐθνῶν δεδηλωμένον Ἡρώδην, εἰκότως ὁ μὲν εὐαγγελιστὴς Λουκᾶς, ἐπισημαινόμενος τοὺς χρόνους τῆς ἐκλείψεως τῶν Ἰουδαίων ἀρχόντων, τὴν καταρχὴν τῆς Χριστοῦ διδασκαλίας ἱστορεῖ γεγονέναι ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ Ματθαῖος δὲ τοῦτο αὐτὸ αἰνιττόμενος σημαίνει.* 47. *ὑπογράψας γοῦν τὴν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν γένεσιν ἐπιλέγει "τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες, ποῦ*
(375) *ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων;" δι' ὧν σαφῶς παρίστησι καὶ τοῦ ἀλλοφύλου τὴν κατ' αὐτῶν*
[233] *ἀρχήν, καὶ τῶν ἐξ ἀνατολῆς ἀλλοφύλων ἐθνῶν τὴν ὑπὸ τοῦ θεοῦ κλῆσιν.* 48. *ὁμοῦ τε γὰρ Ἰουδαίων ἀλλόφυλοι ἐκράτουν καὶ τὸν πάλαι προφητευόμενον*

---

23 Matth. 2, 1.

*Χριστὸν τοῦ θεοῦ ἐγίνωσκόν τε καὶ προσεκύνουν
ἀλλόφυλοι, ἐξ ἀνατολῶν ἐπιστάντες. οὐκοῦν σαφῶς
διὰ τούτων τέλος ἔχουσα τοῦ Ἰακὼβ ἡ προφητεία δεί-
κνυται, ἐπ' ἐσχάτου τῆς συστάσεως τοῦ Ἰουδαίων
ἔθνους ἀποτελεσθεῖσα, ὥσπερ οὖν αὐτὸς τοῖς ἑαυτοῦ
παισὶν ἐθέσπισεν εἰπών "συνάχθητε, ἵνα ἀπαγγείλω
ὑμῖν τί συμβήσεται ὑμῖν ἐπ' ἐσχάτου τῶν ἡμερῶν·" b
ἐσχάτας ἡμέρας νοούντων ἡμῶν τὰ ἔσχατα τῆς συ-
στάσεως τοῦ Ἰουδαίων ἔθνους. 49. τί δῆτα αὐτοῖς
ἀπαντᾶν ἔμελλεν; ἔκλειψις μὲν τῆς ἀρχῆς Ἰούδα, καὶ
τοῦ παντὸς ἔθνους αὐτῶν καθαίρεσις, παῦλά τε καὶ
λῆξις τῶν ἡγουμένων αὐτῶν, καὶ τῆς φυλῆς αὐτοῦ
τοῦ βασιλικοῦ καὶ ἀρχικοῦ ἀξιώματος κατάλυσις, Χρι-
στοῦ δὲ ἀρχὴ καὶ βασιλεία, οὐ τοῦ Ἰσραὴλ, ἀλλὰ
τῶν ἐθνῶν ἁπάντων ἄρχουσα, κατὰ τὸ "καὶ αὐτὸς
προσδοκία ἐθνῶν." 50. τίς δ' οὐκ ἂν ὁμολογήσειε
ταῦτα οὕτω σαφῶς ἐπὶ τῇ τοῦ σωτῆρος ἡμῶν ἐπι-
φανείᾳ πεπληρῶσθαι, ὅτε οἱ πάλαι πρὸ τῆς τοῦ Χρι- c
στοῦ γενέσεως ἐπ' οἰκείοις ἄρχουσι καὶ ἡγουμένοις
καὶ συνετοῖς τῶν θείων ἀναγνωσμάτων ἀκροαταῖς
βασιλεῦσί τε ἰδίοις καὶ ἀρχιερεῦσι καὶ προφήταις
λαμπρυνόμενοι, αὐτή τε ἡ τοῦ Ἰούδα φυλὴ βασιλικὴ
οὖσα, τῶν ἐχθρῶν καὶ πολεμίων ἐπικρατοῦσα, κατάρ-
χουσά τε καὶ ἡγουμένη τοῦ παντὸς ἔθνους, οἵ τε ἐν
αὐτοῖς πάλαι διαπρέποντες ἐξ ἐκείνου καὶ εἰς δεῦρο
Ῥωμαίοις ὑποτελεῖς καθεστήκασιν; ἐπεφάνη γὰρ σα-
φῶς ὁ Χριστὸς τοῦ θεοῦ, καὶ ἐξ ἐκείνου ἡ λεγομένη d
προσδοκία τῶν ἐθνῶν εἰς πάντα τὰ ἔθνη ἀνακεκή-
ρυκται. 51. ἢ λεγέτω τις, εἰ μὴ κατὰ τὴν ἐπιφάνειαν
Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν τὰ μὲν παρὰ Ἰουδαίοις
σεμνὰ, ἥ τε μητρόπολις αὐτῶν ἅμα τῷ ἱερῷ καὶ τῇ
ἐν τούτῳ συντελουμένῃ ἁγιστείᾳ μετὰ καὶ τῶν οἰκείων*

ἡγουμένων τε καὶ ἀρχόντων διαλέλοιπεν, ἀναδέδεικται δὲ ἐξ ἐκείνου τὰ τῆς ἐλπίδος καὶ προσδοκίας τῶν ἐθνῶν τῶν καθ' ὅλης τῆς οἰκουμένης, ὅτε καὶ ἐλήλυθε τὰ ἀποκείμενα τῷ κυρίῳ. 52. τίνα δὲ ἦ τὰ δηλούμενα διὰ τοῦ "Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου, σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος (376) λέοντος, τίς ἐγερεῖ αὐτόν;" ταῦτα γὰρ καθ' ἑτέραν διάνοιαν τὰ αὐτῷ ἀποκείμενα, ἃ καὶ αὐτὰ φέρε κατανοήσωμεν, πρῶτον τούτῳ ἐπιστήσαντες, ὡς διαφόροις τὸν Χριστὸν ὀνόμασι προσαγορεύειν εἰώθασιν οἱ θεῖοι χρησμοί· τοτὲ μὲν γὰρ αὐτὸν καλοῦσιν Ἰακὼβ, "Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ, Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει" καὶ τὰ ἑξῆς. 53. οἷς ἐπείρηται "ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι·" τοτὲ δὲ αὐτὸν Σολομῶνα καὶ Δαβὶδ ὀνομάζουσι· Σολομῶνα μὲν ὡς ἐν b οα' Ψαλμῷ ἐπιγεγραμμένῳ μὲν εἰς Σολομῶνα, σαφῶς δὲ τὰ περὶ τοῦ Χριστοῦ περιέχοντι. 54. τὸ γὰρ "κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης, καὶ πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ," καὶ ὅσα τούτοις ἑξῆς ὁ Ψαλμὸς περιέχει μόνῳ τῷ Χριστῷ ἁρμόζοι ἄν. 55. Δαβὶδ δὲ ἐν πη' Ψαλμῷ πάλιν ὁ Χριστὸς ἀνηγόρευται, ἐπεὶ μὴ τῷ Δαβὶδ, μόνῳ δὲ αὐτῷ κατάλληλα ἂν εἴη καὶ τὰ ἐν τούτῳ λεγόμενα, οἷον τὸ "αὐτὸς ἐπικα- c λέσεταί με, πατήρ μου εἶ σὺ, κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

---

14 Es. 42, 1. 22 Ps. 71, 8. 28 Ps. 88, 26.

εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου." 56. καὶ πάλιν "τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ [234] θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα." οὕτως οὖν μετὰ μυρίων ἄλλων τοῦ Χριστοῦ προσηγοριῶν, δι' ὧν αὐτὸν οἱ θεῖοι λόγοι σημαίνουσι, καὶ Ἰούδας ὁμοίως διὰ τῶν προκειμένων ἀνειρῆσθαι δύναται, ὅτι καὶ ἐκ τῆς Ἰούδα γέγονε φυλῆς. 57. πρόδηλον γὰρ κατὰ τὸν ἀπόστολον ὅτι ἐκ φυλῆς Ἰούδα ἀνατέταλκεν ὁ σωτὴρ καὶ κύριος ἡμῶν. τούτῳ δὴ οὖν κατὰ διάνοιαν τῷ d Ἰούδᾳ ἀποκείμενα ἦν τὰ προφητευόμενα. 58. τίνα δὲ ἦν ταῦτα; πρῶτον μὲν τὸ ἐπαινεθῆναι ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ· δεύτερον κατὰ νώτου τῶν ἐχθρῶν αὐτοῦ τὰς χεῖρας ἐπιβαλεῖν· τρίτον προσκυνηθῆναι ὑπὸ τῶν υἱῶν τοῦ πατρὸς αὐτοῦ· ἃ καὶ τέλους ἐτύγχανεν ὁπηνίκα τέως μὲν τὰς παραδόξους δυνάμεις καὶ τὰ τεράστια θαύματα ἐπιτελῶν ἐθαυμάζετο καὶ ἐπῃνεῖτο καὶ προσεκυνεῖτο πρὸς τῶν ἑαυτοῦ μαθητῶν τε καὶ ἀποστόλων, οὓς καὶ ἀδελφοὺς ἀποκαλεῖν οὐκ ὤκνει, διὰ μὲν τοῦ Ψαλμοῦ λέγων "ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε," ταῖς δὲ ἀμφὶ τὴν Μαρίαν προστάττων εὐαγγελίζεσθαι αὐτοῖς ὡς ἀδελφοῖς "ἀπαγγείλατε γάρ, φησί, τοῖς (377) ἀδελφοῖς μου ὅτι ἀνέρχομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ θεόν μου καὶ θεὸν ὑμῶν." 59. οὕτω δῆτα αὐτὸν οἱ ἀδελφοὶ τὰ μὲν πρῶτα ἐπὶ τοῖς παραδόξοις ὡς θαυμάσιον ἄνδρα μόνον ἐπῄνουν, ἕνα τινά, ὡς εἰκός, τῶν προφητῶν εἶναι ὑπειληφότες· ἐπεὶ δὲ ἐν τῷ μεταξὺ τὰς θαυμασίους παραδοξοποιίας αὐτοῦ ὁρῶντες, καὶ ὡς καθεῖλεν ἐχθρόν τε καὶ

20 Ps. 21, 22. 23 Matth. 28, 10.

ἐκδικητὴν, τόν τε θάνατον ἄρχοντα τοῦ αἰῶνος τού-
b του, ἅμα ταῖς λοιπαῖς ἀοράτοις καὶ ἐχθραῖς δυνά-
μεσι, τὸ τηνικάδε θεὸν αὐτὸν εἶναι πιστεύσαντες
προσεκύνησαν. 60. αἱ δὲ χεῖρες τοῦ σωτῆρος ἡμῶν
κατὰ νώτου τῶν ἐχθρῶν αὐτοῦ ἐγίνοντο, ὅτε πάσας
τὰς πράξεις αὐτοῦ τάς τε δυνάμεις καὶ παραδοξο-
ποιίας ἐπὶ καθαιρέσει τῶν δαιμόνων καὶ τῶν πονη-
ρῶν πνευμάτων ἐποιεῖτο. ἀλλὰ καὶ ὁπηνίκα ἐξεπέ-
τασε τὰς χεῖρας αὐτοῦ ἐπὶ τοῦ σταυροῦ, καὶ οὕτως
αἱ χεῖρες αὐτοῦ φευγόντων τῶν ἐχθρῶν καὶ τὰ νῶτα
παραχωρούντων αὐτῷ κατὰ νώτου τῶν ἐχθρῶν ἐγί-
νοντο, καὶ μᾶλλον ὅτε τὸ πνεῦμα παραδοὺς τῷ πατρὶ
c ἄσαρκος καὶ γυμνὸς οὗ ἀνειλήφει σώματος ἐπὶ τὸ τῶν
ἐχθρῶν κατῄει χωρίον, αὐτοζωὴ τυγχάνων, θάνατον
καταλύσων καὶ τὰς ἐπανισταμένας αὐτῷ δυνάμεις, ἃς
εἰκὸς κατ᾽ ἀρχὰς μὲν κοινὸν ἄνθρωπον καὶ τοῖς πολ-
λοῖς ὅμοιον αὐτὸν ὑπειληφέναι, οὕτω τε κυκλῶσαι
αὐτὸν καὶ ὡς ἂν τῷ τυχόντι ἐφορμῆσαι, ἐπεὶ δὲ ἔγνω-
σαν κρείττονα ἢ κατ᾽ ἄνθρωπον καὶ θειοτέραν φύσιν
τραπῆναι καὶ τὰ νῶτα παραχωρῆσαι αὐτῷ, καθ᾽ ὧν
τὰς χεῖρας ἀφεὶς τοῖς ἐνθέοις αὐτοῦ καὶ ἠκονημένοις
βέλεσι φεύγοντας ἤλαυνεν, ὡς διὰ τοῦτο εἰρῆσθαι
"αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου." 61. εἰ δὲ
d καὶ εἰσέτι νῦν μυρίοι τοῦ σωτῆρος ἡμῶν ἐχθροὶ τὴν
ἐκκλησίαν αὐτοῦ κατὰ καιροὺς πολεμεῖν ἐπιχειροῦ-
σιν, ἀλλὰ καὶ τούτους ἀοράτῳ χειρὶ καὶ ἐνθέῳ δυνά-
μει τροποῦται, ὡς καὶ περὶ αὐτῶν εἰρῆσθαι τὸ "αἱ
χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου." 62. ἐπειδὴ
δὲ ἤδη λοιπὸν τὰ κατὰ τῶν ἐχθρῶν νικητήρια ἀπει-
λήφει, τηνικαῦτα ἐπληροῦτο καὶ τὸ "προσκυνήσουσί
σε οἱ υἱοὶ τοῦ πατρός σου," πάντες δηλαδὴ οἱ κατ᾽
οὐρανὸν ἄγγελοι, τά τε πνεύματα τὰ λειτουργικὰ καὶ

αἱ θεῖαι δυνάμεις, οἵ τε ἐπὶ γῆς ἀπόστολοι καὶ εὐαγγελισταί, καὶ μετὰ τούτους ἅπαντες οἱ ἐξ ἐθνῶν δι᾿ αὐτοῦ τὸν ἕνα καὶ μόνον ἀληθῆ πατέρα θεὸν ἐπιγραψάμενοι, οἵτινες θεὸν λόγον ὄντα τὸν Χριστὸν μεμαθηκότες ὡς θεὸν προσκυνεῖν αὐτὸν ὁμολογοῦνται. 63. *ἀλλ᾿ ἐπεὶ ἐχρῆν καὶ τὰ τῆς γενέσεως αὐτοῦ καὶ* (378) *τὰ τοῦ θανάτου μυστήρια τῇ περὶ αὐτοῦ προφητείᾳ* [235] *συμπεριλαβεῖν, εἰκότως μετὰ τὰ προειρημένα θεσπίζων ὁ Ἰακὼβ ἐπιλέγει "σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν;" σκύμνον μὲν οὖν λέοντος αὐτὸν ὀνομάζει διὰ τὸ ἐκ βασιλικῆς αὐτὸν γεγονέναι φυλῆς.* 64. *ἐκ σπέρματος γοῦν ἦν τοῦ Δαβὶδ κατὰ σάρκα. "ἐκ βλαστοῦ δὲ ἀνέβης υἱέ* b *μου" φησίν, ἐπείπερ ἐκ σπέρματος καὶ ῥίζης τοῦ ταῦτα προαναφωνοῦντος Ἰακὼβ ἀνέφυ, πρότερον μὲν θεὸς λόγος ὤν, γενόμενος δὲ δεύτερον υἱὸς ἀνθρώπου δι᾿ ἣν ἀνεδέξατο ὑπὲρ ἡμῶν οἰκονομίαν.* 65. *εἴη δ᾿ ἂν καὶ τοῦ θανάτου αὐτοῦ δηλωτικὸν τὸ "ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος," ἐξ ἔθους τῆς γραφῆς κατά τι οἰκεῖον θεώρημα τὸν θάνατον καὶ ἐπὶ μυρίων ἄλλων κοίμησιν ἀποκαλούσης.* 66. *τὸ δὲ "τίς ἐγερεῖ αὐτόν" περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ θαυμαστικῶς εἴρηται. ἐγερθησόμενον γὰρ αὐτὸν σαφῶς οἶδεν ὁ φάσκων "τίς ἐγερεῖ αὐτόν." θαυμαστι-* c *κῶς δὲ ἐπιλέγει τὸ "τίς ἄρα ὁ τοῦτο ποιήσων καὶ ἀναστήσων αὐτόν," ἡμᾶς ἐπὶ τὸ ζητεῖν διεγείρων τίς ἂν εἴη ὁ τὸν κύριον ἡμῶν τὸν ὑπὲρ ἡμῶν θάνατον ἀναδεξάμενον ἐκ νεκρῶν ἀναστήσων.* 67. *τίς δ᾿ ἂν εἴη ἄλλος ἢ ὁ τῶν ὅλων θεὸς καὶ πατὴρ αὐτοῦ, ᾧ μόνῳ ἀναθετέον τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάστασιν, κατὰ τὴν λέγουσαν γραφὴν "ὃν ὁ πατὴρ ἤγειρεν ἐκ νε-*

κρῶν;" ἀντὶ δὲ τοῦ "σκύμνος λέοντος Ἰούδα, ἐκ βλα-
d στοῦ υἱέ μου ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης" ἐμφαντικώτατα ὁ μὲν Ἀκύλας φησὶ "σκύλαξ λέοντος Ἰούδα, ἀπὸ ἁλώσεως υἱέ μου ἀνέβης, κάμψας κατεκλίθης." 68. ὁ δὲ Σύμμαχός φησι "σκύμνος λέοντος Ἰούδα, ἐκ θηριαλώσεως υἱέ μου ἀνέβης, ὀκλάσας ἡδράσθης·" δι' ὧν σαφῶς παρίσταται ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἐξ Ἅιδου, ὥσπερ ἔκ τινος θηριαλώσεως, τοῦ σωτῆρος ἡμῶν ἀποφυγή. 69. τὸ δὲ ὀκλάσαι καὶ ἑδρασθῆναι, ἀλλὰ μὴ καταπεσεῖν, ὁμοῦ τὸν θάνατον ἔδειξε διὰ τοῦ ὀκλάσαι, καὶ τὸ μὴ ὑποσυρῆναι ὁμοίως ταῖς τῶν λοιπῶν ἀνθρώπων ψυχαῖς διὰ τοῦ ἡδράσθαι. ταῦτα μὲν οὖν πάντα προαπέκειτο τῷ Χριστῷ, πλὴν ἕως οὐδέπω τέλους ἐτύγχανε τὸ Ἰουδαίων συνειστήκει ἔθνος, καὶ οἱ ἐξ αὐτῶν ἄρχοντες καὶ ἡγούμενοι οἵ τε ἐξακριβαζόμενοι τὰς θείας συνετῶς περὶ τοῦ
(379) Χριστοῦ προφητείας διέπρεπον ἐν αὐτοῖς. 70. ἐπεὶ δὲ ἐλήλυθε τὰ ἀποκείμενα τῷ Ἰούδᾳ, ἐφάνη τε ἐπὶ γῆς ὁ προφητευόμενος ἐκ σπέρματος καὶ βλαστοῦ γενόμενος τοῦ ταῦτα τεθεσπικότος, ἀναπεσών τε καὶ κοιμηθεὶς, ἢ ὀκλάσας κατὰ τὸν Σύμμαχον, ἡδράσθη καὶ ἀνηγέρθη, τὰς χεῖρας αὐτοῦ κατὰ νώτου τῶν ἀοράτων καὶ νοητῶν ἐχθρῶν ἐπιβαλὼν, οἵ τε ἀδελφοὶ αὐτοῦ καὶ μαθηταὶ πρότερον ἐπαινοῦντες αὐτὸν καὶ θαυμάζοντες ὕστερον καὶ ὡς θεὸν ὡμολόγησαν εἶναι, καὶ ὡς θεὸν προσεκύνησαν, τηνικαῦτα ἐπληροῦτο τὰ ἀποκείμενα αὐτῷ, ὡς διὰ τοῦτο ἀνειρῆσθαι τὸ "ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ." 71. ἐξ ἐκεί-
b νου γάρ τοι καὶ εἰς δεῦρο εἰς πέρας ἐλθόντων τῶν ἀποκειμένων αὐτῷ διαλελοίπασι μὲν οἱ ἄρχοντες καὶ

---

1 1. Thess. 1, 10.

ἡγούμενοι τοῦ Ἰουδαίων ἔθνους, κατέστησάν τε ἐπὶ
κεφαλῆς αὐτῶν ἄρχοντες ἐθνῶν, ἔμπαλιν δὲ τὰ ἔθνη,
τὸν Χριστὸν ἐπιγνόντα τοῦ θεοῦ, αὐτὸν ἐπεγράψαντο
σωτῆρα καὶ προσδοκίαν. 72. μετὰ ταῦτα πάντα ἐπι-
λέγεται "δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ,
καὶ τῇ ἥλικι τὸ ὑποζύγιον τῆς ὄνου αὐτοῦ, πλυνεῖ ἐν
οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν
περιβολὴν αὐτοῦ. χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ c
οἴνου καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα."

73. Αἰνίττεσθαι δὲ ἡγοῦμαι διὰ τούτων τὸν μὲν
πῶλον αὐτὸν τὸν τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ
σωτῆρος ἡμῶν χορὸν, τὴν δὲ ἄμπελον ἐν ᾗ τὸν πῶλον
προσέδησε τὴν ἔνθεον καὶ ἀόρατον αὐτοῦ δύναμιν, [236]
ἣν αὐτὸς παριστὰς ἐδίδασκε λέγων "ἐγώ εἰμι ἡ ἄμ-
πελος ἡ ἀληθινὴ, ὁ πατήρ μου ὁ γεωργός ἐστιν."
ἕλιξ δὲ τῆς ἀμπέλου τῆς ἀποδοθείσης εἴη ἂν ἡ τοῦ
θεοῦ λόγου διδασκαλία, ἐν ᾗ τὸν πῶλον τῆς ὄνου
κατεδήσατο, τὸν νέον ἐξ ἐθνῶν λαὸν, γέννημα τυγχά-
νοντα τῶν ἀποστόλων αὐτοῦ. 74. εἴποι δ' ἄν τις καὶ
πρὸς λέξιν ταῦτα τέλους τετυχηκέναι, ὅτε κατὰ τὸν d
Ματθαῖον εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς "πο-
ρεύεσθε εἰς τὴν κατέναντι ὑμῶν κώμην, καὶ εὐθέως
εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς·
λύσαντες ἀγάγετέ μοι." 75. καὶ ἔστι γε ἀληθῶς τῷ
λόγῳ ἐπιστήσαντα ἀποθαυμάσαι τὴν τοῦ προφήτου
πρόρρησιν, τῷ θείῳ πνεύματι προτεθεωρηκότος, ὅτι
δὴ μελλήσει ὁ προφητευόμενος οὐχ οἷά τις ἐπίδοξος
ἐν ἀνθρώποις βασιλεὺς ἐφ' ἁρμάτων καὶ ἵππων ὀχή-
σεσθαι, ἀλλὰ ἐπὶ ὄνου καὶ πώλου, οἷά τις τῶν πολ-
λῶν κοινὸς ἀνὴρ καὶ πένης. 76. τοῦτο γὰρ καὶ ἄλλος

---

5 Gen. 49, 11. 14 Jo. 15, 1. 22 Matth. 21, 2.

(308) προφητῶν ἐθαύμασε φήσας "χαῖρε σφόδρα, θύγατερ
Σιὼν, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος, ἐπιβε-
βηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον." τὸ δὲ "πλυ-
νεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυ-
λῆς τὴν περιβολὴν αὐτοῦ" σκέψαι καὶ αὐτὸς μήποτε
ὡς ἐν ἀπορρήτοις τὸ μυστικὸν αἰνίττεται πάθος αὐ-
τοῦ, ἐν ᾧ τὴν στολὴν αὐτοῦ καὶ τὸ περιβόλαιον ἀπέ-
πλυνε λουτρῷ, δι' οὗ τῶν εἰς αὐτὸν πεπιστευκότων
ἀποπλύνειν τὰ παλαιὰ ῥύπη δηλοῦται. 77. διὰ γὰρ
τοῦ οἴνου, ὅπερ ἦν τοῦ αἵματος αὐτοῦ σύμβολον, τοὺς
b εἰς τὸν θάνατον αὐτοῦ βαπτιζομένους καὶ ἐπὶ τὸ αἷμα
αὐτοῦ πεπιστευκότας τῶν πάλαι κακῶν ἀποκαθαίρει,
ἀποπλύνων αὐτῶν καὶ ἀποσμήχων τὴν παλαιὰν αὐ-
τῶν στολὴν καὶ τὸ περιβόλαιον, ὥστε αὐτοὺς τῷ τιμίῳ
αἵματι τῆς ἐνθέου καὶ πνευματικῆς σταφυλῆς τῷ τε
ἐκ τῆς ἀποδοθείσης ἀμπέλου οἴνῳ λελυτρωμένους
ἀποδύσασθαι μὲν τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς
πράξεσιν αὐτοῦ, ἐνδύσασθαι δὲ τὸν νέον τὸν ἀνα-
καινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος.
78. καὶ τὸ "χαροποιοὶ αὐτοῦ οἱ ὀφθαλμοὶ ἀπὸ οἴνου·"
c καὶ τὸ "λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα" πάλιν ἀπορ-
ρήτως τῆς καινῆς τοῦ σωτῆρος ἡμῶν διαθήκης τὰ
μυστήρια ἡγοῦμαι περιέχειν. τὴν γοῦν εὐφροσύνην
τὴν ἀπὸ τοῦ μυστικοῦ οἴνου οὗ παραδέδωκεν αὐτὸς
τοῖς ἑαυτοῦ μαθηταῖς εἰπὼν "λάβετε, πίετε, τοῦτό
μού ἐστι τὸ αἷμα τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφε-
σιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν,"
δοκεῖ μοι σημαίνειν τὸ "χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ
d ἀπὸ οἴνου" καὶ τὸ "λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα"
τὸ λαμπρὸν καὶ καθαρὸν τῆς μυστηριώδους τροφῆς.

---

1 Zach. 9, 9.

79. πάλιν γὰρ αὐτὸς τὰ σύμβολα τῆς ἐνθέου οἰκονομίας τοῖς αὐτοῦ παρεδίδου μαθηταῖς, τὴν εἰκόνα τοῦ ἰδίου σώματος ποιεῖσθαι παρακελευόμενος. 80. ἐπειδὴ γὰρ οὐκέτι τὰς δι' αἱμάτων θυσίας, οὐδὲ τὰς παρὰ Μωσεῖ ἐν διαφόρων ζῴων σφαγαῖς νενομοθετημένας προσίετο, ἄρτῳ δὲ χρῆσθαι συμβόλῳ τοῦ ἰδίου σώματος παρεδίδου, εἰκότως τὸ λαμπρὸν καὶ καθαρὸν ᾐνίξατο τῆς τροφῆς, εἰπὼν καὶ "λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα." τούτου καὶ ἄλλος ἐμνημόνευσε προφήτης φήσας "θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι." 81. ἀλλὰ ταῦτα πλείονος βασάνου δεόμενα καὶ μακροτέρας ἑρμηνείας ἐπὶ σχολῆς ἄν τις βασανίσειε, τοῦ παρόντος καιροῦ τοσαῦτα εἰπεῖν ἀπαιτήσαντος εἰς τὸ παραστῆσαι μετὰ τῶν ἄλλων καὶ (381) τοὺς χρόνους τῆς τοῦ σωτῆρος ἡμῶν παρουσίας ἄνωθεν ὑπὸ τῶν πρόπαλαι προφητῶν ἐγνωσμένους τῇ θείᾳ σαφῶς παραδεδόσθαι γραφῇ.

Ἀπὸ τοῦ Δανιήλ.

II. "Καὶ ἔτι μου λαλοῦντος καὶ προσευχομένου, (237) καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρ- c τίας τοῦ λαοῦ μου Ἰσραήλ, καὶ ῥιπτοῦντος τὸν ἔλεόν μου ἔναντι κυρίου τοῦ θεοῦ μου περὶ τοῦ ὄρους τοῦ ἁγίου τοῦ θεοῦ μου, καὶ ἔτι μου λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ὁ ἀνὴρ Γαβριήλ, ὃν εἶδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετόμενος, καὶ ἥψατό μου ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς, καὶ συνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπε, Δανιήλ, νῦν ἐξῆλθον συμβιβάσαι σε σύνε- d σιν. 2. ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος,

10 Ps. 40, 6. 19 Dan. 9, 20.

καὶ ἐγὼ ἦλθον ἀναγγεῖλαί σοι ὅτι ἀνὴρ ἐπιθυμιῶν σὺ εἶ, καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. 3. ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τοῦ συντελεσθῆναι ἁμαρτίαν καὶ τοῦ σφραγίσαι ἁμαρτίας καὶ τοῦ ἀπαλεῖψαι τὰς ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας καὶ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. 4. καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο, καὶ
(382) ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ τεῖχος, καὶ κενωθήσονται οἱ καιροί, καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξηκονταδύο ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ, καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς, καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία, καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν
b βδέλυγμα τῶν ἐρημώσεων ἔσται, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν."

5. Τῆς τοῦ Ἰουδαίων ἔθνους εἰς Βαβυλῶνα ἑβδομηκονταετοῦς αἰχμαλωσίας εἰς πέρας ἤδη συνελαυνούσης, τῷ Δανιὴλ εὐξαμένῳ εἷς τῶν ἁγίων λειτουργῶν τοῦ θεοῦ Γαβριὴλ ὁ ἀρχάγγελος ἐπιφανεὶς τὴν ἀνανέωσιν τῆς Ἱερουσαλὴμ αὐτίκα τότε καὶ οὐκ εἰς μακρὰν ἔσεσθαι θεσπίζει, τόν τε μετὰ τὴν ἀνανέωσιν αὐτῆς χρόνον εἰς ἐτῶν ἀριθμὸν περιορίζει, προλέγει
c τε ὡς μετὰ τὴν ὡρισμένην προθεσμίαν αὖθις καθαιρεθήσεται, καὶ ὡς τὴν δευτέραν ὑπομείνασα ἅλωσιν

καὶ πολιορκίαν οὐκέτι τῆς ἐκ θεοῦ τεύξεται ἐπισκοπῆς, μενεῖ δὲ ἔρημος, συγκαθαιρουμένης αὐτῇ τῆς κατὰ τὸν Μωυσέως νόμον λατρείας, ἑτέρας δὲ ἀντ' ἐκείνης τῷ βίῳ τῶν ἀνθρώπων καινῆς διαθήκης ἀντεισαχθησομένης. 6. καὶ ταῦτα ὁ Γαβριὴλ ὡς ἐν χρησμοῖς ἐπικεκρυμμένως ἐκφαίνειν ὁμολογεῖ τῷ προφήτῃ. 7. φησὶν οὖν αὐτῷ Δανιὴλ, νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν, ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος, κἀγὼ ἦλθον ἀναγγεῖλαί σοι ὅτι ἀνὴρ ἐπιθυμιῶν σὺ εἶ, καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ," σαφῶς διεγείρων αὐτὸν εἰς βαθυτέραν ἔν- d νοιαν καὶ σύνεσιν τῆς τῶν λεγομένων θεωρίας. ὀπτασίαν γοῦν αὐτά γέ φησι διὰ τὸ βαθυτέρας ἔχεσθαι διανοίας καὶ οὐ τῆς τυχούσης συνέσεως δεῖσθαι. 8. διόπερ καὶ αὐτοὶ τὸν δωρούμενον σύνεσιν ἀνθρώποις [238] ἐπικαλεσάμενοι εὐξάμενοί τε ὑπ' αὐτοῦ φωτισθῆναι τοὺς τῆς διανοίας ὀφθαλμοὺς, ἐπιθαρρήσωμεν τῇ κατὰ τοὺς τόπους θεωρίᾳ. "ἑβδομήκοντα, φησὶν, ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, τοῦ συντελεσθῆναι ἁμαρτίαν καὶ τοῦ σφραγίσαι ἁμαρτίας καὶ ἀπαλεῖψαι τὰς ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων." 9. ὅτι (383) τῶν ἑβδομήκοντα ἑβδομάδων ὁ χρόνος ἐν ἔτεσιν ἀναλυόμενος ἐνενήκοντα πρὸς τοῖς τετρακοσίοις ἀριθμὸν συνάγει παντί που δῆλον. τοσοῦτος τοιγαροῦν συνετμήθη χρόνος ἐπὶ τὸν λαόν σου, τὸ πᾶν συμπέρασμα τοῦ Ἰουδαίων περιορίζων ἔθνους. 10. καὶ οὐκέτι γε αὐτοὺς ἐν τούτοις θεοῦ λαὸν προσαγορεύει, ἀλλὰ τῷ Δανιὴλ φησι, λαόν σου· ὥσπερ γὰρ ἀσεβήσαντά ποτε καὶ εἰδωλολατρήσαντα ἐπὶ τῆς ἐρήμου οὐκέτι λαὸν

ἑαυτοῦ ὁ θεὸς, ἀλλὰ τοῦ Μωσέως προσεῖπε, φήσας
"βάδιζε, κατάβηθι, ἠνόμησε γὰρ ὁ λαός σου·" τὸν
b αὐτὸν τρόπον κἀνταῦθα τοῦ περιωρίσθαι κατ' αὐτῶν
τὸν δηλωθέντα χρόνον τὸ αἴτιον ἐκδιδάσκει· τοῦτο
δ' ἦν τὸ μηκέτι τοῦ θεοῦ λαὸν αὐτοὺς καταξιοῦσθαι
χρηματίζειν. 11. ἐπιλέγει δὲ "καὶ ἐπὶ τὴν πόλιν τὴν
ἁγίαν," τὸ σοῦ πάλιν ἐξακουόντων ἡμῶν κατὰ κοινοῦ,
ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον "ἐπὶ τὸν λαόν σου
καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, ὡς εἰ ἔφασκε, τήν
σοι νενομισμένην ἁγίαν. τὸ γοῦν Ἑβραϊκὸν καὶ οἱ
λοιποὶ συμφώνως ἑρμηνευταὶ οὐ μόνον ἐπὶ τοῦ λαοῦ,
c ἀλλὰ καὶ ἐπὶ τῆς πόλεως τὸ σοῦ προσκείμενον περιέ-
χουσιν. ὁ γοῦν Ἀκύλας φησὶν "ἐπὶ τὸν λαόν σου
καὶ ἐπὶ πόλιν ἡγιασμένην σου·" ὁ δὲ Σύμμαχος "κατὰ
τοῦ λαοῦ σου καὶ τῆς πόλεως τῆς ἁγίας σου." 12.
ὅθεν καὶ παρὰ τοῖς ἀκριβέσιν ἀντιγράφοις τῶν ἑβδο-
μήκοντα τὸ σοῦ μετὰ ἀστερίσκου παραθέσεως πρόσ-
κειται. 13. ἐπεὶ γὰρ εὐξάμενος Δανιὴλ ἐν τοῖς τῆς
ἱκεσίας αὐτοῦ ῥήμασι πολλάκις τὸν μὲν λαὸν θεοῦ
λαὸν ὠνόμασε, τὸν δὲ τῆς πόλεως τόπον ἅγιον τοῦ
d θεοῦ τόπον, ἀντιστρέψας ὁ χρηματίζων οὔτε τὴν
πόλιν ἁγίαν τοῦ θεοῦ οὔτε τὸν λαὸν τοῦ θεοῦ εἶναι
ὁμολογεῖ, ἀλλὰ σοῦ, φησὶ, τοῦ προσευχομένου καὶ
τοιαῦτα περὶ τοῦ λαοῦ καὶ τοῦ τόπου καὶ τῆς πόλεως
εἰρηκότος. ἔχουσι δὲ τοῦ Δανιὴλ αἱ φωναὶ οὕτως
"ἀποστραφήτω δὴ ὁ θυμός σου, καὶ ἡ ὀργή σου ἀπὸ
τῆς πόλεώς σου Ἱερουσαλὴμ ὄρους ἁγίου σου." 14.
καὶ "ὁ λαός σου ἐγένετο εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς
περικύκλῳ ἡμῶν." καὶ πάλιν "ἐπίφανον τὸ πρόσω-
πόν σου ἐπὶ τὸ ἁγίασμά σου τὸ ἔρημον." καὶ αὖθις

---

2 Ex. 32, 7. 26 Dan. 9, 16.

"ἴδε τὸν ἀφανισμὸν τῆς πόλεώς σου, ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ' αὐτῆς," καὶ ἑξῆς "ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ τὴν πόλιν σου καὶ ἐπὶ τὸν λαόν σου." 15. τοιαῦτα εὐξάμενος ἐπιλέγει "καὶ ἔτι μου λαλοῦντος καὶ προσευχομένου, ἰδοὺ Γαβριὴλ ὃν εἶδον ἐν τῇ ὁράσει μου πετόμενος, καὶ ἥψατό μου," καὶ εἶπε τὰ ἀναγεγραμμένα· σαφῶς οὖν διὰ τούτων (384) ὁ μὲν προφήτης πόλιν οὐχ ἁπλῶς, ἀλλὰ τοῦ θεοῦ πόλιν ὠνόμασε, καὶ τὸ ἁγίασμα τοῦ θεοῦ ἁγίασμα, καὶ τὸν λαὸν τοῦ θεοῦ λαόν, διαθέσει τῇ πρὸς τὸν λαόν. 16. οὐκέτι μὴν καὶ ὁ Γαβριὴλ ὁμοίως αὐτῷ καλεῖ τὰ δηλούμενα, ἔμπαλιν δὲ ἐπὶ τὸν λαόν σου φησί, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, μονονουχὶ καὶ τὴν πόλιν καὶ τὸν λαὸν καὶ τὸ ἁγίασμα ἀνάξιον εἶναι τῆς τοῦ θεοῦ προσηγορίας ἀποφήνας. 17. τοσοῦτον δὴ οὖν χρόνον ὡρίσθαι κατὰ τοῦ λαοῦ πρῶ- b τον ἔπειτα καὶ κατὰ τῆς πόλεως διδάσκει, καὶ τοσοῦτός γε ὢν ἀποδείκνυται ἀπὸ τῆς ἀνανεώσεως τῆς Ἱερουσαλὴμ, ὃ γέγονεν ἐπὶ Δαρείου τοῦ Περσῶν βασιλέως, μέχρι τῆς Αὐγούστου Ῥωμαίων ἐπικρατήσεως, Ἡρώδου τε Ἰουδαίων βασιλέως ἀλλοφύλου τὸ γένος, καθ' οὓς τὰ τῆς γενέσεως ἱστορεῖται τοῦ σωτῆρος ἡμῶν, ὡς ὁ λόγος προϊὼν ἐπιδείξει. 18. ἑξῆς δὲ ἐπι- [239] λέγει "τοῦ συντελεσθῆναι ἁμαρτίαν καὶ τοῦ σφραγίσαι ἁμαρτίας καὶ ἀπαλεῖψαι ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ c χρῖσαι ἅγιον ἁγίων." ἀντὶ μὲν οὖν τοῦ "συντελεσθῆναι ἁμαρτίαν καὶ τοῦ σφραγίσαι ἁμαρτίας" ὁ Ἀκύλας πεποίηκε "τοῦ συντελέσαι τὴν ἀθεσίαν καὶ τοῦ τελειῶσαι ἁμαρτίαν." 19. τὸ γὰρ "πληρώσατε τὸ

31 Matth. 23, 32.

μέτρον τῶν πατέρων ὑμῶν" εἰρημένον ὑπὸ τοῦ σω-
τῆρος ἡμῶν πρὸς τοὺς ἐκ περιτομῆς καὶ διὰ τούτων
οἶμαι παρίστασθαι. ἐπὶ γὰρ τῆς κατ' αὐτοῦ τολμηθεί-
σης τοῦ Ἰουδαίων ἔθνους ἐπιβουλῆς συνετελέσθη αὐ-
τῶν ἡ ἁμαρτία καὶ ἡ πρὸς τὸν θεὸν κατὰ τὸν Ἀκύλαν
ἀθεσία τέλος εἴληφε. 20. πάλαι μὲν γὰρ πρότερον
ἔφερεν αὐτοὺς ἡ τοῦ θεοῦ μακροθυμία μυρία ὅσα
πλημμελοῦντας πρὸ τῆς τοῦ σωτῆρος ἡμῶν παρου-
d σίας, ὥσπερ οὖν διὰ τῶν προφητικῶν ἀποδείκνυται
λόγων· πλὴν ἀλλ' ὥσπερ ἐπὶ τῶν πάλαι τὴν γῆν τῆς
ἐπαγγελίας οἰκούντων ἀλλοφύλων εἴρητο τῷ Ἀβραὰμ
"οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορ-
ραίων," καὶ εἰ μηδέπω ἦσαν ἐκπεπληρωμέναι, οὐκ
ἠλαύνοντό πω οἱ Ἀμορραῖοι τῆς πατρῴας γῆς, ἐπεὶ
δὲ ἐπληρώθησαν αἱ ἁμαρτίαι αὐτῶν, τηνικαῦτα πάν-
τες ἐξωλοθρεύθησαν ἐπὶ τῶν Ἰησοῦ τοῦ Μωυσέως δια-
δόχου χρόνων· οὕτω καὶ ἐπὶ τοῦ προτέρου νοήσεις
λαοῦ· ἕως μὲν γὰρ οὐκ ἐπληροῦντο αὐτῶν αἱ ἁμαρ-
τίαι, ἡ τοῦ θεοῦ ἀνοχὴ καὶ μακροθυμία ἔφερεν αὐ-
(385) τούς, εἰς ἐπιστροφὴν ἑκάστοτε προσκαλουμένη διὰ
τῶν προφητῶν· ἐπεὶ δὲ κατὰ τὴν σωτήριον φωνὴν
ἐπλήρωσαν τὸ μέτρον τῶν πατέρων αὐτῶν, οὕτω δ'
ἂν πάντα συναχθέντα κατὰ τὸ αὐτὸ τὸν ἔσχατον αὐ-
τοῖς κατειργάσατο ὄλεθρον, ὥσπερ οὖν πάλιν αὐτὸς
ὁ κύριος ἡμῶν διδάσκει λέγων "πᾶν αἷμα ἐκχυθὲν
ἀπὸ καταβολῆς κόσμου, ἀπὸ αἵματος Ἄβελ τοῦ δικαίου
ἕως αἵματος Ζαχαρίου, ἥξειν ἐπὶ τὴν γενεὰν ταύτην."
21. τὸ γοῦν ἔσχατον ἁπάντων τὰς χεῖρας ἐπιβαλεῖν
τῷ υἱῷ τοῦ θεοῦ τολμήσαντες "ἐτέλεσαν τὴν ἀθεσίαν
καὶ ἐτελείωσαν τὴν ἑαυτῶν ἁμαρτίαν" κατὰ τὴν Ἀκύ-

12 Gen. 15, 16. 25 Matth. 23, 35.

λου ἑρμηνείαν, κατὰ δὲ τοὺς ἑβδομήκοντα "ἐδέθη b αὐτῶν καὶ ἐσφραγίσθη ἡ ἁμαρτία." 22. ἀλλὰ ἐπεὶ μὴ μόνον εἰς πτῶσιν, ἀλλὰ καὶ εἰς ἀνάστασιν πολλῶν ἐλήλυθεν ἐν τῷ Ἰσραὴλ, καθά φησι περὶ αὐτοῦ "ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ," εἰκότως τοῖς εἰρημένοις ἑξῆς ἐπιλέγει ὁ Δανιὴλ τὸ "καὶ τοῦ ἀπαλεῖψαι ἁμαρτίας καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας." 23. διὰ γὰρ τὸ ἀδύνατον εἶναι αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας, δεῖσθαι δὲ πᾶν τὸ τῶν ἀνθρώπων γένος ἱλασμοῦ ζῶντος καὶ c ἀληθινοῦ, οὗ τύπον ἔφερε τὸ παρὰ Μωσεῖ κατασκευασθὲν ἱλαστήριον, οὗτος δὲ ἦν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ὁ ἀμνὸς τοῦ θεοῦ, περὶ οὗ εἴρηται "ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου·" 24. καὶ πάλιν "αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου," αὐτὸς ὢν καὶ ἀπολύτρωσις, κατὰ τὸν Παῦλον φάσκοντα "ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις·" εἰκότως τὴν παρουσίαν αὐτοῦ ὁμοῦ μὲν συμπλήρωσιν καὶ τελείωσιν ἁμαρτίας εἶναι διδάσκει τῶν εἰς αὐτὸν ἠσεβηκότων, ὁμοῦ δὲ ἀπάλειψιν καὶ d καθαρισμὸν ἁμαρτιῶν, καὶ ἀδικιῶν ἱλασμὸν τῶν εἰς αὐτὸν πεπιστευκότων. 25. καὶ ὁ Ἀκύλας δὲ "τοῦ τελέσαι τὴν ἀθεσίαν καὶ τοῦ τελειῶσαι τὴν ἁμαρτίαν" εἰπὼν ἐπήγαγε τὸ τοῦ ἐξιλάσασθαι ἀνομίαν," σαφῶς ἱλασμὸν αὐτὸν εἶναι πάσης ἀνομίας τῆς πάλαι κατὰ ἄγνοιαν γενομένης ὑποτιθέμενος. ἑξῆς τούτοις εἴρηται "τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον." 26. ἔστι μὲν [240]

---

5 Luc. 2, 34. 7 Heb. 10, 4. 13 1. Jo. 2, 2. 18 1. Cor. 1, 30.

οὖν αὐτὸς ὁ τοῦ θεοῦ λόγος αἰώνιος δικαιοσύνη, ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, κατὰ τὸν ἀπόστολον. πλὴν ἀλλὰ σὺν τῇ ἑαυτοῦ παρουσίᾳ καὶ πᾶσιν ἀνθρώποις προυξένησε δικαιοσύνην, ἔργοις ἐπιδείξας ὅτι "μὴ (386) μόνον Ἰουδαίων ἐστὶν ὁ θεὸς, ἀλλὰ καὶ ἐθνῶν, ἐπείπερ εἷς ὁ θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως." 27. ὅθεν τοὺς ἀμφὶ τὸν Κορνήλιον τοῦ ἁγίου πνεύματος ἠξιωμένους ἀποθαυμάσας ὁ Πέτρος "ἐπ' ἀληθείας, φησὶν, οἶδα ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστί." 28. καὶ ὁ Παῦλος δὲ τὸ εὐαγγέλιον δικαιοσύνης εἶναί φησι, λέγων "δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, b Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται." καὶ ἐν Ψαλμοῖς δὲ εἴρηται περὶ τοῦ Χριστοῦ "ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης." 29. καὶ τὸ ἔργον δὲ αὐτοῦ ὡς ἀληθῶς θεοῦ δικαιοσύνην ἐνεδείξατο, τὸ πᾶν γένος ἀνθρώπων ἐξ ἴσου τῆς παρὰ τῷ θεῷ καταξιώσαντος κλήσεως. ἀλλ' οὐ τοιαῦτα ἦν τὰ διὰ Μωσέως, ἑνὶ δὲ μόνῳ τῷ Ἰουδαίων ἔθνει δεδωρημένα· διὸ καὶ πρὸς καιρὸν φανέντα παρελήλυθεν. ἡ c δὲ διὰ τοῦ σωτῆρος ἡμῶν κατηγγελμένη δικαιοσύνη, διαμένουσα εἰς τὸ διηνεκὲς, εἰκότως αἰώνιος προσηγόρευται δικαιοσύνη, κατὰ τὸν Γαβριὴλ φήσαντα "καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον." 30. ἀντὶ δὲ τοῦ "καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην" κυριώ-

6 Rom. 3, 29. 10 Act. 10, 34. 14 Rom. 1, 16
18 Ps. 72, 7.

τερόν μοι δοκεῖ πεποιηκέναι ὁ Ἀκύλας εἰπὼν "καὶ τοῦ τελέσαι ὁραματισμὸν καὶ προφήτην." οὐ γὰρ ἀποκλεῖσαι καὶ ὥσπερ σφραγίσαι τὰς προφητικὰς ὁράσεις ἐπιδεδήμηκεν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ὅς γε καὶ πάλαι οὔσας ἀσαφεῖς καὶ κατεσφραγισμένας ὥσπερ ἐπικειμένας περιελὼν σφραγῖδας, ἀνέῳξέ τε καὶ ἀνή- d
πλωσε, τοῖς ἑαυτοῦ μαθηταῖς τὸν νοῦν τῶν θείων παραδιδοὺς γραμμάτων. 31. ὅθεν "ἰδού, φησίν, ἐνίκησεν ὁ λέων ὁ ἐκ φυλῆς Ἰούδα, καὶ αὐτὸς ἤνοιξε τὰς σφραγῖδας τὰς ἐπικειμένας τῷ βιβλίῳ," κατὰ τὴν Ἀποκάλυψιν Ἰωάννου. ποίας δὲ σφραγῖδας ἢ τῶν προφητῶν τὰς ἀσαφείας; ἃς εὖ μάλα ἐπιστάμενος ἀκριβῶς καὶ ὁ Ἡσαΐας ἔλεγε "καὶ ἔσονται οἱ λόγοι οὗτοι ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου." 32. οὐκ ἄρα τοῦ ἀποκλεῖσαι ὅρασιν καὶ προφήτην ἐλήλυθεν ὁ Χριστὸς τοῦ θεοῦ, μᾶλλον δὲ ἀναπετάσαι καὶ εἰς φῶς ἀγαγεῖν. ὅθεν δοκεῖ μοι κυριώτερον ὁ Ἀκύλας φάναι "τοῦ τελέσαι ὁραματισμὸν καὶ προφήτην." 33. ὃ καὶ συνᾴδει τῷ "οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι, πρὸς αὐτοῦ τοῦ σωτῆρος εἰρημένῳ. "τέλος γὰρ νόμου Χριστὸς, (387)
καὶ πᾶσαί γε αἱ περὶ αὐτοῦ προφητεῖαι ἀπλήρωτοι καὶ ἀτελεῖς ἔμενον εἰς ὅτ' αὐτὸς ἐπιστὰς ἐπιτέθεικεν ἅπασι τέλος τοῖς περὶ αὐτοῦ προαναπεφωνημένοις. 34. δύναται δὲ καὶ κατὰ τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν τοιαύτην ἔχειν διάνοιαν τὸ "τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην," ἐπεὶ ὁ νόμος καὶ οἱ προφῆται μέχρις Ἰωάννου διήρκεσαν, ἐξ ἐκείνου τε διαλελοίπασιν οἱ πάλαι παρὰ τῷ Ἰουδαίων ἔθνει πνευματο-

---

10 Apoc. 5, 5. 13 Es. 29, 11. 19 Matth. 5, 17.
21 Rom. 10, 4.

φορούμενοι καὶ τὰς περὶ Χριστοῦ προρρήσεις ἀνακη-
b ρύττοντες, καὶ οἱ τὰς ἐν τοῖς ἱεροῖς λόγοις ὁράσεις
ὑγιῶς ἐποπτεύοντες, οἳ καὶ ἅτε ἀποκλεισθείσης αὐ-
τῆς τῆς θείας χάριτος καὶ σφραγῖσιν ὥσπερ καταδε-
θείσης ἐξέλιπον· διὸ συμβαίνει ἐξ ἐκείνου μηκέτι
προφήτην ἐνεργεῖν μηδὲ ὁρῶντα χρηματίζειν ἐν αὐ-
τοῖς, ἀπὸ τῶν δηλουμένων χρόνων καὶ εἰς ἡμᾶς τού-
των ἁπάντων διαλελοιπότων. 35. τούτοις ἐπιφέρει
[241] "καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων." καὶ τοῦτο δὲ αὐτόθεν
πρόδηλον ὡς μέχρι τῶν τοῦ σωτῆρος ἡμῶν χρόνων
ἅγιοι ἁγίων οἱ παρ' Ἑβραίοις ἀρχιερεῖς ἐχρίοντο,
κατὰ τὴν κατὰ τὸν τοῦ Μωσέως νόμον ἐπιτελουμένην
c ἁγιστείαν· ἐξ ἐκείνου δὲ καὶ οὗτοι διαλελοίπασι κα-
ταλλήλως τῇ προφητείᾳ. 36. ἡ μὲν οὖν τοῦ Ἰακὼβ
πρὸς τὸν Ἰούδαν ἀναφώνησις ἡγουμένων καὶ ἀρχόν-
των τοῦ Ἰουδαίων ἔθνους ἔκλειψιν ἐδήλου κατὰ τὰ
προτεταγμένα. 37. ἐπειδὴ δὲ τὰ τῆς προστασίας τοῦ
λαοῦ προφητῶν καὶ ἱερέων πάλαι πρότερον ἤρτητο,
ἀκολούθως προθεσπίσας ὁ λόγος διὰ τῆς προπαρατε-
θείσης προφητείας τὴν τῶν ἀρχόντων καὶ ἡγουμένων
τοῦ Ἰουδαίων ἔθνους καθαίρεσιν ἐπὶ τῇ τοῦ Χριστοῦ
d παρουσίᾳ, διὰ τῆς μετὰ χεῖρας προφητείας τὴν τῶν
προφητῶν καὶ τῶν ἱερέων τῶν παρ' αὐτοῖς πάλαι
διαπρεπόντων ἔκλειψιν ἀναφωνεῖ, ὡς καὶ τούτων ἐπὶ
τῇ τοῦ Χριστοῦ ἐπιφανείᾳ διαλειψόντων, ὃ καὶ αὐτὸ
τοῖς ἔργοις ἡ παρουσία τοῦ σωτῆρος ἡμῶν ἐπιστώ-
σατο. 38. ἐπεὶ δὲ ὁ Ἀκύλας "τοῦ ἀλεῖψαι ἡγιασμένον
ἡγιασμένων" ἐξέδωκεν, οἰήσεται μέν τις τὸν πάλαι
παρὰ Ἰουδαίοις ἀρχιερέα δηλοῦσθαι, τῶν μὲν τούτῳ
ὑποβεβηκότων πολλῶν ἱερέων ἁγίων προσαγορευομέ-
νων, ἁγίου δὲ ἁγίων μόνου τοῦ ὑπὲρ πάντας ἀρχιε-
ρέως, ἐπειδὴ τοῦτο καὶ προχείρως νοούμενόν ἐστιν

ἀληθές. 39. μέχρι γὰρ τῶν τοῦ σωτῆρος ἡμῶν χρόνων οἱ ἀνέκαθεν κατὰ διαδοχὴν ἀρχιερεῖς ὁμοῦ καὶ τοῦ παντὸς ἡγοῦντο λαοῦ, καὶ τὰ τῆς τοῦ θεοῦ θεραπείας (388) ἀκολούθως τῇ παρὰ Μωσεῖ νενομοθετημένῃ λατρείᾳ διαρκῶς ἐπετέλουν· ἀπὸ δὲ τῶν τοῦ σωτῆρος ἡμῶν χρόνων πρῶτον μὲν συνεχύθη καὶ ἡ κατὰ τούτους τάξις, μικρὸν δὲ ὕστερον καὶ παντελῶς ἀπέσβη. 40. ἀλλ' ἔγωγε τῆς θείας γραφῆς οὐδαμοῦ εὑρὼν τὸν παρὰ Ἰουδαίοις ἀρχιερέα ἅγιον ἁγίων ὠνομασμένον, ἡγοῦμαι ἐν τούτοις μόνον αὐτὸν τὸν μονογενῆ τοῦ θεοῦ λόγον δηλοῦσθαί τε κυρίως καὶ ἀληθῶς ταύτης ἄξιον τῆς ἐπωνυμίας. τοῖς μὲν γὰρ ἐξ ἀνθρώπων προκεκοφόσι καὶ εἰς τὸ ἐφικτὸν ἀρετῆς χωρήσασιν b ἀγαπητὸν ἁγίοις ποτὲ χρηματίσαι, μετὰ μετοχὴν καὶ μετουσίαν τοῦ φήσαντος "ἅγιοι ἔσεσθε, ὅτι ἅγιος ἐγὼ κύριος·" 41. ἁγίων δὲ ἅγιος τίς ἂν κυρίως ἐν ἀνθρώποις ὀνομασθείη ἢ μόνος ὁ ἠγαπημένος τοῦ ἁγίου παῖς, ὥσπερ βασιλεὺς βασιλέων καὶ κυρίων κύριος, οὕτω καὶ ἁγίων ἅγιος ἀνηγορευμένος; μόνῳ γοῦν αὐτῷ, ἅτε διαφερόντως παρὰ τοὺς πώποτε Μωσέως ἐλαίῳ γεώδει καὶ σκευαστῷ κεχρισμένους, εἴρητο "ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως c παρὰ τοὺς μετόχους σου." 42. ᾧ χρισθεὶς ἐξ ἰδίου προσώπου καὶ αὐτός φησιν ἐν Ἡσαΐᾳ "πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με." ἐπεὶ οὖν διαφέροντι καὶ πνευματικῷ, μᾶλλον δὲ θεότητος χρίσματι μόνος παρὰ τοὺς πώποτε ὁ ἡμέτερος σωτὴρ κεχρῖσθαι μεμαρτύρηται, εἰκότως ἅγιος ἁγίων, ὡς ἄν τις εἴποι, ἀρχιερεὺς ἀρχιερέων ὠνόμασται καὶ ἡγιασμένος ἡγια-

---

15 Levit. 19, 2. 22 Heb. 1, 9. 25 Es. 61, 1.

a σμένων κατὰ τὸν τοῦ Γαβριὴλ χρησμόν. 43. ταῦτα δὲ πάντα συμπεραιουμένων τῶν ἑβδομήκοντα ἑβδομάδων τέλος ἐλάμβανεν οὐκ ἄλλοτε ἢ ἐπὶ τῶν χρόνων τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας. ἐπειδὴ τοίνυν ταῦθ᾽ οὕτως ἔσεσθαι ὁ προδηλωθεὶς ἄγγελος κεφαλαιωδῶς ἐθέσπιζε τῷ προφήτῃ, αὖθις ἐπαναλαμβάνει τὸν περὶ τῶν ἑβδομήκοντα ἑβδομάδων λόγον, διδάσκων κατὰ μέρος ἕκαστα ἀκριβῶς ὅθεν ἀπάρχεσθαι δεῖ τῆς τῶν χρόνων ἀπαριθμήσεως, καὶ τίνα κατὰ τοὺς δηλουμένους καιροὺς ἀπαντήσεται. 44. λέγει δ᾽ οὖν "καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ, ἑβδο-
[242] μάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο, καὶ ἐπιστρέ-
(389) ψει, καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ τεῖχος." ἐν οἷς δοκεῖ μοι καλῶς ἔχειν καὶ τὴν τοῦ πρὸ ἡμῶν εἰς τοὺς τόπους θεωρίαν μὴ ἀποκρύψασθαι, παραθεῖναι δὲ καὶ ταύτην ὡς οἰκείαν τοῖς ἐντευξομένοις. κοινὰ γοῦν καλῶς εἴρηται τὰ τῶν φίλων. 45. καὶ ἐπειδὴ προσήκει συγχρῆσθαι μὲν εὐγνωμονοῦντας τοῖς καλῶς ὑφ᾽ ἑτέρων εἰρημένοις, μὴ μὴν ἀποστερεῖν τοὺς πατέρας τῶν ἐκγόνων, μηδὲ τοὺς πρώτους φύντας τῶν οἰκείων σπερμάτων, τὰς αὐτοῦ παραθήσομαι λέξεις. 46. φέρονται δὲ αὗται Ἀφρικανοῦ ἐν τῷ πέμπτῳ τῶν
b Χρονογραφιῶν, τοῦτον ἔχουσαι τὸν τρόπον·

"Ἡ μὲν οὖν περικοπὴ οὕτω πως ἔχουσα πολλά τε καὶ παράδοξα σημαίνει· νῦν δὲ ὧν χρεία περὶ τοὺς χρόνους καὶ τὰ τούτοις συντείνοντα τὸν λόγον ποιησόμεθα. 47. ὅτι μὲν οὖν περὶ τῆς τοῦ Χριστοῦ παρουσίας λέγεται ταῦτα μετὰ ἑβδομάδας ἑβδομήκοντα μέλλοντος ἐπιφαίνεσθαι δῆλον. ἐπὶ γὰρ τοῦ σωτῆρος, ἢ ἀπὸ τούτου, τά τε παραπτώματα παλαιοῦται καὶ αἱ ἁμαρτίαι συντελοῦνται· διὰ δὲ τὴν ἄφεσιν αἳ

τε ἀνομίαι ἐξιλασμῷ μετὰ τῶν ἀδικιῶν ἐξαλείφονται, c δικαιοσύνη τε αἰώνιος καταγγέλλεται παρὰ τὴν ἐκ νόμου, ὁράσεις τε καὶ προφητεῖαι μέχρις Ἰωάννου, χρίεται δὲ ἅγιος ἁγίων. πρὸ γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν παρουσίας οὐκ ὄντα ταῦτα προσεδοκᾶτο μόνον. 48. ἄρξασθαι δὲ τῶν ἀριθμῶν, τουτέστι τῶν ἑβδομήκοντα ἑβδομάδων, ἅ ἐστιν ἔτη τετρακόσια ἐνενήκοντα, ὁ ἄγγελος ὑποτίθεται, ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ· συνέβη δὲ ταῦτα ἐπὶ Ἀρταξέρξου τοῦ Περσῶν βασιλεύοντος εἰκοστῷ ἔτει. Νεεμίας γὰρ ὁ τούτου οἰνοχόος δεηθεὶς ἀποκρίσεως ἔτυχεν οἰκοδομηθῆναι Ἱερουσαλὴμ, d καὶ λόγος ἐξῆλθε κελεύων ταῦτα. μέχρι μὲν γὰρ ἐκείνου τοῦ χρόνου ἡ πόλις ἠρήμωτο. 49. Κύρου γὰρ μετὰ τὴν ἑβδομηκονταετίαν τῆς αἰχμαλωσίας τῶν βουλομένων ἕκαστον ἑκουσιαστὶ καταπέμψαντος, οἱ μετὰ Ἰησοῦ τοῦ μεγάλου ἱερέως καὶ Ζοροβάβελ κατελθόντες, καὶ οἱ ἐπὶ τούτοις ἅμα Ἔσρᾳ, τὸν νεὼν οἰκοδομεῖν ἐκωλύοντο τὰ πρῶτα, καὶ τεῖχος τῇ πόλει περιβαλεῖν, ὡς οὐ κεκελευσμένου τούτου. 50. ἔμεινεν οὖν ἕως Νεεμίου καὶ βασιλείας Ἀρταξέρξου καὶ τῆς Περσῶν ἡγεμονίας ἔτους πεντεκαιδεκάτου καὶ ἑκατοστοῦ· ἀπὸ δὲ τῆς ἁλώσεως Ἱερουσαλὴμ ἑκατὸν ὀγδοήκοντα πέντε ἔτη γίνεται. καὶ τότε βασιλεὺς Ἀρταξέρξης ἐκέλευσεν οἰκοδομηθῆναι τὴν πόλιν. Νε- (390) εμίας δὲ καταπεμφθεὶς τοῦ ἔργου προέστη, ἡ δὲ ᾠκοδομήθη πλατεῖα καὶ περίτειχος, ὡς προεφητεύθη. κἀκεῖθεν ἀριθμοῦσιν ἡμῖν ἑβδομήκοντα ἑβδομάδες εἰς τὸν Χριστὸν συντελοῦνται. 51. εἰ γὰρ ἄλλοθέν ποθεν ἀριθμεῖν ἀρξαίμεθα καὶ οὐκ ἐντεῦθεν, οὔτε ὁ χρόνος συνδραμεῖται καὶ πλεῖστα ἄτοπα ἀπαντήσει. ἐάν τε γὰρ ἀπὸ Κύρου καὶ τῆς πρώτης κατα-

πομπῆς τὴν ἀρχὴν ποιησώμεθα τῆς ἀριθμήσεως τῶν b ἑβδομάδων, εἰς ἔτη ἑκατὸν καὶ προσέτι περισσεύει, πλείων δὲ χρόνος, εἰ ἀφ' ἧς ἡμέρας τῷ Δανιὴλ ὁ ἄγγελος προεφήτευσε, πολλῷ δὲ πλείων, εἰ ἀπ' ἀρχῆς τῆς αἰχμαλωσίας. 52. εὑρίσκομεν γὰρ τὴν Περσῶν βασιλείαν ἔτεσι διακοσίοις τριάκοντα περιγραφομένην, τήν τε Μακεδόνων εἰς ἔτη τριακόσια [ἑβδομήκοντα] παρατείνουσαν, κἀκεῖθεν ἐπὶ τὸ Τιβερίου Καίσαρος ἑκκαιδέκατον ἔτος εἰς ἔτη ἑξήκοντα. 53. ἀπὸ δὲ Ἀρταξέρξου αἱ ἑβδομήκοντα ἑβδομάδες εἰς τὸν ἐπὶ Χριστοῦ c συντελοῦνται χρόνον κατὰ τοὺς Ἰουδαίων ἀριθμούς. ἀπὸ γὰρ Νεεμίου, ὃς ὑπὸ Ἀρταξέρξου τὴν Ἱερουσαλὴμ ἀνοικοδομήσων ἐπέμφθη, ἔτει πεντεκαιδεκάτῳ καὶ ἑκατοστῷ τῆς Περσῶν βασιλείας, αὐτοῦ τε Ἀρταξέρ-[243] ξου βασιλείας εἰκοστῷ ἔτει, καὶ Ὀλυμπιάδος ὀγδοηκοστῆς τρίτης ἔτει τετάρτῳ, ἐπὶ τοῦτον τὸν χρόνον, ὃς ἦν Ὀλυμπιάδος διακοσιοστῆς δευτέρας ἔτος δεύτερον, Τιβερίου δὲ Καίσαρος ἡγεμονίας ἔτος ἑκκαιδέκατον, ἔτη συνάγεται τετρακόσια ἑβδομήκοντα πέντε, ἅπερ Ἑβραϊκὰ τετρακόσια ἐνενήκοντα γίνεται, κατὰ d τὸν σεληνιαῖον δρόμον τοὺς ἐνιαυτοὺς ἐκείνων ἐξαριθμουμένων, ὥς ἐστι πρόχειρον εἰπεῖν, ἡμερῶν τριακοσίων πεντήκοντα τεσσάρων, τοῦ ἡλιακοῦ κύκλου ὑπάρχοντος ἡμερῶν τριακοσίων ἑξήκοντα πέντε τετάρτου· τὴν γὰρ κατὰ σελήνην δωδεκάμηνον παραλλάσσειν ἡμέραις ἕνδεκα καὶ τετάρτῳ. 54. διὰ τοῦτο Ἕλληνες καὶ Ἰουδαῖοι τρεῖς μῆνας ἐμβολίμους ἔτεσιν ὀκτὼ παρεμβάλλουσιν. ὀκτάκις γὰρ τὰ ἕνδεκα καὶ τέταρτον ποιεῖ τρίμηνον. τὰ τοίνυν τετρακόσια ἑβδομήκοντα πέντε ἔτη ὀκταετηρίδες γίνονται πεντήκοντα ἐννέα καὶ μῆνες τρεῖς. ὡς τριμήνου δὲ ἐμβολίμου τῇ ὀκταετίᾳ γινομένης, ἔτη πεντεκαίδεκα ὀλίγων ἡμερῶν

ἀποδέοντα γίγνονται. ταῦτα δὲ πρὸς τοῖς τετρακο- (391)
σίοις ἑβδομήκοντα πέντε ἔτεσιν αἱ ἑβδομήκοντα ἑβδομάδες συντελοῦνται."

55. Ταῦτα μὲν οὖν Ἀφρικανός. εἰ δὲ χρὴ καὶ ἡμᾶς οἰκείαν εἰς τοὺς τόπους ἀπόδοσιν εἰς μέσον ἀγαγεῖν, φημὶ μὴ μάτην μηδὲ ὡς ἔτυχε τὴν διαίρεσιν πεποιῆσθαι τὸν λόγον τῶν ἑβδομήκοντα ἑβδομάδων. διελὼν γὰρ αὐτὰς εἰς πρώτας ἑπτὰ, ἔπειθ᾽ ἑτέρας ἑξήκοντα δύο, καὶ μετὰ πλεῖστα τὰ μεταξὺ ἐπιλεγόμενα τὴν μίαν ἐπιθεὶς, οὕτω τὸν ἀριθμὸν τῶν ἑβδομήκοντα ἑβδομάδων ἀφωρίσατο. 56. λέγει δ᾽ οὖν "καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου, τοῦ ἀπο- b
κριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου, ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο." εἶθ᾽ ἕτερά τινα μεταξὺ ἐπαγαγὼν τὴν τελευταίαν προστίθησι φήσας "καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία." 57. ταῦτα δὲ ὅτι μὴ μάτην, μηδ᾽ ἄνευ τῆς θείας ἐπιπνοίας ἐσχεδίασται, πάνθ᾽ ὅντιν᾽ οὖν τῶν ὡς θεοῦ ῥήμασιν αὐτοῖς προσεχόντων ὁμολογήσειν ἡγοῦμαι. 58. τοῦτο μὲν οὖν πρῶτον ἡμῖν καλῶς ἔδοξεν ἐπισημήνασθαι, καταλιπεῖν τε τοῖς ἐντυγχάνουσι τὴν τοῦ ζητηθέντος ἀκριβῆ c
λύσιν. εἰ δὲ χρὴ καὶ ἡμᾶς τὸ ἐπεισιὸν μὴ ἀποκρύψασθαι, φημὶ καθ᾽ ἑτέραν διάνοιαν ἤτοι ἐκδοχὴν τὸν ἐν τῇ προκειμένῃ γραφῇ δηλούμενον χριστὸν ἡγούμενον, κατὰ τὰ ἀπὸ ἐξόδου λόγου, τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου, οὐκ ἄλλον εἶναι τοῦ καταλόγου τῶν μετὰ τὴν προφητείαν καὶ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ἡγησαμένων τοῦ λαοῦ ἀρχιερέων, οὓς χριστοὺς ἔθος ἀπο- d
καλεῖν τῇ γραφῇ. 59. μόνους γὰρ τούτους καθηγήσασθαι τοῦ ἔθνους, ἀρξαμένους ἀπὸ Ἰησοῦ τοῦ

Ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου, μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, καὶ μέχρι τῶν χρόνων τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας παρειλήφαμεν. 60. οἶμαι γοῦν τὸν μεταξὺ χρόνον τῆς τούτων προστασίας, καθ' ὃν ἡγήσαντο, δηλοῦσθαι διὰ τοῦ "ἀπὸ ἐξόδου λόγου, τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου, ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο· τῶν ἐτῶν δὲ τὰς ἑβδομάδας συναγομένας εἰς ἔτη τετρακόσια ὀγδοήκοντα τρία ἀπὸ τῆς Κύρου βασιλείας ἐπὶ τὴν Ῥωμαίων παρεκτείνεσθαι ἀρχὴν, καθ' ἣν Πομπήιος Ῥωμαίων στρατηγὸς ἐπιστὰς τοῖς Ἱεροσολύμοις εἷλε μὲν (392) πολιορκίᾳ τὴν πόλιν, τὸ δὲ πᾶν ἔθνος δοῦλον Ῥωμαίοις κατεστήσατο, ὡς καὶ φόρους ἐξ ἐκείνου τελεῖν καὶ τοῖς Ῥωμαίων πειθαρχεῖν ἐπιτάγμασιν. 61. ἐπὶ τοῦτον γοῦν τὸν χρόνον ὁ τῶν τετρακοσίων ὀγδοήκοντα τριῶν ἐτῶν περιορίζεται ἀριθμὸς, ἐφ' ὃν καὶ [244] κατέληξαν οἱ κατὰ τὸν Μωσέως νόμον ἐκ πατέρων διαδοχῆς τὴν προστασίαν τοῦ ἔθνους καὶ τὴν ἱερωσύνην διειληφότες, οὓς χριστὸν ἡγούμενον τὴν θείαν ἐπὶ τοῦ παρόντος γραφὴν ὀνομάζειν ὑπολαμβάνω. 62. εἰ δὲ χρὴ καὶ τὸν κατάλογον ἐκθέσθαι τῆς τῶν ἀρχιε- b ρέων διαδοχῆς, τῶν ἐν τῷ δηλουμένῳ μεταξὺ χρόνῳ διαγενομένων, καὶ τοῦτο οὐδεὶς φθόνος εἰς παράστασιν τῆς τῶν εἰρημένων ἀληθείας ποιήσασθαι. πρῶτος τοίνυν μετὰ τὴν τοῦ Δανιὴλ προφητείαν, ἐπὶ Κύρου τοῦ βασιλέως Περσῶν, μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, ὁ ἱερεὺς ὁ μέγας χρηματίσας, ἅμα Ζοροβάβελ ἄνεισιν ἀπὸ τῆς αἰχμαλωσίας, καὶ θεμελίους καταβάλλεται τοῦ ἱεροῦ, ἀλλ' ἐπισχεθέντος τοῦ ἔργου ὑπὸ τῶν περιοίκων, αἱ πρῶται ἑπτὰ ἑβδομάδες τῶν ἐτῶν αἱ διὰ τοῦ προφη-

του δηλούμεναι συμπεραιοῦνται, καθ' ἃς ἀτελὲς διέμενε τὸ ἔργον τῆς τοῦ ναοῦ οἰκοδομῆς. 63. διόπερ ὁ c θεῖος λόγος τῆς συναφῆς τῶν λοιπῶν ἑβδομάδων ἀφορίζει τὰς πρώτας ἑπτὰ, εἰπὼν ἑβδομάδας ἑπτὰ, ἔπειθ' ἑξῆς μετὰ διαστολῆς ἐπαγαγὼν "καὶ ἑβδομάδες ἑξήκοντα δύο." ἑπτὰ γοῦν ἀπὸ Κύρου καὶ ἐπὶ τὴν συμπλήρωσιν τῆς τοῦ ἱεροῦ οἰκοδομῆς ἑβδομάδες ἐτῶν εὑρίσκονται. 64. ἔνθεν ὁρμώμενοι τῷ σωτῆρι ἡμῶν ἔλεγον οἱ Ἰουδαῖοι "τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς d αὐτόν;" ἀλλ' οὗτοι μὲν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομῆσθαι τὸν ναὸν ἔφασαν. τοσαῦτα γὰρ ἀπὸ πρώτου Κύρου βασιλείας, ὃς πρῶτος ἀνῆκε τῆς Βαβυλῶνος τοὺς βουλομένους τῶν Ἰουδαίων εἰς τὴν οἰκείαν γῆν ἐπανιέναι, ἐπὶ τὸ ἕκτον ἔτος τῆς Δαρείου βασιλείας συνάγεται, καθ' ὃν τὸ πᾶν ἔργον τῆς οἰκοδομῆς τέλος εἴληφεν. 65. ὅ γε μὴν ἐξ Ἑβραίων Ἰώσηπος καὶ ἄλλον τριετῆ χρόνον εἰς τὴν τῶν ἔξωθεν τῶν ἀμφὶ τὸν ναὸν κατασκευασμάτων συμπλήρωσιν ἔφησεν, ὥστ' εἰκότως διὰ ταῦτα τὰς ἑπτὰ πρώτας ἑβδομάδας εἰς ἔτη ἐννέα καὶ τεσσαράκοντα συντεινούσας ἀφωρίσθαι κατὰ τὸν τῆς προφητείας λόγον, τὰς δὲ λοιπὰς ἑξήκοντα δύο ἀπὸ τῆς Δαρείο υκαταριθμεῖσθαι βασιλείας συμβαίνει, καθ' ὃν αὖθις Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ εἰς ἐκεῖνο τὴν ζωὴν παρατείνοντες ἄμφω προέστησαν τῆς τοῦ (393) ἱεροῦ ἀνανεώσεως, προφητευόντων Ἀγγαίου καὶ Ζαχαρίου, μεθ' οὓς Ἔσρας καὶ Νεεμίας, ὁμοίως ἐκ Βαβυλῶνος ἀνελθόντες, τὸ τεῖχος ἐδείμαντο τῇ πόλει, τὴν ἀρχιερωσύνην διέποντος Ἰωακείμου· παῖς δὲ οὗτος ἦν

---

9 Jo. 2, 20. 17 Ioseph. A. J. XI. 4, 7.

Ἰησοῦ τοῦ Ἰωσεδὲκ, μεθ' ὃν διαδέχεται τὴν ἀρχιε-
ρωσύνην Ἐλιασοῦβος, ἔπειτα Ἰωδαὲ, μεθ' ὃν Ἰωνά-
θης, μεθ' ὃν Ἰαδδοῦς. 66. τούτων μέμνηται καὶ ἡ
b Ἔσρα γραφὴ λέγουσα "καὶ Ἰησοῦς ἐγέννησε τὸν Ἰωα-
κεὶμ, καὶ Ἰωακεὶμ ἐγέννησε τὸν Ἐλιασὶβ, καὶ Ἐλια-
σὶβ ἐγέννησε τὸν Ἰωδαὲ, καὶ Ἰωδαὲ ἐγέννησε τὸν
Ἰωνάθαν, καὶ Ἰωνάθαν ἐγέννησε τὸν Ἰαδδοῦ." 67.
κατὰ τοῦτον τὸν Ἰαδδοῦ ὁ Μακεδὼν Ἀλέξανδρος Ἀλε-
ξάνδρειαν κτίζει, ὡς Ἰώσηπος ἱστορεῖ, ἀφικόμενός τε
εἰς τὰ Ἱεροσόλυμα τῷ θεῷ προσκυνεῖ. 68. τελευτᾷ
δὲ τὸν βίον Ἀλέξανδρος ἐν ἀρχῇ τῆς ἑκατοστῆς καὶ
τεσσαρεσκαιδεκάτης Ὀλυμπιάδος, μετὰ ἔτη διακόσια
τριάκοντα ἓξ Κύρου, ὃς ἐβασίλευσε Περσῶν κατὰ τὸ
c πρῶτον ἔτος τῆς πέμπτης καὶ πεντηκοστῆς Ὀλυμπιάδος.
69. μετὰ δὲ τὴν τελευτὴν Ἀλεξάνδρου τοῦ Μακεδόνος
καὶ μετὰ τὸν δηλωθέντα ἀρχιερέα Ὀνίας ἡγεῖται τοῦ
ἔθνους, τῆς τῶν ἀρχιερέων καὶ αὐτὸς ἐπειλημμένος
τιμῆς· καθ' ὃν Σέλευκος Βαβυλῶνα κρατήσας τὸ τῆς
Ἀσίας περιτίθεται διάδημα, ἔτει δωδεκάτῳ μετὰ τὴν
Ἀλεξάνδρου τελευτὴν, καθ' ὃν συνάγεται ὁ πᾶς χρό-
νος ὁ ἀπὸ Κύρου εἰς ἔτη διακόσια τεσσαρακονταοκτώ.
70. ἐντεῦθεν τὴν Ἑλλήνων βασιλείαν ἡ τῶν Μακκα-
βαίων γραφὴ καταριθμεῖσθαι ἄρχεται. μετὰ δὲ τὸν
[245] Ὀνίαν ἡγεῖται τῶν Ἰουδαίων ἀρχιερεὺς Ἐλεάζαρος,
d καθ' ὃν οἱ ἑβδομήκοντα τὰς θείας ἑρμηνεύσαντες
γραφὰς ταῖς κατὰ Ἀλεξάνδρειαν βιβλιοθήκαις ἀνατε-
θείκασι. 71. μεθ' ὃν ἕτερος Ὀνίας, ὃν διαδέχεται
Σίμων, καθ' ὃν Ἰησοῦς ὁ τοῦ Σιρὰχ ἐγνωρίζετο, ὁ
τὴν καλουμένην πανάρετον Σοφίαν συντάξας. μεθ'
ὃν ἕτερος ὁμώνυμος τοῖς πρόσθεν Ὀνίας ἡγεῖται, καθ'

---

4 Neem. 12, 10. 9 Ioseph. A. J. XI. 8, 5.

ὃν Ἀντίοχος τοὺς Ἰουδαίους πολιορκήσας ἑλληνίζειν κατηνάγκαζε. 72. μεθ' ὃν προστὰς τῶν πραγμάτων Ἰούδας ὁ ἐπικληθεὶς Μακκαβαῖος ἐξεκάθηρεν τῶν ἀσεβῶν τὴν χώραν· ὃν ὁ ἀδελφὸς Ἰωνάθης διαδέχεται. καὶ πάλιν Σίμων, οὗ κατὰ τὴν τελευτὴν ἕβδομον καὶ ἑβδομηκοστὸν καὶ ἑκατοστὸν ἔτος ἐξαριθμεῖται τῆς κατὰ Συρίαν ἀρχῆς ἡ πρώτη καλουμένη τῶν Μακκαβαίων βίβλος, εἰς τοῦτο τοῦ χρόνου καταλύσασα τὴν ἱστορίαν· 73. ὥστε συνάγεσθαι ἀπὸ πρώτου (394) ἔτους Κύρου καὶ Περσῶν βασιλείας ἐπὶ τὸ τέλος τῆς τῶν Μακκαβαίων γραφῆς καὶ ἐπὶ τὴν Σίμωνος τοῦ ἀρχιερέως τελευτὴν ἔτη τετρακόσια εἰκοσιπέντε· μεθ' ἃ Ἰωνάθης τὴν ἀρχιερωσύνην, ὡς ὁ Ἰώσηπός φησι, διαδέχεται ἐπὶ ἔτεσιν ἐννέα καὶ εἴκοσι. μεθ' ὃν Ἀριστόβουλος ἐνιαυτὸν ἡγεῖται, ὃς πρῶτος μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον διάδημα βασιλικὸν περιτίθεται πρὸς τῇ ἀρχιερωσύνῃ. 74. τοῦτον διαδέχεται Ἀλέξανδρος, βασιλεὺς ἅμα καὶ ἀρχιερεύς, ἔτεσι καὶ αὐτὸς ἑπτὰ καὶ εἴκοσι προστὰς τῶν πραγμάτων· εἰς ὃν b συνάγεται τὰ πάντα ἀπὸ πρώτου ἔτους βασιλείας Κύρου καὶ τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου τοῦ Ἰουδαίων ἔθνους ἔτη τετρακόσια ὀγδοήκοντα δύο, οὗ προέστησαν ἀρχιερεῖς, οὓς ἡγοῦμαι χριστὸν ἡγούμενον ὑπὸ τῆς προφητείας ὀνομάζεσθαι. 75. μεθ' οὓς τελευτήσαντος τοῦ ὑστάτου αὐτῶν ἀρχιερέως Ἀλεξάνδρου ἄναρχα καὶ ἀπροστάτητα τὰ τοῦ Ἰουδαίων ἔθνους ἀπολείπεται, ὥστε εἰς γυναῖκα περιστῆναι τὴν βασιλείαν αὐτῶν. τῶν δὲ δύο παίδων Ἀριστοβούλου καὶ Ὑρκανοῦ στασιασάντων πρὸς ἀλλή-

---

8 Maccab. I. 16, 14. 13 Ioseph. A. J. XX, 10, 3. 16 Ioseph A. J. XIII, 11, 1.

c λους ἐπιστὰς τοῖς Ἱεροσολύμοις Πομπήιος, Ῥωμαίων στρατηγὸς ὤν, αἱρεῖ μὲν πολιορκίᾳ τὴν πόλιν, μιαίνει δὲ τὰ ἅγια, μέχρι τῶν ἀδύτων τοῦ ἱεροῦ προελθών. 76. καὶ ταῦτα συμβαίνει ἔτους πρώτου τῆς ἑκατοστῆς ἑβδομηκοστῆς ἐνάτης Ὀλυμπιάδος, μετὰ τετρακόσια ἐνενήκοντα πέντε ἔτη τῆς Κύρου βασιλείας, ἥτις ἤρξατο ἐπὶ τῆς πεντηκοστῆς πέμπτης Ὀλυμπιάδος. 77. τότε δ' οὖν ὁ Πομπήιος ἑλὼν κατὰ κράτος τὴν Ἱερουσαλὴμ, τὸν προειρημένον Ἀριστόβουλον ἐκπέμψας d δέσμιον ἐπὶ Ῥώμης, τῷ τούτου ἀδελφῷ Ὑρκανῷ τὴν ἀρχιερωσύνην παραδίδωσι, τό τε πᾶν ἔθνος ἐξ ἐκείνου ὑποτελὲς Ῥωμαίοις κατεστήσατο. 78. μεθ' ὃν Ἡρώδης ὁ Ἀντιπάτρου παῖς Ὑρκανὸν ἀνελὼν τὴν τῶν Ἰουδαίων βασιλείαν ὑπὸ τῆς Ῥωμαίων συγκλήτου βουλῆς ἐγχειρίζεται, πρῶτός τε αὐτὸς ἐξ ἀλλοφύλου γένους βασιλεύει τοῦ ἔθνους, τὴν τῶν ἀρχιερέων κατὰ τὸν Μωσέως νόμον διαφθείρας τάξιν. 79. ὁ μὲν γὰρ θεῖος νόμος διὰ βίου ἱερᾶσθαι τῷ θεῷ τὸν ἀνωτάτω προστάττει ἀρχιερέα· ὁ δ' Ἡρώδης οὐ τοῖς ἀπὸ γένους οὐδ' οἷς προσῆκον ἦν ἀπεδίδου τὴν λειτουργίαν, ἀπεξενωμένοις δέ τισι καὶ ἀλλοτρίοις τῆς τῶν ἀρχιερέων διαδοχῆς, καὶ οὐδὲ τούτοις διαρκῶς, (395) πρὸς βραχὺν δέ τινα καὶ περιωρισμένον χρόνον, ἄλλοτε ἄλλοις τὴν τιμὴν ἀντιδωρούμενος, ὥστε τὰς μὲν πρώτας ἑπτὰ ἑβδομάδας ἀπὸ Κύρου καὶ ἐπὶ Δαρεῖον, τὰς δὲ λοιπὰς ἑξήκοντα δύο ἀπὸ Δαρείου καὶ ἐπὶ Πομπήιον τὸν Ῥωμαίων στρατηγὸν περιορίζεσθαι. 80. καὶ κατὰ τρίτην δὲ θεωρίαν εὕροις ἂν ἄλλως ἀπαριθμούμενος τοὺς χρόνους τῶν ἑπτὰ καὶ ἑξήκοντα δύο ἑβδομάδων, αἳ συντείνουσιν εἰς ἔτη τετρακόσια [246] ὀγδοήκοντα τρία, ἐπ' αὐτὸν Αὔγουστον καὶ ἐπὶ Ἡρώ-
b δην τὸν πρῶτον ἐξ ἀλλοφύλου γένους βασιλεύσαντα,

καθ' οὓς ἡ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γένεσις ἱστορεῖται περιγραφομένη, εἰ ἀρξάμενος ἀπὸ Δαρείου καὶ τῆς συμπληρώσεως τοῦ ναοῦ τὸν δηλούμενον ἀριθμὸν ἀναλογίσῃ. 81. Δαρείου γὰρ κατὰ τὸ δεύτερον ἔτος τὸν ἑβδομηκονταετῆ χρόνον τῆς ἐρημώσεως Ἱερουσαλὴμ συμπεπεράνθαι ὁ προφήτης Ζαχαρίας δηλοῖ λέγων "τῇ τετράδι καὶ εἰκάδι, τῷ ἑνδεκάτῳ μηνὶ, αὐτός ἐστι Σαβὰτ, ἐν τῷ δευτέρῳ ἔτει Δαρείου, ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου." 82. εἶθ' ἑξῆς ἐπιλέγει "καὶ ἀπε- c κρίθη ὁ ἄγγελος κυρίου, καὶ εἶπεν, κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος;" τοῦτον δὴ οὖν αὐτὸν τῷ θείῳ πνεύματι θεωρήσας ὁ Δανιὴλ τὸν χρόνον σημειοῦται λέγων "ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς ἐγενήθη λόγος κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλὴμ, ἑβδομήκοντα ἔτη, καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς κύριον τὸν θεόν μου, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν. 83. εἶτα μετὰ τὴν εὐχὴν ἐπιφανεὶς αὐτῷ ὁ ἄγγελος θεσπίζει τὰ περὶ τῶν ἑβδομήκοντα ἑβδομάδων, καὶ τὸν χρόνον ὅθεν δεῖ ἄρχεσθαι ἀριθμεῖν d σημαίνει λέγων "καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου." γέγονε μὲν οὖν ἀπόκρισις πρώτη Κύρου οἰκοδομηθῆναι τὴν Ἱερουσαλὴμ, οὐ μὴν εἰς ἔργον ἐχώρησε, τῶν περιοίκων κεκωλυκότων. 84. Δαρείου δὲ μετὰ ταῦτα κελεύσαντος καὶ τῆς οἰκοδομῆς τοῦ ἱεροῦ κατ' αὐτὸν συντελεσθείσης

7 Zach. 1, 7. 10 Zach. 1, 12. 15 Dan. 9, 2.

ἡ τοῦ Δανιὴλ ἐντεῦθεν προφητεία τὴν καταρχὴν τῆς ἐκβάσεως ἐλάμβανεν, ἥ τε φάσκουσα "ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ" καὶ δι' ἧς εἴρηται "ἐγὼ Δανιὴλ συνῆκα ἐν (396) ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς ἐγενήθη λόγος κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλήμ, ἑβδομήκοντα ἔτη." 85. κατὰ γοῦν τὸ δεύτερον ἔτος Δαρείου ἡ συμπλήρωσις τῆς ἑβδομηκονταετηρίδος ἀποδέδεικται περαιωθεῖσα, ὥστε ἐξ ἅπαντος ἄρχεσθαι δεῖν ἡμᾶς τῶν ἑβδυμήκοντα ἑβδομάδων ἀπὸ τῆς ἑξηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος καὶ ἀπὸ δευτέρου ἔτους Δαρείου, ἐν ᾧ τὰ τῆς οἰκοδομῆς περαιοῦται. 86. ἐντεῦθεν γοῦν εἰ τοὺς ἑπομένους χρόνους ἀριθμήσειας, εὕροις ἂν ἐπ' b αὐτὸν Ἡρώδην μόναρχόν τε Ῥωμαίων Αὔγουστον, καθ' οὓς ἡ τοῦ σωτῆρος ἡμῶν ἐπέφανε τῷ βίῳ γένεσις, τὰ τετρακόσια ὀγδοήκοντα τρία ἔτη, αἵ εἰσιν ἑπτὰ καὶ ἑξήκοντα δύο ἑβδομάδες, κατὰ τὴν τοῦ Δανιὴλ προφητείαν περιοριζόμενα. 87. ἀπὸ γὰρ τῆς ἑξηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος ἐπὶ τὴν ἑκατοστὴν ὀγδοηκοστὴν ἕκτην γίνονται Ὀλυμπιάδες μεταξὺ ἑκατὸν εἴκοσι μία, ἔτη τετρακόσια ὀγδοήκοντα τέσσαρα, τετραετίαν τῆς Ὀλυμπιάδος ἐπεχούσης, καθ' ὃν c καιρὸν Αὔγουστος Ῥωμαίων βασιλεὺς πεντεκαιδέκατον ἔτος τῆς βασιλείας ἐπέχων Αἰγύπτου κρατεῖ καὶ τῆς λοιπῆς οἰκουμένης, ὑφ' οὗ πρῶτος ἀλλόφυλος Ἡρώδης τὴν τῶν Ἰουδαίων ἐγχειρίζεται βασιλείαν, γεννᾶται δὲ ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ, κατὰ τὸ αὐτὸ συντρεχόντων τῶν χρόνων τῆς γενέσεως αὐτοῦ καὶ τῆς συμπληρώσεως τῶν παρὰ τῷ Δανιὴλ ἑπτὰ καὶ ἑξήκοντα δύο ἑβδομάδων· μεθ' ἃς διῃρημένης καὶ μακρὰν ἀπεσχοινισμένης μετὰ

πλεῖστα ὅσα τὰ μεταξὺ προφητευόμενα τῆς λειπούσης d μιᾶς ἑβδομάδος, τὰ λοιπὰ πάντα διὰ μέσου τῆς τοῦ χρησμοῦ προρρήσεως εἰρημένα ἐπιτελεῖται, ἃ καὶ αὐτὰ τοῦτον ἔχει τὸν τρόπον "μετὰ τὰς ἑβδομάδας [247] τὰς ἑπτὰ καὶ ἑξήκοντα δύο ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ. καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς." 88. καὶ ταῦτα δὲ ἐναργῆ τὴν ἔκβασιν εἴληφε κατ' αὐτὸν Αὔγουστον καὶ Ἡρώδην, εἰς οὓς τὰς προειρημένας ἑπτὰ ἑβδομάδας συγκεφαλαιοῦσθαί φαμεν. ὁδῷ γοῦν καὶ τάξει τοῦ κατὰ τὴν ἀρχιερωσύνην χρίσματος μέχρι τῶν Ἡρώδου καὶ Αὐγούστου χρόνων διαρκέσαντος, τῆς τε διαδοχῆς τῶν πάλαι ἀρχιερέων ἐπὶ Ἀλέξανδρον τὸν Ὑρκανοῦ πατέρα περιγραφείσης, Ἡρώδης τὸν Ὑρκανὸν ἀνελὼν οὐκέτι τοῖς ἐκ πατέρων διαδόχοις (397) ἐπιτρέψαι λέγεται τὴν λειτουργίαν, ἀλλά τισιν ἀσήμοις καὶ ἀφανέσιν ἀνθρώποις. 89. τοῦτο δὲ καὶ ὁ χρησμὸς προλαβὼν ἐθέσπισεν εἰπὼν "καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑπτὰ καὶ ἑξήκοντα δύο ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ." 90. ὅπερ σαφῶς καὶ οἱ λοιποὶ τεθείκασιν ἑρμηνευταί· ὁ μὲν Ἀκύλας φήσας "καὶ μετὰ τὰς ἑπτὰ ἑβδομάδας καὶ ἑξήκοντα δύο ἐξολοθρευθήσεται ἠλειμμένος καὶ οὐκ ἔστιν αὐτῷ·" ὁ δὲ Σύμμαχος "καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑπτὰ καὶ ἑξήκοντα δύο ἐκκοπήσεται χριστὸς, καὶ οὐχ ὑπάρξει αὐτῷ." ὅθεν μάλιστα παρίστασθαί b μοι δοκεῖ χριστὸς ἡγούμενος εἶναι ὁ κατὰ τὴν ἡμετέραν ἀπόδοσιν δεδηλωμένος. 91. μετὰ γοῦν

4 Dan. 9, 26.

τὴν τῶν εἰρημένων ἑβδομάδων συμπλήρωσιν "ἐξολο-
θρευθήσεται χριστός" φησί. τίς δὲ οὗτος ἢ ὁ ἡγού-
μενος καὶ ὁ κατὰ διαδοχὴν ἐξ ἱερατικοῦ γένους τοῦ
ἔθνους προεστώς; διέμενε γοῦν οὗτος εἰς ὅσον οὔπω
τὰ τῶν ἑβδομάδων ἐπληροῦτο· ἐπειδὴ δὲ τέλος ἐλάμ-
βανον αὗται, ἀκολούθως τῇ προφητείᾳ ἐξεκόπη ὁ ἐκ
διαδοχῆς γένους τοῦ ἔθνους προεστώς. οὗτος δὲ ἦν
c Ὑρκανός, ὃν αὐτὸς Ἡρώδης ἀνελὼν τὴν κατὰ τοῦ
ἔθνους βασιλείαν μηδὲν αὐτῷ διαφέρουσαν ὑφαρ-
πάζει, πρῶτός τε αὐτὸς ἀλλόφυλος ἡγεῖται. 92. οὐ
μόνος δὲ ἄρα ὁ Ὑρκανὸς χριστὸς ὢν καὶ τῶν πάλαι
ἀρχιερέων ὕστατος ἐξεκόπη, ἀλλὰ καὶ ἡ ἐκ προγόνων
ἄνωθεν ἐκ τῶν πρόπαλαι ἀρχιερέων κατιοῦσα δια-
δοχή, αὐτό τε τὸ κατὰ νόμους χρῖσμα οὐκέτι κατὰ
κρίσιν γινόμενον, ἀτάκτως δὲ καὶ συγκεχυμένως, οὐ
κατὰ τὰ παρὰ Μωσεῖ νενομοθετημένα· συνέτρεχε δὲ
d ὁμοῦ πάντα ἀκολούθως τῇ προφητείᾳ φησάσῃ "ἐξολο-
θρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ."
93. μάρτυς ἀξιόχρεως τούτων ὁ ἐξ αὐτῶν Ἑβραίων
Ἰώσηπος, ὧδέ πως ἱστορῶν τὰ κατὰ τοὺς χρόνους ἐν
ὀκτωκαιδεκάτῳ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας "τὴν δὲ
βασιλείαν Ἡρώδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς οὐκ-
έτι τοὺς ἐκ τοῦ Ἀσαμωναίου γένους, οὗτοι δὲ ἦσαν
οἱ καλούμενοι Μακκαβαῖοι, καθίστησιν ἀρχιερεῖς,
ἀλλά τινας ἀσήμους καὶ μόνον ἐξ Ἑβραίων ὄντας,
πλὴν ἑνὸς Ἀριστοβούλου, ὃν Ὑρκανοῦ υἱὸν ὄντα κατα-
στήσας ἀρχιερέα τῇ ἀδελφῇ αὐτοῦ συνῴκησε Μαρι-
άμμῃ, τὴν τοῦ πλήθους πρὸς αὐτὸν θηρώμενος εὔ-
(398) νοιαν διὰ τὴν Ὑρκανοῦ μνήμην. 94. εἶτα δεδιὼς μὴ
πρὸς τὸν Ἀριστόβουλον πάντες ἀποκλίνωσιν ἀνεῖλεν

---

21 ὀκτωκαιδεκάτῳ] Immo XX. 10, 5.

αὐτὸν ἐν Ἱεριχοῖ, πνιγῆναι μηχανησάμενος κολυμβῶντα, καθὼς ἤδη δεδηλώκαμεν. μετὰ τοῦτον οὐκέτι τοῖς ἐκγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν ἀρχιερωσύνην ἐπίστευσεν. ἔπραξε δὲ ὅμοια τῷ Ἡρώδῃ περὶ τῆς καταστάσεως τῶν ἀρχιερέων Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ, καὶ μετὰ τοῦτον Ῥωμαῖοι τὴν τῶν Ἰουδαίων βασιλείαν παρειληφότες." 95. πάλιν ἐν ἑτέροις ταῦτα περὶ αὐτῶν φησιν "Ἡρώδης δὲ βασιλεύσας b τήν τε βᾶριν ταύτην ἐν ἐπιτηδείῳ τόπῳ κειμένην κατασκευάσας πολυτελῶς Ἀντωνίαν καλεῖ ὄνομα, [248] καὶ τὴν στολὴν τὴν ἀρχιερατικὴν λαμβάνει, τὴν δὲ κειμένην κατεῖχε, πιστεύων οὐδὲν νεωτερίσειν τὸν λαὸν δι' αὐτήν. ἔπραξε δ' ὅμοια τῷ Ἡρώδῃ καὶ ὁ ἐπικατασταθεὶς αὐτῷ βασιλεὺς Ἀρχέλαος, υἱὸς ὢν αὐτοῦ, παρ' οὗ Ῥωμαῖοι διαδεξάμενοι τὴν ἀρχὴν ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως ἀποκειμένης ἐν οἴκῳ λίθου οἰκοδομηθέντι ὑπὸ σφραγῖδι." 96. διὰ τούτων τὸ ἀποτέλεσμα παντί τῳ νομίζω καταφανὲς γεγενῆσθαι τοῦ φήσαντος χρησμοῦ "καὶ μετὰ τὰς c ἑβδομάδας τὰς ἑπτὰ καὶ ἑξήκοντα δύο ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ." 97. ἔτι δὲ μᾶλλον ὄψει πῶς εἴρηται τὸ "κρίμα οὐκ ἔστιν ἐν αὐτῷ," τὸ ἄκριτον συνιδὼν τῆς τῶν ἀρχιερέων καταστάσεως τῶν μετὰ Ἡρώδην καὶ κατὰ τοὺς χρόνους τοῦ σωτῆρος ἡμῶν γεγενημένων. 98. τοῦ γὰρ κατὰ τὸν θεῖον νόμον ἀρχιερέως πάντα τὸν τῆς ζωῆς χρόνον d τὴν λειτουργίαν διέπειν κεκελευσμένου ἐπὶ διαδόχῳ παιδὶ γνησίῳ, κατὰ τοὺς ἐξεταζομένους καιροὺς μετὰ τὸ ἐξολοθρευθῆναι τὸ χρῖσμα τῇ προφητείᾳ συμφώνως, πρῶτος μὲν Ἡρώδης, ἔπειτα δὲ καὶ Ῥωμαῖοι

7 ἐν ἑτέροις] A. J. XVIII, 4, 3.

μετὰ τοῦτον, ἀκρίτως καὶ οὐ κατὰ τὸν νόμον τοὺς ἀρχιερεῖς καθίστων οὓς ἐδόκει αὐτοῖς, δημοτικοῖς τισι καὶ ἀσήμοις ἀνδράσι τὴν τιμὴν χαριζόμενοι, ἐπίπρασκόν τε καὶ ἐκαπήλευον τοὔνομα, ἄλλοτε ἄλλοις ἐνιαυσιαῖον τὸ ἀξίωμα δωρούμενοι. 99. διό μοι δοκεῖ ὁ ἱερὸς εὐαγγελιστὴς Λουκᾶς τὸν χρόνον τοῦ κηρύγματος τοῦ σωτῆρος ἡμῶν ὑπογράφων σημειοῦσθαι τοῦτο δι' ὧν φησιν "ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, τετραρχούντων δὲ Ἡρώδου καὶ Φιλίππου καὶ Λυσανίου, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα." 100. δύο γὰρ οὗτοι κατὰ τὸ αὐτὸ ἀρχιερεῖς πῶς ἂν ἐγένοντο ἢ καταλυθείσης τῆς περὶ τῶν ἀρχιερέων νομοθεσίας; τούτοις γοῦν καὶ Ἰώσηπος
(399) ἐπιμαρτυρῶν ταῦτα γράφει "Οὐαλέριος Γρᾶτος Ῥωμαίων στρατηγὸς παύσας ἀρχιερᾶσθαι Ἄνανον Ἰσμαῆλον ἀρχιερέα ἀποφαίνει τὸν τοῦ Φήβα, καὶ τοῦτον μετ' οὐ πολὺ μεταστήσας Ἐλεάζαρον τὸν τοῦ Ἀνάνου τοῦ ἀρχιερέως υἱὸν ἀποδείκνυσιν ἀρχιερέα. ἐνιαυτοῦ δὲ διαγενομένου καὶ τόνδε παύσας Σίμωνι τῷ Καθίμου τὴν ἀρχιερωσύνην παραδίδωσιν. οὐ πλέον δὲ καὶ τῷδε ἐνιαυτοῦ τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ Ἰώσηπος, ὁ καὶ Καϊάφας, διάδοχος ἦν αὐτῷ." 101. ταῦτα ἀναγκαίως παρεθέμην διὰ
b τὸ "ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ," ἃ καὶ ἡγοῦμαι ἀναμφίλεκτον τὴν ἀπόδειξιν ἔχειν. ἑξῆς τούτοις φησὶν ἡ προφητεία "καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ." ἔνθα πάλιν τὸν Ἡρώδην αὐτὸν καὶ τοὺς μετὰ αὐτὸν ἄρξαντας ἐξ ἀλλοφύλου γένους ὑπολαμ-

8 Luc. 3, 1. 15 Joseph. A. J. XVIII. 2, 2.

βάνω δηλοῦσθαι. 102. ὡς γὰρ ἀνωτέρω ὠνόμαζε χριστοὺς ἡγουμένους τοὺς ἀρχιερεῖς λέγων "ἕως χριστοῦ ἡγουμένου," τὸν αὐτὸν τρόπον μετὰ ἐκείνους καὶ τὴν ἐκείνων κατάπαυσιν οὐκ ἄλλος ἡγούμενος ἐρχόμενος ἢ ὁ δηλωθεὶς ἐξ ἀλλοφύλου γένους καὶ οἱ λοι- c
ποὶ ὅσοι καθεξῆς μετ' ἐκείνους ἡγήσαντο τοῦ ἔθνους, σὺν οἷς καὶ μεθ' ὧν, ὡσπερεὶ συνεργοῖς χρώμενος, ὁ μισόκαλος καὶ τῶν ἀγαθῶν φθορεὺς καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖν εἴρηται. 103. καὶ γὰρ διέφθειρεν ἀληθῶς ἅπαν τὸ ἔθνος, τοτὲ μὲν τὴν τῆς ἱερωσύνης τάξιν εἰς παρανομίαν ἄγων, τοτὲ δὲ τὸν πάντα λαὸν διαστρέφων, καὶ τὴν πόλιν (οὕτω τῶν πολιτῶν μεταφορικῶς ὠνομασμένων) εἰς ἀσέβειαν ἐκκαλούμενος. συνᾴδει δὲ ἡμῶν τῇ ἀποδόσει καὶ ὁ Ἀκύ- d
λας τοῦτον ἑρμηνεύσας τὸν τρόπον "καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ λαὸς ἡγουμένου ἐρχομένου." 104. οὐ μόνον γὰρ ὁ ἐρχόμενος ἡγούμενος, ὁ κατὰ τὰ ἀπο- [240]
δεδομένα ἡμῖν δηλωθείς, διέφθειρε τὴν πόλιν καὶ τὸ ἅγιον, ἀλλὰ καὶ ὁ τούτου λαός. εἴποι δ' ἄν τις οὐκ ἀπὸ σκοποῦ καὶ τὸν Ῥωμαίων ἡγεμόνα διὰ τῶν προκειμένων δηλοῦσθαι τόν τε τούτου λαόν, δι' οὗ νομίζω σημαίνεσθαι τὰ στρατόπεδα τῶν Ῥωμαίων ἀρχόντων, ἐξ ἐκείνου κρατησάντων τοῦ ἔθνους, οἳ καὶ τὴν πόλιν αὐτὴν Ἱερουσαλὴμ καὶ τὸν πάλαι ἐν αὐτῇ σεμνὸν καὶ ἅγιον νεὼν διέφθειραν. 105. ὑπὸ τούτων γοῦν καὶ ἐξεκόπησαν ὡς ἐν κατακλυσμῷ καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς ἔφθασαν, ὥστε ἤδη κατὰ τὴν προφητείαν παντελῆ ὑπομεῖναι ἐρημίαν μετὰ τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν, (400)
μεθ' ἣν καὶ τὴν ἐσχάτην ὑπέμειναν πολιορκίαν. ἔχεις καὶ ταῦτα ἀκριβῶς ἐν ταῖς γραφείσαις αὐτῷ Ἰωσήπῳ ἱστορίαις. 106. τούτων δὲ περὶ τῶν συμβεβηκότων

τῷ Ἰουδαίων ἔθνει ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἑπτὰ καὶ ἑξήκοντα δύο ἑβδομάδων πεπροφητευμένων ἀκολούθως ἡ δήλωσις τῆς ὑπὸ τοῦ σωτῆρος ἡμῶν καταγγελθείσης καινῆς διαθήκης θεσπίζεται. 107. τοσούτων γοῦν διὰ μέσου καὶ μεταξὺ τῶν ἑπτὰ καὶ ἑξήκοντα b δύο ἑβδομάδων εἰρημένων ἐπιλέγεται "καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία, καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων ἔσται, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν." 108. τίνα δὲ τρόπον καὶ ταῦτα ἐπληροῦτο κατανοήσωμεν. ἱστορεῖται δὲ ὁ πᾶς τῆς διδασκαλίας καὶ παραδοξοποιίας ὁμοῦ τοῦ σωτῆρος ἡμῶν χρόνος τριῶν ἥμισυ γεγονὼς ἐτῶν, ὅπερ ἐστὶν ἑβδομάδος ἥμισυ. τοῦτό πως Ἰωάννης ὁ εὐαγγελιστὴς ἀκριβῶς c ἐφιστᾶσιν αὐτοῦ τῷ εὐαγγελίῳ παραστήσει. εἴη ἂν οὖν ἑβδομὰς ἐτῶν μία ὁ πᾶς χρόνος τῆς μετὰ τῶν ἀποστόλων αὐτοῦ συνδιατριβῆς, ὅ τε πρὸ τοῦ πάθους καὶ ὁ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ. 109. πρὸ μὲν γὰρ τοῦ πάθους ἐπὶ τρία καὶ ἥμισυ ἔτη τοῖς πᾶσιν ἑαυτὸν παρέχων μαθηταῖς τε καὶ τοῖς μὴ τοιούτοις ἀναγέγραπται· καθ' ὃν διδασκαλίαις παραδόξοις τε θεραπείαις τῆς θεότητος αὐτοῦ τὰς δυνάμεις πᾶσιν ἁπλῶς Ἕλλησί τε καὶ Ἰουδαίοις παρείχετο. 110. μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν τὸν ἴσον, ὡς d εἰκὸς, τῶν ἐτῶν χρόνον τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις συνῆν, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ συναλιζόμενος, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ, ὡς γοῦν αἱ Πράξεις τῶν ἀποστόλων περιέχουσιν· ὡς εἶναι ταύτην τὴν δηλουμένην τῆς προφητείας τῶν ἐτῶν ἑβδομάδα, καθ' ἣν ἐνεδυνάμωσε διαθήκην πολλοῖς, τὴν καινὴν

δηλαδὴ διαθήκην τοῦ εὐαγγελικοῦ κηρύγματος κρατύνων. 111. τίσι δὲ πολλοῖς ταύτην ἐνεδυνάμωσεν ἢ δηλονότι τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις καὶ τοῖς ἐξ Ἑβραίων εἰς αὐτὸν πεπιστευκόσιν ἅπασι; πλὴν ἀλλὰ τῆς μιᾶς ταύτης ἑβδομάδος, καθ' ἣν ἐνεδυνάμωσε τὴν δηλωθεῖσαν διαθήκην τοῖς πολλοῖς, ἐν τῷ ἡμίσει "ἤρθη θυσία καὶ σπονδή, τό τε βδέλυγμα τῆς (401) ἐρημώσεως" ἤρξατο, 112. ἐπειδήπερ μεσαζούσης τῆς ἑβδομάδος ταύτης μετὰ τὸν ἥμισυ καὶ τριετῆ χρόνον τῆς διδασκαλίας αὐτοῦ, καθ' ὃν καιρὸν πέπονθε, τὸ καταπέτασμα τοῦ ναοῦ ἐρράγη ἀπὸ ἄνωθεν ἕως κάτω· ὡς ἐξ ἐκείνου δυνάμει ἦρθαι ἐξ αὐτῶν τὴν σπονδὴν καὶ τὴν θυσίαν, καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως ἐπὶ τὸ ἱερὸν καταστῆναι, καταλιπούσης αὐτοὺς ἐρήμους τῆς ἀνέκαθεν εἰς ἐκεῖνο καιροῦ τὸν τόπον ἐφορώσης καὶ ἐπισκοπούσης δυνάμεως. 113. μέχρι γοῦν τοῦ b σωτηρίου πάθους εἶναί τινα θεοῦ δύναμιν ἐπισκοποῦσαν τὸ ἱερὸν καὶ τὸ ἅγιον τῶν ἁγίων ἡγεῖσθαι προσήκει. οὐ γὰρ ἂν ἄλλως καὶ αὐτὸς ἅμα τοῖς πολλοῖς συνήδρευεν ἐν τῷ ἱερῷ τὰς κατὰ νόμους ἑορτὰς [250] ἐπιτελῶν, μὴ οὐχὶ ἔτι συνεστῶτα καὶ θεοῦ εἶναι ἄξιον τὸν τόπον εἰδώς. 114. ἦσαν οὖν ἐν τῷ ἱερῷ καὶ προφητεύοντές τινες εἰς ἐκεῖνο τοῦ καιροῦ, ὥσπερ Ἄννα ἡ προφῆτις ἡ τοῦ Φανουὴλ καὶ Συμεὼν ὁ ἐπὶ τὰς ἀγκάλας αὐτὸν βρέφος ἔτι ὄντα λαβών, οἳ καὶ προφητεύουσι c τὰ ἀναγεγραμμένα. 115. οὐδ' ἂν αὐτὸς ὁ κύριος ἡμῶν εἰρήκει τῷ λεπρῷ "ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὴν θυσίαν, ἣν προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς, μὴ οὐχὶ ἔτι δεῖν ἡγούμενος τὰ κατὰ νόμους ἐπιτελεῖσθαι αὐτόθι, ὡς

---

27 Matth. 8, 4.

ἐν ἁγίῳ καὶ θεοῦ ἀξίῳ τόπῳ· οὐδ᾽ ἂν τοὺς ἀγορά-
ζοντας καὶ πιπράσκοντας ἐξωθῶν ἔλεγε "γέγραπται
ὅτι ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς
δὲ αὐτὸν ποιεῖτε σπήλαιον λῃστῶν," καὶ αὖθις "ἄρατε
ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός
μου οἶκον ἐμπορείου," εἰ μὴ ἔτι τίμιον σαφῶς δεῖν
d ἐνόμιζεν ὑπολαμβάνειν εἶναι τὸν τόπον. 116. ἀλλὰ
γὰρ πλησιαζούσης αὐτῶν τῆς ἐσχάτης δυσσεβείας
μετὰ ταῦτα πάντα ἀπεφήνατο εἰπὼν "ἰδοὺ ἀφίεται
ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, ὃ καὶ αὐτὸ ἐπληροῦτο,
ὅτε παθόντος αὐτοῦ τὸ καταπέτασμα τοῦ ναοῦ ὅλον
δι᾽ ὅλου μέσον ἐρράγη, καθῄρητό τε ἐξ ἐκείνου δυ-
νάμει ἡ προσηνὴς τῷ θεῷ κατὰ τὴν τοῦ νόμου διά-
ταξιν θυσία καὶ σπονδή, ἧς ἀρθείσης καὶ τὸ βδέ-
λυγμα τῆς ἐρημώσεως κατὰ τὴν ἐν χερσὶ προφητείαν
ἐπηκολούθησε τῷ τόπῳ. 117. εἰ δὲ καὶ ἐπί τινα χρό-
νον παραμένειν ἔδοξε τὰ τῆς ἐν τῷ τόπῳ λειτουργίας,
ἀλλ᾽ οὐκέτι γε ταῦτα ἀρεστὰ τῷ θεῷ ἦν, ἀκρίτως καὶ
(402) οὐ κατὰ νόμον ἐπιτελούμενα. 118. ὥσπερ γὰρ πρό-
παλαι ἐξολοθρευθέντος τοῦ χρίσματος, καὶ τῶν κατὰ
διαδοχὴν νομίμων ἀρχιερέων πεπαυμένων ἀπὸ τῆς
Ὑρκανοῦ τελευτῆς, οἱ μετὰ ταῦτα παριόντες ἀτάκτως
καὶ παρανόμως ἐδόκουν μέν τι ποιεῖν, οὐ μὴν κατὰ
τοὺς πρέποντας ἔπραττον θεσμούς, δι᾽ οὓς καὶ ἔφα-
σκεν ἡ προφητεία "ἐξολοθρευθήσεται χρῖσμα, καὶ
κρίμα οὐκ ἔστιν ἐν αὐτῷ," τὸ ἄκριτον καὶ παράνομον
αὐτῶν διαβάλλουσα· οὕτω δὴ καὶ ἐπὶ τῆς θυσίας καὶ
b τῆς σπονδῆς συμβεβηκέναι φήσεις, ὀρθῶς μὲν καὶ
κατὰ νόμον πρὸ τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν ἐπι-
τελουμένης διὰ τὴν εἰσέτι τότε τὰ τῶν ἁγίων τόπων

2 Matth. 21, 13. 4 Jo. 2, 16. 9 Matth. 23, 38.

ἐφορῶσαν δύναμιν, περιαιρεθείσης δὲ αὐτίκα μετὰ τὴν αὐτοῦ τελείαν καὶ θεοπρεπῆ θυσίαν, ἣν προσήνεγκεν αὐτὸς ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, αὐτὸς ὢν ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἧς θυσίας πᾶσιν ἀνθρώποις κατὰ τὰ καινὰ μυστήρια τῆς καινῆς διαθήκης παραδοθείσης τὰ τῆς παλαιᾶς περιῄρητο. 119. ὁμοῦ γὰρ τῷ πληροῦσθαι τὸ φάσκον λόγιον "καὶ δυναμώσει διαθήκην πολλοῖς c ἑβδομὰς μία" τὰ τῆς παλαιᾶς διαθήκης περιῄρητο. πότε δὲ τὰ τῆς διαθήκης τῆς καινῆς ἐδυναμοῦτο ἢ ὅτε ὁ σωτὴρ καὶ κύριος ἡμῶν μέλλων τελεῖν τὸ μέγα μυστήριον τῆς εἰς τὸν θάνατον αὐτοῦ παρόδου ᾗ νυκτὶ παρεδίδοτο, τὰ σύμβολα τῶν κατ' αὐτὸν ἀπορρήτων τῆς καινῆς διαθήκης λόγων τοῖς αὐτοῦ παρεδίδου μαθηταῖς; ὁμοῦ γὰρ ταῦτ' ἐτελεῖτο καὶ ἡ κατὰ d Μωσέα παλαιὰ διαθήκη περιῄρητο, ὅπερ ἐδήλου τὸ καταπέτασμα τοῦ ναοῦ κατὰ τὸν αὐτὸν ῥηγνύμενον χρόνον. 120. ἀρθείσης γοῦν ἐξ ἐκείνου καὶ δυνάμει καὶ ἀληθείᾳ καταλυθείσης θυσίας καὶ σπονδῆς, αἱ μετὰ ταῦτα νομιζόμεναι αὐτόθι ἐπιτελεῖσθαι θυσίαι ἄσπονδοι καὶ ἀνίεροι ἐν βεβήλῳ τόπῳ καὶ ὑπὸ βεβήλων καὶ ἀνιέρων ἐπετελοῦντο. 112. δέχου δὲ καὶ τὰς περὶ τούτων Ἰωσήπου μαρτυρίας "κατὰ δὲ τὴν ἡμέραν τῆς πεντηκοστῆς νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἱερὸν, ὥσπερ αὐτοῖς ἔθος ἦν, πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἔφασαν ἀντιλαμβάνεσθαι καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας λεγούσης, [251] μεταβαίνωμεν ἐντεῦθεν." ταῦτα δὲ ἱστορεῖ μετὰ τὸ πάθος τοῦ σωτῆρος ἡμῶν γεγονέναι. 122. καὶ πάλιν

---

23 Joseph. B. J. VI. 5, 3. 29 Vid. Joseph. Ant. XVIII. 3, 1. B. J. II. 9, 2.

ὁ αὐτός φησι "Πιλάτον τὸν ἡγεμόνα (αὐτὸν δὴ ἐκεῖ-
νον τὸν ἐπὶ τοῦ σωτῆρος ἡμῶν) τὰς Καίσαρος εἰκό-
(403) νας νύκτωρ εἰς τὸ ἱερὸν, ὅπερ οὐκ ἦν θέμις, εἰσκο-
μίσαι, μεγίστην τε ταραχὴν θορύβου τε καὶ στάσεως
ἐμβεβλῆσθαι τοῖς Ἰουδαίοις." 123. αὐτὰ δὴ ταῦτα
καὶ ὁ Φίλων συμμαρτυρεῖ, τὰς σημαίας φάσκων τὰς
βασιλικὰς τὸν Πιλάτον νύκτωρ ἐν τῷ ἱερῷ ἀναθεῖναι,
ἀρχήν τε στάσεων καὶ συμφορῶν ἐπαλλήλων ἐξ ἐκεί-
νου τοῖς Ἰουδαίοις συμπεσεῖν. 124. οὐ διέλιπον οὖν
ἔκτοτε τὸ πᾶν ἔθνος καὶ τὴν μητρόπολιν αὐτῶν παν-
τοίων κακῶν ἐπαναστάσεις ἕως τοῦ ὑστάτου κατ' αὐ-
τῶν πολέμου καὶ τῆς ἐσχάτης πολιορκίας, καθ' ἣν
παντοίοις ἀφανισμοῖς λιμοῦ τε καὶ λοιμοῦ καὶ μαχαί-
b ρας καταποντισμοῦ δίκην τοῦ κατ' αὐτῶν ὀλέθρου
συρρεύσαντος, πάντες οἱ κατασυστάντες τοῦ σωτῆρος
ἡμῶν ἡβηδὸν ἐξεκόπησαν· ὅτε καὶ τὸ βδέλυγμα τῆς
ἐρημώσεως ἐπὶ τὸ ἱερὸν ἔστη, ὃ καὶ εἰς δεῦρο διέμει-
νεν, ὁσημέραι ἐπὶ τὸ χεῖρον ἐρημίας ἐλαῦνον. 125.
εἰκὸς δὲ καὶ ἐπιτείνειν αὐτὸ μέχρι τῆς τοῦ βίου συν-
τελείας, κατὰ τὸν ὑπὸ τῆς προφητείας ἀποφανθέντα
ὅρον, φήσαντα "καὶ ἕως συντελείας καιροῦ συντέλεια
δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν." 126. ἥντινα φωνὴν
ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐπεσφρα-
c γίσατο εἰπὼν "ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρη-
μώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὼς ἐν
τόπῳ ἁγίῳ, τότε γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις
αὐτῆς." 127. εἰ δὲ δυσπίστως πρὸς ταῦτα ἔχοιεν οἱ
ἐκ περιτομῆς, ἐλεγκτέον αὐτοὺς μὴ μόνον ἀναιδῶς
πρὸς τὰ ἀληθῆ καὶ ἐναργῆ ἱσταμένους, ἀλλὰ καὶ τὰς

---

6 Philo Jud. cf. leg. ad Caium s. 38. p. 589. 590.
24 Matth. 24, 15. Luc. 21, 20.

προρρήσεις ὡς ψευδεῖς, τὸ ὅσον ἐπ' αὐτοῖς, διαβάλλοντας, εἴ γε αἱ μὲν εἰς ἑβδομήκοντα ἑβδομάδας ἐτῶν τὸν πάντα περιορίζουσι χρόνον, τὰ ἐν τῷ μεταξὺ συμβησόμενα θεσπίζουσαι, αἱ δὲ σχεδὸν ἤδη χιλιο- d στοῦ ἔτους ἀπὸ τῆς προφητείας καὶ εἰς ἡμᾶς ἐλαύνοντος οὐδὲν τῶν γεγραμμένων γεγονὸς ἐπιδείκνυνται, καίτοι ἐξολοθρευθέντος αὐτῶν τοῦ χρίσματος, κατὰ τὴν θείαν πρόρρησιν, καὶ τοῦ ἁγιάσματος αὐτῶν, καὶ τῶν πρὶν οἰκητόρων διαφθαρέντων καὶ ἐκκοπέντων ἐν κατακλυσμῷ πολέμου συντετμημένου ἀφανισμοῖς, καὶ τοῦ γε πάντων παραδοξοτάτου εἰσέτι νῦν αὐτόθι ὁρωμένου, λέγω δὴ τοῦ βδελύγματος τῆς ἐρημώσεως εἰς δεῦρο ἑστῶτος ἐν τῷ πρὶν ἁγίῳ τόπῳ, περὶ οὗ καὶ ὁ σωτὴρ καὶ κύριος ἡμῶν τὰς ἐκτεθείσας προήκατο φωνάς. 128. ὧν σαφῶς ὑπ' ὀφθαλμοῖς ὁρωμένων ἡμῖν εἰσέτι νῦν θαυμάσαι ἔστι τοὺς ἐκ (401) περιτομῆς οὐχ οὕτως ἀντιβλέπειν τοῖς ἐναργέσι τολμῶντας, ὅσον ἀβλεπτοῦντας καὶ τὴν διάνοιαν ἐσκοτωμένους πρὸς τὸ μὴ ὁρᾶν τὰ οὕτω σαφῆ καὶ ἐναργῆ τῶν θείων γραφῶν ἀποτελέσματα. 129. ὃ καὶ πεπόνθασι κατὰ τὴν εἰς αὐτοὺς πληρωθεῖσαν κἀν τούτῳ τοῦ Ἡσαΐου φωνήν, δι' ἧς ἐθέσπισεν αὐτοῖς εἰπὼν "ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς b ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς."

130. Ἀλλ' ἐπεὶ καὶ περὶ τῶν πεπιστευκότων ἐθνῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ πάλαι πρότερον εἴρητο "οἷς

---

22 Es. 6, 9. 30 Es. 52, 15.

οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκη-
κόασι, συνήσουσιν," τῇ αὐτοῦ χάριτι καὶ τῇ τοῦ πέμ-
ψαντος αὐτὸν πατέρος, ἡμεῖς τε κατὰ τὸ δυνατὸν τὰ
φανέντα εἰς τοὺς τόπους εἰρήκαμεν, καὶ τὰ τῷ πρὸ
[252] ἡμῶν Ἀφρικανῷ εὐγνωμόνως δόξαντα παρεθήκαμεν
ἐχόμενα καὶ αὐτὰ ἀκριβείας, ὅθεν καὶ αὐτοῖς ὡς κα-
c λῶς ἔχουσι χρηστέον.

Ἀπὸ τοῦ Μιχαία.

d III. "Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ,
καὶ πάντες οἱ ἐν αὐτῇ, καὶ ἔσται κύριος ἐν ὑμῖν εἰς
μαρτύριον, κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ, διότι ἰδοὺ
κύριος κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ
καταβήσεται, καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς.
καὶ σαλευθήσονται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ
αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυ-
(405) ρὸς, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. δι'
ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα καὶ δι' ἁμαρτίαν οἴκου
Ἰσραήλ."

2. Εἶτα μεθ' ἕτερα πλεῖστα μεταξὺ ἐπισυνάπτει
λέγων "ἀκούσατε δὴ ταῦτα οἱ ἡγούμενοι οἴκου Ἰακὼβ
καὶ οἱ κατάλοιποι οἴκου Ἰσραὴλ, οἱ βδελυσσόμενοι
κρίμα καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκοδο-
μοῦντες Σιὼν ἐν αἵμασι καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις.
3. οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ
ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο, καὶ οἱ προ-
b φῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν
κύριον ἐπανεπαύοντο λέγοντες, οὐχὶ κύριος ἐν ἡμῖν
ἐστίν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. διὰ τοῦτο δι'

9 Mic. 1, 2. 20 Mic. 3, 9.

ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ. 4. καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοὶ, καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσι, δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου καὶ εἰς τὸν οἶκον τοῦ c θεοῦ Ἰακὼβ, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον πολλῶν ἐθνῶν, καὶ ἐλέγξει ἔθνη ἰσχυρὰ ἕως εἰς γῆν μακράν. 5. καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔτι ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν, καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω τῆς ἀμπέλου αὐτοῦ καὶ ὑποκάτω συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτοὺς, ὅτι τὸ στόμα κυρίου παντοκράτορος ἐλάλησε ταῦτα."

6. Ἤδη καὶ πρότερον ταῦτα ἡμῖν εἰς τοὺς τόπους τεθεώρηται. δέδεικται δὲ ὅπως οὐδ' ἄλλοτέ ποτε ἢ d ἀπὸ τῶν χρόνων τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἀνθρώπους ἐπιφανείας τὰ πάλαι σεμνὰ τῶν Ἰουδαίων, ὄρη Σιὼν ἐπικαλούμενα καὶ Ἱερουσαλὴμ, τά τε ἐπὶ τούτων οἰκοδομήματα, ὁ νεὼς δηλαδὴ καὶ τὸ ἅγιον τῶν ἁγίων καὶ τὸ θυσιαστήριον καὶ ὅσα ἄλλα αὐτόθι εἰς τιμὴν ἀνέκειτο τοῦ θεοῦ ἐκ μέσου ἀρθέντα σεσάλευται, ἀκολούθως τῷ λόγῳ φήσαντι "ἰδοὺ κύριος κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσονται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ." 7. ὧν σαλευθέντων τῶν ἐκ περιτομῆς αἱ ψυχαὶ, κοιλάδες ὀνομαζόμεναι

διὰ τὸ ταπεινὸν αὐτῶν παραθέσει τῶν παλαιῶν ὑψω-
μάτων, τὸν τῶν προειρημένων ἀφανισμὸν ἀπολο-
(406) φυρόμεναι, ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς ἐκτακή-
σονται, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει,
[253] διὰ τὸ πλῆθος τῶν ἐν αὐταῖς ἀπὸ τῶν κρειττόνων
ἐπὶ τὰ χείρω καταπιπτόντων ὁσημέραι. 8. πάντα δὲ
ταῦτά φησιν ἔσεσθαι δι' ἀσέβειαν οἴκου Ἰακὼβ καὶ
δι' ἁμαρτίαν οἴκου Ἰσραήλ. τίς δ' ἦν ἡ ἀσέβεια καὶ
ἡ ἁμαρτία προϊὼν ἑξῆς ἐπιλέγει "οἱ βδελυσσόμενοι
κρίμα καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκο-
δομοῦντες Σιὼν ἐν αἵμασιν καὶ Ἱερουσαλὴμ ἐν ἀδι-
κίαις, ἐν οἷς αἵμασι κἀκεῖνο ἦν τὸ τῶν ὑστάτων κα-
κῶν παραίτιον αὐτοῖς γενόμενον, ἐφ' ᾧ τὴν ἀσεβῆ
b φωνὴν εἰς ἑαυτοὺς ἐπεσπάσαντο φήσαντες "τὸ αἷμα
αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν." 9. διὰ
γοῦν φησὶν αὐτὰ ταῦτα "ὡς ἀγρὸς Σιὼν ἀροτρια-
θήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται,"
ἅπερ οὐδ' ἄλλοτε πώποτε ἢ μετὰ τὰ κατὰ τοῦ σωτῆ-
ρος ἡμῶν τετολμημένα ἀληθῆ τὴν ἔκβασιν εἴληχεν.
10. ἐξ ἐκείνου γάρ τοι καὶ εἰς δεῦρο ἐσχάτης ἐρημίας
καταλαβούσης τοὺς τόπους, τὸ μὲν πρὶν διαβόητον
αὐτῶν Σιὼν ὄρος, ἀντὶ τῆς πάλαι ἐν αὐτῷ μελέτης
καὶ ἀσκήσεως τῶν προφητικῶν καὶ θείων λόγων, ὧν
c παῖδες τὸ πρὶν Ἑβραίων καὶ θεοφιλεῖς προφῆται
ἱερεῖς τε καὶ διδάσκαλοι τοῦ παντὸς ἔθνους ἐν αὐτῇ
διὰ σπουδῆς ἐποιοῦντο, διὰ Ῥωμαίων ἀνδρῶν κατ'
οὐδὲν τῆς λοιπῆς διαφέρουσα χώρας γεωργεῖται, ὡς
καὶ ἡμᾶς αὐτοὺς ὀφθαλμοῖς παραλαβεῖν βουσὶν ἀρού-
μενον καὶ κατασπειρόμενον τὸν τόπον· ἡ δὲ Ἱερου-
σαλὴμ αὐτὴ ὡς ὀπωροφυλάκιον τῆς ἐν αὐτῇ παλαιᾶς

---

14 Matth. 27, 25.

ὀπώρας διαφθαρείσης γέγονε, μᾶλλον δὲ εἰς λιθολογίαν, κατὰ τὴν Ἑβραϊκὴν ἀνάγνωσιν. 11. ὁ γοῦν Ἀκύλας φησὶ “διὰ τοῦτο χάριν ὑμῶν Σιὼν χώρα ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ λιθολογηθήσεται,” d ὑπὸ γὰρ ἀλλοφύλων ἀνδρῶν κατοικισθεῖσα εἰσέτι καὶ σήμερον λιθολογεῖται, πάντων καθ' ἡμᾶς αὐτοὺς τῶν τὴν πόλιν οἰκούντων τοὺς ἀπὸ τῆς πτώσεως αὐτῆς λίθους ἀναλεγομένων εἴς τε τὰ ἴδια καὶ κοινὰ καὶ δημόσια οἰκοδομήματα. 12. καὶ ἔστιν ὀφθαλμοῖς παραλαβεῖν σκυθρωπὸν θέαμα, τοὺς ἐξ αὐτοῦ τοῦ ἱεροῦ καὶ αὐτῶν τῶν πάλαι ἀδύτων καὶ ἁγίων λίθους εἰς τὰ τῶν εἰδώλων τεμένη εἴς τε τὰ τῶν πανδήμων θεαμάτων κατασκευάσματα ἀπειλημμένους· ὧν οὕτως ἐναργῶς τοῖς πᾶσιν ὁρωμένων καὶ ὁ καινὸς νόμος καὶ λόγος ὁ τῆς καινῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ διαθήκης ἐκεῖθέν ποθεν προελθὼν δῆλος ἂν εἴη. 13. ἐφ' ᾧ μυρία πλήθη (407) λαῶν, ἔθνη τε παντοῖα τῶν πατρίων ἀποστάντα θεῶν καὶ τῆς παλαιᾶς δεισιδαίμονος πλάνης, τὸν ἐπὶ πάντων θεὸν ἀνακαλεῖται. 14. διὸ καὶ κατηξίωται τῆς βαθυτάτης εἰρήνης, ὡς μηκέτι πολυαρχίας εἶναι μηδὲ βασιλείας κατὰ τόπους “μηδὲ ἔθνος ἐπ' ἔθνος ῥομφαίαν αἴρειν, μηδ', ὡς τὸ πρίν, πολέμοις τοῖς κατ' ἀλλήλων σχολάζειν, ἀναπαύεσθαι δὲ τῶν γεωργῶν ἕκαστον ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς αὐτοῦ, μηδενὸς ἐκφοβοῦντος αὐτούς” κατὰ τὴν προφητείαν. 15. ὧν οὕτως οὐδ' ἄλλοτέ πω ἐξ αἰῶ- b νος πρότερον ἢ κατὰ τὴν τῶν Ῥωμαίων ἐπικράτησιν ἀπὸ τῶν χρόνων τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν καὶ εἰς δεῦρο συντελουμένων ἀναμφίλεκτον ἡγοῦμαι τὴν ἀπόδειξιν εἰληφέναι τὸν χρόνον τῆς θεσπιζομένης εἰς ἀνθρώπους τοῦ κυρίου παρουσίας.

Ἀπὸ τοῦ Ζαχαρίου.

c IV. “Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος, καὶ καταφεύξονται ἔθνη πολλὰ [254] ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σέ.”

2. Καὶ μεθ᾽ ἕτερα πλεῖστα μεταξὺ ἐπιλέγει d “χαῖρε σφόδρα, θύγατερ Σιὼν, κήρυσσε, θύγατερ Ἱερουσαλὴμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ, καὶ ἵππον ἐξ Ἱερουσαλὴμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικὸν, καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν. καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν δι᾽ ἐκβολὰς γῆς.”

3. Ταῦτα περὶ τῆς τοῦ σωτῆρος ἡμῶν παρουσίας θεσπίσας καὶ νῦν ὁ λόγος, μεθ᾽ ἕτερα περὶ τῆς ἐσχάτης ἐρημώσεως τῆς Ἱερουσαλὴμ, τοτὲ μὲν ἐπικεκρυμμένως καὶ δι᾽ αἰνιγμάτων, τοτὲ δὲ ἀκαλύπτως (408) ἀναφωνεῖ· δι᾽ αἰνιγμάτων μὲν ἐν οἷς φησι “διάνοιξον ὁ Λίβανος τὰς πύλας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, διότι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. ὀλολύξατε δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν· φωνὴ

---

2 Zach. 2, 10. 10 Zach. 9, 9. 22 Zach. 11, 1.

ὠρυομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα τοῦ Ἰορδάνου."

4. Ταῦτα μὲν δι' αἰνιγμάτων. τὴν δὲ τούτων ἑρμηνείαν ἀκαλύπτως ὁ αὐτὸς προφήτης ἐπιφέρει λέγων "ἰδοὺ ἐγὼ τίθημι τὴν Ἱερουσαλὴμ ὡς πρό- b πυλα σαλευόμενα ἅπασι τοῖς λαοῖς κύκλῳ καὶ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἔσται περιοχὴ ἐπὶ Ἱερουσαλὴμ, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θήσομαι τὴν Ἱερουσαλὴμ λίθον καταπατούμενον πᾶσι τοῖς ἔθνεσι. πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσονται ἐπ' αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς."

5. Καὶ μετὰ βραχέα ἐπιλέγει "καὶ ἐπιβλέψονται πρός με εἰς ὃν ἐξεκέντησαν, ἀνθ' ὧν κατωρχήσαντο, καὶ κόψονται ἐπ' αὐτὸν κοπετὸν ὡς ἐπ' ἀγαπητῷ, καὶ ὀδύνην ὡς ἐπὶ πρωτοτόκῳ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς Ἱερουσαλὴμ ὡς κοπετὸς c Ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου· καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς, φυλὴ οἴκου Δαβὶδ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ οἴκου Νάθαν καθ' ἑαυτὴν καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ οἴκου Λευὶ καθ' ἑαυτὴν καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ τοῦ Συμεὼν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· πᾶσαι αἱ ὑπολελειμμέναι φυλαὶ, φυλὴ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς."

6. Καὶ πάλιν μεθ' ἕτερα τὴν ἐσχάτην τῆς Ἱε- d ρουσαλὴμ πολιορκίαν σαφέστερον κηρύττει λέγων "ἰδοὺ ἡμέραι ἔρχονται τοῦ κυρίου, καὶ διαμερισθήσονται τὰ σκῦλά σου ἐν σοὶ, καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται

---

5 Zach. 12, 2. 12 Zach. 12, 10. 28 Zach. 14, 1.

ἡ πόλις, καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως. καὶ ἐξελεύσεται κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου, καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλήμ."

7. *Εἶτα μεθ' ἕτερα τὰ μεταξύ φησιν "καὶ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον."*

(109) 8. *Καὶ αὖθις μεθ' ἕτερα, περιγράφων τὴν βίβλον τῆς προφητείας, τὴν κλῆσιν τῶν ἐθνῶν διὰ τούτων θεσπίζει "καὶ ἔσται ὅσοι ἐὰν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἱερουσαλὴμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν, τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ τοῦ ἑορτάζειν τὴν* [253] *ἑορτὴν τῆς σκηνοπηγίας. καὶ ἔσται, ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς Ἱερουσαλὴμ τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ οὗτοι ἐκείνοις προστεθήσονται. ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ, μηδὲ ἔλθῃ ἐκεῖ, καὶ ἐπὶ* b *τούτους ἔσται ἡ πτῶσις, ἣν πατάξει κύριος πάντα τὰ ἔθνη τῆς γῆς, ὅσα ἐὰν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας. αὕτη ἔσται ἡ ἁμαρτία Αἰγύπτου καὶ ἡ ἁμαρτία πάντων τῶν ἐθνῶν, ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας."*

9. *Ταῦτα καὶ ὁ Ζαχαρίας μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, Δαρείου Περσῶν βασιλεύοντος,*

---

10 Zach. 14, 9. 15 Zach. 14, 16.

προφητεύει, τῆς Ἱερουσαλὴμ ἄρτι τότε ἀνεγηγερμένης ἐκ τῆς προτέρας ἐρημίας, ἣν ὑπὸ Βαβυλωνίων πέπονθε. συνάγεται δὲ ὁ πᾶς χρόνος ἀπὸ τῆς Δαρείου c
τοῦ Πέρσου βασιλείας, καθ' ἣν ὁ Ζαχαρίας προφητεύει, ἐπὶ Αὔγουστον Ῥωμαίων βασιλέα εἰς ἐτῶν ἑβδομάδας ἑπτὰ καὶ ἑξήκοντα δύο τὰς ἐν τῷ Δανιὴλ φερομένας, ἃ γίνεται ἔτη τετρακόσια ὀγδοήκοντα τρία, ὡς ἀπεδείξαμεν ἐν τοῖς μικρῷ πρόσθεν γεγυμνασμένοις. 10. οὔτε δὲ ἐπὶ τῆς Μακεδόνων ἀπὸ Ἀλεξάνδρου [καὶ] μέχρις Αὐγούστου παραταθείσης τῶν ἐμφερομένων τοῖς τοῦ προφήτου λόγοις συνίσταταί τι πεπληρωμένον. 11. πότε γὰρ κατ' ἐκείνους τοὺς χρόνους τοῦ παρὰ τοῖς προφήταις θεολογουμένου κυρίου ἀνθρώποις ἐπιστάντος ἔθνη d
πολλὰ ἐπιγνόντα αὐτὸν καὶ μόνον θεὸν αὐτὸν ὁμολογήσαντα ἐπ' αὐτὸν καταπέφευγε καὶ γέγονεν αὐτῷ εἰς λαόν; ἢ πότε κατὰ τοὺς Περσῶν ἢ Μακεδόνων χρόνους ὁ προφητευόμενος βασιλεὺς ἐλήλυθεν, ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον; ἐλθών τε τοῦ Ἰουδαίων ἔθνους Ἐφραῒμ ὀνομαζομένου καὶ τῆς Ἱερουσαλὴμ αὐτῆς τὴν βασιλικὴν παράταξιν, ἅρματα καὶ ἵππον ἐπικαλουμένην, ἐξωλόθρευσε, τό τε ὁπλιτικὸν τοῦ Ἰουδαίων ἔθνους καθεῖλε; τοῦτο γὰρ ἐδήλου τὸ λόγιον φάσκον "ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν." 12. (410)
ταῦτα γὰρ περὶ τῆς καθαιρέσεως τῆς βασιλικῆς ἀξίας τοῦ Ἰουδαίων ἔθνους ἐθεσπίζετο, ἐφ' ᾗ πάλιν τὰ τῆς τῶν ἐθνῶν εἰρήνης συμφώνως τοῖς πρόσθεν ἀποδεδομένοις ἐπιλέγεται διὰ τοῦ "καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν." 13. ἀνθ' οὗ ὁ Ἀκύλας καὶ οἱ λοιποὶ

ἑρμηνευταὶ ἐκδεδώκασι "καὶ λαλήσει εἰρήνην τοῖς ἔθνεσιν," ὃ καὶ μάλιστα ἀπὸ τῆς Αὐγούστου βασιλείας συνίσταται καὶ πρὸς λέξιν πεπληρωμένον, πάσης μὲν ἐξ ἐκείνου καταλυθείσης πολυαρχίας, εἰρήνης δὲ τὰ πλεῖστα τῆς οἰκουμένης ἔθνη διαλαβούσης. 14. *τίς δὲ πρὸ τῶν Ῥωμαϊκῶν χρόνων ἐπὶ τῶν Περσικῶν ἢ τῶν Μακεδονικῶν τοιοῦτος γέγονεν* b *Ἰουδαίων βασιλεύς, ὡς ἄρξαι αὐτὸν ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης; τοῦτο γοῦν ἐδήλωσαν οἱ λοιποὶ ἑρμηνευταί. ὁ γοῦν Ἀκύλας φησὶ "καὶ λαλήσει εἰρήνην τοῖς ἔθνεσι, καὶ ἡ ἐξουσία αὐτοῦ ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.* 15. *ᾧ συνᾴδει καὶ τὸ ἐν ἑβδομηκοστῷ πρώτῳ Ψαλμῷ περὶ τοῦ ἐκ σπέρματος Σολομῶνος γενησομένου Χριστοῦ ὧδέ πη εἰρημένον "ἀνατελεῖ ἐν ταῖς ἡμέραις* c *αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης·" ταῦτα γὰρ περὶ τοῦ υἱοῦ Σολομῶνος ἐλέγετο οὐδὲν λειπόμενα τῶν ἐν τῷ προφήτῃ εἰρημένων.* 16. *πότ' οὖν ταῦτα καὶ πῶς, ἢ κατὰ ποίους χρόνους γέγονεν, ὁ βουλόμενος ἑρμηνευέτω, ἢ πότε ἄλλοτε μετὰ τὴν ὑπὸ Βαβυλωνίοις πολιορκίαν* [256] *δεύτερον ἐμπρησμὸν ὑπέμεινεν Ἱερουσαλήμ, καὶ ὁ* d *ἐν αὐτῇ κατερρίφη νεώς.* 17. *ὃ καὶ αὐτὸ θαῦμα μέγα ἔχει, ὡς ᾐνίξατο ὁ προφήτης εἰπὼν "διάνοιξον ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου." Λίβανον γὰρ ἐν τούτοις συνήθως αὐτὸ τὸ ἱερὸν ὀνομάζει, ἐπεὶ καὶ δι' ἑτέρων προφητειῶν*

---

16 Ps. 71, 7.

ἀποδέδεικται Λίβανος αὐτὸς ὁ νεὼς ἐπικεκλημένος. 18. τοῦτο δὲ καὶ αὐτοὶ παῖδες Ἰουδαίων εἰσέτι νῦν ὁμολογοῦσιν, ἐπεὶ καὶ Ἡσαΐας ἐμφερῆ τῷ μετὰ χεῖρας προφήτῃ θεσπίζων ἔφησεν "ἰδοὺ κύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται. ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται, καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ." οἷς ἐπιλέγει "καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι." 19. καὶ (411) ἐνταῦθα γὰρ ὁμοῦ τῇ ἐκ σπέρματος Ἰεσσαὶ καὶ Δαβὶδ γενέσει τοῦ Χριστοῦ Λιβάνου καθαίρεσις καὶ ἐθνῶν κλῆσις συνῆπται. Λίβανον δὲ τὴν Ἱερουσαλὴμ διαῤῥήδην ὁ Ἰεζεκιὴλ σημαίνει λέγων "ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, ὁ ἔχων τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ ἀπέκνισε τὰ ἁπαλὰ τῆς κέδρου. 20. ταῦτα γοῦν ὁ αὐτὸς ἑξῆς διασαφῶν ἐπιλέγει "ὅταν ἔλθῃ Ναβουχοδονόσορ ἐπὶ Ἱερουσαλὴμ καὶ λάβῃ τοὺς ἄρχοντας αὐτῆς" καὶ τὰ ἑξῆς. ἀλλὰ ταῦτα b μὲν ὁ Ἰεζεκιὴλ περὶ τῆς πρώτης ἐδήλου πολιορκίας, μεθ' ἣν ὁ Ζαχαρίας περὶ τῆς δευτέρας θεσπίζει. πότε οὖν μετὰ τοὺς Ζαχαρίου χρόνους ἐπὶ τῆς Μακεδόνων βασιλείας ἐμπρησμὸν ὑπέμεινεν ὁ νεώς; ἀλλ' οὐκ ἔστιν εἰπεῖν. 21. μετὰ γὰρ τὴν ὑπὸ Βαβυλωνίων πυρπόλησιν οὐδ' ἄλλοτε δευτέραν ἢ κατὰ Τίτον καὶ Οὐεσπασιανὸν Ῥωμαίων αὐτοκράτορας τὴν διὰ πυρὸς ὑπέμεινε φθορὰν, ἐφ' ᾗ πάλιν διὰ αἰνίγματος τοὺς πάλαι ἄρχοντας τοῦ ἔθνους ἐπὶ θρήνους καὶ ὀλοφυρμοὺς ἀνακαλεῖ φάσκων ὁ λόγος "ὀλολυ-

---

4 Es. 10, 33. 15 Ez. 17, 3. 19 Ez. 17, 12.

c ξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. ὀλολύξατε δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος· φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν." 22. τότε γοῦν καὶ γέγονεν ἡ Ἱερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ γέγονε περιοχὴ, ὅ τε νενομισμένος αὐτοῖς ἅγιος καὶ ἱερὸς τόπος εἰσέτι καὶ σήμερον λίθος τυγχάνει καταπατούμενος πᾶσι τοῖς ἔθνεσι, καὶ πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, ἀκολούθως τῇ προφητείᾳ. 23. ἀλλὰ καὶ d ἀνθ' ὧν κατωρχήσαντο τοῦ ταῦτα θεσπίσαντος κυρίου οὐ διαλέλοιπεν αὐτοὺς κοπετὸς καὶ ὀδυρμὸς καὶ θρῆνος. οὐ πώποτε γοῦν ἄλλοτε ἢ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν καὶ εἰς τὸν καθ' ἡμᾶς χρόνον πᾶσαι αἱ φυλαὶ τοῦ Ἰουδαίων ἔθνους θρήνων καὶ κοπετῶν ἄξια πεπόνθασι διὰ τὴν καταλαβοῦσαν αὐτοὺς ἐκ θεοῦ πληγὴν, ὑφ' ἧς καὶ ἡ μητρόπολις αὐτῶν ἀλλοφύλοις ἔθνεσιν ἐξεδόθη καὶ τὸ ἱερὸν κατεσκάφη, αὐτοί τε τῆς ἰδίας χώρας ἀπελήλαντο, ἐν τῇ πολεμίᾳ ἐχθροῖς δουλεύοντες· ὧν ἕνεκα πᾶς ὁ οἶκος αὐτῶν καὶ πᾶσα ψυχὴ αὐτῶν εἰσέτι καὶ σήμερον θρήνοις ὑποβέβληται. 24. διό φησιν ἡ προφητεία "καὶ κόψεται φυλὴ κατὰ φυλὴν, φυλὴ οἴκου Δα- (112) βὶδ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτὰς, καὶ τὰ τούτοις ἑπόμενα." ποῖαι δὲ μετὰ τοὺς τοῦ Ζαχαρίου χρόνους γεγόνασιν ἡμέραι, ἐν αἷς διεμερίσθη τὰ σκῦλα τῆς Ἱερουσαλὴμ καὶ ἐπισυνήχθη πάντα τὰ ἔθνη ἐπ' αὐτὴν εἰς πόλεμον, ἥλω τε ἡ πόλις καὶ διηρπάγησαν αἱ οἰκίαι, καὶ αἱ γυναῖκες ἐμολύνθησαν ἀπήχθησάν τε εἰς αἰχμαλωσίαν, ὁμοῦ τε καὶ κατὰ τὸ αὐτὸ ὁ κύριος συμμαχῶν τοῖς ἔθνεσι

τοῖς τὴν Ἱερουσαλὴμ πολεμοῦσι παρετάξατο ἐν αὐ- [257]
τοῖς; ἢ πότε ἔστησαν οἱ πόδες αὐτοῦ ἐπὶ τὸ ὄρος τῶν
ἐλαιῶν; ἢ πότε γέγονε κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν b
τὴν γῆν, αὐτός τε εἷς κύριος ἐπὶ πάντας ἀνθρώπους,
καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ
τὴν ἔρημον; ταῦτα γὰρ οὐδ' ἄλλοτέ πω πρότερον
ἔχοι ἄν τις εἰς πέρας δεῖξαι ἀχθέντα ἢ κατὰ τοὺς
Ῥωμαίων χρόνους, καθ' οὓς ἐμπρησμὸν ὑπέμεινε
δεύτερον μετὰ τὸν ὑπὸ Βαβυλωνίων ὁ νεὼς αὐτῶν,
ἥ τε πόλις ἐξ ἐκείνου καὶ εἰς δεῦρο ὑπὸ ἀλλοφύλων
ἐθνῶν κατοικισθεῖσα δείκνυται. 25. ὅτε καὶ ὁ κύ-
ριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ τὰς οἰκείας c
ἐποιεῖτο διατριβὰς ἐπὶ τοῦ ἐλαιῶνος τοῦ κατάντικρυς
τῆς Ἱερουσαλὴμ ὄρους, πληρουμένου τοῦ φάσκοντος
λόγου "καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐπὶ τὸ ὄρος
τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλήμ," τοῦτ' ἔστι
τοῦ θεοσεβοῦς πολιτεύματος καθ' ὅλης τῆς ἀνθρώ-
πων οἰκουμένης ἀνοικοδομηθέντος, πάντα τὰ ἔθνη,
κατὰ τὴν προφητείαν, τὴν ἑορτὴν τῆς σκηνοπηγίας
ἐν παντὶ τόπῳ τῷ θεῷ τῶν προφητῶν πανηγυρίζει,
Αἰγύπτιοί τε ἐξ ἐκείνου τὸν τῶν ὅλων θεὸν ἐπιγνόν-
τες τὰς σκηνὰς αὐτῶν ἐφ' ἑκάστης πόλεως καὶ χώ-
ρας κατεπήξαντο· εἶεν δ' ἂν αὗται αἱ κατὰ τόπον d
ἐκκλησίαι τοῦ Χριστοῦ. 26. ταύτας γὰρ πολὺ κρείτ-
τους τῶν παρὰ Μωσεῖ σκηνῶν ἡ τοῦ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ δύναμις καθ' ὅλης συνεπήξατο τῆς
ἀνθρώπων οἰκουμένης εἰς τὸ πᾶν γένος ἀνθρώπων
καὶ πάντα τὰ ἔθνη σκηνοπηγίας ἑορτὴν τῷ ἐπὶ πάν-
των θεῷ ἐπιτελεῖν. 27. ὅτε τοίνυν καὶ ταῦτα τὰ
πρόπαλαι τοῖς ἔθνεσι προαναφωνηθέντα καθ' ἡμᾶς
αὐτοὺς ὁρῶμεν τὴν ἔκβασιν ἀπειληφότα, τά τε τοῦ
θρήνου καὶ τοῦ κοπετοῦ ταῖς φυλαῖς τοῦ Ἰουδαίων

ἔθνους προκεκηρυγμένα, τά τε τῆς πυρπολήσεως τοῦ
ἱεροῦ καὶ τῆς ἐσχάτης αὐτῶν ἐρημίας, ὁμοίως καὶ
ταῦτα ταῖς προρρήσεσιν εἰσέτι καὶ σήμερον ὀφθαλμοῖς
(413) θεωρεῖται, τί λείπεται ἐπὶ τούτοις ἢ καὶ τὸν προφη-
τευόμενον βασιλέα τὸν Χριστὸν τοῦ θεοῦ ἐληλυθέναι
ὁμολογεῖν, τῶν κατὰ τὴν παρουσίαν αὐτοῦ σημείων
ἐφ' ἑκάστῳ τῶν εἰρημένων ἐναργῆ τὴν ἔκβασιν εἰλη-
φέναι ἀποδεδειγμένων;

Ἀπὸ τοῦ Ἡσαΐου.

b V. "Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης,
καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειρο-
ποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρ-
δία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς, καὶ ἐπεγερθήσον-
ται Αἰγύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολεμήσει ἄν-
θρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν
πλησίον αὐτοῦ. ἐπεγερθήσονται πόλις ἐπὶ πόλιν
c καὶ νόμος ἐπὶ νόμον, καὶ ταραχθήσεται τὸ πνεῦμα
τῶν Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν
διασκεδάσω, καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν,
καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐγγαστριμύθους
καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας."

2. Καὶ ἑξῆς μετὰ πλεῖστα δι' αἰνιγμάτων εἰ-
ρημένα ἐπιλέγεται "τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσια-
στήριον τῷ κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, καὶ στήλη
πρὸς τὸ ὅριον αὐτῆς τῷ κυρίῳ, καὶ ἔσται εἰς ση-
μεῖον εἰς τὸν αἰῶνα τῷ κυρίῳ ἐν χώρᾳ Αἰγύπτου,
d ὅτι κεκράξονται πρὸς κύριον διὰ τοὺς θλίβοντας αὐ-
τούς, καὶ ἀποστελεῖ αὐτοῖς κύριος ἄνθρωπον, ὃς

10 Es. 19, 1. 23 Es. 19, 19.

σώσει αὐτοὺς, κρίνων σώσει αὐτοὺς, καὶ γνωστὸς ἔσται κύριος τοῖς Αἰγυπτίοις, καὶ γνώσονται οἱ Αἰγύπτιοι κύριον τὸν θεὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ [258] ποιήσουσι θυσίας, καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ, καὶ ἀποδώσουσι."

3. Καὶ ταῦτα προλαβόντες ἐκ μέρους διεσαφήσαμεν. εἰ μὲν οὖν μὴ τοὺς πατρῴους θεοὺς καταλιπόντες Αἰγύπτιοι καθ' ἡμᾶς αὐτοὺς ὁρῶνται τὸν τῶν προφητῶν θεὸν ἐπικαλούμενοι, εἰ μὴ καθ' ὅλης τῆς Αἰγύπτου κατὰ πάντα τόπον καὶ πόλιν καὶ χώραν ἀνεγήγερται θυσιαστήριον τῷ παρὰ μόνοις Ἑβραίοις θεολογουμένῳ θεῷ, εἰ μὴ σέσεισται τὰ (414) χειροποίητα Αἰγύπτου, τῆς περὶ αὐτὰ δαιμονικῆς δυνάμεως ἐκλελοιπυίας, καὶ τῆς παλαιᾶς δεισιδαιμονίας ἐκ τῆς τῶν Αἰγυπτίων ψυχῆς ἀρθείσης, καὶ ἔτι πρὸς τούτοις εἰ μὴ καθ' ἑκάστην πόλιν καὶ καθ' ἕκαστον οἶκον πόλεμος ἐμφύλιος τοῖς Αἰγυπτίοις συνίσταται, τῶν μὲν τὸν κύριον καὶ τὸ σέβας τοῦ θεοῦ τῶν προφητῶν ἀποδεξαμένων καὶ ἀποστραφέντων τὴν ἐξ αἰῶνος πολύθεον πλάνην, τῶν δὲ διὰ τὸ τοῖς πατρίοις ἔτι προστετηκέναι κακοῖς τοὺς τὸν κύριον παραδεξαμένους πολεμούντων, εἰ μὴ εἰσέτι καὶ δεῦρο b ἐπερωτᾶν πειρώμενοι τοὺς ἑαυτῶν θεοὺς καὶ τὰ ἀγάλματα καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας καὶ τοὺς ἐγγαστριμύθους ἀτελῆ καὶ ἄπρακτον τὴν ἐπὶ τάδε καταφυγὴν ποιοῦνται διὰ τὸ μηκέθ' ὁμοίως ἐνεργεῖν δύνασθαι ὥσπερ τὸ πρὶν τοὺς δαίμονας, εἰ μὴ πάντα ταῦτα ἔργοις αὐτοῖς τέλος εἰληφότα δείκνυται, μή πώ μοι νομίζοιτο τὸ προφητικὸν πεπληρῶσθαι λόγιον, μηδὲ τὸν θεσπιζόμενον κύριον ἐπιδεδημηκέναι τῷ βίῳ τῶν ἀνθρώπων. 4. εἰ δὲ αὐτοῖς c ἔργοις κατὰ πολὺ τῶν λόγων ἐναργεστέροις εἰσέτι

δεῦρο θεωροῦνται οἱ τὴν Αἴγυπτον οἰκοῦντες, οἱ μὲν τὸν θεὸν τῶν προφητῶν ἐπεγνωκότες καὶ δι' αὐτὸν τοὺς πατρίους καταλελοιπότες θεούς, οἱ δὲ πρὸς τούτους στασιαστικῶς ἔχοντες, καὶ οἱ μὲν τοὺς θεοὺς αὐτῶν εἰσέτι νῦν ἐπικαλούμενοι καὶ τὰ ἀγάλματα καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας μηδέν τε ἐνεργεῖν δυναμένους, οἱ δὲ τῷ κυρίῳ τῶν προφητῶν ἐν πάσῃ τῇ Αἰγυπτίων χώρᾳ θυσιαστήριον καθ' ἑκάστην ἐκκλησίαν συστησάμενοι, ἔν τε ταῖς θλίψεσι καὶ τοῖς κατ' αὐτῶν διωγμοῖς οὐκέτι τὰ κνώδαλα,
d οὐδὲ τὰ ἑρπετὰ τῆς γῆς, ὡς θεούς, οὐδὲ τοὺς ἀγρίους θῆρας καὶ τὰ ἄλογα ζῷα ὁμοίως τοῖς αὐτῶν πατράσιν, ἀλλὰ τὸν ἐπὶ πάντων θεὸν ἐπικαλούμενοι, καὶ μόνον αὐτὸν καὶ τὸν αὐτοῦ φόβον ἐν ταῖς αὐτῶν διανοίαις κατειληφότες, εὐχόμενοί τε αὐτῷ εὐχάς, ἀλλ' οὐκέτι τοῖς δαίμοσι, καὶ ἀποδιδόντες τὰς θεοπρεπεῖς ἐπαγγελίας, πῶς οὐχ ἕπεται συνομολογεῖν καὶ τὰ πρὸ τῶν ἀποτελεσμάτων εἰς ἔργον ἤδη κεχωρηκέναι; ἦν δὲ ταῦτα τοῦ κυρίου παρουσία εἰς Αἴγυπτον οὐκ ἀσώματος ἀποβησομένη, ἀλλὰ διὰ νεφέλης κούφης, ἢ καὶ μᾶλλον διὰ πάχους ἐλαφροῦ· οὕτω γὰρ τὸ Ἑβραϊκὸν περιέχει, τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν αἰνιττόμενον. 5. τοῦτον δὴ οὖν αὐτὸν προϊὼν ἑξῆς ὁ λόγος ἄνθρωπον σωτῆρα ἀπεκά-
(415) λεσε φήσας "καὶ ἀποστελεῖ αὐτοῖς κύριος ἄνθρωπον, ὃς σώσει αὐτούς." πάλιν γοῦν κἀνταῦθα τὸ Ἑβραϊκὸν "καὶ ἀποστελεῖ αὐτοῖς κύριος σωτῆρα, ὃς σώσει αὐτούς" ἔχει. ὧν οὕτως ἐναργῆ τὴν ἀπόδειξιν παρεχομένων ἡγοῦμαι καὶ τοὺς χρόνους σαφεῖς γεγονέναι, καθ' οὓς τὰ τῆς εἰς ἀνθρώπους τοῦ κυρίου παρουσίας ἐθεσπίζετο.

6. Τοσαῦτα διὰ βραχέων καὶ τὰ περὶ τῶν χρό-

νων τῆς τοῦ κυρίου εἰς ἀνθρώπους ἐπιφανείας συνῆκται· πλείονα δ' ἄν τις ἐπὶ σχολῆς εὕροι καὶ τὰς λοιπὰς ἐκπερμιὼν γραφάς· ἡμεῖς γε μὴν τοῖς b εἰρημένοις ἀρκεσθέντες μέτιμεν ἤδη καὶ ἐπὶ τὰς λοιπὰς προφητείας. διὸ τὰ οἰκονομηθέντα ἐν ἀνθρώποις ἀκολούθως αὐτῷ ἐκ τῶν θείων προρρήσεων ἀναλεξόμεθα.

ΒΙΒΛΙΟΝ ΕΝΑΤΟΝ. [259] (416)

1. *Τί δὴ λείπεται ἐπὶ τούτοις ἀλλ' ἢ ταῖς ὑποσχέσεσιν ἀκολούθως διελθεῖν τὰ οἰκονομηθέντα ἐπὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ δὴ τοῦ θεοῦ λόγου; περὶ οὗ τὰ προπεπονημένα ἐν ὀκτὼ τοῖς πρὸ τούτου συγ- (417) γράμμασι διεληλύθαμεν, τοτὲ μὲν τὴν κατ' αὐτὸν θεολογίαν διερευνώμενοι, τοτὲ δὲ τὴν οὐρανόθεν εἰς ἡμᾶς κάθοδον καὶ τόν τε τρόπον ὁμοῦ καὶ τὴν προσηγορίαν καὶ τὸν χρόνον τῆς ἀφίξεως αὐτοῦ διασκοπούμενοι. ὧν ἀποδεδειγμένων καιρὸς ἤδη τὰ κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ συνιδεῖν, παραστῆσαί τε ὅπως καὶ τούτων ἕκαστα παρ' Ἑβραίοις προαναπεφώνητο. 2. τό γε μὴν τῶν προρρήσεων ἀποτέλεσμα διὰ τῆς τῶν ἱερῶν εὐαγγελιστῶν μαρτυρίας καὶ τῆς δι' αὐτῶν ἱστορηθείσης τῶν πραγμάτων ἀποβάσεως ἐπισφραγισθήσεται. πρῶτον οὖν ἁπάν- b των, ἐπειδὴ τὰ περὶ τῆς γενέσεως αὐτοῦ γένους τε καὶ φυλῆς καὶ σπέρματος ἀποδέδεικται, φέρε τὰ περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει αὐτοῦ νέου τινὸς καὶ ξενίζοντος παρὰ τοὺς συνήθεις ἀστέρος θεασώμεθα, ἐπεὶ καὶ τοῦτο πάλαι πρότερον ἐκ μακρῶν*

ἄνωθεν χρόνων παρὰ Μωσεῖ βοώμενον τοῦτον ἱστόρηται τὸν τρόπον·

Ἀπὸ τῶν Ἀριθμῶν.

1. Μωσῆς ἐν Ἀριθμοῖς περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει τοῦ σωτῆρος ἡμῶν ἀστέρος φησὶ "φησὶ Βαλαὰμ υἱὸς Βεὼρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς
d ὁρῶν, ἀκούων λόγια θεοῦ, ἐπιστάμενος ἐπιστήμην ὑψίστου, καὶ ὅρασιν τοῦ θεοῦ ἰδὼν, ἐν ὕπνῳ ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ. δείξω αὐτῷ, καὶ οὐχὶ νῦν, μακαρίζω, καὶ οὐκ ἐγγίζει. ἀνατελεῖ ἄστρον
[260] ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωὰβ, καὶ προνομεύσει πάντας υἱοὺς Σήθ. καὶ ἔσται Ἐδὼμ κληρονομία. καὶ ἔσται κληρονομία Ἠσαῦ ὁ ἐχθρὸς αὐτοῦ, καὶ Ἰσραὴλ ἐποίησεν ἐν ἰσχύϊ, καὶ ἐξεγερθήσεται ἐξ Ἰακὼβ, καὶ ἀπολεῖ σωζόμενον ἐκ πόλεως."

2. Ἐπὶ ταύτῃ φησὶ τῇ προφητείᾳ κινηθέντας τοὺς διαδόχους Βαλαὰμ (σεσῶσθαι γὰρ αὐτὴν, ὡς καὶ ἦν εἰκὸς, παρ' αὐτοῖς, ὁπηνίκα συνεῖδον ἐν οὐρανῷ ξενίζοντά τινα παρὰ τοὺς συνήθεις ἀστέρα, κατὰ κορυφῆς, ὡς ἂν εἴποι τις, καὶ κατὰ κάθετον τῆς Ἰουδαίας ἐστηριγμένον) σπουδὴν πεποιῆσθαι ἐπὶ τὴν Παλαιστινῶν ἀφικέσθαι γῆν, ἱστορίας ἕνεκα τοῦ διὰ
(418) φανέντος ἀστέρος σημαινομένου βασιλέως.

3. Μαρτυρεῖ τούτοις ὁ εὐαγγελιστὴς Ματθαῖος λέγων "τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱερουσαλὴμ λέγοντες, ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰου-

4 Num. 24, 15.   26 Matth. 2, 1.

δαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ,
καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ὅτε καὶ παρα-
πεμφθέντες εἰς Βηθλεὲμ ἐπορεύθησαν, καὶ ἰδοὺ πά-
λιν ὁ αὐτὸς ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν
αὐτοὺς, ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν τὸ παιδίον. b
ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην
σφόδρα, καὶ εἰσελθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ
παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόν-
τες προσεκύνησαν αὐτῷ."

4. Ταῦτα μὲν τὸ ἱερὸν εὐαγγέλιον. ὁ δέ γε τῆς
προφητείας λόγος ἐπὶ τῇ τοῦ ἀστέρος ἐπιτολῇ καὶ τῇ
τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσει τίνα φησὶν
ἔσεσθαι συνιδεῖν ἄξιον, θραῦσιν ἀρχηγῶν Μωὰβ, c
καὶ προνομὴν υἱῶν Σὴθ, καὶ τῶν γε λοιπῶν τοῦ Ἰου-
δαίων ἔθνους πολεμίων κληρονομίαν. οὗτοι δὲ ἦσαν
Ἐδὼμ καὶ Ἡσαῦ. 5. τί δὲ ᾐνίξατο διὰ τούτων ἢ
διὰ μὲν τῶν ἀρχηγῶν Μωὰβ τὴν τῶν ἀοράτων ἀρ-
χόντων καθαίρεσιν, αὐτῶν δὴ τῶν πάλαι παρὰ τοῖς
Μωαβίταις θεολογουμένων δαιμόνων; ἀλλ' οὐχ ἑτέ-
ρων ἐμνήσθη, διὰ τὴν εἰδωλολατρίαν τοῦ Ἰσραὴλ
τὴν ἐπὶ τῆς ἐρήμου γενομένην, ὅτε ἐτελέσθη ὁ λαὸς
τῷ Βεελφεγώρ· (δαίμων δὲ ἦν οὗτος ὡς θεὸς παρὰ
τῷ βασιλεῖ Μωὰβ τῷ Βαλὰκ τιμώμενος.) 6. ἐπεὶ
οὖν νενίκητο ὁ Ἰσραὴλ κατὰ τοῦτο τοῦ καιροῦ πρὸς
τῶν ἀοράτων ἀρχόντων τοῦ Μωὰβ, λέγω δὲ τῶν
παρὰ τοῖς Μωαβίταις νενομισμένων θεῶν, εἰδωλο- d
λάτρησαν γοῦν καὶ προσεκύνησαν τοῖς γλυπτοῖς, ὥς
φησιν ἡ γραφὴ "καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ,"
δαίμων δὲ οὗτος τῶν Μωαβιτῶν ἦν, ὅτε καὶ ἐξε-
πόρνευσαν εἰς τὰς Μωαβίτιδας·) εἰκότως τὸ μέλλον

---

28 Ps. 106, 28.

ἔσεσθαί ποτε καὶ τὴν εἰς τοὐναντίον τῶν πραγμάτων μεταβολὴν κατὰ καιρὸν ὁ Βαλαὰμ θεσπίζει λέγων "ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ, καὶ θραύσει ἡγεμόνας Μωάβ·" 7. ὡσεὶ σαφέστερον ἔλεγε τοὺς μεγαλαυχήσαντας κατὰ τοῦ Ἰσραὴλ δαίμονας τῶν Μωαβιτῶν ἐπὶ τῇ γενέσει τοῦ προφητευομένου θραῦσίν ποτε καὶ πτῶσιν πα- (419) θεῖν, ὧν θραυσθέντων τοὺς υἱοὺς Σὴθ καὶ Ἐδὼμ καὶ Ἠσαῦ καὶ τὰ λοιπὰ ἔθνη, ἃ διὰ τούτων σημαίνεσθαι ἡγοῦμαι, τὰ πάλαι καταδεδουλωμένα τῇ δαιμονικῇ πλάνῃ, μεταβαλόντα τῆς δεισιδαιμονίας οἰκεῖα τοῦ θεσπιζομένου γενήσεσθαι. "καὶ ἔσται γὰρ" φησὶν "Ἐδὼμ κληρονομία, καὶ ἔσται κληρονομία Ἠσαῦ ὁ ἐχθρὸς αὐτοῦ." 8. οἱ γὰρ πάλαι ἐχθροὶ τοῦ θεοῦ καὶ τοῦ Ἰσραὴλ, φησὶ, γενήσονται κληρονομία τοῦ προφητευομένου. αὐτὸς γὰρ ἦν ᾧ εἴρητο πρὸς τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ "αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου." ὧν εἰς τὸν b κλῆρον τῶν ἁγίων μεταστάντων τἀναντία τῷ Ἰσραὴλ [261] ἔσεσθαι θεσπίζει. 9. φησὶ γοῦν "καὶ Ἰσραὴλ ἐποίησεν ἐν ἰσχύϊ." ὁ δὲ ἐποίησεν ἐν ἰσχύϊ τὴν πάντων μεγίστην ἀσέβειαν· διὸ ἐξεγερθήσεται ἀπ' αὐτῶν καὶ ἐξαναστήσεται. 10. τίς οὗτος ἢ ὁ προφητευόμενος τοῦ θεοῦ λόγος, ὃς καὶ ἀπώλεσε σωζόμενον ἐκ πόλεως; οἶμαι δὲ τὴν Ἱερουσαλὴμ αἰνίττεσθαι, ἐξ ἧς ὤλετο πᾶς σωζόμενος, ἢ καὶ τὸ πᾶν τοῦ ἔθνους αὐ- c τῶν πολίτευμα. ταῦτα δὲ ὁποίου τέλους ἔτυχεν, ὁμοῦ τῇ τοῦ σωτῆρος ἡμῶν εἰς ἀνθρώπους ἐκλάμψει τῶν μὲν πρὶν εἰδωλολατρῶν ἐθνῶν εἰς τὸν αὐτῶν μεταστάντων κλῆρον, τοῦ δὲ Ἰουδαίων ἔθνους καὶ

---

17 Ps. 2, 8.

τῆς μητροπόλεως αὐτῶν πεπονθότων ὁποῖα οὐδεπώποτε, οὐ μακρῶν δεῖν οἶμαι λόγων.

11. Ἀλλὰ τὰ μὲν τῆς συμφωνίας τῆς τε προφητικῆς προρρήσεως καὶ τῆς εὐαγγελικῆς συμπεράνσεως ὧδέ πως ἐχέτω τέλους· τί δ' ἦν τὸ αἴτιον τῆς ἐπιλάμψεως τοῦ φανέντος ἀστέρος συνιδεῖν ἄξιον. εἰς σημεῖά φησιν ὁ Μωσῆς καὶ εἰς καιροὺς τεθεῖσθαι τοὺς πάντας ἐν τῷ στερεώματι ὑπὸ τοῦ θεοῦ ἀστέρας· ξένος δὲ ἦν καὶ οὐ συνήθης, οὐδὲ τῶν πολλῶν καὶ γνωρίμων εἷς, ἀλλά τις καινὸς καὶ νέος ἀστὴρ d ἐπιφανεὶς τῷ βίῳ σημεῖον ξένου φωστῆρος ἐδήλου καταλάμψαντος τῷ παντὶ κόσμῳ, ὃς ἦν ὁ Χριστὸς τοῦ θεοῦ, μέγας καὶ νέος ἀστὴρ, οὗ τὴν εἰκόνα συμβολικῶς ὁ φανεὶς τότε τοῖς μάγοις ἐπεφέρετο. 12. ἐπειδὴ γὰρ καθ' ὅλης τῆς ἱερᾶς καὶ θεοπνεύστου γραφῆς ὁ προηγούμενος τῆς διανοίας σκοπὸς μυστικώτερα καὶ θεῖα βούλεται παιδεύειν μετὰ τοῦ καὶ τὴν πρόχειρον διάνοιαν σώζεσθαι ἐν μέρει τῶν ἱστορικῶς πεπραγμένων, εἰκότως καὶ ἡ μετὰ χεῖρας πρόρρησις ἐπληροῦτο πρὸς λέξιν ἐπὶ τῇ τοῦ προαναφωνηθέντος ἀστέρος ἐπὶ τῇ γενέσει τοῦ σωτῆρος ἡμῶν προφητείᾳ. 13. γίγνονται μὲν οὖν καὶ ἐφ' (420) ἑτέρων ἐπιδόξων καὶ ἐπιφανῶν ἀνδρῶν ξενιζόντων ἀστέρων ἐκλάμψεις, οἷον τῶν καλουμένων παρά τισι κομητῶν, ἢ δοκίδων, ἢ πωγωνιῶν, ἤ τινων ἑτέρων τούτοις παραπλησίων ἐπὶ μεγάλοις πράγμασιν ἐξ ἔθους ἀναφαινομένων. 14. ἀλλὰ τί γὰρ κρεῖττον ἢ μεῖζον τῷ παντὶ κόσμῳ γένοιτ' ἄν ποτε ἢ τὸ διὰ τῆς σωτηρίου ἐπιφανείας πᾶσιν ὑπάρξαν ἀνθρώποις νοερὸν φῶς, εὐσεβείας καὶ θεογνωσίας ἀληθοῦς κατάληψιν b λογικαῖς ψυχαῖς κομιζόμενον; οὗ δὴ χάριν τὸ μέγα σημεῖον ὁ προφανεὶς ἐδήλου ἀστὴρ, μέγαν καὶ νέον

φωστῆρα ἐπιλάμψαντα τῷ παντὶ κόσμῳ τὸν Χριστὸν
τοῦ θεοῦ πᾶσιν αἰνιττόμενος. 15. κατὰ τὸ αὐτὸ δὲ
ἡ προφητεία ἄνθρωπον ὁμοῦ καὶ ἀστέρα θεσπίζει
δι' ὧν φησιν "ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀνα-
στήσεται ἄνθρωπος ἐξ Ἰσραήλ", τὸν μὲν οὐράνιον
φωστῆρα τὸν θεὸν λόγον εἶναι, τὸν αὐτὸν δὲ ἄνθρω-
πον ὀνομάζουσα. διαφόρως δὲ αὐτὸν καὶ ἐν ἑτέροις
ἀνατολὴν ὁμοῦ καὶ φῶς καὶ ἥλιον δικαιοσύνης ἀπο-
c καλεῖ, ὡς ἐν τοῖς πρώτοις ἀπεδείξαμεν. 16. εἶτα τὸ
μὲν θειότερον αὐτοῦ, "ἅτε φωτίζον πάντα ἄνθρω-
πον ἐρχόμενον εἰς τὸν κόσμον," τῷ τῆς ἀνατολῆς
ἐπεφήμισε προσρήματι φήσας "ἀνατελεῖ ἄστρον ἐξ
Ἰακώβ." τὸν δὲ ἄνθρωπον, διὰ τὸ συμβὰν περὶ
αὐτὸν πάθος, ὡς ἂν πεπτωκότα ἀναστήσεσθαι θε-
σπίζει, ὁμοίως οἷς καὶ Ἡσαΐας περὶ αὐτοῦ φησι "καὶ
ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν
ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι." καὶ σαφές γε
τίνα τρόπον τὸ φῶς τοῦ σωτῆρος ἡμῶν ἐκ τοῦ Ἰακὼβ
ἀνατεῖλαν, τοῦτ' ἔστιν ἀπὸ τοῦ ἐκ περιτομῆς λαοῦ,
d πᾶσι τοῖς ἔθνεσιν, ἀλλ' οὐχὶ τῷ Ἰακὼβ, ὅθεν καὶ
προῆλθεν, ἐξέλαμψε. 17. τοῦτο δὲ καὶ ἀπὸ πλείστων
ἑτέρων πάρεστιν ἐκλαβεῖν προφητειῶν, ὡς πρὸς αὐ-
τὸν φασκουσῶν τὸν Χριστὸν "ἰδοὺ τέθεικά σε εἰς
διαθήκην γένους, εἰς φῶς ἐθνῶν·" οὐ μὴν ἀλλὰ καὶ
ἐκ τῶν τοῦ Βαλαὰμ λόγων, δι' ὧν φησιν "ἐξελεύσε-
[262] ται ἐκ τοῦ σπέρματος αὐτοῦ ἄνθρωπος, καὶ κυριεύ-
σει ἐθνῶν πολλῶν." 18. τίνος δὲ ἐκ σπέρματος ἢ
τοῦ Ἰσραὴλ, ὡς ἡ σύμφρασις παρέστησε; καὶ δὴ κυ-
ριεύσας ἐθνῶν ὁ τοῦ σωτῆρος ἡμῶν λόγος ἀκολού-
θως τῇ προφητείᾳ τὰς πάλαι πρότερον αὐτῶν ἀρχού-

10 Jo. 1, 9.

σας ἀοράτους καὶ μοχθηρὰς δυνάμεις καθεῖλε, καὶ τὰ πνευματικὰ τῆς πονηρίας, τό τε στῖφος τὸ δαιμονικὸν, ἀρχηγοὺς Μωὰβ καὶ Σὴθ καὶ Ἐδὼμ καὶ Ἠσαῦ τροπικώτερον ἐν τοῖς μετὰ χεῖρας ὠνομα- (421) σμένα. 19. ἀσαφῶς δὲ κείμενον παρὰ τοῖς ἑβδομήκοντα τὸ "δείξω αὐτῷ, καὶ οὐχὶ νῦν, μακαρίζω καὶ οὐκ ἐγγίζει," σαφέστερον ὁ μὲν Ἀκύλας ἐξέδωκεν "ὄψομαι αὐτὸν, καὶ οὐ νῦν, προσκοπῶ αὐτὸν, ἀλλ' οὐκ ἐγγύς·" ὁ δὲ Σύμμαχος λευκότερον, φήσας "ὁρῶ αὐτὸν, ἀλλ' οὐκ ἐγγύς." 20. λέγοιτο δ' ἂν ταῦτα ὑπὸ τοῦ Βαλαὰμ ὡς μακροῖς ὕστερον μετ' αὐτὸν χρόνοις μελλόντων ἐπιτελεσθήσεσθαι τῶν δηλουμένων· μετὰ γοῦν δισχιλιοστὸν ἔτος τῆς προρρήσεως ἐπληροῦτο ταῦτα ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν εἰς ἀνθρώπους ἐπιδημίας.

Ἀπὸ τοῦ Ἡσαΐου.

II. "Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς."

Τὸ δ' αἴτιον τοῦ τὸν κύριον ἥξειν εἰς Αἴγυπτον θεσπίζεσθαι τόδε μοι εἶναι δοκεῖ. πρῶτοι μὲν πάντων Αἰγύπτιοι τῆς πολυθέου καὶ δαιμονικῆς πλάνης d
ἀπάρξασθαι λέγονται, καὶ τοῖς λοιποῖς πᾶσιν ἀνθρώποις αἴτιοι καταστῆναι δεισιδαιμονίας, ἀλλὰ καὶ πάντων μᾶλλον περὶ τὰς δαιμονικὰς ἐνεργείας τε καὶ περιεργίας ἠσχολῆσθαι. 2. οὗτοι δὲ καὶ ὑπὸ τῆς ἐνθέου γραφῆς ἐχθροὶ τοῦ λαοῦ τοῦ θεοῦ ἄνωθεν

---

17 Es. 19, 1.

καὶ ἐξ ἀρχῆς γεγονέναι μεμαρτύρηνται, καὶ ὅ γε πα-
λαιὸς αὐτῶν βασιλεὺς ὁμολογῶν μὴ εἰδέναι τὸν κύ-
ριον ἀναγέγραπται, ὅτε δὴ ἔφασκεν "οὐκ οἶδα τὸν
κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω." τὸ δὴ
οὖν μέγα θαῦμα τῆς ἐνθέου τοῦ Χριστοῦ δυνάμεως
παραστῆσαι βουλόμενος ὁ λόγος θεσπίζει τοῦ κυρίου
(422) τὴν εἰς Αἴγυπτον ἄφιξιν, ἐφ' ᾗ μεταβολὴν οὐ τὴν
τυχοῦσαν τῶν Αἰγυπτίων ἔσεσθαι προφητεύει, λέ-
γων ἑξῆς "καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν κύριον,
οἱ πρὶν μὴ εἰδότες αὐτὸν, καὶ εὔξονται τῷ κυρίῳ
εὐχάς", καὶ τὰ τούτοις παραπλήσια. 3. ἀνωτέρω μὲν
οὖν ἐν τῷ πρὸ τούτου κεφαλαίῳ κληρονομία τοῦ
θεσπιζομένου Ἐδὼμ καὶ Ἡσαῦ ἐλέγετο, τῶν ἀλλο-
τρίων τοῦ Ἰσραὴλ οὕτω σημαινομένων· ἐνταῦθα δὲ
ἡ Αἴγυπτος καὶ ὁ τῆς Αἰγύπτου λαὸς οὐκέτι τῶν
b εἰδώλων, ἀλλ' αὐτοῦ παρὰ τοῖς Ἰουδαίων προφήταις
θεολογουμένου κυρίου θεσπίζεται. 4. ἅπερ εἰ μὲν
μὴ ὄψει συντελούμενα θεωρεῖται, οὐκ ἔστιν εἰπεῖν
τὴν θεσπιζομένην ἄφιξιν τοῦ κυρίου εἰς τὴν Αἴ-
γυπτον γεγονέναι· εἰ δὲ ὑπὲρ πάντα λόγον ἡ ἀλή-
θεια μαρτυρεῖ τοῖς πράγμασι, καὶ τοῖς ἀγνωμονε-
στάτοις ἐναργῶς δείκνυσιν αὐτοὺς Αἰγυπτίους τῆς
μὲν ἐξ αἰῶνος πατροπαραδότου δεισιδαιμονίας ἀνα-
κεχωρηκότας, οἰκειωθέντας δὲ τῷ θεῷ τῶν ταῦτα
c προαναφωνησάντων προφητῶν, καὶ τοῦτον μόνον
σέβοντας, καὶ πάντα θάνατον ἀσπαζομένους ὑπὲρ
τῆς εἰς αὐτὸν εὐσεβείας, ὥρα μὴ ἄλλως ταῦτα γεγο-
νέναι συνομολογεῖν ἢ τοῦ κυρίου ἐληλυθότος εἰς
Αἴγυπτον ἀκολούθως τῇ προκειμένῃ προρρήσει. 5.
ἔστι μὲν οὖν καὶ ἄλλως τὸν λόγον αἰνίττεσθαι προ-

---

3 Exod. 5, 2.

πικῶς τὸν περίγειον κόσμον, εἰς ὃν ὁ λόγος προφη- [263] τεύει τὸν κύριον ἐπὶ νεφέλης κούφης ἥξειν, οὕτω τὸν ἐκ παρθένου καὶ πνεύματος ἁγίου ληφθέντα αὐτῷ ἄνθρωπον αἰνιττόμενος· χειροποίητα δὲ Αἰγύπτου σεισθήσεσθαι, τὰ τῶν ἐθνῶν ξόανα καὶ τοὺς ἐν αὐτοῖς δαίμονας, ὡς αὖ πάλιν Αἰγυπτίους ἡττω- d μένους, πάντας τοὺς πάλαι πρότερον περὶ τὴν εἰδωλολατρίαν ἐπτοημένους. 6. πλὴν ἀλλὰ καὶ σωματικῶς τοῦ σωτῆρος ἡμῶν ἐπικομισθέντος τῇ Αἰγυπτίων χώρᾳ, ὅτε κατὰ τὸν χρησμὸν ἀναστὰς ὁ Ἰωσὴφ παρέλαβε τὴν Μαριὰμ καὶ τὸ παιδίον καὶ ἦλθεν εἰς Αἴγυπτον, ἀπορρήτῳ δυνάμει καὶ ἐνεργείᾳ τὰς αὐτόθι τὸ πρὶν οἰκούσας πονηρὰς δυνάμεις εἰκὸς οὐ μικρῶς κεκινῆσθαι, καὶ μάλιστα ὅτε διὰ τῆς μετέπειτα διδασκαλίας αὐτοῦ μυρία πλήθη τῶν τὴν Αἴγυπτον οἰκούντων, τῆς τῶν δαιμόνων ἀποφυγόντα πλανήσεως, ἔτι καὶ νῦν τὸν τῶν ὅλων ὁμολογεῖ μόνον εἰδέναι θεόν. τὰ δ' ἐν τοῖς ἑξῆς ἐπιλεγόμενα, (423) αἰνιγματώδη ὄντα πλείονός τε δεόμενα πραγματείας, ἐπ' οἰκείας σχολῆς ἑρμηνεύσομεν.

Ἀπὸ τῶν Ἀριθμῶν.

III. "Φησὶ Βαλαὰμ υἱὸς Βεὼρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν, φησὶν ἀκούων λόγια ἰσχυροῦ, ὅστις b ὅρασιν θεοῦ εἶδεν ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡς καλοὶ οἱ οἶκοί σου Ἰακὼβ, αἱ σκηναί σου Ἰσραὴλ, ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡς παράδεισος ἐπὶ ποταμῶν, καὶ ὡσεὶ σκηναὶ, ἃς ἔπηξε κύριος, ὡσεὶ κέδροι παρ' ὕδατα. ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν,

22 Num. 24, 3.

c καὶ ὑψωθήσεται ἡ Γὼγ βασιλεία, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ. θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ. ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ τὰ πάχη αὐτῶν ἐκμυλιεῖ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν. κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; οἱ εὐλογοῦντές σε εὐλόγηνται καὶ οἱ καταρώμενοί σε κεκατήρανται."

2. Ἀνωτέρω διὰ τῆς προτεταγμένης προφητείας φήσας ὁ χρησμὸς τὸν κύριον ἥξειν εἰς Αἴγυπτον d ἐδήλου τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διακομιδὴν, τὴν ἅμα τοῖς γονεῦσιν εἰς Αἴγυπτον αὐτῷ γενησομένην· ἐν τούτοις δὲ τὴν ἐπάνοδον ἑξῆς καὶ ἀκολούθως τὴν ἀπ' Αἰγύπτου, ἣν ἅμα τοῖς γονεῦσιν εἰς τὴν γῆν τοῦ Ἰσραὴλ ἐποιήσατο, θεσπίζει λέγων "θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου." 3. μόνος δὲ ἦν ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ καὶ οὐδὲ ἄλλος ὁ ἐκ τοῦ σπέρματος Ἰσραὴλ καὶ τοῦ Ἰουδαίων ἔθνους προελθὼν, καὶ πολλῶν κατακυριεύσας ἐθνῶν, ὥστε ἀναμφιλόγως ὁμολογεῖσθαι πέρας ἔχειν ἐπ' αὐτῷ καὶ τὴν παροῦσαν πρόρρησιν διαρρήδην ἐκφωνοῦσαν ὅτι δὴ ἐκ τοῦ Ἰουδαίων (424) ἔθνους ἐξελεύσεταί τις ἄνθρωπος καὶ κυριεύσει ἐθνῶν πολλῶν. 4. ἢ λεγέτω ὁ βουλόμενος εἰ ἔχοι ἄλλον συστῆσαι τῶν πώποτε παρ' Ἑβραίοις ἐνδόξων πολλῶν ἐθνῶν ἄρξαντα· ἀλλ' οὐκ ἂν εἴποι τις, ὅτι μηδὲ γέγονεν. ἐπὶ δέ γε τοῦ σωτῆρος ἡμῶν, κἂν ἡμεῖς μὴ λέγωμεν, αὐτή γε ἡ ἀλήθεια βοήσει καὶ μέγα κεκράξεται, ἄντικρυς παριστῶσα ὅπως ἡ ἔνθεος αὐτοῦ δύναμις διὰ τοῦ ἀναληφθέντος αὐτῷ ἐκ σπέρματος Ἰσραὴλ τοῦ κατὰ σάρκα ἀνθρώπου ἐκυρίευσε, καὶ εἰσέτι νῦν κυριεύει ἐθνῶν πολλῶν. 5. αὐτὸς

ἄρα οὗτος ἐκεῖνος ἦν καὶ οὐδ' ἄλλος, ὃν ἡ προφη-
τεία προηγόρευσε, καθ' ὃν καὶ ἡ Γὼγ ὑψώθη βασι- b
λεία τῆς Χριστοῦ δυνάμεως συναυξούσης. τοῦτον
δ' ἐνταῦθά φασιν αἰνίττεσθαι καθ' Ἑβραίους τὸν
τρόπον τὴν τῶν Ῥωμαίων βασιλείαν, ᾗ καὶ συνή- [264]
κμασεν ἡ Χριστοῦ διδασκαλία. 6. μέμνηται δὲ τοῦ
Γὼγ καὶ ὁ προφήτης Ἰεζεκιὴλ "ἄρχοντα Ῥὼς Μοσὸχ
καὶ Θοβὲλ" ὀνομάζων· διὰ μὲν τοῦ Ῥὼς τὴν Ῥωμαίων,
ὡς ἔοικε, πόλιν αἰνιττόμενος, ἐπεὶ καὶ ἀρχὴ καὶ κε-
φαλὴ κατὰ τὴν Ἑβραίων φωνὴν διὰ τοῦ Ῥὼς δηλοῦ-
ται, διὰ δὲ τοῦ Μοσὸχ τὴν Μυσίαν καὶ τὰ πέριξ c
ταύτης ἔθνη, ὅσα νῦν οἰκεῖα Ῥωμαίων ἐστὶ, διὰ δὲ
τοῦ Θοβὲλ τὴν Ἰβηρίαν ὁ Ἰώσηπος δηλοῖ, ἀπὸ τοῦ
Θοβὲλ γεγονέναι φάσκων Θοβεήλους τοὺς Ἴβηρας· ὧν
ἁπάντων ἄρχοντα τὸν Γὼγ ὑψωθήσεσθαί φησιν ἐπὶ
τῆς τοῦ προφητευομένου Χριστοῦ παρουσίας, ὃν ὁ
θεὸς ὡδήγησεν ἐξ Αἰγύπτου, ὅτε κατὰ τὸν Ματθαῖον
ἐπιβουλεύοντος τοῦ Ἡρώδου παιδὶ ὄντι αὐτῷ χρημα-
τισθεὶς ὁ Ἰωσὴφ παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα
αὐτοῦ, καὶ ἐπανῆλθεν εἰς γῆν Ἰσραήλ. δόξα δὲ μονο-
κέρωτος αὐτῷ τῷ Χριστῷ παρῆν, διὰ τὸ ἐν αὐτῷ d
εὐδοκηκέναι κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότη-
τος, κατὰ τὸν ἱερὸν ἀπόστολον. 7. διόπερ ὡς κέρας
ἐπιγραφόμενος τὸν τῶν ὅλων θεὸν καὶ πατέρα αὐτοῦ
μονόκερως καὶ ἐν ἑτέραις γραφαῖς ὠνομάσθη. ὁ δ'
αὐτὸς τοῦ θεοῦ λόγος τοῖς νοητοῖς καὶ λογικοῖς αὐτοῦ
βέλεσι τὸν ἐχθρὸν καὶ ἀντικείμενον αὐτῷ διάβολον
πάσας τε τὰς ἀμφ' αὐτὸν ἀοράτους καὶ πονηρὰς δυ-
νάμεις διὰ κρείττονος καὶ ἀκαταμάχου δυνάμεως ἤλαυ-
νεν, εἰσέτι τε νῦν κυριεύει ἐθνῶν πολλῶν, ὧν τὰ

---

7 Ez. 38, 3. 13 Joseph. Ant. I. 6. 20 Col. 2, 9.

πάχη καὶ τὸ φρόνημα τῆς σαρκὸς λεπτύνων ἐπὶ τὴν (425) στενὴν ὁδὸν τῆς αἰωνίου ζωῆς ἐπιτηδείους κατασκευάζει. ἀλλὰ καὶ κατακλιθεὶς αὐτὸς οὗτος ὁ ἐξ Ἰσραὴλ προελθὼν ἄνθρωπος, ὁ κατακυριεύσας ἐθνῶν πολλῶν, ἀνεπαύσατο, φησὶν, ὡς λέων, οὕτω δηλῶν ἣν ἀνεδέξατο οἰκονομίαν, καθ' ἣν ὥσπερ τις βασιλικὸς καὶ θαρραλέος θὴρ ἀνεπαύσατο, μηδενὸς αὐτοῦ τὴν ἀρχὴν καὶ τὴν βασιλείαν μεταστήσασθαι δυναμένου, πάντες τε οἱ τὸν Χριστὸν εὐλογοῦντες, λόγῳ τε καὶ βίῳ σεμνύνοντες τὴν ἀρετὴν τοῦ διδασκάλου, τῆς ἐκ θεοῦ μετειλήφασιν εὐλογίας, αὔξοντες ὁσημέραι καὶ πληθύνοντες, κατὰ τὸ "αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν," ἀληθέστερον ἐπ' αὐτῶν καὶ b θεοπρεπέστερον τῆς θείας ἐκτελουμένης φωνῆς· ὡς ἔμπαλιν οἱ ἀπὸ πρώτης τῆς κατ' αὐτοῦ ἐπιβουλῆς εἰσέτι καὶ νῦν αὐτὸν ἐν τοῖς αὐτῶν συνεδρίοις ἀρώμενοι, τὴν ἐκ θεοῦ κατάραν ἐξ ἐκείνου καὶ εἰσέτι δεῦρο καθ' ἑαυτῶν ἐπεσπάσαντο. 9. διὸ καὶ τὴν ἐσχάτην οὐ μόνον τῆς βασιλείας, ἀλλὰ καὶ τοῦ πάλαι σεμνοτάτου αὐτῶν ἁγιάσματος ἐρημίαν τε καὶ φθορὰν οὐ παύονται πρὸ ὀφθαλμῶν ὁρῶντες. ἄξιον δὲ παραθεῖναι τοῖς μετὰ χεῖρας τὴν πρὸς τὸν Ἰούδαν τοῦ Ἰα- c κὼβ προφητείαν, ἣν καὶ αὐτὴν ἐναργέστατα εἰς τὸν ἡμέτερον σωτῆρα ἐφαρμόζειν προπαρεστήσαμεν, συνιδεῖν τε τὴν ἐν ἑκατέροις συμφωνίαν. 10. ὡς γὰρ ἐνταῦθα εἴρηται "ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ" (δῆλον δ' ὅτι τοῦ Ἰακώβ,) οὕτω κἀκεῖ "ἐκ βλαστοῦ υἱέ μου ἀνέβης" εἴρητο ὑπ' αὐτοῦ τοῦ Ἰακὼβ πρὸς τὸν προφητευόμενον. 11. καὶ ὡς ἐπὶ τοῦ παρόντος λέγεται τὸ "καὶ κυριεύσει ἐθνῶν πολλῶν"

---

12 Gen. 1, 28. 30 Gen. 49, 9.

ὁμοίως καὶ ἐν ἐκείνοις τὸ "καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν." καὶ πάλιν ἐνταῦθα μὲν "ἔδεται" φησὶν "ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει d ἐχθρόν·" ὡσαύτως δὲ καὶ ἐν ἐκείνοις αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου ἐλέγετο. 12. καὶ τὸ "σκύμνος λέοντος Ἰούδα" καὶ τὸ "ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν" ἐν ἐκείνοις εἰρημένον οὐδέν μοι δοκεῖ διαφέρειν τῆς μετὰ χεῖρας λέξεως φασκούσης "κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος, τίς ἀναστήσει αὐτόν;" ταῦτα δὲ εἰκότως εἰς ταυτὸν συνηγάγομεν, ἵν' ὥσπερ ἐπὶ στόματος δύο μαρτύρων τῆς ἐν ταῖς προφητείαις συμφωνίας ἡ [265] περὶ τοῦ σωτῆρος ἡμῶν ἀπόδειξις βεβαιοτέραν λάβοι τὴν κύρωσιν. 13. πάντα δ' οὖν τὰ εἰς τὴν τοῦ Ἰακὼβ πρόρρησιν τεθεωρημένα ἁρμόσειεν ἂν καὶ εἰς τὴν τοῦ Βαλαάμ, τῆς ὁμοιότητος τῶν λεγομένων ἕνεκα. εἰ δὴ (426) οὖν ἐκεῖνα διὰ πολλῆς ἀποδείξεως ἐπὶ τὸν ἡμέτερον σωτῆρα πεπληρωμένα συνέστη, ἀκόλουθον ἂν εἴη καὶ τὰ παρόντα ὁμολογεῖν.

Ἀπὸ τοῦ Ὡσηέ.

IV. "Καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, b καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται, ὡς ἄρχων Σαλαμὰν ἐκ τοῦ οἴκου Ἱεροβοάμ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ τέκνοις ἠδάφισαν. οὕτω ποιήσω ὑμῖν οἶκος Ἰσραὴλ ἀπὸ προσώπου τῶν ἀδικιῶν ὑμῶν. ὄρθρου ἀπερρίφη βασιλεὺς Ἰσραήλ, διότι νήπιος Ἰσραήλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ."

2. Δουλεύσας τῷ Ἑβραϊκῷ "ἐξ Αἰγύπτου ἐκάλεσα c

9 Matth. 18, 16. 21 Os. 10, 14.

τὸν υἱόν μου" ἐξέδωκεν ὁ Ἀκύλας. ἀναγκαίως δὲ τὸ ῥητὸν ἐπεσημειωσάμην, ἐπείπερ καὶ ὁ Ματθαῖος τέθειται τὴν προφητείαν, ὁπηνίκα εἰς Αἴγυπτον διακομισθῆναι τὸν Ἰησοῦν κἀκεῖθεν ἐπανελθεῖν ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ ἐδήλου. εἰ δὲ ἐπιμέμφοιτό τις τῇ εἰς Αἴγυπτον ἀναχωρήσει τοῦ σωτῆρος ἡμῶν, ἴστω κατὰ d *λόγον αὐτὴν γεγονέναι.* 3. *οὔτε γὰρ ἐπισχεῖν τὸν Ἡρώδην τῆς αὐτοπροαιρέτου κακίας προσῆκον ἦν οὔτ' αὖ βρέφος ἔτ' ὄντα τὸν σωτῆρα τῶν θαυμάτων ἀπάρξασθαι καὶ πρὸ καιροῦ τὴν θείαν ἐπιδείκνυσθαι δύναμιν, ὅπερ ἂν ἐπράχθη, εἰ παραδόξως ἐπιβουλεύοντα αὐτῷ τὸν Ἡρώδην μετῆλθεν, μηδαμῶς ὑπομείνας τὴν εἰς Αἴγυπτον ἅμα τοῖς γονεῦσιν ἀναχώρησιν.* 4. *ἀλλὰ γὰρ ἦν τῆς κρείττονος οἰκονομίας ἐπὶ καιροῦ τοῦ προσήκοντος τῶν τῆς θεότητος ἀπάρξασθαι θαυμάτων ᾧ γε διὰ παντὸς τοῦ βίου τὸ πρᾶον καὶ ἀνεξίκακον μεμαρτύρηται, προχείρῳ μὲν εἰς τὰς εὐποιίας καὶ τὰς κοινὰς εὐεργεσίας γενομένῳ, μηδένα δὲ τῶν μὴ ἀκουόντων ἀμυνομένῳ, μηδ' ὅτε "ὡς πρόβατον ἐπὶ σφαγὴν ἤγετο καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ* (427) *κείροντος ἄφωνος."* 5. *πῶς οὖν εἰκὸς ἦν τὸν τοιοῦτον δεῖν ἐν παιδίῳ μὴ οὐχὶ ὑποχωρῆσαι τῇ τοῦ Ἡρώδου κακίᾳ, ᾧ καὶ ἐν ἀνδρὶ τὸ ἀναχωρεῖν καὶ τοὺς πονηροὺς ἐκκλίνειν μεμαρτύρηται, ἐπικρύπτεσθαί τε καὶ ὑποφεύγειν τὸν ἐπὶ ταῖς παραδοξοποιίαις ἔπαινον; παρῄνει γοῦν τοῖς ὑπ' αὐτοῦ θεραπευομένοις μηδενὶ λέγειν.* 6. *εἰ δ' ἐπὶ τὸν λαὸν τὴν προφητείαν ἀναφέροι τις, φάσκων περὶ τοῦ ἐκ σπέρματος τοῦ Ἰσραὴλ λαοῦ εἰρῆσθαι, ἐπιστησάτω τῇ τοῦ λόγου ἀκολουθίᾳ, ταῦτα ἔσεσθαι φησάσῃ μετὰ τὸ εἰπεῖν ὡς πρὸς αὐτὴν*

19 Es. 53, 7.

τὴν Ἱερουσαλὴμ "καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ b λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται." 7. καὶ ἅπερ, φησὶν, ὁ τοιόσδε ἄρχων πέπονθεν κατὰ τὸν ἐπελθόντα αὐτῷ πόλεμον ἐν ᾧ μητέρα ἐπὶ τέκνοις ἠδάφισαν, τὰ παραπλήσια καὶ ὑμῖν αὐτοῖς ποιήσω διὰ τὰς κακίας ὑμῶν. ὑμῖν δὲ τίσιν ἢ τοῖς καλουμένοις Ἰσραηλίταις, οἳ καὶ ἀπερρίφητε σὺν τῷ βασιλεῖ ὑμῶν, τὸν Ἡρώδην αἰνιττόμενος; 8. καὶ ταῦτά γε πάντα πεπόνθατε, "διότι παῖς" φησὶν "Ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου c ἐκάλεσα τὸν υἱόν μου." πῶς γὰρ οἷόν τε κατὰ τὸ αὐτὸ τοῖς αὐτοῖς ἐπιμέμφεσθαι καὶ πάλιν τοὺς αὐτοὺς ἐπαινεῖν; ἀλλ' ἦν ὁ ἀληθὴς νοῦς ταύτην ἔχων τὴν θεωρίαν. Ἰσραὴλ γὰρ ὁ Χριστὸς καὶ καθ' ἑτέρας [266] ἀνηγόρευται προφητείας, ὥσπερ οὖν καὶ ἐπὶ τῆς παρούσης. 9. ἐπειδὴ τοίνυν οὗτος, φησὶν, ὑπήκοός μοι γενόμενος μορφὴν δούλου εἴληφε, καὶ γέγονε παιδίον ἀγαπητὸν ἐμοὶ, πᾶσαν τὴν ἐμὴν ἐκτελέσας βουλὴν, διὰ τοῦτο αὐτὸν μὲν ἀπὸ τῆς Αἰγύπτου εἰς ἣν d ἐνανθρωπήσας κατελήλυθεν, οὕτω δηλουμένου τοῦ περιγείου τόπου, ἢ καὶ ἐξ αὐτῆς τῆς προχείρου, οἷα γνήσιον καὶ ἀγαπητὸν υἱὸν ἀνεκαλεσάμην· ὑμᾶς δὲ, τοὺς πρὸς οὓς ὁ λόγος, σὺν καὶ τῇ ὑμετέρᾳ βασιλείᾳ ὄλεθρος καὶ ἀπώλεια παραλήψεται. 10. ταῦτα μὲν ἡ προφητεία· πρόδηλον δὲ ὅπως ἀπὸ τῶν τοῦ σωτῆρος ἡμῶν χρόνων πολιορκηθείσης τῆς Ἱερουσαλὴμ καθῃρέθη καὶ εἰς τὸ παντελὲς ἀπερρίφη ἡ μέχρι τότε συστᾶσα τοῦ Ἰουδαίων ἔθνους αὐτονομία τε καὶ ἀρχή. 11. πλὴν ἀλλὰ τρίτον ἤδη τὰ περὶ τῆς Αἰγύπτου καὶ τῆς αὐτόθι ἀφίξεως αὐτοῦ πεπροφήτευται. εἰ δέ τις αὐτὰ μηδαμῶς ἐφαρμόζειν ἐπὶ τὸν ἡμέτερον λέγοι σωτῆρα, ἀλλά γε τῆς τοῦ Ματθαίου παραθέσεως ἀπὸ

τῆς παρὰ Μωσεῖ μαρτυρίας αὐτῷ παρειλημμένα, ἣν (428) καὶ ἀρτίως διεληλύθαμεν τὸ "ὁ θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου" διηγούμενοι, ἐπεὶ μηδ' αὐτὸς ὁ εὐαγγελιστὴς ἀπὸ τῆς τοῦ Ὠσηὲ προφητείας εἰλῆφθαι αὐτῷ τὸ λόγιον ἔφησεν, ὡς δύνασθαι καὶ πόθεν ἐπιζητήσαντας εὑρεῖν αὐτὸ κείμενον, ὅθεν εἰκὸς τὸν εὐαγγελιστὴν πεποιῆσθαι αὐτοῦ τὴν ἔκθεσιν.

Ἀπὸ τοῦ Ἡσαΐου.

b V. "Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος, καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. καὶ ὀφθήσεται ἡ δόξα κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, ὅτι κύριος ἐλάλησεν."

2. Ἔδει καὶ ταύτην ἐπὶ τῶν χρόνων τοῦ σωτῆρος c ἡμῶν ἐπὶ πέρας ἐλθεῖν τὴν πρόρρησιν. διόπερ κατὰ τὸν εὐαγγελιστὴν Λουκᾶν "ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἐπιτροπεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τῶν τούτῳ συναριθμουμένων, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην, τὸν τοῦ Ζαχαρίου υἱὸν, ἐν τῇ ἐρήμῳ· ὃς ἐλθὼν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου ἐκήρυσσε βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν." τούτοις δ' οὖν ὁ εὐαγγελιστὴς ἐπιμαρτυρεῖ λέγων "καθὼς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου" καὶ τὰ d ἑξῆς. 3. τί δὴ οὖν ἐβόα ἡ διὰ τοῦ Ἰωάννου φωνὴ ἐπὶ

---

2 Num. 24, 8. 9 Es. 40, 3. 18 Luc. 3, 1.

τῆς ἐρήμου κηρύσσουσα, ἢ τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ, ὡς ἑρπετοῖς ἐρήμου τυγχάνουσιν, οἰκείως τῷ "γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;" πάλιν τε αὖ τὰς σκολιὰς ψυχὰς εἰς εὐθείας καὶ τὰς τραχείας εἰς ὁδοὺς λείας μετασκευάζουσα ἔφασκε τοῖς αὐτοῖς "ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας." 4. καὶ ταῦτά γε συνετελεῖτο προπαρασκευάζοντος Ἰωάννου τοὺς ὀψομένους τὴν δόξαν κυρίου, καὶ τὸ καλούμενον σωτήριον τοῦ θεοῦ, οὐκ ἄλλον ὄντα τοῦ Χριστοῦ, ὡς ἐμαρτύρει λέγων "ἐγὼ μὲν ὑμᾶς ὕδατι βαπτίζω, ἔρχεται (429) δὲ ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἄξιος τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί." 5. ὃς καὶ ἰδὼν τὸν Ἰησοῦν ἐρχόμενον ἀνεφώνησεν "ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον, ὀπίσω μου ἔρχεται ἀνήρ, ὃς ἔμπροσθέν μου γέγονε." [287] τὸν αὐτὸν δὲ εἶναι τὸ σωτήριον τοῦ θεοῦ καὶ ὁ Συμεὼν ἐμαρτύρησεν, ὃς λαβὼν ἐπὶ ταῖς ἀγκάλαις βρέφος ὄντα τὸν Ἰησοῦν ἔφη "νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν (b) ἐθνῶν." 6. οἷς συνᾴδει καὶ ὁ προφήτης εἰπὼν "καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ." τὸ γὰρ πᾶσα σὰρξ ἀντὶ πάντων εἴρηται τῶν ἐθνῶν. 7. ὅπως δὲ ταῦτα τέλους ἔτυχε καὶ τὰ ἔθνη τὸν Χριστὸν ἐπέγνω τοῦ θεοῦ μακρῶν οὐ δεῖ λόγων. καὶ τὰ μὲν ῥητὰ τοῦτον ἐπληροῦτο τὸν τρόπον· τί δ' ἦν τὸ αἴτιον τοῦ μὴ ἐν πόλεσι, μηδ' ἐπ' αὐτῆς τῆς Ἱερου-

15 Jo. 1, 29. 20 Luc. 2. 29.

σαλὴμ, ἀλλ' ἐπὶ τῆς ἐρήμου Ἰωάννην παρελθόντα κηρύττειν; ὁ μέν τις φήσαι ἂν εἰς ἀποπλήρωσιν τῆς προφητείας τοῦτο αὐτὸν πεποιηκέναι. 8. ἀλλ' ὁ ἀκριβὴς εὐθέως ἐξετάζων, αὕτη δὲ ἡ προφητεία τί ποτ' ἄρα σημαίνειν βουλομένη τὴν ἔρημον καὶ τὰ κατ' αὐτὴν ἐδήλου, πεύσεται· πρὸς ὃν φήσομεν ὅτι καὶ τοῦτο σημεῖον ἦν καθαιρέσεως τῆς Ἱερουσαλὴμ καὶ τοῦ πρὸς αὐτῇ θυσιαστηρίου, τῆς τε κατὰ τὸν Μωσέως νόμον λατρείας, ὅτε μηκέτ' αὐτοῖς διὰ τῶν κατὰ νόμον θυσιῶν τὰ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν προυξενεῖτο, ἀλλὰ διὰ καθάρσεως λουτροῦ ἐπὶ τῆς πάλαι διψάδος
d καὶ ἐρήμου, λέγω δὲ τῆς τῶν ἐθνῶν ἐκκλησίας, παραδιδομένου, ἐν ᾗ καὶ ἡ προφητικὴ γενομένη φωνὴ ἑτοιμάζειν παρακελεύεται τὴν ὁδὸν κυρίου, τὰς μὲν κάτω που εἰς βάθος κακίας ὡς ἐν φάραγγι κειμένας ψυχὰς ἐπαρθήσεσθαι, τὰ δὲ πάλαι ὑψώματα τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐπ' αὐτῆς ἀρχόντων τε καὶ βασιλέων, ὄρη καὶ βουνοὺς ὀνομαζόμενα, ταπεινωθήσεσθαι θεσπίζουσα. 9. ὧν ἐπιτελεσθέντων φησὶ "πᾶσα σὰρξ ὄψεται τὸ σωτήριον τοῦ θεοῦ," δῆλον δ' ὅτι πᾶσα ἡ ἐν σαρκὶ ἐπὶ γῆς ἀναστρέφουσα ψυχὴ Ἑλλήνων ὁμοῦ καὶ βαρβάρων καὶ πάντων ἁπαξαπλῶς τῶν ἐθνῶν, ἃ καὶ τῇ προρρήσει ἀκολούθως εἰς πέρας ἐλθόντα δείκνυται.
(430) 10. ζητῶν δὲ παρ' ἐμαυτῷ τί ἄρα ἦν τὸ ἐκπλῆξαν τοὺς πολλοὺς ἐν τῷ Ἰωάννῃ, ὡς θαυμάσαι αὐτὸν καὶ κηρύττοντι βάπτισμα μετανοίας πιστεῦσαι, πάντας τε πανταχόθεν τὰ οἰκεῖα ἀπολιπόντας συρρεῖν ἐπὶ τὴν ἔρημον, μάλιστα ὅτε μηδεμίαν αὐτοῦ πρᾶξιν ἱστοροῦσιν οἱ λόγοι· οὔτε γὰρ νεκροὺς ἐγείρας οὔτε ἕτερα θαύματα πεποιηκὼς ἀναγέγραπται· τί δὴ οὖν ἦν τὸ ἐκπλῆξαν τοὺς πάντας; ἢ μήποτε ὁ ξένος καὶ παραλλάττων τοὺς πολλοὺς αὐτοῦ βίος; προῄει γὰρ

ἐκ τῆς ἐρήμου ξένην ἠμφιεσμένος στολήν, πᾶσαν δὲ τὴν κοινὴν ἀνθρώπων διατριβὴν ἐκτρεπόμενος οὔτε b γοῦν εἰς κώμην οὔτε εἰς πόλιν οὔτε εἰς κοινὸν σύλλογον ἀνδρῶν παρέβαλλεν, ἀλλὰ οὐδὲ τῆς κοινῆς μετεῖχε τροφῆς· 11. γέγραπται γοῦν ὡς ἐκ τῆς τοῦ παιδὸς ἡλικίας "ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ·" ἀλλὰ καὶ "τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλων πεποιημένον, ἡ δὲ τροφὴ αὐτοῦ ἀκρίδες καὶ μέλι ἄγριον." 12. μή πη οὖν ὁρῶντες ἄνδρα, ναζιραῖον μὲν θεοῦ τὴν τρίχα, c θεοπρεπὲς δὲ πρόσωπον ὑποφαίνοντα, σχῆμά τε ξένον περιβολῆς ἠμφιεσμένον, ἀθρόως ποθὲν ἐξ ἀφανοῦς ἐρήμου φαινόμενον, καὶ μετὰ τὸ κήρυγμα πάλιν εἰς τὴν ἔρημον καὶ εἰς τὸ ἀφανὲς ὑποχωροῦντα, καὶ ἄποτον, ἄτροφον, ἀκοινώνητον τοῖς πολλοῖς, εἰκότως ἐξεπλήττοντο, μηδ' ἄνθρωπον αὐτὸν ὑπονοοῦντες ὑπάρχειν; πῶς γὰρ οὐ τὸν μηδὲ ἐν χρείᾳ τροφῆς γινόμενον; διὸ καὶ ἄγγελον αὐτὸν ὑπειλήφεσαν εἶναι, τοῦτον αὐτὸν ἐκεῖνον τὸν διὰ τοῦ προφήτου δηλούμενον κατὰ τὸ "ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ [268] προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροd σθέν σου." κέχρηται γοῦν τῇ παραθέσει καὶ ταύτης τῆς γραφῆς Μάρκος ὁ εὐαγγελιστής. 13. καὶ ὁ σωτὴρ δὲ μαρτυρεῖ λέγων "ἦλθεν ὁ Ἰωάννης πρὸς ὑμᾶς μήτε ἐσθίων μήτε πίνων, καὶ λέγετε, δαιμόνιον ἔχει." 14. τοὺς γὰρ ἀπιστοῦντας καὶ πρὸς τὰ ἀληθῆ δυσχερεῖς καὶ δυσενδότους εἰκὸς ἦν διὰ τὸν εἰρημένον τοῦ Ἰωάννου βίον τοιαῦτα αὐτὸν βλασφημεῖν, ὡς ἔμπαλιν τοὺς συνησθημένους τῆς κατ' αὐτὸν ἀρετῆς ἄγγελον ὑπο-

6 Luc. 1, 80. 7 Matth. 3, 4. 20 Marc. 1, 2. 24 Luc. 7, 33.

λαμβάνειν. ταῦτα γοῦν ἡγοῦμαι τοῖς τὸν Ἰωάννην ὁρῶσι θαῦμα περὶ αὐτοῦ παρασχεῖν· διὸ καὶ συνέτρεχον πανταχόθεν ἐπὶ τὴν δι' αὐτοῦ κηρυττομένην
(431) τῆς ψυχῆς κάθαρσιν. 15. μέμνηται δὲ τῆς κατ' αὐτὸν ἱστορίας Ἰώσηπος ἐν ὀκτωκαιδεκάτῳ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας τοῦτον γράφων τὸν τρόπον "τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἰουδαίων στρατὸν ὑπὸ τοῦ θεοῦ, καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ καλουμένου βαπτιστοῦ. κτείνει γὰρ τοῦτον Ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκοῦσι καὶ τῇ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς θεὸν εὐσεβείᾳ χρωμένοις βαπτισμῷ συνιέναι. οὕτω γὰρ δὴ καὶ τὴν βάπτισιν
b ἀποδεκτὴν αὐτῷ φαίνεσθαι."

Ἀπὸ τοῦ αὐτοῦ.

c VI. "Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον, καὶ ἐξανθήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου, καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου." 2. οἷς ἐπιλέγει "ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα, παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε. ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀντα-
d ποδίδωσι καὶ ἀνταποδώσει. αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων· ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ."

6 Ioseph. Ant. XVIII. 5, 2   16 Es. 35, 1.

3. *Καὶ ταῦτα διὰ τῶν τοῦ σωτῆρος ἡμῶν προφανῶς παραδόξων ἔργων ἐπληροῦτο μετὰ τὸ Ἰωάννου κήρυγμα.* ὅρα τοιγαροῦν ὅπως τὴν ἔρημον εὐαγγελίζεται, οὐχ ἁπλῶς, οὐδὲ τὴν τυχοῦσαν, ἀλλ' ἐκείνην ἀφωρισμένως καὶ μόνην τὴν παρὰ τῷ Ἰορδάνῃ ποταμῷ. 4. ἐπειδήπερ παρὰ ταύτῃ διατρίβων ὁ Ἰωάννης ἐβάπτιζεν, ὡς ἡ γραφὴ μαρτυρεῖ λέγουσα "ἐγένετο Ἰωάννης ἐν τῇ ἐρήμῳ βαπτίζων, καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται πάντες, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ." 5. τὴν μὲν οὖν ἔρημον τῆς πάλαι πάντων τῶν κατὰ θεὸν ἀγαθῶν ἐρήμου, λέγω δὴ τῆς ἐξ ἐθνῶν ἐκκλη- (432) σίας, σύμβολον περιέχειν ἡγοῦμαι, τὸν δὲ ποταμὸν τὸν ἐπὶ τῆς ἐρήμου καθαίροντα πάντας τοὺς ἀπολουομένους ἐν αὐτῷ καθαρσίου τινὸς εἶναι κατὰ διάνοιαν θεωρουμένου εἰκόνα, περὶ οὗ διαλαλοῦσιν αἱ γραφαὶ λέγουσαι "τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ." 6. σημαίνει δὲ τοῦτο τὴν ἀέναον ἐπιρροὴν τοῦ θείου πνεύματος ἄνωθεν πηγάζοντος καὶ τὴν τοῦ θεοῦ πόλιν ἄρδοντος, οὕτω καλουμένης τῆς κατὰ θεὸν πολιτείας. οὗτος δὴ οὖν ὁ ποταμὸς τοῦ θεοῦ καὶ μέχρι τῆς ἐρήμου κατελήλυθεν, δηλαδὴ b τῆς ἐξ ἐθνῶν ἐκκλησίας, καὶ ταύτῃ τῶν ἐν αὐτῷ ζωτικῶν ναμάτων εἰσέτι νῦν ἐπιχορηγεῖ. πρὸς τούτοις ἡ προφητεία τῇ δηλωθείσῃ ἐρήμῳ δοθήσεσθαί φησι τὴν δόξαν τοῦ *Λιβάνου* καὶ τὴν τιμὴν τοῦ Καρμήλου. 7. τίς δ' ἔστιν ἡ δόξα τοῦ *Λιβάνου* ἢ ἡ διὰ [269] θυσιῶν κατὰ τὸν Μωσέως νόμον ἐπιτελουμένη λατρεία, ἣν παραιτησάμενος ὁ θεὸς διὰ τῆς λεγούσης προφητείας "ἵνατί μοι λίβανον ἐκ Σαβὰ φέρετε;" καὶ

---

17 Ps. 46, 4. 30 Jer. 6, 20.

"τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν;" ἐπὶ τὴν ἔρημον c τοῦ Ἰορδάνου μετατέθεικε τὴν δόξαν τῆς Ἱερουσαλὴμ, τῆς κατ' εὐσέβειαν ἀγωγῆς οὐκ ἐπὶ Ἱερουσαλὴμ, ἀλλ' ἐπὶ τῆς ἐρήμου συντελεῖσθαι ἀρξαμένης ἀπὸ τῶν Ἰωάννου χρόνων. 8. ὡσαύτως δὲ καὶ ἡ τιμὴ τοῦ νόμου τῶν τε κατ' αὐτὸν σωματικώτερον νενομοθετημένων δέδοται τῇ ἐρήμῳ τοῦ Ἰορδάνου διὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, ὅτι μηκέτ' ἐπὶ τὴν Ἱερουσαλὴμ προσέφευγον οἱ τῆς κατὰ ψυχὴν θεραπείας δεόμενοι, ἀλλὰ ἐπὶ τὴν ὀνομαζομένην ἔρημον, τῆς ἐν αὐτῇ κη-
d ρυττομένης ἀφέσεως τῶν ἁμαρτημάτων ἕνεκεν. 9. οἶμαι δὲ καὶ τοῦ σωτῆρος ἡμῶν τὴν ἐπὶ τὸ βάπτισμα παρουσίαν δηλοῦσθαι διὰ τοῦ "καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου καὶ τὸ ὕψος τοῦ θεοῦ." τότε γὰρ καὶ ὤφθη τοῦ σωτῆρος ἡμῶν ἡ δόξα "ὅτε βαπτισθεὶς ἀνέβη ἀπὸ τοῦ ὕδατος, καὶ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτόν. ὅτε καὶ φωνὴ ἐκ τῶν οὐρανῶν ἠκούσθη λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα." 10. ἀλλὰ καὶ πᾶς ὁ γνησίως ἐπὶ τὸ τοῦ λουτροῦ παριὼν μυστήριον, τὴν περὶ τοῦ Χριστοῦ παραλαβὼν θεολογίαν, τὴν δόξαν αὐτοῦ θεάσεται, λέξων ἂν ὁμοίως τῷ Παύλῳ "εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν."

(433) Ἀπὸ τοῦ Ψαλμοῦ ϟ'.

VII. "Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. ἐρεῖ τῷ

1 Es. 1, 11. 15 Matth. 3, 16. 23 2. Cor. 5, 16. 27 Ps. 90, 1.

κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν, ὅτι αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους. ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοί, b καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. 2. ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. ὅτι σύ, κύριε, ἡ ἐλπίς c μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. 3. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἐπὶ χειρῶν ἀροῦσί σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα."

4. Ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ, καθ' ὃ ἐνηνθρώπει ἐπινοούμενος, ὁ κατοικῶν λέγεται ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ d τοῦ θεοῦ καὶ πατρὸς αὐλιζόμενος. οὗτος δὴ οὖν μόνον τὸν πατέρα καὶ οὐδ' ἕτερον καταφυγὴν ἐν τῷ καιρῷ τοῦ κατὰ τὸν διάβολον πειρασμοῦ κεκτημένος ἐρρύσθη ποτὲ ἐκ τῶν παγίδων τῶν ἀντικειμένων δυνάμεων, θηρευτῶν νῦν ὀνομαζομένων, ὁπηνίκα, οἷά τις κοινὸς ἄνθρωπος "ἀνήχθη εἰς τὴν ἔρημον, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, καὶ ἦν ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας πει-

28 Matth. 4, 1. Marc. 1, 13.

ραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν, ὡς ὁ εὐαγγε-
λιστὴς μαρτυρεῖ, μετὰ τῶν θηρίων." 5. ποίων δὲ
τούτων ἢ ὧν μνημονεύει ὁ μετὰ χεῖρας Ψαλμὸς,
πρὸς τὸν ἐν βοηθείᾳ τοῦ ὑψίστου κατοικοῦντα λέγων
[270] "ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπα-
τήσεις λέοντα καὶ δράκοντα." οὐ μόνον δὲ ἀπὸ
τούτων ῥυσθήσεσθαι τὸν αὐτὸν, ἀλλὰ καὶ ἀπὸ λό-
(454) γου ταραχώδους φησίν. 6. τίς δ' ἂν εἴη καὶ οὗτος
ἢ ὅνπερ αὐτῷ προύτεινεν ὁ πειράζων κατὰ τὸ ἱερὸν
εὐαγγέλιον;

7. Τὸ δ' αἴτιον τοῦ πειράζεσθαι τὸν τηλικοῦτον
σωτῆρα ἡμῶν σκοπῆσαι ἄξιον. μέλλων ἐξ ἀνθρώπων
πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τά τε ἐνοχλοῦντα
πνεύματα καὶ τοὺς ἀκαθάρτους δαίμονας ἐξ αἰῶνος
μακροῦ τῶν ἐπὶ γῆς πάντων διὰ τῆς πολυθέου δει-
σιδαιμονίας κεκρατηκότας ἐλαύνειν, οὐκ ἐκ τοῦ
ἀφανοῦς ὥσπερ ἐπικρυπτόμενος ἐπὶ τὰ εἰρημένα
παρῄει, τοῖς παρενοχλοῦσι δὲ πρότερον ἀοράτοις
b ἄρχουσι δι' οὗ ἀνείληφεν ἀνθρώπου ἐπιστρατεύσας,
καὶ εἰς μέσον αὐτοῦ τοῦ διαβόλου καὶ παντὸς τοῦ
δαιμονικοῦ στίφους παρελθὼν, ἐπιβάς τε ἀσπίδι
καὶ βασιλίσκῳ, καὶ καταπατήσας λέοντα καὶ δρά-
κοντα, καὶ πολὺ πρότερον καθελὼν τῶν ἀρχοντικῶν
ἐχθρῶν χιλιάδας καὶ μυριάδας, τὰς μὲν ἐκ τῶν δε-
ξιῶν, τὰς δὲ ἐκ τῶν εὐωνύμων πολεμούσας, ἀρχάς
τε καὶ ἐξουσίας, καὶ δὴ καὶ "τοὺς λεγομένους κοσ-
μοκράτορας τοῦ σκότους τούτου, τά τε πνευματικὰ
c τῆς πονηρίας," πάντα δὴ οὖν ταῦτα τὸ μηδὲν ἰσχύειν
ἀπελέγξας, καὶ τέλος αὐτὸν τὸν τῶν κακῶν ἔξαρχον
διάβολον τῷ λόγῳ τοῦ στόματος αὐτοῦ μακρὰν ἀπο-

26 Eph. 6, 12.

σοβήσας, διελθών τε καὶ ἐμπεριπατήσας τὴν ἀντικειμένην ἅπασαν δύναμιν, καὶ ἑαυτὸν μὲν παρασχὼν τοῖς θέλουσι προσιέναι καὶ πειράζειν, μηδενὸς δὲ στῆναι πρὸς αὐτὸν δεδυνημένου, οὕτως ἐπὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν παρῄει. διὸ καὶ ὁρῶντες αὐτὸν οἱ δαίμονες ἐπεγίνωσκον ἀπὸ τῆς προδηλωθείσης κατὰ τὴν ἔρημον διατριβῆς, φάσκοντες αὐτῷ "τί d
ἡμῖν καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ θεοῦ;"

8. Ταῦτα μὲν οὖν περὶ τῶνδε. τὰ δὲ ἑξῆς τοῦ Ψαλμοῦ πρὸς αὐτὸν ἀναπεφώνηται τὸν Χριστὸν ἀπὸ τοῦ "ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι," δηλονότι ὁ ὕψιστος "καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς, ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ." καὶ ἐπειδήπερ ἡμέραις τεσσαράκοντα καὶ ταῖς τοσαύταις νυξὶν ἐπειράζετο, περὶ μὲν τῶν ἀμφὶ τὰς νύκτας ἐπιόντων αὐτῷ λέλεκται "οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ·" περὶ δὲ τῶν ἀμφὶ τὰς ἡμέρας αὐτὸν πολεμούντων τὸ "ἀπὸ βέλους πετομένου ἡμέρας." 9. καὶ αὖθις περὶ μὲν τῶν ἐν νυκτὶ "ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου·" περὶ δὲ τῶν ἐν ἡμέρᾳ ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. 10. εἶτ' ἐπείπερ ἐν τῷ πειράζειν δυνάμεις πονηραὶ ἐκύ- (435)
κλουν αὐτὸν, αἱ μὲν τὰ δεξιὰ πλευρὰ συνεῖχον αὐτοῦ, πολὺ δὲ πλείους τῶν ἀριστερῶν, ὡς ἂν κραταιότερα μέρη τὰ δεξιὰ, εἰκότως αὐτῷ ἐπιλέγεται "πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ·" κλίτους ἀντὶ τοῦ ἀριστεροῦ ὠνομασμένου, παρασεσιωπημένου δὲ εἰκότως τοῦ ὀνόματος τοῦ ἀριστεροῦ, τῷ μηδὲν σκαιὸν μηδὲ ἀριστερὸν εὑρίσκεσθαι ἐν αὐτῷ. καὶ

8 Matth. 8, 29.

ἐπειδὴ ὅλη μυριὰς, ὁμοῦ δὲ καὶ χιλιὰς ἔκ τε τοῦ κλίτους αὐτοῦ καὶ ἀπὸ τῶν δεξιῶν πεσεῖσθαι λέγον-
b ται, εἰκότως ἐπὶ τούτοις ἑξῆς εἴρηται "πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει." 11. καὶ ἔσται ταῦτα, φησὶ, περὶ σὲ τὸν Χριστὸν τοῦ θεοῦ, "ἐπειδήπερ σὺ αὐτὸς, ὦ κύριε, ὃς τυγχάνεις ὢν ἡ ἐμὴ ἐλπὶς, τὸν ὕψιστον ἔθου καταφυγήν σου." 12. ἔνθα καὶ ἐπιστήσεις τίνα τρόπον ὁ προφήτης πρὸς αὐτὸν τὸν κύριόν φησιν "ὅτι σὺ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου," διαιρῶν ἀκριβῶς ἕτερον ἰδίως κύριον καὶ τὸν τούτου πατέρα θεὸν ὕψιστον. 13. διὸ ἐπειδήπερ αὐτὸν
[271] ὡς πατέρα καὶ θεὸν ὕψιστον καταφυγὴν ἑαυτοῦ ὁ
c Χριστὸς τέθειται, λέλεκται αὐτῷ τὸ "οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου." 14. καὶ ἐπιμελῶς γε τήρει τίνα τρόπον ἐν τῷ "ὅτι σὺ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου" τὸ κύριε διὰ τοῦ τετραγράμμου ὀνόματος ἐν τῷ Ἑβραϊκῷ φέρεται, ὅπερ ἀνεκφώνητον
d εἶναι λέγοντες Ἑβραίων παῖδες ἐπὶ μόνου τοῦ θεοῦ παραλαμβάνειν εἰώθασιν, ἡμεῖς δὲ καὶ ἐπὶ τῆς τοῦ λόγου θεότητος ἐν πλείσταις κείμενον γραφαῖς προαπεδείξαμεν, ὥσπερ καὶ ἐν τῷ μετὰ χεῖρας Ψαλμῷ, ὅς φησιν εἰς πρόσωπον αὐτοῦ τοῦ κυρίου "ὅτι σὺ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου," μονονουχὶ λέγων ὅτι σὺ αὐτὸς, ὦ κύριε, ὃς ἐμοῦ τοῦ ταῦτα προφητεύοντος ἐλπὶς ὢν τυγχάνεις, μείζονα σαυτοῦ τὸν θεὸν τὸν ὕψιστον εἰδὼς ἐκεῖνον, αὐτὸν ἔθου καταφυγήν σου. 15. ὅθεν καὶ ἐν ἀρχῇ ἐλέγετο

τοῦ Ψαλμοῦ περὶ τοῦ αὐτοῦ "ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλι- (436) σθήσεται, ἐρεῖ τῷ κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν." 16. ἐπειδὴ τοίνυν σὺ, ὦ κύριε, τὸν ὕψιστον ἔθου καταφυγήν σου, τούτου χάριν "αὐτὸς ὁ ὕψιστος" φησὶ "ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους, καὶ ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι." διόπερ τὴν τοιαύτην ἔχων πατρικὴν τοῦ ὑψίστου βοήθειαν οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ οὔτε ἀπό τινος τῶν προκατειλεγμένων, ἀλλὰ οὐδὲ ἐκ τῶν ἑξῆς ἐπιφερομένων. 17. "ἐπεὶ b γὰρ σὺ, κύριε, τὸν ὕψιστον ἔθου καταφυγήν σου, διὰ τοῦτο οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου." μάστιγας δὲ τὰς ἀπὸ δαιμόνων ἐνεργείας καὶ ἐν τοῖς εὐαγγελίοις ὀνομαζομένας ἂν εὕροις, ἃς οὐδὲ πλησιάζειν τολμᾶν τῷ σκηνώματι τοῦ Χριστοῦ, τουτέστι τῷ σώματι αὐτοῦ, δυνατὰς εἶναί φησι. 18. πῶς γὰρ ὅτε λόγῳ μόνον αὐτὰς ἐξ ἀνθρώπων ἤλαυνε; περὶ τούτου δὲ τοῦ σκηνώματος καὶ ὁ Δαβὶδ ποτε ὤμοσε τῷ κυρίῳ, καὶ ηὔξατο τῷ θεῷ Ἰακὼβ λέγων "εἰ ἀναβήσομαι ἐπὶ κλίνης c στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ." 19. καὶ τούτου γε ἕνεκα τοῦ σκηνώματος ἐλέγετο "οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ·" καὶ τὸ "αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους·" καὶ τὸ "οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ

---

22 Ps. 131, 3.

d τῷ σκηνώματί σου," καὶ ὅσα ἀνθρωπινώτερα περὶ
αὐτοῦ λέλεκται, ὡς καὶ τὸ "τοῖς ἀγγέλοις αὐτοῦ ἐντε-
λεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε," καὶ τὸ "ἐπὶ
χειρῶν ἀροῦσί σε μήποτε προσκόψῃς πρὸς λίθον τὸν
πόδα σου." 20. ταῦτα γὰρ οὐκ ἂν ὡς πρὸς θεὸν λέ-
γεσθαι ἁρμόσαι, πρὸς δὲ τὸ σκήνωμα αὐτοῦ, ὅπερ δι'
ἡμᾶς ἀνείληφεν, ὅτε ὁ λόγος "σὰρξ ἐγένετο καὶ ἐσκή-
νωσεν ἐν ἡμῖν." δοκεῖ δέ μοι καλῶς ἔχειν ὑπὲρ ἀκρι-
βοῦς βεβαιώσεως τῶν εἰρημένων καὶ τὰς τῶν λοιπῶν
ἑρμηνευτῶν παραθεῖναι φωνάς· ὧν ὁ μὲν Ἀκύλας
οὕτως ἔφησεν "ὅτι σύ, κύριε, ἐλπίς μου, ὕψιστον
ἔθηκας οἰκητήριόν σου. 21. οὐ μεταχθήσεται πρὸς σὲ
κακά, καὶ ἁφὴ οὐκ ἐγγιεῖ ἐν σκέπῃ σου· ὅτι ἀγγέλοις
αὐτοῦ ἐντελεῖται τοῦ φυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς
σου." ὁ δὲ Σύμμαχος "σὺ γάρ, κύριε, ἀφοβία μου,
(437) ὑψίστην ἔθου τὴν οἴκησίν σου. 22. οὐ κατισχύσει σου
κακόν, οὐδὲ ἁφὴ ἐγγιεῖ τῇ σκηνῇ σου. ὅτι τοῖς ἀγ-
γέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε
[272] ἐν πάσαις ταῖς ὁδοῖς." οὐκοῦν διὰ τούτων αὐτῶν τῷ
κυρίῳ λέλεκται ὡς περὶ ἑτέρου μείζονος τὸ "τοῖς ἀγ-
γέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάσσειν
σε ἐν πάσαις ταῖς ὁδοῖς. ἐπὶ χειρῶν ἀροῦσί σε (δη-
λαδὴ σὲ τὸν κύριον) μήποτε σὺ ὁ κύριος προσκόψῃς
πρὸς λίθον τὸν πόδα σου." 23. ταύταις δὲ καὶ ὁ
διάβολος ταῖς λέξεσιν ἐν τῷ κατὰ τοῦ σωτῆρος ἡμῶν
b πειρασμῷ κέχρηται ὅτε "παραλαβὼν αὐτὸν εἰς τὴν
ἁγίαν πόλιν ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ,
καὶ εἶπεν αὐτῷ, εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν
ἐντεῦθεν κάτω. γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐ-
τοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε,

7 Jo. 1, 15. 26 Matth. 4, 5.

μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. πρὸς ὃν ὁ κύριος ἡμῶν ἀποκριθεὶς εἶπε, γέγραπται, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου." 24. εἶτ᾽ ἐπεὶ ἐν τῷ πειρασμῷ μετὰ τῶν θηρίων, κατὰ τὸν εὐαγγελιστήν, διέτριβε, ποίων δὲ οὐκ ἀναγέγραπται, σαφέ- c στερον τοῦτο αὐτὸ ἡ τοῦ Ψαλμοῦ προφητεία τὰ εἴδη τῶν θηρίων αἰνιττομένη φησὶν "ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα." 25. αὐτὸς μὲν οὖν τὰ ἀρχικώτατα τῶν νοητῶν θηρίων, λέοντα καὶ δράκοντα, ἀσπίδα τε καὶ βασιλίσκον, αὐτὸν δηλαδὴ τὸν διάβολον, καὶ τὰς μετ᾽ αὐτὸν ἀρχοντικὰς καὶ πονηρὰς δυνάμεις καταπατήσειν μεμαρτύρηται. 26. τοῖς δὲ τὴν ὁμοίαν ἀρετὴν αὐτῷ κεκτημένοις μαθηταῖς καὶ ἀποστόλοις αὐτοῦ τὴν ἐξουσίαν αὐτὸς τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων δωρεῖται οὐκ ἐῶν αὐτοὺς πειρασθῆναι ὑπὲρ ὃ δύναιντο· μόνου γὰρ ἦν αὐτοῦ τὸ τὰς χείρους ἐν πονη- d ρίᾳ δυνάμεις καὶ αὐτὸν δὴ τὸν πάντων ἄρχοντα καὶ τύραννον τοῦ αἰῶνος τούτου τῇ ἐνθέῳ αὐτοῦ δυνάμει καθαιρεῖν.

Ἀπὸ τοῦ Ἡσαΐου.

VIII. "Τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζα- (438) βουλών, ἡ γῆ Νεφθαλείμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα, καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ᾽ ὑμᾶς. τὸ πλεῖστον τοῦ λαοῦ ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφραν-

17 Luc. 10, 19. Cor. 1, 10, 13. 22 Es. 9, 1.

θήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμη-
b τῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα· διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασε κύριος, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ, ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι. ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, ἄρχων εἰρήνης, ἐξουσιαστής, θεὸς ἰσχυρός, πατὴρ τοῦ μέλλοντος αἰῶνος."

c 2. Πρὸς ἅπασι τοῖς ἄλλοις ἐπληροῦτο καὶ ταῦτα ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ, ὅτε κατὰ τὸν θαυμαστὸν εὐαγγελιστὴν "ἀκούσας ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, καὶ καταλιπὼν τὴν Ναζαρὲθ ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος, γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα, καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. ἀπὸ τότε
d γοῦν ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν, μετα-
[273] νοεῖτε, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. 3. παράγων δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδε δύο ἀδελφούς, Σίμωνα τὸν καλούμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· καὶ λέγει αὐτοῖς,

15 Matth. 4, 12.

δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. 4. οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς· οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ. 5. καὶ περιῆγεν ὁ Ἰησοῦς ὅλην τὴν Γαλιλαίαν, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον (439) τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, δαιμονιζομένους, καὶ σεληνιαζομένους, καὶ παραλυτικοὺς, καὶ ἐθεράπευσεν αὐτοὺς, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας." 6. ὅλα δὲ ταῦτα ἐκτέθειμαι τῆς προφητείας ἕνεκεν τῇ Γαλιλαίᾳ μέγα φῶς ἔσεσθαι b ἐπαγγελλομένης, τῇ τε χώρᾳ Ζαβουλὼν καὶ Νεφθαλεὶμ, οὐδετέρᾳ τυγχανούσῃ τῆς Γαλιλαίας τῶν ἐθνῶν. διὰ τί δὲ ἐπὶ τῆς Γαλιλαίας τῶν ἐθνῶν τὰς πλείστας ἐποιήσατο διατριβάς; τῆς ἁπάντων τῶν ἐθνῶν κλήσεως προοίμια καταβαλλόμενος· ἐντεῦθεν γοῦν ὁρμωμένους τοὺς αὐτοῦ μαθητὰς ἀνακέκλητο. 7. διὸ μετὰ βραχέα τοῦ εὐαγγελίου εὑρήσεις ἀπὸ τῆς Γαλιλαίας τὸν Ματθαῖον κεκλημένον, καὶ ἐν ἑτέρῳ δὲ πάλιν τὸν Λευίν. καὶ ὁ Φίλιππος δὲ κατὰ τὸν Ἰωάννην ἀπὸ Βηθσαϊδὰ ὡρμᾶτο ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου· καὶ αὕτη δὲ τῆς Γαλιλαίας ἦν. ἀλλὰ καὶ c παρ' αὐτῷ τῷ εὐαγγελιστῇ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, ἔνθα παραδόξως ὁ κύριος τὸν ἐξ ὕδα-

τος οἶνον μετασκευάσας "ἀρχὴν αὐτόθι τῶν σημείων ἐποιήσατο, ὅτε καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν οἱ μαθηταί." 8. θέα δὲ εἰ μὴ αὐτὸ τοῦτο πρῶτον τοῦ σωτῆρος ἡμῶν θαῦμα ἐν Κανᾷ τῆς Γαλιλαίας γενόμενον ἐπὶ τῆς τοῦ οἴνου μεταβολῆς θεσπίζων ἐν ἀρχῇ τῆς προφητείας παρίστησιν ὁ παρὼν λόγος, φάσκων "τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, Γαλιλαία τῶν ἐθνῶν." 9. εἰ δὲ σύμβολον ἦν τὸ παράδοξον μυστικωτέρου
d κράματος, μεταβληθέντος ἐκ τῆς σωματικωτέρας ἐπὶ τὴν νοερὰν καὶ πνευματικὴν εὐφροσύνην τοῦ πιστικοῦ τῆς καινῆς διαθήκης κράματος, ὅρα μήποτε καὶ τοῦτο τοῖς περὶ τῆς Γαλιλαίας δηλουμένοις ἀκολούθως ᾐνίττετο, θεσπίζων ὡς ἄρα μελλήσουσιν ἐπὶ τῇ Χριστοῦ παρουσίᾳ πρώτιστοι πάντων οἱ τὴν Ζαβουλὼν καὶ Νεφθαλεὶμ οἰκοῦντες, ἀλλ' οὐχ οἱ τὴν Ἰουδαίαν καὶ τὴν Ἱερουσαλὴμ, τοῦ πόματος τοῦ εὐαγγελικοῦ κηρύγματος μεταλήψεσθαι. 10. αἰτίαν δὲ τούτοις τῆς εὐφροσύνης φησὶ γενέσθαι τὴν τοῦ μεγάλου φωτὸς ἔκλαμψιν, οἳ πρὸ τῆς παρουσίας ἐν σκότει καθεζόμενοι ἐν χώρᾳ καὶ σκιᾷ θανάτου διῆγον· ἀνατεταλκότος δὲ αὐτοῖς τοῦ σωτηρίου φωτὸς, τοῦτον εὐφρανθήσονται τὸν τρόπον, ὡς οἱ εὐφραινόμενοι ἐν
(440) ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα. 11. καὶ ταῦτα δὲ ἔργῳ ἐπληροῦτο, ὅτε τοὺς ἀποστόλους ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἀπὸ τῆς Γαλιλαίας προσκαλεσάμενος τὰ παράδοξα τῶν ἔργων καὶ τὴν διδασκαλίαν αὐτοῖς ἐπεδείκνυτο. 12. εὐφρανθήσεσθαι δὲ αὐτοὺς ἐναντίον αὐτοῦ ἡ προφητεία θεσπίζει δίκην τῶν εὐφραινομένων ἐν ἀμητῷ. ποίῳ δὲ τούτῳ ἢ περὶ

1 Jo. 2, 11.

οὗ διδάσκων αὐτὸς ἔλεγεν "ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη." ἐδήλου δὲ διὰ τούτων τὴν τῶν ἐθνῶν ἐπισυναγωγήν. περὶ τῶν αὐτῶν δὲ εἴρηται ὅτι "εὐ- [274] φρανθήσονται ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα." b

13. διελόμενοι γοῦν εἰς ἀλλήλους τὰς χώρας τῶν ἐθνῶν καὶ τὴν ὑφ' ἥλιον πᾶσαν οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταί τε καὶ εὐαγγελισταὶ μυρίους ὅσους ἐσκύλευσαν ἄρχοντας τοῦ αἰῶνος τούτου, τοὺς πρότερον τῶν ἐθνῶν κρατοῦντας. οὐ μὴν ἀλλὰ καὶ ἄλλο αἴτιον τοῦ εὐφρανθήσεσθαι αὐτούς φησι, τὸ ἦρθαι ἀπ' αὐτῶν τὸν σωματικὸν τοῦ νόμου ζυγὸν, τὸν πάλαι πρότερον ἐπικείμενον αὐτοῖς, ὃν οὔτε αὐτοὶ οὔτε οἱ πατέρες αὐτῶν ἠδυνήθησαν βαστάσαι. 14. οὐ μόνον δὲ c ὁ ζυγὸς ἀφῄρηται αὐτῶν, ἀλλὰ καὶ ἡ ῥάβδος τῶν ἀπαιτούντων, ἡ πρότερον ἐπὶ τοῦ τραχήλου αὐτῶν ἐπικειμένη. δηλοῖ δὲ τοὺς ἀπαιτοῦντας ἐν ἑτέρῳ λέγων "λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν." 15. ἀλλ' οὗτοι μὲν οἱ ἀπὸ τῆς Ζαβουλὼν καὶ Νεφθαλεὶμ τὸ μέγα φῶς τεθεαμένοι εὐφρανθήσονται διὰ τὰ προειρημένα, οἱ δὲ πάλαι ἀπαιτοῦντες αὐτοὺς ἐκπραχθήσονται μέχρι κοδράντου ἐσχάτου πᾶσάν τε στολὴν καὶ πᾶν ἱμάτιον ἀποτίσαντες πυρίκαυστοι γενήσονται ἐν τῷ τῆς ἐκπράξεως καιρῷ. 16. καὶ ταῦτά γε πάντα d φησὶ πείσεσθαι, διότι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος. τίσι δὲ ἡμῖν ἢ τοῖς εἰς αὐτὸν πεπιστευκόσι, καὶ πάσῃ δηλαδὴ τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν, οἷς τὸ μέγα φῶς

---

1 Jo. 4, 35. 11 Act. 15, 10. 18 Es. 3, 12. 26 Matth. 5, 26.

ἀνατέταλκε; τί δὲ ἦν τοῦτο ἀλλ' ἢ τὸ γεγεννημένον παιδίον καὶ ὁ παρὰ τοῦ θεοῦ δοθεὶς υἱὸς, μεγάλης βουλῆς ἄγγελος, καὶ ἄρχων εἰρήνης, καὶ ἐξουσιαστὴς, καὶ θεὸς ἰσχυρὸς, καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος ὠνομασμένος; ταῦτα δὲ ἤδη φθάσαντες ἐπὶ μόνον ἀναφέρεσθαι τὸν σωτῆρα καὶ κύριον ἡμῶν κατὰ τὸν οἰκεῖον καιρὸν προαπεδείξαμεν.

(441) ## Ἀπὸ Ψαλμοῦ ξζ'.

IX. "Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ θεὸς, αἱ πορεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως, τοῦ ἐν τῷ ἁγίῳ·
b προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν Ἰσραήλ. ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα, ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ."

2. Κἀνταῦθα τοὺς δηλουμένους ἄρχοντας Νεφθαλεὶμ οὐκ ἄλλους ἡγοῦμαι τῶν ἀποστόλων τυγχάνειν. ἐνθένδε γὰρ αὐτοὺς ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἀναλέλεκται κατὰ τὴν Ματθαίου παράθεσιν. τὴν εἰς ἀνθρώπους δὲ πορείαν καὶ τὴν ἔνσαρκον ἐπιδημίαν τοῦ
c θεοῦ λόγου θεσπίζουσα ἡ γραφή φησιν "ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ θεός" καὶ τὰ ἑξῆς. 3. ταύτης δὲ τῆς ἐπιφανείας ὡσανεὶ πρόδρομοι γεγονότες οἱ πάλαι θεοφιλεῖς προφῆται διὰ ψαλτηρίου καὶ χορῶν καὶ παντοίων πνευματικῶν ὀργάνων κηρύττοντες καὶ ἀνυμνοῦντες προέφθασαν ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. 4. πάντως γάρ που τῶν ἐκ περιτομῆς συναγωγῶν εἰς μέσον παριόντες οἱ θεῖοι προφῆται τὴν τοῦ

9 Ps. 67, 24.

Χριστοῦ προκατήγγελλον ἄφιξιν, οἱ δὲ αὐτοὶ τῷ θείῳ d πνεύματι τοῖς τοῦ σωτῆρος ἡμῶν ἀποστόλοις προσεφώνουν λέγοντες "ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν Ἰσραήλ." πηγαὶ δὲ Ἰσραὴλ οἱ λόγοι ἂν εἶεν οἱ τῷ Ἰσραὴλ παραδεδομένοι. πρῶτοι γὰρ ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ, ὅθεν ἀντλοῦντας καὶ ἡμᾶς ἀρδεύειν δεήσει τὰς ἐκκλησίας τοῦ Χριστοῦ.

5. νεάνιδας δὲ καὶ τυμπανιστρίας τὰς πάλαι σωματικώτερον κατὰ τὸν Μωσέως νόμον βιούσας ψυχὰς ᾐνίξατο, διὰ μὲν τὸ νεώτερον καὶ ἀτελὲς τοῦ φρονήματος νεάνιδας, διὰ δὲ τὸ περὶ σωματικὴν κατατρίβεσθαι [275] θρησκείαν τυμπανιστρίας αὐτὰς ἀποκαλέσας.

Ἀπὸ τοῦ Ἡσαΐου. (442)

X. "Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρῦξαι αἰχμα- b λώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως."

2. Καὶ ταύτην αὐτὸς ὁ κύριος ἡμῶν τὴν πρόρρησιν εἰς ἑαυτὸν ὁμολογεῖ πεπληρῶσθαι, ὅτε ἐλθὼν εἰς τὴν Ναζαρὲθ, οὗ ἦν ἀνατεθραμμένος, εἰσῆλθεν κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, ἀναστάντι δὲ αὐτῷ ἐπεδόθη Ἡσαΐας ὁ προφήτης, οὗ καὶ ἀναπτύξας τὴν βίβλον, ἀνέγνω τὸ ἐγγεγραμμένον, πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, c κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, καλέσαι ἐνιαυ-

---

3 Rom. 3, 2. 14 Es. 61, 1.

τὸν κυρίου δεκτόν. 3. καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν. καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ. ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν." 4. ὁ μὲν οὖν σωτὴρ καὶ κύριος ἡμῶν διὰ ταύτης φαίνεται σαφῶς τῆς γραφῆς
d διαφερόντως καὶ κρειττόνως παρὰ τοὺς πάλαι σωματικώτερον χριομένους ἱερέας, οὐκ ἐλαίῳ σκευαστῷ, οὐδὲ ὑπ' ἀνθρώπων, ὁμοίως τοῖς ἄλλοις, ἀλλ' ἐνθέῳ πνεύματι αὐτοῦ δὴ τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ κεχρισμένος, παρ' οὗ καὶ τῆς ἀγεννήτου θεότητος μετασχὼν θεὸς καὶ κύριος πρὸς τῶν ἱερῶν ἀνηγόρευται γραφῶν. 5. ἀκολούθως δὲ τῇ μετὰ χεῖρας προφητείᾳ πτωχοῖς εὐαγγελιζόμενος εἰσάγεται παρὰ τῷ Ματθαίῳ, ὅτε "ἰδὼν τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτούς, λέγων, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν." 6. καὶ τυφλοῖς δὲ ἀνάβλεψιν
(443) παρεσχημένος οὐκ ὀλίγοις ἀναγέγραπται· οὐ μόνον γὰρ τοῖς τὰς ὄψεις τοῦ σώματος ἠφανισμένοις τὸ βλέπειν ἐδωρεῖτο, ἀλλά γε καὶ τοῖς πρότερον τῇ ψυχῇ τυφλώττουσιν αἴτιος τῆς κατὰ νοῦν θεωρίας καὶ τῆς ἐπιγνώσεως τοῦ τῶν ὅλων θεοῦ γέγονεν. 7. καὶ ἄλλως δὲ τοῖς οὖσι δεσμίοις καὶ ἀπηγμένοις αἰχμαλώτοις ὑπὸ τῆς ἀοράτου καὶ δαιμονικῆς δυνάμεως, κακῶν τε σειραῖς πεπεδημένοις, ἐλευθερίαν καὶ ἄνεσιν τῶν συνεχόντων ἐκήρυττεν, εἰ καὶ αὐτοὶ τῷ κηρύγματι πιστεύσαντες οἷα λυτρωτῇ καὶ σωτῆρι προσδράμοιεν
b αὐτῷ, καὶ τοῖς αὐτοῦ πεισθεῖεν παραγγέλμασι. καὶ

---

15 Matth. 5, 1.

τὰ λοιπὰ δὲ τοῦ λογίου κατὰ καιρὸν ἐν τοῖς περὶ τῶν ἐπαγγελιῶν ἐξετασθήσεται.

Ἀπὸ τοῦ Δευτερονομίου.

XI. "*Προφήτην ἐκ τῶν ἀδελφῶν σου ἀναστήσει* c *σοι κύριος ὁ θεός σου, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ κυρίου τοῦ θεοῦ σου ἐν Χωρὴβ, τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, λέγοντες, οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ* [276] *ἀποθάνωμεν· καὶ εἶπε κύριος πρός με, ὀρθῶς πάντα ὅσα ἐλάλησαν, προφήτην ἐκ τῶν ἀδελφῶν αὐτῶν ἀναστήσω αὐτοῖς ὥσπερ σὲ, καὶ δώσω τὸ ῥῆμά μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' ὅ τι ἂν ἐντείλωμαι αὐτῷ, καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ.*" d

2. *Ἐπίστησον ὅτι μηδεὶς παρ' Ἑβραίοις Μωσεῖ παραπλήσιος προφήτης ἐγήγερται, τουτέστι νομοθέτης καὶ εὐσεβείας ἀνθρώποις εἰσηγητὴς, ἢ μόνος ὁ ἡμέτερος σωτὴρ, ὁ Χριστὸς τοῦ θεοῦ. πρὸς γοῦν τῷ τέλει τοῦ Δευτερονομίου λέγεται "οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωσῆς·" καὶ μὴν μυρίοι προφῆται μετὰ τοῦτον γεγόνασιν, ἀλλὰ οὐχ ὡς αὐτός.* 3. *ὅλον δὲ τοῦτο ἡ τοῦ θεοῦ ὑπόσχεσις ἐπαγγέλλεται, ἕνα τινὰ, οὐχὶ δὲ πολλοὺς, καὶ ὅμοιον ἀναστήσειν αὐτῷ. δηλοῖ δὲ τοῦτον νομοθέτην καὶ εὐσεβείας ἀνθρώπων διδάσκαλον, οἷος μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ οὐδὲ ἄλλος ἀναδέδεικται,*

---

4 Deut. 18, 15. 21 Deut. 34, 1.

(444) νομοθέτης ὁμοῦ καὶ προφήτης τοῦ τῶν ὅλων θεοῦ καὶ πατρὸς αὐτοῦ γενόμενος. 4. ἀλλ' ὁ μὲν ἔθνους ἑνὸς ὁ Μωσῆς ἡγήσατο, καὶ κατάλληλα δὲ τούτῳ μόνῳ, οὐχὶ δὲ καὶ ἄλλοις ἔθνεσι· νομοθετῶν ἀποδέδεικται· ὁ δέ γε Χριστὸς τοῦ θεοῦ, λαβὼν ἐπαγγελίαν παρὰ τοῦ πατρὸς τὴν "αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, ὡς ἂν μὴ μόνον Ἰουδαίοις, ἀλλὰ καὶ τῷ παντὶ τῶν ἀνθρώπων γένει καινὸς b νομοθέτης εὐσεβείας ὑπὸ τοῦ πατρὸς καταστῆναι, τῇ πάντων τῶν ἐθνῶν κλήσει δυνατὴν καὶ ἁρμόδιον προβέβληται νομοθεσίαν. 5. θειοτέρᾳ γοῦν ἢ κατὰ Μωσέα δυνάμει κατὰ παντὸς τοῦ κόσμου τοὺς ἱεροὺς αὐτοῦ νόμους διὰ τῶν εὐαγγελιστῶν αὐτοῦ διεταξατο, μείζονι ἢ κατ' ἄνθρωπον ἐξουσίᾳ νομοθετήσας, εἰπὼν ὅτι "ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ὀργίζεσθαι εἰκῇ," καὶ τὰ τούτοις ἀκόλουθα ὅσα δὴ ἐν ταῖς ἀναγράπτοις αὐτοῦ διδασκαλίαις ἐμφέρεται, ἐφ' οἷς μαρτυρεῖ λέγων ὁ εὐαγγελιστὴς ὅτι "ἐξεπλήττοντο πάντες ἐπὶ τῇ διδαχῇ c αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν."

6. Τὸν δὲ τρόπον τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας τε καὶ νομοθεσίας ἐν ἀρχαῖς τῆς παρούσης ὑποθέσεως διελθόντες, ὅτε τὸν Χριστιανισμὸν ὅ τι ποτέ ἐστιν εἰς φανερὸν ἤγομεν, ἐπ' ἐκεῖνα καὶ νῦν τοὺς ἐντυγχάνοντας παραπέμψομεν. ἐπιστῆσαι δὲ τῷ λόγῳ ἄξιον, δι' ὃν ὁ κύριος ὑπισχνεῖται προφήτην ἀναστήσειν αὐτοῖς. 7. ἐπειδὴ γὰρ κεκελεύκει μὲν αὐτὸς τῷ Μωσεῖ ἁγνίσαι τὸν πάντα λαὸν ἐφ' ἡμέραις τρισίν, ὡς ἂν γένοιντο θεαταὶ ὁμοῦ καὶ ἀκροαταὶ τῆς

---

6 Ps. 2, 8. 15 Matth. 5, 21. 19 Matth. 7, 29.

ἐνθέου ἐπιφανείας, οἱ δὲ ἐξησθένησαν πρὸς τὴν τοῦ θεοῦ χάριν· διὸ ἐν ἀρχῇ γενόμενοι τῆς θεωρίας παρῃ- d τοῦντο λέγοντες τῷ Μωσεῖ "σὺ λάλει πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεὸς, ἵνα μὴ ἀποθάνωμεν·" εἰκότως διὰ ταῦτα ἀποδέχεται μὲν αὐτοὺς ὁ κύριος τῆς εὐλαβείας, φησὶ δὲ "ὀρθῶς πάντα ὅσα ἐλάλησαν, προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ. 8. οὐκοῦν καὶ τὸ αἴτιον ἐδίδαξε τοῦ δίκην προφήτου μέλλειν αὐτὸν τὴν εἰς ἀνθρώπους ἐπιφάνειαν ποιεῖσθαι· τοῦτο δ' ἦν ἀσθένεια ἀνθρώπων καὶ τῆς κρείττονος θεωρίας παραίτησις. 9. ἔχεις τοιγαροῦν καὶ τὴν αἰτίαν τῆς ἐνανθρωπήσεως τοῦ θεσπιζομένου προφήτου. εἰκότως οὖν προσδοκῶντες (145) αὐτὸν οἱ ἐκ περιτομῆς ἐπυνθάνοντο τοῦ βαπτιστοῦ Ἰωάννου, καὶ ἔλεγον "ὁ προφήτης εἶ σύ; ὁ δὲ ἔφη, οὔ." ἀλλ' ὁ Ἰωάννης τἀληθὲς ὁμολογῶν οὔτε προφήτης εἶναι ἠρνήσατο, ἦν γὰρ, ἀλλὰ τὸ αὐτὸς εἶναι ὁ προφήτης ὁ πρὸς τοῦ Μωσέως δεδηλωμένος· ὅτι δὲ [277] ἀπεσταλμένος εἴη ἔμπροσθεν τοῦ προφήτου ἐκείνου ἐδίδασκε. 10. καὶ ἐπειδήπερ ὁ λόγος αὐτοῖς δὴ τοῖς ἐκ περιτομῆς ἀναστήσεσθαι τὸν προφήτην ἐθέσπιζεν, εἰκότως ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ἅτε δὴ αὐτὸς ὢν b ὁ προκεκηρυγμένος, "οὐκ ἦλθον" φησὶν "εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ." τοῖς δὲ ἀποστόλοις αὐτοῦ παρῄνει λέγων "εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τα ἀπολωλότα οἴκου Ἰσραήλ·" 11. σαφῶς διδάσκων ὅτι δὴ αὐτοῖς προηγουμένως ἀπέσταλτο τῇ προφητείᾳ ἀκο-

---

3 Exod. 20, 19. Deut. 5, 27. 6 Deut. 18, 17.
15 Jo. 1, 21. 23 Matth. 15, 24. 25 Matth. 10, 6.

λούθως. ἐπειδὴ δὲ οὐκ ἐδέξαντο τὴν χάριν, ἀπελέγχει μὲν αὐτοὺς ἐν ἑτέροις λέγων "διότι ἦλθον, καὶ οὐκ c ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων." φησὶ δὲ πρὸς αὐτοὺς "ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. 12. καὶ τοῖς γε αὐτοῦ μαθηταῖς μετὰ τὴν ἐκείνων παραίτησιν προστάττει "πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου. οὕτω δῆτα ἡμεῖς μὲν τὰ ἔθνη τὸν προαναφωνηθέντα καὶ πρὸς τοῦ πατρὸς ἀπεσταλμένον προφήτην, ἅτε νομοθέτην ἅπασι γενόμενον ἀνθρώποις τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας, διὰ τῆς σωτηρίου καὶ εὐαγγε- d λικῆς διδασκαλίας ἔγνωμεν καὶ κατεδεξάμεθα, πληρουμένης κατὰ τὸ αὐτὸ καὶ ἑτέρας προρρήσεως, δι' ἧς εἴρηται "κατάστησον, κύριε, νομοθέτην αὐτοῖς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. 13. τὸ δὲ Ἰουδαίων ἔθνος μὴ παραδεξάμενον τὸν προφητευόμενον δίκην ἔτισε τὴν ἀξίαν κατὰ τὴν θείαν πρόρρησιν φήσασαν "καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐν τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ." 14. ἐκδεδίκηται γοῦν ἐκ τοῦ λαοῦ ἐκείνου πᾶν αἷμα ἐκχυθὲν ἐπὶ τῆς γῆς, ἀπὸ αἵματος Ἄβελ ἕως αἵματος Ζαχαρίου, καὶ αὐτοῦ γε ἐπὶ πᾶσι τοῦ Χριστοῦ, οὗ τὸ αἷμα καθ' ἑαυτῶν ἐξαιτησάμενοι καὶ κατὰ τῶν ἰδίων παίδων εἰσέτι νῦν τῆς τολμηθείσης αὐτοῖς ἀσεβείας τὴν τιμωρίαν ὑπέχουσιν.

---

2 Es. 50, 2. 4 Matth. 21, 43. 7 Matth. 28, 19.
15 Ps. 9, 20. 19 Deut. 18, 19. 22 Matth. 23, 35.

Ἀπὸ τοῦ Ἰώβ. (446)

XII. "*Ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει, ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ' ἐδάφους.*"

2. *Καὶ ταῦτα μόνῳ τῷ σωτῆρι καὶ κυρίῳ ἡμῶν,* b *ὡς ἂν θεοῦ λόγῳ δημιουργῷ τῶν ὅλων τυγχάνοντι, ἁρμόζοι ἄν· μόνος γοῦν τῶν πώποτε κατὰ τοὺς τῆς ἐνανθρωπήσεως χρόνους, σῶμα καὶ σχῆμα ἀνθρώπινον ἀναλαβών, ἐπὶ τῆς θαλάσσης περιπατῆσαι λέγεται* "*ὅτε τοὺς ἑαυτοῦ μαθητὰς ἠνάγκασεν ἐμβῆναι εἰς πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ αὐτὸς ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ· τὸ δὲ πλοῖον ἤδη ἦν ἐν μέσῳ τῆς θαλάσσης. ἰδόντες δὲ αὐτὸν ἐπὶ τῆς θαλάσ-* c *σης ἐταράχθησαν, λέγοντες ὅτι φάντασμά ἐστιν, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν.*" *εὐθέως δὲ ἐλάλησεν αὐτοῖς λέγων* "*θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.*" 3. *ἄλλως δὲ οὐκ ἂν γένοιτο ἀξιοπρεπῆ θεολογίαν δοκοῦν περιέχειν, εἰ ἐπὶ τοῦ ἀνωτάτω θεοῦ καὶ πατρὸς τῶν ὅλων ἐκλαμβάνοι τις τὸ λόγιον.* 4. *τί γὰρ ἔχει σεμνὸν καὶ ἀξιόλογον ἐπὶ τοῦ θεοῦ τῶν ὅλων περιπατεῖν λέγεσθαι ἐπὶ τῆς θαλάσσης; πῶς δὲ καὶ νοηθείη ἂν περίπατος ἐπὶ τῆς θαλάσσης τοῦ τὰ πάντα περιέχοντος,* d *καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῦντος καὶ μονον-* [278] *ουχὶ λέγοντος* "*ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου;*" *καὶ* "*τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος;*" *ὁ δέ γε σωτὴρ καὶ*

---

2 Job. 9, 7. 10 Matth. 14, 22. 26 Ps. 66, 1. 27 Jer. 23, 24.

κύριος ἡμῶν ἑαυτὸν κενώσας καὶ μορφὴν δούλου λαβὼν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος δεῖγμα τῆς λανθανούσης τοὺς πολλοὺς ἐνθέου δυνάμεως αὐτοῦ παρέχων ὁρᾶν τοῖς ἑαυτοῦ μαθηταῖς, καὶ τοῖς θαλαττίοις ἐπιβαίνων κύμασι καὶ τῷ κλύδωνι καὶ τοῖς ἀνέμοις ἐπιτιμῶν ἀναγέγραπται, ὅτε καὶ οἱ ὁρῶντες ἐξεπλήττοντο λέγοντες "ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα αὐτῷ ὑπακούουσιν;" ἦν δὲ καὶ τοῦτο ἄλλου τινὸς μείζονος σύμβολον, νοουμένης ἑτέρας θαλάσσης ἐν ᾗ λέγεται δράκων τις εἶναι πεποιημένος ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων τοῦ
(447) θεοῦ, ἐφ' ἣν καὶ αὐτὴν ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἐμπεριπατήσας τὴν κεφαλὴν τοῦ αὐτόθι δράκοντος καὶ τῶν λοιπῶν τῶν ὑποβεβηκότων δρακόντων λέγεται συντετριφέναι κατὰ τὸ "σὺ συνέθλασας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, καὶ σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος," σαφῶς ἑτέρας νοουμένης θαλάσσης, περὶ ἧς αὐτὸς πάλιν ἐν Ψαλμῷ φησιν "ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης." 5. καὶ πρὸς τὸν Ἰὼβ τὰ περὶ ἑαυτοῦ διεξιὼν "ἦλθες δὲ ἐπὶ
b πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ Ἅιδου ἰδόντες σε ἔπτηξαν;" εἰκότως οὖν κἀν τῷ καθ' ἡμᾶς βίῳ ἐπιβὰς τῇ θαλάττῃ καὶ τοῖς ἀνέμοις ἐπιτιμήσας καὶ τῷ κλύδωνι τὰ σύμβολα τῶν ἀπορρητοτέρων ἐπιτελεῖ.

---

1 Phil. 2, 7. 7 Matth. 8, 27. 15 Ps. 74, 13. 19 Ps. 69, 2. 20 Job 38, 16.

Ἀπὸ τοῦ Ἡσαΐου.

XIII. "Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα c παραλελυμένα, παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε, ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκούσονται, τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων."

2. Καὶ τούτων ἔχεις ἐν τοῖς εὐαγγελίοις τὰ ἀποτελέσματα τοῦτο μὲν ὁπηνίκα τῷ σωτῆρι καὶ κυρίῳ ἡμῶν προσέφερον παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον, ὃν καὶ ὑγιῆ λόγῳ κατεστήσατο, τοῦτο δὲ ὅτε μυρίοι τυφλοὶ καὶ δαιμονιῶντες, ἔτι μὴν διαφόροις d νόσοις καὶ μαλακίαις καταπονούμενοι, πρὸς τῆς αὐτοῦ σωτηρίου δυνάμεως τῶν παθῶν ἀπηλλάττοντο· 3. οὐ μὴν ἀλλὰ καὶ δι' ὧν εἰσέτι νῦν καθ' ὅλης τῆς οἰκουμένης μυρία πλήθη πολυτρόποις κακίας εἴδεσι δεδεμένα, ἀγνωσίας τε τοῦ ἐπὶ πάντων θεοῦ τὰς ψυχὰς πεπληρωμένα, θαυμασίως καὶ ὑπὲρ πάντα λόγον τοῖς τῆς διδασκαλίας αὐτοῦ φαρμάκοις ἰᾶται καὶ θεραπεύει· πλὴν ὅτι καὶ θεὸς ἐν τούτοις ἀνηγόρευται κατὰ καιρὸν, ὡς ἂν τοιαῦτα ἐνεργῶν, ἤδη πρότερον ἡμῖν ἐν ταῖς περὶ τῆς θεότητος αὐτοῦ μαρτυρίαις ἀποδέδεικται. 4. καὶ ἔπρεπέ γε νῦν γοῦν, εἰ καὶ ἄλλοτε, θεὸν αὐτὸν ὁμολογεῖσθαι, ὅτε καὶ ἔργα (448) θείας καὶ ὡς ἀληθῶς ἐνθέου δυνάμεως ἐπεδείκνυτο. θεοῦ γὰρ μόνου ἦν καὶ οὐδὲ ἄλλου ῥωννύναι μὲν παρειμένους, ζωογονεῖν δὲ νεκροὺς, σωτηρίαν τε ἀσθενοῦσι παρέχειν, ἀνοίγειν τε ὀφθαλμοὺς τυφλῶν

---

2 Es. 35, 3.

καὶ κωφῶν ὡσαύτως ἀκοὰς ἰᾶσθαι, χωλούς τε ἀνορθοῦν, καὶ τοὺς τὴν γλῶτταν δεδεμένους εὐλάλους ἀποκαθιστᾶν, ἅπερ ἅπαντα ὑπὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πέπρακται, οἷα ὑπὸ θεοῦ, καὶ μεμαρ-
[274] τύρηταί γε ὑπὸ πλειόνων τῶν καθ᾽ ὅλης τῆς οἰκου-
b μένης κηρυξάντων αὐτόν. 5. ὧν τὸ ἄπλαστον καὶ ἀληθὲς τῆς μαρτυρίας πιστοῦται ἡ διὰ βασάνων πεῖρα καὶ ἡ μέχρι θανάτου ἔνστασις, ἣν ἐπὶ βασιλέων ἀρχόντων τε καὶ ἡγεμόνων καὶ ὅλων ἐθνῶν ἐνεδείξαντο, τοῖς ὑπ᾽ αὐτῶν κηρυττομένοις ἀλήθειαν ἐπιμαρτυρήσαντες. 6. τούτοις δὲ αὐτοῖς ἡγοῦμαι τοῖς εὐαγγελισταῖς αὐτοῦ καὶ ἀποστόλοις ἐπιφωνεῖν τὸ πνεῦμα τὸ προφητικὸν τὰ ἀπὸ τοῦ "ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα." ἐπεὶ γὰρ τὰς χεῖρας καὶ
c τὰς πρακτικὰς δυνάμεις οὗτοι τάς τε βάσεις καὶ τὴν πορείαν ἀπὸ τῆς μακρᾶς περιόδου τῆς κατὰ τὸν Μωσέως νόμον λατρείας παρείθησαν, διεγείρων αὐτοὺς ἐπὶ τὴν κατὰ τὸ εὐαγγέλιον πολιτείαν, "ἰσχύσατε" φησὶ "χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα," εἰς ἑτοιμασίαν δηλαδὴ τοῦ κατὰ τὸ εὐαγγέλιον δρόμου. 7. ἰσχύσατε δὲ καὶ εἰς τὸ παρακαλεῖν ἑτέρους καὶ παρορμᾶν ἔχεσθαι τῆς εὐαγγελικῆς σωτηρίας ὑμεῖς οἱ τὸ πρὶν ὀλιγόψυχοι, καὶ μή τις ὑμᾶς αἱρείτω φόβος
d τῶν ἔξωθεν ἀνθισταμένων τῷ εὐαγγελικῷ κηρύγματι. ἀλλὰ καὶ πρὸς τούτους ἰσχύσατε, καὶ μὴ φοβεῖσθε. 8. θεὸς γὰρ ἦν καὶ θεοῦ λόγος, ἀλλ᾽ οὐ Μωσεῖ τις παραπλήσιος, οὐδέ τις τοῖς προφήταις ὅμοιος, οὐ μόνον τῶν παραδόξων ποιητὴς θαυμάτων, ἀλλὰ καὶ ὑμῖν αὐτοῖς τῆς ἰσχύος γεγονὼς αἴτιος. 9. πίστις δ᾽ ἂν γένοιτο ἐναργεστάτη τῆς τοῦ προφητευομένου σωτῆρος ἡμῶν ἐνθέου δυνάμεως, δι᾽ ἧς ἀληθῶς χωλοὺς καὶ τυφλοὺς καὶ λεπροὺς καὶ παρειμένους ἰάσατό

ποτε λόγῳ κατὰ τὰς περὶ αὐτοῦ γραφάς, ἡ καὶ εἰσέτι νῦν ἐνεργουμένη πρὸς τῆς αὐτοῦ θεότητος καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἀρετή, δι' ἧς αὐτοῖς ἔργοις ὁποῖός τις ἦν καὶ τότε τοῖς οἵοις τε συνορᾶν ἐπιδείνυται, ὅτε καὶ ἐπὶ τοσούτοις μετὰ ταῦτα χρόνοις διαρκὴς (449) καὶ ἀνίκητος καὶ ὡς ἀληθῶς θεοῦ λόγος ὁ πρὸς αὐτοῦ καταγγελθεὶς ἀποδείκνυται, πάντας ὑπερβαλλόμενος τοὺς ἀρχῆθεν καὶ μέχρι τοῦ νῦν τὴν διδασκαλίαν αὐτοῦ πολεμεῖν παρεσκευασμένους, ἐξ ἁπάσης τε τῆς οἰκουμένης ὑπαγόμενος ἑαυτῷ μυρία πλήθη, καὶ πάσης μὲν ἁμαρτίας καὶ τῶν κατὰ ψυχὴν παθῶν τε καὶ νοσημάτων τοὺς αὐτῷ προσιόντας ἀπαλλάσσων, ἐπὶ δὲ τὴν εὐσεβῆ διδασκαλίαν αὐτοῦ πᾶν γένος Ἑλλήνων καὶ βαρβάρων προσκαλούμενος, μυρίους τε b ὅσους προσάγων ἐπὶ τὴν τοῦ μόνου καὶ ἀληθοῦς θεοῦ γνῶσιν ἐπί τε τὸν ὑγιῆ καὶ σώφρονα βίον, ὅς δὴ καὶ πρέπων εἴη ἂν ἐπαγγελίᾳ θρησκείας τοῦ ἐπὶ πάντων θεοῦ. 10. οὗτος δὲ αὐτὸς ὁ θεὸς ἡμῶν, ἅτε τυγχάνων θεοῦ λόγος "κρίσιν" φησὶν "ἀνταποδίδωσι καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς." κατὰ γὰρ τὸν Ψαλμὸν φήσαντα "ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν, δι' ἧς εἴρηται "ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ," παρὰ τοῦ πατρὸς τὴν τοῦ c κρίνειν εἰληφὼς ἐξουσίαν, δικαιοσύνῃ κρίνων, τῷ μὲν ἐκ περιτομῆς λαῷ τὴν προσήκουσαν τῶν εἰς αὐτόν τε καὶ τοὺς αὐτοῦ προφήτας τετολμημένων δίκην ἀποδέδωκε, πάντας δὲ ἁπαξαπλῶς ἀνθρώπους τοὺς αὐτῷ προσιόντας ἐξ ἴσου κατὰ τὸ δίκαιον ἀνεσώσατο· ὧν τὰ ὦτα τῆς διανοίας καὶ τοὺς ὀφθαλμοὺς ἀνέῳξεν.

21 Ps. 71, 1. 23 Jo. 5, 22.

11. διὸ καὶ τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ καιρὸν ἀνταποδόσεως ὁ θεῖος ἀποκαλεῖ λόγος, ἐν ἑτέροις φάσκων "καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέ-
d ραν ἀνταποδόσεως." 12. οὗτος δὲ ἦν καιρὸς τῆς ἀνταποδόσεως καθ' ὃν πᾶν αἷμα ἐκχυθὲν ἀπὸ αἵματος Ἄβελ ἕως αἵματος Ζαχαρίου, καὶ αὐτοῦ γε τοῦ τιμίου αἵματος Ἰησοῦ, ἐκδεδίκηται ἀπὸ τῆς γενεᾶς τῶν εἰς αὐτὸν πεπλημμεληκότων, ὡς ἐξ ἐκείνου τὸν ἔσχατον
[280] αὐτοὺς ὑπομεῖναι ὄλεθρον καὶ τὴν ἐσχάτην πολιορκίαν. 13. καὶ ἡ μὲν κατ' ἐκείνους κρίσις τοιαύτην ἐποιήσατο κατ' αὐτῶν τὴν ἀνταπόδοσιν· διό φησιν ἡ προφητεία "ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει." ἡ δὲ περὶ τῶν δι' αὐτοῦ σωθησομένων ἑξῆς δηλοῦται διὰ τοῦ "αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκούσονται" καὶ τὰ ἑξῆς. 14. ταύτην δὲ τὴν σωτήριον κρίσιν καὶ ἄλλη προφητεία ἐξοίσειν τὸν
(450) Χριστὸν ἐπαγγέλλεται φάσκουσα "ἰδοὺ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ, ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει." 15. διὸ καὶ περὶ τοῦ λόγου τῆς καινῆς διαθήκης εἴρηται "ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν." κρίσει γὰρ θείᾳ καὶ λόγοις ἡμῖν ἀρρήτοις καὶ τὰ τῆς κλήσεως τῶν εἰς αὐτὸν ἐπιστρεφόντων εἰκὸς αὐτὸν ἐνεργεῖν. ἀλλὰ καὶ τὴν θείαν διδάσκων ἡμᾶς κρίσιν, καὶ πάντα κεκριμένως ἡμᾶς πράττειν παιδεύων, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσειν λέγεται.

---

3 Es. 61, 2. 18 Es. 41, 1. 22 Mic. 4, 2.

Ἀπὸ τοῦ αὐτοῦ. b

XIV. "Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. καὶ ἐρεῖ, μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. ἰδοὶ ἐγὼ, καὶ c τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός. καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ κυρίου Σαβαὼθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς, ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοὺς κενολογοῦντας, οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν· οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ; τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν."

2. Ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ παραθεὶς ὁ ἀπόστολος τὴν φάσκουσαν λέξιν "ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός," ἐπεξεργάζεται περὶ τοῦ d Χριστοῦ λέγων "ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου." 3. παῖδας δὲ αὐτοῦ ἐν τούτοις τοὺς ἀποστόλους ὀνομάζει, ἐφ' ὧν σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ ποιήσειν τὸν κύριον Σαβαὼθ, τὸν κατοικοῦντα ἐν τῷ ὄρει Σιὼν, διδάσκει, τούτους δὲ αὐτοὺς φανεροὺς ἔσεσθαι συνήθως ἡμῖν τὰ πρόσωπα σφραγιζομένους τῇ τοῦ Χριστοῦ σφραγῖδι, παιδευομένους τε μηκέτι τὸν Μωσέως νόμον μανθάνειν, τῷ μηκέτι συνεστάναι αὐτὸν, καὶ τῷ τὸν καλούμενον οἶκον Ἰακὼβ καταλελεῖφθαι ὑπὸ τοῦ θεοῦ. 4. ἀσαφῶς δὲ παρὰ τοῖς ἑβδομήκοντα εἰρημένον "τότε

2 Es. 8, 16. 16 Heb. 2, 13.

φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ
(451) μαθεῖν. καὶ ἐρεῖ, μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα
τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ πεποι-
θὼς ἔσομαι ἐπ' αὐτῷ" σαφέστερον ὁ Σύμμαχος ἐξέ-
δωκεν εἰπὼν "δῆσον μαρτύριον, σφράγισον νόμον ἐν
τοῖς διατάγμασί μου. καὶ προσδοκήσω τὸν κύριον
τὸν κρύβοντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰα-
κώβ, καὶ ἀναμενῶ αὐτόν." 5. καὶ ὁ Ἀκύλας δὲ τοῦτον
καὶ αὐτὸς ἐξέδωκε τὸν τρόπον "ἔνδησον μαρτύριον,
σφράγισον νόμον ἐν διδακτοῖς μου. καὶ προσδέξομαι
τὸν θεὸν τὸν ἀποκρύβοντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ
b τοῦ οἴκου Ἰακώβ, καὶ ὑπομενῶ αὐτόν." ταῦτα δ'
οὖν οἱ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι διδάσκονται ποι-
εῖν. οἷς ἑξῆς ἐπιλέγει "ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ
μοι ἔδωκεν ὁ θεός. καὶ ἔσται εἰς σημεῖα καὶ τέρατα
[281] ἐν τῷ Ἰσραὴλ παρὰ κυρίου Σαβαὼθ ὃς κατοικεῖ ἐν
τῷ ὄρει Σιών." 6. κατοικήσας δὲ ὁ κύριος Σαβαὼθ,
ὁ τοῦ θεοῦ λόγος, ἐν ᾧ ἀνείληφεν ἀνθρώπῳ, καὶ τὰς
διατριβὰς πεποιημένος ἐν τῷ ὄρει Σιών, σημεῖά τε
καὶ τέρατα διαπραξάμενος, ὁμοῦ τοῖς αὐτοῦ μαθηταῖς
καὶ πᾶσι τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ἐξ ἁπάντων
c τῶν πρὶν εἰδωλολατρῶν παρακελεύεται μηκέτι δεδι-
έναι κατὰ μηδένα τρόπον τὴν δεισιδαίμονα πλάνην·
ἀλλ' εἰ καὶ παρασαλεύοιεν αὐτοὺς ἢ καὶ ἀναγκάζοιεν
οἱ ἐξ ἐθνῶν εἰδωλολάτραι ζητεῖν τοὺς ἐγγαστριμύθους
καὶ τὰ τῶν δαιμόνων μαντεῖα ὡς θαυμάσια καὶ κατ'
οὐδὲν λείποντα τῆς τῶν θείων καὶ θεοφιλῶν ἀνδρῶν
προφητικῆς διαίτης, αὐτοὺς δεῖν ἀποκρίνεσθαι καὶ
λέγειν διδάσκει "τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς
νεκρούς; νόμον γὰρ εἰς βοήθειαν δέδωκε" καὶ τὰ
τούτοις ἀκόλουθα. 7. τοὺς γὰρ ἅπαξ νόμον εἰληφότας
καὶ σωτηρίους ἐντολὰς ἐπὶ βοηθείᾳ καὶ θεραπείᾳ τοῦ

ἰδίου βίου περιττὸν μαντείας πολυπραγμονεῖν διὰ a
τῆς δαιμονικῆς ἀπάτης ἐνεργουμένας.

Ἀπὸ τοῦ αὐτοῦ.

XV. "*Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ·*
Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή
μου. κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει, οὐ κεκράξεται, οὐδὲ (452)
ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. κάλα-
μον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον καπνιζό-
μενον οὐ σβέσει, ἀλλ᾽ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν.
ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ γῆς
κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.
οὕτω λέγει κύριος ὁ θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν
καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν
αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ᾽ αὐτῆς, καὶ
πνεῦμα τοῖς πατοῦσιν αὐτήν. ἐγὼ κύριος ὁ θεός σου
ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός b
σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην
γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν,
καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου
φυλακῆς καθημένους ἐν σκότει."

2. *Καὶ ταύτης ὁ εὐαγγελιστὴς μνημονεύει τῆς*
λέξεως, ὅτε ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλα-
βον κατὰ τοῦ σωτῆρος ἡμῶν ὅπως αὐτὸν ἀπολέσωσιν,
ἐπειδὴ τοῖς σάββασιν τοὺς κάμνοντας ἐθεράπευε. τὸ
τηνικαῦτα γὰρ, ὥς φησι, γνοὺς ὁ Ἰησοῦς τὴν κατ᾽
αὐτοῦ συσκευὴν "*ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἠκολού-*
θησαν αὐτῷ ὄχλοι πολλοὶ, καὶ ἐθεράπευσεν αὐτοὺς c
πάντας, καὶ ἐπέπληξεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν

---

4 Es. 42, 1. 26 Matth. 12, 14.

ποιήσωσιν." 3. *οἷς ἐπιφέρει λέγων "καὶ ταῦτα πάντα γέγονε," τουτέστι τὸ ἀναχωρεῖν αὐτὸν καὶ τὸ ἐκκλίνειν τοὺς ἐπιβούλους, καὶ τὸ λανθάνειν σπουδάζειν ἐν οἷς ἔπραξε παραδόξοις, καὶ τὸ παρεγγυᾶν τοῖς θεραπευομένοις μὴ φανερὸν αὐτὸν ποιεῖν "ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος, ἰδοὺ ὁ παῖς μου, εἰς ὃν εὐδόκησα, ὁ ἀγαπητός μου, ὃν ἡρέτισεν ἡ ψυχή μου. θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσεταί τις ἐν ταῖς πλατείαις τὴν*
d *φωνὴν αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν."* 4. *τήρει δὲ ἐπιμελῶς τίνα τρόπον ὁ Ματθαῖος εἰπὼν "ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, ἐν ᾧ εὐδόκησεν ἡ ψυχή μου" οὔτε τοῦ Ἰακὼβ οὔτε τοῦ Ἰσραὴλ ἐμνήσθη. οὐ γὰρ εἶπεν Ἰακὼβ ὁ παῖς μου, Ἰσραὴλ ὁ ἐκλεκτός μου, ἀορίστως δὲ ἐξήνεγκεν εἰπὼν "ἰδοὺ ὁ παῖς μου καὶ ὁ ἀγαπητός μου."* 5. *ὅθεν, ὡς μηδὲ ἐν τῷ Ἑβραϊκῷ τῆς προφητείας κειμένης, παρὰ μὲν τοῖς ἑβδομήκοντα ὠβέλισται τὸ τοῦ*
[282] *Ἰακὼβ καὶ τὸ τοῦ Ἰσραὴλ ὄνομα, καὶ παρὰ τοῖς λοιποῖς δὲ ἑρμηνευταῖς παρασεσιώπηται, ἐπεὶ μηδ' ἐν*
(453) *τῷ Ἑβραϊκῷ φέρεται.* 6. *ἔνθεν εἰκότως οὐδὲ παρὰ τῷ εὐαγγελιστῇ εἴρηται Ἑβραίῳ ὄντι καὶ ἀκολούθως τῇ Ἑβραίων γραφῇ τὴν προφητείαν ἐκθεμένῳ. τοιγαροῦν οὐδὲ κατὰ διάνοιαν τῷ ἐκ περιτομῆς λαῷ τὰ θεσπιζόμενα ἁρμόζει, μόνῳ δὲ τῷ Χριστῷ τοῦ θεοῦ μαρτυρουμένῳ ὑπὸ τῆς ἐναργείας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. μόνος γὰρ οὗτος τὴν μέλλουσαν κρίσιν τοῖς ἔθνεσι προεκήρυξεν, ἡσυχῇ τῷ βίῳ τῶν ἀνθρώπων ἐπιδημήσας, καὶ κρίσιν ἐπὶ τῆς γῆς θέμε-*

νος· καὶ οὐ μόνον κάλαμον συντετριμμένον οὐ κατέ- b
αξεν, ἀλλά, εἰ ἔστιν εἰπεῖν, συνέδησεν, ἀνορθώσας
καὶ ἰσχυροὺς ἀπεργασάμενος τοὺς ἀσθενεῖς καὶ τοὺς
συντετριμμένους τὴν καρδίαν. 7. ὥσπερ δὲ τοὺς
ἀσθενεῖς καὶ σαθροὺς καὶ τῆς αὐτοῦ θεραπείας δεο-
μένους οὐ παρεώρα, οὐδὲ μετανοοῦντας κατακρίνων
συνέτριβεν, οὕτως οὐδὲ τοὺς τοῖς κακοῖς ἐπιμένοντας
καὶ ὑπὸ τῶν παθῶν τυφομένους ἐσβέννυε, κωλύων
παρὰ τὴν αὐτῶν προαίρεσιν ἐνεργεῖν, οὐδὲ μὴν παρὰ c
καιρὸν ἐτιμωρεῖτό τινα τούτων, τὴν κατ᾽ ἀξίαν αὐ-
τῶν κόλασιν εἰς τὸν τῆς καθόλου κρίσεως καιρὸν ὑπερ-
τιθέμενος· 8. διὸ λέλεκται "καὶ λίνον τυφόμενον οὐ
σβέσει." ἄντικρυς δὲ πέρας εἴληφε τὸ "καὶ ἐν τῷ ὀνό-
ματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν." ἐπὶ μόνῳ γοῦν τῷ τοῦ
σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀνόματι ἤλπισε τὰ
Χριστιανῶν ἔθνη, τὴν ἐπωνυμίαν αὐτοῦ ὡς πατρὸς
ἧς παρειλήφασιν εὐσεβείας ἐπιγραφόμενα. 9. καὶ γὰρ
εἰς φῶς οὐκ ἄλλοις ἢ τοῖς ἔθνεσι δεδόσθαι προπε-
φώνηται, δι᾽ αὐτοῦ τε τῇ προρρήσει ἀκολούθως ὀφθαλ-
μοὶ τυφλῶν τῶν πάλαι τὴν διάνοιαν πεπηρωμένων,
καὶ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν αὐτὸ τὸ σῶμα d
ἠφανισμένων, καὶ οἱ δεσμοῖς τε καὶ σειραῖς ἁμαρτιῶν,
ἐν σκότει καὶ ἀγνοίᾳ τῆς ἀληθοῦς εὐσεβείας τὸ πρὶν
κεκαλινδημένοι, δι᾽ αὐτοῦ τῶν ἁμαρτιῶν λυθέντες,
τοῦ φωτὸς τῆς γνώσεως καὶ τῆς παρὰ τῷ θεῷ ἐλευ-
θερίας ἠξίωνται. 10. καὶ σὺ δὲ ἐπὶ σχολῆς τοῖς ἀπο-
δεδομένοις ἀκολούθως βασανίσας τὴν λέξιν ἐπὶ μόνῳ
ἂν εὕροις τῷ κυρίῳ καὶ σωτῆρι ἡμῶν ἕκαστον ἀκρι-
βῶς τῶν δι᾽ αὐτῆς δηλουμένων πεπληρωμένον.

Ἀπὸ τοῦ αὐτοῦ

(454) XVI. "Εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου
ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ Σεραφεὶμ εἱστήκεισαν
κύκλῳ αὐτοῦ." εἶθ' ὑποβάς φησι "καὶ ἤκουσα τῆς
φωνῆς κυρίου λέγοντος, τίνα ἀποστείλω, καὶ τίς πο-
b ρεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδοὺ ἐγώ
εἰμι, ἀπόστειλόν με, καὶ εἶπε, πορεύθητι, καὶ εἶπον
τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε,
καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη
γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν
βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμ-
μυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν
ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι,
καὶ ἰάσωμαι αὐτούς.".

2. Ἔχεις καὶ τούτων τὸ ἀποτέλεσμα ἐπὶ τοῦ σω-
τῆρος ἡμῶν, κατὰ μὲν τὸν Ἰωάννην φήσαντα "το-
σαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐ-
c τῶν, οὐκ ἐπίστευσαν εἰς αὐτόν, ἵνα ὁ λόγος Ἡσαΐου
τοῦ προφήτου πληρωθῇ ὃν εἶπε "κύριε, τίς ἐπίστευσε
τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκα-
λύφθη; διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν· εἶπε γὰρ
πάλιν Ἡσαΐας, τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς,
καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς
[283] ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστρέψωσι,
καὶ ἰάσωμαι αὐτούς." 3. ταῦτα εἶπεν Ἡσαΐας, ὅτε
εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ· κατὰ
d δὲ τὸν Ματθαῖον "ὅτε προσελθόντες οἱ μαθηταὶ αὐ-
τοῦ εἶπον αὐτῷ, διὰ τί ἐν παραβολαῖς αὐτοῖς λαλεῖς;
ὁ δὲ ἀποκριθεὶς εἶπεν, ὑμῖν δέδοται γνῶναι τὰ μυ-

3 Es. 6, 1. 17 Jo. 12, 37. 28 Math. 13, 10.

στήρια τῆς βασιλείας, ἐκείνοις δὲ οὐ δέδοται." διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ἵνα βλέποντες μὴ βλέπωσι καὶ ἀκούοντες μὴ ἀκούωσι, μή ποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς." 4. τότε ἐπληρώθη ἐπ' αὐτοῖς ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα "πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε" καὶ τὰ τούτοις ἑξῆς. ἐπιτήρει δὲ τίνα τρόπον ὁ Ἰωάννης ἐπάγει λέγων "ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ," ὡς τὸν Χριστὸν ἑωρακότος καὶ τὴν Χριστοῦ δόξαν τοῦ προφήτου κατὰ τὴν ὀπτασίαν ἐν ᾗ ἔφησεν "εἶδον τὸν κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ (455) καὶ ἐπηρμένου" καὶ τὰ ἑξῆς. 5. τίς δ' οὐκ ἂν ἐκπλαγείη τὴν πρόρρησιν ἐναργῶς οὕτως εἰσέτι νῦν ὁρῶν τῶν ἐκ περιτομῆς τὴν εἰς Χριστὸν ἀπιστίαν; καὶ πάλαι μὲν γὰρ ἐνανθρωποῦντα καὶ παραδοξοποιοῦντα ἐν αὐτοῖς ὁρῶντες αὐτὸν, ὀφθαλμοῖς ψυχῆς καὶ διανοίας ὄμμασιν οὐκ ἐθεῶντο, οὐδέ τις ἦν ἐν αὐτοῖς νοερᾶς ἐνθυμήσεως ὅρασις εἰς τὸ συνιέναι τίς ποτ' ἄρα ἦν ἡ τὰ τοσαῦτα καὶ τηλικαῦτα θαυματουργοῦσα ἐν αὐτοῖς δύναμις. 6. ἀλλὰ καὶ αὐταῖς ἀκοαῖς ῥήματα ζωῆς αἰωνίου δέξασθαι κατηξιωμένοι καὶ φωνῆς b ἐνθέου σοφίας ἀκροώμενοι ὠσὶ διανοίας οὐκ ἤκουον, ὡς ἐναργὲς τέλος ἐπαγαγεῖν αὐτοὺς τῇ προφητείᾳ. 7. καὶ εἰς δεῦρο δὲ τὴν ἔνθεον τοῦ Χριστοῦ δύναμιν, δι' ἧς πᾶν γένος ἀνθρώπων ἀποστήσας τῆς πατρίου δεισιδαιμονίας ὑπηγάγετο τῇ κατ' αὐτὸν θεοσεβείᾳ, ἐναργῶς οὕτως ἐμφαινομένην ὁρῶντες οὐδαμῶς ἐφιστῶσιν τῇ διανοίᾳ οὐδ' ἐπιβάλλουσιν ὅπως τὸ μήτε Μωσεῖ μήτε τοῖς μετὰ Μωσέα προφήταις ἐπὶ μόνων αὐτῶν κατορθωθὲν, τοῦτο δὴ τὸ μὴ εἰδωλολατρεῖν μηδὲ τῇ πολυθέῳ προσέχειν πλάνῃ, τοῦτ' c

ἐπὶ πάντων τῶν ἐθνῶν ἡ τοῦ σωτῆρος ἡμῶν ἔνθεος ἀρετὴ συνεστήσατο. 8. εἶτα δὲ καὶ ταῖς προφητικαῖς ἐντυγχάνοντες περὶ αὐτοῦ μαρτυρίαις, ἀκοῇ μὲν ἀκούουσιν, ἀλλ' οὐ συνίασιν, ἔργῳ πληρουμένης εἰσέτι καὶ νῦν κατ' αὐτῶν τῆς ἐν χερσὶ προφητείας.

Ἀπὸ τοῦ Ζαχαρίου.

d XVII. "Χαῖρε σφόδρα, θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλὴμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ καὶ ἵππον ἐξ Ἱερουσαλὴμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικὸν καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν, καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν εἰς διεκβολὰς γῆς."

2. Ταῦτα μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ Ζαχαρίου εἰς τὰ ὕστατα τῶν προφητῶν θεσπί-
(456) σαντος, οὐδεὶς μετὰ τοὺς τῆς προφητείας χρόνους βασιλεὺς παρὰ Ἰουδαίοις γεγονὼς ἱστορεῖται, οἷον ἡ προφητεία παρίστησιν, εἰ μὴ μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ, καθ' ὃν καὶ αὕτη τέλους ἐτύγχανεν ἡ πρόρρησις, ὅτε τοῖς ἑαυτοῦ μαθηταῖς πρὸς λέξιν εἰπὼν "πορευθέντες εἰς τὴν ἀπέναντι κώμην εὑρήσετε ὄνον καὶ πῶλον δεδεμένον· λύσαντες αὐτὸν ἀγάγετε." 3. καὶ ἐάν τις ὑμῖν εἴπῃ, τί ποιεῖτε; εἴπατε αὐτῷ, ὁ κύριος αὐτῶν χρείαν
b ἔχει. καὶ ἀπελθόντες ἐκεῖνοι ἐποίησαν καθ' ἃ προσέταξεν αὐτοῖς." τὰ μὲν οὖν τῆς προρρήσεως καὶ τὰ
[284] τοῦ συμπεράσματος τοῦτον ἔχει τὸν τρόπον. 4. τί

9 Zach. 9, 9. 24 Matth. 21, 2.

δὲ ἄρα ἐβούλετο σημαίνειν ἡ ἐπὶ ὄνῳ ὄχησις αὐτοῦ ἀλλ' ἢ τὴν ταπεινὴν καὶ ἄδοξον αὐτοῦ παρουσίαν, καθ' ἣν ἐποιήσατο τὴν πρώτην ἄφιξιν; οὔσης γὰρ καὶ δευτέρας ἐνδόξου, περὶ ἧς καὶ Δανιὴλ γυμνότερον ἐκκαλύπτων τὴν θεωρίαν εἴρηκεν "ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μυ- c ρίαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος. 5. καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύουσιν. ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται." 6. τὰ μὲν τῆς πρώτης ἀφίξεως τῆς ἐνανθρωπικωτέρας καὶ ταπεινῆς μετὰ τῶν ἄλλων καὶ d τοῦτο ἔχει μέγα δεῖγμα καὶ σημεῖον, τὸ πρᾶον λέγεσθαι καὶ ἡσύχιον, ἥξειν τε ὀχούμενον ὑποζυγίῳ προφητεύεσθαι· τοῦτο γὰρ κοινοῦ καὶ ἀνθρωπίνου βίου γένοιτ' ἂν τεκμήριον· τὰ δὲ τῆς δευτέρας καὶ ἐνθέου λαμπρότατα δηλοῦται διὰ τῆς ἐπὶ νεφελῶν οὐρανοῦ παρακομιδῆς καὶ τῆς αἰωνίου πάντων τῶν ἐθνῶν βασιλείας. 7. καὶ ἦν γε καλὸν ἀμφοτέρας παραθεῖναι τοῖς ἐκ περιτομῆς, λόγον τε αὐτοὺς ἀπαιτῆσαι πῶς ἂν σώσαιεν τὰς προφητείας, μίαν ἄφιξιν Χριστοῦ προσδοκῶντες· ἐπεὶ γὰρ ἑκατέραν τῶν παρατεθεισῶν προφητειῶν καὶ αὐτοὶ τὸν Χριστὸν ὁρᾶν ὁμολογοῦσιν, ὥρα λέγειν καὶ πυνθανομένοις ἡμῖν ἀποκρίνασθαι, πῶς οἷόν τε ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν καὶ ὑπὸ μίαν ἄφιξιν ἐπὶ νεφελῶν οὐρανοῦ

---

5 Dan. 7, 9.

(457) φέρεσθαι τὸν αὐτὸν, καὶ ἐπὶ ὑποζυγίου καὶ πώλου
νέου ὀχεῖσθαι· ἐπὶ πολὺ γὰρ ταῦτα διέστηκεν ἀλλή-
λων. 8. μυρίας δ' οὖν τοιαύτας καὶ ἄλλας περὶ τοῦ
Χριστοῦ προφητείας συναγαγὼν, παραθεὶς τε καὶ
συγκρούσας τὰ διαφόρως σημαινόμενα, ἐναργέστατα
καταλήψῃ τινὰς μὲν τῆς πρώτης αὐτοῦ παρουσίας
δηλώματα περιεχούσας, πεπληρωμένας κατὰ τὴν πρώ-
την ἐπιφάνειαν αὐτοῦ, τινὰς δὲ εἰς τὴν δευτέραν αὐ-
τοῦ καὶ ἔνδοξον ἄφιξιν ἀναφερομένας. 9. ἐξωλό-
θρευσε γὰρ λεληθότως ἅρματα καὶ ἵππον καὶ πᾶν τό-
ξον πολεμικὸν ἡ τοῦ σωτῆρος ἡμῶν ἔνθεος δύναμις
b κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν ἐκ τῆς σωματι-
κωτέρας Ἱερουσαλὴμ καὶ τοῦ καλουμένου Ἐφραῒμ
λαοῦ· διὸ ἐξ ἐκείνου καὶ εἰς δεῦρο οὐκέτι συνέστη
αὐτῶν τὸ βασίλειον, οὐδὲ ἡ πάλαι ἐν πολέμοις ἰσχύ-
σασα παρασκευή τε αὐτῶν καὶ ὁπλιτικὴ δύναμις.
10. καλῶς δὲ ἐν τούτοις τὸν πάντα τῶν Ἰουδαίων
λαὸν Ἐφραῒμ ὠνόμασεν, ἀλλ' οὐχὶ Ἰσραὴλ οὐδὲ Ἰού-
δαν, ἵνα μὴ τὰς σεμνοτέρας διαβάλλοι προσηγορίας.
11. εὕροις δ' ἂν καὶ ἐν ταῖς ἄλλαις προφητείαις τὸ
c πᾶν ἔθνος Ἐφραῒμ μετὰ πολλῆς διαβολῆς καὶ κατη-
γορίας ὠνομασμένον, ὥσπερ καὶ νῦν. μετὰ γοῦν τὴν
ἀπὸ Βαβυλῶνος ἐπάνοδον, μηκέθ' ὁμοίως ὡς τὸ πρὶν
διῃρημένου τοῦ λαοῦ, τίνας ἦν εἰκὸς δηλοῦσθαι διὰ
τοῦ Ἐφραῒμ ἢ αὐτοὺς τοὺς τὴν Ἱερουσαλὴμ οἰκοῦν-
τας; ὧν τὴν πολεμικὴν καὶ ὁπλιτικὴν δύναμιν μέχρι
τῶν Ῥωμαϊκῶν χρόνων διαρκέσασαν ἡ τοῦ σωτῆρος
ἡμῶν παρουσία ἐνθέῳ καὶ ἀπορρήτῳ δυνάμει καθεῖ-
λεν ὁμοίως τῇ προφητείᾳ. 12. ταῦτα δὲ τὴν ἐξ ἐθνῶν
ἐκκλησίαν εὐαγγελίζεται ὁ λόγος, οὐχ ἁπλῶς χαίρειν,
d ἀλλὰ καὶ σφόδρα χαίρειν αὐτῇ παρακελευόμενος, διὰ
τὴν τοῦ θεοῦ λόγου εἰς αὐτὴν παρουσίαν, ἣν καὶ

θυγατέρα τῆς ἐπουρανίου Σιὼν ἢ καὶ τῆς προτέρας
συναγωγῆς ἀποκαλεῖ, διὰ τὸ πάντας ἡμᾶς τοὺς ἐξ
ἐθνῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ πεπιστευκότας γεν-
νήματα εἶναι καὶ τέκνα Χριστοῦ καὶ τῶν ἀποστόλων [285]
αὐτοῦ, οἷα ἐκ μητρὸς τῆς τῶν Ἰουδαίων συναγωγῆς
προελθόντας. 13. καὶ τὸ ἑξῆς δὲ ἐπληροῦτο ἐπὶ τῇ
τοῦ σωτῆρος ἡμῶν παρουσίᾳ. 14. εἰρήνη γοῦν ἐξ
ἐθνῶν γέγονεν ἀπὸ τῶν χρόνων τῆς ἀφίξεως αὐτοῦ
οἵα οὐδεπώποτε· οὐκέτι γοῦν πόλεις πόλεσιν, ὡς τὸ
πρίν, πολεμοῦσιν, οὐδὲ ἔθνη ἔθνεσι συρράσσουσιν,
οὐδ᾽ ὡς τὸ παλαιὸν ὁ τῶν ἀνθρώπων βίος ἀκαταστα-
τεῖ, οὐδ᾽ Ἀθηναῖοι μὲν Λακεδαιμονίοις ἐπιστρατεύ- (458)
ονται, Σύροι δὲ Φοίνιξιν, Ἀράβιοι δὲ Παλαιστίνοις,
καὶ Αἰγύπτιοι τοῖς πλησιοχώροις. 15. ἥνωται δὲ ἐξ
ἐκείνου σὺν θεῷ τὰ πάντα, καὶ ἀληθῶς πλῆθος εἰ-
ρήνης ἐξ ἐθνῶν ἐξ ἐκείνου καὶ εἰς δεῦρο γέγονεν ἀκο-
λούθως τῇ προφητείᾳ· μόνος δὲ Ἰησοῦς καὶ ὁ δι᾽
αὐτοῦ κηρυχθεὶς τῆς εὐαγγελικῆς διδασκαλίας λόγος
ἦρξεν τῶν ἀπὸ θαλάσσης ἕως θαλάσσης ἑῴας καὶ
τῆς κατὰ δυόμενον ἥλιον, καὶ ἀπὸ ποταμῶν εἰς τὰς b
διεκβολὰς τῆς γῆς, ἀκολούθως τοῖς ἐν τῷ προφήτῃ
προλελεγμένοις. 16. ἅπερ καὶ ὁ Ἀκύλας ὧδέ πως
ἡρμήνευσεν εἰπὼν "καὶ λαλήσει εἰρήνην ἐν τοῖς
ἔθνεσι, καὶ ἡ ἐξουσία αὐτοῦ ἀπὸ θαλάσσης ἕως θα-
λάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς γῆς."
ταῦτα δὲ τοῖς ἐν τῷ Ψαλμῷ σύγκρινον τῷ ἐπιγεγραμ-
μένῳ εἰς Σολομῶνα περὶ τοῦ υἱοῦ τοῦ βασιλέως, δη-
λαδὴ τοῦ ἐκ σπέρματος Σολομῶνος προελευσομένου,
λεγομένοις, περὶ οὗ φησιν ὁ Ψαλμὸς "καὶ κατακυ-
ριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποτα-
μῶν ἕως περάτων τῆς οἰκουμένης." 17. σημαίνει δὲ καὶ
τὴν ἐνταῦθα δηλουμένην εἰρήνην ὁ αὐτὸς Ψαλμὸς φά-

σκων "ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης." καὶ Ἡσαΐας δὲ τούτοις συντρέχει δι' ὧν φησι "καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέ- c *πανα, καὶ οὐ λήψεται ἔτι ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν."* 18. *εὕροις δ' ἂν καὶ Μιχαίαν τούτοις συνᾴδοντα καὶ ἄλλους πλείους τῶν προφητῶν. ἐπιστήσας δὲ, ὡς ἔφην, τοῖς χρόνοις δυνήσῃ συνιδεῖν ὡς ἀπὸ τῶν Αὐγούστου χρόνων καὶ τῆς κατ' αὐτὸν ἐπιλαμψάσης τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας τῆς Ῥωμαίων μοναρχίας ἐπικρατησάσης αἱ πάλαι τῶν ἐθνῶν διελύθησαν διαστάσεις καὶ πολυαρχίαι, καὶ τόνδε ἐξ ἐκείνου τὸν τρόπον τέλους ἤρξατο τυγχάνειν τὰ τῆς προφητευομένης εἰρήνης.* 19. *ἀλλὰ νῦν μὲν τέως ἤρξατο, ἔσται δὲ ὅτε πληρέστατα ἡ προφητεία συμπερασθήσεται, ἐπὰν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ τὸ πρὸς τοῦ ἱεροῦ ἀποστόλου δεδηλωμένον."*

(459) *Ἀπὸ Ψαλμοῦ ριζ'.*

XVIII. "*Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.* b *αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ὦ κύριε, σῶσον δὴ, ὦ κύριε, εὐόδωσον δή. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν.*"

2. *Τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰσελθόντος ποτὲ εἰς τὰ Ἱεροσόλυμα, ὅτε κατὰ τὴν πρὸ ταύτης*

---

16 Rom. 11, 25. 22 Ps. 117, 22.

προφητείαν ὀχούμενος ὄνῳ τὴν ἐν τῷ Ζαχαρίᾳ πρόρρησιν ἐπλήρου, κατὰ τὸν θεῖον εὐαγγελιστὴν οἱ ὄχλοι προάγοντες αὐτὸν καὶ ἀκολουθοῦντες ἐπευφήμουν λέγοντες "ὡς ἀννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡς ἀννὰ ἐν τοῖς ὑψί- c στοις. 3. ὅτε καὶ εἰσελθόντος αὐτοῦ εἰς τὰ Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λεγόντων, τίς ἐστιν οὗτος; οἱ δὲ ὄχλοι ἔλεγον, οὗτός ἐστιν ὁ προφήτης [286] Ἰησοῦς, ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας." 4. ἐπεὶ τοίνυν ἐκ τοῦ προκειμένου Ψαλμοῦ εἴρηται τὸ "ὡς ἀννά," ὅπερ ἑρμηνευθὲν δηλοῖ "σῶσον δή," τὸ δὲ Ἑβραϊκὸν "ἀννὰ Ἀδωναΐ ὡς ἀννά" περιέχει, ἀλλὰ καὶ τὸ "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου," ἐπειδήπερ καὶ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ Ψαλμοῦ μετείληπται, ταῦτα δὲ σαφῶς ἐπὶ τὸν Χριστὸν τοῦ θεοῦ ἀνενήνεκται, εἰκότως εἰς αὐτὸν καὶ τὰ λοιπὰ τῆς προρρήσεως ἐξειλήφαμεν. 5. οὗτος γὰρ ὢν τυγχάνει εὐλογημένος, ὁ d καὶ δι' ἑτέρου προφήτου ὠνομασμένος "ὁ ἐρχόμενος" τοῦ φήσαντος "ἔτι μικρὸν, καὶ ὁ ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ," ὃς καὶ ἐλήλυθεν ἐν ὀνόματι κυρίου τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ. αὐτὸς δ' ἂν εἴη καὶ θεὸς κύριος ὁ ἐπιφανεὶς ἡμῖν. ἐν ὀνόματι γοῦν τοῦ πατρὸς αὐτοῦ ὁμολογεῖ ἐληλυθέναι λέγων πρὸς τοὺς Ἰουδαίους "ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἄλλος ἐὰν ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε." 6. αὐτὸς δὴ οὖν οὗτος ὁ ἐπιφανεὶς ἡμῖν θεὸς κύριος, ὁ εὐλογημένος, ὁ ἐλθὼν ἐν ὀνόματι κυρίου, αὐτὸς ἦν καὶ ὁ λίθος, ὃν ἀπεδοκίμασαν οἱ πάλαι πρότερον τὸν ἐκ (460) περιτομῆς λαὸν διὰ τῆς Μωσαϊκῆς διδασκαλίας οἰκο-

---

4 Matth. 21, 9. 19 Habbak. 2, 3. Heb. 10, 37.
24 Jo. 5, 43.

δομοῦντες, ὃς καὶ ἀποδοκιμασθεὶς ὑπ' αὐτῶν εἰς κεφαλὴν ἑτέρας γωνίας τῆς ἐξ ἐθνῶν ἐκκλησίας κατέστη, ἣν ὡς μὴ τοῖς πᾶσιν ὁρωμένην, μόνοις δὲ τοῖς προφητικοῖς ὀφθαλμοῖς θαυμαστὴν εἶναί φησιν ὁ λόγος φάσκων "καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν." 7. τὴν δὲ ἐπιφάνειαν αὐτοῦ πάλιν ἡμέραν ὀνομάζει "ἣν ἐποίησεν ὁ κύριος," ἐπεὶ καὶ φῶς ἦν
b αὐτὸς τὸ ἀληθινὸν καὶ ἥλιος δικαιοσύνης καὶ ἡμέρα τοῦ θεοῦ, ἐν ᾗ γένοιτο καὶ ἡμᾶς εἰπεῖν "αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ."

Καὶ τούτων δὲ τοῦτον συντετμημένων τὸν τρόπον καιρὸς καὶ ἐπὶ τὰς περὶ τοῦ πάθους αὐτοῦ μεταβῆναι προφητείας.

---

[287]
(461)

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

I. Μετὰ τὰς ἀποδεδομένας προρρήσεις περὶ τῆς εἰς ἀνθρώπους ἀφίξεως τοῦ προκηρυττομένου θεοῦ καλεῖ δὴ καιρὸς καὶ τὰ περὶ τὴν ἀπαλλαγὴν τοῦ ἐξ ἀνθρώπων αὐτοῦ βίου διεξελθεῖν, συνιδεῖν τε αὖθις οἷα συμβήσεσθαι περὶ αὐτὸν ἄνωθεν ἐκ τῶν προφη-
(462) τικῶν ἐθεσπίζετο χρόνων. 2. πρῶτα δὲ διελεύσομαι τὰ περὶ τῶν τὸν θάνατον αὐτῷ συσκευωρησαμένων, μέρος οὐ μικρὸν τυγχάνοντα τῆς προκειμένης προτάσεως. πρὸ δέ γε τοῦ λόγου τὰ πολλάκις ἡμῖν εἰρημένα περὶ τῆς κατ' αὐτὸν οἰκονομίας τηρητέον ὅτι δὴ τὰ μὲν κατὰ τὴν θεότητα αὐτοῦ, τὰ δὲ κατὰ τὴν ἐνανθρώπησιν ἐπινοεῖται. 3. πῇ μὲν γὰρ εἰσάγεται λόγος ὢν θεοῦ καὶ θεοῦ δύναμις καὶ θεοῦ σοφία,

μεγάλης τε βουλῆς ἄγγελος, μέγας τε καὶ αἰώνιος ἀρχιερεὺς ὑπὲρ τῆς τῶν γεννητῶν ἁπάντων οὐσιώσεώς τε καὶ σωτηρίας ἱερωμένος, καὶ ἱλεούμενος τὸν b πατέρα· πῇ δὲ ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ πρόβατον ἐπὶ σφαγὴν ἀγόμενον· τοῦτο δὲ ἦν τὸ ἀνθρώπειον σκῆνος, ὃ δίκην ἀμνοῦ καὶ προβάτου ἐκ τῆς ἡμετέρας ἀγέλης οἷά τις ἀρχιερεὺς ἀναλαβὼν καὶ τὴν ἀπαρχὴν τοῦ τῶν ἀνθρώπων γένους καλλιερησάμενος προσηγάγετο τῷ πατρί, δι' οὗ καὶ τῇ τῶν ἀνθρώπων ὡμίλησε φύσει, οὐκ ἄλλως δυναμένῃ λόγου θεοῦ καὶ δυνάμεως ἀσωμάτου καὶ νοερᾶς ἐπηκόῳ γενέσθαι, οὐδέ τι μεῖζον σαρκῶν καὶ c σωμάτων δι' ὀφθαλμῶν σαρκὸς ἐπινοῆσαι. 4. ὅσα τοίνυν ἐπὶ τὸ ταπεινότερον δόξειεν ἐν τοῖς προκειμένοις περὶ αὐτοῦ λέγεσθαι, ταῦτα τὸν ἀμνὸν ὁρᾶν τοῦ θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ τὸ σκῆνος τὸ ἀνθρώπειον ὑποβάλλει νοεῖν. ἀμνὸς μὲν γὰρ ἦν αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου κατὰ τὸν βαπτιστὴν Ἰωάννην τὸν λέγοντα "ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου," ἀμνὸς δὲ ἦν καὶ ὁ ἐπὶ σφαγὴν ἀγόμενος κατὰ τὸ παρὰ τῷ Ἡσαίᾳ λόγιον φάσκον "ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος." 5. περὶ τοῦ αὐτοῦ δὲ ὡς περὶ ἀμνοῦ ἐλέγετο καὶ τὸ "ἀπὸ d τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον." ἔδει γὰρ τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν ὑπὸ τοῦ μεγαλου ἀρχιερέως ἀναληφθέντα ὑπὲρ τῶν λοιπῶν συγγενῶν ἀμνῶν καὶ ὑπὲρ πάσης τῆς ἀνθρωπίνης ἀγέλης, θυσίαν τῷ θεῷ προσαχθῆναι. 6. "ἐπειδὴ γὰρ δι' ἀν-

---

19 Jo. 1, 29. 22 Es. 53, 7. 25 Es. 53, 8.
29 1 Cor. 15, 21. Rom. 5, 18.

θρώπου ὁ θάνατος καὶ δι᾽ ἀνθρώπου ἡ ἀνάστασις ἡ ἐκ νεκρῶν" φησὶν ὁ ἀπόστολος "καὶ ὥσπερ δι᾽ ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς." 7. ἔνθεν καὶ αὐτὸς τοὺς μὲν ἑαυτοῦ μαθητὰς ζωὴν καὶ φῶς καὶ ἀλήθειαν
(463) ἑαυτὸν εἶναι καὶ τὰς λοιπὰς ἐπινοίας τῆς κατ᾽ αὐτὸν θεολογίας ἐπαίδευε, τοῖς δὲ ἀμυήτοις τῶν κατ᾽ αὐτὸν ἀπορρήτων ἔλεγε "τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;" ὥσπερ οὖν τὰ τῆς θεολογίας ἰδιώματα ἐν τοῖς ἔμπροσθεν ἀποδέδοται, τὸν ὅμοιον δὴ τρόπον κἀνταῦθα τοῦ ἀμνοῦ τὰ ἀνθρωποπαθῆ παραστήσεται, τῶν πρὸ τοῦ πάθους αὐτοῦ μέσον ὄντων, ὁμοῦ τε ἄμφω τά τε κατὰ τὸν θεὸν καὶ τὰ κατὰ τὸν ἄνθρωπον αὐτοῦ περιειληφό-
b των. 8. τούτων χρησίμως ἡμῖν προτετηρημένων, ἤδη
[288] καὶ τῶν λογίων αὐτῶν ἐφαψώμεθα, περὶ τῆς Ἰούδα τοῦ προδότου καὶ τῶν σὺν αὐτῷ κατὰ τοῦ Χριστοῦ γενομένης συσκευῆς, περί τε τῶν ἀμφὶ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ συμβεβηκότων.

Ἀπὸ ψαλμοῦ μ΄.

c 1. "Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος· κύριος διαφυλάξαι αὐτὸν, καὶ ζῆσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας
d ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ. ἐγὼ εἶπα, κύριε, ἐλέησόν

---

9 Jo. 8, 40. 24 Ps. 40, 1.

με, ἴασαι ψυχήν μου, ὅτι ἥμαρτόν σοι. οἱ ἐχθροί μου εἶπαν κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ. ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. 2. κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι. λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ, μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. σὺ δὲ, κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου (464) ἐπ' ἐμοί. ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα."

3. Ἐπειδή τινες ὑπειλήφασιν τὴν βίβλον τῶν Ψαλμῶν ὕμνους μόνον εἰς θεὸν καὶ ᾠδὰς θεολογικὰς περιέχειν, οὐ μὴν καὶ προγνώσεις οὐδὲ μελλόντων προφητείας, τοῦτο πρῶτον ἐπιτηρητέον, ὡς μυρία θεσπίζεται δι' αὐτῶν, ἃ καὶ μακρὸν ἂν εἴη συναγαγεῖν ἐπὶ τοῦ παρόντος, ἀρκεῖ δὲ χρήσασθαι εἰς μαρτυρίαν τοῦ λόγου δύο Ψαλμοῖς ἐπιγεγραμμένοις μὲν τοῦ Ἀσὰφ, εἰρημένοις δὲ κατὰ τοὺς τοῦ Δαβὶδ χρόνους. 4. τὸ τηνικαῦτα γὰρ εἷς τῶν ἱεροψαλτῶν b ὁ Ἀσὰφ τυγχάνων, ὡς ἐν τῇ βίβλῳ φέρεται τῶν Παραλειπομένων, τοὺς ἐπιγεγραμμένους αὐτοῦ Ψαλμοὺς θείῳ πνεύματι προσεφώνησε. 5. τί δὴ οὖν περιέχουσιν οἱ Ψαλμοί; προρρήσεις τῆς πολιορκίας τῆς βασιλικῆς πόλεως τοῦ Ἰουδαίων ἔθνους, ἥτις γέγονεν ἐγγύς που πεντακοσίοις ἔτεσι μετὰ τὴν πρόρρησιν. 6. λέγει δ' οὖν ὁ ἑβδομηκοστὸς τρίτος ἐπι-

25 1 Par. 16, 4.

γεγραμμένος συνέσεως τῷ Ἀσὰφ "ἱνατί ἀπώσω ὁ
c θεὸς εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα
νομῆς σου; μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω
ἀπ᾽ ἀρχῆς, ἐλυτρώσω ῥάβδον κληρονομίας σου.
ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ, ἔπαρον
τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος.
ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου, καὶ
ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς
σου. 7. ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ
ἔγνωσαν ὡς εἰς τὴν εἴσοδον ὑπεράνω. ὡς ἐν δρυμῷ
d ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό,
ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. ἐνε-
πύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν
ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου." ταῦτα
μὲν ὁ ἑβδομηκοστὸς τρίτος Ψαλμός. 8. καὶ ὁ ἑβδο-
μηκοστὸς δὲ ὄγδοος τοῦ Ἀσὰφ καὶ αὐτὸς τυγχάνων
τάδε περιέχει "ὁ θεὸς εἰσήλθοσαν ἔθνη εἰς τὴν
κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.
ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον, ἔθεντο τὰ
θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς
[269] τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις
τῆς γῆς." 9. τούτων δὲ τὰ μὲν πρῶτα, λέγω δὲ
τὰ ἀπὸ τοῦ ἑβδομηκοστοῦ τρίτου Ψαλμοῦ, εἴρητο
βασιλεύοντος ἔτι τοῦ Δαβὶδ πρὸ τοῦ τὸν ναὸν ὑπὸ
(465) Σολομῶνος κατασκευασθῆναι· τέλους δὲ ἔτυχεν οὐκ
ἄλλοτε ἢ πρῶτον μὲν ἐπὶ τῆς Βαβυλωνίων πολιορ-
κίας, δεύτερον δὲ ἐπὶ τοῦ Ῥωμαϊκοῦ πρὸς Ἰουδαίους
πολέμου. 10. ἕκαστα γὰρ τῶν εἰρημένων ἐπληροῦτο
ἐπί τε τῆς πρώτης καὶ δευτέρας τοῦ ἱεροῦ κατασκα-
φῆς προγνωσθέντα καὶ ἀναφωνηθέντα ἐν τοῖς εἰρη-

---

1 Ps. 73, 1. 17 Ps. 78, 1.

μένοις Ψαλμοῖς ὑπὸ τοῦ Ἀσάφ· τὰ δὲ δεύτερα ἀπὸ τοῦ ἑβδομηκοστοῦ ὀγδόου ἐπληροῦτο κατὰ τοὺς Ἀντιόχου χρόνους, τοῦ κληθέντος Ἐπιφανοῦς, ὃς τῆς Συρίας βασιλεύσας ὑπάγεται μὲν τὰ Ἱεροσόλυμα, b μιαίνει δὲ τὸν ναὸν καὶ καθαιρεῖ τὸ θυσιαστήριον, ἔπειτα τοὺς Ἰουδαίους ἑλληνίζειν ἐπαναγκάζων πλείστους ὅσους αὐτῶν ἄνδρας τε καὶ γυναῖκας ὑπὲρ τοῦ οἰκείου νόμου καὶ τῆς πατρῴας εὐσεβείας ἀνῄρει, ποικίλαις προαικιζόμενος τιμωρίαις. 11. εἰς ἐκεῖνον τοιγαροῦν τὸν καιρὸν καὶ εἰς τοὺς μετὰ ταῦτα τῷ Ἀντιόχῳ τὰ ἴσα πράξαντας ἀναφωνεῖ ὁ Ἀσὰφ τὰ ἀπὸ τοῦ ἑβδομηκοστοῦ ὀγδόου Ψαλμοῦ. μαρτυρεῖ δὲ τῷ λόγῳ ἡ τῶν καλουμένων Μακκαβαίων γραφή, τοῦτον ἔχουσα τὸν τρόπον "καὶ προσ- c ἐπισυνήχθησαν πρὸς Ἰάκειμον καὶ Βακχίδην συναγωγὴ γραμματέων ἐκζητοῦσα δίκαια." 12. καὶ ἑξῆς ἐπιλέγει "καὶ ὤμοσεν αὐτοῖς λέγων, οὐκ ἐκζητήσομεν ὑμῖν κακὸν καὶ τοῖς φίλοις ὑμῶν· καὶ ἐνεπίστευσαν αὐτῷ· καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τὸν λόγον Ἀσὰφ ὃν ἔγραψεν, ἔδωκαν τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, σάρκας ὁσίων σου τοῖς ζῴοις τῆς γῆς, αἵματα αὐτῶν d ἐξέχεαν κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων." 13. τούτων οὕτω προρρηθέντων καὶ ἀποτελεσθέντων οὐ θαυμαστὸν εἰ κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ προεκτεθέντα τοῦ τεσσαρακοστοῦ Ψαλμοῦ λόγια σημαίνει τὰ μέλλοντα ἔσεσθαι κατὰ τὸν καιρὸν τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιβουλῆς, ἅπερ μὴ πάντων ἀνθρώπων συνιέντων, ὅπως λόγος ὢν θεοῦ καὶ σοφία καὶ ζωὴ

---

14 1 Macc. 7, 12.

καὶ φῶς ἀληθινὸν, καὶ πάντα πλοῦτον ἀγαθῶν κεκτημένος, δι' ἡμᾶς ἐπτώχευσε σάρκα λαβὼν, καὶ τοῖς τὸ γένος θνητοῖς ἀνθρώποις καὶ πτωχοῖς ὁμοιωθεὶς, μορφήν τε δούλου καὶ πένητος ἀνειληφὼς, καὶ μάλιστα καθ' ὃν καιρὸν ἐπλήρου τὴν ἀπὸ τοῦ Ψαλμοῦ προφητείαν, εἰκότως ἐν ἀρχῇ τοῦ Ψαλμοῦ μακαρίζεται ὁ ταῦτα περὶ αὐτοῦ συνιεὶς, ἐπαγγελίας τυγχά-
(466) νων τῆς ἀναγεγραμμένης. εἶθ' ἑξῆς ἐκ προσώπου λοιπὸν δὴ τοῦ πένητος καὶ πτωχοῦ, αὐτοῦ δηλαδὴ τοῦ δι' ἡμᾶς πτωχεύσαντος σωτῆρος ἡμῶν, ἐπιλέγεται "ἐγὼ εἶπα, κύριε ἐλέησόν με." ὅτι δὲ ἐκ προσώπου τοῦ σωτῆρος τὰ ἐν τῷ Ψαλμῷ θεσπίζεται αὐτάρκης μάρτυς ὁ εὐαγγελιστὴς Ἰωάννης τυγχάνει. 14. ἱστορεῖ γὰρ ὅτι "λαβὼν ὁ Ἰησοῦς ποτε λέντιον περιεζώσατο, καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ εἶπεν, ἐγὼ οἶδα οὓς ἐξελεξάμην. ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ." 15. ποίαν γὰρ
b πεπληρῶσθαι γραφὴν ἐν τούτοις ἐδήλου ἀλλ' ἢ τὴν τοῦ μετὰ χεῖρας Ψαλμοῦ, ἐν ᾧ εἴρηται "καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν;" φησὶν οὖν ἀρχόμενος "ἐγὼ εἶπα, κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι," καὶ δι' ὅλου τοῦ Ψαλμοῦ· 16. ἅπερ σαφέστερον ὁ Σύμμαχος τοῦτον ἐξέδωκε τὸν τρόπον "ἐμοῦ λέγοντος, κύριε οἰκτείρησόν με, ἴασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι,
[290] οἱ ἐχθροί μου ἔλεγον περὶ ἐμοῦ κακὰ, πότε ἀποθάνῃ,
c καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; καὶ εἰσερχόμενος ἐπισκέψασθαι μάταια ἐλάλει ἡ καρδία αὐτοῦ, ἤθροι-

---

14 Jo. 13, 4.

ζεν ἀδικίαν ἑαυτῇ· ἐξερχόμενος δὲ ἔξω κατελάλει. ὁμοθυμαδὸν ἐψιθύριζον κατ' ἐμοῦ πάντες οἱ μισοῦντές με, περὶ ἐμοῦ ἐννοοῦντες κακά μοι. 17. λόγος παράνομος ἐκκέχυτο ἔνδον αὐτῶν, καὶ πεσὼν οὐκέτι ἀναστήσεται. ἀλλὰ καὶ ἄνθρωπος, ὃς εἰρήνευέ μοι, ᾧ ἐπεποίθειν, συνεσθίων μοι ἄρτον ἐμὸν, κατεμεγαλύνθη μου ἀκολούθως, σὺ δὲ κύριε οἴκτειρόν με, καὶ ἀνέγειρόν με, ἵνα ἀνταποδώσω αὐτοῖς. διὰ τοῦτο γνώσομαι ὅτι θελήσεις, ἐὰν μὴ καταλαλήσῃ ὁ ἐχθρός d μου. ἐμοῦ δὲ διὰ τὴν ἁπλότητα ἀντέσχου, καὶ παραστήσεις με ἔμπροσθέν σου δι' αἰῶνος." 18. ἰσοδυναμεῖ δὲ τοῖς τοῦ Συμμάχου καὶ τὰ Ἀκύλου. πρῶτον οὖν περὶ τοῦ δοκεῖν ὑπεμφαίνειν ἐκ προσώπου τοῦ σωτῆρος ἡμῶν τὸ εἰρημένον, τὸ "ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι," τηρήσεις τὸ παρὰ τῷ Συμμάχῳ μὴ οὕτως ἔχον, ἀλλὰ "ἴασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι." καὶ οὕτως δὲ τοῦτό φησιν, ἐπειδὴ τὰς ἡμετέρας κοινοποιεῖ εἰς ἑαυτὸν ἁμαρτίας. 19. διὸ λέλεκται "καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν" καὶ "αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει." 20. γέγονε γοῦν ὑπὲρ ἡμῶν κατάρα ὁ ἀμνὸς (167) τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ὃν καὶ μὴ γνόντα ἁμαρτίαν ὁ θεὸς ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν," ἀντίψυχον ὑπὲρ πάντων ἡμῶν προέμενος αὐτὸν, "ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ." ἀλλ' ἐπεὶ καὶ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενος κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, εἰκότως προφέρεται τὰ ἐκκείμενα. 21. ὅτι δὲ τὰς ἡμετέρας ἁμαρτίας ἐξοικειούμενος διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην καὶ φιλανθρωπίαν ταῦτά φησιν, ἑξῆς ὑπο- b

15 2 Cor. 5, 21.

καταβὰς ἐν αὐτῷ τῷ Ψαλμῷ ἐπιφέρει λέγων "ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου," σαφῶς τὸ ἀπειρόκακον τοῦ θεοῦ παριστάς. πῶς δὲ τὰς ἡμετέρας ἁμαρτίας ἐξοικειοῦται, καὶ πῶς φέρειν λέγεται τὰς ἀνομίας ἡμῶν, ἢ καθ' ὃ σῶμα αὐτοῦ εἶναι λεγόμεθα, κατὰ τὸν ἀπόστολον φήσαντα "ὑμεῖς δὲ ἐστὲ σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους;" 22. καὶ καθ' ὃ πάσχοντος ἑνὸς μέλους συμπάσχει πάντα τὰ μέλη, οὕτως τῶν πολλῶν μελῶν πασχόντων καὶ ἁμαρτανόντων, c καὶ αὐτὸς κατὰ τοὺς τῆς συμπαθείας λόγους, (ἐπειδήπερ εὐδόκησε θεοῦ λόγος ὢν μορφὴν δούλου λαβεῖν καὶ τῷ κοινῷ πάντων ἡμῶν σκηνώματι συναφθῆναι) τοὺς τῶν πασχόντων μελῶν πόνους εἰς ἑαυτὸν ἀναλαμβάνει, καὶ τὰς ἡμετέρας νόσους ἰδιοποιεῖται, καὶ πάντων ἡμῶν ὑπεραλγεῖ καὶ ὑπερπονεῖ κατὰ τοὺς τῆς φιλανθρωπίας νόμους. 23. οὐ μόνον δὲ ταῦτα πράξας ὁ ἀμνὸς τοῦ θεοῦ, ἀλλὰ καὶ ὑπὲρ ἡμῶν d κολασθεὶς καὶ τιμωρίαν ὑποσχὼν ἣν αὐτὸς μὲν οὐκ ὤφειλεν, ἀλλ' ἡμεῖς τοῦ πλήθους ἕνεκεν τῶν πεπλημμελημένων, ἡμῖν αἴτιος τῆς τῶν ἁμαρτημάτων ἀφέσεως κατέστη, ἅτε τὸν ὑπὲρ ἡμῶν ἀναδεξάμενος θάνατον, μάστιγάς τε καὶ ὕβρεις καὶ ἀτιμίας ἡμῖν ἐποφειλομένας εἰς αὐτὸν μετατιθείς, καὶ τὴν ἡμῖν προστετιμημένην κατάραν ἐφ' ἑαυτὸν ἑλκύσας, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· καὶ τί γὰρ ἄλλο ἢ ἀντίψυχον; διό φησιν ἐξ ἡμετέρου προσώπου τὸ λόγιον "τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν," ὥστε εἰκότως ἑνῶν ἑαυτὸν ἡμῖν ἡμᾶς τε αὐτῷ, καὶ τὰ ἡμέτερα πάθη ἰδιοποιούμενος, φησὶν "ἐγὼ εἶπα, κύριε ἐλέη-

6 1. Cor. 12, 27. 27 Es. 53, 5, 6.

σόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.” 24. ὁρῶντας δὲ εἰκότως τοὺς ἐπιβουλεύοντας οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ ἀοράτους δυνάμεις τὴν ὑπερβάλλουσαν (468) ἰσχὺν αὐτοῦ τῆς θείας προσηγορίας καὶ τοῦ ὀνόματος, δι' οὗ μικρὸν ὕστερον Χριστιανῶν τὴν πᾶσαν κατέπλησεν οἰκουμένην, σβέσειν αὐτὴν οἴεσθαι ὑπειληφέναι, [291] εἰ τὰ πρὸς θάνατον ἐπιβουλεύσαιεν αὐτῷ. 25. τοῦτο δὴ οὖν αὐτὸ διελέγχει φάσκων “οἱ ἐχθροί μου εἶπαν κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;” ἐπεὶ δὲ καθυποκρινόμενοι προσήεσαν πειράζοντες ὅπως αὐτὸν παγιδεύσωσιν, ὡς ἡ θεία γραφὴ μαρτυρεῖ, ἄλλοτε ἄλλας αὐτοὺς προφάσεις καὶ κατηγορίας κατ' αὐτοῦ συσκευάζεσθαι ἱστοροῦσα, τούτων b ἕνεκα ἐπιλέγει “καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ.” 26. ἑξῆς δὲ τούτοις ἤδη σαφῶς ἐμφαίνει καὶ αὐτὸν ἐκεῖνον τὸν δυσσεβέστατον προδότην, ἐπειδὴ συνέβαινεν μεθ' ἃς πεποίητο συνθήκας τοῖς ἄρχουσι τῶν Ἰουδαίων περὶ τῆς τοῦ διδασκάλου προδοσίας μηκέτ' ἀπαντᾶν αὐτὸν συνήθως ἐπὶ τὴν τῶν θείων μαθημάτων c διδασκαλίαν, μηδ' ὡς παρὰ διδάσκαλον φοιτᾶν, μηδ' ὁμοίως τοῖς ἑτέροις παραβάλλειν τῇ τοῦ σωτῆρος διατριβῇ, ἀλλ' ἐπὶ τῷ κατοπτεύειν καὶ θηρεύειν καιρὸν, ὅτε δέοι ἐπιθέσθαι αὐτῷ 27. τοῦτο δ' οὖν καὶ κατηγορεῖται πράττων ὑπὸ τῶν ἱερῶν εὐαγγελιστῶν, ὧν ὁ μὲν Ματθαῖός φησι “τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν αὐτοῖς, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστη-

14 Matth. 22, 15. 27 Matth. 26, 14.

σαν αὐτῷ τριάκοντα ἀργύρια. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ αὐτοῖς." ὁ δὲ Μάρκος d "καὶ Ἰούδας ὁ Ἰσκαριώτης εἷς τῶν δώδεκα ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς, ἵνα αὐτὸν παραδῷ αὐτοῖς. 28. οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς αὐτὸν εὐκαίρως παραδῷ." ὁ δὲ Λουκᾶς γράφει λέγων "εἰσῆλθε δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ τοῖς στρατηγοῖς τοῦ ἱεροῦ, ἵνα αὐτὸν παραδῷ αὐτοῖς, καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου." 29. ταῦτα δὴ οὖν αὐτὰ θεσπίζουσα ἡ μετὰ χεῖρας πρόρρησις ἐπιλέγει "καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, (469) συνήγαγεν ἀνομίαν ἑαυτῷ. ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου." 30. ὁ γοῦν Σύμμαχος "εἰσερχόμενος" φησὶν "ἐπισκοπῆσαι, μάταια ἐλάλει ἡ καρδία αὐτοῦ, ἤθροιζεν ἀδικίαν ἑαυτῇ· ἐξερχόμενος δὲ ἔξω κατελάλει. ὁμοθυμαδὸν ἐψιθύριζον κατ' ἐμοῦ πάντες οἱ μισοῦντές με." μόνος μὲν οὖν ὡς ἂν γνώριμος καὶ μαθητὴς παρὰ διδάσκαλον εἰσιὼν περιεσκόπει καὶ κατεμάνθανεν, ἔνδον ἐπὶ τῆς ἑαυτοῦ καρδίας κρύb πτων τὴν ἐπιβουλήν. 31. ἐξιὼν δὲ μετὰ πλειόνων ὁμοθυμαδὸν καὶ ἐπὶ τὸ αὐτὸ κατελάλει, τοῖς ἐχθροῖς προδιδοὺς τὸν σωτῆρα, καὶ συντασσόμενος τοῖς τῶν Ἰουδαίων ἄρχουσι λεληθότως περὶ ἑτέρων, οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν χρημάτων, ἐφ' οἷς παραδώσειν

3 Marc. 14, 10. 7 Luc. 22, 3.

αὐτὸν ὑπισχνεῖτο, περὶ ὧν μετ' αὐτῶν ἐκείνων ἐψιθύριζε. διό φησιν "ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι. 32. λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ." ἔοικε δὲ τὴν συνταγὴν τὴν περὶ τῶν ἀργυρίων λόγον παράνομον διὰ τῆς προ- c
φητείας ὀνομάζειν, ἢ καὶ ὅτι ἀσεβῆ καὶ παράνομα κατ' αὐτοῦ διενοοῦντο, ὡς ἂν σβεσθησομένου καὶ διαφθαρησομένου μετὰ τὸν θάνατον, καὶ μηκέτ' ἐν ζῶσιν ἐξετασθησομένου. 33. τοιοῦτον γάρ ἐστι τὸ "μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;" ὅπερ λευκότερον ὁ Σύμμαχος ἐξέφηνεν εἰπὼν "καὶ [292]
πεσὼν οὐκέτ' ἀναστήσεται." ὁ δὲ Ἀκύλας φησὶν "καὶ ὃς ἂν κοιμηθῇ, οὐ προσθήσει τοῦ ἀναστῆναι." καὶ ταῦτα ἔτι κοινῶς περὶ πάντων εἴρηται τῶν κατὰ τὸν d
καιρὸν τοῦ πάθους ἐπιβεβουλευκότων αὐτῷ, ἰδίως δὲ πάλιν περὶ τοῦ προδότου, ὡς ἂν περὶ μαθητευθέντος αὐτῷ, ἑξῆς ἐπιφέρει λέγων "καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν." 34. ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος "καὶ ἄνθρωπος" φησὶν "ὃς εἰρήνευέ μοι, ᾧ ἐπεποίθειν, συνεσθίων μοι ἄρτον ἐμὸν, κατεμεγαλύνθη μου." χείριστος γὰρ ἀληθῶς ἁπάντων καὶ ἐναγέστατος ὁ μετὰ κοινὴν τράπεζαν καὶ τὴν ἐν λόγοις τοῦ διδασκάλου τροφὴν ἐπὶ τὰ χείρω τραπεὶς καὶ τοῖς ἐναντίοις τὸν εὐεργέτην ἀνταμειψάμενος. 35. ἀλλ' ἐπειδήπερ ἐπιβουλεύοντες οἱ ἐχθροὶ ἔλεγον "πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;" ᾤοντό τε κοιμηθέντα μηκέτ' ἀναστήσεσθαι, τούτου χάριν αὐτὸς ὁ σωτὴρ καὶ κύριος (470)
ἡμῶν τἀναντία τούτοις εὐχόμενος, καὶ τῆς ἀναστάσεως ἀκωλύτως τυχεῖν ἀξιῶν τὸν πατέρα, φησὶ "σὺ δὲ,

κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω
αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με ὅτι οὐ μὴ ἐπι-
χαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ." 36. καὶ πρόδηλόν γε τίνα
τρόπον μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ παρα-
χρῆμα καὶ οὐκ εἰς μακρὸν μετῆλθε τοὺς ἐπιβεβουλευκό-
τας αὐτῷ ἡ ἀνταπόδοσις, ὅπως τε ὁ ἐχθρὸς αὐτοῦ ζωῆς
τυγχάνοντος θάνατος κατῃσχύνθη, ὥστε τοὺς ἐπο-
b νειδίζοντας εἰπεῖν "ποῦ σου, θάνατε, τὸ κέντρον;
ποῦ σου, θάνατε, τὸ νῖκος; ἐντυχὼν δέ τις ταῖς μετὰ
τὴν ἀνάστασιν τοῦ σωτῆρος ἡμῶν ἱστορίαις τῷ Ἰω-
σήπῳ γραφείσαις εἴσεται τὰς μετελθούσας τὸ Ἰου-
δαίων ἔθνος καὶ τοὺς ἄρχοντας αὐτῶν συμφορὰς,
αἷς εἰκότως περιπεπτώκασι τὰ ἐπίχειρα ὧν εἰς αὐτὸν
ἔδρασαν ἀπολαμβάνοντες. 37. καὶ ταῦτα μὲν εἰς
ἐκείνους ἐπληροῦτο πάντα κατὰ τὴν πρόρρησιν· τοῦ
δὲ σωτῆρος ἡμῶν ἡ ἐκ νεκρῶν ἀνάστασις διέδειξε
τοῖς πᾶσιν ὅπως ἐν αὐτῷ εὐδόκησεν ὁ πατὴρ, ὃ καὶ
c αὐτὸς διδάσκει λέγων "ἐλέησόν με καὶ ἀνάστησόν
με, καὶ ἀνταποδώσω αὐτοῖς." ἐν τούτῳ ἔγνων ὅτι
τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ'
ἐμοί." τούτοις ἐπιλέγει "ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν
ἀντελάβου." 38. καὶ τήρει γε τίνα τρόπον αὐτῷ τῷ
θεῷ καὶ πατρὶ αὐτοῦ τὴν εὐχὴν ἀναπέμπων ἐπὶ το-
σαύτῃ τεθάρρηκε παρρησίᾳ ὡς ἀκακίαν ἑαυτῷ μαρ-
τυρεῖν, καίτοι ἀνωτέρω φήσας "ἴασαι τὴν ψυχήν μου,
ὅτι ἥμαρτόν σοι." 39. ἀλλὰ τὸ μὲν "ἥμαρτόν σοι"
d ὁποίας ἔχεται διανοίας προδιειλήφαμεν, καὶ ὁ Σύμ-
μαχος δὲ σαφέστερον παρέστησεν εἰπὼν "ἴασαι τὴν
ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι," ὃ καὶ αὐτὸ λέγοιτ'
ἂν περὶ τῶν ἡμετέρων ἁμαρτημάτων, ἅπερ ὁ σωτὴρ

8 1 Cor. 15, 55.

καὶ κύριος ἡμῶν εἰς ἑαυτὸν ἀνεδέξατο. 40. τὸ δὲ "ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου" τὴν δι' ὅλου καθαρότητα τῆς αὐτοῦ φύσεως παρίστησι, δι' ἣν καὶ τὸ ἑδραῖον καὶ ἄσειστον τῆς ζωῆς καὶ τῆς μετὰ τὴν ἀνάστασιν αὐτοῦ σωτηρίας διδάσκων ἐπιλέγει "καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα·" ἢ "καὶ παραστήσεις με ἔμπροσθέν σου δι' αἰῶνος" κατὰ τὸν Σύμμαχον.

Ἀπὸ τοῦ Ψαλμοῦ νδ'. (471)

II. "Ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου, καὶ
μὴ ὑπερίδῃς τὴν δέησίν μου, πρόσσχες μοι, καὶ εἰσά- [293]
κουσόν μου. ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ b
ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος" καὶ τὰ ἑξῆς. 2. οἷς ἐπιλέγει "καταπόντισον, κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς
καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς c
τόκος καὶ δόλος. ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ· σὺ δὲ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ."

---

10 Ps. 54, 1.

d 3. Τὸ "εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα" ὅμοιόν ἐστι τῷ "καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν," περὶ τοῦ Ἰούδα ἐν τῇ πρὸ ταύτης προφητείᾳ κειμένῳ. 4. ὥσπερ οὖν ἐν ἐκείνῳ ἐδείκνυτο ἄνθρωπος εἰρήνης ποτὲ γεγονώς, ὅτε τῷ σωτῆρι ἐμαθητεύετο εἷς καὶ αὐτὸς τοῦ τῶν ἀποστόλων ἀριθμοῦ χρηματίσας, οὕτω καὶ ἐν τῷ προκειμένῳ ἰσόψυχος καὶ ἡγεμὼν καὶ γνωστὸς αὐτῷ προσηγόρευται. 5. καὶ πάλιν ὡς ἐν ἐκείνῳ περὶ αὐτοῦ εἴρητο "ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν," τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ παρόντος εἰς αὐτοῦ πρόσωπον λέγεται τὸ "ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα." καὶ γὰρ τῶν καταξιουμένων καὶ αὐτὸς εἷς ἦν τῆς ἀπορρήτου πρὸς τοὺς μαθητὰς τοῦ σωτῆρος ἡμῶν ὁμιλίας τε καὶ πνευματικῆς τρο- (472) φῆς. 6. τοῖς μὲν γὰρ ἔξω πλήθεσι καὶ τοῖς ὄχλοις ἐν παραβολαῖς ἐλάλει, μόνοις δὲ τοῖς ἑαυτοῦ μαθηταῖς, ἐν οἷς καὶ ὁ Ἰούδας ἐξητάζετο, ἐπέλυεν ἅπαντα. διὸ λέλεκται "ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν" καὶ "ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα." 7. ἅπερ σαφέστερον ἐξέφηνεν ὁ μὲν Ἀκύλας εἰπὼν "οἳ ὁμοῦ ἐγλυκάναμεν ἀπόρρητον," ὁ δὲ Σύμ- b μαχος "οἵτινες ἐκοινολογούμεθα γλυκεῖαν ὁμιλίαν." ἀντὶ δὲ τοῦ "σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου" ὁ Σύμμαχός φησι "σὺ δὲ ἄνθρωπε ὁμότροπέ μοι καὶ ἡγεμών μου καὶ γνωστέ μου." ἐπειδήπερ τοσούτων ἠξιωμένος φίλος ἐν τοῖς μάλιστα ἦν τοῦ σωτῆρος, εἰκότως φησὶ περὶ αὐτοῦ τὸ ὅτι εἰ

ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν,” καὶ τὰ ἑξῆς. 8. ταῦτα δὲ περὶ τοῦ Ἰούδα θεσπίσας ἀκολούθως τὴν ἐκ τοῦ θανάτου σωτηρίαν καὶ ἀποφυγὴν ἑαυτοῦ προδιδάσκει λέγων “ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος ἔσωσέ με.” ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου, λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου.” 9. c ὡς ἐν εὐχῇ τὸν πρὸ τοῦ θανάτου καιρὸν σημαίνει, καθ’ ὃν καὶ ὁ Ἰούδας τὰ τῆς κατ’ αὐτοῦ προδοσίας συνεσκευάσατο. 10. τότε οὖν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ὡς ἐπὶ ὀλέθρῳ καὶ ἀπωλείᾳ τοῦ γνωρίμου δυσφορῶν, καὶ ἔτι μᾶλλον ἐπὶ τῇ τοῦ παντὸς Ἰουδαίων ἔθνους ἀποβολῇ, ὥσπερ ἐπὶ μεμηνόσιν οἰκείοις καὶ ὡς ἐπὶ φιλτάτοις συμπάσχων, πᾶσαν τὴν πρὸς αὐτοὺς ὁμιλίαν καὶ διδασκαλίαν, διὰ τὸ μηδὲν αὐτοὺς ὠφεληκέναι, ἀδολεσχίαν ἀποκαλεῖ φάσκων “ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ, ὅτι ἐξέκλιναν” φησὶν “ἐπ’ ἐμὲ ἀνομίαν καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.” 11. d ἅπερ δύναται μὲν καὶ ἐπὶ τοὺς ἄρχοντας τῶν ἐκ περι- [294] τομῆς ἀναφέρεσθαι, τοὺς ἐχθρωδῶς καὶ ἐπιβουλευτικῶς ἐνεδρεύειν αὐτὸν πειρωμένους, δύναται δὲ καὶ περὶ δυνάμεων ἀοράτων ἔξωθεν αὐτὸν προσπολεμουσῶν καὶ τὴν δι’ ἀνθρώπων κατασκευὴν ἐνεργουσῶν λέγεσθαι. ἃ καὶ συνᾴδειν μοι δοκεῖ τοῖς ἐν τῷ εὐαγγελίῳ ὑπ’ αὐτοῦ λελεγμένοις, κατὰ τὸν τοῦ πάθους καιρὸν, ὅτε λέγει τοῖς ἑαυτοῦ μαθηταῖς “περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ’ ἐμοῦ.” καὶ πάλιν “νῦν ἡ ψυχή μου τετάρακται.” ὅμοια γοῦν τούτοις ἐστὶ καὶ τὰ ἐν τῷ (173)

27 Matth. 26, 38. 29 Jo. 12, 27.

Ψαλμῷ, ἐν ᾧ λέλεκται "ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμὲ, φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος," δι' ὧν τῶν ἀντικειμένων δυνάμεων τὰς κατ' αὐτοῦ ὁρμὰς σημαίνει. 13. ὡς γοῦν ἐν ταῖς προφητείαις ὠνόμασταί τι πνεῦμα πορνείας, κατὰ τὸ "πνεύματι πορνείας ἐπλανήθησαν, καὶ ἄλλο πνεῦμα πλανήσεως ἐν τῇ ἐρήμῳ," τὸν αὐτὸν τρόπον καὶ πνεῦμα θανάτου εἴη ἂν δειλίας ποιητικὸν, ὡς καὶ πνεῦμα ἰσχύος καὶ δυνάμεως καὶ ἀνδρείας τῆς κατὰ θεὸν ἐνεργη-
b τικόν. 14. οὕτω δ' ἂν λεχθείη πνεῦμα φόβου καὶ τρόμου, καὶ πάλιν ἕτερον παρὰ ταῦτα πνεῦμα φόβου καὶ συγχύσεως, ἃ καὶ σχεδὸν εἰπεῖν ἅπασι μὲν τοῖς ἐν μαρτυρίῳ τὸν ὑπὲρ εὐσεβείας θάνατον ἀναδεχομένοις ἐφορμᾶν εἴωθε, πολὺ πλέον δὲ καὶ μᾶλλον ἐπιτέθειται αὐτῷ τὸν ὑπὲρ ἁπάντων θάνατον ὑπομείναντι. πλὴν ἀλλ' εἴτε πνεῦμα δειλίας καὶ θανάτου, εἴτε φόβου καὶ τρόμου, ἢ εἴ τίς γε ἑτέρα τοιαύτη δύναμις ἐπιπέπτωκεν αὐτῷ, ἀλλ' οὔ τι γε κατέρραξεν αὐτὸν, ἐπεὶ, οἷα γενναῖος ἀθλητὴς, τὴν μὲν δειλίαν
c τοῦ θανάτου πεποιθήσει ζωῆς, αὐτὸς γὰρ ἡ ζωὴ, μακρὰν ἀπέρριψεν ἀποσεισάμενος. ὡσαύτως δὲ καὶ τὸ ἐπελθὸν αὐτῷ πνεῦμα φόβου ἢ τρόμου ποιητικὸν πνεύματι θάρσους καὶ δυνάμεως καὶ ἰσχύος πορρωτάτω ἀπηκόντισεν. 16. ἐπεὶ κατὰ τὸν Ἡσαΐαν "ἐπανεπαύσατο ἐπ' αὐτὸν μετὰ τῶν ἄλλων πνευμάτων καὶ πνεῦμα βουλῆς καὶ ἰσχύος." οὕτω καὶ τὸ πνεῦμα τοῦ σκότους τῇ τοῦ ἰδίου φωτὸς ἀπεσκέδασε δυνάμει, ἐπεὶ "τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν." εὕροις δ' ἂν τὰ παραπλήσια τούτοις

---

6 Os. 3, 12. Jer. 4, 11. 25 Es. 11, 2. 29 Jo. 1, 5.

καὶ ἐν εἰκοστῷ πρώτῳ Ψαλμῷ, ἐν ᾧ πάλιν ἐκ τοῦ d
αὐτοῦ λέλεκται προσώπου "περιεκύκλωσάν με μόσχοι
πολλοί, ταῦροι πίονες περιέσχον με. ἤνοιξαν ἐπ'
ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος."
17. καὶ πάλιν "ὅτι ἐκύκλωσάν με κύνες πολλοί,
συναγωγὴ πονηρευομένων περιέσχον με." καὶ
αὖθις "ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ
χειρὸς κυνὸς τὴν μονογενῆ μου. σῶσόν με ἐκ στόματος
λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν
ταπείνωσίν μου." 18. σαφῶς γὰρ ἐν τούτοις δυνάμεις
πονηρὰς ταύρους καὶ μόσχους καὶ λέοντας καὶ
κύνας καὶ μονοκέρωτας ἀποκαλεῖ, αἳ περιέσχον μὲν
αὐτὸν καὶ περιεκύκλωσαν κατὰ τὸν τοῦ πάθους αὐτοῦ
καιρόν, οὐ μὴν καὶ ἐνεργῆσαί τι κατ' αὐτοῦ δεδύνην- (474)
ται. 19. καὶ ταῦτα μέν, εἰ ** καὶ ταῦτα τοῦ Ψαλμοῦ
τὰ μέρη ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἀνάγοιτο·
εἰ δὲ μὴ ἐπ' αὐτόν, ἀλλ' ἐφ' ἕτερον πρόσωπον, ἐπιστήσεις
καὶ αὐτὸς ὡς ἂν ἐξομαλισθέντα τὰ κατὰ τὸν
τόπον. πλὴν ἀλλὰ καὶ περὶ τῆς τῶν Ἰουδαίων μητροπόλεως,
αὐτῆς δὴ τῆς Ἱερουσαλήμ, ἀκολούθως μετὰ
τὴν κατὰ τῶν ἐπιβουλευσάντων αὐτῷ πρόρρησιν ἐπιλέγει
ἑξῆς "εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει,"
καὶ τὰ τούτοις ἀκόλουθα, ἃ καὶ ὁποίας ἔχεται δια- b
νοίας οὐ νῦν σχολὴ διηγεῖσθαι.

Ἀπὸ τοῦ Ψαλμοῦ ρη'. [295]

III. "Ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, c
ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.
ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις

---

2 Ps. 21, 12. 26 Ps. 108, 1.

μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενηθήτω εἰς ἁμαρτίαν. γενη-
d θήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος."

2. Καὶ τῆς τῶν προκειμένων ἐπὶ τὸν προδότην Ἰούδαν ἀναφορᾶς ἐχέγγυος μάρτυς ὁ ἀπόστολος Πέτρος, μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν συνηγμένων τῶν ἀποστόλων πάντων σὺν καὶ ἄλλοις πλείοσιν ἀδελφοῖς, μέσος ἀναστὰς, καὶ ταῦτα φήσας "ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν Ἰησοῦν, ὅτι κατηριθμημένος ἦν ἐν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. 3. οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας αὐτοῦ, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ, καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς
(475) κατοικοῦσιν Ἱερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμὰχ, ὅ ἐστι χωρίον αἵματος. γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν, γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος." 4. ταῦτα γοῦν ὁ Πέτρος εἰπὼν ὑποτίθεται ἕτερον ἀντὶ τοῦ Ἰούδα δεῖν παραλαβεῖν εἰς τὸν λείποντα τῶν δώδεκα ἀποστόλων ἀριθμὸν, ὅπως πλη-

15 Act. 1, 16.

ρωθῇ τὸ τῆς προφητείας· ὅτε κλήρου γενομένου "ἔπε-
σεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ b
τῶν δώδεκα ἀποστόλων." τούτων οὕτως ἐκτελεσθέν-
των ἀκόλουθον ἂν εἴη τὸ λέγον ἐν τῷ Ψαλμῷ πρόσ-
ωπον οὐχ ἕτερον ἡγεῖσθαι τοῦ σωτῆρος ἡμῶν, ὃς
τῷ πατρὶ τὴν ἀναπεμφθεῖσαν αὐτῷ παρὰ τὸν τοῦ
πάθους καιρὸν εὐχὴν τῆς διὰ τοῦ ἁγίου πνεύματος
ἀναγραφῆς προλαβὼν κατηξίωσε, τὸ μέλλον περὶ αὐ-
τοῦ συμβήσεσθαι θεσπίσας. 5. φησὶν οὖν "ὁ θεὸς
τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς," τὴν ὑπ' αὐτοῦ
παραδοθεῖσαν τοῖς αὐτοῦ μαθηταῖς διδασκαλίαν καὶ
τῆς καινῆς διαθήκης τὴν αἴνεσιν παρακαλῶν μὴ κατα- c
σιγασθῆναι, ἀλλὰ καὶ εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα
παραμεῖναι τῷ βίῳ. 6. στόμα δὲ ἁμαρτωλοῦ καὶ στόμα
δολίου κυρίως ἂν λεχθείη τὸ τοῦ Ἰούδα, ὃς πορευ-
θεὶς πρὸς τοὺς ἀρχιερεῖς εἶπεν αὐτοῖς "τί θέλετέ μοι
δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν
αὐτῷ τριάκοντα στατῆρας. καὶ ἀπὸ τότε ἐζήτει εὐκαι-
ρίαν, ἵνα αὐτὸν παραδῷ αὐτοῖς. 7. τοιαῦτα γοῦν
κατ' αὐτοῦ συνθέμενος, εἷς ἦν τῶν μετὰ ταῦτα σὺν
αὐτῷ ἀνακειμένων ἐν τῷ τοῦ πάσχα συμποσίῳ, ὅτε
καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν "ἀνέκειτο μετὰ τῶν δώδεκα,
ἐσθιόντων τε αὐτῶν εἶπεν "ἀμὴν ἀμὴν λέγω ὑμῖν, d
ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. 8. καὶ λυπούμενοι
σφόδρα ἤρξαντο λέγειν ἕκαστος αὐτῶν, μή τι ἐγώ
εἰμι, κύριε;" ἐν οἷς ἦν καὶ Ἰούδας, ὃς τὸ πλῆρες
παντὸς δόλου καὶ εἰρωνείας ἀνοίξας στόμα ἀποκρι-
θεὶς εἶπεν, μή τι ἐγώ εἰμι Ῥαββί; δόλιον δὴ στόμα,
δι' οὗ τὸ σημεῖον τοῖς ἐπιβούλοις τοῦ σωτῆρος ἡμῶν
ἐδήλου, λέγων "ὃν ἐὰν φιλήσω, αὐτός ἐστι, κρατή- [296]

2 Act. 1, 26. 23 Matth. 26, 21. 30 Matth. 26, 48.

σατε αὐτόν.” 9. ὃ καὶ εἰπὼν ἔργῳ τὸν δόλον ἀπεπλή-
ρου, ὅτε “προσελθὼν τῷ Ἰησοῦ εἶπεν αὐτῷ, χαῖρε
Ῥαββὶ, καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς εἶπεν
αὐτῷ, ἑταῖρε ἐφ᾽ ᾧ πάρει;” καὶ πάλιν “Ἰούδα, φιλή-
ματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως;” τούτων δ᾽
(476) οὖν ἕνεκα προλαβὼν διὰ τοῦ Ψαλμοῦ φησιν “ὅτι
στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ᾽ ἐμὲ ἠνοίχθη,
ἐλάλησαν κατ᾽ ἐμοῦ γλώσσῃ δολίᾳ καὶ λόγοις μίσους
ἐκύκλωσάν με καὶ ἐπολέμησάν με δωρεάν.” ἔνθα μετὰ
τοῦ Ἰούδα καὶ τῶν λοιπῶν τῶν ἐπιβουλευσάντων
αὐτῷ μνημονεύει 10. λέγει δ᾽ οὖν τὸ εὐαγγέλιον ὡς
ἄρα τοῦ σωτῆρος ἡμῶν “ἔτι τοῖς ἑαυτοῦ μαθηταῖς λα-
λοῦντος ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ᾽
αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ
b τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ.” 11. οἷς
καὶ εἶπεν ὁ κύριος “ὡς ἐπὶ λῃστὴν ἐξήλθετε, μετὰ
μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; καθ᾽ ἡμέραν πρὸς
ὑμᾶς ἐκαθεζόμην ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ
ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρω-
θῶσιν αἱ γραφαὶ τῶν προφητῶν.” ἔτι δέ φησιν ἐν
τῷ Ψαλμῷ “ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ
δὲ προσηυχόμην.” 12. τότε καὶ αὐτὸ τέλους ἐτύγχα-
νεν, ὅτε τοῦ σωτῆρος ἡμῶν ἐν τῷ καλουμένῳ Γεθση-
μανὴ χωρίῳ μετὰ τῶν ἕνδεκα ἀποστόλων προσευχο-
c μένου, μικρόν γε ἀναχωρήσαντος αὐτῶν καὶ προσπε-
σόντος τῷ πατρὶ, δεύτερόν τε εὐξαμένου καὶ τρίτον,
ὁ Ἰούδας σὺν τοῖς ἄρχουσι τῶν Ἰουδαίων τὰ τῆς ἐπι-
βουλῆς αὐτῷ κατήρτυεν, συνάγων καὶ προξενῶν τὸ
πλῆθος τῶν μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν αὐ-
τὸν παρεσκευασμένων. “κακὰ δὲ εἰς αὐτὸν ἔθεντο

12 Matth. 26, 47. 16 Matth. 26, 55.

ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεως αὐτοῦ,"
ὅτε πονηρὰ διετέθειντο τὸν σωτῆρα καὶ εὐεργέτην
καὶ διδάσκαλον, μυρίας ὅσας ἰάσεις καὶ θεραπείας
λόγων τε διδασκαλίας καὶ παντοίας ὠφελείας αὐτοῖς d
παρεσχημένον. 13. ἀνθ' ὧν "ἐπειδήπερ κακὰ ἀντὶ
ἀγαθῶν ἔθεντο κατ' αὐτοῦ καὶ μῖσος ἀντὶ τῆς ἀγα-
πήσεως αὐτοῦ," εἰκότως ἐπιλέγει "κατάστησον ἐπ' αὐ-
τὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.
ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ
ἡ προσευχὴ αὐτοῦ γενηθήτω εἰς ἁμαρτίαν. γενηθή-
τωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι καὶ τὴν ἐπισκοπὴν
αὐτοῦ λαβέτω ἕτερος." 14. ἃ καὶ αὐτὰ ὁποίαν εἴληφε
τὴν ἔκβασιν ὁ ἱερὸς ἀπόστολος Πέτρος προλαβὼν
διεσάφησεν, ἐπ' αὐτὸν τὸν προδότην ἐφαρμόσας τὴν
γραφήν. καὶ σοὶ δὲ αὐτῷ πάρεστι συνορᾶν, εἰ μὴ
καθέσταται ἐπὶ τὸ Ἰουδαίων ἔθνος ἄρχων καὶ ἡγού-
μενος ἁμαρτωλὸς, ᾧ μετὰ τὰ τολμηθέντα αὐτοῖς κατὰ
τοῦ σωτῆρος ἡμῶν παρεδόθησαν, ἀντὶ τῶν πάλαι
οἰκείων καὶ θεοφιλῶν ἀρχόντων ἀλλοφύλοις καὶ εἰδω- (477)
λολάτραις δουλεύειν κατηναγκασμένοι. 15. τίς δ' οὐκ
ἂν θαυμάσειε τῆς προρρήσεως τὸ ἀποτέλεσμα; φήσαν-
τος γὰρ τοῦ λόγου "γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ
ὀλίγαι" σαφὲς ὅπως βραχὺς ὁ πᾶς διεγένετο μετὰ τὴν
κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν χρόνος, καθ'
ὃν ἔδοξαν διαμένειν, μεθ' ὃν τὴν ὑστάτην ὑπέμειναν
πολιορκίαν καὶ τὴν παντελῆ καθαίρεσιν, ἐφ' ᾗ καὶ
τὴν ἐπισκοπὴν αὐτῶν ἔλαβεν ἕτερος, ὁ διὰ Χριστοῦ
συγκροτηθεὶς λαός. 16. καὶ τὰ λοιπὰ δὲ τοῦ Ψαλμοῦ
αὐτοῖς τούτοις καταλλήλως νοήσεις· τὰ δὲ ἑξῆς ὡς b
περί τινων υἱῶν τοῦ Ἰούδα λεγόμενα ἐν τῷ "γενη-
θήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί," καὶ τὰ παραπλή-
σια, ἀνάγοιτ' ἂν καὶ ἐπ' αὐτὸν μὲν προηγουμένως

τὸν Ἰούδαν, μετ' ἐκεῖνον δὲ καὶ ἐπὶ πάντας τοὺς
ὁμοίους αὐτῷ τὸν σωτήριον λόγον προδιδόντας· καταλ-
λήλως δὲ νοήσεις καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς
ἁμαρτίας τῶν πατέρων αὐτοῦ καὶ τῆς λεγομένης μη-
[297] τρὸς αὐτοῦ, τῆς τοῦ Ἰουδαίων ἔθνους συναγωγῆς.
περὶ αὐτῆς γὰρ ἡγοῦμαι λέγεσθαι τὸ "καὶ ἡ ἁμαρτία
c τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη." 17. πλὴν ὥσπερ
ἐν τῇ πρὸ ταύτης προφητείᾳ πτωχὸς καὶ πένης ὠνο-
μάζετο ὁ σωτὴρ καὶ κύριος ἡμῶν, καθάπερ ἀπεδεί-
ξαμεν ἐν τῷ "μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ
πένητα·" τὸν αὐτὸν τρόπον καὶ ἐν τῷ παρόντι Ψαλμῷ
τούτοις ἐπικέκληται τοῖς ὀνόμασι. 18. τάδε γὰρ καὶ
τάδε γενηθήτω τῷ Ἰούδᾳ καὶ τοῖς τὰ ὅμοια αὐτῷ
ἐζηλωκόσι διὰ τὰ τετολμημένα αὐτῷ φησι. τίνα δὲ
ταῦτα ἐπιφέρει λέγων "ἀνθ' ὧν οὐκ ἐμνήσθη τοῦ
ποιῆσαι ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ
πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανα-
d τῶσαι, καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, καὶ
οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐ-
τοῦ." 19. οἷς ἑξῆς ἐπικαταβὰς αὖθις πένητα καὶ
πτωχὸν ἑαυτὸν ὀνομάζει λέγων "καὶ σὺ, κύριε κύριε,
ποίησον μετ' ἐμοῦ ἔλεος, ἕνεκεν τοῦ ὀνόματός σου,
ὅτι χρηστὸν τὸ ἔλεός σου. ῥῦσαί με ὅτι πτωχὸς καὶ
πένης εἰμὶ ἐγώ." οἷς μεθ' ἕτερα ἐπιλέγει "τὰ γόνατά
μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοι-
ώθη δι' ἔλαιον, καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς.
20. εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν." ἃ καὶ
αὐτὰ τέλους ἐτύγχανεν ὅτε οἱ παραπορευόμενοι ἐβλασ-
φήμουν αὐτὸν "κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ
λέγοντες, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι."

---

10 Ps. 40, 1. 15 Ps. 108, 16. 29 Matth. 27, 40.

ἐπεὶ δὲ εἰσέτι νῦν οἱ ἐκ περιτομῆς τὴν τῶν πατέρων (478) αὐτῶν εἰς ἑαυτοὺς ἀρὰν ἐπισπώμενοι βλασφήμοις καὶ ἀσεβέσι ῥήμασιν καταναθεματίζειν τὸν σωτῆρα καὶ κύριον ἡμῶν καὶ τοὺς εἰς αὐτὸν πεπιστευκότας ἅπαντας εἰώθασι, τούτου χάριν ἑξῆς ἐπιλέγει "καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις. 21. οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. ἐγὼ δὲ ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτὸν, ὅτι παρέστη b ἐκ δεξιῶν πένητος τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου." 22. καὶ πρόδηλόν γε ὁπόσοις εἰσέτι καὶ νῦν οἱ τὰς κατ' αὐτοῦ ἀρὰς ἐν ταῖς ἑαυτῶν συναγωγαῖς ποιούμενοι παλαίουσι κακοῖς ἀπὸ τῶν αὐτῶν χρόνων μηδ' ὅλως ἀνανεῦσαι δεδυνημένοι, ὅπως τε αὐτὸς αἶνον τῷ πατρὶ ἐν μέσῳ πολλῶν ἐθνῶν τὸν διὰ τῆς καινῆς διαθήκης αὐτοῦ καταρτίζεται, συνεργὸν τὸν πατέρα καὶ τῆς ἑαυτοῦ δεξιᾶς πάρεδρον κεκτημένος. διὸ, φησὶν, "ἐν μέσῳ πολλῶν αἰνέσω αὐτὸν, ὅτι παρέστη ἐκ δεξιῶν πένητος." 23. καὶ τὴν μετὰ c τὸν θάνατον αὐτοῦ σωτηρίαν διδάσκει λέγων "τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου." 24. ἀνωτέρω γοῦν φήσας τὸ "κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι," καὶ σαφῶς δηλώσας ἑαυτοῦ τὸν θάνατον περιγράφων τὴν προφητείαν, τὴν μετὰ τὸν θάνατον αὐτοῦ σωτηρίαν ᾐνίξατο εἰπὼν "ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου."

Ἀπὸ τοῦ Ζαχαρίου.

IV. "*Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν
ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα,
καὶ ποιμανῶ τὰ πρόβατά μου, καὶ ἐξαρῶ τοὺς τρεῖς
(479) ποιμένας ἐν μηνὶ ἑνὶ, καὶ βαρυνθήσεται ἡ ψυχή μου
ἐπ᾽ αὐτούς. καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο
ἐπ᾽ ἐμὲ, καὶ εἶπα, οὐ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον
[298] ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ
κατάλοιπα ἐσθιέτωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλη-
σίον αὐτοῦ. καὶ λήψομαι τὴν ῥάβδον τὴν καλὴν,
καὶ ἀπορρίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν δια-
θήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς.
καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώ-
σονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι,
ὅτι λόγος κυρίου ἐστί. καὶ ἐρῶ πρὸς αὐτοὺς, εἰ καλὸν
ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου ἢ ἀπεί-
b πασθε. καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυ-
ροῦς. καὶ εἶπεν κύριος πρός με, κάθες αὐτοὺς εἰς τὸ
χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον
ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. καὶ ἔλαβον τοὺς τριάκοντα
ἀργυροῦς, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον κυρίου
εἰς τὸ χωνευτήριον, καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν
δευτέραν τὸ σχοίνισμα τοῦ διασκεδάσαι τὴν διαθή-
κην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ.*"

2. *Καὶ ταῦτα τέλους ἐτύγχανεν ὅτε κατὰ μὲν τὸν
c Λουκᾶν* "*ἀπελθὼν ὁ Ἰούδας συνελάλει τοῖς ἀρχιερεῦσι
καὶ γραμματεῦσι καὶ στρατηγοῖς τοῦ ἱεροῦ, ὅπως αὐ-
τὸν παραδῷ αὐτοῖς· καὶ ἐχάρησαν, καὶ συνέθεντο
αὐτῷ ἀργύρια δοῦναι,*" *κατὰ δὲ τὸν Μάρκον* "*ὁπη-*

---

2 Zach. 11, 7. 26 Luc. 22, 4.

νίκα ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτόν. οἱ δὲ ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύρια δοῦναι." 3. ἀλλ' ἐν τούτοις μὲν ἁπλῶς τὸ ἀργύριον ὠνόμασται, παρὰ δὲ τῷ Ματθαίῳ μνημονεύεται καὶ ὁ ἀριθμὸς, συνᾴδων τῇ ἀπὸ τοῦ Ζαχαρίου παραθέσει. 4. λέγει δ' οὖν ὁ Ματθαῖος "τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπεν αὐτοῖς, τί θέλετέ μοι δοῦναι, κἀγὼ d ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα στατῆρας." σύμφωνα οὖν ταῦτά ἐστι τῷ "καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς" ἐν τῇ προφητείᾳ εἰρημένῳ ὑπὸ τοῦ κυρίου. 5. ἀνθ' οὗ ὁ μὲν Σύμμαχος ἐποίησε "καὶ ἐστάθμισαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς·" ὁ δὲ Ἀκύλας "καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς." οἷς ἐπιλέγεται "καὶ εἶπε κύριος πρός με, κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν." 6. ἀνθ' οὗ πάλιν ὁ μὲν Ἀκύλας φησὶ "καὶ εἶπε κύριος πρός με, κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, ῥῖψον αὐτὰ πρὸς τὸν πλάστην· ὑπερμεγέθης ἡ τιμὴ, ἣν ἐτιμήθην ὑπὲρ αὐτῶν." καὶ πρόσσχες τίνα τρόπον αὐτὸς ὁ κύριος (480) τιμὴν ἑαυτοῦ ὁμολογεῖ τοὺς τριάκοντα ἀργυροῦς δεδόσθαι. 7. ἔοικε δὲ ἡ τῆς λέξεως διάνοια τοιοῦτόν τινα ἐμφαίνειν νοῦν, ἐγὼ μὲν ὁ κύριος ἐκ πρώτης ἀρξάμενος ἡμέρας οὐ διέλιπον τῆς ἐμαυτοῦ χρηστότητος ὑμῖν τοῖς ἐκ περιτομῆς δείγματα παρέχων, καὶ μυρία ὅσα ὑμᾶς εὐεργετῶν, οὐ μόνον τὰ διὰ τῶν ἀνέκαθεν προφητῶν, ἀλλὰ καὶ τὰ διὰ τῆς ἐμαυτοῦ παρουσίας ἔν τε ταῖς προτρεπτικαῖς διδασκαλίαις καὶ τοῖς λογι-

---

1 Marc. 14, 10. 6 Matth. 26, 14.

κοῖς μαθήμασιν, ἔν τε τοῖς σημείοις καὶ τέρασι καὶ
b ταῖς ἄλλαις παραδοξοποιίαις, ταῖς τε ἰάσεσι καὶ ταῖς
θεραπείαις· ὑμεῖς δὲ οἱ τῆς τοσαύτης εὐεργεσίας
ἠξιωμένοι δότε τὸν μισθόν μου ἢ ἀπείπασθε, αἰτῶν
αὐτοὺς, ὡς εἰκὸς, καρποὺς εὐσεβείας καὶ δεῖγμα τῆς
εἰς αὐτὸν πίστεως. 8. οἱ δὲ, κατὰ τὸ εἰρημένον ἐν
τῇ πρὸ ταύτης παραθέσει, "ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέ-
βαλλόν με, καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν
καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου," τριάκοντα ἀργυ-
ροῦς στήσαντες, ὥσπερ τοσούτου αὐτὸν πωλούμενον
ἐτιμήσαντο. 9. ἀλλ' ἐπεὶ "τὸ ἑκάστου ἔργον ὁποῖόν
ἐστι τὸ πῦρ αὐτὸ δοκιμάσει," εἰκότως προστάττει κα-
θεῖναι αὐτοὺς εἰς τὸ χωνευτήριον, ἐπιλέγων "ὃν τρόπον
c ἐδοκιμάσθην ὑπὲρ αὐτῶν." χωνευτήριον δὲ ἐνταῦθα
ἔοικε τὸν οἶκον κυρίου ὀνομάζειν. εἰπόντος γοῦν τοῦ
[209] κυρίου κατὰ τοὺς ἑβδομήκοντα "κάθες αὐτοὺς εἰς τὸ
χωνευτήριον" ἐπιφέρει "καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν
οἶκον κυρίου, εἰς τὸ χωνευτήριον." 10. κατὰ δὲ τὸν
Ἀκύλαν εἰπόντος τοῦ κυρίου "ῥῖψον αὐτὸ" δῆλον δ'
ὅτι τὸ ἀργύριον "πρὸς τὸν πλάστην" ἐπιφέρει "καὶ ἔρ-
ριψα αὐτὸ ἐν οἴκῳ κυρίου πρὸς τὸν πλάστην." 11.
κατὰ δὲ τὸν Σύμμαχον εἰπόντος τοῦ κυρίου "ῥῖψον
d αὐτὸ εἰς τὸ χωνευτήριον" ἐπιφέρει λέγων "καὶ ἔρριψα
αὐτὸ εἰς τὸν οἶκον κυρίου, εἰς τὸ χωνευτήριον." μή-
ποτε δὲ καὶ τοῦτο ἐπληροῦτο, ὅτε Ἰούδας ὁ παραδι-
δοὺς τὸν κύριον, "ἰδὼν ὅτι κατεκρίθη, μεταμεληθεὶς
ἀπέστρεψε τὸ ἀργύριον τοῖς ἀρχιερεῦσι καὶ πρεσβυ-
τέροις, λέγων, ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ
εἶπαν αὐτῷ, τί πρὸς ἡμᾶς; σὺ ὄψει. καὶ ῥίψας τὰ
ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγ-

11 1. Cor. 3, 13. 26 Matth. 27, 3.

ξατο. 12. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπαν, οὐκ ἔστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν. συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξέ- (481)
νοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον ἡμέρας. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος, καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι κύριος." 13. ἔνθα καὶ ἐπιστήσεις, ἐπεὶ μὴ ταῦτα φέρεται ἐν τῇ τοῦ Ἱερεμίου προφητείᾳ, εἴτε χρὴ ὑπονοεῖν περιῃρῆσθαι αὐτὰ ἐξ αὐτῆς κατά τινα ῥᾳδιουργίαν, ἢ καὶ b
σφάλμα γραφικὸν γεγονέναι, τῶν ἀμελέστερον τὰ τῶν ἱερῶν εὐαγγελίων ἀντίγραφα πεποιημένων σφαλέντος τινὸς, καὶ ἀντὶ μὲν τοῦ Ζαχαρίου Ἱερεμίαν τεθεικότος, ὡς δέον οὕτως ἀναγεγράφθαι "τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ζαχαρίου τοῦ προφήτου," ἀντὶ δὲ τοῦ "καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον κυρίου, εἰς τὸ χωνευτήριον," ἐσφαλμένως πεποιηκότος "καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως." σαφῶς γὰρ διὰ μὲν τῆς προφητείας εἰς τὸν τοῦ κυρίου ναὸν ἐρρίφθαι λέγεται τὸ ἀργύριον, καὶ δι' αὐτοῦ δὲ τοῦ εὐαγ- c
γελίου εἰς τὸν ναόν· "ῥίψας γοῦν" φησὶν "Ἰούδας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησε." 15. καὶ εἰκός γε ἐξ ἐκείνων τῶν ἀργυρίων βέβηλον γεγονέναι τὸν ναὸν, καὶ πεπληρῶσθαι τὸ "ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος." καὶ ὅρα γε μήποτε χωνευτήριον ὁ οἶκος κυρίου διὰ τοῦτο κέκληται, ἐπείπερ ὡς ἐν χωνείᾳ μεταπλάττεσθαι τὰς ψυχὰς ἐκ τῆς τῶν θείων λόγων πυρώσεως ἐν τῷ τοῦ θεοῦ οἴκῳ συμβαίνει, ἢ ἄλλως ἀπελέγχεσθαι μὴ καθαρὰς, ὡς ἐν χωνευτηρίῳ

πυρουμένας καὶ δοκιμαζομένας. 16. ὅθεν ὁ Ἀκύλας
"ἔρριψα" φήσας "τὸ ἀργύριον ἐν τῷ οἴκῳ κυρίου
d πρὸς τὸν πλάστην" σαφῶς διδάσκει ὡς τοῦ λόγου τοῦ
θείου δίκην πλάστου κατοικοῦντος εἰς τὸν οἶκον κυ-
ρίου, καὶ πλάττοντος καὶ ἀνανεοῦντος τὰς τῶν προσ-
ιόντων ψυχάς. πλὴν ἀλλ' ἐπείπερ ἡ τιμὴ τοῦ τετι-
μημένου εἰς ἐκεῖνον μεταβληθεῖσα τὸν οἶκον βέβηλον
αὐτὸν κατεστήσατο, εἰκότως εὐθὺς ἐπιλέγει "καὶ ἀπέρ-
ριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα τοῦ
διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ
μέσον Ἰσραήλ." ἐξ ἐκείνου γάρ τοι τὸ πλῆθος τοῦ
ἔθνους ἀπερρίφη τῆς πάλαι πρότερον ἐφορώσης αὐ-
τοὺς ἐπισκοπῆς τοῦ θεοῦ. δευτέραν δὲ ῥάβδον ἡγοῦ-
μαι τὸ πᾶν ἀθρόως Ἰουδαίων ἔθνος ἐνταῦθα δηλοῦ-
σθαι. καλεῖ δ' οὖν αὐτὴν σχοίνισμα, λέγων "τὴν
(482) μίαν ἐκάλεσα κάλλος, καὶ τὴν δευτέραν ἐκάλεσα σχοί-
νισμα." καὶ σαφῶς ἐπιλέγει περὶ τῆς δευτέρας φά-
σκων "καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ
σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον
[300] Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ." 18. οὗτοι γὰρ ἦσαν τὸ
σχοίνισμα καὶ ἡ ῥάβδος ἡ δευτέρα. ἡ δὲ προτέρα κάλ-
λος ὠνομασμένη οὐδ' ἄλλη γένοιτο ἂν τῆς Ἱερουσαλὴμ
αὐτῆς, καὶ τῆς κατὰ Μωσέα λατρείας, ἁπάσης τε τῆς
παλαιᾶς διαθήκης. 19. καὶ τοῦτο δὲ ἐξ αὐτῆς παρί-
σταται τῆς προφητείας φησάσης "καὶ λήψομαι τὴν
b ῥάβδον μου τὴν καλήν, καὶ ἀπορρίψω αὐτήν, τοῦ
διασκεδάσαι τὴν διαθήκην μου." ὁρᾷς ὡς τὴν μὲν
διαθήκην αὐτοῦ τὴν ῥάβδον ἔφησεν εἶναι τὴν πρώ-
την, τὴν δὲ δευτέραν ῥάβδον τὸ σχοίνισμα, πλὴν
ἀμφοτέρας τὰς ῥάβδους ἀπορρίψειν ἀπειλεῖ, προειπὼν
πρότερον "καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν
μίαν ἐκάλεσα κάλλος, καὶ τὴν δευτέραν ἐκάλεσα σχοί-

νισμα." 20. ἀνθ' ὧν ὁ μὲν Ἀκύλας φησὶ "τὴν μίαν ἐκάλεσα εὐπρέπειαν, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα·" ὁ δὲ Σύμμαχος "τὴν μὲν ἐκάλεσα εὐπρέ- c
πειαν, τὴν δὲ μίαν ἐκάλεσα σχοίνισμα." τοῦ μὲν οὖν παντὸς ἔθνους κάλλος καὶ εὐπρέπειαν τὸν θεῖον νόμον καὶ τὴν ἐν αὐτῷ περιεχομένην διαθήκην ὠνόμασεν εἰκότως. 21. τά τε γὰρ σεμνὰ τῆς Ἱερουσαλὴμ καὶ τὰ τῆς ἀρχιερατικῆς λειτουργίας, καὶ πάντα ὅσα πάλαι πρότερον ἐν αὐτοῖς κατὰ τοὺς θείους νόμους καὶ κατὰ τὴν παλαιὰν διαθήκην ἐπολιτεύετο, κόσμος εὐπρεπὴς ὑπῆρχε τοῖς ὑπὸ τούτων κοσμουμένοις. σχοίνισμα δὲ τὸ πλῆθος τοῦ ἔθνους καὶ παρὰ Μωσεῖ κέκληται λέγοντι "ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ d
Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ." 22. ἀλλὰ γὰρ τῶν δύο τούτων ῥάβδων ἀθρόαν μεταβολὴν γενήσεσθαι κατὰ τοὺς δηλουμένους χρόνους θεσπίζει, ὡς καὶ τῆς πάλαι ἐν αὐτῇ παλαιᾶς διαθήκης, καὶ τοῦ πάλαι ἐν αὐτῇ κάλλους ἀφανισθησομένου, τοῦ τε σχοινίσματος καὶ τοῦ παντὸς ἔθνους διασκεδασθησομένου, ἐπὰν τὴν τιμὴν τοῦ τετιμημένου τριάκοντα ἀργυρίων τιμησάμενοι τῆς σφῶν δυσσεβείας τὴν προσήκουσαν ἀτιμίαν ὑπόσχοιεν. 23. λέγει δ' οὖν "καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ ἀπορρίψω αὐτὴν, τοῦ διασκεδάσαι τὴν διαθήκην μου." καὶ πάλιν "καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα." ἐπὶ τούτοις ἐπὰν ἡ προφητεία φάσκῃ "καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνὶ, νομίζω τρία (483)
τάγματα αἰνίττεσθαι τῶν πάλαι τοῦ λαοῦ τοῦ θεοῦ προεστώτων, βασιλέως καὶ ἀρχιερέως καὶ προφήτου, ἐπεὶ καὶ διὰ τῶν τριῶν τούτων ποιμένων πάντα τὰ κατὰ τοὺς πάλαι πρότερον ᾠκονομεῖτο." 24. ἀλλ' ἐπειδὴ διαστροφὴν καὶ οἱ τρεῖς οὗτοι πεπόνθασι ποι-

μένες καθ' ἕνα καιρὸν τὸν ἐπὶ τοῦ σωτῆρος ἡμῶν,
(ὅ τε γὰρ βασιλεὺς παρανόμως αὐτῶν ἡγεῖτο, ἀλλό-
φυλός τις ὢν καὶ οὐκ οἰκεῖος τοῦ ἔθνους· ὅ τε ἀρχιε-
ρεὺς ὑπὸ Ῥωμαίων παραγενόμενος ἐπὶ τὴν λειτουρ-
γίαν, οὐ κατὰ τὴν τοῦ γένους διαδοχὴν οὐδὲ κατὰ
τοὺς ἐννόμους θεσμοὺς ἐπὶ τὴν τιμὴν παρῄει· ὅ τε
b προφήτης μέχρις Ἰωάννου παυσάμενος οὐκέτι ἐν αὐ-
τοῖς ἐνήργει, ἀντὶ δὲ τούτου ψευδοπροφήτης τις ἀσε-
βὴς καὶ πλανῶν τὸν λαὸν) εἰκότως τὰ τρία χαρίσματα,
πάλαι πρότερον ὑπὲρ πάντα κόσμον εὐπρεπῆ τὸ πᾶν
ἔθνος κοσμοῦντα, περιαιρήσειν ὑφ' ἕνα καιρὸν ἀπει-
λεῖ λέγων "καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ
ἑνί, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς." 25.
ἀνθ' οὗ ὁ μὲν Ἀκύλας φησὶ "καὶ ἐκολοβώθη ἡ ψυχή
μου ἐν αὐτοῖς·" ὁ δὲ Σύμμαχος "καὶ ὠλιγοψύχησα
ἐν αὐτοῖς·" ὁ δὲ Θεοδοτίων "καὶ ὠλιγοψύχησεν ἡ ψυχή
c μου ἐπ' αὐτούς." καὶ τὸ αἴτιόν γε τῆς ὀλιγοψυχίας
διδάσκει ἐπιλέγων "καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύ-
οντο ἐπ' ἐμέ." ἀνθ' οὗ πάλιν ὁ Ἀκύλας "καί γε ἡ
ψυχὴ αὐτῶν ἐπέρκασεν ἐν ἐμοί·" 26. ὁ δὲ Σύμμαχος
"καὶ ἡ ψυχὴ αὐτῶν ἤκμασεν ἐν ἐμοί." ὅμοιον δὲ τῷ
"καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ" παρὰ
[301] τοῖς ἑβδομήκοντα εἰρημένῳ φέρεται παρὰ τῷ Ἱερε-
μίᾳ ἐκ προσώπου τοῦ κυρίου κείμενον τὸ "ἐγκατα-
λέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου,
ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν
d αὐτῆς, ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν
δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς. μὴ σπή-
λαιον ὑαίνης ἡ κληρονομία μου ἐμοί;" 27. εἰκότως
οὖν διὰ ταῦτα ἑξῆς ἐπιφέρει λέγων "καὶ εἶπα, οὐ

---

25 Jer. 12, 7.

ποιμανῶ ὑμᾶς, τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέτωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ." μεθ' ἃ ἐπιλέγει "καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ ἀπορρίψω αὐτήν." 28. ἀνθ' οὗ ὁ Ἀκύλας "καὶ ἔλαβον" φησὶν "τὴν ῥάβδον μου, τὴν εὐπρέπειαν, καὶ περιέκοψα αὐτήν," δηλαδὴ τὴν κατὰ Μωσέα λατρείαν. οὐκοῦν ἡ μὲν πρώτη ῥάβδος ἡ ἐν ἀρχαῖς τοῦ λόγου πρώτη συντριβήσεσθαι καὶ ἀπορριφήσεσθαι λέγεται. (484)
29. ὅτε δὲ ἡ τιμὴ τοῦ τετιμημένου καὶ τὸ ὑπὲρ αὐτοῦ τῷ προδότῃ δοθὲν ἀργύριον ἐβλήθη εἰς τὸν οἶκον κυρίου ὡς εἰς χωνευτήριον, τότε δὴ καὶ τὰ περὶ τῆς δευτέρας ῥάβδου, τοῦ παντὸς ἔθνους δηλαδὴ, ἀκολούθως οἷα πείσεται προφητεύεται ἐν τῷ "καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ." 30. καὶ ἐπειδήπερ ἀποβολὴν ἐκείνων σαφῶς διὰ τούτων ὁ λόγος ἐμήνυσεν, εἰκότως ἑξῆς οὐκέτ' αὐτοὺς ἐπιγνώσεσθαι τὴν τῶν προφητευομένων δύναμίν φησιν, ἀλλὰ τοὺς Χαναναίους, λέγων b
"καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος κυρίου ἐστί." 31. τίνες δ' ἂν εἶεν οἱ Χαναναῖοι ἀλλ' ἢ ἡμεῖς, οἱ πρὶν ἀλλόφυλοι καὶ ἐξ ἁπάντων τῶν πάλαι ἀθέων καὶ ἀσεβῶν ἐθνῶν πρόβατα τῷ Χριστῷ πεφυλαγμένοι; οἳ καὶ διὰ τῆς αὐτοῦ χάριτος μεταβεβλήμεθα, καὶ συνέντες τὰ τεθεσπισμένα γνῶσιν ἀληθῆ τοῦ λόγου τοῦ κυρίου εἰλήφαμεν, ἔγνωμέν τε ἡμεῖς οἱ Χαναναῖοι καὶ συνήκαμεν τὰ δηλούμενα· οὐκ ἔγνωσαν δὲ οὐδὲ συνῆκαν c
οἱ τὸν Ἰσραὴλ αὐχοῦντες καὶ ἐπὶ τῷ σπέρματι Ἀβραὰμ ἐπαιρόμενοι.

Ἀπὸ τοῦ Ἱερεμίου.

V. "*Ἁμαρτία Ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ, ἐγκεκολαμμένη ἐπὶ τοῦ*
d *στήθους τῆς καρδίας αὐτοῦ, καὶ τοῖς κέρασι τῶν θυσιαστηρίων ἡμῶν. ἡνίκα ἀναμνησθῶσιν οἱ υἱοὶ αὐτῶν τὰ θυσιαστήρια αὐτῶν, καὶ τὰ ἄλση αὐτῶν ἐπὶ ξύλου δασέος, καὶ ἐπὶ βουνῶν μετεώρων, ἰσχύν σου καὶ πάντας τοὺς θησαυρούς σου εἰς προνομὴν δώσω, καὶ τὰ ὑψηλά σου ἐν ἁμαρτίᾳ ἐν πᾶσι τοῖς ὁρίοις σου. καὶ ἀφαιρεθήσῃ, καὶ ταπεινωθήσῃ ἀπὸ τῆς κληρονομίας ἧς ἔδωκά σοι, καὶ ἀναβιβῶ σε ἐν τοῖς ἐχθροῖς σου, ἐν τῇ γῇ ᾗ οὐκ ἔγνως, ὅτι πῦρ ἐκκέκαυται ἐν τῷ θυμῷ μου, ἕως αἰῶνος καυθήσεται.*"

2. *Εἰ καὶ μὴ παρὰ τοῖς ο΄, ἀλλ' οὖν γε ἐν τῷ Ἑβραϊκῷ ταῦτα εὑρόντες καὶ ἐν ταῖς τῶν λοιπῶν ἑρμηνευτῶν ἐκδόσεσιν, ἔτι μὴν μετὰ παραθέσεως ἀστερίσκων καὶ ἐν τοῖς ἀκριβέσι τῶν παρὰ τοῖς ἑβδομή-*
(185) *κοντα ἀντιγράφοις, ἀναγκαίως αὐτὰ παρεθέμεθα, ἅτε καὶ ὀνομαστὶ τὸν προδότην Ἰούδα δηλοῦντα, καὶ τὴν πεπραγμένην αὐτῷ ἁμαρτίαν ἀνεξάλειπτον εἶναι διδάσκοντα. τοῦτο γάρ αἰνίττεσθαί μοι δοκεῖ τὸ "ἁμαρτία Ἰούδα ἐγγέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ."* 3. *εἴη δ' ἂν καὶ ἐπὶ πᾶν τὸ Ἰουδαίων ἔθνος ἀναφερόμενα, οἷς ἑξῆς καὶ ἀκολούθως μετὰ τὴν*
[302] *ἀνεξάλειπτον αὐτῶν ἀσέβειαν τὸν μετελθόντα αὐτοὺς ἔσχατον ὄλεθρον ἀπειλεῖ, ἅπερ κατὰ λέξιν ἑρμηνεύειν οὐ τοῦ παρόντος τυγχάνει καιροῦ.*

b *Ἀλλὰ γὰρ τοσούτων περὶ τοῦ προδώσειν μέλλον-*

---

2 Jer. 17, 1. Conf. supra p. 54 b.

τος τὸν σωτῆρα καὶ κύριον ἡμῶν τῶν τε ἄλλως ἐπιβεβουλευκότων αὐτῷ προαναφωνηθέντων, καιρὸς ἰδεῖν καὶ τὰ ἀμφὶ τὸ πάθος αὐτοῦ μέλλοντα συμβήσεσθαι θεσπιζόμενα.

Ἀπὸ τοῦ Ἀμώς.

VI. "Ὀμνύει κύριος κατὰ ὑπερηφανίας Ἰακώβ, εἰ c
ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν, καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ, καὶ ἀναβήσεται ὡς ποταμὸς ἡ συντέλεια, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς. 2. καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν d
εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον· καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα· καὶ θήσομαι αὐτὸν ὥσπερ πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου. καὶ σαλευθήσονται ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον κυρίου, καὶ οὐ μὴ εὕρωσι."

3. Τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ὕβριν καὶ ὑπερηφανίαν καὶ ἐπανάστασιν, ἣν ἐπανέστησαν αὐτῷ οἱ ἐκ περιτομῆς, θεσπίζουσα ἡ παροῦσα προφητεία, ὀμνύναι τὸν κύριόν φησι καθ' ὑπερηφανίας Ἰακώβ, ὡς (486)
οὐ μὴ γένοιτο λήθη τῶν κατ' αὐτοῦ τετολμημένων

6 Amos. 8, 7.

αὐτοῖς, καὶ ὅτι πένθους ἄξια πείσεται ἡ γῆ αὐτῶν μετὰ καὶ τῶν οἰκητόρων, καὶ ὅτι οὐκέθ' ὡς τὸ πρὶν εἰς βραχὺ παιδευθέντες αὖθις ἀποκατασταθήσονται, ἀλλ' εἰς συντέλειαν τὰ κατ' αὐτοὺς ἥξει. "ἀναβήσεται γοῦν" φησὶν "ὡς ποταμὸς ἡ συντέλεια αὐτῶν," τὴν ἐπελθοῦσαν αὐτοῖς οὐδ' ἄλλοτε ἢ κατὰ τὴν Ῥωμαίων βασιλείαν ὀργὴν, ποταμὸν ἀναβησόμενον ἐπ' αὐτοὺς, ὡς ἐν ὕψει τὸ πρὶν ὄντας, αἰνιττόμενος. 4. καὶ δὴ μετὰ τὴν δηλωθεῖσαν κατ' αὐτῶν ἐκ τοῦ θεοῦ b ὀργὴν αὖθις τὰ κατ' αὐτοὺς πράγματα, "ὡς ποταμὸς" φησὶν "Αἰγύπτου καταβήσεται·" δι' ὧν οἶμαι δηλοῦσθαι ὅτι τὰ πάλαι μετέωρα καὶ παρὰ θεῷ τετιμημένα καὶ ὥσπερ ἐν ὕψει κείμενα πλεονεκτήματα τοῦ Ἰουδαίων ἔθνους ὅμοια τοῖς ῥευστοῖς καὶ δίκην ποταμοῦ παρατρέχουσι τῶν ἀπίστων ἐθνῶν πράγμασι καταστήσεται, ἀφ' ὕψους τε εἰς ταπεινὸν περιτραπήσεται. 5. εἶθ' ἑξῆς τούτοις αὐτὰ δὴ τὰ ἀμφὶ τὸν καιρὸν τοῦ σωτηρίου πάθους συμβεβηκότα δηλῶν "ἐν ἐκείνῃ" φησὶ "τῇ ἡμέρᾳ, λέγει κύριος, δύσεται ὁ ἥλιος c μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς," ἃ καὶ ἐναργῆ τὴν ἔκβασιν εἴληφεν, ὅτε τοῦ σωτῆρος ἡμῶν ὑψωθέντος κατὰ τὸν εὐαγγελιστὴν "ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης, περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων Ἠλὶ Ἠλὶ λαμᾶ σαβαχθανί."

6. Τούτων δὲ τοῦτον ἐπιτελεσθέντων τὸν τρόπον ἑξῆς ἐπιλέγει "καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον· καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον καὶ ἐπὶ πᾶσαν

---

23 Matth. 27, 46.

κεφαλὴν φαλάκρωμα· καὶ θήσομαι αὐτὸν ὥσπερ πέν- d
θος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύ-
νης. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαπο-
στελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν [303]
ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου" καὶ
τὰ ἑξῆς. 7. ἅπερ ἅπαντα διὰ τὴν ὑπερηφανίαν αὐ-
τῶν τὴν κατὰ τοῦ Χριστοῦ γεγενημένην ἔσεσθαι προ-
φητευθέντα ἐναργῆ τὴν ἔκβασιν τῆς προρρήσεως ἀπε-
δείξατο μετὰ τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλὴν
αὐτῶν. 8. οὐ πρότερον γοῦν, ἀλλ' ἐξ ἐκείνου καὶ εἰς
δεῦρο μετέστρεψεν αὐτῶν ὁ θεὸς τὰς ἑορτὰς εἰς πέν-
θος καὶ τὰς ᾠδὰς εἰς θρῆνον, τῆς περιβοήτου μητρο-
πόλεως ἀποστερήσας αὐτούς, καὶ τὸ ἐν αὐτῇ σεμνὸν (487)
ἁγίασμα κατὰ τὴν ἐπὶ Τίτου καὶ Οὐεσπασιανοῦ Ῥω-
μαίων αὐτοκρατόρων ἡγεμονίαν καθελών, ὡς μηδὲ
ἐλθόντας δύνασθαι ἐπ' αὐτῆς τὰς ἐννόμους ἑορτὰς
καὶ πανηγύρεις ἐπιτελεῖν. τί δεῖ λέγειν, ὡς ὁ λιμὸς
τοῦ ἀκοῦσαι λόγον κυρίου πάντας αὐτοὺς μετῆλθεν,
ἀνθ' ὧν ἐξήλασαν ἑαυτῶν τὸν τοῦ θεοῦ λόγον, ὁμο-
θυμαδὸν αὐτὸν ἀρνησάμενοι, καὶ ἀπαρνηθέντες ὑπ'
αὐτοῦ;

Ἀπὸ τοῦ Ζαχαρίου. b

VII. "Καὶ παρέσται κύριος ὁ θεός μου, καὶ πάν-
τες οἱ ἅγιοι μετ' αὐτοῦ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται
φῶς, καὶ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν. καὶ ἡ
ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ
οὐ νὺξ τὸ πρὸς ἑσπέραν ἔσται φῶς. καὶ ἐν τῇ ἡμέρᾳ c
ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ, τὸ ἥμισυ

23 Zach. 14, 6.

αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. καὶ ἔσται κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον."

2. Καὶ ταῦτα ἐπὶ τῆς παρουσίας τοῦ σωτῆρος ἡμῶν ἐπληροῦτο, ἣν ἐποιήσατο, ἤτοι μετὰ τῶν ἱερῶν ἀποστόλων αὐτοῦ καὶ μαθητῶν, ἢ μετὰ τῶν ἁγίων
d αὐτοῦ, θείων τινῶν δυνάμεων καὶ ἀσωμάτων πνευμάτων, ἀγγέλων τε καὶ λειτουργῶν αὐτοῦ, περὶ ὧν εἴρηται ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὅτι "προσῆλθον αὐτῷ ἄγγελοι καὶ διηκόνουν αὐτῷ." 3. κατὰ δὲ τὴν ἡμέραν ἐκείνην, (οὕτω δὲ φίλον ἀποκαλεῖν τῇ ἱερᾷ γραφῇ πάντα τὸν χρόνον τῆς ἐν ἀνθρώποις αὐτοῦ διατριβῆς) ἐπληροῦτο μετὰ τῶν ἄλλων προρρήσεων καὶ τὰ ἐν χερσὶ τεθεσπισμένα, ὁπηνίκα παρὰ τὸν τοῦ πάθους αὐτοῦ καιρὸν "ἀπὸ ὥρας ἕκτης σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης." διό φησιν ἡ προφητεία ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς." καὶ πάλιν "καὶ οὐχ ἡμέρα καὶ οὐ νὺξ τὸ πρὸς ἑσπέραν ἔσται φῶς." 4. δι' ὧν λευκότατα ἡγοῦμαι τὴν τοῦ καιροῦ κατάστασιν, ἐν ᾧ τοῦ σωτῆρος ἀνυ-
(488) ψωθέντος καὶ ἡμέρας οὔσης νὺξ ἀπὸ ὥρας ἕκτης τὸ περιέχον συνέσχε μέχρι τῆς ἐνάτης, μεθ' ἣν αὖθις τοῦ σκότους διαλείποντος ἡμέρα καὶ φῶς ἐγίνετο, μεθ' ἃ πάλιν συνήθως ἡ νὺξ κατελάμβανεν. ἅπερ ὁ τῆς προφητείας λόγος ᾐνίττετο φάσκων "καὶ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡ μέρα καὶ οὐ νὺξ τὸ πρὸς ἑσπέραν ἔσται φῶς." 5. οὐχ ἡμέρα μὲν γὰρ ἦν

---

2 Matth. 4, 11.

διὰ τὸ μεσημβρινὸν σκότος· καὶ πάλιν οὐ νὺξ διὰ τὴν ἐπικαταλαβοῦσαν ἡμέραν, ἣν παρέστησεν ἐπισημηνάμενος διὰ τοῦ φάναι τὸ "πρὸς ἑσπέραν ἔσται φῶς." τίς δ' οὐκ ἂν θαυμάσειε καὶ τῆς χειμαδίου ὥρας τὴν μνήμην; ἣν καὶ αὐτὴν ἐθέσπισεν ὁ λόγος φήσας "καὶ b ψῦχος καὶ πάγος ἔσται·" ὃ καὶ αὐτὸ ἡ τοῦ εὐαγγελίου μαρτυρία συνίστησιν, ὁπηνίκα ὁ Πέτρος ἀκολουθῶν τῷ Ἰησοῦ, περιαψάντων πυρὰν ἐν τῇ αὐλῇ τοῦ Καϊάφα, μετὰ τῶν ἄλλων ἐθερμαίνετο. ὁ γοῦν Ἰωάννης ἄντικρυς καὶ τοῦ ψύχους ἐμνημόνευσεν εἰπὼν "εἱστήκεισαν οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρα- [304] κιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο. 7. καὶ πρὸς μὲν τὴν λέξιν τοιούτου τέλους ἐτύγχανε τὰ προηγορευμένα, πρὸς δὲ διάνοιαν τὸ πᾶν Ἰουδαίων ἔθνος, τοῦ σωτηρίου φωτὸς αὐτοῖς ἐπιλάμψαντος, αὐτῶν τε μᾶλλον τὸ σκότος ἢ τὸ φῶς ἑλομένων, c τοῦθ' ὅπερ καὶ εἵλοντο μετῆλθεν αὐτοὺς, ἀναχωρήσαντος μὲν αὐτῶν τοῦ φωτὸς, διαλαβούσης δὲ αὐτοὺς νυκτὸς ἀφεγγοῦς, σκοτισθείσης αὐτῶν τῆς διανοίας, πρὸς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου ἐν ταῖς καρδίαις αὐτῶν, ἀλλὰ καὶ ψυγείσης τῆς πρὸς τὸν θεὸν ἀγάπης αὐτῶν, τὰ σύμβολα τούτων εἰκότως ἐτελεῖτο, ἐπληροῦτό τε ἑξῆς τὰ τῆς προρρήσεως, κατὰ τὴν τοιάνδε τῆς σωτηρίου ἐπιφανείας ἡμέραν ὕδατος ζῶντος ἐξελθόντος ἐξ Ἱερουσαλὴμ, εἰς πάντα τὰ ἔθνη προελθόντος τοῦ γονίμου καὶ ζωτικοῦ λόγου τῆς εὐαγ- d γελικῆς διδασκαλίας, ἀρξαμένου μὲν ἀπὸ τῆς Ἰουδαίας, καὶ ἐξ αὐτῆς γε τῆς Ἱερουσαλὴμ, διαδοθέντος δὲ εἰς πᾶσαν τὴν γῆν, καὶ εἰς πάντα τὰ τῆς οἰκουμένης πέρατα. 8. τούτου δὲ τοῦ ὕδατος καὶ αὐτὸς

11 Jo. 18, 18.

ὁ σωτὴρ καὶ κύριος ἡμῶν μνημονεύει λέγων πρὸς τὴν Σαμαρεῖτιν, "εἰ ᾔδεις τίς ἐστιν ὁ αἰτῶν σε πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν." ὅση δὲ τοῖς ἀπογευσαμένοις τοῦ ζῶντος καὶ λογικοῦ νάματος ὑπῆρξεν ὠφέλεια παρίστησιν ἑξῆς διδάσκων ὡς οἱ πιόντες αὐτοῦ, τοὺς πάλαι πολλοὺς βασιλεύσαντας αὐτῶν δαίμονας πονηροὺς ἀπαρνησάμενοι, τὸν ἕνα κύριον καὶ βασιλέα σφῶν αὐτῶν ὁμολογήσουσι, καὶ ὡς ὁ κύριος ὁ μόνοις τὸ πρὶν Ἑβραίοις γνωριζόμενος
(489) γενήσεται βασιλεὺς πάντων τῶν εἰς αὐτὸν ἐξ ἁπάσης τῆς γῆς πιστευσάντων ἐθνῶν, καὶ τὸ ὄνομα αὐτοῦ ἓν ἔσται, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον. 9. ὃ καὶ αὐτὸ τίς οὐκ ἂν ὁρῶν ἐκπλαγείη; ἀπὸ γοῦν τῆς Χριστοῦ προσηγορίας, (αὐτὸς δὲ ἦν ὁ Χριστὸς ὁ κύριος) τὸ τῶν Χριστιανῶν ὄνομα πάντα τόπον καὶ πόλιν καὶ χώραν καὶ αὐτά γε τὰ ἐν ταῖς ἐρήμοις καὶ ταῖς ἐσχατιαῖς τῆς γῆς οἰκοῦντα ἔθνη περιεκύκλωσε τοῖς τῆς προφητείας ἀκολούθως θεσπίσμασιν.

Ἀπὸ Ψαλμοῦ κα'.

VIII. "Ὁ θεὸς ὁ θεός μου, πρόσσχες μοι, ἱνατί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. ὁ θεός μου κεκράξομαι
c ἡμέρας πρὸς σὲ, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. σὺ δὲ ἐν ἁγίοις κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς. πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, καὶ οὐ κατῃσχύνθησαν. 2. ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄν-

---

2 Jo. 4, 10. 20 Ps. 21, 1.

θρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ. πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς d μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ. μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. 3. περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με. ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ [305] εἰς χοῦν θανάτου κατήγαγές με. ὅτι ἐκύκλωσάν με (490) κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με. 4. ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. σὺ δὲ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσσχες. ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν b ταπείνωσίν μου. 5. διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν. φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραὴλ, ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι

με πρὸς αὐτὸν εἰσήκουσέ μου. παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ· τὰς εὐχάς μου ἀποδώσω c ἐνώπιον τῶν φοβουμένων αὐτόν. 6. φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν. 7. ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα τοῦ αἰῶνος, μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ κυρίου ἡ βασιλεία καὶ αὐτὸς δεσπόζει d τῶν ἐθνῶν. ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προσπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν. καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ. ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.

8. Τὸ "ὁ θεός μου πρόσσχες μοι, ἱνατί ἐγκατέλιπές με" ἐν ἀρχαῖς τοῦ Ψαλμοῦ λεγόμενον κατὰ τὸν Ματθαῖον ὑπὸ τοῦ σωτῆρος ἡμῶν παρὰ τὸν τοῦ πάθους καιρὸν οὕτως εἴρηται "γενομένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν Ἰησοῦς φωνῇ μεγάλῃ ἐλωεὶμ ἐλωεὶμ λαμᾶ σαβαχθανὶ, ὅ ἐστι μεθερμηνευόμενον, ὁ θεὸς ὁ θεός μου ἱνατί ἐγκατέλιπές με;" εἴληπται δὲ ἡ Ἑβραϊκὴ λέξις ἀπὸ τῆς ἐν χερσὶ προφητείας. 9. αὐταῖς γοῦν συλλαβαῖς τὸ "ἠλεὶ ἠλεὶ λαμᾶ σαβαχθανί" ἡ τοῦ Ψαλμοῦ καταρχὴ περιέχει, ὅπερ ὁ Ἀκύλας τοῦτον ἡρμήνευσε τὸν τρόπον "ἰσχυρέ μου, (491) ἰσχυρέ μου, ἱνατί ἐγκατέλιπές με;" ταῦτα δὲ ὅτι τοῖς ὑπὸ τοῦ σωτῆρος ἡμῶν κατὰ τὸν τοῦ πάθους καιρὸν

---

20 Matth. 27, 46.

εἰρημένοις ἰσοδυναμεῖ πᾶς ὅστις οὖν ὁμολογήσαι ἄν. 10. ὥρα τοιγαροῦν ἀναμφιλόγως τὸν Ψαλμὸν οὐδ' ἐφ' ἕτερον ἢ ἐπὶ μόνον αὐτὸν ἀναφέρειν, ἐπειδὴ αὐτῷ μόνῳ καὶ οὐδ' ἑτέρῳ ἁρμόζει τὰ ἐμπεριεχόμενα. ἄντικρυς γοῦν ἐπ' αὐτῷ πεπληρωμένα τά τε ἄλλα ἀποδείκνυται καὶ δὴ καὶ τὸ φάσκον ἐν τῷ Ψαλμῷ "διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον." 11. καὶ τὴν κατάπαρσιν δὲ τῶν ἥλων τῶν κατὰ τῶν χειρῶν καὶ ποδῶν ἐπὶ τοῦ σταυ- b
ροῦ προσηλωθέντων αὐτῷ διαρρήδην ἐμφαίνει λέγων "ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου." καὶ τὰ λοιπὰ δὲ μόνῳ ἂν ἐφαρμόσαι αὐτῷ, ὡς προϊὼν ὁ λόγος παραστήσει· ἢ ὁ βουλόμενος ἐφ' ἕτερον μεταλαβὼν πρόσωπον, ἤτοι βασιλέως ἢ προφήτου ἢ καί τινος τῶν πώποτε παρὰ Ἰουδαίοις θεοφιλῶν, δεικνύτω εἰ οἷός τε εἴη ἐφαρμόζειν τὰ ἀναγεγραμμένα. 12. τίνι γὰρ τῶν πώποτε κυοφορουμένων ἐπὶ τοσοῦτον παρῆν ἀρετῆς καὶ δυνάμεως, ὥστε καθεστῶτι λογισμῷ καὶ ἀσυγχύτῳ ψυχῇ c
νηφαλίῳ τε φρονήματι θεοῦ γνῶσιν ἀναλαβεῖν, καὶ [306]
πᾶσαν ἐπὶ τὸν θεὸν ἀναρτῆσαι αὐτοῦ τὴν ἐλπίδα, ὥστ' ἂν εἰπεῖν "ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς μητρός μου, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου θεός μου εἶ σύ." 13. τίς δὲ τοιοῦτος θεῷ μεμελημένος "ὄνειδος ἀνθρώπων γέγονε καὶ ἐξουδένημα λαοῦ;" ὑπὸ τίνων δὲ καὶ ποδαπῶν μόσχων καὶ ταύρων χρὴ νοεῖν τὸν τοιόνδε κεκυκλῶσθαι; τί δὲ παθὼν d
ὁ δηλούμενος "ὡσεὶ ὕδωρ ἐξεχύθη;" καὶ πῶς "διεσκορπίσθη αὐτοῦ τὰ ὀστᾶ;" πῶς δὲ "εἰς χοῦν θανάτου κατήχθη," καὶ καταχθεὶς εἰς χοῦν θανάτου τὰ τοιαῦτα λαλεῖ ἔτι καὶ ζῇ καὶ φθέγγεται; τίνες δὲ οἱ κύ-

νες οἱ κυκλώσαντες αὐτὸν, ἕτεροι ὄντες παρὰ τοὺς
προωνομασμένους ταύρους καὶ μόσχους; ποία δὲ συν-
αγωγὴ πονηρευομένων τὰς χεῖρας οὐ μόνον, ἀλλὰ καὶ
τοὺς πόδας τοῦ τηλικούτου ὤρυξαν, ἀποδύσαντές τε
αὐτὸν τὰ μέν τινα διείλοντο αὐτοῦ τῶν ἐνδυμάτων,
τὰ δὲ καὶ κλήρῳ λαχόντες ἔλαβον; τίς δὲ ἡ ῥομφαία
καὶ ὁ κύων καὶ ὁ λέων; τίνες δὲ οἱ λεγόμενοι μονοκέ-
(492) ρωτες, τὸν δηλούμενον περιέχοντες, πῶς δὲ μετὰ τὴν
πρὸς τοσούτους πάλην, μετὰ τὸ εἰς χοῦν θανάτου
καταχθῆναι, ἐπαγγέλλεται τὸ ὄνομα τοῦ πατρὸς διη-
γεῖσθαι, οὐ πᾶσιν, ἀλλὰ μόνοις τοῖς ἑαυτοῦ ἀδελ-
φοῖς; τίνες τε οἱ ἀδελφοὶ, τίς τε ἡ ἐκκλησία, περὶ
ἧς φησιν ὁ τὰ τοιαῦτα παθὼν "ἐν μέσῳ ἐκκλησίας
ὑμνήσω σε;" οἷς καὶ ἐπιλέγει "ὡς ἄρα οὐχ ἓν τὸ Ἰου-
δαίων ἔθνος, πάντα δὲ τὰ πέρατα τῆς γῆς συναισθή-
σονται, καὶ ἐπιστραφήσονται πρὸς κύριον, καὶ προσ-
κυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν
ἐθνῶν;" καὶ σὺ δὲ παρὰ σαυτῷ βασανίσας ἑκάστην
b λέξιν τοῦ Ψαλμοῦ θέα εἰ δυνατὸν ἐπὶ τὸν τυχόντα
ἀναφέρειν τὰ θεσπιζόμενα. 14. ἀλλ' οὐκ ἂν εὕροις
ἑτέρῳ τῳ ἐφαρμόττειν αὐτὰ ἢ μόνῳ τῷ σωτῆρι ἡμῶν,
ὃς πάντων πιστότατος ἂν εἴη καὶ ἀληθέστατος, εἰς
ἑαυτοῦ πρόσωπον ἀνειληφὼς τὴν ἀπὸ τοῦ Ψαλμοῦ
φωνὴν, ὡς ἐμαρτύρησαν οἱ εὐαγγελισταί· ὁ μὲν Ματ-
θαῖος δι' ὧν παρεθέμεθα αὐτοῦ λέξεων, ὁ δὲ Μάρ-
κος δι' ὧν καὶ αὐτὸς ὧδέ πως ἱστορεῖ λέγων "γενο-
μένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλης τῆς γῆς
ἕως ὥρας ἐνάτης. καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ Ἰη-
c σοῦς φωνῇ μεγάλῃ λέγων, ἠλεὶ ἠλεὶ λαμᾶ σαβα-
χθανὶ, ὅ ἐστι μεθερμηνευόμενον, ὁ θεὸς ὁ θεός μου,

29 Marc. 15, 33.

εἰς τί ἐγκατέλιπές με; καί τινες τῶν ἀκουσάντων ἔλεγον, Ἠλίαν φωνεῖ."

15. *Φέρε δὴ οὖν τούτοις ἀκολούθως ἴδωμεν ὅπως εἰς αὐτὸν ἀνενεχθήσεται τὰ διὰ τοῦ Ψαλμοῦ δηλούμενα. καὶ πρῶτόν γε διαλάβωμεν τὴν φάσκουσαν προγραφὴν* "*εἰς τὸ τέλος,*" *ἢ κατὰ τὸν Ἀκύλαν* "*τῷ νικοποιῷ,*" *ἢ κατὰ τὸν Σύμμαχον* "*ἐπινίκιος ὑπὲρ τῆς ἀντιλήψεως.*" 16. *ταῦθ' ἡμᾶς ὑπεισέρχεται, ὅτι τὸ μὲν σωτήριον πάθος, ὡς αἱ λέξεις τῶν εὐαγγελιστῶν παρέστησαν* "*σκότους γενομένου ἀπὸ ὥρας ἕκτης ἕως* d *ὥρας ἐνάτης,*" *ἀμφὶ τὴν ἐνάτην συνετελέσθη, ὅτε καὶ τὴν φωνὴν ἀφῆκε τὴν μεγάλην τὰ μικρῷ πρόσθεν δεδηλωμένα εἰπών, ὥστε ὁμολογεῖσθαι σαφῶς τὸ πάθος αὐτοῦ 'μφὶ τὴν ἑσπέραν νυκτὸς ἐπελαυνούσης γεγονέναι.* 17. *τὰ δὲ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἥτις ἦν ἀντίληψις τοῦ πατρὸς ἀντιλαμβανομένου καὶ εἰς ἑαυτὸν ἐκ τῶν τοῦ θανάτου χωρίων ἐπισπωμένου καὶ λαμβάνοντος αὐτὸν, ἀμφὶ τὴν ἕω γέγονεν, ὡς αὖθις ἀπὸ τῆς τῶν εὐαγγελιστῶν μαρτυρίας παρίσταται.* 18. *ὁ γοῦν Λουκᾶς φησι* "*τῇ δὲ μιᾷ τῶν σαββάτων ἦλθον ὄρθρου βαθέος ἐπὶ τὸ μνημεῖον φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα,*" *δηλονότι αἱ γυναῖκες, καί τινες σὺν αὐταῖς. εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἐκ* (493) *τοῦ μνημείου. εἰσελθοῦσαι δὲ οὐχ εὗρον τὸ σῶμα, διὰ τὸ ἤδη τὸν σωτῆρα ἡμῶν ἐκ νεκρῶν ἐγηγέρθαι.*" 19. *τοῦτο δὲ αὐτὸ καὶ ὁ Μάρκος δηλοῖ λέγων* "*καὶ λίαν* [307] *πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἔτι ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἔλεγον πρὸς ἑαυτὰς, τίς ἀποκυλίσῃ ἡμῖν τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου; ἦν γὰρ μέγας σφόδρα.*" *ἔρχονται, καὶ*

---

21 Luc. 24, 1. 27 Marc. 16, 2.

b εὑρίσκουσιν αὐτὸν ἀποκεκυλισμένον. ἦν δὲ ἤδη ἐγηγερμένος. ἔχεις καὶ παρὰ τῷ Ἰωάννῃ τὴν αὐτὴν μαρτυρίαν λέγοντι "τῇ δὲ μιᾷ τῶν σαββάτων ἔρχεται Μαρία ἡ Μαγδαληνὴ πρωῒ εἰς τὸ μνημεῖον ἔτι σκοτίας οὔσης, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου." 20. καὶ ὁ Ματθαῖος δὲ, εἰ καὶ "ὀψὲ σαββάτων εἴρηκεν, ἀλλ' ἐπιφέρει λέγων "τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον, καὶ ἰδοὺ σεισμὸς
c ἐγένετο μέγας. 21. ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου." ταῦτα δὲ ἀναγκαίως παρεθέμην εἰς παράστασιν τῆς ἐν τῷ Ψαλμῷ προφητευομένης ἑωθινῆς ἀντιλήψεως. 22. ἐπεὶ γὰρ τὰ περὶ τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν σημαίνει, οὐ μὴν κατέληξεν ἡ κατ' αὐτὸν οἰκονομία ἐν τῷ πάθει, τέλος δὲ τοῦ πάθους ἡ ἐκ νεκρῶν ἀνάστασις ἦν καὶ ἡ ἀντίληψις ἡ ἑωθινή, εἰκότως ὁ λόγος τῷ παραδόξῳ
d τέλει τὴν γραφὴν ἀνατίθεται, ὡς τῆς ὑποθέσεως ἁπάσης καὶ τῶν πρὸ τοῦ τέλους παθημάτων τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς ἕνεκεν γενομένων. 23. εἰπὼν γοῦν ὁ σωτὴρ καὶ κύριος ἡμῶν τὸ "ὁ θεὸς ὁ θεός μου πρόσσχες μοι, ἱνατί ἐγκατέλιπές με" καὶ ἑξῆς ἐπαγαγὼν τὸ "ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ," καὶ ἔτι προσθεὶς τὸ "περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με," καὶ σαφῶς τὸν θάνατον αὐτοῦ προμαρτυρόμενος διὰ τὸ "εἰς χοῦν θανάτου κατήγαγές με, ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονη-

---

4 Jo. 20, 4. 7 Matth. 28, 1.

ῥευομένων περιέσχε με, ὤρυξαν χεῖράς μου καὶ πόδας
μου·" καὶ ἔτι τὰ ἀμφὶ τῷ πάθει συμβεβηκότα αὐτῷ
σημήνας διὰ τοῦ "διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυ-
τοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον." 24.
ταῦτα καὶ τὰ τούτοις παραπλήσια προειπὼν οὐκ ἐπὶ
τούτοις ἔστη, ἀλλ' ἐπιλέγει "οἱ φοβούμενοι τὸν κύ- (494)
ριον, αἰνέσατε αὐτὸν, ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ
προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε
τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι
με πρὸς αὐτὸν ἐπήκουσέ μου." 25. πῶς δ' ἂν ἔλεγεν
εἰσηκοῦσθαι, εἰ μὴ πάντως τετυχήκει τῶν εὐχῶν καὶ
ὧν ἐν τοῖς πρόσθεν ἐδεδέητο, ὅτε ἔλεγε τὸ "εἰς χοῦν
θανάτου κατήγαγές με. ῥῦσαι ἀπὸ ῥομφαίας τὴν
ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου;"
26. ταῦτα γὰρ εὐξάμενος καὶ δεηθεὶς ἐκ τούτων ῥυ-
σθῆναί τε καὶ σωθῆναι, τυχὼν ὧν ηὔξατο ἐπιλέγει b
"οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ
πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ'
ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέ
μου," σαφῶς τὴν μετὰ θάνατον ἀναβίωσιν αὐτοῦ
δηλῶν, ἥτις γέγονεν κατὰ τὴν ἑωθινὴν ἀντίληψιν,
ἣν ἑξῆς προϊὼν ὁ Ψαλμὸς παρέστησεν εἰπὼν "σὺ δὲ
κύριε μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντί-
ληψίν μου πρόσσχες." ποίαν δὴ ἀντίληψιν ἀλλ' ἢ ἣν
καὶ ἡ προγραφὴ τοῦ Ψαλμοῦ ᾐνίττετο;

27. Ἀλλὰ ταῦτα μὲν ἡμῖν εἰρήσθω εἰς τὴν τοῦ
Ψαλμοῦ προγραφήν. εἰς δὲ τὸ "ἠλεὶ ἠλεὶ λαμᾶ σα-
βαχθανί," εἰρημένον μὲν ὑπὸ τοῦ σωτῆρος ἡμῶν αὐ- c
τοῖς Ἑβραϊκοῖς ὀνόμασι περὶ τὸν τοῦ πάθους καιρὸν,
κείμενον δὲ καὶ ἐν τῷ Ψαλμῷ, ὅρα μή τις ἔγκειται
βαθυτέρα θεωρία παρ' Ἑβραίοις· ἐλωεὶμ γὰρ ὁ θεὸς
ὀνομάζεται. 28. καὶ τοῦτο διὰ πάσης σχεδὸν εὕροις

[308] ἂν τῆς γραφῆς, ἐπεὶ καὶ κυρίως οὕτω παρὰ τοῖς ἑβδομήκοντα ἔτι καὶ νῦν τῇ Ἑβραίων ὀνομάζεται φωνῇ. φέρονταί γε μὴν παρ' αὐτοῖς ἐπὶ τῆς θείας προσηγορίας καὶ ἕτεραί τινες ἐκφωνήσεις, ὥσπερ οὖν καὶ τὸ Σαδδαΐ καὶ τὸ Ἰαώ καὶ τὸ Ἢλ καὶ ἄλλα τούτοις παραπλήσια. 29. ὁ δὴ οὖν μετὰ χεῖρας Ψαλμὸς ἀπὸ
d τοῦ ἢλ ἠλεὶ ἠλεὶ λαμᾶ σαβαχθανί περιέχει, ᾧ κέχρηται καὶ ὁ κύριος ἡμῶν, οὐ μὴν ἀπὸ τοῦ ἐλωείμ. 30. ὁ γοῦν Ἀκύλας διαφορὰν εἰδὼς τῆς παρ' Ἑβραίοις θεοῦ προσηγορίας ἐκ τῶν ἐλωεὶμ σημαινομένης, τὸ νῦν δηλούμενον ἐν τῷ ἠλεὶ ἠλεί οὐκ ἠξίωσεν ὁμοίως τοῖς λοιποῖς ὁ θεὸς ὁ θεός μου μεταβαλὼν εἰπεῖν, ἀλλὰ "ἰσχυρέ μου ἰσχυρέ μου·" τὸ δ' ἀκριβές ἐστιν "ἰσχύς μου ἰσχύς μου." ὥστε κατὰ τὴν τούτου διάνοιαν τὸν ἀμνὸν τοῦ θεοῦ τὸν ἡμέτερον σωτῆρα φάσκοντα τὸ ἠλεὶ ἠλεί πρὸς τὸν πατέρα λέγειν "ἰσχυρέ μου ἰσχυρέ μου, ἱνατί ἐγκατέλιπές με." 31.
(495) καὶ τάχα ἐπεὶ ἐγκατέλιπεν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, τούτου χάριν [ἐσταυρώθη], ὥς φησιν ὁ ἀπόστολος "καὶ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, καὶ ζῇ ἐκ δυνάμεως θεοῦ, ὡς μὴ σταυρωθεὶς εἴη ἄν, εἰ μὴ ὁ ἰσχυρὸς αὐτοῦ καταλελοίπει αὐτόν. 32. καὶ ὅρα εἰ μὴ ἔπρεπε τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντα καὶ ὡς ἀμνὸν ἐναντίον τοῦ κείροντος ἄφωνον, τὰς οἰκείας δυνάμεις ἀνατιθέναι τῷ θεῷ, καὶ μηδὲν ἴδιον ἔχειν ἡγεῖσθαι ἢ μόνον τὸν πατέρα· διὸ καὶ ἰσχυρὸν τὸν πατέρα αὐτοῦ ἀποκαλεῖ, ὡς καὶ ἐν
b ἑπτακαιδεκάτῳ Ψαλμῷ ἰσχὺν ἑαυτοῦ καὶ κραταίωμα καὶ καταφυγὴν τὸν πατέρα ὀνομάζει, λέγων "ἀγαπήσω σε, κύριε ἡ ἰσχύς μου, κύριος στερέωμά μου, καὶ

---

20 2. Cor. 13, 4. 29 Ps. 18, 1.

καταφυγή μου, καὶ ῥύστης μου. 33. ὁ θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτὸν, ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου." καταλέλοιπεν οὖν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, θελήσας αὐτὸν "μέχρι θανάτου καὶ θανάτου σταυροῦ" κατελθεῖν, καὶ τοῦ κόσμου παντὸς λύτρον καὶ ἀντίψυχον ἀποδειχθῆναι, καὶ καθάρσιον γενέσθαι τῆς τῶν εἰς αὐτὸν πιστευσάντων ζωῆς. 34. ὁ δὲ αὐτίκα μάλα συναισθό- c
μενος τῆς ἐνθέου καὶ πατρικῆς βουλῆς, διαγνούς τε εἰ καί τις ἄλλος τὰ αἴτια τοῦ καταλελεῖφθαι αὐτὸν ὑπὸ τοῦ πατρὸς, ἔτι πολὺ πλέον ἐταπείνωσεν ἑαυτὸν, καὶ τὸν ὑπὲρ ἡμῶν θάνατον πολλῇ τῇ προθυμίᾳ περιεβάλετο "ἐγένετό τε ὁ πανάγιος καὶ εὐλογητὸς ὑπὲρ ἡμῶν κατάρα, καὶ ὁ μὴ γνοὺς ἁμαρτίαν ἁμαρτία, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ." 35. καὶ d
ἔτι πρὸς τούτοις τὰς ἡμετέρας ἁμαρτίας ἀναμαξάμενος ἐσταυρώθη, ὃ ἐχρῆν ἡμᾶς τοὺς πρὶν ἀσεβεῖς παθεῖν, ἀντίψυχον ἡμῶν καὶ ἀντίλυτρον γεγενημένος, ὥστ᾽ ἂν εὐλόγως εἰπεῖν ἡμᾶς τὸ προφητικὸν "αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν. κύριος γὰρ παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν." 36. διόπερ ὡς παραδοθεὶς ὑπὸ τοῦ πατρὸς καὶ μαλακισθεὶς καὶ τὰς ἀνομίας ἡμῶν ἀνειληφὼς, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. συνᾴδει τούτοις καὶ ὁ ἀπόστολος λέγων "ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν." 37. κινῶν δὲ ἡμᾶς ἐπὶ ζήτησιν τῆς αἰτίας

---

5 Phil. 2, 8. 13 Gal. 3, 13. 2. Cor. 5, 21.
19 Es. 53, 4. 27 Rom. 8, 32.

δι' ἣν αὐτὸν ὁ πατὴρ κατέλιπε, φάσκει, ἱνατί με
(496) ἐγκατέλιπες; τὸ δ' αἴτιον τοῦτο ἦν ἡ τοῦ παντὸς
ἀνθρώπων γένους ἀπολύτρωσις, τῷ τιμίῳ αἵματι ἐξα-
γοραζομένη ἀπὸ τῆς πρὶν χαλεπῆς δουλείας, ἣν τοῖς
ἀοράτοις δεσπόταις, δαίμοσιν ἀκαθάρτοις καὶ πονη-
ροῖς ἄρχουσί τε καὶ πνεύμασι, καταδεδούλωντο. 38.
καὶ ἄλλως δὲ καταλέλοιπεν αὐτὸν ὁ πατὴρ εἰς τὸ καὶ
αὐτοῦ τοῦ Χριστοῦ τὴν ὑπὲρ ἀνθρώπων διάθεσιν ἀπο-
δειχθῆναι. διὸ μηδενὸς ἔχοντος ἐξουσίαν τῆς αὐτοῦ
[309] ψυχῆς ἑκὼν αὐτὸς ὑπὲρ ἀνθρώπων αὐτὴν τέθεικεν,
ὥσπερ οὖν διδάσκει λέγων "οὐδεὶς αἴρει τὴν ψυχήν
μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξου-
b σίαν ἔχω πάλιν λαβεῖν αὐτήν."

39. Ἑξῆς τούτοις φησὶ "μακρὰν ἀπὸ τῆς σωτη-
ρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου." ἀνθ'
οὗ ὁ μὲν Ἀκύλας "μακρὰν ἀπὸ τῆς σωτηρίας μου ῥή-
ματα βρυχήματός μου" ἐξέδωκεν, ὁ δὲ Σύμμαχος
"ἀφεστήκασιν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν
ὀδυρμῶν μου," καὶ καθ' ἑτέραν δὲ φερομένην ἑρμη-
νείαν πέμπτην εἴρηται "μακρὰν ἀπὸ τῆς σωτηρίας
μου οἱ λόγοι τῶν δεήσεών μου. 40. ὅρα δὴ οὖν ὅτι
κατ' οὐδετέραν τούτων τὸ τῶν παραπτωμάτων μου
c εἴρηται, ὡς συμβαίνειν ποτὲ σφάλματι γραφικῷ τοι-
αύτας τινὰς ἐναλλαγὰς φέρεσθαι. ἐκ δὲ τῆς τῶν
πλειόνων ἑρμηνείας καταληπτέον, εἰ μὴ ἄρα τις κἀν-
ταῦθα τὰ ἡμέτερα παραπτώματα ἐξοικειούμενον ταῦτα
αὐτὸν εἰρηκέναι φήσειε.

41. Τούτοις ἑξῆς ἐπιλέγει "ὁ θεός μου κεκράξο-
μαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ
εἰς ἄνοιαν ἐμοί." ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος "ὁ

---

11 Io. 10, 18.

θεός μου" φησὶ "βοήσω ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ ἔστι σιγή." θαυμάζει δὴ οὖν ἐν τούτοις τὸν πατέρα ὡς μὴ εἰσακούοντα αὐτοῦ, παρά- d ξενόν τι τούτου καὶ παρὰ τὸ σύνηθες θεωρῶν· ὁ δὲ ἐφύλαττεν αὐτῷ τὴν ἀκοὴν εἰς τὸν ἐπιτήδειον τοῦ εἰσακουσθῆναι καιρόν. 42. οὗτος δὲ ἦν ὁ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς καὶ ὁ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καθ' ὃν, εἰ καί τινι ἄλλῳ, καὶ αὐτῷ δικαίως ἂν ἐλέχθη "ἐν καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας." 43. λέγοιτο δ' ἂν ταῦτα καὶ ἑτέρως ὑπὸ τοῦ σωτῆρος ἡμῶν, ὡς εἰωθότος μὲν ἀεὶ καὶ πάντοτε εἰσακούεσθαι ὑπὸ τοῦ πατρὸς, νῦν δὲ πιστεύοντος εἰσακουσθήσεσθαι, ὡς εἰ σαφέστερον ἔλεγε, μὴ οἷόν τε ἐστὶν, ὦ πάτερ, ἐμὲ τὸν σὸν μονογενῆ καὶ ἀγαπητὸν υἱὸν μὴ εἰσακούεσθαι, βοῶντα καὶ κεκραγότα πρὸς σὲ τὸν ἐμαυτοῦ πατέρα; διδάσκει γοῦν αὐτὸ τοῦτο ἐν τῷ κατὰ Ἰωάν- (497) νην εὐαγγελίῳ ἐπὶ τοῦ Λαζάρου, ὁπηνίκα εἰπὼν "ἄρατε τὸν λίθον ἀπὸ τοῦ μνημείου, ἐπῆρε τοὺς ὀφθαλμοὺς ἑαυτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε, πάτερ εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις." 44. εἰ τοίνυν πάντοτε αὐτοῦ ἀκούει, οὐκ ἀμφιβάλλων, ἀλλ' ἀκριβῶς ἐπιστάμενος ὅτι καὶ νῦν αὐτοῦ εἰσακούσεται, ὡς ἀδυνάτου ὄντος τοῦ μὴ εἰσακούεσθαι αὐτὸν, ἐρωτηματικῶς φησιν "ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ;" ὑποστιζόντων ἡμῶν ἐν τῷ "οὐκ εἰσακούσῃ" καὶ τὸ b ἐναντίον ὑπονοούντων τῷ πύσματι. 45. τοῦτο γοῦν διδάσκει μικρὸν ὕστερον, προϊὼν ἑξῆς ἐν τῷ Ψαλμῷ,

9 2. Cor. 6, 2. 20 Jo. 11, 39.

λέγων "οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου." πῶς οὖν ἀποφατικῶς λέγοι ἂν "ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ," εἰ μὴ κατὰ τὴν
c ἀποδοθεῖσαν ἡμῖν θεωρίαν; ἣν οἶμαι καὶ αὐτὸν αἰνίττεσθαι, λέγοντα "ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ; καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί." 46. οὐ γὰρ εἰς ἄνοιαν, φησὶν, ἐμοὶ λέγεται τὸ εἰσακούσῃ· οἶδα γὰρ αὐτὸς ὅπως τοῦτό φημι, πεπεισμένος ὅτι πέφυκας οὐχ ὅτι γε ἐμοῦ μόνον ἀντιλαμβάνεσθαι καὶ εἰσακούειν, ἀλλὰ καὶ πάντων τῶν ἁγίων σου. ἀεὶ γὰρ καὶ διὰ παντὸς ἐν τοῖς ἁγίοις σου κατοικεῖς, καὶ σὺ εἶ ὁ παντὸς ἀνδρὸς θεοφιλοῦς, Ἰσραὴλ προσαγορευομένου, ἔπαινος. 47. διὰ σὲ γὰρ παντὶ
d τῷ σε περιέποντι οὐχ ὁ τυχὼν προσγίνεται ἔπαινος, καὶ ἐπὶ σοὶ οἱ πατέρες ἡμῶν ἤλπισαν, καὶ ἐλπίσαντες τῶν ἐπαναστάντων αὐτοῖς κακῶν ἐρρύσθησαν καὶ "πρὸς
[310] σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν. ἐπὶ σοί τε ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν." 48. ἐπειδὴ οὖν πάντες οἱ ἅγιοι τούτων ἔτυχον παρὰ σοῦ, κεκράξαντές τε εἰσηκούσθησαν καὶ οὐ κατῃσχύνθησαν, πόσῳ δὴ πλέον ἐμοῦ τοῦ σοῦ ἀγαπητοῦ παιδὸς βοῶντος μᾶλλον ἁπάντων καὶ ἑτοιμότερον εἰσακούσῃ; εἰ δὲ καὶ ἀποθαυμαστικῶς φημι, κεκράξομαι καὶ οὐκ εἰσακούσῃ; ἀλλ' οὐκ εἰς ἄνοιαν ὁ λόγος μοι προφέρεται. οἶδα γοῦν ὅπως τὴν εὐχὴν προφέρω, μὴ ἐναβρυνόμενος μηδὲ ἐγκαυχώμενος, ἀλλ' ὡς ταπεινοφρονῶν. 49. ἐπεὶ γὰρ πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, ταπεινῶς καὶ τῇ ἐμαυτοῦ πραότητι οἰκείως περὶ ἐμαυτοῦ ταπεινὰ φθέγ-
(198) γομαι, οὕτω δὴ καὶ σκώληκα ἐμαυτὸν ὀνομάζω. τί γὰρ ἂν γένοιτο σκώληκος ταπεινότερον; ὅθεν οὐδ'

ἄνθρωπον ἐμαυτὸν εἴποιμ' ἄν, εἰς τοσαύτην ταπείνωσιν ἐκ τοῦ οἰκείου μεγέθους κατελθὼν ὥστε καὶ σκώληκος μηδὲν δοκεῖν διαφέρειν, διὰ τὸ καὶ μέχρι θανάτου καὶ τῆς τοῦ σώματος φθάσαι φθορᾶς. πόθεν γὰρ ἄλλοθεν γεννηθείη ἂν σκώληξ ἢ ἀπὸ σωμάτων φθορᾶς, εἰς ἣν καὶ αὐτὸς κατελθὼν εἰκότως ἐμαυτὸν σκώληκα καὶ οὐκ ἄνθρωπον γινώσκω. 50. διὸ καὶ γέγονα ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένημα λαοῦ, οὐκ ἂν γενόμενος οὔτε ὄνειδος ἀνθρώπων οὔτε ἐξουδένημα, b εἰ μὴ μέχρι σκώληκος ἐφθάκειν παρὰ τὸν τοῦ πάθους καιρόν. τηνικαῦτα γοῦν θεωροῦντές με ἐπὶ τοῦ σταυροῦ ἀνηρτημένον "ἐξεμυκτήρισαν, καὶ ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησάν τε κεφαλὴν λέγοντες, ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν." 51. ταῦτα μὲν οὖν ἅπαντα διὰ τοῦ Ψαλμοῦ σαφῶς περὶ τῶν μελλόντων γενήσεσθαι μακροῖς ποθ' ὕστερον χρόνοις ἐθεσπίζετο, τέλους δὲ ἐτύγχανεν, ὁπότε, κατὰ τὸν Ματθαῖον, σταυρωθέντων σὺν αὐτῷ δύο λῃστῶν, ἑνὸς ἐκ δεξιῶν καὶ ἑνὸς c ἐξ εὐωνύμων τοῦ σωτῆρος, "οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, οὐαὶ ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτὸν, εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. 52. ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων ἔλεγον, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. εἰ βασιλεὺς τοῦ Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. εἰ πέποιθεν ἐπὶ τὸν θεὸν, ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν. εἶπε γὰρ ὅτι υἱὸς θεοῦ εἰμί." κατὰ δὲ d

20 Matth. 27, 39.

τὸν Λουκᾶν "εἱστήκει ὁ λαὸς θεωρῶν, καὶ ἐξεμυκτήριζον αὐτὸν οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες, ἄλλους ἔσωσε, σωσάτω ἑαυτὸν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ ἐκλεκτός." 53. κατὰ δὲ τὸν Μάρκον "καὶ οἱ παράγοντες ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες, οὐαὶ ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτὸν, σῶσον σεαυτὸν, καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες εἰς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ." 54. ταῦτα γὰρ τί ἂν διαφέροι τῶν ἐν τῷ Ψαλμῷ προαναπεφωνημένων ἐν τῷ "ἐγὼ δέ εἰμι (499) σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ. πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν." 55. καὶ μὴ θαυμάσῃς εἰ ταῦτα κατὰ τὸ πάθος τοῦ σωτῆρος ἡμῶν εἴρητό τε καὶ πεπλήρωτο, ὁπότε εἰσέτι δεῦρο παρὰ πᾶσιν ἀνθρώποις τοῖς μηδέπω τὴν εἰς αὐτὸν πίστιν ἀνειληφόσιν ὄνειδος ἀνθρώπων νενόμισται. τί γὰρ ἂν b αἴσχιον καὶ παντὸς ὀνείδους χεῖρον τοῦ σταυρωθῆ- [311] ναι; ἀλλὰ καὶ ἐξουδένημα λαοῦ ἐστι τοῦ ἐκ περιτομῆς, παντὸς αὐτῶν τοῦ ἔθνους εἰσέτι νῦν καὶ σήμερον χλευάζειν καὶ ἐξουδενεῖν καὶ καταπτύειν εἰωθότος αὐτοῦ· ὅθεν καὶ εἰκότως ὁ ἀπόστολος "ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν." 56. καὶ τὰ ἑξῆς δὲ εἰρη-

1 Luc. 23, 35. 5 Marc. 15, 29. 28 1. Cor. 1, 23.

μένα ἐν τῷ Ψαλμῷ εἰσέτι καὶ νῦν εὕροις ἂν παρὰ τοῖς πολλοῖς περὶ τοῦ αὐτοῦ λεγόμενα. ταῦτα μὲν οὖν περὶ τῆς διαλαβούσης αὐτὸν εἰσέτι τότε περιστάσεως ηὔχετο. εἰδὼς δὲ μὴ χείρονα οὖσαν τῆς τοῦ θανάτου συμφορᾶς τὴν πρώτην αὐτοῦ εἰς σάρκα ἔνδεσιν καὶ τὴν ἐκ θηλείας καὶ παρθένου γένεσιν, κατὰ c καιρὸν ἐν τοῖς περὶ θανάτου τῶν τῆς γενέσεως αὐτοῦ μνημονεύει λέγων πρὸς τὸν πατέρα "ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου θεός μου εἶ σύ." 57. τούτων δὲ εἰκότως ἀναφέρει τὴν μνήμην εἰς παραμυθίαν τῆς τῶν παρόντων ἀπαλλαγῆς. ὥσπερ γὰρ, φησὶ, γέγονάς μου βοηθὸς σῶμα ἀνθρώπειον ἀναλαβόντος, ὅτε καὶ ἐξ αὐτῆς τῆς κυοφορούσης με γαστρὸς σὺ αὐτὸς ὁ θεός μου καὶ πατήρ μου ὥσπερ μαιούμενος τὴν ἐμοὶ κατεσκευασμένην ἐξ ἁγίου πνεύματος σάρκα ἐξέσπασας, τὴν d ἑαυτοῦ δύναμιν ὀρέξας, ὡς ἂν μή τις ἐνέδρα καὶ ἐπιβουλὴ ἐξ ἀντικειμένων δυνάμεων καὶ πονηρῶν πνευμάτων διαφθονουμένων τῇ εἰς ἀνθρώπους παρόδῳ μου γένοιτο· ἐπεὶ καὶ κατὰ τὴν πρώτην σύλληψιν σὺ πάλιν τὸ κατὰ γαστρὸς ἐπεσκίασας, ὡς ἂν λάθῃ τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου ἡ ἐξ ἁγίου πνεύματος τῆς ἁγίας παρθένου σύλληψις. 58. ὅπερ μέγα μυστήριον ὁ σὸς ἀρχάγγελος ἐξέφηνε Γαβριὴλ, τῇ Μαρίᾳ εἰπὼν "πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι." ὥσπερ οὖν ἡ σὴ τότε (500) τοῦ ὑψίστου δύναμις συλλαμβανόμενον μὲν ἐπεσκίασε, τικτόμενον δὲ ἐξέσπασεν ἀπὸ γαστρὸς μητρός μου, οὕτω πολλή μοι τυγχάνει παραμυθία, ὅτι καὶ τοῦ

26 Luc. 1, 35.

θανάτου με πολὺ μᾶλλον ἀνασπάσεις. 59. καὶ τοῦτό
γε ἐλπίζων ἐπὶ σὲ πέποιθα τὸν ἐμαυτοῦ θεὸν καὶ
κύριον καὶ πατέρα, καὶ πέποιθα οὐ νῦν πρῶτον ἀρξά-
μενος τῆς εἰς σὲ ἐλπίδος, ἀλλὰ καὶ ὅτε ἀπὸ μαστῶν
μητρός μου τὴν νηπιώδη τροφὴν ἀναλαμβάνων ἐνο-
μιζόμην ὁμοίως τοῖς τῶν ἀνθρώπων βρέφεσιν ἀτελὴς
b εἶναι καὶ ἄλογος· μὴ ὢν γὰρ τοιοῦτος, εἰ καὶ σῶμά
μοι ὅμοιον ἀνθρώποις ἦν, ἀλλ' οὐ καὶ τὴν δύναμιν
οὐδὲ τὴν οὐσίαν τοῖς πολλοῖς ὢν ἐμφερὴς, ἄνετος δὲ
καὶ ἀπόλυτος, οἷά σου τοῦ θεοῦ ἀμνὸς, καὶ ἐξ ἐκεί-
νης τῆς ἡλικίας γαλουχούμενος, λέγω δὴ ἀπὸ μαστῶν
τῆς μητρός μου. 60. καὶ οὔπω τοῦτο μέγα τις ἡγή-
σεται, εἰ μάθοι ὅτι καὶ ἔτι πρότερον "ἐπὶ σὲ ἐπερρί-
φην ἐκ μήτρας, καὶ ἀπὸ γαστρὸς μητρός μου θεός
μου εἶ σύ." ἔτι γὰρ ἔνδον ἐν τῷ ταμείῳ τῆς κυοφο-
ρούσης με φερόμενος σὲ τὸν θεόν μου ἑώρων, ἅτε
c ἀσύγχυτος καὶ ἀθόλωτος ἐν τῇ τοσαύτῃ τῶν σαρκῶν
κοινωνίᾳ διαμείνας, μᾶλλον δὲ ἀσώματος καὶ τότε
ὢν, καὶ πάντων ἐλεύθερος δεσμῶν· οὕτως δὲ ἐπὶ σὲ
ἐπερρίφην ἐκ μήτρας, καὶ ἀπὸ γαστρὸς μητρὸς θεός
μου ἦσθα, ὡς αἰσθέσθαι τῆς ἐμῆς δυνάμεως ἔτι κυο-
φορουμένης πρὸς τῆς ἁγίας παρθένου τὸν ἐμὸν πρό-
δρομον Ἰωάννην, καὶ αὐτὸν κατὰ γαστρὸς τῆς Ἐλιζα-
βὲτ κυοφορούμενον, ὥστε ὑπὸ τῆς ἐμῆς θεότητος
κινηθέντα σκιρτῆσαι ἐν ἀγαλλιάσει καὶ πνεύματος
d ἁγίου πλησθῆναι. 61. τούτων οὖν ἁπάντων ἀναφέρων
τὴν μνήμην, καὶ διὰ παντὸς τὸν θεόν μου καὶ πατέρα
μου πρὸ τῶν ἐμῶν ὀφθαλμῶν τιθέμενος, εἰκότως καὶ
κατὰ τὸν ἐνεστῶτα τοῦ περιέχοντός με πάθους και-
ρὸν, ὅτε σοὶ τῷ πατρὶ γενόμενος ὑπήκοος αὐθαίρετος

24 Luc. 1, 41.

καὶ ἑκὼν "γέγονα σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνει- [312] δος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ·" καὶ νῦν ὅτε πάντες οἱ θεωροῦντές μου τὸ σῶμα τῷ σταυρῷ προσηλούμενον, ἀποτρόπαιον ἡγούμενοι ὁρᾶν πρᾶγμα ἐξεμυκτήρισάν με, τοσαύτην κατ' ἐμοῦ χλεύην καὶ διασυρμὸν καταχέοντες ὡς μὴ μόνον ἐν διανοίᾳ λογίζεσθαι καὶ ἐνθυμεῖσθαι περὶ ἐμοῦ τὰ ἀσεβῆ, ἀλλὰ καὶ ἀφόβως φθέγγεσθαι καὶ ἐν φανερῷ λαλεῖν "ἐλάλησαν γοῦν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, λέγοντες, (501) ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν." 62. καὶ νῦν γοῦν ὅτε τὰ τοιαῦτά με περιέστηκε, σὲ τὸν πατέρα μου τὸν ἐκσπάσαντά με ἐκ γαστρὸς μητρός μου, ἐφ' ὃν ἐπερρέφην ἐκ μήτρας, εἰς ὃν ἤλπισα ἀπὸ μαστῶν, τὸν καὶ ἀπὸ γαστρὸς μητρός μου γνωριζόμενόν μοι, καὶ γινωσκόμενον θεὸν, ἱκετεύω καὶ ἀντιβολῶ μὴ ἀποστῆναι ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς. 63. μέλλει γὰρ, φησὶ, καὶ ὅσον οὔπω πάρεστι καὶ πλησιάζει συνέχον ἤδη καὶ ἐπικείμενόν μοι τὸ πάντων ἔσχατον τῆς ὑπερβαλλούσης μου θλίψεως νέφος. οὔπω γὰρ ἐγὼ θλῖψιν ταύτην τὴν νῦν περιέχουσάν με καλῶ b οὔτε τὸν σταυρὸν, οὔτε τοὺς ἐξ ἀνθρώπων ὀνειδισμοὺς, οὔτε τὰς χλεύας, οὔτε μὴν τὰ πρὸ τοῦ σταυροῦ συμβεβηκότα μοι, τὰς μάστιγας, τὰς ὕβρεις, καὶ ὅσα ἄλλα ἐπαροίνησαν εἰς ἐμὲ οἱ υἱοὶ τῶν ἀνθρώπων· ἀλλὰ γὰρ ὁρῶ τὴν μετὰ τοῦ σώματος ἀνάλυσιν κατ' αὐτὸν τὸν θάνατον, καὶ τὴν εἰς Ἅιδου κατάβασιν πλησιάζουσαν, καὶ τῶν ἀντικειμένων καὶ ἐχθρῶν τῷ θεῷ δυνάμεων ἐπανάστασιν. διό φημι ὅτι θλῖψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. 64. πῶς γὰρ οὐχ ὑπερβάλλουσα ἦν καὶ μεγίστη θλῖψις αὕτη ἐκείνη, ἐν ᾗ οὐκ ἔστιν ὁ βοηθῶν; ὁ μὲν γὰρ ἐπὶ σωτηρίᾳ τῶν ἐν Ἅιδου ψυχῶν παρῄει ἐκ μακροῦ αἰῶνος τὴν ἄφιξιν αὐτοῦ c

περιμενουσῶν, καὶ κατῄει γε θύρας χαλκᾶς συντρίψων, καὶ μοχλοὺς σιδηροῦς συνθλάσων, καὶ τοὺς πρὶν δεσμίους Ἅιδου ἐλευθέρους ἀνήσων· ὃ καὶ γέγονεν, ὅτε πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀναστάντα συνεισῆλθον αὐτῷ εἰς τὴν ἀληθῶς ἁγίαν τοῦ θεοῦ πόλιν· 65. αἱ δὲ δυνάμεις αἱ ἀντικείμεναι πρὸς τοῖς τῶν ἀνθρώπων κακοῖς ἐπεστρατεύοντο αὐτῷ, λύπην οὐ μικρὰν καὶ θλῖψιν αὐτῷ παρέχουσαι, ἀπο-
d κλαομένῳ καὶ ἐπ᾽ αὐταῖς δι᾽ ὑπερβολὴν ἀγαθότητος. ἀλλὰ γὰρ τήρει τίνα τρόπον ταῦτα πάντα λέλεκται, ὡς ἐκ προσώπου αὐτοῦ ἐν μήτρᾳ κυοφορηθέντος, καὶ ἀπὸ γαστρὸς μητρὸς γεγεννημένου, ὃν ἐφάσκομεν εἶναι τὸν ἀμνὸν τοῦ θεοῦ. 66. τούτῳ γὰρ καὶ συμβαίνει τὰ περὶ τὸ πάθος, ὡς καὶ τὰ τῆς ἐνσάρκου γενέσεως ἥρμοζε. τὸ γοῦν γεννηθὲν καὶ ἀποθνήσκει· τὸ δὲ θνῆσκον οὐκ ἄλλως θανάτου τυγχάνει ἢ πρότερον ὁδεῦσαν διὰ γενέσεως. 67. ταῦτ᾽ οὖν διέξεισιν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, οὐ καθ᾽ ὃ ἄσαρκος καὶ ἀσώματος ὑπάρχει τὴν φύσιν, οὐδὲ καθ᾽ ὃ θεοῦ λόγος καὶ θεὸς ἐπινοεῖται, ἀλλὰ καθ᾽ ὃ οἷός τε ἦν ἐν
(502) τῇ πρὸς τὸν πατέρα εὐχῇ λέγειν "ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ." 68. οὗτος δὴ οὖν πρὸς τῷ πάθει γεγονὼς εὔχεται τὰ προκείμενα πρὸς τὸν πατέρα, καὶ τοσούτων, φησὶ, μελλόντων με περιστήσεσθαι ἀντικειμένων ἐνεργειῶν, καὶ δαιμόνων ἀκαθάρτων, καὶ πνευματικῶν πονηρίας, καὶ ἐπὶ πᾶσι τοῦ πάντων χειρίστου αὐτοῦ δὴ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, οὓς τῆς κακίας ἕνεκεν θῆρας πονηροὺς ὀνομάζειν ἄξιον, καὶ ἤτοι ταύρους ἀγρίους, ἢ
b μόσχους, ἢ λέοντας, ἢ κύνας, μέλλων τε πρὸς ἅπαντας

ἵστασθαι, καὶ μηδὲν ἀγαθὸν εἰς αὐτοὺς ἐνεργεῖν, τῷ
μηδὲν παραδέχεσθαι αὐτοὺς τῶν ἐμῶν ἀγαθῶν δι'
ἄκραν κακίας ἕξιν, ἀλλὰ μηδὲ βοηθοῦ μηδὲ συνεργοῦ
τυγχάνων τινὸς τῶν προειρημένων εἰς τὸν ὑπὲρ τῶν
ἐν Ἅιδου ψυχῶν ἆθλον, πῶς οὐκ ἂν εὐλόγως εἴποιμ' [313]
ἂν καὶ ὅτι θλῖψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν; τὸ
μὲν οὖν τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις μὴ
συνεργεῖν αὐτῷ μηδὲ βοηθεῖν ἐπ' ἀγαθὸν αὐτῷ κομι-
ζομένῳ οὐδὲν ἦν θαυμαστόν· τὸ δὲ πάντων μέγιστον c
τῆς θλίψεως τῆς μάλιστα πιεζούσης αὐτὸν τοῦτ' ἦν
ἄρα, τὸ μηδένα μηδὲ τῶν αἰσίων καὶ δεξιῶν ἀγγέλων,
μηδὲ μὴν τῶν θείων δυνάμεων, τολμᾶν ἐπιβαίνειν
τοῖς τοῦ θανάτου βασιλείοις, μηδὲ συνεργεῖν ἐπὶ βοη-
θείᾳ τῶν αὐτόθι ψυχῶν. 69. μόνῳ γὰρ αὐτῷ τοῦτ'
ἀτρεμὲς ἦν, ἐπεὶ καὶ μόνῳ ἠνεῴχθησαν πύλαι θανά-
του, καὶ μόνον αὐτὸν πυλωροὶ Ἅιδου ἰδόντες ἔπτη-
ξαν, αὐτός τε ὁ τὸ κράτος ἔχων τοῦ θανάτου, ὑπεκ-
στὰς τῶν βασιλείων θρόνων, ἅτε μόνον αὐτὸν ἐπι-
γνοὺς ἑαυτοῦ κύριον, ἐλάλησεν αὐτῷ δεήσει καὶ
ἱκετηρίᾳ μαλακῶς, κατὰ τὰ δηλούμενα ἐν τῷ Ἰὼβ
περὶ τούτων. 70. πλὴν ἀλλὰ τὴν ἀσεβῆ τοῦ τυράννου
καταδυναστείαν τοσοῦτον ὁρῶν ἰσχύουσαν, ὡς μηδένα d
ἄλλον τολμᾶν τῶν κατ' οὐρανὸν ἐν τοῖς αὐτόθι χωρί-
οις συμπαρεῖναι αὐτῷ καὶ τῇ τῶν αὐτόθι ψυχῶν συν-
εργεῖν σωτηρίᾳ, εἰκότως φησὶν "ὅτι θλῖψις ἐγγὺς,
ὅτι οὐκ ἔστιν ὁ βοηθῶν," ἑνὸς μόνου τοῦ κἀκεῖσε
βοηθεῖν αὐτῷ δυναμένου καταλελοιπότος αὐτὸν, ὡς
ἂν εἰς πάντας ἀνακηρυχθείη τὸ λαμπρὸν καὶ ἐξαίρε-
τον τῆς ἰδίας αὐτοῦ προαιρέσεως τῆς τε κατὰ πάντων
νίκης. 71. καὶ ἐπειδήπερ ὁ μόνος αὐτῷ βοηθεῖν δυ-
νάμενος οὐκ ἦν αὐτῷ τότε βοηθὸς, εἰκότως ἀρχόμενος
ἔλεγε τὸ "ἠλεὶ ἠλεὶ λαμᾶ σαβαχθανὶ, τοῦτ' ἔστι (503)

θεέ μου θεέ μου, ἱνατί ἐγκατέλιπές με;" συλλαμβανομένῳ μὲν οὖν καὶ κυοφορουμένῳ ὑπὸ τῆς ἁγίας παρθένου τῷ δηλουμένῳ ἡ πατρικὴ δύναμις συνῆν, ὅτε πνεῦμα ἅγιον ἐπῆλθε τῇ παρθένῳ, καὶ δύναμις ὑψίστου ἐπεσκίασεν αὐτῇ, αὐτός τε ὁ πατὴρ τὸν γεννώμενον, ὡς ὁ λόγος παρέστησεν, ἀπὸ τῆς γαστρὸς ἐξέσπασεν· ἀποδυομένου δὲ παρὰ τὸν καιρὸν τοῦ πάθους πρὸς τὴν κατὰ τοῦ θανάτου πάλην, οὐκέτι βοηθὸς αὐτῷ παρῆν. 72. τοῦτο γοῦν αὐτῷ μαρτυροῦντι πιστεύω. τὸ γὰρ "ἠλεὶ ἠλεὶ λαμᾶ σαβα-
b χθανί" εἰρημένον αὐτῷ ἐπὶ τοῦ σταυροῦ, καὶ ὑπὸ τοῦ Ψαλμοῦ προφητικῶς ἀναπεφωνημένον, καὶ "ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν," τί ἕτερον ἐδήλου ἢ ὅτι ὡς μέγας ἀθλητὴς τοῖς τοσούτοις ἀντιπάλοις προβεβλημένος ἦν, ἀγωνοθετοῦντος καὶ βραβεύοντος τοῖς γινομένοις τοῦ ἐπὶ πᾶσι θεοῦ; ἔφορον δ' οὖν τῶν πραττομένων παρεκάλει τὸν πατέρα καὶ πάρεδρον, ὡς ἂν δεξιὸν ἀλείπτην, αὐτῷ συμπαρεῖναι, ταύτῃ μάλιστα ὅτε μηδ' ὑπῆρχεν αὐτῷ βοηθὸς ἕτερος ἢ μόνος εἷς ὁ βραβευτὴς τῶν γινομένων. 73. διό
c φησιν εὐχόμενος "μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν." ὁρῶν δὲ ἐνθέοις ὄμμασιν ἔτι ἐπὶ τοῦ ἰκρίου προσηρτημένου αὐτῷ τοῦ σώματος τὰς ἔξωθεν ἀμφὶ τὸν ἀέρα τοῦτον ἀσάρκους καὶ ἀνθρώποις ἀοράτους δυνάμεις δίκην οἰωνῶν ὠμοβόρων καὶ τρόπον θηρίων περὶ αὐτὸν ἰλυσπωμένας, καὶ πρὸς τὸ μέλλον ὅσον οὔπω νεκρὸν ἔσεσθαι αὐτοῦ τὸ σῶμα, πανταχόθεν τε συρρεούσας τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦν-
d τος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, καὶ ἔτι τοὺς ἀμφὶ τὴν γῆν διιπταμένους καθ' ὅλης τῆς τῶν ἀνθρώπων οἰκουμένης δαίμονας, εἰκὸς δ' ὅτι καὶ τοὺς ὑποχθο-

νίους ἤδη καὶ τοὺς ἐν αὐτῷ ταρτάρῳ θῆρας ἀγρίους καὶ φοβερούς, περὶ ὧν Ἡσαΐας πρὸς τὸν ἐκπεπτωκότα τοῦ οὐρανοῦ ἑωσφόρον ἀποτεινόμενος ἔλεγεν "ὁ Ἅιδης κάτωθεν ἐπικράνθη συναντήσας σοι, συνηγέρθησάν σοι πάντες οἱ γίγαντες," ταῦτα δὴ οὖν ἅπαντα συνορῶν ἔξωθεν τὸ ἀνεσκολοπισμένον σῶμα κυκλοῦντα καὶ παρασκευαζόμενα κατ' αὐτοῦ, τὸ σύστημα αὐτῶν διαγράφει φάσκων "περιεκύκλωσάν με μόσχοι πολλοί, [314] ταῦροι πίονες περιέσχον με. ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος." 74. ψυ- (504) χὴν γάρ, ὡς εἰκός, ἀνθρωπείαν καὶ τῇ τῶν πολλῶν παραπλησίαν, πλέον δὲ οὐδὲν ἡγούμενοι εἶναι τὴν τὸ σῶμα Ἰησοῦ κατασκηνοῦσαν, ἤνοιξαν τὸ στόμα οἱ προειρημένοι, ὡς ὁμοίως ταῖς ἄλλαις τῶν ἀνθρώπων ψυχαῖς καὶ αὐτὴν καταπιούμενοι. διό φησιν "ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος." 75. οἷς ἑξῆς ἐπιλέγει "ὡσεὶ ὕδωρ ἐξεχύθην." ὅπερ αἰσθητῶς μὲν καὶ κατὰ τὴν ἱστορίαν εἴποι ἄν τις πεπληρῶσθαι, ὅτε εἷς τῶν στρατιωτῶν, κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην "τοῦ ἀμνοῦ τοῦ θεοῦ λόγχῃ τὴν πλευρὰν ἔνυξε, καὶ ἐξῆλθεν εὐθὺς ὕδωρ καὶ b αἷμα." 76. πλὴν ἀλλὰ καὶ τὴν ὅλην τῆς πνευματικῆς φύσεως νέκρωσιν δηλοῦν ἔοικε δι' ὧν φησιν "ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου." 77. τί γὰρ ἂν ἄλλο ταῦτα πάντα σημαίνοι ἢ νεκροῦ σώματος σύστασιν; ἐπιφέρει γοῦν εὐθὺς λέγων c "καὶ εἰς χοῦν θανάτου κατήγαγές με." ταῦτα μὲν

3 Es. 14. 9. 20 Jo. 19, 34.

οὔπω γενόμενα προβλέπων, ὡς ἐγγὺς δὲ καὶ πλησίον ἤδη ἑστῶτα καὶ περικυκλοῦντα αὐτὸν, ἔλεγεν. 78. αὖθις δὲ ἐπαναλαβὼν τὰ ἤδη προπεπραγμένα εἰς τὴν τῶν μελλόντων συμβήσεσθαι παραμυθίαν, οἷα ὑπέμεινεν ἐπιβουλευθεὶς διδάσκει λέγων "ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με·" διὰ τούτων, ὡς εἰκὸς, δηλῶν ὁμοῦ μὲν καὶ τοὺς στρατιώτας, ὁμοῦ δὲ καὶ τοὺς ἐκ περιτομῆς ἐπαναστάντας αὐτῷ. οἱ μὲν γὰρ στρατιῶται τοῦ Πιλάτου παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνή-
d γαγον ὅλην τὴν σπεῖραν ἐπ' αὐτὸν, καὶ ἐκδύσαντες αὐτὸν χλαμύδα κοκκίνην περιέθηκαν αὐτῷ, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες, χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. 79. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι," μονονουχὶ ἔργῳ πληροῦντες τὸ "ὅτι ἐκύκλωσάν με κύνες
(505) πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με·" ἀλλὰ καὶ τὸ "ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου," καὶ ἔτι τὸ "αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με," καὶ τὸ "διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον" αὖθις ἐπληροῦτο, ὅτε ἥλοις αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας τῷ σταυρῷ κατέπειραν, καὶ ὁπηνίκα τὰ ἱμάτια αὐτοῦ λαβόντες διεμερίσαντο ἑαυτοῖς. 80. ὁ γοῦν Ἰωάννης ἱστορεῖ λέγων "οἱ οὖν στρα-

—

5 Matth. 27, 27. 30 Jo. 19, 23.

τιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμά-
τια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρα- b
τιώτῃ μέρος. τὸν χιτῶνα δὲ, ὅτι ἄρραφος ἦν, ἐκ τῶν
ἄνωθεν ὑφαντὸς δι' ὅλου, εἶπον πρὸς ἀλλήλους, μὴ
σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος
ἔσται, ἵνα πληρωθῇ ἡ γραφὴ ἡ λέγουσα, διεμερί-
σαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν
μου ἔβαλον κλῆρον." οἱ μὲν οὖν στρατιῶται ταῦτα
ἐποίουν. 81. καὶ ὁ Ματθαῖος δὲ τοῖς γεγενημένοις
τοῦτον τὸν τρόπον μαρτυρεῖ λέγων "σταυρώσαντες δὲ
αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βαλόντες κλῆ-
ρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, διε-
μερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν c
μου ἔβαλον κλῆρον, καὶ καθήμενοι ἐτήρουν αὐτόν." [315]
82. κύνες δὲ ἦσαν κυκλοῦντες αὐτὸν καὶ συναγωγὴ
πονηρευομένων, οἱ ἐκ περιτομῆς ἄρχοντες τῶν Ἰου-
δαίων, οἵ τε γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ
Φαρισαῖοι, οἱ καὶ τὸ πᾶν ἀνασείσαντες πλῆθος ἐξαι-
τήσασθαι τὸ αἷμα αὐτοῦ καθ' ἑαυτῶν καὶ κατὰ τῶν
ἰδίων τέκνων. 83. σαφῶς γοῦν ὁ Ἡσαΐας κύνας αὐ-
τοὺς ἀποκαλεῖ φάσκων "πάντες κύνες ἐνεοί, οὐ δυνά-
μενοι ὑλακτεῖν." δέον γὰρ αὐτοὺς, εἰ καὶ μὴ ποι-
μένων τρόπον ἀνειλήφεσαν, ἀλλὰ δίκην γοῦν ἀγαθῶν d
κυνῶν τὴν τοῦ δεσπότου λογικὴν ποίμνην καὶ τὰ πρό-
βατα τοῦ οἴκου Ἰσραὴλ φυλάττοντας ἐπιστημονικῶς
ὑλακτεῖν, σαίνοντας μὲν καὶ ἐπιγινώσκοντας τὸν ἑαυ-
τῶν δεσπότην καὶ ἀρχιποίμενα, πάσῃ τε φυλακῇ τὴν
πεπιστευμένην αὐτοῖς ποίμνην φρουροῦντας, ὑλακτεῖν
δὲ, εἰ ἄρα, κατὰ τῶν ἔξωθεν ἐπιβουλευόντων τῇ ποί-
μνῃ· οἱ δὲ κυνῶν τρόπον ἐνεῶν ὡς ἀληθῶς καὶ

10 Matth. 27, 35. 21 Es. 56, 10.

μεμηνότων τοὺς ὑλαγμοὺς ἔφερον, τὰ πρόβατα τοῦ ποιμένος ἐξαγριοῦντες, ὥστε εἰκότως αὐτοῖς ἁρμόζειν τὸ "περιεκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονη-
(506) ρευομένων περιέσχον με." 84. καὶ πάντες δὲ οἱ εἰς δεῦρο τὸν ὅμοιον τρόπον ἐκείνοις διαπραττόμενοι ἐν τῷ βλασφημεῖν καὶ ὑλακτεῖν τὸν Χριστὸν τοῦ θεοῦ οὐκ ἂν ἀλλότριοι ἐκείνων λογισθεῖεν· ἀλλὰ καὶ οἱ δίκην τῶν τότε ἀσεβούντων στρατιωτῶν ἀνασταυροῦντες τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντες οὐκ ἂν τῆς ἐκείνων μακρὰν γένοιντο διαθέσεως. 85. πάντες οὖν εἰσέτι καὶ νῦν οἱ τὸ σῶμα τοῦ Χριστοῦ, τουτέστι τὴν ἐκκλησίαν, λωβώμενοι, χεῖρας αὐτοῦ καὶ πόδας καὶ προσέτι τὰ ὀστέα διαχειρίζονται, εἴ γε πάντες "ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη,
b καὶ οὐκ ἂν εἴποι ἡ κεφαλὴ τοῖς ποσὶ, χρείαν ὑμῶν οὐκ ἔχω, ὡς οὐδὲ ταῖς χερσὶν οἱ ὀφθαλμοί." 86. κατὰ γοῦν τοὺς καιροὺς τῶν διωγμῶν εἴ ποτέ τινα κατὰ τῶν μελῶν τοῦ Χριστοῦ πρὸς τῶν ἐχθρῶν καὶ πολεμίων ἐνεργοῖτο, εἴποι ἂν καὶ περὶ αὐτὸν οὐκ ἀκαίρως τὸ "ὤρυξαν χεῖράς μου, καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με." 87. τότε δὲ καὶ διαμερίζονται τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ βάλλουσι κλῆρον, ὅτε τὸν τοῦ λόγου κόσμον, ἤτοι τὰς λέξεις τῶν θείων γραφῶν, ἄλλοτε ἄλλως ἕκαστος διαφθείρων ἐπισπᾶται, καὶ ὅτε τὰς περὶ αὐτοῦ δόξας δια-
c στρόφοις διδασκαλίαις ἀπολαμβάνουσιν, ὁποῖα σύνηθες τοῖς ἀθέοις αἱρεσιώταις ποιεῖν. ἐπὶ πᾶσι τούτοις πρὸς τὸν ἑαυτοῦ θεὸν καὶ κύριον καὶ πατέρα τὴν εὐχὴν ἀποτείνας ἐπιφέρει λέγων "σὺ δὲ, κύριε, μὴ

13 Rom. 12, 5. 15 1. Cor. 12, 21.

μακρύνης τὴν βοήθειάν μου." 88. ὡς γὰρ εἰς βραχὺ καταλειφθεὶς πρὸς τὴν τοῦ ἀγῶνος ἐπίδειξιν, καὶ μόνος δίχα βοηθοῦ πρὸς τὸν θάνατον ἀποδυσάμενος, εὖ εἰδὼς τὴν βοήθειαν τὴν παρὰ τοῦ πατρὸς οὐκ ἄλλως αὐτῷ γενήσεσθαι ἢ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, εἰκότως ἐπὶ τοῦ παρόντος εὔχεται διεξόδου τυχεῖν τῆς τῶν ἀντιπάλων παρατάξεως. διό φησι "σὺ δὲ, κύριε, μὴ μακρύνης τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν d μου πρόσσχες." 89. διὰ γὰρ τῆς σῆς βοηθείας ἡ ἀντίληψίς μοι γενήσεται, δι' ἣν ἀντίληψιν ὁ πᾶς εἰκότως προγέγραπται Ψαλμὸς ὑπὲρ τῆς ἑωθινῆς ἀντιλήψεως. εἰς τὴν ἀντίληψιν τοιγαροῦν πρόσσχες, παρέχων μοι τὴν ὅσον οὔπω κατὰ τὴν ἕω τῆς ἐκ νεκρῶν ἀναστάσεως ἀντίληψιν, ἧς ἐλπίζω τεύξεσθαι, ἐπὰν μὴ μακρύνας μου αὐτὴν "ῥύσῃ ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· ἐπὰν σώσῃς με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου." 90. δι' (507) ὧν ἡγοῦμαι αὐτὸν τὰς καταχθονίους αἰνίττεσθαι δυνάμεις, ὧν οὐ καθ' ἡμᾶς ἂν εἴη κατ' εἶδος διαστείλασθαι καὶ διελεῖν, ὅπως ἡ μέν τις αὐτῶν ῥομφαία [316] οὖσα ἀνετείνετο κατὰ τῆς ψυχῆς τοῦ σωτῆρος ἡμῶν, ἡ δέ τις κύων οὖσα θανάτῳ τὴν θανατηφόρον χεῖρα προυβάλλετο, εἰς τὸ καθάψασθαι αὐτῆς. 91. διό φησι "ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου." ἄλλη δέ τις πονηρὰ καὶ τῶν ἐκεῖσε θηρίων ἡγουμένη δύναμις, λέων προσαγορευομένη, τὸ πλατὺ καὶ ἀχανὲς τοῦ θανάτου στόμα b διανοίξασα, μετὰ τῶν ἄλλων τῶν εἰς Ἅιδου κατιόντων καὶ τὴν αὐτοῦ ψυχὴν καταπιεῖν ὥρμητο, ὥσπερ οὖν πάλαι πρότερον κατέπιεν ὁ θάνατος ἰσχύσας, οὐχ ἕτερος ὢν τοῦ ἐνταῦθα λέοντος τοῦ τὸ στόμα κατὰ τοῦ

*σωτῆρος ἡμῶν ἀνοίξαντος, ἀφ' οὗ καὶ αὐτοῦ σωθῆ-
ναι τὸν πατέρα παρακαλεῖ λέγων "σῶσόν με ἐκ στό-
ματος λέοντος."* 92. *εἶεν δ' ἂν καὶ ἄλλαι τινὲς πονη-
ραὶ καὶ θεόμαχοι δυνάμεις τῷ μονοκέρωτι τοῦ θεοῦ
ἀντιπράττουσαι καὶ ἀντιπαρεξάγειν αὐτὸν ἐπιχειροῦ-*
c *σαι, ἀφ' ὧν καὶ αὐτῶν ὁ τοῦ θεοῦ μονόκερως, αὐτὸς
ὁ κύριος ἡμῶν μόνον τὸν πατέρα κέρας ἔχων, τὴν
ἑαυτοῦ ταπείνωσιν ῥυσθῆναι ἀξιοῖ, λέγων "καὶ ἀπὸ κε-
ράτων μονοκερώτων τὴν ταπείνωσίν μου."* 93. *ποίαν
δὲ ταπείνωσιν ἢ ταύτην αὐτήν, καθ' ἣν "ἐν μορφῇ
θεοῦ ὑπάρχων ἐταπείνωσεν ἑαυτὸν καὶ ἐκένωσε, γε-
νόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ;"
ἀλλὰ γὰρ ἐπὶ τοσοῦτον κατελθών, καὶ μέχρι τούτου*
d *φθάσας, λέγω δὴ μέχρι τῆς ἐν τῷ Ἅιδῃ ῥομφαίας,
καὶ τῆς χειρὸς τοῦ αὐτόθι λεγομένου κυνός· (ὅθεν
καὶ παῖδας Ἑλλήνων εἰκὸς τοιοῦτόν τινα παρακού-
σαντας κύνα θανάτου, καὶ τοῦτον τρικέφαλον ἀνα-
ζωγραφεῖν·) καὶ μέχρι δὲ τῶν φαρύγγων τοῦ προδε-
δηλωμένου λέοντος ἐλθών, καὶ τὴν ταπείνωσιν αὐτοῦ
τοῖς ἀντιπάλοις καὶ θεομάχοις μονοκέρωσιν ὑποστρώ-
σας, καὶ ἐπὶ τοῦτό γε τέλος τὴν πᾶσαν οἰκονομίαν
τῆς ἑαυτοῦ κενώσεώς τε καὶ ταπεινώσεως στήσας,
κἄπειτα εὐξάμενος ἤδη λοιπὸν τυχεῖν τῆς βοηθείας
καὶ τῆς παρὰ τοῦ πατρὸς ἀντιλήψεως, ἐπιλέγει "σὺ
δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν
ἀντίληψίν μου πρόσσχες."* 94. *καὶ τοῦτ' εἰπὼν οὐκ*
(568) *εἰς μακρὸν ἐπηκόου τοῦ πατρὸς τυγχάνει, μὴ μακρυν-
θέντος, μηδὲ τὸ βραχύτατον ὑπερθεμένου, αὐτοῖς δὲ
ἔργοις μονονουχὶ φήσαντος αὐτῷ "ἔτι λαλοῦντός σου,
ἐρῶ, ἰδοὺ πάρειμι." καὶ δὴ τοῦτ' αἰσθόμενος, τῆς τε*

11 Phil. 2, 6. 29 Es. 58, 9.

πατρικῆς βοηθείας, καθάπερ ηὔξατο, τυχὼν, ἐντεῦ-
θεν λοιπὸν ἀπάρχεται τοῦ ἐπινικίου ὕμνου, ὑπὲρ τῆς
ἑωθινῆς ἀντιλήψεως τὸν Ψαλμὸν ποιούμενος, ἐν οἷς
φησι "διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου,
ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε." 95. πρώτοις μὲν
οὖν τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις ἐπαγγέλ-
λεται τὰ τῆς ἐπ' αὐτῷ χαρᾶς καὶ ἀγαλλιάσεως εὐαγ- b
γελίσεσθαι, ἀδελφοὺς αὐτοὺς ὀνομάζων· 96. οἷς ἀκό-
λουθα καὶ ὁ Ματθαῖος διδάσκει λέγων "καὶ ἰδοὺ ὁ
Ἰησοῦς ἀπήντησεν αὐταῖς, δηλονότι ταῖς ἀμφὶ τὴν
Μαγδαληνὴν Μαρίαν, λέγων, χαίρετε. αἱ δὲ προσ-
ελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσε-
κύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ Ἰησοῦς, μὴ
φοβεῖσθε, ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου,
ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψον-
ται." 97. ὁ Ἰωάννης δὲ μετὰ τὴν ἐκ νεκρῶν ἀνά- c
στασιν εἰσάγει καὶ αὐτὸς τὸν Ἰησοῦν λέγοντα πρὸς
τὴν Μαριὰμ "μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα
πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελ-
φούς μου, καὶ εἰπὲ αὐτοῖς, ἀναβαίνω πρὸς τὸν πατέρα
μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν."
98. πρώτοις μὲν οὖν τοῖς ἀποστόλοις αὐτοῦ, οὓς ἰδί-
ους ἀδελφοὺς ὀνομάζει, τὸ ὄνομα τοῦ πατρὸς διηγή-
σεσθαί φησι· μετὰ δὲ ἐκείνους, τάξει καὶ ἀκολουθίᾳ
τὴν καθ' ὅλης τῆς οἰκουμένης ἐπὶ τῷ ὀνόματι αὐτοῦ
συστᾶσαν ἐκκλησίαν διδάξειν τὸν πατρικὸν ὕμνον [317]
ἐπαγγέλλεται. 99. ὥσπερ γὰρ εἴ τις ἐν μέσῳ μαθη- d
τῶν διεξοδεύοι λόγους ἐπὶ σοφίᾳ διαπρέπων διδά-
σκαλος ὑπὲρ τοῦ κἀκείνους ἀκούσαντας προσυπακοῦ-
σαι, τὸν αὐτὸν τρόπον καὶ αὐτὸς ἐν μέσῳ ἐκκλησίας,

9 Matth. 28, 9. 18 Jo. 20, 17.

φησὶν, ὑμνήσω σε, ὑπὲρ τοῦ μαθοῦσαν τὴν ἐκκλησίαν καὶ ἀκούσασαν παρ' αὐτοῦ, ὃν προσήκει τρόπον, μηκέθ' ὡς τὸ πρὶν τοὺς δαίμονας, ἀλλ' αὐτὸν μόνον τὸν πάντων θεὸν διὰ τοῦ καταγγείλαντος αὐτὸν ἀνυμνεῖν. 100. ταῦτα πράξειν ὑποσχόμενος σφόδρα ἀκολούθως ἐντεῦθεν ἤδη προστάττει τῇ ἐκκλησίᾳ καὶ τοῖς αὐτοῦ ἀδελφοῖς ὑμνεῖν τὸν πατέρα. διό φησιν "οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτὸν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν. 101. καὶ φοβηθήτωσαν ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραὴλ, ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτω-
(509) χοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου." δι' ὧν σαφῶς παρέστησε τῶν προωνομασμένων κακῶν τὴν ἀπαλλαγήν. 102. εἰ γὰρ ἐν τῷ κεκραγέναι πρὸς αὐτὸν εἰσήκουσεν αὐτοῦ, ηὔξατο δὲ ῥυσθῆναι ἀπὸ μὲν ῥομφαίας τὴν ψυχὴν αὐτοῦ, ἐκ δὲ κυνὸς τὴν μονογενῆ αὐτοῦ, καὶ ἔτι ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσιν αὐτοῦ, ἀκόλουθόν ἐστι νοεῖν τούτων ἀπαλλαγὴν εὑρέσθαι τὸν
b φήσαντα "ὅτι μὴ προσώχθισεν ὁ θεὸς τῇ δεήσει αὐτοῦ, μηδὲ τὸ πρόσωπον ἀπέστρεψεν ἀπ' αὐτοῦ, ἀλλ' ἐν τῷ κεκραγέναι εἰσήκουσεν αὐτοῦ." 103. διὸ καὶ ὑπῆρξεν αὐτῷ ῥυσθέντι τῶν τοσούτων καὶ ἐκ τοῦ θανάτου διαφυγόντι συνδιατρίβειν τοῖς ἑαυτοῦ μαθηταῖς ὁμοῦ καὶ ἀδελφοῖς, καὶ ὑμνεῖν ἐν μέσῳ ἐκκλησίας τὸν πατέρα. τήρει δὲ πάλιν ὡς πτωχὸν αὖθις ἑαυτὸν ἀποκαλεῖ, συμφώνως ταῖς πρότερον παρατεθείσαις προφητείαις, δι' ὧν πένης καὶ πτωχὸς ὠνομάζετο. 104. ἀλλ' ἐπεὶ καὶ τὴν ἀνάστασιν αὐτοῦ διὰ τούτων παρέστησεν, αὖθις πρὸς τὸν πατέρα ἐπιστρέ-
c φων τὸν λόγον, παρὰ σοῦ, φησὶν, ὁ ἔπαινός μου ἐν

ἐκκλησίᾳ μεγάλῃ, τῆς ἐπ' ὀνόματι αὐτοῦ συστάσης ἐξ ἐθνῶν καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησίας μνημονεύων, ἐν ᾗ ὁ περὶ τοῦ σωτῆρος ἡμῶν ἔπαινος διὰ παντὸς ᾄδεται, νεύματι τοῦ πατρὸς αὐτοῦ καὶ συνεργίᾳ. 105. διό φησι "παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ." μεγάλη γὰρ ὡς ἀληθῶς ἡ ἐκκλησία αὕτη ἐκ παντὸς γένους ἀνθρώπων συγκεκροτημένη, οὐδὲ συγκρίνεσθαι διὰ τὸ σεμνὸν καὶ ὑπερφυὲς τοῦ βίου καὶ διὰ τὸ τῶν δογμάτων μέγεθος ἀξία τῷ Ἰουδαίων d ἔθνει καὶ τῇ τῶν ἐκ περιτομῆς συναγωγῇ, πάσῃ πτωχείᾳ λόγου καὶ βίου καὶ φρονήματος καὶ τῆς ἄλλης περὶ θεοῦ δόξης ἐσμικρυμμένῃ. 106. εἶτ' ἐπιλέγει "τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐνώπιον πάντων τῶν φοβουμένων αὐτόν," φοβουμένους αὐτὸν ἀποκαλῶν τὴν πρότερον ὀνομασθεῖσαν ἐκκλησίαν μεγάλην, οἷς ἔλεγεν "οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτόν." ποίας δὲ εὐχὰς ἀποδώσειν φησὶν ἢ ἃς ἐπηγγείλατο; ποίας δὲ ἐπηγγείλατο ἢ ἐκείνας δι' ὧν ἔφησε "διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε;" εὐχαὶ γάρ εἰσιν αἱ ἐπαγγελίαι, ἃς ἐπαγγειλάμενος δώσειν ἐν μέσῳ ἐκκλησίας διεβεβαιοῦτο. 107. τούτοις ἑξῆς ἐπιλέγει "φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν, ζήσονται αἱ καρδίαι (510) αὐτῶν εἰς αἰῶνα αἰῶνος." μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν." 108. δι' ὧν σφόδρα ἀκολούθως τὰ μετὰ τὴν ἀνάστασιν αὐτοῦ κατορθώματα ἀναφωνεῖ, ἃ καὶ πεπλήρωται διὰ τῆς ἐξ ἀπάντων [318] τῶν ἐθνῶν κλήσεως, διά τε τῆς ἐν τοῖς πέρασι

b τῆς οἰκουμένης ἀνθρώπων ἐκλογῆς, ὧν αἱ ἐκβάσεις
ὀφθαλμοῖς θεωρούμεναι πάντων ἂν γένοιντο τῶν διὰ
τοῦ Ψαλμοῦ λεγομένων παραστατικαί. 109. πένητες
δὲ πάλιν ἡμεῖς, οὓς κατὰ θεὸν πτωχεύοντας ἐκτρέ-
φων ὁ σωτήριος λόγος τῷ νοητῷ καὶ λογικῷ ἄρτῳ
ταῖς ζωοποιοῖς τῶν ψυχῶν τροφαῖς τὴν αἰώνιον ἡμῖν
παρέχει ζωήν. διό φησιν ὁ Ψαλμὸς "φάγονται πένη-
τες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ
ἐκζητοῦντες αὐτὸν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς
αἰῶνα αἰῶνος." 110. καὶ ὁ ἐπίλογος δὲ τῆς ὅλης
c προφητείας μετὰ πάντα ἐπιφέρων "ἀναγγελήσεται
τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν
δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν
ὁ κύριος ἄντικρυς τὸν ἐξ ἐθνῶν προθεσπίζει λαὸν,
καὶ τὴν διὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συστᾶ-
σαν ἐπὶ τῆς γῆς γενεάν. 111. τίς γὰρ ἂν εἴη ὁ μετὰ
ταῦτα τεχθήσεσθαι λεγόμενος τῷ θεῷ λαὸς, πάλαι
μὴ ὢν, μηδ' ὑφεστὼς ἐν ἀνθρώποις, ὕστερον δὲ γε-
γονώς; τίς τε ἡ μὴ οὖσα τότε, λεγομένη δὲ ἐλεύσεσθαι
γενεὰ, εἰ μὴ αὕτη ἡ διὰ τοῦ σωτῆρος ἡμῶν ἐν παντὶ
d τῷ κόσμῳ συστᾶσα ἐκκλησία, καὶ ὁ νέος ἐξ ἐθνῶν
λαὸς, ἐφ' ᾧ καὶ διὰ Ἡσαΐου τὸ πνεῦμα τὸ ἅγιον
θαυμαστικῶς ἀπεφθέγξατο φῆσαν "τίς ἤκουσε τοι-
αῦτα, καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ
μιᾷ, καὶ εἰ ἐτέχθη ἔθνος εἰσάπαξ."

112. Ταῦτα μὲν οὖν ἡμεῖς ἐφ' ἕτερα συνελαύ-
νοντος τοῦ καιροῦ διαδραμόντες ἀκροθιγῶς διεξήλ-
θομεν· ὅτῳ δ' ἂν μέλοι τῆς τοῦ σωτῆρος ἡμῶν παρα-
κελεύσεως, φήσαντος, ἐρευνᾶτε τὰς γραφὰς ἐν αἷς
δοκεῖτε ζωὴν αἰώνιον ἔχειν, καὶ αὗταί εἰσιν αἱ μαρ-

21 Es. 66, 8. 28 φήσαντος — ἀληθείας] Haec ex codice Fabricii accesserunt. Io. 5, 39.

τυροῦσαι περὶ ἐμοῦ, ἑκάστῃ λέξει τοῦ Ψαλμοῦ τὸν νοῦν ἐμβαθύνας, τὴν ἀκριβῆ διάνοιαν θηρεῦσαι ἂν τῆς ἐν τοῖς εἰρημένοις ἀληθείας.

Fragmentum libri XV. editum ab A. Maio in Scriptorum veterum nova Collectione Rom. 1825. *vol. I. part.* 2. *p.* 173. *ex commentario ad Danielem* 2, 31.

Ἀναγκαῖον ἐλογισάμην Εὐσεβίου τοῦ Καισαρείας τοῦ ἐπίκλην Παμφίλου παραθέσθαι φωνὰς εἰρημένας ἐν πεντεκαιδεκάτῳ τόμῳ τῆς Εὐαγγελικῆς Ἀποδείξεως· οὗτος γὰρ πᾶσαν ἐκθέμενος τὴν ὅρασιν οὕτως φησί· "Ἡγοῦμαι ταῦτα μηδὲν διαφέρειν τῆς τοῦ προφήτου θεωρίας· ὡς γὰρ ὁ προφήτης θάλασσαν ἑώρα μεγάλην, οὕτως ὁ βασιλεὺς εἰκόνα πολλήν· καὶ πάλιν ὡς ὁ προφήτης ἑώρα δ' θηρία, ἅπερ ἑρμηνεύων μετέβαλεν εἰς δ' βασιλείας, οὕτως ὁ βασιλεὺς τὰς διὰ τοῦ χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ καὶ σιδήρου τέσσαρας βασιλείας ᾐνίττετο· καὶ αὖθις ὡς ὁ προφήτης τῶν τοῦ ὑστάτου θηρίου κεράτων δέκα διαίρεσιν ἑώρα, καὶ τρία κέρατα ὑφ' ἑνὸς συντριβόμενα, καὶ ὁ βασιλεὺς ὡσαύτως ἐπὶ τῶν τελευταίων τῆς εἰκόνος μέρος τι σιδηροῦν καὶ μέρος ὀστράκινον ἐθεώρει· καὶ ἐπὶ τούτοις ὡς ὁ προφήτης μετὰ τὴν τῶν τεσσάρων βασιλειῶν ὅρασιν ἑώρα υἱὸν ἀνθρώπου τὴν κατὰ πάντων ἀρχὴν καὶ ἐξουσίαν καὶ βασιλείαν παρειληφότα, οὕτως καὶ ὁ βασιλεὺς λίθον συντρίβοντα τὴν εἰκόνα πᾶσαν καὶ γινόμενον εἰς ὄρος μέγα καὶ πληροῦν θάλασσαν ἐδόκει ὁρᾶν· καὶ εἰκότως· ἔπρεπε γὰρ τῷ

μὲν ἠπατημένῳ περὶ τὴν τοῦ βίου φαντασίαν βασιλεῖ καὶ τὴν τῶν αἰσθητῶν οἷα χρωμάτων ὡραιότητα ἐπὶ γραφῆς ἀνακειμένης θαυμάζοντι εἰκόνι μεγάλῃ τὸν πάντων ἀνθρώπων ἀπεικάζειν βίον, τὸν δὲ προφήτην τὸν πολὺν καὶ μέγαν σάλον τοῦ βίου μεγάλῃ θαλάσσῃ παραβάλλειν· καὶ τῷ μὲν βασιλεῖ τὰς παρὰ ἀνθρώποις πολυτελεῖς γενομένας ὕλας χρυσοῦ καὶ ἀργύρου χαλκοῦ τε καὶ σιδήρου θαυμάζοντι τὰς κατὰ χρόνους ἐν τῷ βίῳ τῶν ἀνθρώπων ἐπικρατεῖς βασιλείας ταύταις ἀφομοιοῦν ταῖς ὕλαις, τῷ δὲ προφήτῃ ἐν μορφαῖς θηρίων τὰς αὐτὰς βασιλείας καταλλήλως τῷ τῆς ἀρχῆς τρόπῳ διαγράφεσθαι· καὶ πάλιν τῷ μὲν βασιλεῖ μέγα ὡς εἰκὸς ἐφ᾽ ἑαυτῷ φρονοῦντι καὶ ἀλαζονευομένῳ ἐπὶ τῇ τῶν προγόνων βασιλείᾳ ἡ τῶν πραγμάτων μεταβολὴ δείκνυται, καὶ τῶν ἐπὶ γῆς βασιλειῶν τὸ τέλος, εἰς καθαίρεσιν τοῦ ἐν αὐτῷ τύφου, καὶ εἰς τὸ μηδὲν ἡγεῖσθαι βέβαιον τὸ ἐν ἀνθρώποις, ἢ μόνον τὸ ἐπὶ πάντων τέλος τῆς τοῦ θεοῦ βασιλείας· ἔσεσθαι γὰρ μετὰ τὴν πρώτην Ἀσσυρίων ἀρχήν, ἣν ὁ χρυσὸς ᾐνίξατο, δευτέραν τὴν τῶν Περσῶν, τὴν διὰ τοῦ ἀργύρου δεδηλωμένην· ἔπειτα τρίτην τὴν Μακεδόνων, ἣν ὁ χαλκὸς ἐσήμανε· μεθ᾽ ἣν τετάρτην διαδέξασθαι τῶν Ῥωμαίων, κραταιοτέραν οὖσαν τῶν πρὸ αὐτῆς, διὸ καὶ σιδήρῳ παρεβάλλετο· εἴρητο γοῦν καὶ περὶ αὐτῆς, καὶ βασιλεία τετάρτη ἔσται ἰσχυρὰ ὡς σίδηρος· ὃν τρόπον ὁ σίδηρος λεπτύνει καὶ δαμάζει πάντα, οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει· καὶ μετὰ τὰς εἰρημένας ἁπάσας τὴν τοῦ θεοῦ βασιλείαν διὰ τοῦ συντρίβοντος τὴν πᾶσαν εἰκόνα λίθου παριστάμενην· καὶ ὁ προφήτης τούτων ἀκολούθως τὴν ἐπὶ τέλει τοῦ τῶν ὅλων θεοῦ βασιλείαν οὐ πρότερον θεωρεῖ ἢ τὰς εἰρημένας

τέσσαρας δυναστείας διαγράψαι τὸν λόγον διὰ τῶν τεσσάρων θηρίων· τούτων δὲ τῶν τεσσάρων βασιλειῶν μόνων καὶ οὐδὲ ἑτέρων ἡγοῦμαι τὰς ὁράσεις καὶ τῷ βασιλεῖ καὶ τῷ προφήτῃ δεδεῖχθαι διὰ τὸ ταύταις καταδουλωθῆναι τὸ Ἰουδαίων ἔθνος ἀπὸ τῶν τοῦ προφήτου χρόνων."

INDEX SCRIPTORUM.

Africanus libro quinto Chronographiae 389 a.

Apollonius Tyanensis 105 b.

Aquila 46 c. 69 c. 75 d. 76 c. 82 a. 189 c. 191 d. 226 b. 240 b. 244 d. 276 d. 277 c. 278 a. 279 c. 299 d. 301 b. 304 b. 316 b. 318 d. 322 b. 337 a. b. 349 c. 370 b. 372 a. 378 d. 383 c. 384 c. 385 b. d. 386 c. d. 387 d. 399 d. 406 c. 410 a. b. 421 a. 436 d. 451 a. 466 d. 469 c. 472 a. 479 d. 480 c. 481 c. 482 b. 483 b. 490 d. 492 c. 494 d. 496 b.

Josephus Ant. J. (IX. 10, 4) 285 b. (XI. 4, 7) 392 d. (XI. 8, 5) 393 b. (XIII. 11, 1) 394 a. (XVIII. 2, 2) 399 a. (3, 1) 402 a. (3, 3) 124 b. (4, 3) 398 a. (5, 2) 431 a. (XX. 10, 3) 394 a. (10, 5) 397 d.

B. J. (II. 92) 402 d. (VI. 5, 3) 402 d.

Oraculum 104 a. 134 b.

Philo Jud. (Leg. ad Caium s. 38. p. 589. 590) 403 a.

Plato 236. (Tim. p. 28) 129 d.

Porphyrius (De Abst. II, 34) 105 a. (*περὶ τῆς ἐκ λογίων φιλοσοφίας*) 134 a.

Symmachus 191 d. 226 c. 245 a. 279 d. 292 d. 299 d. 301 b. 304 b. c. 316 b. 318 d. 322 b. 337 a. b. 349 c. 372 a. 378 d. 383 c. 421 a. 436 d. 451 a. 466 b. d. 469 a. 469 c. d. 470 d. 472 a. 479 d. 480 c. 482 b. 483 b. 492 c. 496 b.

Theodotion 46 b. 69 c. 76 c. 82 a. 226 a. 279 d. 280 c. 301 b. 316 d. 318 d. 337 c. 349 c. 370 b. 483 b.

INDEX LOCORUM S. SCRIPTURAE.

Genesis 1, 11 36 a.
— 26 155 c. 232 c.
— 27 155 c. 232 c.
— 28 425 a.
2, 18 232 c.
4, 3 34 d.
5, 22 12 ed. Fabr. 33 a.
— 24 12 ed. Fabr.
6, 9 12 ed. Fabr.
9, 3 36 b.
9, 26 12 ed. Fabr.
— 27 12 ed. Fabr.
12, 13 ed. Fabr.
— 1 15 ed. Fabr.
— 2 366 d.
— 7 233 c.
— 17 175 c.
14, 18 223 d.
— 19 10 a.
14, 22 13 ed. Fabr. 10 a.
15, 6 14 b.
— 16 384 d.
17, 1 233 c.
18, 1 233 d.
— 17 15 ed. Fabr. 45 a. 233 d.
— 18 366 d.
— 23 234 a.
19, 23 232 d.
20, 3 175 c.
— 7 175 d.
26, 3 45 d.
— 4 13 c. 366 d.
28, 10 11 a. 235 b.
— 13 367 a.
31, 11 11 b. 235 d.
32, 1 237 d.
— 2 237 d.
Genesis 32, 22 236 c.
35, 1 238 d.
— 2 13 ed. Fabr.
35, 11 46 a. 367 a.
— 19 347 c.
42, 4 11 d.
48, 7 347 c.
49, 1 366 b.
— 8 360 a.
— 9 425 c.
— 10 6 d. 50 c. 95 c. 332 d.
— 11 379 b.
Exodus 3, 1 239 c.
— 4 246 a.
— 14 145 d.
8. 19 93 d.
13, 21 241 b.
14, 19 238 a.
— 21 92 c.
16, 4 92 b.
19, 9 241 b.
20, 2 242 d.
— 19 444 d.
23, 17 18 ed. Fabr.
— 20 242 a.
— 30 195 b.
24, 9 245 a.
25, 40 172 d.
31, 18 93 c.
32, 7 383 a.
— 44 242 b.
33, 1 242 b.
33. 9 241 b.
— 17 243 b.
— 20 237 a.
34, 5 243 c.
— 23 18 ed. Fabr.
— 28 92 a.
— 29 93 a.

Levitic.	3,	1	35 d.
	4,	28	3 c.
	5,	1 et 2	4 a.
	5,	6	19 ed. Fabr.
	—	15	4 c.
	6,	2	4 d.
	12,	1	19 ed. Fabr.
	17,	11	35 c.
	18,	2	162 a.
	—	24	162 b.
	19,	2	388 b.
	21,	12	349 c.
Numer.	2,	1	367 d.
	7,	11	367 d.
	11,	16	93 d.
	12,	5	241 b.
	—	10	93 b.
	13,	17	195 b.
	14,	14	244 d.
	19,	2	21 ed. Fabr.
	—	10	19 ed. Fabr.
	24,	3	423 b.
	—	5	6 c.
	—	7	20 d. 95 a.
	—	8	428 a.
	—	9	45 d.
	24,	15	417 c.
Deuter.	4,	19	157 d.
	5,	1	13 d.
	—	13	21 d.
	—	17	21 d. 94 a.
	—	27	444 d.
	12,	11	21 ed. Fabr.
	—	26	1 a.
	14,	22	1 a.
	—	24	2 a.
	15,	19	2 b.
	16,	1	2 c.
	—	5	2 d.
	—	9	2 d.
	—	13	3 a.
	16,	16	18 ed. Fabr.
	18,	9	162 b.
	—	15	26 c. 28 d. 90 c. 443 b.
	—	17	444 d.
	—	18	6 c. 28 d. 90 b. 94 c.
Deuter.	18,	19	28 d. 445 d.
	19,	15	117 b.
	22,	19	317 a.
	27,	26	18 ed. Fabr. 3 b. 5 c. 18 a.
	32,	7	156 b.
	—	9	60 c.
	—	21	79 d. 340 b.
	32,	43	46 b. 59 d.
	34,	1	443 d.
	—	10	94 d.
Jos.	5,	13	245 d.
	—	14	164 d.
	15.		368 a.
Judic.	1,	1	368 a.
1. Reg.	2,	10	191 a.
	—	31	191 c.
2. Reg.	7,	12	269 c.
	—	14	352 d.
	—	22	268 c.
3. Reg.	8,	27	269 b.
	11,	1	331 d.
1. Par.	16,	4	464 b.
	17,	11	350 d.
2. Par.	6,	17	269 a.
	26,	19	291 b.
Neem.	12,	10	393 b.
Job	1,	21	10 c.
	9,	4	10 c.
	—	7	446 a.
	29,	12	14 d.
	30,	25	15 a.
	31,	5	15 b.
	—	7	15 c.
	—	9	15 c.
	—	11	15 c.
	—	13	15 d.
	—	14	15 d.
	—	16	15 d.
	—	24	15 d.
	—	26	16 a.
	—	29	16 a.
	—	32	16 b.
	—	33	16 b.
	38,	1	247 b.
	—	16	447 a.
	42,	4	247 d.
Psalm.	2,	1	49 c. 182 c.

Psalm. 2, 2 100 b. 359 c.
— 7 162 d. 259 d.
— 8 60 c. 419 a. 444 a.
9, 13 101 b.
— 20 7 c. 91 c. 445 d.
16, 10 101 b.
17, 9 258 a.
18, 1 495 b.
— 8 267 a.
19, 1 184 c.
— 3 184 d.
— 4 69 a.
— 5 184 b.
21, 1 489 b.
— 12 473 d.
— 22 376 d.
— 27 46 c.
22, 5 39 a.
— 18 338 d.
23, 7 260 b.
— 9 311 d.
27, 8 185 b.
30, 3 101 b.
32, 6 228 d.
40, 1 38 c. 463 c. 477 c.
40, 6 38 d. 380 d.
44, 1 179 a.
— 6 174 d. 192 c. 310 c.
— 7 217 d.
45, 6 271 b.
46, 1 46 d. 259 a.
— 4 432 a.
47, 8 60 a.
— 9 60 a.
49, 1 261 b.
50, 14 39 d.
— 17 40 b.
51, 17 39 d.
52, 8 288 a.
54, 1 471 a.
66, 1 446 d.
67, 11 100 c. 191 b.
— 24 441 a.
68, 11 69 c. 89 c.
69, 2 447 a.
Psalm. 71, 1 49 d. 353 d. 449 b.
71, 7 410 b.
— 8 97 b. 376 b. 458 c.
— 9 228 b.
71, 41 97 b.
— 17 97 b.
72, 7 345 b. 386 b.
— 8 360 c.
— 11 60 d.
— 17 60 d.
73, 1 464 b.
74, 13 447 a.
78, 1 464 d.
83, 7 262 b.
— 9 185 d.
85, 8 47 a.
88, 3 269 d.
— 4 351 a.
— 24 191 c.
— 26 97 b. 269 d. 351 a. 376 c.
— 29 351 b.
— 35 351 b.
— 36 269 d.
— 38 187 a.
89, 25 338 b.
— 27 352 d.
— 35 338 b.
— 38 338 d.
90, 1 433 a.
— 9 248 d.
95, 1 7 c. 47 b. 262 d.
96, 7 60 a.
— 10 160 a.
97, 1 50 a. 263 c.
— 2 61 a.
98, 1 7 d.
103, 15 173 b.
104, 5 175 a. 311 c.
— 15 218 a.
105, 12 12 a.
— 15 189 d.
106, 8 264 c.
— 20 228 d.
— 28 418 d.
108, 1 474 c.

Psalm. 108, 16 477 c.
109, 1 219 d.
— 1 176 c. 310 c.
— 3 183 d.
110, 1 271 b.
116, 1 265 d.
— 22 459 a.
118, 22 27 d.
— 25 266 a.
123, 4 224 c.
125, 2 280 d.
131, 1 269 a. 346 c.
— 3 436 b.
— 11 97 a. 187 c. 351 b.
140, 2 40 b.
141, 2 39 d.
143, 3 266 d.
147, 15 228 d.
— 12 267 d.
148, 1 229 d.
Proverb. 8, 12 211 d.
— 22 10 a.
— 25 183 d. 216 d.
— 27 216 d.
Cant. Cant 1, 2 194 c. 216 a.
Esai. 1, 3 63 d.
— 7 63 c.
— 8 56 b.
— 9 286 d.
— 10 65 b.
— 11 192 b. 432 b.
— 15 65 c.
— 21 56 b.
— 30 56 b. 66 b.
2, 1 56 c. 66 c. 274 b.
— 3 8 c.
— 4 458 c.
3, 1 67 d.
— 8 68 b.
— 9 65 c.
— 12 440 c.
4, 2 65 d. 68 d.
5, 1 287 c.
— 4 287 d. 325 a.
6, 1 309 d. 454 a.
— 9 69 c. 328 c. 404 a.
Esai. 6, 10 70 c.
— 11 192 d.
— 13 70 d.
7, 4 330 a.
— 9 315 a.
— 14 71 b. 98 a.
— 18 320 d.
— 21 71 a.
8, 1 328 d.
— 5 332 c.
— 16 450 b.
9, 1 48 b. 336 a. 438 a.
— 3 100 c.
— 6 164 d. 236 b.
10, 13 158 d.
— 17 72 b.
— 20 73 b.
— 33 74 d. 410 d.
11, 1 51 c. 75 a. 96 b. 355 d.
— 2 473 c.
— 6 96 c.
— 9 75 b.
— 10 51 c. 74 b. 360 c.
11, 14 77 b.
13, 11 77 c.
14, 9 503 d.
— 12 159 b.
— 14 160 d.
17, 3 410 a.
— 4 77 d.
— 5 56 d.
— 12 411 a.
19, 1 295 d. 413 c. 421 b.
— 19 19 c 60 b. 413 c.
21, 10 78 c.
24, 4 78 d.
— 12 78 d.
25, 1 39 c. 57 b.
— 6 39 c.
— 8 166 d.
27, 1 290 b.
28, 3 79 a.
— 16 27 d.
29, 11 386 d.

Esai. 35, 1 300 c. 431 b.
— 3 447 c.
37, 31 79 c.
38, 3 424 b.
40, 3 428 b.
— 9 89 b.
41, 1 450 a.
42, 1 51 d. 97 a. 376 a. 451 d.
— 1 6 61 d.
— 4 61 d.
— 6 285 c.
43, 18 57 d.
45, 12 225 a.
— 14 225 c.
— 22 58 a.
48, 12 230 d. 302 b.
49, 1 48 b. 52 b.
49, 6 48 c. 52 b.
— 7 52 c.
— 8 62 a.
50, 1 58 b. 283 c. 302 c.
— 2 445 b.
— 10 59 c.
51, 4 58 d.
52, 5 303 c.
— 7 89 a.
— 15 404 b.
53, 1 97 c.
— 2 98 b. 186 a.
— 4 36 c. 198 c. 495 d.
— 5.6 467 d.
— 7 36 c. 426 d. 462 c.
— 8 99 b. 149 b. 216 d. 462 d.
— 10 99 c.
— 12 100 a.
54, 1 101 c.
55, 3 53 a.
56, 10 505 c.
58, 9 508 a.
59, 1 58 d.
— 19 59 c.
61, 1 88 b. 176 a. 197 d. 218 c. 286 c. 388 c. 442 a.
Esai. 61, 2 449 d.
65, 8 80 a.
— 15 80 d. 305 d.
66, 8 510 d.
Jerem. 1, 14 290 b.
3, 4 283 c.
— 14 83 c.
4, 11 473 a.
5, 6 84 a.
6, 16 53 d.
— 20 432 b.
11, 16 287 d.
— 19 36 d.
12, 7 483 c.
16, 19 54 a. 254 d.
17, 1 484 c.
23, 6 357 b.
— 24 446 d.
30, 8 357 b.
31, 31 8 a. 22 a.
— 33 61 c.
31=38, 31 29 a.
Thren. 4, 20 190 c.
Ezech. 6, 7 84 b.
11, 16 84 d.
— 22 288 c.
12, 14 85 a.
14, 21 85 b.
20, 36 85 c.
Dan. 7, 9 456 b.
— 10 246 c.
9, 2 395 c.
— 16 383 d.
— 20 356 a.
— 26 396 d.
Osee 2, 2 283 d.
— 23 61 d.
3, 12 473 a.
10, 14 426 a.
11, 9 249 c.
13, 14 166 d.
Amos 4, 11 250 b.
— 12 188 c.
8, 7 485 c.
9, 1 291 d.
— 9 54 d.

Obd.	1	251 a.
Mich.	1, 2	270 d. 344 b. 404 d.
	— 5	272 d.
	— 12	273 b.
	— 15	273 b.
	2, 11	80 d.
	3, 5.6	254 c.
	— 9	55 a.
	— 12	273 b.
	4, 2	294 a. 450 a.
	5, 2	81 b. 97 c. 275 a. 340 d.
	— 7	81 b.
	6, 6	275 d.
Habbak.	2, 2	276 c.
	— 3	459 d.
	3. 2	278 c.
	— 13	189 c.
Soph.	2. 11	19 b. 21 d. 50 d.
	3, 8	50 d.
	— 9	82 d.
Hag.	1, 1	393 a.
Zach.	1, 7	395 b.
	— 8	280 c.
	— 12	395 c.
	2, 8	251 c. 281 d.
	— 10	51 b. 61 c. 251 d. 283 a. 407 c.
	3, 1	197 a. 252 d.
	3, 8	358 a.
	6, 9	197 c.
	— 12	276 d. 358 a.
	9, 9	55 d. 380 a. 407 d. 455 d.
	11, 1	408 a.
	— 7	478 d.
	12, 2	408 b.
	— 10	408 b.
	14, 1	83 a. 284 a. 408 d.
	— 6	487 b.
	— 7	276 d.
	— 9	408 d.
	— 16	47 d. 408 d.
Mal.	1, 10	56 a.
Mal.	— 11	19 b. 40 a.
	3, 1	253 b.
	4, 2	164 c. 254 a. 289 c.
Baruch	3, 29	295 a.
Sapient.	7, 25	216 c.
Sirac.	32, 9	9 Fabr.
1 Macc.	7, 12	465 c.
	16, 24	393 d.
Matth.	1, 1	350 b.
	— 18	320 b.
	— 23	98 b.
	2, 1	342 d. 365 c. 374 d. 418 a.
	— 6	97 b.
	— 13	296 d.
	— 22	350 a.
	3, 4	430 b.
	— 16	432 d.
	4, 1	433 d.
	— 5	437 b.
	— 8	272 b.
	— 11	163 b. 292 c.
	5, 1	442 d.
	— 3	88 c.
	— 14	289 b. 326 a.
	— 17	25 c. 386 d.
	— 21	444 b.
	— 26	440 c.
	— 27	15 b. 27 b. 126 a.
	— 28	94 a.
	— 33	23 d.
	— 43	16 a.
	— 48	104 d.
	7, 29	27 b. 444 b.
	8, 2	93 c.
	— 4	401 c.
	— 26	93 b.
	— 27	446 d.
	— 29	133 b. 163 d. 272 d. 434 d.
	9, 9	120 a.
	— 10	107 d.
	— 12	163 b. 168 d.
	10, 5	249 d.
	— 6	445 b.
	— 8	138 d.
	— 9	109 d.

Matth. 10, 10 125 d.
— 21 298 c.
— 34 298 c.
11, 27 149 b. 216 d.
— 28 88 d. 168 d.
12, 14 452 b.
— 18 97 a.
— 27 93 d.
13, 10 454 d.
— 17 38 a.
14, 22 446 b.
— 25 92 d.
15, 24 445 b.
16, 8 92 c.
— 15 121 b.
17, 2 97 a.
18, 16 425 d.
— 20 252 b.
19, 12 126 b.
20, 16 80 d.
21, 2 379 d. 456 a.
— 9 266 a. 459 b.
— 13 401 c.
— 43 445 c.
22, 15 468 b.
23, 32 384 c.
— 35 385 a. 445 d.
— 37 189 b.
— 38 401 d.
24, 14 136 d.
— 15 403 c.
25, 35 16 b.
26, 14 468 c. 479 c.
— 21 475 d.
— 38 472 d.
— 42 224 c.
— 47 476 a.
— 48 475 d.
— 55 476 b.
27, 3 480 d.
— 25 406 b.
— 27 504 c.
— 35 505 b.
— 39 498 c.
— 40 477 d.
— 45 292 d.
— 46 486 c. 490 d.
— 51 292 a.
Matth. 27, 53 166 c.
28, 1 493 b.
— 9 508 b.
— 10 377 a.
— 19 6 a. 9 a. 24 c. 132 a. 136 a. 138 c. 445 c.
— 20 138 c. 252 b.
Marc. 1, 2 430 c.
— 13 272 b. 433 d.
— 17 135 b.
— 24 272 d.
2, 11 107 d.
— 14 119 d.
8, 29 121 c.
14, 10 468 c. 479 c.
— 54 292 d.
— 66 121 c.
15, 29 498 d.
— 33 492 b.
16, 2 493 a.
Luc. 1, 26 329 b.
— 30 339 c.
— 32 353 a.
— 35 499 d.
— 41 500 c.
— 68 353 b.
— 80 430 b.
2, 1 341 d.
— 13 163 c.
2, 29 60 d. 429 a.
— 34 385 b.
3, 1 365 d. 398 d. 428 c.
4, 1 92 b.
— 16 442 b.
— 18 286 d.
— 20 193 a.
— 21 88 c.
5, 27 119 d.
6, 13 120 c.
— 21 15 a.
7, 33 430 d.
10, 1 93 d.
— 19 438 a.
12, 49 272 c. 306 a.
— 51 298 c.
21, 20 403 c.

Luc. 21, 24 321 d.
22, 3 468 d.
— 4 479 c.
— 54 292 d.
23, 46 108 d. 166 c.
— 55 498 d.
24, 1 492 d.
Joann. 1, 1 150 c. 210 d. 228 d. 309 d.
— 5 473 c.
— 9 164 d. 254 b. 420 c.
— 15 436 d.
— 18 245 a.
— 21 445 a.
— 29 37 a. 198 d. 429 a. 462 c.
2, 2 385 c.
— 11 439 c.
— 16 401 c.
— 30 392 c.
4, 10 293 c. 488 d.
— 23 18 c.
— 35 440 a.
5, 8 107 d.
— 22 449 b.
— 39 510 d.
— 43 266 c. 459 d.
6, 41 349 a.
8, 12 254 b.
— 40 463 a.
10, 18 492 a.
11, 39 497 a.
12, 27 472 d.
— 37 312 c. 454 b.
— 41 310 d.
13, 4 466 a.
14, 9 262 c.
15, 1 379 c.
16, 20 119 a.
— 33 119 a.
17, 3 244 c.
18, 18 293 a. 488 a.
19, 23 505 a.
— 34 504 b.
20, 1 493 b.
— 17 508 c.
— 22 138 d.
Act. 1, 4 409 d.
— 9 289 a.
— 16 474 d.
— 26 475 a.
3, 6 119 a.
— 22 28 d.
— 23 28 d.
5, 29 116 a.
7, 37 26 c.
10, 34 386 a.
14, 12 139 b.
15, 10 6 b. 440 b.
17, 28 145 b.
19, 19 128 c.
Rom. 1, 1 350 b.
— 16 386 a.
— 20 157 d.
— 21 160 a. 364 a.
— 25 364 a.
2, 28 358 d.
3, 2 441 d.
— 29 386 a.
— 30 264 a.
5, 12 313 c.
— 18 462 d.
8, 3 26 a.
— 32 495 d.
9, 27 62 c. 64 d.
— 29 64 c.
10, 4 387 a.
— 15 89 a.
11, 1 62 d. 64 d.
— 5 76 d. 78 d. 286 d. 323 c. 325 d.
— 24 287 d.
— 25 458 d.
— 36 145 b.
12, 5 506 a.
— 15 15 a.
1. Cor. 1, 23 499 b.
— 24 152 b. 210 d. 212 d. 217 b.
— 30 385 c.
2, 9 214 d.
3, 2 323 d.
— 13 480 b.
7, 29 31 b.

1. Cor. 9, 9 72 a. 323 d. 326 b.
10, 13 437 c.
12, 4 174 d.
— 21 506 b.
— 26 15 a.
— 27 467 b.
15, 21 462 d.
— 55 166 d. 470 b.
2. Cor. 3, 3 28 d.
5, 16 432 d.
— 21 37 d. 38 b. 198 d. 466 d. 495 c.
6, 2 496 d.
11, 32 319 b.
13, 1 117 b.
— 4 495 a.
Galat. 3, 10 5 c.
— 13 37 d. 38 b. 198 d. 495 c.
4, 26 283 b. 304 d.
Ephes. 1, 20 224 d.
4, 9 260 a.
6, 12 434 b.
Philipp. 2, 6 258 b. 279 a. 507 c.
— 7 446 d.
— 8 224 c. 495 b.
— 9 136 c.
Coloss. 1, 15 210 d. 213 a. 353 a.
Coloss. 1, 16 220 d.
— 19 226 a.
2, 9 424 d.
— 17 193 d.
1. Thess. 1, 10 378 c.
Hebr. 1, 1 245 b.
— 3 147 c.
— 9 388 b.
2, 13 450 d.
— 14 166 b.
3, 14 189 d. 218 a.
6, 17 223 d.
— 18 177 d.
7, 1 177 b.
— 3 222 d.
— 7 177 b.
— 20 177 d.
— 21 223 d.
— 23 224 a.
8, 5 193 c.
9, 26 276 d.
10, 1 193 d.
— 4 385 b.
— 35 276 d.
— 37 459 d.
12, 22 304 d.
13, 4 33 d.
1. Tim. 1, 9 8 c.
2, 4 25 d.
3, 2 33 d.
Apoc. 5, 5 386 d.

B. Lateinische Autoren.

	Thlr	Ngr
Augustinus de civitate Dei (61), 2 voll.	2	—
Boetii libri de inst. mathem. et de inst. musica (71)	1	15
Caesaris commentarii (36)	—	12½
Daraus einzeln:		
— — de bello Gallico (36)	—	6
— — de bello civili (36)	—	6
— — commentarii (65), Vol. I.	—	9
— — de bello Gallico (65). Ed. minor.	—	6
Catullus (40)	—	4½
Celsus (10)	1	—
Censorinus (64)	—	12
Ciceronis opera (30), 11 voll.	8	12
(Auch in 37 einzelnen Abthlgn.)		
Ciceronis orationes selectae	—	15
Ciceronis epist. select. (11) Pars I.	—	9
— — — Pars II.	—	15
Cornelius Nepos (11)	—	2½
Curtius Rufus (16)	—	10
Eutropius (11)	—	2½
Florus (21) & Ampelius (51)	—	9
Frontinus (52)	—	15
Gajus (59)	—	24
Gellius (24), 2 voll.	—	27
Horatii carmina (26 & 42)	—	7½
Jurisprudentiae antejustinianae reliquiae (59)	1	24
Iustinus (28)	—	27
— — Editio minor	—	7½
Iuvenalis satirae (20)	—	4½
— — — ed. C. F. Hermann	—	4½
Livii opera (49), 6 voll.	1	24
Lucretius (5)	—	12
Martialis epigrammata (44)	—	12
Martianus Capella (67)	1	15
Metrologici scriptores (64), 2 voll.	1	21
Ovidii opera (35), 3 voll.	—	27½
Daraus einzeln:		
Ovidii tristia	—	3¾
— — fasti	—	5
— — metam. delectus	—	5
Persius (23)	—	3
Phaedri fabulae (14)	—	2½
Plauti comoediae (15), 2 voll.	—	22
Jedes Stück einzeln à	—	3¾
Plini epistulae (29)	—	10
Plinii nat. hist. (27), 6 voll.	4	—
Propertii carmina (29)	—	6
Quintiliani inst. (9), 2 voll.	—	18
Salustius (11)	—	3¾
Scriptores hist. Aug. (68), 2 voll.	1	21
Senecae opera philos. (19), 3 voll.	2	6
Senecae tragoediae (72)	1	15
Statius (37), 2 voll.	1	—
Suetonius (41)	—	15
Taciti opera (21), 2 voll.	—	18
Daraus einzeln:		
— — libri minores	—	3¾
Terenti comoediae (15)	—	9
Tibulli carmina (40)	—	3
Ulpianus (59)	—	7½
Valerius Maximus (21)	1	7½
Velleius Paterculus (19)	—	4½
Virgilii opera (70)	—	11¼
Daraus einzeln:		
— — Bucolica et Georgica	—	3¾
— — Aeneis	—	7½

☞ Diese Sammlung von Textausgaben, welche überall wo humanistische Studien getrieben werden, fast ausschliesslich im Gebrauch ist, wird ununterbrochen fortgesetzt und fortwährend durch neue verbesserte Auflagen immer grösserer Vollkommenheit entgegengeführt.

B. G. Teubner's
Schulausgaben griechischer und lateinischer Classiker
mit deutschen erklärenden Anmerkungen.

Erschienen sind bis jetzt (October 1867):

	Preis
Aeschylos' Agamemnon. Von Rob. Enger	12 Ngr
— **Perser.** Von W. S. Teuffel	10 „
Anthologie aus den Lyrikern der Griechen. Von Dr. E. Buchholz. I. Bändchen. Die Elegiker und Iambographen enthaltend	10 „
— — 2. Bändchen. Die Melischen und Chorischen Dichter und die Bukoliker enthaltend	15 „
Aristophanes, die Wolken. Von W. S. Teuffel	12 „
Caesaris commentarii de bello Gallico. Von A. Doberenz. Mit Karte. 4. Aufl.	20 „
— — de bello civili von A. Doberenz. 2. Aufl.	15 „
Chrestomathia Ciceroniana. Von C. F. Lüders. I. Heft	10 „
Ciceronis de officiis libris tres. Von J. von Gruber. 2. Aufl.	12 „
— **Laelius.** Von G. Lahmeyer	6 „
— **Cato major.** Von G. Lahmeyer. 2. Aufl.	5 „
— **Tusculanarum** libri V. Von O. Heine	18 „
— **Rede für Cn. Plancius.** Von E. Köpke	9 „
— **Rede für P. Sestius.** Von H. A. Koch	7½ „
— **Rede für Sex. Roscius.** Von Fr. Richter	7½ „
— **Rede für T. Annius Milo.** Von Fr. Richter	7½ „
— **Rede gegen C. Verres.** IV. Buch. Von Fr. Richter	7½ „
— **Rede für L. Murena.** Von H. A. Koch	6 „
— **de oratore.** Von K. W. Piderit. 2. Aufl.	1 Thlr 6 „
— **Orator.** Von K. W. Piderit	15 „
— **Brutus de claris oratoribus.** Von K. W. Piderit	22½ „
— **partitiones oratoriae.** Von K. W. Piderit	10 „
— **ausgewählte Briefe.** Von Jos. Frey	18 „
Cornelius Nepos. Von J. Siebelis. 5. Aufl.	12 „

Demosthenes' ausgewählte Reden. Von C. Rehdantz. I. Theil.
I. Heft: I—III: Olynthische Reden. IV: Erste Rede gegen Philippos. 2. Aufl. . . . . . 9 Ngr.
— — II. Heft: V. Rede über den Frieden. VI. Zweite Rede gegen Philippos. VIII. Rede über die Angelegenheiten im Cherrones. IX. Dritte Rede gegen Philippos. Indices. . . . . . 12 „
Herodotos. Von Dr. K. Abicht. I. Band. Buch I. II. nebst Einleitung und Uebersicht über den Dialect . . . . . 27 „
— II. Band. Buch III u. IV. . . . . . 21 „
— III. Band. Buch V u. VI. . . . . . 15 „
— IV. Band. Buch VII. . . . . . 15 „
— V. Band. Buch VIII u. IX. Mit 2 Karten . . . . . 18 „
Homer's Odyssee. Von K. Fr. Ameis. I. Band. I. Heft, Gesang I—VI. 3. Aufl. 12 „
— — I. Band. II. Heft, Gesang VII—XII. 3. Aufl. . . . . . 12 „
— — II. Band. I. Heft, Gesang XIII—XVIII. 3. Aufl. . . . . . 12 „
— — II. Band. II. Heft, Gesang XIX—XXIV. 2. Aufl. . . . . . 12 „
— — Anhang. 1. u. 2. Heft à 6 Ngr. 3. Heft 9 Ngr.
Horaz, Oden und Epoden. Von C. W. Nauck. 5. Aufl. . . . . . 18 „
— **Satiren und Episteln.** Von G. T. A. Krüger. 5. Aufl. . . . . . 24 „
Isocrates' ausgewählte Reden. Von O. Schneider. I. Bdchn.: Demonicus. Euagoras, Areopagiticus . . . . . 9 „
— — II. Bändchen: Panegyricus und Philippus . . . . . 12 „
Livi, Titi, ab urbe condita liber I. Von Josef Frey. . . . . . 9 „
— — liber II. Von Josef Frey . . . . . 9 „
Lucian ausgewählte Dialoge. Von C. Jacobitz. I. Bdchn.: Traum. Timon. Prometheus. Charon . . . . . 7½ „
— — II. Bdchn.: Die Todtengespräche. Ausgew. Göttergespräche. Der Hahn 10 „
— — III. Bdchn.: Demonax. Der Fischer. Anacharsis . . . . . 10 „
Lysias ausgewählte Reden. Von H. Frohberger. I. Bändchen . . . . . 18 „
Ovid's Metamorphosen. Von J. Siebelis. I. Heft, Buch I—IX. 5. Auflage 15 „
— — II. Heft, Buch X—XV. 4. Aufl. . . . . . 15 „
Phaedri fabulae. Von J. Siebelis. 3. Auflage . . . . . 7½ „
Platon's ausgewählte Schriften. I. Bändchen: Die Vertheidigungsrede des Sokrates. Kriton. Von Chr. Cron. 3. Aufl. . . . . . 9 „
— — II. Bändchen: Gorgias. Von J. Deuschle. 2. Aufl. . . . . . 18 „
— — — Anhang . . . . . 9 „
— — III. Bändchen: Laches. Von Chr. Cron . . . . . 6 „
— — IV. Bändchen: Protagoras. Von J. Deuschle . . . . . 10 „
Plautus' ausgewählte Komödien. Von E. J. Brix. I. Bdchn.: Trinummus . . 10 „
— — II. Bändchen: Captivi . . . . . 7½ „
— — III. Bändchen: Menaechmi . . . . . 7½ „
Plutarch's Biographieen. Von Otto Siefert. I. Bd.: Philopoemen und Flamininus 7½ „
— — II. Bändchen: Timoleon und Pyrrhos . . . . . 10 „
M. Fabii Quintiliani institutionis oratoriae liber decimus. Von Dr. G. T. A. Krüger 6 „
Sallustius. Von R. Dietsch. 1. Theil: **De Catilinae conjuratione** . . . . . 18 „
Sophokles. Von Gust. Wolff. I. Theil: Aias. 2. Aufl. . . . . . 10 „
— — II. Theil: Elektra . . . . . 10 „
— — III. Theil: Antigone . . . . . 10 „
Supplementum lectionis Graecae. Von C. A. J. Hoffmann . . . . . 15 „
Tacitus' Historien. Von K. Heraeus. I. Bändchen. 1. u. II. Buch . . . 15 „
Theokrit's Idyllen. Von A. T. H. Fritzsche . . . . . 24 „
Thukydides. Von G. Böhme. I. Bd. 2. Aufl. I. Heft. Buch I u. II, II. Heft. Buch III u. IV . . . . . à 12 „
— II. Band. 2. Aufl. I. Heft. Buch V u. VI, II. Heft. Buch VII u. VIII à 12 „
Xenophon's Anabasis. Von F. Vollbrecht. I. Bdchn. Buch I—III. Mit Holzschnitten, 2 Figurentafeln und 1 Karte von H. Lange. 3. Aufl. . . 15 „
— — II. Bdchn. Buch IV—VII. 3. Aufl. . . . . . 12 „
— — Von R. Kühner. Mit 1 Karte . . . . . 15 „
— **Cyropädie.** Von L. Breitenbach . . . . . 22½ „
Einzeln à 12 Ngr. I. Heft: Buch I—IV. — II. Heft: Buch V—VII.
— **Griechische Geschichte.** Von B. Büchsenschütz. I. Heft. Buch I—IV 12 „
— — II. Heft. Buch V—VII und Index . . . . . 12 „
— **Memorabilien.** Von R. Kühner . . . . . 12 „

☞ Bekanntlich zeichnen sich diese Schulausgaben dadurch aus, dass sie, aus der Praxis des Schulunterrichts hervorgegangen, vor Allem das Bedürfnis der Schule ins Auge fassen, ohne dabei die Ansprüche der Wissenschaft unberücksichtigt zu lassen. Die in der Sammlung noch fehlenden Schul-Autoren werden in kürzester Frist erscheinen.

An Lehrer, welche Behufs der Einführung einzelne Ausgaben näher kennen lernen wollen, liefere ich mit Vergnügen ein Freiexemplar der betr. Bände.

LIPSIAE.
SUMPTIBUS ET TYPIS B. G. TEUBN
MDCCCLXVII.

Digitized by Google

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEUBNERIANA.

EUSEBII CAESARIENSIS
OPERA.

RECOGNOVIT

GUILIELMUS DINDORFIUS.

VOL. IV.

HISTORIAE ECCLESIASTICAE

LIBRI I—X.

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM TEUBNERIANA.

Diese neueste Sammlung von Textausgaben griechischer und lateinischer Schriftsteller hat die Aufgabe, die gesammten noch vorhandenen Erzeugnisse der altclassischen Literatur in neuen wohlfeilen Ausgaben zu reproducieren, soweit dies im Interesse der Wissenschaft oder der Schule wünschenswerth ist. Die Texte dieser Ausgaben sind nach den besten Hülfsmitteln von den bedeutendsten Philologen Deutschlands einer kritischen Revision unterzogen worden, über deren Resultate die beigefügte annotatio critica, die sich theils in der praefatio, theils unter dem Text befindet, Auskunft giebt. Die Sammlung wird ununterbrochen fortgesetzt und in den früher erschienenen Bänden durch neue verbesserte Auflagen stets auf dem Höhepunkt der Wissenschaft erhalten.

Erschienen sind bis jetzt (August 1871):

A. Griechische Autoren.

	Thlr.	Ngr.
Aeliani opera, 2 voll.	3	—
— varia historia	—	7½
Aeschinis orationes	—	7½
Aeschyli tragoediae	—	10
— Jedes Stück einzeln à	—	3
Aesopicae fabulae	—	7½
Anacreon	—	9
Andocidis orationes	—	—
Anthologia lyrica	1	7½
Antiphontis orationes	—	21
Apollodorus	—	9
Apollonii Rhodii Argonaut.	—	9
Appiani hist. Romana, 2 voll.	1	24
Aristophanis comoediae, 2 voll.	—	27
— Jedes Stück einzeln à	—	5
Aristoteles de part. animal.	—	18
Arriani expeditio Alex.	—	9
— scripta minora	—	10
Athenaeus, 4 voll.	4	—
Babrii fabulae	—	6
Bucolici Graeci	—	5
Cebetis tabula	—	6
Demosthenis orationes, 3 voll.	1	7½
(Auch in 6 einzelnen Heften.)		
Dinarchi orationes	—	—
Dio Cassius, 5 voll.	4	—
Dio Chrysostomus, 2 voll.	1	18
Diodorus Siculus, 5 voll.	5	7½
Dionysius Halic. Vol. I–IV.	3	6
Erotici scriptores, 2 voll.	2	12
Euripides, 2 voll.	—	27
— Vol. III. fragmenta	—	27
Eusebius, Vol. I–III.	3	22½
Heliodorus	—	22½
Herodianus	—	12
Herodoti historiae, 2 voll.	—	22½
Hesiodus	—	3¾
Historici graeci min., Vol. I.	1	15
Homeri Ilias, 2 voll.	—	12½
— — mit Einleit. v. Sengebusch	—	18
— Odyssea, 2 voll.	—	12½
— — mit Einleit. v. Sengebusch	—	18
Hymni Homerici	—	7½
Hyperidis orationes	—	13½
Iliadis carmina XVI ed. Köchly	1	—
Iosephus, Flavius, 6 voll.	3	18
Isaeus	—	12
Isocratis orationes, 2 voll.	—	22½
Luciani opera, 3 voll.	1	24
Lycurgus	—	6
Lydus de ostentis	—	27
Lysiae orationis	—	11¼
Manetho	—	12
Metrologici scriptores, 2 voll.	1	21
Nicomachus Gerasenus	—	18
Nonnus, 2 voll.	3	—
Onosander	—	12
Pausanias, 2 voll.	1	—
Pindari carmina	—	
Platonis dialogi, 6 voll.	2	27
Plotinus, 2 voll.	1	24
Plutarchi vitae, 5 voll.	2	9
(Auch in 14 einz. Abtheilgn.)		
Polyaenus	1	15
Polybius, 4 voll.	3	18
Porphyrius	—	18
Quintus Smyrnaeus	—	12
Rhetores Graeci, 3 voll.	3	—
Simeon Seth	—	18
Sophoclis tragoediae	—	12½
— Jedes Stück einzeln à	—	2½
Stobaei florilegium, 4 voll.	3	—
— eclogae, 2 voll.	2	—
Strabo, 3 voll.	1	21
Themistii paraphrases, 2 voll.	2	—
Theophrastus Eresius, 3 voll.	2	—
Theophrasti characteres	—	12
Thucydides, 2 voll.	—	18
Xenophontis expeditio Cyri	—	6¼
— — historia graeca	—	7½
— — institutio Cyri	—	7½
— — commentarii	—	3¾
— — scripta minora	—	7½
Zonaras, Vol. I–IV.	4	15

B. Lateinische Autoren.

	Thlr.	Ngr.
Anthologia latina. Vol. I. fasc. I.	1	—
Augustinus de civitate Dei, 2 voll.	2	—
Boetii libri de inst. mathem. et de inst. musica	1	15
— — de consolatione libri V.	—	27
…is commentarii ed. Oehler	—	12½
…mment. ed. Dinter. Vol. I & II à	—	9
… de bello Gallico. Ed. minor	—	6
… de bello civili. Ed. minor	—	6
…i Tibulli Propertii carmina	—	27
…us	—	4½
…	1	—
Censorinus	—	12
Ciceronis opera, 11 voll.	6	12
(Auch in 37 einzelnen Abthlgn.)		
Ciceronis orationes selectae, 2 voll.	—	13½
Ciceronis epist. select. …	—	…
— — — 1		
Cornelius Nepos …		
Curtius Rufus …		
Eutropius …		
Florus et Ampelius …		
Frontinus …		
Gajus …		

EUSEBII CAESARIENSIS
OPERA.

RECOGNOVIT

GUILIELMUS DINDORFIUS.

VOL. IV.

HISTORIAE ECCLESIASTICAE

LIBRI I—X.

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

In hac Eusebii historiae ecclesiasticae editione nihil amplius propositum mihi fuit quam ut verba scriptoris ad fidem codicis Parisini Mazarinaei (1430), scripti in membranis seculo decimo, ita exhiberem ut non discederem ab eo nisi ubi aliorum codicum lectiones praeferendi ratio idonea esset: quemadmodum ante me fecit Albertus Schweglerus in editione Tubingensi a. 1852. Hunc enim codicem reliquis omnibus longe praestare iam Henricus Valesius perspexerat, sed non persuaserat editoribus, donec rectam viam ingrederetur Schweglerus, probantibus peritissimis quibusque iudicibus, inter quos R. A. Lipsius est, qui hanc quaestionem aliquoties tetigit*). Hos autem intra fines editorum, si qui erunt, opera contineri debebit donec perfectiorem fideque digniorem horum librorum recensionem suscipere liceat apparatu critico in eam quam hodierni scriptorum veterum editores requirunt formam redacto, a quo nunc longe absumus, quum editores multum quidem operae in congerenda materia inutili consumserint, graviorem vero et utiliorem laboris partem inchoatam aliis perficiendam reliquerint. Ex quo genere est nova et accuratior codicis Mazarinaei collatio, qualem ego, nunc turbis bellicis interruptam, sed tempore opportuno resumendam, in annotatione critica exhibebo: ex qua intelligetur dissensum qui nunc videtur codicis ab aliis eiusdem familiae libris saepe nullum esse et alia multa cognoscentur de quibus editores vel

*) Liter. Centralblatt a. 1860 nr. 44 p. 689. 1861 nr. 8 p. 133. 1862 nr. 33 p. 689. 1868 nr. 44 p. 1180.

tacuerunt vel falsa tradiderunt. Codici Mazarinaeo aetate et auctoritate proximus est Vaticanus 399, cuius notitiam aliquam habuit Valesius ab Luca Holstenio acceptam, lectionum excerpta edidit Laemmerus. Tertius eiusdem generis codex, etsi Mazarinaeo et Vaticano duobus fere seculis inferior, est Dresdensis, scriptus in membranis seculo duodecimo, sed nondum integer collatus.

Quartum inter codices antiquiores locum tenet Venetus Marcianus 338, membranaceus seculi decimi, negligentissime collatus in usum Burtoni nec satis diligenter ab aliis. Hic liber etsi Mazarinaeo aetate par est et bona plurima cum eo communia nec pauca sibi propria habet, tamen in universum auctoritate et bonitate lectionum longe illo inferior est, partim librariorum partim interpolatorum culpa, qui inde ab antiquissimis temporibus in hoc Eusebii opere pariter ac Praeparatione Evangelica plurimum libertatis sibi sumserunt.

Quattuor his codicibus primariis qui accurate collatis utitur, ceteris libris recentioribus, quorum nec dissensu antiquiorum codicum auctoritas minuitur nec consensu augetur, plerumque carere poterit. Nam nihil fere proprium sibi habent praeter librariorum errores et novas ac temerarias interpolationes, illatis non raro additamentis ab Eusebii consilio alienis, velut 1, 13, 9, ubi quum Eusebius Abgari epistolam et Iesu Christi per Ananiam ad eam responsum ab se apponi dixisset, interpolatori, cuius inventum in tribus reperitur codicibus, haec interponere in laudem Christi verba placuit, quae ipsum genus dicendi non scripta esse ab Eusebio prodit, *καὶ ταῦτα μὲν οὕτως ἔγραψε* (Abgarus), *τῆς θείας αὐτὸν τέως μικρὸν αὐγασάσης ἐλλάμψεως. ἄξιον δὲ καὶ τῆς πρὸς τοῦ Ἰησοῦ αὐτῷ διὰ τοῦ αὐτοῦ γραμματοκομιστοῦ ἀποσταλείσης ἐπακοῦσαι, ὀλιγοστίχου μὲν, πολυδυνάμου δὲ ἐπιστολῆς, τοῦτον ἐχούσης καὶ αὐτῆς τὸν τρόπον.* Eiusdem generis est quod ibidem in fine § 13 (post *ἐν τῇ οἰκίᾳ*) in iisdem codicibus additum est *καὶ πολλὰς ἰάσεις ἐπ᾽ ὀνόματι Ἰησοῦ ἐργάζεται, ὁ δὲ εἶπε "ναί, κύριε, ξένος τις ἐλθὼν ἐνῴκησε παρ᾽ ἐμοὶ καὶ πολλὰ θαυμάσια ἐπιτελεῖ."* iterumque § 20 (post *αὐτοῦ*) *καὶ πῶς κάθηται ἐν δεξιᾷ τοῦ θεοῦ καὶ πατρὸς μετὰ δόξης ἐν τοῖς οὐρανοῖς, καὶ πῶς ἐλεύσεσθαι*

μέλλει πάλιν μετὰ δόξης καὶ δυνάμεως κρῖναι ζῶντας καὶ νεκρούς.

De Nicephoro Callisto, qui seculo quarto decimo Historiae ecclesiasticae libros duodeviginti ex Eusebii aliorumque scriptorum operibus composuit, tantum constat, codicibus eum usum esse Eusebii neque antiquioribus nec melioribus quam quibus hodie utimur, et diversa miscuisse exemplaria, quo factum est ut modo cum optimis modo cum deterioribus consentiat codicibus. Non inutile tamen erit haec quoque excerpta accuratius quam adhuc factum est ad codices manuscriptos exigi in Fabricii Bibl. Gr. memoratos vol. 7 p. 438, inter quos eminet Matthiae Corvini codex olim Budensis, nunc Vindobonensis. Denique quae vel Eusebius ex aliis excerpsit scriptoribus vel alii ex Eusebio excerpserunt si maiore quam editores fecerunt diligentia adhibitisque melioribus scriptorum codicibus inter se comparentur, nonnihil utilitatis ad utrosque redundabit, etsi haec in brevioribus Historiae ecclesiasticae excerptis non tanti erunt momenti quanti in amplissimis Praeparationis Evangelicae excerptis ex Platone, Philone, Iosepho, Clemente Alexandrino aliisque, de quibus dixi in Praef. ad Eusebium vol. I. p. XVII et in Praef. ad Clementem Alex. vol. I. p. XX.

Proximum post codices Graecos locum tenet Rufini Aquileiensis interpretatio Latina, ineunte seculo quinto, vix septuaginta post mortem Eusebii annis, suscepta. Qui interpres si verba scriptoris ea expressisset fide qua vetus interpres Latinus Irenaei Graeca, quibus hodie caremus, tam accurate reddidit ut saepissime ipsa Irenaei verba divinare liceat, quod ex amplis apud Epiphanium textus Graeci excerptis intelligimus, egregium nobis reliquisset instrumentum ad codicum Graecorum quibus hodie utimur scripturas aestimandas et interpolationes indagandas. Verum longe aliud illi placuit. Nam resecto libro decimo, cui historiam ecclesiae ab se continuatam substituit, in libris novem reliquis ita est versatus ut Eusebii narrationem saepissime perverteret et verbis vel mutatis vel additis vel omissis genuinam operis formam magna ex parte obscuraret, quod exemplis plurimis allatis demonstravit E. I. Kimmelius in libro *de Rufino Eusebii inter-*

prete Gerae edito a. 1838. Quae Rufini temeritas etsi non impedit quominus saepe perspiciamus quas nostrorum codicum lectiones suis in libris invenerit, tamen de dissensu saepissime res incerta est, quum nesciamus quas scripturas in libris suis legerit, quas ipse excogitaverit: ut caute utendum sit hac interpretatione, ne lectiones fingantur quae in codicibus Rufini non magis quam in nostris exstiterunt. Accedit ad haec quod Rufini interpretatio rursus ipsa quoque locis plurimis corrupta et interpolata est, ex codicibus recentibus primum edita a. 1474 et per alias quas Harlesius ad Fabr. Bibl. vol. 7 p. 317 enumeravit editiones propagata, neglectis vetustioribus qui plures supersunt codicibus, donec Thomas Cacciari in editione Romana a. 1711 quinque inspiceret codices Vaticanos, quibus Norimbergensem addidit Kimmelius p. 77, ex quo singularia multa a Bosio a. 1672 annotata esse dicit in margine exemplaris Frobeniani, quod nunc in Bibliotheca Ienensi servatur. Hi igitur aliique codices antiqui si quando ea quam hodie requirimus diligentia excussi fuerint, paulo tutius quam adhuc fieri potuit Rufini interpretatione uti licebit. Contra vix operae pretium erit Ioannis Christophorsoni, Episcopi Cicestrensis, interpretationem Latinam, quae Lovanii a. 1570 prodiit, perscrutari: nam codices Graeci, quos Romae, Florentiae, Venetiis interpretationis suae causa inspexisse se dicit, haud dubie iidem sunt, quibus postea usi sunt editores, ut inutilis labor sit eorum lectiones ex Christophorsoni expiscari interpretatione, quum ex ipsis fontibus peti possint.

Vident lectores quantum sit quod priores horum librorum editores futuris agendum reliquerint editoribus. Et tamen ne haec quidem de quibus supra dixi sufficient, quum novum nuperrime accesserit et inexspectatum antiquissimae versionis Syriacae repertum, proximo post Eusebium seculo eodemque fere tempore quo Rufinus hos libros in sermonem Latinum transtulit factae, de qua Guil. Wright, vir de litteris Syriacis praeclare meritus, haec ad me perscripsit:

„I am occupied in preparing an edition of the ancient Syriac version of the Ecclesiastical History of Eusebius. I have two manuscripts of it at my disposal. One, most kindly

lent to me by his Majesty the Tzar from the Imperial public library at St. Petersburg, dated A. D. 462. This volume contains, with certain lacunæ, books I—IV and VIII — X. Of book V and VII only small portions remain, and book VI is wholly wanting. The Nitrian manuscript, preserved in the British Museum, which I am now collating with my copy of the Petersburg manuscript, is of somewhat later date (the date has been erased and is no longer legible), but very carefully written. It contains books I—V almost complete."

Quum Wrightius ipse hanc versionem editurus sit, ego interim speciminis causa huic Praefationi libri primi capita quattuor prima subieci, ab Wrightio ex codice Petropolitano (A) descripta et cum Londinensi (B) collata, quae accurate imprimenda curavit Ludolphus Krehlius, cuius non minus clarum in his litteris nomen est, precibusque meis hoc dedit, ut interpretationem adderet Latinam, in qua non elegantiae sermonis studuit, sed idem quod vetus Irenaei interpres consilium secutus interpretis Syriaci verba tam accurate expressit, ut etiam lectores linguae illius ignari uti ea possint ad indagandas vetusti codicis Graeci, quo interpres Syriacus usus est, scripturas. Nam etsi hic quoque interpres Graeca non raro liberius expressit, tamen longe abfuit ab Rufini, de qua supra dicebam, temeritate.

Abgari ad Iesum Christum epistolae, quae apud Eusebium legitur 1, 13, textum Syriacum edidit G. Curetonus in libro quem inscripsit *Ancient Syriac documents.* Libelli *de martyribus Palaestinae*, qui in codicibus Graecis historiae ecclesiasticae post librum octavum illatus est (propter verba Eusebii VIII, 13, 7) veterem textus Graeci multo integrioris versionem Syriacam memorat idem in Praefatione ad Athanasii Epistolas (*The festal letters of Athanasius discovered in an ancient Syriac version*, London 1848) p. XVII. Porro Eusebii de Theophaniis librum, textu Graeco perdito, nunc veteri interpreti Syriaco debemus, editum ab S. Lee Cantabrigiae a. 1843.

Scribebam Lipsiae ineunte anno 1871.

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.*)

ΛΟΓΟΣ Α.

α'. *Τίς ἡ τῆς ἐπαγγελίας ὑπόθεσις.*

β'. *Ἐπιτομὴ κεφαλαιώδης περὶ τῆς κατὰ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προϋπάρξεώς τε καὶ θεολογίας.*

γ'. *Ὡς καὶ τὸ Ἰησοῦ ὄνομα, καὶ αὐτὸ δὴ τὸ τοῦ Χριστοῦ, ἔγνωστό τε ἀνέκαθεν καὶ τετίμητο παρὰ τοῖς θεσπεσίοις προφήταις.*

δ'. *Ὡς οὐ νεώτερος, οὐδὲ ξενίζων ἦν ὁ τρόπος τῆς πρὸς αὐτοῦ καταγγελθείσης πᾶσι τοῖς ἔθνεσιν εὐσεβείας.*

ε'. *Περὶ τῶν χρόνων τῆς ἐπιφανείας αὐτοῦ τῆς εἰς ἀνθρώπους.*

ϛ'. *Ὡς κατὰ τοὺς χρόνους αὐτοῦ ἀκολούθως ταῖς προφητείαις ἐξέλιπον ἄρχοντες οἱ τὸ πρὶν ἐκ προγόνων διαδοχῆς τοῦ Ἰουδαίων ἔθνους ἡγούμενοι, πρῶτός τε ἀλλόφυλος βασιλεύει αὐτῶν Ἡρώδης.*

ζ'. *Περὶ τῆς ἐν τοῖς εὐαγγελίοις νομιζομένης διαφωνίας τῆς περὶ τοῦ Χριστοῦ γενεαλογίας.*

η'. *Περὶ τῆς Ἡρώδου κατὰ τῶν παίδων ἐπιβουλῆς, καὶ οἵα μετῆλθεν αὐτὸν καταστροφὴ βίου.*

θ'. *Περὶ τῶν κατὰ Πιλᾶτον χρόνων.*

ι'. *Περὶ τῶν παρὰ Ἰουδαίοις ἀρχιερέων, καθ' οὓς ὁ Χριστὸς τὴν διδασκαλίαν ἐποιήσατο.*

ια'. *Τὰ περὶ Ἰωάννου τοῦ βαπτιστοῦ καὶ τοῦ Χριστοῦ μεμαρτυρημένα.*

ιβ'. *Περὶ τῶν μαθητῶν τοῦ σωτῆρος ἡμῶν.*

ιγ'. *Ἱστορία περὶ τοῦ τῶν Ἐδεσσηνῶν δυνάστου.*

*) Summaria haec, haud dubie ab Eusebio ipso scripta, leguntur non solum in codicibus Graecis omnibus, sed etiam ab Rufino et vetere interprete Syriaco sunt translata. Codicum Graecorum scripturae diversitatem exposuit Burtonus vol. 1 p. LXXXVII—CII.

ΛΟΓΟΣ Β.

α΄. Περὶ τῆς μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου διαγωγῆς τῶν ἀποστόλων.
β΄. Ὅπως Τιβέριος ὑπὸ Πιλάτου τὰ περὶ τοῦ Χριστοῦ διδαχθεὶς ἐκινήθη.
γ΄. Ὅπως εἰς πάντα τὸν κόσμον ἐν βραχεῖ χρόνῳ διέδραμεν ὁ περὶ τοῦ Χριστοῦ λόγος.
δ΄. Ὡς μετὰ Τιβέριον Γάϊος Ἰουδαίων βασιλέα καθίστησιν Ἀγρίππαν, τὸν Ἡρώδην ζημιώσας ἀϊδίῳ φυγῇ.
ε΄. Ὡς Φίλων ὑπὲρ Ἰουδαίων πρεσβείαν ἐστείλατο πρὸς Γάϊον.
ϛ΄. Ὅσα Ἰουδαίοις συνεῤῥύη μετὰ τὴν κατὰ τοῦ Χριστοῦ τόλμαν.
ζ΄. Ὡς καὶ Πιλᾶτος ἑαυτὸν διεχειρίσατο.
η΄. Περὶ τοῦ κατὰ Κλαύδιον λιμοῦ.
θ΄. Μαρτύριον Ἰακώβου τοῦ ἀποστόλου.
ι΄. Ὡς Ἀγρίππας ὁ καὶ Ἡρώδης τοὺς ἀποστόλους διώξας τῆς θείας παραυτίκα δίκης ᾔσθετο.
ια΄. Περὶ Θευδᾶ τοῦ γόητος.
ιβ΄. Περὶ Ἑλένης τῆς τῶν Ὀσροηνῶν βασιλίδος.
ιγ΄. Περὶ Σίμωνος τοῦ μάγου.
ιδ΄. Περὶ τοῦ κατὰ Ῥώμην κηρύγματος Πέτρου τοῦ ἀποστόλου.
ιε΄. Περὶ τοῦ κατὰ Μάρκον εὐαγγελίου.
ιϛ΄. Ὡς πρῶτος Μάρκος τοῖς κατ᾽ Αἴγυπτον τὴν εἰς τὸν Χριστὸν γνῶσιν ἐκήρυξεν.
ιζ΄. Οἷα περὶ τῶν κατ᾽ Αἴγυπτον ἀσκητῶν ὁ Φίλων ἱστορεῖ.
ιη΄. Ὅσα τοῦ Φίλωνος εἰς ἡμᾶς περιῆλθε συγγράμματα.
ιθ΄. Οἷα τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους συμφορὰ μετῆλθεν ἐν τῇ τοῦ πάσχα ἡμέρᾳ.
κ΄. Οἷα καὶ κατὰ Νέρωνα ἐν τοῖς Ἱεροσολύμοις ἐπράχθη.
κα΄. Περὶ τοῦ Αἰγυπτίου, οὗ καὶ αἱ πράξεις τῶν ἀποστόλων ἐμνημόνευσαν.
κβ΄. Ὡς ἐκ τῆς Ἰουδαίας εἰς τὴν Ῥώμην δέσμιος ἀναπεμφθεὶς Παῦλος ἀπολογησάμενος πάσης ἀπελύθη αἰτίας.
κγ΄. Ὡς ἐμαρτύρησεν Ἰάκωβος ὁ τοῦ κυρίου χρηματίσας ἀδελφός.

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.*)

ΛΟΓΟΣ Α.

α΄. Τίς ἡ τῆς ἐπαγγελίας ὑπόθεσις.

β΄. Ἐπιτομὴ κεφαλαιώδης περὶ τῆς κατὰ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προϋπάρξεώς τε καὶ θεολογίας.

γ΄. Ὡς καὶ τὸ Ἰησοῦ ὄνομα, καὶ αὐτὸ δὴ τὸ τοῦ Χριστοῦ, ἔγνωστό τε ἀνέκαθεν καὶ τετίμητο παρὰ τοῖς θεσπεσίοις προφήταις.

δ΄. Ὡς οὐ νεώτερος, οὐδὲ ξενίζων ἦν ὁ τρόπος τῆς πρὸς αὐτοῦ καταγγελθείσης πᾶσι τοῖς ἔθνεσιν εὐσεβείας.

ε΄. Περὶ τῶν χρόνων τῆς ἐπιφανείας αὐτοῦ τῆς εἰς ἀνθρώπους.

ς΄. Ὡς κατὰ τοὺς χρόνους αὐτοῦ ἀκολούθως ταῖς προφητείαις ἐξέλιπον ἄρχοντες οἱ τὸ πρὶν ἐκ προγόνων διαδοχῆς τοῦ Ἰουδαίων ἔθνους ἡγούμενοι, πρῶτός τε ἀλλόφυλος βασιλεύει αὐτῶν Ἡρώδης.

ζ΄. Περὶ τῆς ἐν τοῖς εὐαγγελίοις νομιζομένης διαφωνίας τῆς περὶ τοῦ Χριστοῦ γενεαλογίας.

η΄. Περὶ τῆς Ἡρώδου κατὰ τῶν παίδων ἐπιβουλῆς, καὶ οἵα μετῆλθεν αὐτὸν καταστροφὴ βίου.

θ΄. Περὶ τῶν κατὰ Πιλᾶτον χρόνων.

ι΄. Περὶ τῶν παρὰ Ἰουδαίοις ἀρχιερέων, καθ' οὓς ὁ Χριστὸς τὴν διδασκαλίαν ἐποιήσατο.

ια΄. Τὰ περὶ Ἰωάννου τοῦ βαπτιστοῦ καὶ τοῦ Χριστοῦ μεμαρτυρημένα.

ιβ΄. Περὶ τῶν μαθητῶν τοῦ σωτῆρος ἡμῶν.

ιγ΄. Ἱστορία περὶ τοῦ τῶν Ἐδεσσηνῶν δυνάστου.

*) Summaria haec, haud dubie ab Eusebio ipso scripta, leguntur non solum in codicibus Graecis omnibus, sed etiam ab Rufino et vetere interprete Syriaco sunt translata. Codicum Graecorum scripturae diversitatem exposuit Burtonus vol. 1 p. LXXXVII—CII.

ΛΟΓΟΣ Β.

α'. Περὶ τῆς μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου διαγωγῆς τῶν ἀποστόλων.
β'. Ὅπως Τιβέριος ὑπὸ Πιλάτου τὰ περὶ τοῦ Χριστοῦ διδαχθεὶς ἐκινήθη.
γ'. Ὅπως εἰς πάντα τὸν κόσμον ἐν βραχεῖ χρόνῳ διέδραμεν ὁ περὶ τοῦ Χριστοῦ λόγος.
δ'. Ὡς μετὰ Τιβέριον Γάϊος Ἰουδαίων βασιλέα καθίστησιν Ἀγρίππαν, τὸν Ἡρώδην ζημιώσας ἀϊδίῳ φυγῇ.
ε'. Ὡς Φίλων ὑπὲρ Ἰουδαίων πρεσβείαν ἐστείλατο πρὸς Γάϊον.
ϛ'. Ὅσα Ἰουδαίοις συνερρύη μετὰ τὴν κατὰ τοῦ Χριστοῦ τόλμαν.
ζ'. Ὡς καὶ Πιλᾶτος ἑαυτὸν διεχειρίσατο.
η'. Περὶ τοῦ κατὰ Κλαύδιον λιμοῦ.
θ'. Μαρτύριον Ἰακώβου τοῦ ἀποστόλου.
ι'. Ὡς Ἀγρίππας ὁ καὶ Ἡρώδης τοὺς ἀποστόλους διώξας τῆς θείας παραυτίκα δίκης ᾔσθετο.
ια'. Περὶ Θευδᾶ τοῦ γόητος.
ιβ'. Περὶ Ἑλένης τῆς τῶν Ὀσροηνῶν βασιλίδος.
ιγ'. Περὶ Σίμωνος τοῦ μάγου.
ιδ'. Περὶ τοῦ κατὰ Ῥώμην κηρύγματος Πέτρου τοῦ ἀποστόλου.
ιε'. Περὶ τοῦ κατὰ Μάρκον εὐαγγελίου.
ιϛ'. Ὡς πρῶτος Μάρκος τοῖς κατ' Αἴγυπτον τὴν εἰς τὸν Χριστὸν γνῶσιν ἐκήρυξεν.
ιζ'. Οἷα περὶ τῶν κατ' Αἴγυπτον ἀσκητῶν ὁ Φίλων ἱστορεῖ.
ιη'. Ὅσα τοῦ Φίλωνος εἰς ἡμᾶς περιῆλθε συγγράμματα.
ιθ'. Οἷα τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους συμφορὰ μετῆλθεν ἐν τῇ τοῦ πάσχα ἡμέρᾳ.
κ'. Οἷα καὶ κατὰ Νέρωνα ἐν τοῖς Ἱεροσολύμοις ἐπράχθη.
κα'. Περὶ τοῦ Αἰγυπτίου, οὗ καὶ αἱ πράξεις τῶν ἀποστόλων ἐμνημόνευσαν.
κβ'. Ὡς ἐκ τῆς Ἰουδαίας εἰς τὴν Ῥώμην δέσμιος ἀναπεμφθεὶς Παῦλος ἀπολογησάμενος πάσης ἀπελύθη αἰτίας.
κγ'. Ὡς ἐμαρτύρησεν Ἰάκωβος ὁ τοῦ κυρίου χρηματίσας ἀδελφός.

κδ΄. Ὡς μετὰ Μάρκον πρῶτος ἐπίσκοπος τῆς Ἀλεξανδρέων ἐκκλησίας Ἀννιανὸς κατέστη.
κε΄. Περὶ τοῦ κατὰ Νέρωνα διωγμοῦ, καθ᾿ ὃν ἐπὶ Ῥώμης Παῦλος καὶ Πέτρος τοῖς ὑπὲρ εὐσεβείας μαρτυρίοις κατεκοσμήθησαν.
κϛ΄. Ὡς μυρίοις κακοῖς περιηλάθησαν Ἰουδαῖοι, καὶ ὡς τὸν ὕστατον πρὸς Ῥωμαίους ἤραντο πόλεμον.

ΛΟΓΟΣ Γ.

α΄. Ὅποι γῆς ἐκήρυξαν τὸν Χριστὸν οἱ ἀπόστολοι.
β΄. Τίς πρῶτος τῆς Ῥωμαίων ἐκκλησίας προέστη.
γ΄. Περὶ τῶν ἐπιστολῶν τῶν ἀποστόλων.
δ΄. Περὶ τῆς πρώτης τῶν ἀποστόλων διαδοχῆς.
ε΄. Περὶ τῆς μετὰ τὸν Χριστὸν ὑστάτης Ἰουδαίων πολιορκίας.
ϛ΄. Περὶ τοῦ πιέσαντος αὐτοὺς λιμοῦ.
ζ΄. Περὶ τῶν τοῦ Χριστοῦ προρρήσεων.
η΄. Περὶ τῶν πρὸ τοῦ πολέμου σημείων.
θ΄. Περὶ Ἰωσήπου, καὶ ὧν κατέλιπε συγγραμμάτων.
ι΄. Ὅπως τῶν θείων μνημονεύει βιβλίων Ἰώσηπος.
ια΄. Ὡς μετὰ Ἰάκωβον ἡγεῖται Συμεὼν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας.
ιβ΄. Ὡς Οὐεσπασιανὸς τοὺς ἐκ Δαβὶδ ζητεῖσθαι προστάττει.
ιγ΄. Ὡς δεύτερος Ῥωμαίων ἐπίσκοπος Ἀνέγκλητος.
ιδ΄. Ὡς δεύτερος Ἀλεξανδρείας ἐπίσκοπος Ἀβίλιος.
ιε΄. Ὡς τρίτος Ῥωμαίων ἐπίσκοπος Κλήμης.
ιϛ΄. Περὶ τῆς Κλήμεντος ἐπιστολῆς.
ιζ΄. Περὶ τοῦ κατὰ Δομετιανὸν διωγμοῦ.
ιη΄. Περὶ Ἰωάννου τοῦ ἀποστόλου καὶ τῆς ἀποκαλύψεως.
ιθ΄. Ὡς Δομετιανὸς τοὺς ἀπὸ γένους Δαβὶδ ἀναιρεῖσθαι προστάττει.
κ΄. Περὶ τῶν πρὸς γένους τοῦ σωτῆρος ἡμῶν.
κα΄. Ὡς τῆς Ἀλεξανδρέων ἐκκλησίας τρίτος ἡγεῖται Κέρδων.
κβ΄. Ὡς τῆς Ἀντιοχέων δεύτερος Ἰγνάτιος.
κγ΄. Ἱστορία περὶ Ἰωάννου τοῦ ἀποστόλου.
κδ΄. Περὶ τῆς τάξεως τῶν εὐαγγελίων.
κε΄. Περὶ τῶν ὁμολογουμένων θείων γραφῶν καὶ τῶν μὴ τοιούτων.

κϛʹ. Περὶ Μενάνδρου τοῦ γόητος.
κζʹ. Περὶ τῆς Ἐβιωναίων αἱρέσεως.
κηʹ. Περὶ Κηρίνθου τοῦ αἱρεσιάρχου.
κθʹ. Περὶ Νικολάου καὶ τῶν ἐξ αὐτοῦ κεκλημένων.
λʹ. Περὶ τῶν ἐν συζυγίαις ἐξετασθέντων ἀποστόλων.
λαʹ. Περὶ τῆς Ἰωάννου καὶ Φιλίππου τελευτῆς.
λβʹ. Ὅπως Συμεὼν ὁ Ἱεροσολύμων ἐπίσκοπος ἐμαρτύρησεν.
λγʹ. Ὅπως Τραϊανὸς ζητεῖσθαι Χριστιανοὺς ἐκώλυσεν.
λδʹ. Ὡς τῆς Ῥωμαίων ἐκκλησίας τέταρτος Εὐάρεστος ἡγεῖται.
λεʹ. Ὡς ἐν Ἱεροσολύμοις τρίτος Ἰοῦστος.
λϛʹ. Περὶ Ἰγνατίου καὶ τῶν ἐπιστολῶν αὐτοῦ.
λζʹ. Περὶ τῶν εἰσέτι τότε διαπρεπόντων εὐαγγελιστῶν.
ληʹ. Περὶ τῆς Κλήμεντος ἐπιστολῆς καὶ τῶν ψευδῶς εἰς αὐτὸν ἀναφερομένων.
λθʹ. Περὶ τῶν Παπία συγγραμμάτων.

ΛΟΓΟΣ Δ.

αʹ. Τίνες ἐπὶ τῆς Τραϊανοῦ βασιλείας Ῥωμαίων καὶ Ἀλεξανδρέων γεγόνασιν ἐπίσκοποι.
βʹ. Ὁποῖα Ἰουδαῖοι κατ᾽ αὐτὸν πεπόνθασιν.
γʹ. Οἱ κατὰ Ἀδριανὸν ὑπὲρ τῆς πίστεως ἀπολογησάμενοι.
δʹ. Οἱ κατ᾽ αὐτὸν Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐπίσκοποι.
εʹ. Οἱ ἀνέκαθεν ἀπὸ τοῦ σωτῆρος καὶ ἐπὶ τοὺς δηλουμένους Ἱεροσολύμων ἐπίσκοποι.
ϛʹ. Ἡ κατὰ Ἀδριανὸν ὑστάτη Ἰουδαίων πολιορκία.
ζʹ. Τίνες κατ᾽ ἐκεῖνο καιροῦ γεγόνασι ψευδωνύμου γνώσεως ἀρχηγοί.
ηʹ. Τίνες ἐκκλησιαστικοὶ συγγραφεῖς.
θʹ. Ἐπιστολὴ Ἀδριανοῦ ὑπὲρ τοῦ μὴ δεῖν ἀκρίτως ἡμᾶς ἐλαύνειν.
ιʹ. Τίνες ἐπὶ τῆς Ἀντωνίνου βασιλείας ἐπίσκοποι Ῥωμαίων καὶ Ἀλεξανδρέων γεγόνασιν.
ιαʹ. Περὶ τῶν κατ᾽ αὐτοὺς αἱρεσιαρχῶν.
ιβʹ. Περὶ τῆς Ἰουστίνου πρὸς Ἀντωνῖνον ἀπολογίας.
ιγʹ. Ἀντωνίνου πρὸς τὸ κοινὸν τῆς Ἀσίας ἐπιστολὴ περὶ τοῦ καθ᾽ ἡμᾶς λόγου.

ιδʹ. Τὰ περὶ Πολυκάρπου τοῦ τῶν ἀποστόλων γνωρίμου μνημονευόμενα.
ιεʹ. Ὅπως κατὰ Οὐῆρον ὁ Πολύκαρπος ἅμα ἑτέροις ἐμαρτύρησεν ἐπὶ τῆς Σμυρναίων πόλεως.
ιϛʹ. Ὅπως Ἰουστῖνος ὁ φιλόσοφος τὸν Χριστοῦ λόγον ἐπὶ τῆς Ῥωμαίων πόλεως πρεσβεύων ἐμαρτύρησεν.
ιζʹ. Περὶ ὧν Ἰουστῖνος ἐν ἰδίῳ συγγράμματι μνημονεύει μαρτύρων.
ιηʹ. Τίνες εἰς ἡμᾶς ἦλθον τῶν Ἰουστίνου λόγων.
ιθʹ. Τίνες ἐπὶ τῆς Οὐήρου βασιλείας τῆς Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐκκλησίας προύστησαν.
κʹ. Τίνες οἱ τῆς Ἀντιοχέων.
καʹ. Περὶ τῶν κατὰ τούτους διαλαμψάντων ἐκκλησιαστικῶν συγγραφέων.
κβʹ. Περὶ Ἡγησίππου καὶ ὧν οὗτος μνημονεύει.
κγʹ. Περὶ Διονυσίου Κορινθίων ἐπισκόπου καὶ ὧν ἔγραψεν ἐπιστολῶν.
κδʹ. Περὶ Θεοφίλου Ἀντιοχέων ἐπισκόπου.
κεʹ. Περὶ Φιλίππου καὶ Μοδέστου.
κϛʹ. Περὶ Μελίτωνος καὶ ὧν αὐτὸς ἐμνημόνευσεν.
κζʹ. Περὶ Ἀπολιναρίου τοῦ τῆς Ἱεραπολιτῶν ἐκκλησίας ἐπισκόπου.
κηʹ. Περὶ Μουσανοῦ καὶ ὧν οὗτος συνεγράψατο.
κθʹ. Περὶ τῆς κατὰ Τατιανὸν αἱρέσεως.
λʹ. Περὶ Βαρδησάνου τοῦ Σύρου καὶ τῶν φερομένων αὐτοῦ λόγων.

ΛΟΓΟΣ Ε.

αʹ. Ὅσοι καὶ ὅπως κατὰ Οὐῆρον ἐπὶ τῆς Γαλλίας τὸν ὑπὲρ τῆς εὐσεβείας διεξῆλθον ἀγῶνα.
βʹ. Ὡς οἱ θεοφιλεῖς μάρτυρες τοὺς ἐν τῷ διωγμῷ διαπεπτωκότας ἐθεράπευον δεξιούμενοι.
γʹ. Ὁποία τῷ μάρτυρι Ἀττάλῳ δι᾽ ὀνείρου γέγονεν ἐπιφάνεια.
δʹ. Ὅπως οἱ μάρτυρες τὸν Εἰρηναῖον δι᾽ ἐπιστολῆς παρετίθεντο.
εʹ. Ὡς Μάρκῳ Αὐρηλίῳ Καίσαρι ταῖς τῶν ἡμετέρων εὐχαῖς οὐρανόθεν ὁ θεὸς ἐπακούσας ὑέτισεν.
ϛʹ. Τῶν ἐπὶ Ῥώμης ἐπισκοπευσάντων κατάλογος.

ζ΄. Ὡς καὶ μέχρι τῶν τότε καιρῶν διὰ τῶν πιστῶν δυνάμεις ἐνηργοῦντο παράδοξοι.
η΄. Ὅπως ὁ Εἰρηναῖος τῶν θείων μνημονεύει γραφῶν.
θ΄. Οἱ κατὰ Κόμοδον ἐπισκοπεύσαντες.
ι΄. Περὶ Πανταίνου τοῦ φιλοσόφου.
ια΄. Περὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως.
ιβ΄. Περὶ τῶν ἐν Ἱεροσολύμοις ἐπισκόπων.
ιγ΄. Περὶ Ῥόδωνος καὶ ἧς ἐμνημόνευσεν κατὰ Μαρκίωνα διαφωνίας.
ιδ΄. Περὶ τῶν κατὰ Φρύγας ψευδοπροφητῶν.
ιε΄. Περὶ τοῦ κατὰ Βλάστον ἐπὶ Ῥώμης γενομένου σχίσματος.
ιϛ΄. Ὅσα περὶ Μοντανοῦ καὶ τῶν μετ' αὐτοῦ ψευδοπροφητῶν μνημονεύεται.
ιζ΄. Περὶ Μιλτιάδου καὶ ὧν συνέταξε λόγων.
ιη΄. Ὅσα καὶ Ἀπολλώνιος τοὺς κατὰ Φρύγας ἀπήλεγξε, καὶ τίνων ἐμνημόνευσεν.
ιθ΄. Σαραπίωνος περὶ τῆς τῶν Φρυγῶν αἱρέσεως.
κ΄. Ὅσα Εἰρηναῖος τοῖς ἐπὶ Ῥώμης σχισματικοῖς ἐγγράφως διείλεκται.
κα΄. Ὅπως ἐπὶ Ῥώμης ἐμαρτύρησεν Ἀπολλώνιος.
κβ΄. Τίνες κατὰ τούτους ἐπίσκοποι ἐγνωρίζοντο.
κγ΄. Περὶ τοῦ τότε κινηθέντος ἀμφὶ τοῦ πάσχα ζητήματος.
κδ΄. Περὶ τῆς κατὰ τὴν Ἀσίαν διαφωνίας.
κε΄. Ὅπως τοῖς πᾶσι μία ψῆφος περὶ τοῦ πάσχα συνεφωνήθη.
κϛ΄. Ὅσα τῆς Εἰρηναίου φιλοκαλίας καὶ εἰς ἡμᾶς κατῆλθεν.
κζ΄. Ὅσα καὶ τῶν λοιπῶν τῶν τηνικάδε συνηκμακότων.
κη΄. Περὶ τῶν τὴν Ἀρτέμωνος αἵρεσιν ἐξ ἀρχῆς προβεβλημένων· οἷοί τε τὸν τρόπον γεγόνασι, καὶ ὅπως τὰς ἁγίας γραφὰς διαφθεῖραι τετολμήκασιν.

ΛΟΓΟΣ Ϛ.

α΄. Περὶ τοῦ κατὰ Σεβῆρον διωγμοῦ.
β΄. Περὶ τῆς Ὠριγένους ἐκ παιδὸς ἀσκήσεως.
γ΄. Ὡς κομιδῇ νέος ὢν τὸν Χριστοῦ λόγον ἐπρέσβευεν.
δ΄. Ὅσοι δι' αὐτοῦ κατηχηθέντες προήχθησαν μάρτυρες.
ε΄. Περὶ Ποταμιαίνης.
ϛ΄. Περὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως.
ζ΄. Περὶ Ἰούδα συγγραφέως.

η΄. Περὶ τοῦ τολμηθέντος Ὠριγένει.
θ΄. Περὶ τῶν κατὰ Νάρκισσον παραδόξων.
ι΄. Περὶ τῶν ἐν Ἱεροσολύμοις ἐπισκόπων.
ια΄. Περὶ Ἀλεξάνδρου.
ιβ΄. Περὶ Σαραπίωνος καὶ τῶν φερομένων αὐτοῦ λόγων.
ιγ΄. Περὶ τῶν Κλήμεντος συγγραμμάτων.
ιδ΄. Ὁπόσων ἐμνημόνευσε γραφῶν.
ιε΄. Περὶ Ἡρακλᾶ.
ις΄. Ὅπως Ὠριγένης περὶ τὰς θείας ἐσπουδάκει γραφάς.
ιζ΄. Περὶ Συμμάχου τοῦ ἑρμηνέως.
ιη΄. Περὶ Ἀμβροσίου.
ιθ΄. Ὅσα περὶ Ὠριγένους μνημονεύεται.
κ΄. Ὅσοι τῶν τηνικάδε φέρονται λόγοι.
κα΄. Ὅσοι κατὰ τούσδε ἐπίσκοποι ἐγνωρίζοντο.
κβ΄. Ὅσα τῶν Ἱππολύτου εἰς ἡμᾶς ἦλθεν.
κγ΄. Περὶ τῆς Ὠριγένους σπουδῆς καὶ ὡς τοῦ ἐκκλησιαστικοῦ πρεσβείου ἠξιώθη.
κδ΄. Τίνα ἐπὶ τῆς Ἀλεξανδρείας ἐξηγήσατο.
κε΄. Ὅπως τῶν ἐνδιαθήκων γραφῶν ἐμνημόνευσεν.
κς΄. Ὡς Ἡρακλᾶς τὴν Ἀλεξανδρέων ἐπισκοπὴν διεδέξατο.
κζ΄. Ὅπως αὐτὸν ἑώρων οἱ ἐπίσκοποι.
κη΄. Περὶ τοῦ κατὰ Μαξιμῖνον διωγμοῦ.
κθ΄. Περὶ Φαβιανοῦ, ὡς Ῥωμαίων ἐπίσκοπος ἐκ θεοῦ παραδόξως ἀνεδείχθη.
λ΄. Ὅσοι γεγόνασιν Ὠριγένους φοιτηταί.
λα΄. Περὶ Ἀφρικανοῦ.
λβ΄. Τίνα Ὠριγένης ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἐξηγήσατο.
λγ΄. Περὶ τῆς Βηρύλλου παρατροπῆς.
λδ΄. Τὰ κατὰ Φίλιππον Καίσαρα.
λε΄. Ὡς Διονύσιος Ἡρακλᾶ τὴν ἐπισκοπὴν διεδέξατο.
λς΄. Ὅσα ἄλλα ἐσπούδασται τῷ Ὠριγένει.
λζ΄. Περὶ τῆς τῶν Ἀράβων διαστάσεως.
λη΄. Περὶ τῆς Ἑλκεσαϊτῶν αἱρέσεως.
λθ΄. Περὶ τῶν κατὰ Δέκιον.
μ΄. Περὶ τῶν Διονυσίῳ συμβάντων.
μα΄. Περὶ τῶν ἐπ᾽ αὐτῆς Ἀλεξανδρείας μαρτυρησάντων.
μβ΄. Περὶ ὧν ἄλλων ὁ Διονύσιος ἱστορεῖ.

μγ΄. Περὶ Νοουάτου, οἷός τις ἦν τὸν τρόπον, καὶ περὶ τῆς κατ᾽ αὐτὸν αἱρέσεως.
μδ΄. Περὶ Σαραπίωνος ἱστορία Διονυσίου.
με΄. Ἐπιστολὴ πρὸς Νοουάτον Διονυσίου.
μϛ΄. Περὶ τῶν ἄλλων Διονυσίου ἐπιστολῶν.

ΛΟΓΟΣ Ζ.

α΄. Περὶ τῆς Δεκίου καὶ Γάλλου κακοτροπίας.
β΄. Οἱ κατὰ τούσδε Ῥωμαίων ἐπίσκοποι.
γ΄. Ὅπως Κυπριανὸς ἅμα τοῖς κατ᾽ αὐτὸν ἐπισκόποις τοὺς ἐξ αἱρετικῆς πλάνης ἐπιστρέφοντας λουτρῷ δεῖν καθαίρειν πρῶτος ἐδογμάτισεν.
δ΄. Ὁπόσας περὶ τούτου Διονύσιος συνέταξεν ἐπιστολάς.
ε΄. Περὶ τῆς μετὰ τὸν διωγμὸν εἰρήνης.
ϛ΄. Περὶ τῆς κατὰ Σαβέλλιον αἱρέσεως.
ζ΄. Περὶ τῆς τῶν αἱρετικῶν παμμιάρου πλάνης, καὶ τῆς θεοπέμπτου ὁράσεως Διονυσίου, οὗ τε παρείληφεν ἐκκλησιαστικοῦ κανόνος.
η΄. Περὶ τῆς κατὰ Νοουᾶτον ἑτεροδοξίας.
θ΄. Περὶ τοῦ τῶν αἱρετικῶν ἀθέου βαπτίσματος.
ι΄. Περὶ Οὐαλεριανοῦ καὶ τοῦ κατ᾽ αὐτὸν διωγμοῦ.
ια΄. Περὶ τῶν τότε Διονυσίῳ καὶ τοῖς κατ᾽ Αἴγυπτον συμβάντων.
ιβ΄. Περὶ τῶν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης μαρτυρησάντων.
ιγ΄. Περὶ τῆς κατὰ Γαλλιηνὸν εἰρήνης.
ιδ΄. Οἱ κατ᾽ ἐκεῖνο συνηκμακότες ἐπίσκοποι.
ιε΄. Ὅπως κατὰ Καισάρειαν Μαρῖνος ἐμαρτύρησεν.
ιϛ΄. Ἡ κατὰ Ἀστύριον ἱστορία.
ιζ΄. Περὶ τῶν κατὰ Πανεάδα σημείων τῆς τοῦ σωτῆρος ἡμῶν μεγαλουργίας.
ιη΄. Περὶ τοῦ ἀνδριάντος οὗ ἡ αἱμορροοῦσα ἀνέστησεν.
ιθ΄. Περὶ τοῦ θρόνου Ἰακώβου τοῦ ἐπισκόπου.
κ΄. Περὶ τῶν ἑορταστικῶν Διονυσίου ἐπιστολῶν, ἔνθα καὶ περὶ τοῦ πασχα κανονίζει.
κα΄. Περὶ τῶν ἐν Ἀλεξανδρείᾳ συμβάντων.
κβ΄. Περὶ τῆς ἐπισκηψάσης νόσου.
κγ΄. Περὶ τῆς Γαλλιηνοῦ βασιλείας.
κδ΄. Περὶ Νέπωτος καὶ τοῦ κατ᾽ αὐτὸν σχίσματος.

κε΄. *Περὶ τῆς Ἰωάννου ἀποκαλύψεως.*
κϛ΄. *Περὶ τῶν ἐπιστολῶν Διονυσίου.*
κζ΄. *Περὶ Παύλου τοῦ Σαμοσατέως καὶ τῆς ἐν Ἀντιοχείᾳ συστάσης ὑπ᾽ αὐτοῦ αἱρέσεως.*
κη΄. *Περὶ τῶν τότε γνωριζομένων διαφανῶν ἐπισκόπων.*
κθ΄. *Ὅπως ὁ Παῦλος ἀπελεγχθεὶς ὑπὸ Μαλχίωνός τινος ἀπὸ σοφιστῶν πρεσβυτέρου ἐξεκηρύχθη.*
λ΄. *Περὶ τῆς κατὰ Παύλου ἐπιστολῆς τῶν ἐπισκόπων.*
λα΄. *Περὶ τῆς τῶν Μανιχαίων ἑτεροδόξου διαστροφῆς ἄρτι τότε ἀρξαμένης.*
λβ΄. *Περὶ τῶν καθ᾽ ἡμᾶς αὐτοὺς διαπρεψάντων ἐκκλησιαστικῶν ἀνδρῶν τίνες τε αὐτῶν μέχρι τῆς τῶν ἐκκλησιῶν πολιορκίας ἔμειναν.*

ΛΟΓΟΣ Η.

α΄. *Περὶ τῶν πρὸ τοῦ καθ᾽ ἡμᾶς διωγμοῦ.*
β΄. *Περὶ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως.*
γ΄. *Περὶ τοῦ τρόπου τῶν κατὰ τὸν διωγμὸν ἠγωνισμένων.*
δ΄. *Περὶ τῶν ἀοιδίμων τοῦ θεοῦ μαρτύρων· ὡς πάντα τόπον ἔπλησαν τῆς ἑαυτῶν μνήμης, ποικίλους τοὺς ὑπὲρ εὐσεβείας ἀναδησάμενοι στεφάνους.*
ε΄. *Περὶ τῶν κατὰ Νικομήδειαν.*
ϛ΄. *Περὶ τῶν κατὰ τοὺς βασιλικοὺς οἴκους.*
ζ΄. *Περὶ τῶν κατὰ Φοινίκην Αἰγυπτίων.*
η΄. *Περὶ τῶν κατὰ τὴν Αἴγυπτον.*
θ΄. *Περὶ τῶν κατὰ Θηβαΐδα.*
ι΄. *Φιλέου μάρτυρος περὶ τῶν κατ᾽ Ἀλεξάνδρειαν πεπραγμένων ἔγγραφοι διδασκαλίαι.*
ια΄. *Περὶ τῶν κατὰ Φρυγίαν.*
ιβ΄. *Περὶ πλείστων ἑτέρων ἀνδρῶν τε καὶ γυναικῶν διαφόρως ἠγωνισμένων.*
ιγ΄. *Περὶ τῶν τῆς ἐκκλησίας προέδρων, τῶν τὸ γνήσιον ἧς ἐπρέσβευον εὐσεβείας διὰ τοῦ σφῶν αἵματος ἐπιδεδειγμένων.*
ιδ΄. *Περὶ τοῦ τρόπου τῶν τῆς εὐσεβείας ἐχθρῶν.*
ιε΄. *Περὶ τῶν τοῖς ἐκτὸς συμβεβηκότων.*
ιϛ΄. *Περὶ τῆς ἐπὶ τὸ κρεῖττον τῶν πραγμάτων μεταβολῆς.*
ιζ΄. *Περὶ τῆς τῶν κρατούντων παλινῳδίας.*

ΛΟΓΟΣ Θ.

α'. *Περὶ τῆς ἐπιπλάστου ἀνέσεως.*
β'. *Περὶ τῆς μετέπειτα διαστροφῆς.*
γ'. *Περὶ τοῦ κατ' Ἀντιόχειαν νεοπαγοῦς ξοάνου.*
δ'. *Περὶ τῶν καθ' ἡμῶν ψηφισμάτων.*
ε'. *Περὶ τῶν ἐπιπλάστων ὑπομνημάτων.*
ϛ'. *Περὶ τῶν ἐν τῷδε τῷ χρόνῳ μεμαρτυρηκότων.*
ζ'. *Περὶ τῆς καθ' ἡμῶν ἐν στήλαις ἀνατεθείσης γραφῆς.*
η'. *Περὶ τῶν μετὰ ταῦτα συμβεβηκότων ἐν λιμῷ καὶ λοιμῷ καὶ πολέμοις.*
θ'. *Περὶ τῆς τῶν θεοφιλῶν βασιλέων νίκης.*
ι'. *Περὶ τῆς τῶν τυράννων καταστροφῆς τοῦ βίου, καὶ οἵαις ἐχρήσαντο πρὸ τῆς τελευτῆς φωναῖς.*
ια'. *Περὶ τῆς ὑστάτης ἀπωλείας τῶν τῆς θεοσεβείας ἐχθρῶν.*

ΛΟΓΟΣ Ι.

α'. *Περὶ τῆς ἐκ θεοῦ πρυτανευθείσης ἡμῖν εἰρήνης.*
β'. *Περὶ τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως.*
γ'. *Περὶ τῶν κατὰ πάντα τόπον ἐγκαινίων.*
δ'. *Πανηγυρικὸς ἐπὶ τῇ τῶν πραγμάτων φαιδρότητι.*
ε'. *Ἀντίγραφα βασιλικῶν νόμων.*
ϛ'. *Περὶ τῶν Χριστιανοῖς προσηκόντων.*
ζ'. *Περὶ τῆς τῶν κληρικῶν ἀλειτουργησίας.*
η'. *Περὶ τῆς Λικιννίου εἰς ὕστερον κακοτροπίας, καὶ τῆς καταστροφῆς αὐτοῦ.*
θ'. *Περὶ τῆς νίκης Κωνσταντίνου καὶ τῶν ὑπ' αὐτοῦ τοῖς ὑπὸ τὴν Ῥωμαίων ἐξουσίαν ὑπαρξάντων.*

ܡܐܡܪܐ ܩܕܡܝܐ. ܕܗܘ ܡܐܡܪܐ ܕܦܘܪܩܘ.

§ 1. ܡܫܡܠܝܘܬܐ ܕܫ̈ܠܝܚܐ ܕܡܢ ܣܘܟܠܗܘܢ ܕܦܪܘܩܢ ܘܡܕܡܐ ܠܘܬܝ ܟܢܫܬ ܕܐܬܦܫܩ ܒܟܬܒܐ. ܘܒܟܬܒܐ ܘܕܐܝܟ ܐܝܠܝܢ ܕܟܠܗܝܢ ܡܬܡܠܠܢ ܕܐܬܡܛܝ ܒܡܫܡܠܝܘܬܐ ܕܟܢܐ[1]. ܘܕܐܝܠܝܢ ܐܝܟ ܗܠܝܢ ܕܡܫܠܡܐ ܒܡܫܡܠܝܘܬܐ ܐܢܫܘܬܐ ܗܘܘ ܩܫܝܐ ܘܡܕܒܪܢܐ. ܘܕܐܝܠܝܢ ܐܝܟ ܗܠܝܢ ܕܟܠܗ ܕܢ ܐܒܪܗ ܡܫܐ ܕܐܠܗܐ. ܐܘ ܕܠܐ ܡܬܚܫܒܐ ܐܘ ܒܡܫܡܠܝܘܬܐ. ܘܕܐܝܠܝܢ ܐܝܟ ܘܒܡܠܐ. ܘܟܠܐܝܠܝܢ ܪ̈ܒܐ ܐܝܟܘ ܡܫܬܐܠܬ ܐܦ[2] ܡܫܟ̈ܠܐ ܕܬܘܕܝܬܐ ܕܡܕܒܪܬܐ ܕܝܠܗ. ܘܠܐ ܣܘܟܠܐ ܐܝܟ ܕܐܦ̈ܐ ܡܫܬܟܚܐ[3] ܗܟܘ ܟܠܗ ܡܬܟܫܦܝܢ ܕܡܫܝܚܐ. § 2. ܘܟܠܗ ܗܠܝܢ ܩܕܡ ܕܢܦܩ ܡܫܝܚܐ ܠܥܠܡܐ ܕܢܨܚܢܐ. ܟܠܗ ܕܗܟܘ ܘܐܡܪܘ ܟܠܗ ܦܪܘܩܢ. ܘܕܐܟܠ ܘܟܠܐܝܠܝܢ ܪ̈ܒܐ ܐܬܦܪܫ ܡܢ ܫ̈ܡܝܐ ܡܫܡܠܝܘ[4] ܕܦܪܘܩܢ. ܘܕܐܝܠܝܢ ܐܝܟܐ[5] ܒܟܠܗ ܪ̈ܒܝܢ ܡܫܟܠܐ ܐܝܟ ܡܫܡܠܝ ܡܫܬܘ ܕܡܢܝ. ܒܥܡܝܐ ܘܒܡܫܩܠܐ[6] ܘܐܝܟ ܕܡܠܐ. ܘܒܗ ܗܠܝܢ ܐܦ[7] ܡܫܬܪܝܐ ܕܗܘܘ ܒܡܫܡܠܝ. ܘܡܫܬܪܝܐ ܕܡܫܡܠܝܘܬܐ ܕܦܪܘܩܢ ܕܗܘܘ ܒܟܠܗ ܪ̈ܒܝܢ ܀ ܒܕ ܗܠܝܢ ܕܝܢ ܕܐܬܡܛܝ[8] ܟܠ ܐܝܬ. ܐܠܐ ܕܐܒܕ ܡܫܪܐ ܠܥܠܡܐ. ܡܢ ܡܫܡܠܝܘܬܗ ܩܕܡܝܬܐ ܕܦܪܘܩܢ. ܘܡܢܝ[9] ܣܘܟܠܗ ܡܫܝܚܐ ܒܪܗ ܕܐܠܗܐ. § 3. ܡܬܠܟܠ ܕܝܢ ܕܐܬܒܪܝ[10] ܡܢ ܢܦܫ ܦܪܘܩܐ. ܡܛܠ ܐܝܬ ܕܝܢ[11] ܕܠܟܢ ܡܢ

---

1 B. ܕܟ̈ܬܐ. 2 B. om. ܐܦ. 3 B. ܡܫܟ̈ܚܐ. 4 B. ܡܫܡܠܝܘ ܕܐܠܗܐ. 5 B. ܐܝܟܢ. 6 B. ܘܡܫܩ̈ܠܐ. 7 B. add. ܟܠ. 8 B. ܕܐܬܡܛܝ. 9 B. ܡܢܝ. 10 B. ܕܐܒܪܝ. 11 B. ܕܝܢ.

ܡܛܠ. ܡܥܘܪܐ ܗܘܐ ܐܣܟܡ ܕܡܫܡܫܢܘܬܗ ܗܘܬ. ܐܠܗܘܬܗ ܣܢܣ
ܐܢܫ ܐܝܟ. ܥܦܪܐ ܒܘܢܐ ܐܫܟܚ ܡܬܕܠܐ ܓܝܪ ܗܘ ܕܢܚܝ
ܕܕܪܐ ܒܐܘܪܚܐ ܕܠܐ ܕܪܫܐ. ܘܡܬܠܟܢ ܕܐܠܗܐ ܢܗܘܐ ܠܝ ܗܘܝܐ.
ܘܚܠܐ ܕܡܢܝ ܢܗܘܐ ܒܥܘܕܪܢܝ. ܒܩܕܡܐ ܓܝܪ ܬ̈ܠܡܐ ܕܐܢܫܐ
ܐܚ̈ܪܢܐ ܕܐܕܪܘ[1] ܡܕܡ ܒܥܘܪܐ ܐܘܪܚܐ ܠܐ ܐܫܟܚܝܢ. ܐܠܐ
ܒܟܠܗ ܬܠ̈ܡܐ ܐܒܘ̈ܬܐ ܕܠܫܡ̈ܝܐ ܕܐܢܫ ܐܝܟ. ܒܪ̈ܢܫܐ ܕܗܘܘ
ܒܗܘܢ ܒܫ̈ܢܝܢ ܩ̈ܢܝܢ ܕܢܣܒܘ[2] ܠܝ. ܘܐܝܟ ܕܡܢ ܛܘܪܐ ܡܫܬܐܠ
ܒܐܘܪܚܐ[3] ܕܩ̈ܠܝܢܘܢ[4]. ܐܝܟ ܕܡܢ ܢܫܐ ܕܪܘܡܐ ܡܢܝ ܘܡܫܡܥ
ܕܟܠܗܘܢ[5] ܠܐܠܗܐ. ܘܡܕܪܫܬܐ ܕܡܠܬܐ ܛܪܝܢ ܠܝ ܕܠܐ ܢܟܬܘܒ.
§ 4. ܢܠܘܢ ܕܝܢ ܐܠܝܢ ܕܪܘܚܢ ܕܣܝܡܝܢ ܒܐܘܪܚܐ ܥܦܪܐ. ܡܢ
ܐܠܝܢ ܕܒܝܬ ܒܥܘܕܪܢܝܗܘܢ ܕܩ̈ܕܡܝܐ ܡܩ̈ܒܠܐ. ܐܝܟ ܕܡܢ
ܡܪܝܐ ܡܫܠܡ[6] ܢܠܡܘܢ ܩ̈ܕܡܐ ܕܩ̈ܠܝܢܘܢ. ܘܢܝܚܘܬ ܒܐܢܫܐ
ܕܠܥܠܡ. ܘܢܫܠܡ ܡܬܒܠܢܘܬܐ ܕܩ̈ܠܝܢܘܗܝ ܕܦܪ̈ܘܩܢ. ܕܢܛܪ
ܒܥܘܕܪܢܗ ܒܟܬܒܐ ܚܕ̈ܬܐ ܕܡܢ ܒܥܘܕܪܐ. ܐܦ ܠܐ ܕܒܠܘܢ.
ܐܠܐ ܐܦ ܕܐܠܝܢ ܕܝܕܥ ܒܗܘܢ. § 5. ܦܫܝܛ ܕܝܢ ܒܗܘܢ
ܒܡܠܬܗ ܕܗܘܐ ܥܦܪܐ ܕܪܘܡܐ ܠܝ. ܡܛܠ ܕܠܝܬ ܡܢ ܡܩ̈ܒܠܐ
ܩܕܡܐ ܕܗܘܘ ܟ̈ܬܒܐ[7]. ܠܐ ܐܬܪܥܝܬ ܕܗܘܬ ܣܦܝܩܘܬܐ ܒܠܐ
ܡܩܒܠܢܘܬܗ ܕܗܘܐ ܥܦܪܐ. ܡܣܬܟܠ ܕܝܢ ܕܢܗܘܐ ܣܘܟܠܐ.
ܠܐܠܝܢ ܕܡܣܝܒܝܢ ܣܘܟܠܐ ܕܐܢܫܐ ܕܠܫܡ̈ܝܐ ܗܘܐ. § 6. ܐܦ
ܒܝ ܗܫܐ ܡܢܗ ܕܗܘܐ ܥܦܪܐ. ܒܫܡܝܐ[8] ܕܪ̈ܒܐ ܕܡܣܝܒ
ܠܝ ܒܦܫܩܝܢ ܦܫ̈ܩܝܢ ܦܫܝܛ ܗܘ ܠܝ. ܗܫܐ ܕܝܢ

1 B. ܘܕܪܘ. 2 A. ܕܢܣܒ. 3 B. ܒܐܘܪܚܐ. 4 B. ܕܩ̈ܠܝܢܘܢ. 5 B. add. ܐܘܪܚܐ. 6 B. ܡܪܝܐ ܩ̈ܕܡܐ. 7 B. ܟܬܒܐ. 8 B. ܒܫܡ̈ܝܐ ܕܪ̈ܒܐ ܕܡܢ ܡܕܡ ܦܫܩܝܢ ܠܝ.

ܡܫܡܠܝܐܝܬ ܐܫܟܚܬ ܕܐܟܬܘܒ ܫܘܠܡܐ ܕܗܕܐ ܠܫܘܪܝܐ
ܕܬܫܥܝܬܐ ܟܠܗ.

CAP. 2.

ܕܬܪܝܢ. ܦܣܩܐ ܕܪ̈ܫܐ. ܕܐܡܝܪ ܥܠ ܩܕܡܘܬܐ ܐܠܗܘܬܗ
ܕܦܪܘܩܢ. ܡܪܢ ܝܫܘܥ ܡܫܝܚܐ ܒܪܗ ܕܐܠܗܐ.

§ 7.[1] ܐܫܪܐ ܗܟܝܠ ܒܡܠܬܐ ܐܝܟ ܕܩܕܡܬ ܐܡܪܬ. ܡܢ ܐܠܗܘܬܗ ܥܠܝܬܐ ܘܡܝܬܪܬܐ ܕܡܫܝܚܐ ܠܒܪ ܡܦܪܢܣܘܬܐ ܕܒܦܓܪ. § 8. ܐܦ ܕܝܢ ܗܘ ܓܝܪ ܠܐܢܫ ܕܢܫܠܡ ܠܗ ܒܬܫ̈ܒܚܬܐ ܠܟܬ̈ܒܬܐ ܕܡܫܬܥܝܢ ܕܥܒܕܐ. ܘܡܢ ܠܟܠ ܢܐܡܪ ܥܠ ܫܘܪܝܗ ܕܡܫܝܚ ܡܢ ܐܠܗܘܬܐ ܗܘ ܓܝܪ

Cap. 2. § 1. ܡܛܠ ܐܢܫܘܬܐ ܟܝܢܗ ܡܫܝܚܘܬܐ ܗܕܐ. ܐܠܗܘܬܗ ܓܝܪ ܬܘܦܣܗ ܟܐܢ ܦܘܪܫܢ. ܕܡܬܦܣܩ ܒܦܓܪܐ. ܕܪܫܐ ܐܝܟ ܐܠܗܘܬܗ. ܘܒܬܪܟܢ ܡܬܦܫܩܢܐ ܐܢܫܘܬܗ[2] ......ܠ..... ܕܠܒܫ ܡܛܠܬܢ ܦܪܘܩܢ. ܡܛܠ ܕܒܥܝܢ ܗܠܝܢ ܫܘܪܝܐ ܠܥܠܡ ܡܢ ܩܕܡܘܬܐ ܐܠܗܘܬܗ. ܗܘܬ ܡܫܡܠܝܐ ܠܫܘܪܝܐ ܕܡܫܬܥܝܢܘܬܗ. ܗܢ ܕܝܢ ܗܕܐ ܐܦ ܩܕܡܘܬܗܘܢ ܘܐܠܗܘܬܗܘܢ ܕܬܫ̈ܥܝܬܐ ܡܬܒܥܝܐ. ܕܐܦ ܡܢ ܩܕܝܡ ܥܠܡܐ ܗܘܬ ܠܐܠܗܐ. ܘܠܐ ܗܘܐ ܐܝܟ ܕܡܣܬܒܪ ܐܢܫ ܕܗܘܐ ܗܘ ܚܕܬܐ ܐܝܬܘܗܝ .܀. § 2. ܥܠ ܡܘܠܕܐ ܕܝܢ ܘܐܝܬܘܬܐ ܕܐܝܬܘܗܝ ܕܡܫܝܚܐ ܠܐ ܐܝܬ ܡܠܬܐ ܕܣܦܩܐ ܠܡܫܬܥܝܘ. ܐܝܟ

1 (=Ed. Schwegler. Cap. 1. § 7.) (Lacuna in cod. B. (Mus. Brit.).
2 Rasura in A., quam alius sic explevit: ܐܢܫܘܬܐ ܕܡܢ ܢܒܝ ܠܐܠܗܐ.

ܕܐܡܪܬ ܦܘܠܚ ܕܐܠܗܐ ܒܚܫܘܟܐ. ܕܕܪܘ ܗܢܘ ܢܡܛܐ. ܡܛܠ
ܓܝܪ ܕܐܡܚܠ ܕܠܐܟܠ ܠܐ ܝܕܥ ܐܢܫ ܐܠܐ ܠܝ ܒܪܐ. ܐܦ ܠܐ ܠܒܪܐ
ܡܫܟܚ ܐܢܫ ܕܢܕܥ ܐܝܟ ܡܐ ܕܐܝܬܘܗܝ. ܐܠܐ ܒܠܚܘܕ ܐܢܐ
ܕܡܒܪܗ. § 3. ܠܒܘܪܐ ܓܝܪ ܕܡܢ ܩܕܡ ܥܠܡܐ. ܘܡܫܡܫܬܐ
ܕܡܘܗܒܬܐ ܡܥܒܕܢܐ. ܘܡܫܡܫܢܐ ܐܠܗܐ ܚܝܐ. ܗܘ ܕܐܝܬܘܗܝ ܗܘܐ ܡܢ
ܒܪܫܝܬ ܥܠܡ ܐܝܬܘܗܝ. ܡܢܘ ܡܪܐ ܕܒܐܪܥܘܗܝ ܡܫܪܝܬܐ. ܐܠܐ
ܐܢܐ. ܠܗܘ ܕܗܘܝܘ ܒܠܚܘܕܘܗܝ ܣܓܕܐ ܕܐܠܗܘܬܐ. ܕܩܝܡ
ܠܥܠܡܝܢ ܒܪ̈ܝܬܐ ܕܩܝܡܝܢ ܘܠܐ ܩܝܡܝܢ. ܠܒܪ ܡܢܚܘܬܐ
ܕܚܝܠܐ ܡܫܬܢܝܢ ܕܠܐ ܡܫܬܢܐ. ܠܗܘ ܕܗܘܝܘ ܕܡܪܐ ܘܡܫܠܛܢܐ.
ܠܡܫܪܐ ܕܒܪܝܬܐ ܟܠܗܝܢ ܕܐܝܬ. ܠܗܘ ܕܐܝܬܘܗܝ ܒܪܘܚܐ
ܕܟܠ ܟܕ ܐܝܬ. ܠܗܘ ܕܗܘܝܘ ܟܠܐ ܕܟܠ ܕܗܘܐ. ܠܗܘ
ܕܐܝܬܘܗܝ ܒܪܐ ܚܝܠܐ ܘܡܫܒܚܐ ܕܐܠܗܐ. ܗܘ ܕܐܝܬܘܗܝ ܟܠ
ܟܠ ܡܪܐ ܘܐܠܗܐ ܘܡܠܟܐ. ܕܐܝܟ ܚܕܐ ܡܢ̈ܘܬܐ ܡܫܬܡܠܝܐ ܟܠܗ
ܚܝܠ ܘܐܠܗܘܬܐ ܘܐܡܪܐ. ܡܢ ܟܠܐ ܕܐܝܬܘܬܐ ܕܐܝܬ ܐܝܬ ܠܗ.
ܕܐܝܟ ܕܐ ܕܐܡܪܝܢ ܒܫܡܐ ܟܠ ܐܠܗܘܬܗ. ܒܪܫܝܬ ܐܝܬܘܗܝ
ܗܘܐ ܡܠܬܐ. ܘܗܘ ܡܠܬܐ ܐܝܬܘܗܝ ܗܘܐ ܠܘܬ ܐܠܗܐ. ܘܐܠܗܐ
ܐܝܬܘܗܝ ܗܘܐ ܡܠܬܐ. ܘܟܠ ܒܗ ܗܘܐ. ܘܒܠܥܕܘܗܝ ܐܦܠܐ
ܡܕܡ ܗܘܐ. § 4. ܕܗܘ ܗܘܐ ܐܦ ܡܢܡܐ ܡܒܕܠ ܘܦܢܬܐ ܕܒܢ̈ܫܐ.
ܟܕ ܐܟܚܕ ܒܪܘܚܐ ܕܐܠܗܐ ܥܠ ܗܘܝܐ ܘܠܘܩܒܠ ܕܒܪ̈ܝܬܐ
ܟܠܗܘܢ ܥܠ ܡܥܡܝܐ ܐܟܚܕ ܕܐܝܬܘܗܝ ܒܪܘܚܐ ܕܟܠ
ܘܡܫܡܫܢܐ. ܗܘܘ ܕܝܢ ܥܠ ܡܠܬܐ ܐܠܗܐ. ܕܡܢ ܡܢ ܒܪܫܝܬ.
ܥܠܘ ܗܘ ܫܘܠܛ ܒܒܢܘ ܒܥܘܡܩܐ ܕܒܪܢܫܐ. ܐܡܪ ܠܗܘܢ ܓܝܪ
ܐܠܗܐ. ܕܢܒܥ ܐܢܫܐ ܒܪܠܒܟܘܢ ܐܝܟ ܕܡܘܬܝ. § 5. ܘܡܠܦܘ ܥܠ
ܗܕܐ ܡܠܬܐ. ܫܡܥ ܠܒܪܗ ܢܒܝܐ ܐܫܥܝܐ. ܟܕ ܐܡܪ ܥܠ ܐܠܗܐ

ܒܡܫ̈ܚܬܐ. ܕܗܘ ܐܡܪ ܘܗܘܘ. ܘܗܘ ܦܩܕ ܘܐܬܒܪܝܘ.
ܗܢܘ ܕܝܢ. ܕܡܫܘܬܦ ܠܒܪܐ ܥܡ ܐܒܐ ܒܒܪ̈ܝܬܗ.
§ 6. ܠܗܠ ܕܝܢ ܢܣܒ ܡܫܘܚܬܐ ܕܐ . . . ܬܐ[1]. ܒܠܐ ܐܢܫ
ܕܐܬܡܠܟܘ ܒܕܡܘܬܐ. ܘܒܝܘܡܐ ܫܬܝܬܝܐ ܕܒܪܐ ܐܠܗܐ.
ܕܒܗ ܡܡܠܐ ܘܡܕܡܘܬܗ. ܐܒܪܗܡ ܘܒ̈ܢܘܗܝ. ܐܝܠܝܢ
ܕܐܬܝܠܕܘ ܡܢ ܒܬܪܗ ܕܢܘܚ ܘܒ̈ܢܘܗܝ. ܒܥܕܢ ܢܘܚܐ ܕܐܬܦܢܝܬ
ܚܙܝܗܝ ܘܝܕܥܘܗܝ. ܐܝܟ ܕܠܒܪܐ ܕܐܠܗܐ ܦܩܝܕܐ ܕܢܗܘܐ
ܡܡܠܟ ܗܘܐ ܠܗ. § 7. ܘܗܘ ܗܘܐ ܠܒܢܝܗܝ ܡܠܟܐ
ܒܠܐ ܐܝܟܢܐ ܕܐܒܐ. ܐܡܪ ܓܝܪ ܕܐܬܚܙܝ ܡܪܝܐ ܐܠܗܐ ܐܝܟ
ܒܪܢܫܐ ܦܫܝܛܐ ܠܐܒܪܗܡ. ܟܕ ܝܬܒ ܥܠ ܬܪܥ ܡܫܟܢܗ
ܕܡܡܪܐ. ܗܘ ܕܝܢ ܢܛܠ ܥܝܢܘܗܝ. ܟܕ ܕܝܢ ܒܥܝܢ̈ܘܗܝ ܚܙܐ ܠܐܢܫܐ
ܚܙܐ ܗܘܐ. ܦܬܟܪ ܗܘܐ ܐܝܟ ܕܠܐܠܗܐ. ܘܡܣܬܒܪ ܗܘܐ ܐܝܟ
ܕܠܒܪܐ. ܘܡܘܕܐ ܕܠܐ ܝܕܥ ܗܘܐ ܠܗ ܕܡܢܘ ܗܘ. ܟܕ ܐܡܪ
ܒܡ̈ܠܐ ܗܠܝܢ. ܡܪܝܐ. ܕܐܢ ܕܒܠܗ ܐܫܟܚܬ. ܠܐ ܬܥܒܪ ܕܝܠܟ ܗܘܐ.
§ 8. ܐܠܗܐ ܕܝܢ ܘܡܪܝܐ ܕܐܝܟ ܒܠܒܗ ܐܫܟܚ. ܐܬܚܙܝ ܒܐܣܟܡܐ
ܕܒܪܢܫܐ. ܡܢܘ ܐܚܪܝܢ ܡܫܬܡܥܢܘ ܐܠܐ ܐܢ ܡܠܬܐ ܐܠܗܐ. ܗܘ
ܕܐܬܚܙܝ ܗܘܐ ܡܢ ܩܕܝܡ. ܕܒܠܗܘܢ ܐܡܪ ܒܡܫܡܥܘܬܐ.
ܕܫܪܝ ܡܠܬܗ ܘܐܬܦܫ ܐܝܟ ܩܕܡ ܐܝܟ ܡܢ ܚܒܠܐ. ܒܠܐ
ܗܘܐ ܕܐܬܚܙܝ ܡܪܝܐ ܕܫܪܐ ܥܡ ܐܒܐ. ܦܫܝܛܐܝܬ ܐܡܪ
ܡܡܠܐ. ܕܐܡܪ ܡܪܝܐ ܒܠܐ ܦܪܘܩ ܘܡܠܐ ܒܡܘܪܐ ܢܘܪܐ
ܘܒܪܝܬܐ ܡܢ ܩܕܡ ܡܪܝܐ. ܠܗܘܠ ܕܐܬܚܙܝ ܠܡܘܫܐ
ܒܐܣܟܡܐ ܕܒܪ ܐܢܫܐ. ܐܠܗܐ ܡܫܡܥܘ ܠܗ ܒܟܠܐ. ܐܡܪ
ܠܗ ܓܝܪ ܠܡܘܫܐ. ܕܠܐ ܡܫܟܚ ܢܚܙܐ ܦܪܨܘܦܝ ܒܪܢܫܐ.

1 Rasura in A., quam alius sic explevit: ܕܝܢ ܒܡܠܟܘܬܐ.

ܐܠܐ ܢܗܘܐ ܥܡܟ ܐܝܟ ܡܫܡܫܢܐ ܕܐܬܡܪܬܐ ܟܡ ܐܠܦܐ. ܘܐܡܪ
ܢܟܡܠ ܥܡܗ ܕܐܬܪܐ ܗܘ ܚܕܐ ܕܐܠܦܐ. ܐܡܪ ܝܫܘܥ ܕܝܠܗ
ܠܐܠܦܐ ܐܩܝܡ ܒܐܩܝܡ ܘܐܬܦܝܣ ܢܗܡ. § 10. ܚܙܐ ܝܫܘܥ
ܕܐܠܦܐ ܕܐܬܒܛܠ. ܘܢܡܪ ܕܐܬܚܙܝ ܕܩܠܐܒܐ ܩܢܘܢܐ
ܘܡܢܩܘܫܐ. ܠܐ ܡܫܬܟܚ ܠܝ ܐܡܪ ܝܫܘܥ ܕܐܬܚܙܝ ܠܟܠܗܘܢ
ܐܝܟ ܚܕ ܡܢܗܘܢ. ܠܐ ܡܟܡܐ ܡܢܗ ܒܟܠܐ. ܠܝܫܘܥ ܡܪܝܐ
ܘܠܐ ܐܠܦܐ ܡܡܢܗ ܠܗܘܢ ܐܠܐ ܩܠܐܒܐ. ܘܡܢ ܩܢܝܢܐ ܡܢܡܢ
ܐܝܟ ܠܡܬܒܥܘܬܗ ܡܡܠܠܬܐ. ܠܗܘܢ. ܐܦ ܢܡܘܣ ܗܘ
ܕܡܠܐ ܡܢ ܡܘܡܐ. ܐܝܟ ܡܡܠܠ ܟܠ ܩܠܐܒܐ ܕܢܡܘܣܐ. ܘܪܒܐ
ܩܠܐܒܐ ܘܡܬܠܬܐ ܥܩܝܡܐ. ܦܒ ܚܬܠܬܐ ܕܡܢܝܐ ܡܡܢܗ ܠܗܘ.
ܒܝ ܚܝܘܗܝ ܒܐܬܚܟܡܬܐ ܕܒܪ ܐܢܫܐ. § 12. ܒܫܒܬ ܝܫܘܥ
ܕܒܝ ܗܘܐ ܢܥܠ ܒܟܡܬܐ ܕܐܚܪܢܐ. ܐܦܩ ܒܢܝܗܘܢ ܘܚܙܐ
ܠܓܒܪܐ ܕܡܬܡ ܠܡܘܬܗ. ܘܫܩܠܗ ܥܡܗ ܘܐܚܕ ܒܐܝܕܗ.
ܘܐܡܪ ܠܗܬܗ ܢܥܡܝ ܘܐܡܪ ܠܗ. ܡܢܘ ܐܝܬ ܐܘ ܡܢ
ܒܢܝ ܒܝܬܝ ܘܐܡܪ ܠܗ. ܐܢܐ ܦܬ ܚܬܠܬܐܗ ܐܢܐ ܕܡܢܝܐ. ܘܗܘܐ
ܐܬܗ. ܘܢܥܡܝ ܢܦܠ ܟܠ ܐܦܘܗܝ ܟܠ ܐܪܥܐ. ܘܐܡܪ ܠܗ
ܡܢܘ ܡܢܐ ܥܡܝ ܐܝܬ ܠܗ ܠܟܘܢ. ܘܐܡܪ ܦܬ ܚܬܠܬܐܗ
ܕܡܢܝܐ ܠܢܥܡܝ. ܥܢܐ ܩܢܡܢܝ ܡܢ ܝܫܘܥ. ܡܛܠ ܕܕܘܟܬܐ
ܕܡܬܡ ܐܝܬ ܒܗܘ ܡܢܝܐ ܗܝ. § 13. ܡܢ ܗܘܝܐ ܡܡܬܘܪܬܐ
ܡܢܗܘܢ ܡܢ ܩܠܐ. ܕܗܘܐ ܠܐ ܗܘܐ ܗܘ ܕܐܬܚܙܝ ܠܟܡܡܐ.
ܕܗܘܝ ܗܠܝܢ ܩܠܐ ܐܡܪ ܢܦܠܐ ܕܐܬܐܡܪ ܐܦ ܠܗܝܢ ܗܢܐ. ܒܝ
ܚܙܐ ܠܗܡ ܡܢܝܐ ܕܡܢܒ ܡܡܡܐ ܠܟܡܚܙܐ. ܡܪܐ ܠܗܘ ܡܢܝܐ ܡܢ
ܡܢܝܐ ܘܐܡܪ. ܡܡܡܐ ܡܡܡܐ ܘܐܡܪ ܗܘܐ ܐܢܐ. ܘܐܡܪ ܠܐ ܬܬܡܢܒ
ܠܗܘܦܐ. ܥܢܐ ܩܢܡܢܝ ܡܢ ܝܫܘܥ ܡܛܠ ܕܐܬܐ ܕܡܬܡ ܐܝܬ

ܒܗ ܐܬܪܐ ܗܘ ܩܕܝܫܐ. ܘܐܡܪ: ܠܗ[1] ܐܢܐ ܐܢܐ ܐܠܗܗ ܕܐܒܘܟ.
ܐܠܗܗ ܕܐܒܪܗܡ. ܐܠܗܗ ܕܐܝܣܚܩ. ܐܠܗܗ ܕܝܥܩܘܒ.
§ 14. ܗܟܝܠ ܡܩܕܫܐ ܗܘܬ ܘܩܕܝܫܐ ܕܐܝܟ ܗܘܬ ܩܕܡ ܠܟܠܡܐ
ܐܬܘܬܐ ܚܕܐ ܕܡܫܡܫܢܐ ܒܡܘܫܐ. ܗܘ ܕܡܫܟܢܬܐ ܗܘܬ
ܒܗ ܐܝܟ ܘܐܠܗܐ ܕܟܠܐ. ܒܢܘܡܘܣܐ ܕܟܠܐ ܕܐܬܟܪܝ. ܕܗܘ
ܐܬܦܢܝ ܐܠܗܐ ܘܫܒܚܬܐ. ܕܐܬܚܘܝ[2] ܗܘܐ ܗܘܟܠܐ ܡܢ
ܩܕܡ ܡܫܬܐ ܐܠܗܐ. ܘܠܐܝܟ ܐܝܟ ܡܬܚܙܝܐ ܗܘܐ. ܐܦ ܠܐ
ܠܟܠܢܫ. ܒܪܘܚܢܘܬܐ ܗܘ ܗܘܐ ܐܬܚܙܝ[3]. § 17. ܕܡܫܬܡܠܐ
ܐܝܟܢܐ ܕܝܢ ܠܐ ܡܬܡܪ ܗܘܐ ܠܟܠܗܘܢ ܒܢܝܢܫܐ ܡܢ ܩܕܡ ܐܝܟ
ܕܩܕܡ. ܢܘܕܥ ܦܫܝܛܐܝܬ ܕܒܪܐ ܩܕܡܐ ܕܐܢܫܘܬܐ. ܠܐ ܓܝܪ
ܗܘܐ ܚܙܐ ܕܢܬܟܠܐ ܘܡܛܠ ܕܫܒܚܬܐ ܒܚܙܝܬܐ ܕܡܫܝܚܐ.
§ 18. ܟܕ ܒܠܒܐ ܓܝܪ ܕܒܢܝܐ ܩܕܡܝܐ ܟܠܐ ܦܘܩܕܢܐ ܕܐܠܗܐ.
ܐܬܒܛܠ ܡܢ[4] ܚܝܐ ܡܩܒܠܐ. ܘܐܬܚܝܒ ܡܘܬܐ ܠܟܠܗܘܢ ܚܝܐ
ܩܝܡܬܐ ܕܐܢܫܐ ܠܥܠܡ. ܘܫܠܛ ܒܗܘܢ ܦܘܪܫܢܐ ܕܐܬܒܗܬܐ ܒܗܘܢ
ܐܦܢܐ ܕܒܩܛܝܠܬܐ. ܘܐܝܟ ܬܘܒ ܕܗܘܘ ܡܢ ܒܬܪܗ ܘܡܛܠܗ
ܒܡܛܠܗ ܐܦܢܐ. ܐܬܚܙܝ ܠܗܘܢ ܒܢܝܢ ܡܠܘ. ܠܒܪ ܡܢ ܚܕ
ܐܘ ܬܪܝܢ. ܘܐܝܟ ܕܒܦܘܪܫܢܐ ܕܢܦܫܬܐ. ܚܝܐ ܗܢܘܢ ܕܠܐ ܗܘܘ
ܚܝܐ ܒܟܠܗ ܒܗܘܢ. § 19. ܐܠܐ ܐܦ ܡܢܝܚܬܐ[5] ܘܕܘܒܪܐ ܐܘ
ܢܒܝܘܬܐ ܟܠ ܩܕܝܫܘܗܝ[6] ܡܫܬܡܠܝ ܗܘܘ. ܢܡܘܣܐ[7] ܕܝܢ
ܘܕܝܠܐ[8] ܐܘ ܒܢܝܐ ܕܢܒܝܘܬܐ. ܐܦܠܐ[9] ܫܡܥܘ ܡܫܬܡܥܝܢ

1 Hic iterum incipit textus codicis B. 2 B. ܫܒܚܬܐ ܕܐܠܗܐ. 3 B. ܗܘܐ ܒܪܘܚܢܘܬܐ ܐܬܚܙܝ. 4 B. add. ܗܢܘܢ. 5 B. ܡܢܝܚܬܐ ܘܕܘܒܪܐ. 6 B. ܩܕܝܫܘܗܝ. 7 B. ܢܡܘܣܐ. 8 B. ܘܕܝܠܐ ܫܡܥܘ. 9 B. ܘܐܦܠܐ.

ܗܘܘ. ܐܠܐ ܐܝܟ ܦܪ̈ܐܐ ܒܒܪ̈ܝܬܐ ܘܩ̈ܫܐ ܒܡܕܒܪܐ ܡܬܗܦܟܝܢ
ܗܘܘ. ܘܡܬܥܡܠܐ ܕܟܦܢܐ ܕܝܘܡܝܢ. ܘܐܘܪ̈ܚܐ[1] ܡܩ̈ܛܠܐ ܘܡܚܒܠܐ
ܕܢܦܫܐ ܡܛܥܝܢ[2] ܗܘܘ. ܡܢ ܣܓܝܐܘܬܐ[3] ܒܥܠܬܗ ܕܟܦܢܗܘܢ܀
ܘܟܠܗ ܡܣ̈ܟܢܐ ܢܦܩܝܢ ܗܘܘ ܢܦܫܗܘܢ ܡܟܠܗܘܢ. ܘܒܬܪܟܢ
ܠܒ̈ܝܬܐ ܡܫܟܚܝܢ ܗܘܘ. ܘܒܬܪܟܢ ܚܕ ܠܚܕ ܡܣܬܟܠܝܢ ܗܘܘ.
ܘܒܬܪܟܢ ܠܐܢܫܐ ܐܟܠܝܢ ܗܘܘ. ܘܡܣ̈ܟܢܐ ܕܓܒܪܐ ܐܝܟ[4] ܠܘܬ
ܟܠܗ ܡܬܟܬܫܝܢ ܗܘܘ. ܐܦ ܡܛܠ ܡܢ ܐܪܥܐ ܠܥܡܠܐ
ܕܒܗܘܢ ܡܬܬܥܢܝܢ ܗܘܘ ܘܒܥܠܬܐ ܕܦܓܪܗܘܢ ܡܢ ܐܪܥܗܘܢ
ܕܢܦܩܘܢ ܥܡ ܗܘ ܕܐܬܕܘܝܘ ܠܗܘܢ ܟܠ ܟܠ ܡܬܛܠܡܝܢ
ܗܘܘ. § 20. ܘܡܛܠ ܕܒܗܘܢ ܦܘܫܩܢܐ[5] ܡܬܕܒܪܝܢ ܗܘܘ.
ܟܦ̈ܢܐ ܕܩ̈ܫܐ ܘܕܘܘܢܐ. ܐܝܟ ܕܠܐܢ̈ܫ ܕܓܒܪܐ ܕܐܬܚܝܒ ܒܟܬܒܗ
ܐܪܥܐ ܐܝܟ ܟܠܗܘܢ ܦܘܪܥܢܐ ܕܐܠܗܐ. ܘܡܫܟ̈ܢܐ ܐܢ̈ܫܐ ܐܦ[6]
ܒܩ̈ܘܒܬܐ ܘܡܫܟ̈ܢܐ. ܘܡܢܘܪܐ ܕܠܐ ܡܢܗܘܢ ܡܢܗ[7] ܗܘܐ
ܡܣܬܥܪ: ܗܘܐ ܠܗܘܢ ܘܠܒܟܘܪ̈ܬܐ[8] ܒܢ̈ܝܐ ܕܢܫ̈ܐ ܒܩ̈ܘܢܝܐ[9]
ܡܢܝܢܐ ܘܦܘܪܥܢܐ ܠܟܠܗ ܗܘܐ. § 21. ܟܕ ܕܝܢ ܟܠ ܟܠ ܐܢܫ
ܒܪܢܫ: ܡܟܠܐ ܐܢܫܐ ܗܘܐ ܒܟܬܒܐ. ܘܐܝܟ ܦܘܩܕܢܐ ܡܫܟܚܬܐ
ܡܛܠ ܗܘܐ ܘܡܣܟܢܐ ܢܦܩ̈ܬܐ ܕܒ̈ܢܝ ܐܢܫܐ[10]...÷... ܗܘܝܢ
ܡܫܟܚܐ ܕܐܠܗܐ ܕܡܢ ܡܕܡ ܐܬܕܘܝܘ ܗܘܐ ܡܛܠܐ. ܗܘ
ܕܡܢ ܦܣܩ ܐܬܕܘܝܘ ܗܘܐ. ܒܡܣܟܢܘܬܐ ܣܓܝܐܬܐ ܕܟܠܗ
ܟܠܗܘܢ[11] ܒ̈ܢܝ ܐܢܫܐ. ܒܟܢ ܒܝܬ ܚܪܒܐ ܕܩ̈ܛܠܐ. ܒܟܢ ܕܝܢ

1 B. ܠ...... ܘܐܪ̈ܚܐ. 2 B. ܡܫܟܚܝܢ. 3 B. ܣܓܝܐܬܐ. 4 B. ܦܢܝܢ ܕܠܘܬ. 5 B. ܟܦ̈ܢܐ. 6 B. ܘܡܩ̈ܒܘܬܐ. 7 B. ܥܡ ܕܠܐ ܡܢܗ. 8 B. ܘܠܒܟܘܪ̈ܬܐ ܒܢ̈ܝܐ. 9 B. ܒܩ̈ܘܢܝܐ ܡܢܝܢܐ ܘܦܘܪ̈ܥܢܐ. 10 B. ܐܢ̈ܫܐ ܗܘܝܢ. 11 B. om. ܟܠܗܘܢ.

ܗܘ ܚܝܠܐ ܕܐܠܗܐ ܕܐܬܚܘܝ ܦܪܘܫ. ܠܚܕ ܐܘ[1] ܠܬܪܝܢ ܡܢ
ܦܪ̈ܝܫܐ ܡܫ̈ܡܫܢܘܗܝ ܕܐܠܗܐ[2]. ܒܦܘܬܐ ܕܒܪ ܐܢܫܐ ܐܠܗܝܐ. ܐܦ
ܠܓܒܝܢ ܡܫܡܫܝܢ ܗܘܘ ܫܪܝ[3] ܠܗ ܐܣܬܢܝܬ. § 22.
ܟܕ ܕܝܢ ܟܕ ܗܠܝܢ ܒܣܘܓܐܐ ܕܟܠ ܐܢܫܐ ܪܕܐ ܕܕܚܠܬ ܐܠܗܐ
ܐܪܕܝܟܘ[4] ܗܘܘ. ܟܕ ܚܕ ܡܢ ܒܢܘܗܝ ܕܒܢܝܢܫܐ ܐܬܦܫܛ ܠܕܚܠܬ
ܐܠܗܐ. ܠܗܘܢ ܕܝܢ ܠܗܠܝܢ. ܡܛܠ ܕܒܢܝܢܐ ܒܣܘܓܐܐ
ܕܬ̈ܪܝܐ ܩ̈ܘܡܐ ܕܒ̈ܢܝܐ ܡܬܗܦܟܝܢ ܗܘܘ. ܟܕ ܡܫܡܫܐ ܢܟܦܐ.
ܕܡܫܬܐ ܘܐܪܙܐ ܕܡܟܠܐ ܘܓܙܘܪܬܐ. ܘܕܐܬܝܢ ܦ̈ܬܓܡܐ ܐܟܠܐ.
ܠܗ ܕܝܢ ܠܗܘ ܠܡܫܬܘܬܐ ܕܐܪܙܐ ܡܫܬܠܡ ܗܘܐ. § 23. ܟܕ
ܕܝܢ ܢܡܘܣܐ ܕܐܬܚܫܒ ܠܗܘܢ ܐܫܬܡܠܝܘ. ܘܐܝܟ ܦܣܩܐ
ܕܡܫܡܫܐ ܕܟܠܗܘܢ ܒ̈ܢܝ ܐܢܫܐ ܡܫܬܡܠܐ ܗܘܐ. ܡܢܗܘܢ ܕܝܢ
ܡܢ ܗܠܝܢ ܐܦ ܣܘܓܐܐ ܕܬ̈ܡܝܗܐ. ܟܕ ܡܫܩܝ ܢܩ̈ܫܬܐ.
ܘܦܬܟܪ̈ܐ ܕܗܘܘ ܒܟܠܗ ܐܪܥܐ. ܡܢ ܗܘ ܡܫܬܐ ܘܕܒܚܪܢܘܬܐ
ܐܬܦܣܩܘ ܚ̈ܝܠܐ ܕܣ̈ܓܝܐ ܠܥܝܢܐ ܘܡܣܬܟܠܢܘܬܐ. ܐܝܟ
ܕܗܘܐ ܥܡܠܐ ܣܓܝܐܐ. ܘܦܫܩܢܘܬܐ ܘܡܠܟܘܬܐ ܕܟܠ ܚܕܐ.
ܘܡܟܝܠܐ ܠܟܠܗܘܢ ܒ̈ܢܝ ܐܢܫܐ. ܠܟܠܐ ܒܩ̈ܕܡܝܢ ܕܐܝܟ
ܒܒܪܝܬܐ. ܐܝܟ ܕܠܐܢܫܐ ܕܩܪܒܘ ܐܬܒܪܝ. ܘܡܫܡܫܝܢ ܡܟܠܐ
ܠܡܫܡܠܝܘ ܚܕܬܗ ܕܐܪܥܐ. ܗܘ ܗܘ ܡܟܫܦܐ ܕܓܒ̈ܪܐ
ܘܡܫܬܒܚܬܐ. ܗܘ ܕܡܬܩܠܣ ܒܗ ܐܦ ܒܟܠܗܘܢ ܓ̈ܒܪܐ.
ܡܠܟܗ ܕܐܠܗܐ ܘܫܘܒܚܗ. ܠܟܠ ܦܓܪܐ. ܘܟܕ ܢܬܟܬܪ
ܠܓܢܣܐ ܕܐܢܫܘܬܐ. ܐܬܚܙܝ ܕܝܢ ܒܫܘܦ ܡܟܠܘܬܐ ܕܪ̈ܘܚܢܝܐ
ܘܡܫܪ ܘܡܫܟܠܐ. ܐܝܟ ܕܟܠ̈ܝܐ ܕܚ̈ܝܘܬܐ ܡܠܟܝܢ ܗܘ̈ܘ.

1 A. ܡܢ. 2 B. om. ܕܐܠܗܐ. 3 B. ܐܣܬܢܝܬ ܫܪܝ ܠܗ.
4 Lacuna in B.

ܒܪܢܫܐ ....[1] ܕܐܠܗܐ. ܒܢܒܝ̈ܐ ܘܐܡܪ ܕܝܢ ܗܘܐ ܡܫܟܚ
ܐܠܐ ܠܗ ܠܨܠܡܐ. ܐܦ ܡܫܡܘܥܐ ܕܒܢ̈ܝܐ ܡܫܝܚܐ. ܘܡܟܬܒܐ
ܕܟܝ̈ܢܐ ܟܠܗܘܢ ܕܫܩܝܠܐ ܐܚܐ. ܐܦ ܥܠ ܡܬܕܪܫܢܐ ܕܝܢ
ܕܝܕܥܝܢ. ܘܕܝܘܠܦܢܗܘܢ ܚܝܠܐ ܘܕܡܫܡܫܢܘܬܗܘܢ ܠܐܦ̈ܝܗܐ.
ܡܫܟܚ ܗܘܐ ܘܐܡܪ. ܘܡܢ ܗܟܝܠ. ܘܐܦ ܥܠ ܦܘܫܩܐ
ܕܗܠܝܢ. ܘܥܠ ܫܡܥܗ ܕܡܢ ܒܝܬ ܩܕ̈ܡܝܐ. ܘܡܫܡܫܝܢܘ
ܕܠܡܫܠ ܘܕܐܬܦܪܢ ܐܢܫܘܬܗ ܒܐܠܗܘܬܗ. § 24. ܥܠ
ܡܠܟܘܬܗ ܕܝܢ ܕܡܫܝܚܐ. ܕܢܬܠܐ ܚܕܐ ܒܪܝܫ ܚܕܬܐ ܕܐܠܗܐ.
ܘܪܘܙ ܠܟ ܐܢܫܘܬܐ. ܐܡܪ ܓܝܪ ܕܚܙܐ ܗܘܝܬ ܕܐܬܬܣܝܡܘ
ܟܘܪ̈ܣܘܬܐ. ܘܥܬܝܩ ܝܘ̈ܡܬܐ ܝܬܒ. ܠܒܘܫܗ ܐܝܟ ܬܠܓܐ
ܚܘܪ. ܘܣܥܪܐ ܕܪܫܗ ܐܝܟ ܥܡܪܐ ܢܩܝܐ. ܟܘܪܣܝܗ
ܫܒܝܒܐ ܕܢܘܪܐ. ܓܝܓܠܘ̈ܗܝ ܕܢܘܪܐ ܝܩܕܬܐ. ܢܗܪܐ ܕܢܘܪܐ
ܢܓܕ ܘܢܦܩ ܡܢ ܩܕܡܘܗܝ. ܐܠܦ ܐܠܦܝܢ ܡܫܡܫܝܢ ܠܗ.
ܘܪܒܘ ܪ̈ܒܘܢ ܩܝܡܝܢ ܩܕܡܘܗܝ. ܕܝܢܐ ܝܬܒ ܘܣܦܪ̈ܐ
ܐܬܦܬܚܘ. § 25. ܘܡܢ ܒܬܪܟܢ ܐܡܪ. ܕܚܙܐ ܗܘܝܬ ܥܠ
ܥܢ̈ܢܝ ܫܡܝܐ ܐܝܟ ܒܪ ܐܢܫܐ. ܐܬܐ ܘܡܛܐ ܥܕܡܐ ܠܥܬܝܩ
ܝܘ̈ܡܬܐ. ܘܩܪܒܘܗܝ ܐܩܪܒܘܗܝ. ܘܠܗ ܐܬܝܗܒ ܫܘܠܛܢܐ
ܘܐܝܩܪܐ ܘܡܠܟܘܬܐ. ܘܟܠ ܥܡ̈ܡܝܢ ܘܠܫ̈ܢܝܢ ܠܗ ܢܦܠܚܘܢ.
ܫܘܠܛܢܗ ܫܘܠܛܢ ܕܠܥܠܡ ܘܠܐ ܥܒܪ. ܘܡܠܟܘܬܗ ܠܐ ܡܬܚܒܠܐ.
§ 26. ܗܠܝܢ ܫܡܫܐ ܥܠ ܦܪܘܩܢ ܗܘ ܡܠܟܢ. ܗܘ
ܕܐܬܚܙܝ ܗܘܐ ܡܢ ܒܪܢܫܐ ܟܠܗ ܐܠܗܐ ܡܠܬܐ ܐܠܗܐ.
ܘܐܬܥܒܕ ܒܪ ܐܢܫܐ ܥܠ ܕܒܠܒܗ ܐܢܫܐ ܒܚܛܗܐ. ܀

1 Rasura in A. Sine dubio qui ipsum codicem scripserat, ܕܒܠܒܗ scripserat, pro quo alius quidam ܕܗܘܐ substituit.

§ 27. ܡܛܠ ܕܝܢ ܕܒܡܠܟܘܬܐ ܐܚܪܬܐ ܠܡܬܒ ܘܚܝܝܢ ܥܡ ܒܢ̈ܝܐ ܟܠܗܘܢ ܕܡܗܝܡܢܝܢ ܥܠ ܦܪܘܩܢ ܡܪܢ ܝܫܘܥ ܡܫܝܚܐ. ܒܗܘܢ ܥܒܕܐ ܗܠܝܢ ܡܫܡܫܝܢ. Cap. 3. § 1. ܒܠܒܘܗܝ ܕܝܢ ܟܠ ܥܡܐ ܕܝܫܘܥ ܡܫܝܚܐ ܒܗܘܐ ܕܡܩܡ: ܗܘܐ ܠܗܘܢ ܒܢ̈ܝܐ ܬܡܝܗܘܗܝ ܕܐܠܗܐ. ܙܟܝܐ ܗܘ ܗܘܝܐ ܕܚܘܒܐ.✣.✣.

CAP. 3.

ܕܐܠܗܐ. ܟܠ ܥܡܐ ܕܝܫܘܥ ܘܕܡܫܝܚܐ. ܕܝܕܥ ܗܘܐ ܘܡܩܡ: ܠܗܘܢ ܒܢ̈ܝܐ ܩܕܝܫܐ.

§ 2. ܕܡܫܝܚ ܗܘܐ ܘܡܫܡܫܢ ܥܡܗ ܕܡܫܝܚܐ ܩܕܡܬܗ ܡܫܡܫ ܚܘܝ ܒܬܫܒܘܚܬܐ ܥܩܒܬܐ. ܘܩܠܝܠܬܐ ܘܪ̈ܕܘܦܝܐ ܕܐܦܠܐ. ܐܝܟ ܗܘ ܡܠܐ ܕܐܡܪ ܠܗ. ܕܗܘܝܐ ܙܗܝܪܬܐ ܠܒܝ ܟܠ ܡܕܡ. ܒܝܡܬܐ ܗܘ ܕܐܬܐܡܪܬ ܠܝ ܒܡܘܬܐ. ܘܡܫܝܚܐ ܦܬܚ ܒܗܘܢ ܕܐܠܗܐ. ܘܐܝܟ ܕܡܫܝܚܐ ܗܘܐ ܒܗ ܒܢ̈ܝ ܐܢܫܐ ܕܢܬܚܝܘܢ. ܠܗ ܠܗܘܢ ܡܫܝܚܐ ܡܪܐ ܠܗ. ܘܡܠܟܐ ܐܢܫܐ ܕܐܒܘܗܝ ܒܗܘܢܝܐ. ܕܡܫܒܚ ܗܘܐ ܒܗ ܒܢܝ ܐܢܫܐ ܡܢ ܒܟܠܗ ܕܪ̈ܝܢ. ܥܡܐ ܕܡܫܝܚܐ ܩܐܡ ܠܗ. ܠܐܒܪܐ ܘܠܡܫܒܚܐ. ܗܘܝܐ ܡܫܡܫ ܗܘܐ. ܕܥܡܐ ܕܡܫܝܚܐ ܥܡܐ ܗܘ ܕܐܠܗܐ. § 3. ܠܘܬ ܕܝܢ ܗܘ ܡܫܡܫ. ܐܦ ܥܡܐ ܕܝܫܘܥ ܕܩܕܡ ܚܙܐ ܒܪܘܚܐ ܕܐܠܗܐ. ܒܡܫܬܪܝܢܘܬܐ ܕܡܫܡܫܢܘܬܐ ܩܐܡ ܠܗ. ܕܒܗ ܒܢ̈ܝ ܐܢܫܐ ܡܫܬܡܫ ܠܐ ܢܬܚܝܘܢ. ܕܥܡܐ ܕܐܝܟܢ ܠܡܫܡܫ ܥܡܐ ܕܝܫܘܥ. ܘܠܗ ܠܗܘܢ ܥܡܐ ܕܝܫܘܥ ܩܕܡܬܗ. ܠܗܘ ܕܒܩܪ̈ܒܬܐ ܘܒܩܠܝܠܬܐ ܡܫܠܐ ܬܫܒܘܚܬܐ ܟܠ ܟܠܗ ܒܥܠܡܐ. ܡܢ ܒܬܪ ܡܫܡܫ ܩܐܡ ܠܗ ܥܡܐ. § 4. ܥܡܐ ܕܝܢ ܐܚܪܬܐ ܐܝܬ ܗܘܐ ܠܗ ܡܢ

ܩܒܝܡ. ܗܘ ܕܐܬܫܡܝ ܠܗ ܡܢ ܐܒ̈ܗܘܗܝ. ܗܘܐ ܕܝܢ ܗܘܐ ܫܡܥܘܢ ܒܪ ܢܩ. ܫܡܥܘܢ ܕܝܢ ܗܘ ܡܬܩܪܐ ܡܬܚܒܐ ܠܗ. ܠܐܡܪܐ ܕܡܫܬܪ ܡܢ ܛܠܝܐ ܕܡܬܠܒܢܘܬܐ. ܗܘܝܘܢ ܫܡܥܘܢ ܒܪ ܢܩ. ܕܩܘܡܬܐ ܗܘ ܕܦܪܘܫ ܠܥܠܡ ܗܘܐ. ܗܘ ܕܗܘܐ ܒܠܒܘܫܘܗܝ ܡܢܟܠ ܦܫܝܛܘܬܐ ܕܡܣܬܟܠܐ ܕܡܬܡܟܟܐ ܕܥܙܝܙܐ. ܗܘ ܕܡܬܩܪܐ ܒܪܐ ܘܫ̈ܠܝܛܐ ܐܡܠܟܢܫ. § 5. ܡܬܘܡܐ ܕܝܢ ܠܫ̈ܢܝܢ ܐܬܩܢ ܕܗܘܘ ܒܟܢܘ. ܡܢ ܒܠܘ ܒܚܕ ܡܫܟܢ ܗܘܘ ܒܥܘܒܕܐ ܫܟܝܚܐ. ܠܚܕ ܒܥܒܕܐ ܒܥܘܢܝܘܗܝ. ܘܠܐܫܪܐ ܕܡܒܠܐ ܡܢ ܒܫܢܘܗܝ ܦܫܝܛܘܬܐ. ܫܡܥܘܢ ܕܦܪܘܫ ܡܢܗ ܫܡܥܘܢ ܡܫܝܚܐ ܐܝܟ ܕܠܐܡܪܐ ܩܕܡ ܠܗܘܢ. § 6. ܐܦ ܢܟܬܐ ܕܗܘܘ ܡܢ ܒܫܢܝ. ܒܫܢܐ ܠܡܫܝܚܐ ܡܒܪܝܢ ܗܘܘ ܦܫܝܛܐ. ܐܦ ܡܢܗ ܕܠܒܝܫ ܗܘܐ ܕܡܬܒܠܐ ܡܢ ܚܘܒܐ. ܘܐܘܒ ܐܦ ܥܠ ܡܪܝܐ ܕܒܫܡܝܐ. ܕܗܘܐ ܗܘܐ ܟܠܝܗ ܡܢܗ ܡܬܘܒܗ. ܟܕܡ ܐܦܝܐ ܟܕ ܐܡܪ ܗܘܝ. ܦܘܩ ܘܐܟܘܠ ܡܫܝܚܘܗܝ ܕܡܪܝܐ. ܐܠܝܢ ܒܝܘܡܬܗܘܢ ܗܘ ܕܐܡܪ ܕܒܫܠܝܘ ܢܚܐ ܒܗ ܒܟܢܫܐ. ܘܐܘܒ ܕܗܘܝ ܒܝ ܬܗܘܐ ܒܘܠܝ ܐܡܪ. ܕܠܝܬ ܠܗ ܦܘܩ ܒܟܢܫܐ. ܘܐܩܘܬܐ ܦܢܐ ܡܪܢܫܘܬܐ. ܫܡܗ ܩܠܝܠܐܝܬ ܕܐܦܠ ܘܡܠܝܛܢܝܬܐ. ܘܐܬܟܠܡ ܐܟܝܐ ܥܠ ܡܪܝܐ ܘܥܠ ܡܫܝܚܘܗܝ. ܘܡܢ ܒܬܪ ܗܠܝܢ. ܐܡܪ ܐܝܟ ܕܡܢ ܦܪܘܫܘ ܕܡܫܝܚܐ. ܡܪܝܐ ܐܡܪ ܠܗ ܕܒܪ ܐܢܫ. ܐܝܟ ܗܘܝܐ ܐܚܪܢ. ܫܠܝܐ ܡܢܗ ܘܐܬܠܐ ܠܗ. ܒܫܡܐ ܠܥܠܡܝܢ. ܘܐܘܣܦܢܝ ܒܒܢ̈ܝܗ ܕܐܦܠ. § 7. ܘܠܗ ܒܠܚܘܕ ܠܐܠܗܐ ܕܒܪܢܫܐ ܒܢܝܢܘܬܐ ܡܡܪܝܢ ܗܘܘ. ܡܬܡܫܝܢ ܗܘܘ ܒܐܪܐ ܒܫܡܝܐ ܡܫܡܫܢܐ. ܡܟܪܟ ܗܘܐ ܥܡܐ ܕܡܫܝܚܐ ܒܗ ܒܟܢܫܐ. ܐܠܐ ܐܦ ܒܩܠܝܠܐ ܗܦܟ ܕܐܝܟ ܕܒܐܪܐ ܕܐܠܗܐ

ܡܗܝܡܢܝܢ ܗܘܘ ܠܗܘܢ ܒܢ̈ܝܐ. ܐܝܟ ܕܠܐܢ̈ܫܝܢ ܛܠܝܡܬܐ ܡܫ̈ܡܫܢܐ ܒܒܝܬ ܗܘܘ ܠܗܘܢ. ܐܦ ܗܢܘܢ ܓܝܪ ܕܫܡܥܘܢ ܕܪܘܚ ܕܗܘܘ ܒܬܘܕܝܬܗܘܢ ܡܗܝܡܢܐ ܕܫܪܪܐ. ܗܘ ܕܒܠܐ ܒܟܠ ܡܡܠܠܝܢ ܠܟܗܢܝܢ ܗܘܘ. ܕܡܠܟܘܬܐ ܘܕܡܫܝܚܘܬܐ ܘܕܪܝܫܢܘܬܐ. § 8.

ܠܘܬ ܐܦ ܡܢ ܒܢ̈ܝܐ ܕܐܬܗܝܡܢܘ ܐܝܟ ܕܒܛܘܦܣܐ ܩܫ̈ܝܫܐ ܐܬܝܗܘ. ܕܗܢܘܢ ܗܟܢ ܛܘܦܣܐ ܕܐܝܬܝܗ ܗܘܘ. ܠܗܘ[1] ܕܗܘܘ ܡܗܝܡܢܐ ܕܫܪܪܐ ܡܛܠ ܐܠܗܐ ܡܬܟܠܝܢ ܗܘܘ. ܠܗܘ ܕܗܘܘ ܒܬܘܕܝܬܗܘܢ ܐܦ ܒܡܘܬܐ ܥܠ ܟܠ.* ܐܦ ܒܬܘܕܝܬܗܘܢ[2] ܦܠܚܐ ܥܠ ܥܠܡܐ ܒܢ̈ܝܐ. ܘܒܬܘܕܝܬܗܘܢ ܐܦ ܒܢ̈ܝܐ ܕܐܒܐ.

§ 9. ܘܐܬܚܙܝܘ ܕܗܘܐ. ܕܠܝܬ ܡܢ ܡܣ̈ܟܢܐ ܕܥܠܡܐ ܐܬܗܝܡܢܘ. ܠܐ ܡܢ ܒܢ̈ܝܐ ܘܠܐ ܡܢ ܦ̈ܠܚܐ. ܘܠܐ ܡܢ ܐ̈ܒܐ[3] ܒܢ̈ܝܐ ܡܛܠ ܕܐܝܟ ܗܢܐ ܚܝܠܐ ܡܗܝܡܢܐ ܕܐܠܗܐ. ܕܝܢ ܦܪܘܩܢ ܡܪܢ ܫܡܥܘ. ܗܘ ܕܗܘܘ ܒܬܘܕܝܬܗܘܢ ܡܗܝܡܢܐ ܕܫܪܪܐ. § 10.

ܘܚܕ ܡܢ ܗܠܝܢ. ܐܦ ܒܪ ܐܢܫ ܗܘܐ ܠܗܘܢ ܕܪܫܐ[4] ܕܐܬܚܙܝ. ܘܒܟܠ ܕܐܝܟ ܐܬܚܙܝܘ ܒܟܠܗܘܢ. ܠܐܠܗܐ ܕܗܘܘ ܠܘܬܗ ܫܡܠܝܘܬܗܘܢ ܠܐ ܫܡܥܘ ܒܫܘܒܚܐ. ܡܢ ܗܘ ܛܘܦܣܐ ܫܪܝܪܐ ܕܐܝܬ ܗܘܐ ܠܟܠܗܘܢ ܐܠܐ ܐܦ ܠܐ ܐܢܫܐ ܕܡܫܝܚܐ ܗܘܐ ܠܐܢܫ ܡܢܗܘܢ ܡܢ ܡܬܚܙܝܢܝܢ. ܐܦ ܠܐ ܡܢ ܒܪ ܡܢܗܘܢ ܕܐܝܟ ܗܘܐ ܠܒܢܝܐ ܕܫܡܥ ܫܡܗ ܠܟܠܗܘܢ ܕܒܡܫܝܚܘܬܗ ܟܠܠ ܐܢܫܝܢ ܢܗܘܘܢ ܦܠܚܝܢ. ܐܠܐ ܠܟܠܗܘܢ ܒܢ̈ܝܐ ܕܐܝܬܗ ܫܡܥܐ ܡܗܝܡܢ ܗܘܐ ܕܐܝܟ ܗܢܐ ܫܡܥܐ. ܟܠܠ ܚܕ ܡܢ ܗܠܝܢ ܩ̈ܢܘܡܐ. ܡܛܠ ܕܐܦ ܠܐ ܕܐܝܟ ܗܢܐ ܚܝܠܐ ܡܛܠ ܗܘܐ ܐܬܪܗܘܢ

1 Finis lacunae in B. 2 B. ܘܒܬܘܕܝܬܗܘܢ. 3 B. ܐܒ. 4 B. ܕܪܫܐ.

ܕܐܝܟܢ ܗܕܐ ܢܫܬܡܥ ܗܘܐ. ܐܝܟ ܡܐ ܕܗܘܐ[1] ܫܪܪܐ ܣܘܦ ܚܒ ܦܪܘܫܝ. § 11. ܗܘ ܕܠܐ ܗܘܐ ܦܠܛܬܐ ܘܐܪܙܐ[2] ܕܪܘܬܐ ܒܘܝܐܐ ܢܫܟܚ ܡܢ ܐܢܫ. ܐܦ ܠܐ ܡܢ ܚܫܚܐ ܕܒܘܝܐܐ ܐܝܟ ܕܒܥܝܢ ܐܬܚܙܝܘ ܗܘܐ. ܐܦ ܠܐ ܟܐܒܐ ܠܟܢܫܐ ܐܢܫܐ ܡܢ ܒܡܠܟܘܬܐ. ܐܦ ܠܐ ܢܚܬܐ ܒܓܒܘܬܐ ܕܡܩܛܠܐ ܕܗܘܘ ܐܬܡܢܝ ܗܘܐ. ܐܦ ܠܐ ܕܪܓܐ ܘܡܫܡܫܢܘܬܐ ܕܥܒܕ ܐܢܫ ܗܘܐ ܠܗ ܠܟܠ ܡܘܬܒܐ.܀ ܐܠܐ ܕܝܢ ܚܙܐ ܠܐ. ܐܠܐ ܒܫܪܪܐ ܡܢ ܐܬܐ ܒܟܠܗܘܢ ܡܪܒܐ ܗܘܐ. § 12. ܐܝܟ ܡܐ ܕܦܩܕܬ ܠܢ ܐܡܪܢܐ. ܠܗ ܠܟܠܗܘܢ ܕܗܘܝ[3] ܐܬܚܙܝ ܠܗܘܢ ܟܠܗܘܢ[4]. ܘܡܛܠ ܗܢܐ ܐܦ ܡܫܝܚܐ ܡܫܡܫܢܘܗܝ.[5] ܡܛܠ ܕܗܘܘ ܗܘ ܠܡܘܕܝܢܗܘܢ ܡܫܝܚܐ ܕܫܪܪܐ. ܘܡܢ ܫܡܗ ܩܕܝܫܐ. ܘܡܫܝܚܐ. ܫܡܗ ܘܡܠܐ ܒܡܠܟܘܬܗ ܠܟܠܗ ܒܪ̈ܫܝܬܐ. ܠܐ ܡܟܠܐ ܓܝܣܐ[6] ܐܦܠܐ ܕܡܘܬܐ[7] ܐܠܐ ܫܪܪܐ ܕܝܠܗ ܘܕܘܒܪܐ ܡܫܝܚܝܐ. ܘܐܦ ܡܫܝܚܐ ܕܦܫܝܛܘܬܗ ܡܫܠܡ ܗܘܐ ܠܐܢܫ ܕܡܫܬܡܠܝܢ ܠܗ. § 13. ܘܡܫܝܚܘܬܐ ܠܗ ܗܘ ܕܒܚܫܐ ܡܫܠܡܐ[8] ܗܘܐ. ܐܠܐ ܒܪܘܚܐ ܕܐܠܗܘܬܐ ܐܝܟܢܐ[9] ܕܐܬܐ ܠܐܠܗܘܬܐ. ܡܢܗ ܡܢ ܐܠܗܘܬܐ ܕܐܠܗܘܬܗ ܘܐܦ ܡܟܠܐ. ܘܗܝ ܗܕܐ ܠܘܬ ܐܠܗܐ ܦܠܟ ܘܐܝܟ ܕܡܢ ܦܪܘܫܐ ܕܡܫܝܚܐ ܦܬܟܪ ܗܘܐ ܗܘܝܐ. ܦܘܡܗ ܕܡܪܢܐ ܠܟܠ. ܕܡܛܠܬܗ ܡܫܝܚ ܘܐܦܩܕ ܠܡܫܡ̈ܫܢܐ. ܘܡܠܝܐ ܠܡܩܪܒܘ ܦܘܪܩܢܐ ܠܥܠܡܐ. ܘܡܠܘܫܬܐ ܫܪܝܐ. § 14. ܘܠܐ ܗܘܐ ܒܠܚܘܕ ܐܢܫܐ. ܐܠܐ ܘܐܦ[10] ܕܡܢ ܐܚܪ̈

1 A. ܕܗܘܘ. 2 B. ܦ̈ܠܛܬܐ ܘܐܪ̈ܙܐ. 3 B. ܕܗܦܟܘ. 4 B. ܠܟܠܗܘܢ ܗܘܝ. 5 B. add. ܐܠܐ. 6 B. ܓܝ̈ܣܐ. 7 B. ܕܡܘ̈ܬܐ. 8 B. ܡܫܠܡܢܐ. 9 B. ܐܝܟ. 10 B. ܐܦ.

ܡܡܫܚܝܢ ܗܘܘ ܠܗܘܢ ܢܟܣܐ. ܐܝܟ ܕܐܬܟܬܒ ܒܬܫܥܝܬܐ
ܡܩܢܝܢܐ ܚܕܝܢ ܗܘܘ ܠܗܘܢ. ܐܝܟ ܗܢܘܢ ܓܝܪ ܕܒܡܬܐ ܕܪܘܗ
ܕܗܘܘ ܒܥܘܕܪܢܗܘܢ ܡܡܫܚܝܢ ܕܩܪܝܐ. ܗܘ ܕܒܠܐ ܥܘܠܐ ܡܡܠܠ
ܠܚܝܡ ܗܘܘ. ܕܡܠܟܘܬܐ ܘܫܘܠܛܢܐ ܘܕܪܡܫܘܬܐ. § 8.
ܠܘܬ ܐܝܟ ܡܢ ܢܟܣܐ ܕܐܬܡܢܝܘ ܐܝܟ ܕܒܦܘܩܕܢܐ ܩܫܝܫܐ
ܐܬܚܙܝܘ. ܕܗܢܘܢ ܗܠܝܢ ܦܘܩܕܢܐ ܕܐܚܝܕܝܢ ܗܘܘ. ܠܗܢܘܢ[1]
ܕܗܘܘ ܡܡܫܚܝܢ ܕܩܪܝܐ ܡܛܠ ܐܠܗܐ ܡܡܠܠܝܢ ܗܘܘ. ܠܗܢܘܢ
ܕܗܘܘ ܒܥܘܕܪܢܗܘܢ ܐܦ ܒܡܢܝܢܐ ܚܠܠ ܟܠ. * ܐܝܟ ܒܥܘܕܪܢܗܘܢ[2]
ܦܠܚܐ ܚܠܠ ܟܠܗܘܢ ܒܢܝܐ. ܘܒܥܘܕܪܢܗܘܢ ܐܦ ܢܟܣܐ ܕܐܒܐ.
§ 9. ܘܐܬܚܙܝܘ ܕܗܘܐ. ܕܒܢܝ ܡܢ ܩܘܪܝܐ ܕܒܐܬܪܐ ܐܬܡܢܝܘ.
ܠܐ ܡܢ ܒܢܘܬܐ ܘܠܐ ܡܢ ܦܠܚܐ. ܘܠܐ ܡܢ ܓܒܪܐ[3] ܢܟܣܐ ܡܢܐ
ܕܐܝܟ ܗܠܝܢ ܚܠܠ ܡܫܝܚܐ ܕܐܠܗܐ. ܕܗܘܝ ܦܪܘܫܝܢ ܡܢܗ
ܡܫܠܡ. ܗܘ ܕܗܘܘ ܒܥܘܕܪܢܗܘܢ ܡܡܫܚܝܢ ܕܩܪܝܐ. § 10.
ܘܚܕ ܡܢ ܗܠܝܢ. ܐܝܟ ܕܝ ܐܝܬ ܗܘܐ ܠܗܘܢ ܕܓܝܪܐ[4] ܕܐܡܪܐ.
ܘܒܥܠܠ ܕܐܡ ܐܬܚܙܝܘ ܒܒܝܬܗܘܢ. ܠܐܝܠܝܢ ܕܗܘܘ ܠܘܬܗ
ܡܬܚܙܝܢ ܠܐ ܡܫܘܘ ܒܪܫܝܬܐ. ܡܢ ܗܘ ܦܘܩܕܢܐ ܥܠܠ
ܕܐܝܬ ܗܘܐ ܠܘܬܗܘܢ ܐܠܐ ܐܦ ܠܐ ܐܡܪܐ ܕܡܫܝܚܐ ܗܘܐ ܠܐܢܫ
ܡܢܗܘܢ ܡܢ ܡܫܠܡܢܘܬܗܘܢ. ܐܦ ܠܐ ܡܢ ܒܬܪ ܡܬܠܗܘܢ
ܕܐܝܟ ܗܘܐ ܠܪܥܝܬܐ ܕܢܦܠ ܚܘܝܘ ܠܘܬܗܘܢ ܕܒܫܘܠܛܢܗ ܟܠܠ
ܐܦܝܩܘܢ ܢܗܘܘܢ ܦܠܚܝܢ. ܐܠܐ ܠܒܥܠܗܘܢ ܒܩܘܫܬܐ ܕܐܬܚܙܝܬ
ܗܘܐ ܡܬܘܡ ܗܘܝܐ ܕܐܝܟ ܗܘܐ ܗܘܐ. ܟܠܠ ܚܕ ܡܢ ܗܢܘܢ
ܩܛܝܠܐ. ܡܛܠ ܕܐܦ ܠܐ ܕܐܝܟ ܗܘܐ ܚܠܠ ܡܢܐ ܗܘܐ ܐܪܙܗܘܢ

1 Finis lacunae in B. 2 B. ܘܒܥܘܕܪܢܗܘܢ. 3 B. ܓܒܪ.
4 B. ܕܓܝܪܐ.

ܕܕܐܡܪ ܗܘܐ ܠܡܥܡܪ ܗܘܐ. ܐܝܟ ܡܐ ܕܪܘܚܘ[1] ܫܪܪܐ ܢܘܚ ܠܒܢ
ܦܪܨܘܦܝ. § 11. ܗܘ ܕܠܐ ܗܘܐ ܦܠܠܬܐ ܘܐܪܙܐ[2] ܕܪܒܘܬܐ
ܒܘܝܢܬܐ ܢܦܩܬ ܡܢ ܐܢܫ. ܐܦ ܠܐ ܡܢ ܚܫܚܬܐ ܕܒܘܝܢܬܐ
ܐܝܟ ܕܒܥܝܢ ܐܢܫܝܢ ܗܘܐ. ܐܦ ܠܐ ܒܐܝܕܐ ܠܒܢܝܫ ܐܝܠ
ܡܢ ܒܡܠܟܘܬܐ. ܐܦ ܠܐ ܢܒܝܐ ܒܩܝܡܬܐ ܕܡܩ̈ܕܫܐ ܕܗܘܘ
ܐܬܡܢܝ ܗܘܐ. ܐܦ ܠܐ ܕܪ̈ܓܐ ܘܡܬܬܒܝܢ ܕܡܒܝܢ ܐܠܗ ܗܘܐ
ܠܗ ܠܘܬ ܝܗܘܕܝܐ. ❖. ܐܦ ܕܝܢ ܒܙܪܐ ܠܐ. ܐܠܐ ܒܫܪܪܐ ܡܢ
ܐܒܐ ܒܒܠܘܗܝ ܡܒܪܟ ܗܘܐ. § 12. ܐܝܟ ܡܐ ܕܦܩܕܗ ܡܪܝܐ
ܐܡܪܐ. ܠܗ ܐܒܗܬܗܘܢ ܕܗܠܝܢ[3] ܐܬܐ ܠܘܬܗ ܠܒܢܝܗܘܢ[4].
ܘܡܛܠ ܗܢܐ ܐܦ ܡܫܝܚܐ ܡܬܩܪܐ.[5] ܡܛܠ ܕܗܘܘ ܠ
ܒܠܫܘܕܝܗܘܢ ܡܫܝܚܐ ܕܫܪܪܐ. ܘܡܢ ܥܡܗ ܩܝܡܐ. ܘܡܫܝܚܐ.
ܫܡܗ ܘܡܛܠ ܒܡܠܟܘܬܗ ܠܟܠܗ ܒܪܝܬܐ. ܠܐ ܡܛܠ ܕܩܦܣܐ[6]
ܐܦܠܐ ܕܡܘܬܐ[7] ܐܠܐ ܫܪܪܐ ܕܟܝܢܐ ܘܕܘܒܪܐ ܫܦܝܪܐ. ܘܐܦ
ܡܫܝܚܘܬܐ ܕܦܘܩܕܢܗ ܡܫܠܡ ܗܘܐ ܠܐܠܝܢ ܕܡܫܬܡܥܝܢ
ܠܗ. § 13. ܘܡܫܝܚܘܬܐ ܠܗ ܗܘ ܕܒܫܡܝܐ ܡܫܬܠܛܐ[8]
ܗܘܬ. ܐܠܐ ܒܪܘܚܐ ܕܐܠܗܐ ܐܝܟܢܐ[9] ܕܐܦ ܠܐܠܗܐ. ܡܟܝܠ ܡܢ
ܐܬܘܬܐ ܕܐܠܗܘܬܗ ܕܐܒܐ ܡܟܠܐ. ܘܗܘ ܗܘܐ ܠܘܬ ܐܢܫܐ
ܦܠܓ ܘܐܝܟ ܕܡܢ ܦܪܨܘܦܐ ܕܡܫܝܚܐ ܦܪܥܢܐ ܗܘܐ ܗܘܝܐ.
ܦܘܩܗ ܕܡܪܝܐ ܠܟܠ. ܕܡܛܠܗ ܡܫܝܚܐ ܕܐܦܩܢ ܠܡܫܡܫܢܐ.
ܘܡܠܝܢ ܠܡܫܪܐ ܦܘܩܕܢܐ ܠܡܟܠܐ. ܘܠܡܫܪܐ ܚܝܠܐ.
§ 14. ܘܠܐ ܗܘܐ ܒܠܚܘܕ ܐܢܫܐ. ܐܠܐ ܘܐܦ[10] ܕܡܢ ܐܒܪܐ

---

1 A. ܕܗܘܘ. 2 B. ܦ̈ܠܠܬܐ ܘܐ̈ܪܙܐ. 3 B. ܕܗܢܘܢ. 4 B. ܠܒܢܝܗܘܢ ܗܠܝܢ. 5 B. add. ܐܠܐ. 6 B. ܩܘ̈ܦܣܐ. 7 B. ܕܡ̈ܘܬܐ. 8 B. ܡܫܬܠܛܐ. 9 B. ܐܝܟ. 10 B. ܐܦ.

ܟܠܗܘܢ. ܒܦܪܨܘܦ ܐܠܗܐ ܠܟܠܗܘܢ ܒܢܝܢ. ܥܒܕܐ ܦܥܠܐ
ܥܒܕܐ ܕܡܠܟܘܬܝ. ܢܒܥܬ ܙܕܩܘܬܐ ܘܩܘܫܬܐ ܒܟܠ. ܡܛܠ
ܗܢܐ ܡܫܚܟ. ܐܠܗܐ ܐܠܗܟ ܡܫܚܐ ܕܚܕܘܬܐ ܝܬܝܪ ܡܢ ܚܒܪܝܟ
ܕܐܬܡܫܚ. ܕܗܘ ܒܡܠܬܐ ܒܫܘܡܐ ܦܘܩܕܐ. ܡܡܠܠ ܠܗ
ܐܠܗܐ. ܒܗܘ ܕܝܢ ܕܐܬܐ ܒܥܒܕܐ ܕܡܠܟܘܬܐ ܡܫܚ ܠܗ.܀.
§ 15. ܘܐܬܒ ܒܝ ܢܫܡ ܒܗܘ ܒܡܠܬܐ ܡܢ ܒܬܪ ܚܝܠ
ܕܐܠܗܘܬܐ ܘܡܠܟܘܬܐ ܒܦܓܪܐ ܕܠܒܫ ܕܗܘܐ ܡܫܝܚܐ ܡܫܚܐ
ܟܠܗܘܢ. ܠܗ ܕܝܢ[1] ܒܡܫܝܚܐ ܕܡܢ ܒܢܝܐ ܡܫܡܫ. ܐܠܐ ܐܝ
ܒܗܘ ܡܫܝܚܐ ܕܚܕܘܬܐ ܕܐܠܗܘܬܐ. ܕܗܘ ܡܫܘܕܥܢܘܬܐ ܕܡܫܝܚܘܬܐ[2].
ܕܩܢܐ ܗܘܐ ܡܢ ܕܚܒܪܝܟ ܦܩܕܐ. ܕܟܬܪܐ[3] ܘܒܩܘܝܬܐ ܡܢ ܥܠܡܐ
ܡܬܚܫܚ[4] ܗܘܘ. § 16. ܘܒܕܘܟܬܐ ܐܚܪܬܐ ܬܘܒ ܐܡܪ:
ܟܠܗܘܢ ܗܟܢܐ. ܕܐܡܪ ܠܗ ܡܪܝܐ ܠܡܪܝ ܕܬܒ[5] ܠܟ ܡܢ
ܝܡܝܢܝ. ܥܕܡܐ ܕܐܣܝܡ ܒ̈ܥܠܕܒܒܝܟ ܟܘܒܫܐ ܠܪ̈ܓܠܝܟ.
ܘܒܗܕܪ̈ܐ ܩܘܕܫܐ ܡܢ ܡܪܒܥܐ ܘܡܢ ܩܕܡ ܢܓܗܐ ܝܠܕܬܟ. ܝܡܐ
ܡܪܝܐ ܘܠܐ ܢܬܘܐ. ܕܐܢܬ ܗܘ ܟܘܡܪܐ ܠܥܠܡ. ܒܕܡܘܬܗ
ܕܡܠܟܝܙܕܩ. § 17. ܗܢܐ ܕܝܢ ܡܠܟܝܙܕܩ. ܕܡܫܡܫ ܟܠܗܘܢ
ܥ̈ܡܡܐ ܕܐܬܚܘܝ ܒܟܘܡܪܐ ܕܐܠܗܐ ܡܪܝܡܐ. ܠܐ ܗܘܐ ܒܡܫܝܚܐ
ܡܬܦܫܩܐ ܡܫܝܚ ܗܘܐ[6]. ܐܠܐ ܐܦ ܠܐ ܡܢ ܡܫܒܚܢܘܬܐ
ܕܟܗܢܐ ܕܡܫܝܚܐ ܠܟܗܢܘܬܐ ܕܒܢܝܐ ܐܬܚܘܝ ܗܘܐ. ܡܛܠ
ܗܢܐ ܒܕܡܘܬܗ. ܘܠܐ ܕܚܒܪܝܟ ܕܟܗ̈ܢܐ ܐܦ ܒܟܘܡܪܘܬܐ[7].
ܕܐܬܚܘܝ ܗܘܘ. ܡܫܝܚܐ ܘܟܘܡܪܐ ܡܬܬܡܗ ܦܪܘܩ. ܐܠܐ

---

1 B. om. ܕܝܢ. 2 B. ܡܫܝܚܘܬܗ. 3 B. ܕܟܬܪ̈ܐ. 4 B. ܡܫܝܚ. 5 B. ܬܒ. 6 B. ܡܫܝܚܐ ܕܡܫܝܚ. 7 B. ܕܟܗ̈ܢܐ ܘܒܟܘܡܪ̈ܘܬܐ.

ܒܬܘܩܢܐ[1] ܕܦܠܚ. § 18. ܘܡܛܠ[2] ܗܢܐ ܐܟܠܐ ܕܐܬܡܨܝ
ܦܓ̈ܪܝܗ ܡܢ ܚܘܕܪܐ ܐܝܟ ܡܠܦܢܐ ܠܥܡܡܐ. ܐܦ ܠܐ ܕܢܗܘܐ ܡܢ
ܣܘܪܚܐ ܕܚܘܒܐ. ܐܠܐ[3] ܕܢܚܙܘܢ ܡܢ ܐܠܗܐ ܐܬܝܢ ܡܢ ܩܕܡ ܒܪܢܫܐ[4].
ܘܒܡܘܬܪܬܐ ܕܠܐ ܡܢܝܢܐ ܘܠܐ ܡܟܝܠܐ ܐܝܟ ܠܟܠܗܘܢ ܒܟܠܗܝܢ.
§ 19. ܕܡܫܝܚܘܬܐ ܕܝܢ ܦܘܫܩܐ ܘܐܠܗܘܬܐ ܡܠܠ. ܐܫܘܝܘܗ
ܦܓܪܐ ܘܓܠܝܐ ܗܘܐ ܗܘ ܕܡܢ ܟܠ ܕܗܘܘ ܒܒܠܐ ܕܝܢ[5]
ܘܕܝܩܐ ܠܥܡܐ. ܗܘ ܕܠܥܘܕܪܢܗܘܢ ܡܫܡܫܢܘ ܡܫܝܚܐ. ܠܗܠ
ܠܒܘܗܝ ܬܒ ܐܝܟ ܕܐܝܬ ܒܒܠܗ ܒܠܚܘܕ. ܘܟܠ ܐܝܟ ܡܘܙܩ ܘܡܫܘܪ
ܒܗ ܒܗܘܢ ܥܡܐ. ܩ̈ܘܠܐ ܘܒܢ̈ܝܢܫܐ. ܘܕܝܠܗ ܠܒܘܫܐ[6] ܒܪܢܫܐ.
ܡܢ ܒܟܠ ܕܐܬܚܙܝ ܒܗ. ܡܫܡܫ ܐܝܟ ܡܠܟܐ. ܘܡܫܡܫܢܘ
ܒܕܡܘܬܐ ܐܚܪܝ ܡܢ ܒܢܝܐ. ܘܡܫܡܫܢ ܕܗܘܐ ܒܦܓܪܐ
ܦܓܪܢܝܐ ܕܐܠܗܐ. ܘܒܗ ܗܠܝܢ ܒܠܗܘܢ ܕܐܬܚܙܝ ܡܠܬܐ
ܐܠܗܐ. ܕܐܬܝ ܡܢ ܩܕܡ ܬ̈ܠܡܝܕܘܗܝ ܘܐܬܚܙܝ ܘܡܦܪܫܢܐ ܐܝܟ
ܠܗ ܡܢ[7] ܐܒܘܗܝ ܒܠܚܘܕ[8]. ܘܡܫܡܫܢ ܐܝܟ ܐܠܗܐ. ܕܒܦܓܪܐ
ܐܬܚܙܝ ܡܢ ܗܘ ܕܐܬܚܙܝ ܒܦܓܪܐ ܐܠܗܐ. § 20. ܕܡܫܬܪܝ
ܕܝܢ ܡܢ ܟܠ ܡܕܡ. ܕܠܐ ܒܡܕܡ ܒܠܚܘܕ ܐܘ ܒܟܠ ܕܩܠܝܠ
ܡܬܚܙܐ ܠܗ. ܐܝܟ ܕܡܫܚܠܦ ܠܗ. ܐܠܐ ܡܢ ܚܘܒܐ ܡܫܬܡܠܝܐ
ܕܢܦܫܐ ܘܡܬܦܪܢܐ ܠܗ ܡܫܘܕܥܢܘܬܐ[9] ܐܦ ܐܚܪܢ ܡܢ ܚܝܝܢ.
Cap. 4. § 1. ܗܠܝܢ ܕܝܢ ܒܠܚܘܕ ܒܗܠܝܢ ܡܫܬܡܥܢ ܠܢ ܡܢ ܩܕܡ
ܦܓܪܐ ܕܠܥܡܡܐ. ܕܠܐ ܐܝܟ ܕܡܫܒܚ ܟܠ ܦܪܘܩܢ ܡܢܢ ܡܥܠܐ ܡܫܝܚܐ
ܕܗܠܝܢ ܗܘ ܘܡܠܐ ܫܠܡܘܬܗ. ܡܛܠ ܕܒܪܐ ܕܐܠܗܐ ܕܐܝܬܘܗܝ.

---

1 B. ܒܬܘ̈ܩܢܐ. 2 B. ܡܛܠ. 3 A. om. ܐܠܐ. 4 B. ܒܪ̈ܢܫܐ. 5 A. ܕܗܘܘ ܡܢ ܒܒܠܐ ܕܝܢ. 6 B. add. ܒܟܠܗ. 7 B. add. ܠܗܠ. 8 B. ܒܠܚܘܕ. 9 B. ܡܫܘܕܥܢܘܬܗ.

CAP. 4.

ܕܐܪ̈ܒܥܐ. ܕܠܐ ܕܝܢ ܗܘܐ ܡܛܠ ܐܘ ܢܘܟܪܝ. ܡܘܠܟܢܐ ܕܕܝܠܗ ܐܠܗܐ. ܕܐܝܟ ܦܪܘܩܢ.

ܬܘܒ ܕܝܢ ܐܢܫ ܠܐ ܢܫܬܒܚ ܠܗ ܕܢܘܟܪܝ ܗܘ ܘܡܛܠ ܡܘܠܟܢܐ[1] ܕܕܝܠܗ ܐܠܗܐ[2] ܕܐܝܟ ܕܡܢ ܚܕܐ ܗܘ[3] ܐܬܡܠܝ. ܐܘ ܕܠܐ ܡܢܝܢ ܒܥܒܕ ܠܒܪܝܐ ܕܐܢܫܘܬܐ. ܢܐܡܪ ܡܟܝܠ ܐܦ ܡܛܠ ܗܕܐ. § 2. ܡܛܠ ܓܝܪ ܕܦܪܘܩܢ ܕܢܫ̈ܐ ܡܬܬܠܗܘ ܕܦܪܘܩܢ ܡܢܝ ܫܡܥܐ ܡܫܝܚܐ ܠܟ̈ܠܢ ܐܝܟ ܒܠܒܘܫܢ[4] ܡܛܘܠ ܚܕ ܕܝܕܥ ܗܘ ܒܥܠܡ. ܐܠܐ ܕܝܢ. ܠܗ ܒܥܠܡܐ ܗܘ ܒܪܢܫܐ ܐܘ ܒܢܘܗܪܐ ܕܢܘܟܪܝ ܠܗܘ. ܕܡܫܡܫ ܒܝܘܡ ܒܝܘܡܢܐ ܕܐܦܝܐ. ܐܠܐ ܕܒܟܠܗ ܒܩܢܘܡ ܐܠܗܘܬܗ. ܘܡܫܬܐ ܒܐܢܫܘܬܐ. ܘܕܝܢܐ ܡܢ ܐܠܗܐ. ܘܠܐ ܡܫܬܚܠܦ ܘܠܐ ܡܬܦܠܓܐ. ܘܐܠܗܘܬܗ ܐܠܗܐ ܒܟܠܗܝܢ ܒܟܝܢܘܗܝ. ܘܗܘܝܐ ܡܢ ܟܠ ܠܒܬ ܟܠܐ ܐܝܟ ܐܬܬܚܝ. ܒܥܠ ܕܡܢܡ ܒܥܡܕܗ ܕܡܫܝܚܐ. § 3. ܒܗܕܐ ܐܦ ܚܕ ܡܢ ܢܩ̈ܐܬܐ ܐܬܪ̈ܐ ܒܗ. ܕܦܩܡ ܚܕܐ ܒܚܝܠ ܕܪ̈ܘܚ ܡܘܕܥܐ ܡܢܗܡ ܕܥܠܡܝ ܗܘܐ ܠܡܫܘܐ. ܘܗܘܝܐ ܐܡܪ. ܦܡ ܡܫܒܚ ܐܝܟ ܗܘܠܝܢ. ܘܦܡ ܚܕܐ ܐܝܟ ܗܘܐ. ܕܦܢܝܠܐ ܐܦܠܐ ܒܡܘܡܐ ܚܕ. ܘܡܡܠܠܝܢ ܒܥܠܡܐ ܒܡܫܘܐ ܚܕܐ. ܘܗܘܝ ܗܘܐ ܒܠܒܗܘܢ ܟܠܐ ܫܡܥܐ ܐܘܪܚܐ. ܒܐܦܪ. ܕܢܗܘܐ ܠܟܠܢ ܠܒܢ̈ܝ ܐܢܫܐ ܫܡܥܐ ܚܕܐ. ܕܡܬܠܒܪ ܒܐܦܝܐ. § 4. ܐܠܐ ܐܦ ܚ̈ܕܐ ܐܝܟܢ ܐܦ ܕܦܪܘܩܢ[5] ܐܬܝܠܕ

1 B. ܘܡܘܠܟܢܐ. 2 B. om. ܕܕܝܠܗ ܐܠܗܐ. 3 B. om. ܗܘ.
4 B. ܠܒܠܒܘܫܢ ܐܝܟ ܠܟ̈ܠܢ pro ܠܟ̈ܠܢ ܐܝܟ ܒܠܒܘܫܢ. 5 B. ܘܦܪܘܩܢ.

ܥܡܐ ܕܟܪ̈ܣܛܝܢܐ ܠܘܬ ܟܠܗܘܢ[1]. ܗܘ ܕܝܢ ܕܟܬܒܐ ܘܣܝܡܗ
ܘܥܡܐ ܕܦܘܠܚܢܗ. ܠܐ ܗܘܐ ܕܡܢܘܬܗ ܐܬܓܠܝ ܩܕܡ. ܐܠܐ
ܡܢ ܙܒܢ ܠܘܩܒܠ ܕܐܢܫܘܬܐ ܡܫܡܫܢ ܗܘܐ. ܡܢ ܐܢܫܐ ܡܬܩܒܠ
ܬ̈ܫܒܘܚܘܗܝ ܕܐܠܗܐ. ܐܝܟ ܕܡܢ ܠܦܓܪܐ ܕܚܝܐ. ܕܐܢܫܐ ܕܝܢ ܗܢܐ
ܚܝܘܐ. §5. ܒܥܡܐ ܕܒܚ̈ܝܪܐ ܠܐ ܗܘܐ ܚܕܐ ܗܘ. ܐܠܐ
ܡܬܩܒܠܗ[2] ܡܫܡܫܐ ܗܘܐ ܒܗ ܒܟܢ̈ܫܐ. ܒܥܡܐ ܗܘ ܓܝܪ
ܐܝܟܢܐ. ܐܝܬ ܕܝܢ ܒܠܗܘܢ ܒܩ̈ܠܐ ܘܒܩ̈ܢܝܬܐ ܠܩ̈ܕܡܝܐ ܥܠ ܐܢܫܐ
ܡܩ̈ܪܐ. ܕܠܟܠܗ ܕܝܢ ܘܒܡܫܝܚܐ ܐܚܘܬܢ. ܐܠܐ ܕܝܢ ܒܪܘܚܢܘܬܐ
ܘܒܝܕܗ ܕܐܠܗܐ ܘܒܡܥܪܒܐ ܕܕܘܟܬܐ ܡܫ̈ܡܫܐ ܡܬܩܪܝܢ[3]. ܡܛܠ
ܢܛܘܪܐ ܐܝܟ ܐܝܟ. ܡܢ ܒܬܪܗ. ܐܣ̈ܝܪܐ ܕܗܘܘ ܡܢ ܒ̈ܢܘܗܝ
ܕܢܦܫ ܥܡ ܒ̈ܢܝ ܒ̈ܢܘܗܝ. ܒܙܒܢܐ ܠܐܒܪܗܡ ܗܘ ܕܒܪܗ
ܡܫܬܡܠܒܪܢܝ[4] ܒܒܪܝܐ. ܕܐܬܬܘܗܝ ܦܠܐ ܕܐܬܟ̈ܪܙܘܗܝ. §6. ܒܟܠܗܘܢ
ܕܝܢ ܗܠܝܢ ܕܐܝܬ ܒܟܠܗܘܢ ܡܫܡܫܢܘܬܐ ܕܟܗܢܘܬܐ. ܡܢ ܐܒܪܗܡ
ܘܒܬܪ ܠܒ̈ܢܝܢܐ ܡܫܬܐ. ܠܝ ܐܝܟ ܢܐܡܪ ܕܟ̈ܬܒܐ ܟܪ̈ܣܛܝܢܐ
ܗܘܘ. ܐܦ ܠܐ ܒܡܫܡܫܢܘܬܐ ܡܢ ܥܒܪܐ[5] ܠܐ ܢܦܩ[6]. §7.
ܡܛܠ ܓܝܪ ܕܐܬܦܠܓ ܡܢ ܓܒܪܐ ܟܪ̈ܣܛܝܢܐ ܗܘ ܗܢܐ ܥܡܐ.
ܗܢܘ ܕܝܢ ܢܕܒܪܗ ܕܡܫܡܫܢܐ ܘܡܦܠܚܢܘ. ܘܢܒܝܘܬܐ ܕܕܝܫܘܬܐ.
ܘܡܫܡܫܢܘܬܐ ܕܒܟ̈ܪܐ[7] ܢܟ̈ܪܐ. ܘܡܫܡܫܢܘܬܐ ܕܕܝܠܗ ܕܐܠܗܐ.
ܕܢܦܠ ܕܝܢ ܗܘ ܐܠܗܐ ܒܠܫܘܢܗܘܢ ܟܠ ܟܠ. ܒܗܠܝܢ ܟܠܗܘܢ.
ܠܐ ܗܘܐ ܒܝܕ ܡܢܝܢ ܡܬܡܫܟܢܝܢ ܗܘܘ ܒܗܘܢ ܗܠܝܢ[8]
ܦ̈ܬܓܡܐ. §8. ܠܗܘ ܗܘܐ ܠܗܘܢ ܓܝܪ ܒܡܫܟܢܘܬܐ ܟܠ

---

1 B. add. ܒ̈ܬܫܡܫܬܐ. 2 B. ܡܬܩܒܠܘܗ. 3 B. add. ܗܘܘ. 4 B. ܕܡܫܬܡܠܒܪܢܝ ܒܗ. 5 B. ܥܒܪ. 6 A. ܢܦܩܘ. 7 B. ܕܕܘܟܪܐ. 8 B. ܕܗܠܝܢ.

ܟܪܘܙܘܬܐ ܘܦܪ̈ܢܣܘܬܐ[1] ܐܝܟ ܕܐܦܠܐ ܠܝ. ܐܦܠܐ ܟܠ ܢܘܗܪܐ
ܕܫܡܫܐ. ܐܝܟܢܐ ܕܐܦܠܐ ܠܝ. ܐܦܠܐ ܟܠ ܦܘܪܫܐ ܕܡ̈ܪܟܒܬܐ ܐܘ
ܕܐܣ̈ܛܘܟܣܐ. ܕܡܬܝܕܥܐ ܡܢܗܘܢ ܗܘ ܦܪܫ ܒܗܘܢ. ܘܐܡܬܝ
ܐ̈ܢܫ ܕܡܬܒܗܪ̈ܝܢ ܒܗ ܒܠ̈ܫܢܐ ܠܦܪܫܘ ܕܡܢ ܒܝܬܘܗܝ. ܐܝܟܢܐ
ܕܐܦܠܐ ܒܦ̈ܬܓܡܐ ܗܘܐ ܢܦܪܘܫ ܕܐܝܟ ܗܘܠܝܢ. ܐܠܐ ܐܦ[2]
ܦܫܝܛܐ ܚܕܝܢ ܗܘܘ ܠܗ ܠܫܡܫܐ ܒܪܗ ܕܐܠܗܐ. ܕܗܘ
ܐܬܝܕܥ ܠܗ ܕܐܬܐ ܠܐܒܪܗܡ. ܘܡܠܟ ܡܢܠܟܐ[3] ܠܐܡܫܡܫ.
ܘܡܠܠ ܥܡ ܐܝܣܪܐܝܠ. ܘܥܡ ܡܘܫܐ ܘܥܡ ܢܒ̈ܝܐ ܕܗܘܘ ܡܢ
ܒܬܪܗ. § 9. ܡܢ ܗܪܟܐ ܕܝܢ ܡܫܡܫܝܢ ܐܢܬ ܠܡܦܪܫ
ܕܐܬܐܡܪ ܠܫܡܐ ܡܫܝܚܐ. ܗܢܘܢ ܗܢܘܢ ܩ̈ܢܘܡܘܗܝ ܕܐܠܗܐ.
ܐܝܟ ܡܠܬܐ ܕܐܡܪܐ ܡܬܚܫܒܢܘܬܗ ܘܠܐ ܡܬܦܪܫܢ ܠܡܫܝ̈ܚܐ.
ܘܡܬܒ̈ܥܝܢ ܠܐ ܡܬܦܠܓܝܢ. § 10. ܡܢܗܠܝܢ ܦܫܝܛܐ ܠܒܪܐ
ܗܘ ܕܝܠܗ ܕܐܠܗܐ ܕܗܘܐ. ܕܥܡ ܡܠܟܘܬܗ ܕܡܫܝܚܐ ܐܬܒܪܐ
ܠܟܠ ܥܠܡܝܢ. ܕܗܘ ܕܝܫܘܥ ܕܡܬܝܕܥ ܘܡܬܩܪܐ. ܠܟܠܗܘܢ
ܗܢܘܢ ܐܝܟ ܩ̈ܢܘܡܘܗܝ ܕܐܠܗܐ ܕܒܪܗ ܐܒܪܗܡ. § 11. ܘܐܦ
ܐܡܪ ܡܢ ܒܬܪ ܙܒܢܐ ܦܫܝܛܐ ܠܘܬ ܐܒܪܗܡ ܕܟܠ ܦܘܠܚܢܐ
ܟܪܘܙܘܬܐ. ܡܫܡܫܐ ܒܡܫܝܚܘܬܐ ܗܘ ܡܫܡܫܐ ܒܟܠܗܘܢ
ܕܐܙܕܩ. ܐܝܟ ܕܐܡܪܐ ܒܟܠܗܘܢ ܡܠܟܐ ܕܐܠܗܐ. ܕܗܘܝܢ ܐܒܪܗܡ
ܠܐܠܗܐ ܘܐܬܝܕܥ ܠܗ ܠܙܪܥܗ. § 12. ܘܟܕ ܗܘܐ
ܐܬܚܘܝ ܗܘܐ ܡܢ ܟܪܘܙܘܬܐ ܐܬܐܡܪ ܠܗ ܡܢ ܐܠܗܐ ܕܐܬܐ
ܠܗ. ܕܗܘܐ ܡܫܝܚܐ ܡܠܟܗ ܕܐܠܗܐ. ܟܠ ܗܢܘܢ ܕܡܢ ܒܬܪ[4]
ܙܒܢܐ ܒܡܠܟܘܬܗ ܒܚܕܝܢ ܗܘܘ ܠܡܙܕܕܩ. ܒܗܠܝܢ ܡ̈ܠܐ[5]

1 B. ܦܪܢܣܬܐ. 2 B. ܘܐܦ. 3 B. ܡ̈ܠܟܐ. 4 B. ܕܒܬܪ. 5 B. ܒܗܝܢ ܡ̈ܠܐ.

ܕܐܬܡܠܟܘ ܠܗ ܗܟܢܐ. ܕܢܬܟܪܟ ܥܡ ܟܠܗܘܢ ܡܠܟ̈ܐ ܕܐܪܥܐ. ܘܢܚܙܐ ܠܟܠܗ ܐܪܥܐ ܘܫܘܦܪܗ̇. ܘܢܬܟܪܟܘܢ[1] ܒܗ ܟܠܗܘܢ ܥܡ̈ܡܐ ܕܐܪܥܐ. § 13. ܕܟܠܗ ܕܝܢ ܡܠܟܘܬܗ ܐܚܝܕܐ ܗܝ ܡܢ ܗܘܬ. ܒܗܝܡܢܘܬܐ ܗܝ ܕܡܪܢ[2] ܕܐܬܓܠܝܬ ܠܗ ܐܙܕܝܩ. ܕܐܬܗܘܝ ܡܠܬܐ ܕܐܠܗܐ. ܘܐܪܝܡ ܡܢ ܦܬܟܪ̈ܐ ܕܐܒܗܘ̈ܗܝ. ܘܡܢ ܕܒܚ̈ܐ ܡܩ̈ܝܠܐ ܕܛܥܝܘܬܐ[3]. ܘܐܘܕܝ ܒܗܘ ܕܝܢ ܗܘ ܐܠܗܐ ܕܟܠ ܟܠ. ܘܒܬܪܟܢ ܡܫܝܚܐ ܦܠܚ ܗܘܐ ܠܗ. ܘܠܐ ܒܦܘ̈ܩܕܢܘܗܝ ܕܡܫܬܡܫܐ ܕܐܬܚܙܝ ܥܡ ܡܫܝܚܐ. ܘܟܠܗܘܢ ܕܝܢ ܡܠܟ̈ܐ ܕܐܪܥܐ ܘܟܠܗܘܢ ܥܡ̈ܡܐ ܒܗ ܡܫܬܥܒܕܝܢ. § 14. ܒܫܢ̈ܝܐ ܕܐܚܪܢܝܢ ܘܡܠܟ ܝܬܒ ܡܢ ܩ̈ܠܐ ܐܬܚܙܝܬ ܗܘܬ. ܕܟܠܗܘܢ ܕܝܢ ܒܬܫܥܝܬܐ ܗܘ ܡܫܬܒܚ ܗܘ ܗܘ ܕܒܪܐ ܡܫܝܚܐ. § 15. ܡܢ ܗܫܐ ܡܢܐ ܗܝ ܥܠܬܐ ܕܗܘܬ. ܕܝܢ ܗܘ ܕܒܪܐ ܘܡܬܦܫܩܐ ܕܢܝܚܬ ܐܠܗܐ ܐܝܬ ܠܝ. ܕܡܫܠܡܝܢ ܡܢ ܡܫܝܚܐ. ܘܠܗܘܢ ܡܛܝܒܐ ܢܘܗܪܗܘܢ ܕܐܠܗܐ. ܡܟܝܠ ܠܐ[4] ܚܝܠܐ ܘܩܘܒܠܐ ܕܡܫܝܚ ܡܠܟܘܬܗ[5]. ܐܠܐ ܠܝ ܙܕܩ ܕܐܡܪ: ܕܗܘܬ ܗܝ ܡܫܬܪܝܬ[6] ܕܢܬܠ ܐܠܗܐ ܐܝܬ ܠܒܢܘܗܝ. ܡܛܠܬܐ ܡܫܪܪܬܐ. ܗܘܬ ܕܒܗ ܡܠܟܘܬܗ ܕܡܫܝܚܐ ܐܬܡܠܟܬ ܠܗ.

---

1 B. ܘܕܢܬܟܪܟܘܢ. 2 B. add. ܘܦܪܘܩܢ. 3 A. ܕܛܥܘܬܐ. 4 A. male ܠܐ om. 5 A. ܡܠܟܘܬܗ. 6 B. ܡܫܬܪܝܬ ܕܗܘܬ ܗܝ.

CAPUT PRIMUM.

Quaenam sit historia initii (hujus operis)?

§ 1. Successionem legatorum inde a diebus salvatoris nostri usque ad nos libro describere institui et quot et quales res enarratae in libris historicis ecclesiae [B. ecclesiarum] et qui gloriose in congregationibus (paroeciis) celeberrimis antistites et duces fuerint et qui singulis aetatibus verbum Dei praedicaverint, sive non scriptis, sive scriptis, et qui et quot et quibus temporibus exstiterint denuo etiam dotores erroris, falsae doctrinae, et sine parsimonia utpote lupi [B. conrumpentes] aggressi sint gregem Christi: § 2. Praeterea quid acciderit subito populo Judaeorum propterea quod exsurrexerunt et impudenter egerunt contra salvatorem nostrum: et quomodo et quibus temporibus impugnatum sit a populis evangelium [B. add. Dei] salvatoris nostri: et quinam viri omnibus temporibus pericula sustinuerint propter nomen Domini nostri in tormentis et angoribus et effusione sanguinis et qui simul cum hisce etiam martyres nostris diebus fuerint: et quaenam auxilia misericordiae Salvatoris nostri omnibus temporibus fuerint. Haecce vero quum describere volo, decet, narrationis initium facere a gubernatione prima salvatoris nostri et domini nostri Jesu Christi filii Dei. § 3. Peto vero, ut

sagaciter me cognoscatis. Confiteor majus esse viribus meis omni ex parte perficere hanc promissionem, quia primi nos hoc opus exorsi sumus utpote homo qui incedit in via non trita, et oramus ut Deus sit nobis dux et ut vires Domini nostri nobis sint adjumento. Vestigia enim manifesta hominum aliorum qui incesserunt (leg. ܪܕܘ) antea in hac via non invenimus, sed exigua modo sunt initia narrationum singulorum (ipsis illis) temporibus, quibus vixerunt, quas sparsim nobis reliquerunt, quasi e longo temporis spatio facibus verborum suorum [vocum suarum] quasi a scopo altitudinis clamantes et praecipientes, qua via nobis sit incedendum, et cursum sermonis dirigentes nobis sine errore. § 4. Omnia vero ea quae nobis utilia fore putamus huic operi, ex iis quae dispersa in commemorationibus eorum, libris antiquis, quasi de prato logico collegimus flores verborum eorum et intexamus in narrationem nostram historicam et tradamus seriem apostolorum Salvatoris nostri, cujus (seriei) memoria servatur in ecclesiis celeberrimis usque ad nostrum tempus, etiamsi non omnium (sc. apostolorum) attamen eorum qui celeberrimi inter eos sunt. § 5. Sed valde necessaria est confectio hujus operis, quod nobis superimpositum est, propterea [quod neminem ex scriptoribus antiquis, qui in ecclesia fuerunt, deprehendimus, cujus studium in scribendo hoc argumento positum fuisset. Spero vero ut sit utilitati iis qui amant hanc narrationis disciplinam. § 6. Et usque ad hoc tempus in libro temporum quod confecimus hanc materiam non nisi compendiose tractavimus. Nunc vero omne studium impendi, ad

hanc historiam, quae nobis superimposita est, perfectiori modo enarrandam.

CAPUT SECUNDUM.

Epitomae summariae de praeexistentia divina salvatoris nostri, domini nostri Jesu Messiae filii Dei.

§ 7. Initium ergo sermonis, utpote antea dixeram a divinitate excelsa et gloriosa Messiae faciam, quae antecessit huic existentiae (*οἰκονομία*) in corpore. § 8. Decet enim eum, qui scriptis historicis res gestas ecclesiae tradere vult, altius (incipientem) dicere de historia domini nostri — a divino numine enim humanum genus Messianitatis cognomen adeptum est. — Cap. 2. § 1. Est enim ejus typus duplicis naturae: altera aequalis est corpori, cujus caput est ejus divinitas et pedibus aequalis est ejus humanitas ..... quam induit propter nostram redemptionem. Quando ergo initium sermonis nostri faciemus ab aeternitate divinitatis ejus, perfecta erit narratio quoad dispositionem. Ex eo enim etiam antiquitas et vetustas Christianorum apparebit, quae ab antiquissimus temporibus laudata fuit Deo, neque, ut homines putant, hoc ipso tempore recens enata est. § 2. Ad explicandam vero generationem et majestatem substantiae Messiae nullum unquam verbum sufficit, utpote spiritus Dei in prophetia dixit: „(Jes. 53, 8.) Genus ejus quis enarrabit?“ Utpote enim patrem nemo novit nisi filius, sic etiam nemo filium quoad ejus substantiam cognoscere potest nisi solus pater qui eum genuit.

§ 3. Quis enim lumen, quod ante mundi creationem, et sapientiam substantialem et perfectam, et verbum Deum vivum, quod ab initio apud Patrem fuit, intelligendo assequi potest, nisi pater? Illum, qui ipse solus est filius divini numinis, qui ante omnes creaturas et visibiles et invisibiles, principem exercituum coelestium, immortalium, illum qui ipse est admiratio (i. e. admirandus) et consiliarius[1], illum qui executor arcanae patris voluntatis, illum qui simul cum patre omnium rerum creator est, qui ipse est causa efficiens omnium quae existunt, qui est filius comprobatus et unicus Dei, qui omnium rerum dominus et Deus et rex est, qui possidet imperium et dominationem simul cum potestate et divinitate et gloria ex ipsa patris essentia. Quasi mystice libri (i. e. sacrae scripturae) de ejus divinitate loquuntur: (Joh. 1, 1. 3.) „In principio fuit verbum, et verbum fuit apud Deum, et Deus fuit verbum, omnia per ipsum facta sunt neque quidquam sine eo est.“ § 4. Etiam Moses antiquissimus et princeps prophetarum, dum divino afflatus spiritu describit existentiam et creationem creaturarum, Messiam creatorem et ordinatorem omnium rerum esse scribit, scilicet ex (auctoritate) verbi Dei quod ab initio creatum est, eumque sibi in creando homine associavisse. Dixit enim Deus: (Gen. 1, 26.) „Faciamus hominem ad imaginem et similitudinem nostram.“ § 5. Et huic verbo assentit alius propheta, dum in hymnis suis de Deo loquitur: (Ps. 33, 9.) „Ipse dixit et facta sunt, ipse

---

1 Syrus: ܡܠܘܟܐ.

mandavit et creata sunt.“ Hicce est qui conjunctus est cum filio et patre quoad voluntatem. § 6. Hunc autem, principem generationis .... omnes qui justitiae, pietatis et religiosae vitae laude floruerunt, asseclae Mosis et ante eum Abraham et filii ejus et quicunque postea excelluerunt justi et prophetae puris mentis oculis contemplati agnoverunt eique tanquam filio Dei debitum cultum exhibuerunt. § 7. Ipseque hos omnes Patris notitiam docuit. Dixit enim: (Gen. 18, 1.) „Apparuit dominus Deus sub simplicis hominis specie Abrahamo, dum sedit ad quercum Mamre. Hic autem prolapsus adoravit, quamvis ipsis oculis hominem conspiceret, adoravit eum tanquam Deum et tanquam Domino supplicavit, indicans se optime cognovisse quisnam ille sit, hisce verbis: (Gen. 18, 25.) „Domine qui totam terram judicas: „Ne fiat hocce judicium.“ § 8. Deus vero et Dominus, qui judicat totam terram, apparuit sub specie hominis. Quis enim alius appellari possit Deus nisi Verbum quod a principio fuit, de quo etiam in Psalmo sermo est: (Ps. 107, 20.) „Misit etiam verbum suum et sanavit eos et eruit eos e corruptione“ hunc ipsum revera Dominum esse una cum patre, expresse contendit Moses: (Gen. 19, 28.) „Pluere fecit super Sodom et Gomorrha ignem et sulphur a Domino.“ Eundem, qui apparuit Jacobo sub hominis specie, Deum appellat scriptura, allocutus enim est Jacobum: (Gen. 32, 28. 30.) „Non amplius nomen tuum vocabitur Jacob, sed nomen tuum erit Israel quia praevaluisti cum Deo. Et vocavit Jacob nomen hujus loci „*visionem Dei*“. (Gen. 32, 30.)

„Vidi enim, inquit, Deum facie ad faciem et erepta (s. salvata) est anima mea. § 10. Non enim licet nobis suspicari, visiones Dei, quae in scriptura traditae sunt, fuisse visiones inferiorum angelorum Deum ministrantium. Quoties enim hominibus unus ex illis apparuit, eius nomen scriptura minime dissimulat, numquam enim „Dominus" vel „Deus" appellantur, sed angeli. Hoc enim multis exemplis expresse hominibus demonstrare possumus. Eundem quoque Josua, qui excepit Mosem, utpote rectorem angelorum et coelestium et archangelorum et exercituum gloriosorum, ducem exercituum et Dominum appellat, quamvis conspexerit eum sub specie hominis. § 12. Scriptum enim est (Jos. 5, 13—15.): „Quum Josua esset in (urbe) Jericho, sustulit oculos et conspexit virum coram se stantem, gladium evaginatum manu tenentem. Huic appropinquavit Josua eique dixit: „Tune noster es, an ex numero adversariorum? Respondit ille: „Ego dux exercituum Domini et nunc veni. Et Josua cecidit pronus in terram, dixitque illi: „Quid mandas servo tuo?" Respondit dux exercituum Domini Josuae „Solve calceamentum de pedibus tuis, quia locus in quo stas, sanctus est". § 13. Iccirco ex his verbis cognoscere potes, huncce fuisse non[1] eundem atque qui apparuit Mosi. Sunt enim eadem verba quibus hoc loco scriptura loquitur atque ista verba, quae de illo prolata sunt (Exod. 3, 4—6.): „Quum Deus cerneret Mosem, qui ut (melius) videre posset appropinquavit, vocavit eum

1 Sic Syrus, sed sine dubio ܠܐ (non) delendum est.

de medio rubi et dixit: Moses, Moses! Repondit „Adsum.“ Dixit, ne huc accedas, solve calceamentum de pedibus tuis quia locus, in quo stas, terra sancta est. Et dixit ei: „Ego sum Deus patris tui, Deus Abrahami, Deus Isaaci, Deus Jacobi.“ § 14. Ergo essentiam praeexistentem, et manifestam, ante mundum existentem, viventem, per se ipsam perfectam, quae ministravit Patri et Deo omnium (creaturarum) in dispositione omnium, quae creata sunt, appellari Deum et sapientiam, eam exstitisse ante Verbum Deum singulisque hominibus apparuisse, etiamsi non omnibus, his exiguis argumentis demonstrare conamur. § 17. Sed expresse demonstremus, quam ob causam non omnibus populis praedicata fuerit. Prisca hominum vivendi ratio non poterat capere doctrinam sapientiae gloriosae Christi. § 18. Quum enim primus homo jussum Dei repudiasset, privatus est [B. add. „hac“] vita felici et subito in hanc vitam mortalem temporalitatis exiguae decidit et commutavit illam retributionem divinam cum hac terra execrationis. Hujus autem posteri totam terram impleverunt, uno vel duobus exceptis, illo deteriores facti sunt, quasi ad instar ferarum vitam, quae non vita fuit, sibi adsciverunt. § 19. Sed intellectus, mores vel sapientia in animis eorum moriebantur; legem [B. leges] vero et religionem [B. religiones] aut virtutem sapientiae ne nomine quidem noverant, sed utpote grex ferarum et crudelium per desertum vagabantur et cogitationes probas sibi a natura insitas et semina [B. semen] mitia scientiae oppresserunt [B. corruperunt]

multitudine malae voluntatis, omnibusque contaminationibus animos suos dederunt, ita ut nunc sese invicem vitiarent, nunc interficerent, nunc humanas carnes ederent et bellis gigantum apud omnes celebres essent: quid? quod etiam turrim inde a terra usque ad coelum exstruere statuerunt et per insaniam mentis suae ad eum, qui Deus omnium est, propugnandum se praeparaverunt? § 20. Quum vero hoc modo se gererent, diluvio [B. diluviis] aquarum et ignis Deus eos utpote silvas campi per universum terrae orbem dispersas, punivit et fame et mortalitate (i. e. peste) et bellis et igne coelitus misso eos succidit et exstinxit, et pravas cogitationes cruciatibus acerbis vindictae coërcuit. § 21. Quum vero super omnes homines malitia sensim effusa esset et quasi ebrietas gravis mentes hominum et opprimeret et obscuraret, ... iccirco sapientia Dei, ipsum scilicet Verbum ante omnia existens, ab omni aeternitate existens, pro summa sua misericordia erga omnes homines nunc sub specie angelorum, nunc utpote salutaris Dei salvatoris nostri potentia uni vel alteri ex piis a Deo dilectis sub specie hominis apparuit — aliter enim conspicere non poterant. § 22. Quum vero per illos semina timoris Dei (i. e. religionis) in vulgus sparsa essent unica gens tota Hebraeorum convertit se ad timorem Dei. Apud hos vero, quum hucusque per multas antiquas populorum institutiones versati essent, per prophetam Mosem imaginem et mysterium sabbati et circumcisionis aliorumque symbolorum introduxit, non vero ipsam mysterii veritatem iis tradidit.

§ 23. Quum autem lex, quae Hebraeis data erat, (apud eos) divulgata et utpote odor suavissimus per omnes homines diffusa esset, et ex illis multi populi operâ legumlatorum et philosophorum, qui ubicunque vivebant, morum crudelitatem et feritatem cum mansuetudine et mitigatione commutassent, ita ut multa pax et amor et mutua inter homines commercia coepissent, tunc demum omnibus hominibus, omnibusque terrae gentibus utpote hominibus jam praeparatis et ad scientiam Patris percipiendam idoneis ille ipse virtutum et rerum laudabilium magister, qui una cum patre omnium bonorum compos est, Verbum et Sapientia Dei induit corpus et genus humanum cum patre reconciliavit. Apparuit autem tempore exordii imperii Romani; fecit et pertulit ea, quae cum verbis prophetiarum consentiebant. Dei enim prophetae praedixerant: filium hominis in mundum venturum esse, laudabilium actionum effectorem et patris cultum omnes gentes docturum. Atque praestantia scientiae ejus, nova ejus doctrina, miraculosaque opera praedicta fuerunt, aeque atque natura mortis ejus resurrectio ex mortuis et ascensio ad coelum; humanamque ejus naturam interituram esse per ejus divinitatem (praedictum erat). § 24. Quod vero ejus regnum in fine saeculorum adventurum attinet, Daniel visionem divinam vidit eamque ad humanum captum sese accommodans hoc modo nobis descripsit (Dan. 7, 9. 10.): „Videbam, inquit thronos positos, antiquum dierum (ibi) sedentem. Vestimentum ejus candidum erat sicut nix et capilli capitis ejus sicut lana munda. Thronus ejus erat

flamma ignis, rotae ejus ignis flagrans. Flumen ignis manabat ejus conspectu. Mille millia ministrabant ei et myriades stabant coram eo. Judicium constituit et libri aperti sunt.“ § 25. Et paulo post (Dan. 9, 13. 14.): „Adspiciebam, inquit, ecce quasi in nubibus coeli filius hominis venit et usque ad antiquum dierum pervenit eique coram adpropinquavit; et ei datus est principatus et honor et regnum omnesque populi et linguae inserviebant. Potestas ejus erit potestas aeterna, quae non praeteribit neque peribit regnum.“ § 26. Haec sine dubio ad salvatorem nostrum sunt referenda, qui erat a principio apud Deum Deus Verbum, qui appellatur filius hominum propterea quod induit humanitatem nostram in novissimis temporibus. § 27. Quum vero aliis in libris omnia quae a prophetis de salvatore nostro, Domino nostro Jesu Christo dicta sunt collegerimus, ea nunc sufficiant. Cap. 3. § 1. Nunc vero opportunun est tempus, ut ostendamus, nomen Jesu Christi a prophetis, Dei amicis, in honore habitum fuisse.

CAPUT TERTIUM.

De nomine Jesu et Christi quod notum fuit et in honore habitum a prophetis sanctis.

§ 2. Nomen Messiae cultum et celebratum fuisse primus Moses ostendit in typis coelestibus et allegoriis et imaginibus terrae, utpote vox illa ei dixit (Exod. 25, 40.): „sic circumspecte omnia facias juxta figuram, quae tibi in monte monstrata est“

et ostendit ei summum sacerdotem Dei et utpote fas erat eum nominari ab hominibus eum Messiam appellavit. Atque huic summi sacerdotii dignitati, quae apud homines omnes gradus (dignitatis) superabat, nomen Messiae dedit, honoris et gloriae causa. Sic ei persuasum fuit, nomen Messia esse nomen divinum. § 3. Idem iterum Moses etiam nomen Jesu, quod per spiritum Dei praevidit in maximo honore habuit. Quod enim nomen nunquam inter homines (antea) auditum, priusquam a Mose nomen Jesu cognosceretur, hoc nomen Jesu primum ei indidit qui typice et symbolice post suum decessum totius populi dominium accepturus sit. § 4. Huic vero antea aliud nomen inditum erat, nomen quod ejus coaevi ei dederant, scilicet *Hosea Bar Nûn*. Moses vero eum „Jesum“ appellavit, velut honoris insigne regio diademate praestantius. *Jesus Bar Nûn* enim imaginem salvatoris nostri exhibuit, is qui solus imperium perfecti famulitii pro vera religione (praestiti) in se recepit, quae (vera religio) ei mystico quodam et symbolico modo tradita est. § 5. Moses vero duobus viris, qui ea aetate prae toto populo in honore habebantur propter eximias virtutes, alteri summo sacerdoti, alteri duci post exitum suum futuro nomen salvatoris Domini nostri Jesu Christi maximi honoris instar imposuit. § 6. Sed etiam Prophetae postea viventes nominatim et diserte Christum praenuntiaverunt atque id quod perpessurus sit a Judaeis atque iterum gentium per eum vocationem (multo) ante testati sunt: modo Jeremias sic ait (Thren. 4, 20.): Spiritus ante vultum nostrum Chri-

stus Domini comprehensus est in corruptionibus eorum, is de quo diximus: in umbra ejus vivemus in medio gentium.“ Atque iterum David hisce obstupescens dixit (Ps. 2, 1. 2.) „Cur fremuerunt gentes et populi meditantur inania? Surrexerunt reges et principes terrae et convenerunt simul adversus dominum et ejus Christum“, quibus haec subjunxit quasi ex persona Christi: Dominus mihi dixit (Ps. 2, 1. 2.): „Tu es filius meus, ego hodie genui te. Postula a me et dabo tibi populos haereditatem tuam et possessionem tuam terminos terrae.“ § 7. Neque soli qui summo sacerdotio ornati erant, et typice oleo odorato ungebantur, honorifico nomine Christi honorabantur apud Hebraeos, sed etiam reges, quos prophetae quasi arcano Dei jussu unxerant, utpote adumbratos Christos effecerunt: nam hi ipsi imaginem solius ipsius veri Christi, qui omnia gubernat, in se gerebant, (imaginem) dignitatis regiae, et potestatis et principatus. § 8. Iterum etiam e prophetis nonnulli qui uncti erant, typice „Christi“ vocabantur, ita ut hi typum, quem induerant, ad ipsum verum Christum, divinum verbum, referrent, ad eum, qui solus ipse summus pontifex, etiam solus rex omnium creaturarum, et solus dominus prophetarum patris est. § 9. Cujus rei argumentum hoc est, quod nullus ex veteribus qui typice uncti sunt, neque e sacerdotibus, neque e regibus neque e principibus (B. principe) prophetarum tantam virtutis divinae potentiam adeptus est, quantam servator noster, Dominus noster Jesus, is qui solus ipse verus Christus, ostendit. § 10. Nullus eorum, etiamsi

gradum (B. gradus) dignitatis adepti, et per omnes aetates apud suos honoris laude nobilitati essent, eos qui ipsorum potestati subditi erant unquam Christianos cognominavit, ex illo typo mutuo qui apud eos in usu erat; sed ne cultum quidem a subjectis quisquam eorum est consecutus: nec vero post eorum mortem tantam in eos amoris propensionem ostenderunt, ut eorum gratia mortem oppetere parati essent. Neque ulli gentium sub coelo degentium tanta unquam contritio accidit propter ullum ex veteribus, quia typus nunquam tantam vim sibi comparaverat, ut tantum operari posset, quantum veritas (ipsa) per Salvatorem nostrum exhibuit, § 11. qui neque symbolum (B. symbola) neque typum (B. typos) summi sacerdotii ab ullo acceperat, neque sacerdotali genere secundum carnem erat oriundus, neque per homines armis instructos ad regnum erat evectus, neque propheta veterum ritu factus erat, neque ulla dignitas aut potestas ei apud Judaeos erat. Sed non typice sed (ipsa) veritate omnimodo a patre exornatus est. § 12. Ut jam supra dixi non ut hic omnia haec consecutus, et propterea Christus cognominatus est, (B. sed) quod solus ipse verus Christus, et secundum ipsius nomen sacrosanctum et gloriosum nominavit et implevit in universo orbe Christianos. Itaque non typum (B. typos) neque etiam imaginem sed veritatem revelatam et institutiones divinas atque gloriosa sua mandata iis, qui ipsi obedientiam praestiterunt, tradidit, § 13. et unctionem, non eam quae ex unguentis componitur, sed (eam quae) per spiritum

Dei, uti Deum decet, (acquiritur) ab ipsa divinitate patris accepit. Hoc quidem Jesaias docet, tanquam ex ipsa Christi persona sic loquens (Jes. 61, 1.): Spiritus Domini super me eo, quod unxit me, ut pauperibus evangelium annunciarem, et misit me ut praedicarem captivis liberationem et caecis visum. § 14. Sed non solus Jesaias sed etiam David eum renunciavit (Ps. 45, 7. 8.): „Solium tuum Deus est in saeculum saeculorum. Sceptrum rectum est sceptrum regni tui. Dilexisti justitiam et odisti iniquitatem, propterea unxit te Deus, Deus tuus, oleo laetitiae magis quam illos qui (antea) uncti sunt," quibus in verbis in primo versu eum Deum appellat, in secundo versu vero sceptrum regni ei honoris causa attribuit, § 15. atque iterum in verbis descendens a divina et regia potestate tertio loco eum unctum esse declarat, sed non oleo ex rebus creatis composito (i. e. materiali) sed divinae laetitiae oleo, eo praestantiam hujus (Jesu) unctionis indicans, quantumque ea antecellat iis, qui antea typice et corpus tenus uncti (A. laudati) erant. § 16. Alio quidem loco de eo sic loquitur (Ps. 110, 1.): „Dixit Dominus domino meo: sede a dextra mea, donec ponam hostes tuos scabellum pedibus tuis" et (v. 3. 4.): „In decoribus sanctitatis ex utero antea genui te. Juravit Dominus, et non mentietur: tu es sacerdos in aeternum ad instar Melchizedeki." § 17. Hic autem Melchizedek, quem libri sacerdotem Domini altissimi fuisse ostendunt, non confecti alicujus olei unctione consecratus, neque generis successione apud Hebraeos sacerdotium est adeptus.

Propterea ad ejus instar, non ad instar eorum qui symbolico et typico more (uncti) erant, Salvator noster Christus et sacerdos vocatur, sed cum jurisjurandi adjectione. § 18. Iccirco etiam eum corporaliter ab Hebraeis unctum esse historia non commemorat, neque eum ex tribu sacerdotum oriundum, sed eum a Deo ante (omnes) creaturas genitum esse et immortale nullique obnoxium senio sacerdotium in saeculum saeculorum obtinere. § 19. Eum autem unctionem spiritualem et divinam adeptum esse, id maximum et evidentissimum testimonium est, quod hic solus ex omnibus qui inde ab omnibus aetatibus usque ad hodiernum diem exstiterunt, ab omnibus hominibus qui in mundo fuerunt, Christus nominatus est, et ab omnibus hominibus Graecis aeque atque Barbaris, hoc nomen testimonio praedicatur et celebratur, et hactenus ab omnibus creaturis, ab omnibus qui eum laudant, tanquam rex in honore habetur, et supra Prophetas admiratione nominatur, gloria vero ut ipse verus summus dei sacerdos afficitur, et insuper utpote Deus verbum, quod ante omne aevum genitum est, adorationis honorem ab ipso patre accepit, et tanquam Deus adoratur, qui re vera (oriundus) est ab eo qui revera Deus est. § 20. Quod vero prae omnibus notatu dignum est, est id, quod ii qui eum adorant, non solum vociferatione aut verbis faciendis eum adorant sed omni cordis affectu eum colunt et ejus confessio nobis vita multo carior est. Cap. 4. § 1. Haec omnia autem a nobis praemissa sunt ipsi rerum gestarum narrationi ne quis propter tempora quibus inter homines versatus est in carne,

putet Salvatorem nostrum Jesum Christum fuisse novellum et novae doctrinae auctorem.

CAPUT QUARTUM.

Doctrinam de religione, quam Salvator noster praedicavit, neque novam neque peregrinam fuisse.

Iterum ne quis ejus doctrinam de timore Dei peregrinam et novam, utpote a novello enunciatam neque ullo modo reliquis hominibus cognatam suspicetur, pauca etiam de ea dicamus. § 2. Quum enim recens Salvatoris nostri, Domini nostri Jesu Christi adventus omnibus hominibus illuxisset, nova, ut confitemur, gens nostra sed non exigua aut infirma, quae ei fidem praestitit, neque in angulo terrae sita, sed per omnes populos dissipata et populosissima. Deumque timens nunquam destructa neque unquam victa, cui Dei auxilium semper praesto erat et propterea subito in omnium conspectum evenit, gens Christi nomine nobilitata. § 3. Quam ob rem unus ex Prophetis obstupescens, qui quiddam eventurum esse divini Spiritus oculo prospexerat, sic ait (Jes. 66, 8.): Quis talia audivit? Quis talia vidit? Numquid parturit terra uno die? Num gens quaedam una hora genita est? Atque hic propheta de nomine sic loquens verba facit (Jes. 65, 15. 16.): „Atque vobis nomen meum timentibus nomen novum imponetur, quod benedicetur in terra.“ § 4. Sed tametsi novi sumus et recens Christianorum nomen omnibus (B. add. populis) innotuit, illa ejus vitae directio et potestas

et agendi institutio minime recenter a nobis instituta, sed inde ab initio humani generis confirmata est, ab hominibus antiquis Dei amantibus, quasi ex cogitandi facultate a natura insita utpote nunc demonstrabimus. § 5. Populus Hebraeorum minime novus fuit, sed ejus vetustas apud homines in honore habita est, cunctis est notus, cujus in traditionibus et libris narrationes de vetustis hominibus continentur, qui rari sane atque numero pauci, qui vero propter eorum justitiam, Dei timorem et alias sanctae vitae virtutes in honore habebantur, ante diluvium singuli, postea alii aeque e Noae filiis atque ex eorum posteris usque ad Abrahamum, quem conditorem generis sui esse jactant Hebraei. § 6. Si quis vero contenderit, omnes illos, quorum justitia testimonio comprobatur, inde ab Abrahamo usque ad primum usque hominem, quoad eorum agendi rationem non vero nomine Christianos fuisse, is a veritate non aberravit. § 7. Quae enim a Christiano viro haec (Christiani) denominatio postulat, scilicet Christi et ejus doctrinae cognitio, castitas, justitia, patientia in bonis operibus efficiendis conspicua, et pietatis atque cultus unius, qui super omnia est, Dei professio: his omnibus non minus quam nos veteres illi studium atque operam navaverunt. § 8. Non enim iis corporis circumcisio curae fuit, sicut neque nobis, neque sabbatum observantia, sicut neque nobis, neque ciborum aliarumque rerum abstinentia, quae primus Moses apud eos instituit et tanquam typice observanda posteris tradidit, ut neque Christiani nunc talia observant. Sed et Christum Dei

filium distincte cognoverunt; jam enim innotuit, eum ab Abrahamo visum esse, Isaako consilium (B. consilia) dedisse, cum Israele collecutum esse, item atque cum Mose et prophetis ei posteris. § 9. Inde cognoscere poteris pios homines Christi nomine decoratos fuisse, utpote in hoc verbo de iis dicto (1 Chron. 16, 22.): „Ne appropinquetis Christis meis, neve in Prophetas meos maligne agatis.“ § 10. Ergo hanc ipsam religionem praesentis temporis (i. e. hoc ipso tempore in honore habitam), quae (olim) per Christi doctrinam omnibus populis praedicata est, primam et vetustissinam habere nos decet, (religionem) omnium piorum hominum Abrahami genere oriundorum. § 11. Sin vero Abrahamus longo tempore post circumcisionis mandatum accepisse dicitur, jam antea eum per fidem justificatum esse (scripturae) testimonio comprobatur, utpote Dei verbum dicit (Gen. 15, 6.): „Abraham Deo credidit et reputatum ei est ad justitiam.“ § 12. Et quum jam ante circumcisionem talis fuisset, a Deo, qui ei visus est, i. e. a Christo, Dei verbo, de iis qui posterioribus temporibus simili ac ipse ratione justificandi essent, oraculum promissionis accepit hujusmodi (Gen. 22, 18.): „Et benedicentur in te omnes tribus terrae“, atque (Gen. 18, 18.): „Et magna et populosa gens erit, et benedicentur in eo omnes populi terrae.“ § 13. Hanc promissionem in nobis esse completam, ex his intelligetur. Per fidem enim (B. add. in eum), qui ipsi apparuerat, et qui Dei verbum est: et descivit a Diis paternis et a pristinis erroribus (sic recte B.; A.: a pristinis pueritiae moribus) et con-

fessus est sic, unum esse Deum, omnium gubernatorem, et bonis operibus eum coluit, non legis (Mosaicae) caerimoniis. Atque omnes terrae tribus atque omnes populi in eo benedicti sunt. § 14. Ex operibus quae verbis multo clariora sunt et (hominis animum) multo melius manifestant, nunc cognoscitur, apud solos Christianos reperiri laudabilem illam vitae rationem. § 15. Quid vero poterit impedire quominus fateamur, eandem illam vitae rationem et eandem religionis formam esse, nobis, quem a Christo accepimus, atque vestutis Dei amantibus. Ergo neque nova neque peregrina putanda est doctrina (Christi), sed, si decere licet, ea revera sola est religio, vera, ea quae a Christo nobis tradita est.

CORRIGENDA.

p. XL. *l.* 21 *pro* antiquissimus *l.* antiquissimis.

p. XLI. *n.* 1) *l.* Sic Syrus ܡܟܘܡܐ.

p. XLIV. *l.* 1 *pro* Repondit *l.* Respondit.

ΕΥΣΕΒΙΟΥ
ΤΟΥ ΠΑΜΦΙΛΟΥ
ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΣ Α.

I. *Τὰς τῶν ἱερῶν ἀποστόλων διαδοχὰς σὺν καὶ τοῖς ἀπὸ τοῦ σωτῆρος ἡμῶν καὶ εἰς ἡμᾶς διηνυσμένοις χρόνοις, ὅσα τε καὶ πηλίκα πραγματευθῆναι κατὰ τὴν ἐκκλησιαστικὴν ἱστορίαν λέγεται, καὶ ὅσοι ταύτης διαπρεπῶς ἐν ταῖς μάλιστα ἐπισημοτάταις παροικίαις ἡγήσαντό τε καὶ προέστησαν, ὅσοι τε κατὰ γενεὰν ἑκάστην ἀγράφως ἢ καὶ διὰ συγγραμμάτων τὸν θεῖον ἐπρέσβευσαν λόγον, τίνες τε καὶ ὅσοι καὶ ὁπηνίκα νεωτεροποιίας ἱμέρῳ πλάνης εἰς ἔσχατον ἐλάσαντες ψευδωνύμου γνώσεως εἰσηγητὰς ἑαυτοὺς ἀνακεκηρύχασιν, ἀφειδῶς οἷα λύκοι βαρεῖς τὴν Χριστοῦ ποίμνην ἐπεντρίβοντες, 2. πρὸς ἐπὶ τούτοις καὶ τὰ παραυτίκα τῆς κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλῆς τὸ πᾶν Ἰουδαίων ἔθνος περιελθόντα, ὅσα τε αὖ καὶ ὁποῖα καὶ καθ' οὓς χρόνους πρὸς τῶν ἐθνῶν ὁ θεῖος πεπολέμηται λόγος, καὶ πηλίκοι κατὰ καιροὺς τὸν δι' αἵματος καὶ βασάνων ὑπὲρ αὐτοῦ διεξῆλθον ἀγῶνα, τά τ' ἐπὶ τούτοις καὶ καθ' ἡμᾶς αὐτοὺς μαρτύρια,*

καὶ τὴν ἐπὶ πᾶσιν ἵλεω καὶ εὐμενῆ τοῦ σωτῆρος ἡμῶν ἀντίληψιν γραφῇ παραδοῦναι προῃρημένος οὐκ ἄλλοθεν ἢ ἀπὸ πρώτης ἄρξομαι τῆς κατὰ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ οἰκονομίας. 3. ἀλλά μοι συγγνώμην ἤδη εὐγνωμόνων ἐντεῦθεν ὁ λόγος αἰτεῖ, μεῖζον ἢ καθ᾽ ἡμετέραν δύναμιν ὁμολογῶν εἶναι τὴν ἐπαγγελίαν ἐντελῆ καὶ ἀπαράλειπτον ὑποσχεῖν, ἐπεὶ καὶ πρῶτοι νῦν τῆς ὑποθέσεως ἐπιβάντες οἷά τινα ἐρήμην καὶ ἀτριβῆ ἰέναι ὁδὸν ἐγχειροῦμεν, θεὸν μὲν ὁδηγὸν καὶ τὴν τοῦ κυρίου συνεργὸν σχήσειν εὐχόμενοι δύναμιν, ἀνθρώπων γε μὴν οὐδαμῶς εὑρεῖν οἷοί τε ὄντες ἴχνη γυμνὰ τὴν αὐτὴν ἡμῖν προωδευκότων, μὴ ὅτι σμικρὰς αὐτὸ μόνον προφάσεις, δι᾽ ὧν ἄλλος ἄλλως ὧν διηνύκασι χρόνων μερικὰς ἡμῖν καταλελοίπασι διηγήσεις, πόρρωθεν ὡσπερεὶ πυρσοὺς τὰς ἑαυτῶν προανατείνοντες φωνάς, καὶ ἄνωθέν ποθεν ὥσπερ ἐξ ἀπόπτου καὶ ἀπὸ σκοπιᾶς βοῶντες καὶ διακελευόμενοι, ᾗ χρὴ βαδίζειν καὶ τὴν τοῦ λόγου πορείαν ἀπλανῶς καὶ ἀκινδύνως εὐθύνειν. 4. ὅσα τοίνυν εἰς τὴν προκειμένην λυσιτελήσειν ὑπόθεσιν ἡγούμεθα, τῶν αὐτοῖς ἐκείνοις σποράδην μνημονευθέντων ἀναλεξάμενοι, καὶ ὡσὰν ἐκ λογικῶν λειμώνων τὰς ἐπιτηδείους αὐτῶν τῶν πάλαι συγγραφέων ἀπανθισάμενοι φωνάς, δι᾽ ὑφηγήσεως ἱστορικῆς πειρασόμεθα σωματοποιῆσαι, ἀγαπῶντες, εἰ καὶ μὴ ἁπάντων, τῶν γοῦν μάλιστα διαφανεστάτων τοῦ σωτῆρος ἡμῶν ἀποστόλων τὰς διαδοχὰς κατὰ τὰς διαπρεπούσας καὶ ἔτι καὶ νῦν μνημονευομένας ἐκκλησίας ἀνασωσαίμεθα. 5. ἀναγκαιότατα δέ μοι πονεῖσθαι τὴν ὑπόθεσιν ἡγοῦμαι, ὅτι μηδένα πω εἰς δεῦρο τῶν ἐκκλησιαστικῶν συγγραφέων διέγνων περὶ τοῦτο τῆς γραφῆς σπουδὴν πεποιημένον τὸ μέρος· ἐλπίζω δ᾽ ὅτι

καὶ ὠφελιμωτάτη τοῖς φιλοτίμως περὶ τὸ χρηστομαθὲς τῆς ἱστορίας ἔχουσιν ἀναφανήσεται. 6. ἤδη μὲν οὖν τούτων καὶ πρότερον ἐν οἷς διετυπωσάμην χρονικοῖς κανόσιν ἐπιτομὴν κατεστησάμην, πληρεστάτην δ' οὖν ὅμως αὐτῶν ἐπὶ τοῦ παρόντος ὡρμήθην τὴν ἀφήγησιν ποιήσασθαι. 7. καὶ ἄρξεταί γέ μοι ὁ λόγος, ὡς ἔφην, ἀπὸ τῆς κατὰ τὸν Χριστὸν ἐπινοουμένης ὑψηλοτέρας τε καὶ κρείττονος ἢ κατὰ ἄνθρωπον οἰκονομίας τε καὶ θεολογίας. 8. καὶ γὰρ οὖν τὸν γραφῇ μέλλοντα τῆς ἐκκλησιαστικῆς ὑφηγήσεως παραδώσειν τὴν ἱστορίαν, ἄνωθεν ἐκ πρώτης τῆς κατ' αὐτὸν τὸν Χριστόν, ὅτι περ ἐξ αὐτοῦ καὶ προσωνυμίας ἠξιώθημεν, θειοτέρας ἢ κατὰ τὸ δοκοῦν τοῖς πολλοῖς οἰκονομίας ἀναγκαῖον ἂν εἴη κατάρξασθαι.

II. Διττοῦ δὲ ὄντος τοῦ κατ' αὐτὸν τρόπου, καὶ τοῦ μὲν σώματος ἐοικότος κεφαλῇ, ᾗ θεὸς ἐπινοεῖται, τοῦ δὲ ποσὶ παραβαλλομένου, ᾗ τὸν ἐν ἡμῖν ἄνθρωπον ὁμοιοπαθῆ τῆς ἡμῶν αὐτῶν ἕνεκεν ὑπέδυ σωτηρίας, γένοιτ' ἂν ἡμῖν ἐντεῦθεν ἐντελὴς ἡ τῶν ἀκολούθων ὑπόθεσις, εἰ τῆς κατ' αὐτὸν ἱστορίας ἁπάσης ἀπὸ τῶν κεφαλαιωδεστάτων καὶ κυριωτάτων τοῦ λόγου τὴν ὑφήγησιν ποιησαίμεθα. ταύτῃ δὲ ἤδη καὶ τῆς Χριστιανῶν ἀρχαιότητος τὸ παλαιὸν ὁμοῦ καὶ θεοπρεπὲς τοῖς νέαν αὐτὴν καὶ ἐκτετοπισμένην, χθὲς καὶ οὐ πρότερον φανεῖσαν ὑπολαμβάνουσιν ἀναδειχθήσεται.

2. Γένους μὲν οὖν καὶ ἀξίας, αὐτῆς τε οὐσίας τῆς τοῦ Χριστοῦ καὶ φύσεως οὔτις ἂν εἰς ἔκφρασιν αὐτάρκης γένοιτο λόγος. ᾗ καὶ τὸ πνεῦμα τὸ θεῖον ἐν προφητείαις "τὴν γενεὰν αὐτοῦ" φησὶ "τίς διηγή-

---

30 Ies. 53, 8.

σεται;" ὅτι δὴ οὔτε τὸν πατέρα τις ἔγνω, εἰ μὴ ὁ υἱὸς, οὔτ' αὖ τὸν υἱόν τις γνοίη ποτὲ κατ' ἀξίαν, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ. 3. τό τε φῶς τὸ προκόσμιον καὶ τὴν πρὸ αἰώνων νοερὰν καὶ οὐσιώδη σοφίαν, τόν τε ζῶντα καὶ ἐν ἀρχῇ παρὰ τῷ πατρὶ τυγχάνοντα θεὸν λόγον τίς ἂν πλὴν τοῦ πατρὸς καθαρῶς ἐννοήσειε, πρὸ πάσης κτίσεως καὶ δημιουργίας ὁρωμένης τε καὶ ἀοράτου τὸ πρῶτον καὶ μόνον τοῦ θεοῦ γεννημα, τὸν τῆς κατ' οὐρανὸν λογικῆς καὶ ἀθανάτου στρατιᾶς ἀρχιστράτηγον, τὸν τῆς μεγάλης βουλῆς ἄγγελον, τὸν τῆς ἀρρήτου γνώμης τοῦ πατρὸς ὑπουργὸν, τὸν τῶν ἁπάντων σὺν τῷ πατρὶ δημιουργὸν, τὸν δεύτερον μετὰ τὸν πατέρα τῶν ὅλων αἴτιον, τὸν τοῦ θεοῦ παῖδα γνήσιον καὶ μονογενῆ, τὸν τῶν γεννητῶν ἁπάντων κύριον καὶ θεὸν καὶ βασιλέα, τὸν τὸ κῦρος ὁμοῦ καὶ τὸ κράτος αὐτῇ θεότητι καὶ δυνάμει καὶ τιμῇ παρὰ τοῦ πατρὸς ὑποδεδεγμένον, ὅτι δὴ κατὰ τὰς περὶ αὐτοῦ μυστικὰς τῶν γραφῶν θεολογίας "ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν." 4. τοῦτό τοι καὶ ὁ μέγας Μωυσῆς, ὡσὰν προφητῶν ἁπάντων παλαίτατος, θείῳ πνεύματι τὴν τοῦ παντὸς οὐσίωσίν τε καὶ διακόσμησιν ὑπογράφων, τὸν κοσμοποιὸν καὶ δημιουργὸν τῶν ὅλων αὐτῷ δὴ τῷ Χριστῷ, καὶ οὐδὲ ἄλλῳ ἢ τῷ θείῳ δηλαδὴ καὶ πρωτογόνῳ ἑαυτοῦ λόγῳ τὴν τῶν ὑποβεβηκότων ποίησιν παραχωροῦντα διδάσκει, αὐτῷ τε κοινολογούμενον ἐπὶ τῆς ἀνθρωπογονίας. "εἶπε γὰρ" φησὶν "ὁ θεὸς, ποιήσωμεν ἄνθρω-

1 Conf. Matth. 11, 27. Luc. 10, 22. 19 Ioann. 1, 1. 29 Gen. 1, 26.

που κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν." 5. ταύτην δὲ ἐγγυᾶται τὴν φωνὴν προφητῶν ἄλλος, ὧδέ πως ἐν ὕμνοις θεολογῶν "αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν," τὸν μὲν πατέρα καὶ ποιητὴν εἰσάγων ὡσὰν πανηγεμόνα βασιλικῷ νεύματι προστάττοντα, τὸν δὲ τούτῳ δευτερεύοντα θεῖον λόγον, οὐχ ἕτερον τοῦ πρὸς ἡμῶν κηρυττομένου, ταῖς πατρικαῖς ἐπιτάξεσιν ὑπουργοῦντα. 6. τοῦτον καὶ ἀπὸ πρώτης ἀνθρωπογονίας πάντες, ὅσοι δὴ δικαιοσύνῃ καὶ θεοσεβείας ἀρετῇ διαπρέψαι λέγονται, ἀμφί τε τὸν μέγαν θεράποντα Μωυσέα, καὶ πρό γε αὐτοῦ πρῶτος Ἀβραάμ, τούτου τε οἱ παῖδες καὶ ὅσοι μετέπειτα δίκαιοι πεφήνασι καὶ προφῆται, καθαροῖς διανοίας ὄμμασι φαντασθέντες ἔγνωσάν τε καὶ οἷα θεοῦ παιδὶ τὸ προσῆκον ἀπένειμαν σέβας. 7. αὐτὸς δὲ οὐδαμῶς ἀπορρᾳθυμῶν τῆς τοῦ πατρὸς εὐσεβείας διδάσκαλος τοῖς πᾶσι τῆς πατρικῆς καθίστατο γνώσεως. ὦφθαι γοῦν κύριος ὁ θεὸς ἀνείρηται οἷά τις κοινὸς ἄνθρωπος τῷ Ἀβραὰμ καθημένῳ παρὰ τὴν δρῦν τὴν Μαμβρῆ. ὁ δ᾽ ὑποπεσὼν αὐτίκα, καίτοι γε ἄνθρωπον ὀφθαλμοῖς ὁρῶν, προσκυνεῖ μὲν ὡς θεόν, ἱκετεύει δὲ ὡς κύριον, ὁμολογεῖ τε μὴ ἀγνοεῖν ὅστις εἴη, ῥήμασιν αὐτοῖς λέγων "κύριε ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν;" 8. εἰ γὰρ μηδεὶς ἐπιτρέποι λόγος τὴν ἀγέννητον καὶ ἄτρεπτον οὐσίαν θεοῦ τοῦ παντοκράτορος εἰς ἀνδρὸς εἶδος μεταβάλλειν, μηδ᾽ αὖ γεννητοῦ μηδενὸς φαντασίᾳ τὰς τῶν ὁρώντων ὄψεις ἐξαπατᾶν, μηδὲ μὴν ψευδῶς τὰ τοιαῦτα πλάττεσθαι τὴν γραφήν, θεὸς καὶ κύριος ὁ κρίνων πᾶσαν τὴν γῆν καὶ ποιῶν κρίσιν ἐν ἀνθρώπου

---

3 Ps. 32 (33), 9. 18 Gen. 18, 1. 23 Gen. 18, 25.

ὁρώμενος σχήματι, τίς ἂν ἕτερος ἀναγορεύοιτο, εἰ μὴ φάναι θέμις τὸ πρῶτον τῶν ὅλων αἴτιον, ἢ μόνος ὁ προὼν αὐτοῦ λόγος; περὶ οὗ καὶ ἐν ψαλμοῖς ἀνείρηται "ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν." 9. τοῦτον δεύτερον μετὰ τὸν πατέρα κύριον σαφέστατα Μωυσῆς ἀναγορεύει λέγων "ἔβρεξε κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου." τοῦτον καὶ τῷ Ἰακὼβ αὖθις ἐν ἀνδρὸς φανέντα σχήματι θεὸν ἡ θεία προσαγορεύει γραφή, φάσκοντα τῷ Ἰακὼβ "οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ θεοῦ." ὅτε καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου εἶδος θεοῦ, λέγων "εἶδον γὰρ τὸν θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου." 10. καὶ μὴν οὐδ' ὑποβεβηκότων ἀγγέλων καὶ λειτουργῶν θεοῦ τὰς ἀναγραφείσας θεοφανείας ὑπονοεῖν θέμις, ἐπεὶ καὶ τούτων ὅταν τις ἀνθρώποις παραφαίνηται, οὐκ ἐπικρύπτεται ἡ γραφή, ὀνομαστὶ οὐ θεὸν, οὐδὲ μὴν κύριον, ἀλλ' ἀγγέλους χρηματίσαι λέγουσα, ὡς διὰ μυρίων μαρτυριῶν πιστώσασθαι ῥάδιον. 11. τοῦτον καὶ ὁ Μωυσέως διάδοχος Ἰησοῦς ὡσὰν τῶν οὐρανίων ἀγγέλων καὶ ἀρχαγγέλων τῶν τε ὑπερκοσμίων δυνάμεων ἡγούμενον, καὶ ὡσανεὶ τοῦ πατρὸς ὕπαρχον, τὰ δευτερεῖα τῆς κατὰ πάντων βασιλείας τε καὶ ἀρχῆς ἐμπεπιστευμένον, ἀρχιστράτηγον δυνάμεως κυρίου ὀνομάζει, οὐκ ἄλλως αὐτὸν ἢ αὖθις ἐν ἀνθρώπου μορφῇ καὶ σχήματι θεωρήσας. 12. γέγραπται γοῦν "καὶ ἐγενήθη, ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχῷ, καὶ

---

4 Ps. 106 (107), 20. 7 Gen. 19, 24. 11 Gen. 32, 28. 14 Gen. 32, 30. 29 Ios. 5, 13.

ἀναβλέψας ὁρᾷ ἄνθρωπον ἑστηκότα κατέναντι αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ, καὶ προσελθὼν Ἰησοῦς εἶπεν, ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων; καὶ εἶπεν αὐτῷ, ἐγὼ ἀρχιστράτηγος δυνάμεως κυρίου νυνὶ παραγέγονα. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ εἶπεν αὐτῷ, δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ εἶπεν ὁ ἀρχιστράτηγος κυρίου πρὸς Ἰησοῦν, λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, τόπος ἅγιός ἐστιν." 13. ἔνθα καὶ ἐπιστήσεις ἀπὸ τῶν αὐτῶν ῥημάτων ὅτι μὴ ἕτερος οὗτος εἴη τοῦ καὶ Μωυσεῖ κεχρηματικότος, ὅτι δὴ αὐτοῖς ῥήμασι καὶ ἐπὶ τῷδέ φησιν ἡ γραφή "ὡς δὲ εἶδε κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου λέγων, Μωυσῆ Μωυσῆ· ὁ δὲ εἶπε τί ἐστι; καὶ εἶπε, μὴ ἐγγίσῃς ὧδε· λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας ἐπ' αὐτοῦ, γῆ ἁγία ἐστί. καὶ εἶπεν αὐτῷ, ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ." 14. καὶ ὅτι γέ ἐστιν οὐσία τις προκόσμιος ζῶσα καὶ ὑφεστῶσα, ἡ τῷ πατρὶ καὶ θεῷ τῶν ὅλων εἰς τὴν τῶν γενητῶν ἁπάντων δημιουργίαν ὑπηρετησαμένη, λόγος θεοῦ καὶ σοφία χρηματίζουσα, πρὸς ταῖς τεθειμέναις ἀποδείξεσιν ἔτι καὶ αὐτῆς ἐξ ἰδίου προσώπου τῆς σοφίας ἐπακοῦσαι πάρεστι, διὰ Σολομῶνος λευκότατα ὧδέ πως τὰ περὶ ἑαυτῆς μυσταγωγούσης "ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην· δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι

---

13 Exod. 3, 4. 26 Prov. 8, 12.

γῆς." 15. οἷς ἐπιλέγει "κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανὸν, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. ἐγὼ ἤμην ᾗ προσέχαιρε, καθ' ἡμέραν δὲ ηὐφραινόμην ἐνώπιον αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε ηὐφραίνετο τὴν οἰκουμένην συντελέσας." 16. ὅτι μὲν οὖν προῆν, καὶ τισὶν εἰ καὶ μὴ τοῖς πᾶσιν ὁ θεῖος λόγος ἐπεφαίνετο, ταῦθ' ἡμῖν ὡς ἐν βραχέσιν εἰρήσθω.

17. Τί δὴ οὖν οὐχὶ καθάπερ τανῦν, καὶ πάλαι πρότερον εἰς πάντας ἀνθρώπους καὶ πᾶσιν ἔθνεσιν ἐκηρύττετο, ὧδε ἂν γένοιτο πρόδηλον. οὐκ ἦν πω χωρεῖν οἷός τε τὴν τοῦ Χριστοῦ πάνσοφον καὶ πανάρετον διδασκαλίαν ὁ πάλαι τῶν ἀνθρώπον βίος. 18. εὐθὺς μὲν γὰρ ἐν ἀρχῇ μετὰ τὴν πρώτην ἐν μακαρίοις ζωὴν ὁ πρῶτος ἄνθρωπος, ἧττον τῆς θείας ἐντολῆς φροντίσας, εἰς τουτονὶ τὸν θνητὸν καὶ ἐπίκηρον βίον καταπέπτωκε, καὶ τὴν ἐπάρατον ταυτηνὶ γῆν τῆς πάλαι ἐνθέου τρυφῆς ἀντικατηλλάξατο, οἵ τε ἀπὸ τούτου τὴν καθ' ἡμᾶς σύμπασαν πληρώσαντες, πολὺ χείρους ἀναφανέντες ἐκτὸς ἑνός που καὶ δευτέρου, θηριώδη τινὰ τρόπον καὶ βίον ἀβίωτον ἐπανῄρηντο· 19. ἀλλὰ καὶ οὔτε πόλιν οὔτε πολιτείαν, οὐ τέχνας, οὐκ ἐπιστήμας ἐπὶ νοῦν ἐβάλλοντο, νόμων τε καὶ δικαιωμάτων καὶ προσέτι ἀρετῆς καὶ φιλοσοφίας οὐδὲ ὀνόματος μετεῖχον, νομάδες δὲ ἐπ' ἐρημίαις οἷά τινες ἄγριοι καὶ ἀπηνεῖς διῆγον, τοὺς μὲν ἐκ φύσεως προσήκοντας λογισμοὺς, τά τε λογικὰ καὶ ἥμερα τῆς

ἀνθρώπων ψυχῆς σπέρματα αὐτοπροαιρέτου κακίας ὑπερβολῇ διαφθείροντες, ἀνοσιουργίαις δὲ πάσαις ὅλους σφᾶς ἐκδεδωκότες, ὡς τοτὲ μὲν ἀλληλοφθορεῖν, τοτὲ δὲ ἀλληλοκτονεῖν, ἄλλοτε δὲ ἀνθρωποβορεῖν, θεομαχίας τε καὶ τὰς παρὰ τοῖς πᾶσι βοωμένας γιγαντομαχίας ἐπιτολμᾶν, καὶ γῆν μὲν ἐπιτειχίζειν οὐρανῷ διανοεῖσθαι, μανίᾳ δὲ φρονήματος ἐκτόπου αὐτὸν τὸν ἐπὶ πάντων θεὸν πολεμεῖν παρασκευάζεσθαι. 20. ἐφ' οἷς τοῦτον ἑαυτοὺς ἄγουσι τὸν τρόπον κατακλυσμοῖς αὐτοὺς καὶ πυρπολήσεσιν ὥσπερ ἀγρίαν ὕλην κατὰ πάσης τῆς γῆς κεχυμένην θεὸς ὁ πάντων ἔφορος μετῄει, λιμοῖς τε συνεχέσι καὶ λοιμοῖς, πολέμοις τε αὖ καὶ κεραυνῶν βολαῖς ἄνωθεν αὐτοὺς ὑπετέμνετο, ὥσπερ τινὰ δεινὴν καὶ χαλεπωτάτην νόσον ψυχῶν πικροτέροις ἀνέχων τοῖς κολαστηρίοις. 21. τότε μὲν οὖν, ὅτε δὴ πολὺς ἦν ἐπικεχυμένος ὀλίγου δεῖν κατὰ πάντων ὁ τῆς κακίας κόρος, οἷα μέθης δεινῆς τὰς ἁπάντων σχεδὸν ἀνθρώπων ἐπισκιαζούσης καὶ ἐπισκοτούσης ψυχάς, ἡ πρωτόγονος καὶ πρωτόκτιστος τοῦ θεοῦ σοφία καὶ αὐτὸς ὁ προὼν λόγος φιλανθρωπίας ὑπερβολῇ τοτὲ μὲν δι' ὀπτασίας ἀγγέλων τοῖς ὑποβεβηκόσι, τοτὲ δὲ καὶ δι' ἑαυτοῦ οἷα θεοῦ δύναμις σωτήριος ἑνί που καὶ δευτέρῳ τῶν πάλαι θεοφιλῶν ἀνδρῶν, οὐκ ἄλλως ἢ δι' ἀνθρώπου μορφῆς, ὅτι μηδ' ἑτέρως ἦν δυνατόν, αὐτοῖς ὑπεφαίνετο. 22. ὡς δ' ἤδη διὰ τούτων τὰ θεοσεβείας σπέρματα εἰς πλῆθος ἀνδρῶν καταβέβλητο, ὅλον τε τὸ ἔθνος ἐπὶ τῇ θεοσεβείᾳ προσανέχον ἀνέκαθεν ἐξ Ἑβραίων ὑπέστη τοῦτο, τούτοις μὲν ὡσανεὶ πλήθεσιν ἔτι ταῖς παλαιαῖς ἀγωγαῖς ἐκδεδιῃτημένοις διὰ τοῦ προφήτου Μωυσέως εἰκόνας καὶ σύμβολα σαββάτου τινὸς μυστικοῦ καὶ περιτομῆς, ἑτέρων τε νοητῶν θεωρημάτων

εἰσαγωγάς, ἀλλ' οὐκ αὐτὰς ἐναργεῖς παρεδίδου τὰς μυσταγωγίας. 23. ὡς δὲ τῆς παρὰ τούτοις νομοθεσίας βοωμένης, καὶ πνοῆς δίκην εὐώδους εἰς ἅπαντας ἀνθρώπους διαδιδομένης, ἤδη τότε ἐξ αὐτῶν καὶ τοῖς πλείοσι τῶν ἐθνῶν διὰ τῶν πανταχόσε νομοθετῶν τε καὶ φιλοσόφων ἡμέρωτο τὰ φρονήματα, τῆς ἀγρίας καὶ ἀπηνοῦς θηριωδίας ἐπὶ τὸ πρᾶον μεταβεβλημένης, ὡς καὶ εἰρήνην βαθεῖαν φιλίας τε καὶ ἐπιμιξίας πρὸς ἀλλήλους ἔχειν, τηνικαῦτα πᾶσι δὴ λοιπὸν ἀνθρώποις καὶ τοῖς ἀνὰ τὴν οἰκουμένην ἔθνεσιν, ὡσὰν προωφελημένοις καὶ ἤδη τυγχάνουσιν ἐπιτηδείοις πρὸς παραδοχὴν τῆς τοῦ πατρὸς γνώσεως, ὁ αὐτὸς δὴ πάλιν ἐκεῖνος ὁ τῶν ἀρρήτων διδάσκαλος, ὁ ἐν πᾶσιν ἀγαθοῖς τοῦ πατρὸς ὑπουργός, ὁ θεῖος καὶ οὐράνιος τοῦ θεοῦ λόγος, δι' ἀνθρώπου κατὰ μηδὲν σώματος οὐσίᾳ τὴν ἡμετέραν φύσιν διαλλάττοντος, ἀρχομένης τῆς Ῥωμαίων βασιλείας ἐπιφανείς, τοιαῦτα ἔδρασέ τε καὶ ἔπαθεν, οἷα ταῖς προφητείαις ἀκόλουθα ἦν, ἄνθρωπον ὁμοῦ καὶ θεὸν ἐπιδημήσειν τῷ βίῳ παραδόξων ἔργων ποιητήν, καὶ τοῖς πᾶσιν ἔθνεσι διδάσκαλον τῆς τοῦ πατρὸς εὐσεβείας ἀναδειχθήσεσθαι, τό τε παράδοξον αὐτοῦ τῆς γενέσεως καὶ τὴν καινὴν διδασκαλίαν καὶ τῶν ἔργων τὰ θαυμάσια, ἐπί τε τούτοις τοῦ θανάτου τὸν τρόπον, τήν τε ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν ἐπὶ πᾶσιν εἰς οὐρανοὺς ἔνθεον ἀποκατάστασιν αὐτοῦ προκηρυττούσαις. 24. τὴν γοῦν ἐπὶ τέλει βασιλείαν αὐτοῦ Δανιὴλ ὁ προφήτης συνορῶν θείῳ πνεύματι ὧδέ πως ἐθεοφορεῖτο, ἀνθρωπινώτερον τὴν θεοπτίαν ὑπογράφων. "ἐθεώρουν γάρ" φησὶν "ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς

---

29 Dan. 7, 9.

ἡμερῶν ἐκάθητο. καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν, ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνεῴχθησαν." 25. καὶ ἑξῆς "ἐθεώρουν" φησὶ "καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡσεὶ υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι αὐτῷ δουλεύουσιν. ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται. καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται." 26. ταῦτα δὲ σαφῶς οὐκ ἐφ' ἕτερον, ἀλλ' ἐπὶ τὸν ἡμέτερον σωτῆρα, τὸν ἐν ἀρχῇ πρὸς τὸν θεὸν θεὸν λόγον ἀναφέροιτο ἂν, υἱὸν ἀνθρώπου διὰ τὴν ὑστάτην ἐνανθρώπησιν αὐτοῦ χρηματίζοντα. 27. ἀλλὰ γὰρ ἐν οἰκείοις ὑπομνήμασι τὰς περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προφητικὰς ἐκλογὰς συναγαγόντες, ἀποδεικτικώτερόν τε τὰ περὶ αὐτοῦ δηλούμενα ἐν ἑτέροις συστήσαντες, τοῖς εἰρημένοις ἐπὶ τοῦ παρόντος ἀρκεσθησόμεθα.

III. [Nic. H. E. 1, 4.] Ὅτι δὲ καὶ αὐτὸ τοὔνομα τοῦ τε Ἰησοῦ καὶ δὴ καὶ τὸ τοῦ Χριστοῦ παρ' αὐτοῖς τοῖς πάλαι θεοφιλέσι προφήταις τετίμητο ἤδη καιρὸς ἀποδεικνύναι. 2. σεπτὸν ὡς ἔνι μάλιστα καὶ ἔνδοξον τὸ Χριστοῦ ὄνομα πρῶτος αὐτὸς γνωρίσας Μωυσῆς, τύπους οὐρανίων καὶ σύμβολα μυστηριώδεις τε εἰκόνας ἀκολούθως χρησμῷ φήσαντι αὐτῷ "ὅρα, ποιήσεις

30 Exod. 25, 40.

πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει" παραδιδούς, ἀρχιερέα θεοῦ, ὡς ἐνῆν μάλιστα δυνατόν, ἄνθρωπον ἐπιφημίσας, τοῦτον Χριστὸν ἀναγορεύει. καὶ ταύτῃ γε τῇ κατὰ τὴν ἀρχιερωσύνην ἀξίᾳ, πᾶσαν ὑπερβαλλούσῃ παρ' αὐτῷ τὴν ἐν ἀνθρώποις προεδρίαν, ἐπὶ τιμῇ καὶ δόξῃ τὸ τοῦ Χριστοῦ περιτίθησιν ὄνομα. οὕτως ἄρα τὸν Χριστὸν θεῖόν τι χρῆμα ἠπίστατο. 3. ὁ δ' αὐτὸς καὶ τὴν τοῦ Ἰησοῦ προσηγορίαν εὖ μάλα πνεύματι θείῳ προϊδὼν πάλιν τινὸς ἐξαιρέτου προνομίας καὶ ταύτην ἀξιοῖ. οὔποτε γοῦν πρότερον ἐκφωνηθὲν εἰς ἀνθρώπους πρὶν ἢ Μωυσέα γνωσθῆναι τὸ τοῦ Ἰησοῦ πρόσρημα τούτῳ Μωυσῆς πρώτῳ καὶ μόνῳ περιτίθησιν, ὃν κατὰ τύπον αὖθις καὶ σύμβολον ἔγνω μετὰ τὴν αὐτοῦ τελευτὴν διαδεξόμενον τὴν κατὰ πάντων ἀρχήν. 4. οὐ πρότερον γοῦν τὸν αὐτοῦ διάδοχον τῇ τοῦ Ἰησοῦ κεχρημένον προσηγορίᾳ, ὀνόματι δὲ ἑτέρῳ τῷ Αὐσῇ, ὅπερ οἱ γεννήσαντες αὐτῷ τέθειντο, καλούμενον, Ἰησοῦν αὐτὸς ἀναγορεύει, γέρας ὥσπερ τίμιον παντὸς πολὺ μεῖζον βασιλικοῦ διαδήματος τοὔνομα αὐτῷ δωρούμενος, ὅτι δὴ καὶ αὐτὸς ὁ τοῦ Ναυῆ Ἰησοῦς τοῦ σωτῆρος ἡμῶν τὴν εἰκόνα ἔφερε, τοῦ μόνου μετὰ Μωυσέα καὶ τὸ συμπέρασμα τῆς δι' ἐκείνου παραδοθείσης συμβολικῆς λατρείας, τῆς ἀληθοῦς καὶ καθαρωτάτης εὐσεβείας τὴν ἀρχὴν διαδεξαμένου. 5. καὶ Μωυσῆς μὲν ταύτῃ πῃ δυσὶ τοῖς κατ' αὐτὸν ἀρετῇ καὶ δόξῃ παρὰ πάντα τὸν λαὸν προφέρουσιν ἀνθρώποις, τῷ μὲν ἀρχιερεῖ, τῷ δὲ μετ' αὐτὸν ἡγησομένῳ, τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προσηγορίαν ἐπὶ τιμῇ τῇ μεγίστῃ περιτέθειται. 6. σαφῶς δὲ καὶ οἱ μετὰ ταῦτα προφῆται ὀνομαστὶ τὸν Χριστὸν προαναφωνοῦσιν, ὁμοῦ τὴν μέλλουσαν ἔσεσθαι κατ' αὐτοῦ συσκευὴν τοῦ

Ἰουδαίων λαοῦ, ὁμοῦ δὲ καὶ τὴν τῶν ἐθνῶν δι᾽ αὐτοῦ κλῆσιν προμαρτυρόμενοι, τοτὲ μὲν ὧδέ πως Ἱερεμίας λέγων "πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ εἴπαμεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσι," τοτὲ δὲ ἀμηχανῶν Δαβὶδ, διὰ τούτων "ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ, κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ." οἷς ἑξῆς ἐπιλέγει ἐξ αὐτοῦ δὴ προσώπου τοῦ Χριστοῦ "κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ᾽ ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς." 7. οὐ μόνους δὲ ἄρα τοὺς ἀρχιερωσύνῃ τετιμημένους, ἐλαίῳ σκευαστῷ τοῦ συμβόλου χριομένους ἕνεκα, τὸ τοῦ Χριστοῦ κατεκόσμει παρ᾽ Ἑβραίοις ὄνομα, ἀλλὰ καὶ τοὺς βασιλέας, οὓς καὶ αὐτοὺς νεύματι θείῳ προφῆται χρίοντες εἰκονικούς τινας Χριστοὺς ἀπειργάζοντο, ὅτι δὴ καὶ αὐτοὶ τῆς τοῦ μόνου καὶ ἀληθοῦς Χριστοῦ τοῦ κατὰ πάντων βασιλεύοντος θείου λόγου βασιλικῆς καὶ ἀρχικῆς ἐξουσίας τοὺς τύπους δι᾽ ἑαυτῶν ἔφερον. 8. ἤδη δὲ καὶ αὐτῶν τῶν προφητῶν τινὰς διὰ χρίσματος Χριστοὺς ἐν τύπῳ γεγονέναι παρειλήφαμεν, ὡς τούτους ἅπαντας τὴν ἐπὶ τὸν ἀληθῆ Χριστὸν, τὸν ἔνθεον καὶ οὐράνιον λόγον, ἀναφορὰν ἔχειν, μόνον ἀρχιερέα τῶν ὅλων καὶ μόνον ἁπάσης κτίσεως βασιλέα καὶ μόνον προφητῶν ἀρχιπροφήτην τοῦ πατρὸς τυγχάνοντα. τούτου δ᾽ ἀπόδειξις τὸ μηδένα πω τῶν πάλαι διὰ τοῦ συμβόλου κεχρισμένων, μήτε ἱερέων μήτε βασι-

---

3 Jerem. 4, 20. 6 Ps. 2, 1.

λέων μήτε μὴν προφητῶν, τοσαύτην ἀρετῆς ἐνθέου δύναμιν κτήσασθαι, ὅσην ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ μόνος καὶ ἀληθινὸς Χριστὸς ἐπιδέδεικται. 10. οὐδείς γέ τοι ἐκείνων καίπερ ἀξιώματι καὶ τιμῇ ἐπὶ πλείσταις ὅσαις γενεαῖς παρὰ τοῖς οἰκείοις διαλαμψάντων τοὺς ὑπηκόους πώποτε ἐκ τῆς περὶ αὐτοὺς εἰκονικῆς τοῦ Χριστοῦ προσρήσεως Χριστιανοὺς ἐπεφήμισεν· ἀλλ' οὐδὲ σεβάσμιός τινι τούτων πρὸς τῶν ὑπηκόων ὑπῆρξε τιμή· ἀλλ' οὐδὲ μετὰ τὴν τελευτὴν τοσαύτη διάθεσις, ὡς καὶ ὑπεραποθνήσκειν ἑτοίμως ἔχειν τοῦ τιμωμένου· ἀλλ' οὐδὲ πάντων τῶν ἀνὰ τὴν οἰκουμένην ἐθνῶν περί τινα τῶν τότε τοσαύτη γέγονε κίνησις, ἐπεὶ μηδὲ τοσοῦτον ἐν ἐκείνοις ἡ τοῦ συμβόλου δύναμις οἵα τε ἦν ἐνεργεῖν, ὅσον ἡ τῆς ἀληθείας παράστασις διὰ τοῦ σωτῆρος ἡμῶν ἐνδεικνυμένη· 11. ὃς οὔτε σύμβολα καὶ τύπους ἀρχιερωσύνης παρά του λαβών, ἀλλ' οὐδὲ γένος τὸ περὶ σῶμα ἐξ ἱερωμένων κατάγων, οὐδ' ἀνδρῶν δορυφορίαις ἐπὶ βασιλείαν προαχθείς, οὐδὲ μὴν προφήτης ὁμοίως τοῖς πάλαι γενόμενος, οὐδ' ἀξίας ὅλως ἤ τινος παρὰ Ἰουδαίοις τυχὼν προεδρίας, ὅμως τοῖς πᾶσιν εἰ καὶ μὴ τοῖς συμβόλοις, ἀλλ' αὐτῇ γε τῇ ἀληθείᾳ παρὰ τοῦ πατρὸς κεκόσμητο. 12. οὐχ ὁμοίων δ' οὖν οἷς προειρήκαμεν τυχών, πάντων ἐκείνων καὶ Χριστὸς μᾶλλον ἀνηγόρευται. καὶ ὡσὰν μόνος καὶ ἀληθὴς αὐτὸς ὢν ὁ Χριστὸς τοῦ θεοῦ Χριστιανῶν τὸν πάντα κόσμον τῆς ὄντως σεμνῆς καὶ ἱερᾶς αὐτοῦ προσηγορίας κατέπλησεν, οὐκέτι τύπους οὐδὲ εἰκόνας, ἀλλ' αὐτὰς γυμνὰς ἀρετὰς καὶ βίον οὐράνιον αὐτοῖς ἀληθείας δόγμασι τοῖς θιασώταις παραδούς. 13. τό τε χρῖσμα, οὐ τὸ διὰ σωμάτων σκευαστόν, ἀλλ' αὐτὸ δὴ πνεύματι θείῳ τὸ θεοπρεπές, μετοχῇ τῆς ἀγεννήτου

καὶ πατρικῆς θεότητος ἀπειλήφει. ὃ καὶ αὐτὸ πάλιν Ἡσαΐας διδάσκει, ὡσὰν ἐξ αὐτοῦ Χριστοῦ ὧδέ πως ἀναβοῶν "πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν." 14. καὶ οὐ μόνος γε Ἡσαΐας, ἀλλὰ καὶ Δαβὶδ εἰς τὸ αὐτοῦ πρόσωπον ἀναφωνεῖ λέγων "ὁ θρόνος σου, θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου." ἐν οἷς ὁ λόγος ἐν μὲν τῷ πρώτῳ στίχῳ θεὸν αὐτὸν ἐπιφημίζει, ἐν δὲ τῷ δευτέρῳ σκήπτρῳ βασιλικῷ τιμᾷ. 15. εἶθ' ἑξῆς ὑποβὰς μετὰ τὴν ἔνθεον καὶ βασιλικὴν δύναμιν τρίτῃ τάξει Χριστὸν αὐτὸν γεγονότα ἐλαίῳ, οὐ τῷ ἐξ ὕλης σωμάτων, ἀλλὰ τῷ ἐνθέῳ τῆς ἀγαλλιάσεως ἠλειμμένον παρίστησι, παρὸ καὶ τὸ ἐξαίρετον αὐτοῦ καὶ πολὺ κρεῖττον καὶ διάφορον τῶν πάλαι διὰ τῶν εἰκόνων σωματικώτερον κεχρισμένων ὑποσημαίνει. 16. καὶ ἀλλαχοῦ δὲ ὁ αὐτὸς ὧδέ πως τὰ περὶ αὐτοῦ δηλοῖ λέγων "εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου," καὶ "ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ." 17. οὗτος δὲ εἰσάγεται ἐν τοῖς ἱεροῖς λόγοις ὁ Μελχισεδέκ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, οὐκ ἐν σκευαστῷ τινι χρίσματι ἀναδεδειγμένος, ἀλλ' οὐδὲ διαδοχῇ γένους προσήκων τῇ καθ' Ἑβραίους ἱερωσύνῃ. διὸ κατὰ τὴν αὐτοῦ τάξιν, ἀλλ'

---

3 Ies. 61, 1. 7 Ps. 44 (45), 7. 21 Ps. 109 (110), 1.

οὐ κατὰ τὴν τῶν ἄλλων σύμβολα καὶ τύπους ἀνειληφότων Χριστὸς καὶ ἱερεὺς μεθ' ὅρκου παραλήψεως ὁ σωτὴρ ἡμῶν ἀνηγόρευται. 18. ὅθεν οὐδὲ σωματικῶς παρὰ Ἰουδαίοις χρισθέντα αὐτὸν ἡ ἱστορία παραδίδωσιν, ἀλλ' οὐδ' ἐκ φυλῆς τῶν ἱερωμένων γενόμενον, ἐξ αὐτοῦ δὲ τοῦ θεοῦ πρὸ ἑωσφόρου μέν, τουτέστι πρὸ τῆς τοῦ κόσμου συστάσεως οὐσιωμένον, ἀθάνατον δὲ καὶ ἀγήρω τὴν ἱερωσύνην εἰς τὸν ἄπειρον αἰῶνα διακατέχοντα. 19. τῆς δ' εἰς αὐτὸν γενομένης ἀσωμάτου καὶ ἐνθέου χρίσεως μέγα καὶ ἐναργὲς τεκμήριον τὸ μόνον αὐτὸν ἐξ ἁπάντων τῶν πώποτε εἰσέτι καὶ νῦν παρὰ πᾶσιν ἀνθρώποις καθ' ὅλου τοῦ κόσμου Χριστὸν ἐπιφημίζεσθαι, ὁμολογεῖσθαί τε καὶ μαρτυρεῖσθαι πρὸς ἁπάντων ἐπὶ τῇ προσηγορίᾳ, παρά τε Ἕλλησι καὶ βαρβάροις μνημονεύεσθαι, καὶ εἰσέτι καὶ νῦν παρὰ τοῖς ἀνὰ τὴν οἰκουμένην αὐτοῦ θιασώταις τιμᾶσθαι μὲν ὡς βασιλέα, θαυμάζεσθαι δὲ ὑπὲρ προφήτην, δοξάζεσθαί τε ὡσὰν ἀληθῆ καὶ μόνον θεοῦ ἀρχιερέα, καὶ ἐπὶ πᾶσι τούτοις οἷα θεοῦ λόγον προόντα καὶ πρὸ αἰώνων ἁπάντων οὐσιωμένον, τὴν σεβάσμιον τιμὴν παρὰ τοῦ πατρὸς ὑπειληφότα, καὶ προσκυνεῖσθαι ὡσὰν θεόν. 20. τό γε μὴν ἁπάντων παραδοξότατον, ὅτι μὴ φωναῖς αὐτὸ μόνον καὶ ῥημάτων ψόφοις αὐτὸν γεραίρομεν οἱ καθωσιωμένοι αὐτῷ, ἀλλὰ καὶ πάσῃ διαθέσει ψυχῆς, ὡς καὶ αὐτῆς προτιμᾶν τῆς ἑαυτῶν ζωῆς τὴν εἰς αὐτὸν μαρτυρίαν.

IV. [Nic. H. E. I, 5.] *Ταῦτα μὲν οὖν ἀναγκαίως πρὸ τῆς ἱστορίας ἐνταῦθά μοι κείσθω, ὡς ἂν μὴ νεώτερόν τις εἶναι νομίσειε τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν διὰ τοὺς τῆς ἐνσάρκου πολιτείας αὐτοῦ χρόνους. ἵνα δὲ μηδὲ τὴν διδασκαλίαν αὐτοῦ νέαν εἶναι καὶ ξένην, ὡσὰν ὑπὸ νέου καὶ μηδὲν τῶν*

λοιπῶν διαφέροντος ἀνθρώπου συστᾶσάν τις ὑπονοήσειε, φέρε βραχέα καὶ περὶ τούτου διαλάβωμεν. 2. ἄρτι μὲν ὁμολογουμένως τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας νεωστὶ πᾶσιν ἀνθρώποις ἐπιλαμψάσης, νέον ὁμολογουμένως ἔθνος οὐ μικρὸν οὐδ' ἐπὶ γωνίας ποι γῆς ἱδρυμένον, ἀλλὰ καὶ πάντων τῶν ἐθνῶν πολυανθρωπότατόν τε καὶ θεοσεβέστατον, ταύτῃ τε ἀνώλεθρον καὶ ἀήττητον, ᾗ καὶ εἰς ἀεὶ τῆς παρὰ θεοῦ βοηθείας τυγχάνει, χρόνων προθεσμίαις ἀρρήτοις ἀθρόως οὕτως ἀναπέφηνε, τὸ παρὰ τοῖς πᾶσι τῇ τοῦ Χριστοῦ προσηγορίᾳ τετιμημένον. 3. τοῦτο καὶ προφητῶν κατεπλάγη τις θείου πνεύματος ὀφθαλμῷ τὸ μέλλον ἔσεσθαι προθεωρήσας, ὡς καὶ τάδε ἀναφθέγξασθαι "τίς ἤκουσε τοιαῦτα, καὶ τίς ἐλάλησεν οὕτως; εἰ ὤδινε γῆ ἐν μιᾷ ἡμέρᾳ, καὶ εἰ ἐτέχθη ἔθνος εἰσάπαξ." ὑποσημαίνει δέ πως καὶ τὴν μέλλουσαν ὁ αὐτὸς προσηγορίαν λέγων "τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινόν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς." 4. ἀλλ' εἰ καὶ νέοι σαφῶς ἡμεῖς, καὶ τοῦτο καινὸν ὄντως ὄνομα τὸ Χριστιανῶν ἀρτίως παρὰ πᾶσιν ἔθνεσι γνωρίζεται, ὁ βίος δ' οὖν ὅμως καὶ τῆς ἀγωγῆς ὁ τρόπος αὐτοῖς εὐσεβείας δόγμασιν ὅτι μὴ ἔναγχος ὑφ' ἡμῶν ἐπιπέπλασται, ἐκ πρώτης δὲ ὡς εἰπεῖν ἀνθρωπογονίας φυσικαῖς ἐννοίαις τῶν πάλαι θεοφιλῶν ἀνδρῶν κατωρθοῦτο, ὧδέ πως ἐπιδείξομεν. 5. οὐ νέον, ἀλλὰ καὶ παρὰ πᾶσιν ἀνθρώποις ἀρχαιότητι τετιμημένον ἔθνος, τοῖς πᾶσι καὶ αὐτὸ γνώριμον, τὸ Ἑβραίων τυγχάνει. λόγοι δὴ παρὰ τούτῳ καὶ γράμματα παλαιοὺς ἄνδρας περιέχουσι, σπανίους μὲν καὶ ἀριθμῷ βραχεῖς, ἀλλ' ὅμως εὐσεβείᾳ καὶ δικαιο-

14 Ies. 66, 8. 17 Ies. 65, 15.

σύνῃ καὶ πάσῃ τῇ λοιπῇ διενεγκόντας ἀρετῇ, πρὸ μέν γε τοῦ κατακλυσμοῦ διαφόρους, μετὰ δὲ καὶ τοῦτον ἑτέρους τῶν τε τοῦ Νῶε παίδων καὶ ἀπογόνων, ἀτὰρ καὶ τὸν Ἀβραάμ, ὃν ἀρχηγὸν καὶ προπάτορα σφῶν αὐτῶν παῖδες Ἑβραίων αὐχοῦσι. 6. πάντας δὴ ἐκείνους ἐπὶ δικαιοσύνῃ μεμαρτυρημένους, ἐξ αὐτοῦ Ἀβραὰμ ἐπὶ τὸν πρῶτον ἀνιοῦσιν ἄνθρωπον, ἔργῳ Χριστιανοὺς εἰ καὶ μὴ ὀνόματι προσειπών τις οὐκ ἂν ἐκτὸς βάλοι τῆς ἀληθείας. 7. ὃ γάρ τοι δηλοῦν ἐθέλει τοὔνομα τὸ Χριστιανοῦ, ἄνδρα διὰ τῆς τοῦ Χριστοῦ γνώσεως καὶ διδασκαλίας, σωφροσύνῃ καὶ δικαιοσύνῃ, καρτερίᾳ τε βίου καὶ ἀρετῆς ἀνδρείᾳ, εὐσεβείας τε ὁμολογίᾳ ἑνὸς καὶ μόνου τοῦ ἐπὶ πάντων θεοῦ διαπρέπειν, τοῦτο πᾶν ἐκείνοις οὐ χεῖρον ἡμῶν ἐσπουδάζετο. 8. οὔτ' οὖν σώματος αὐτοῖς περιτομῆς ἔμελεν, ὅτι μηδὲ ἡμῖν, οὔτε σαββάτων ἐπιτηρήσεως, ὅτι μηδὲ ἡμῖν· ἀλλ' οὐδὲ τῶν τοιῶνδε τροφῶν παραφυλακῆς, οὐδὲ τῶν ἄλλων διαστολῆς, ὅσα τοῖς μετέπειτα πρῶτος ἁπάντων Μωυσῆς ἀρξάμενος ἐν συμβόλοις τελεῖσθαι παραδέδωκεν, ὅτι μηδὲ νῦν Χριστιανῶν τὰ τοιαῦτα· ἀλλὰ καὶ σαφῶς αὐτὸν ᾔδεσαν τὸν Χριστὸν τοῦ θεοῦ, εἴ γε ὦφθαι μὲν τῷ Ἀβραάμ, χρηματίσαι δὲ τῷ Ἰσαάκ, λελαληκέναι δὲ τῷ Ἰακώβ, Μωυσεῖ τε καὶ τοῖς μετὰ ταῦτα προφήταις ὡμιληκέναι προδέδεικται. 9. ἔνθεν αὐτοὺς δὴ τοὺς θεοφιλεῖς ἐκείνους εὕροις ἂν καὶ τῆς τοῦ Χριστοῦ κατηξιωμένους προσωνυμίας, κατὰ τὴν φάσκουσαν περὶ αὐτῶν φωνήν "μὴ ἅψησθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε." ὥστε σαφῶς πρώτην ἡγεῖσθαι δεῖν καὶ πάντων παλαιτάτην τε καὶ ἀρχαιο-

---

28 1. Paral. 16, 22.

τάτην θεοσεβείας εὕρεσιν, αὐτῶν ἐκείνων δὴ τῶν ἀμφὶ τὸν Ἀβραὰμ θεοφιλῶν ἀνδρῶν, τὴν ἀρτίως διὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας πᾶσιν ἔθνεσι κατηγγελμένην. 11. εἰ δὲ δὴ μακρῷ ποθ' ὕστερον χρόνῳ περιτομῆς φασι τὸν Ἀβραὰμ ἐντολὴν εἰληφέναι, ἀλλά γε πρὸ ταύτης δικαιοσύνην διὰ πίστεως μαρτυρηθεὶς ἀνείρηται, ὧδέ πως φάσκοντος τοῦ θείου λόγου "ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην." 12. καὶ δὴ τοιούτῳ πρὸ τῆς περιτομῆς γεγονότι χρησμὸς ὑπὸ τοῦ φήναντος ἑαυτὸν αὐτῷ θεοῦ (οὗτος δ' ἦν αὐτὸς ὁ Χριστὸς ὁ τοῦ θεοῦ λόγος) περὶ τῶν ἐν τοῖς μετέπειτα χρόνοις τὸν ὅμοιον αὐτῷ δικαιοῦσθαι τρόπον μελλόντων ῥήμασιν αὐτοῖς προεπήγγελται λέγων "καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. καὶ ὡς ὅτι ἔσται εἰς ἔθνος μέγα καὶ πολύ. καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς." 13. τούτῳ δὲ καὶ ἐπιστῆσαι εἰς ἡμᾶς ἐκπεπληρωμένῳ πάρεστι. πίστει μὲν γὰρ ἐκεῖνος τῇ εἰς τὸν ὀφθέντα αὐτῷ τοῦ θεοῦ λόγον τὸν Χριστὸν δεδικαίωτο, πατρῴας μὲν ἀποστὰς δεισιδαιμονίας καὶ πλάνης βίου προτέρας, ἕνα δὲ τὸν ἐπὶ πάντων ὁμολογήσας θεὸν, καὶ τοῦτον ἔργοις ἀρετῆς, οὐχὶ δὲ θρησκείᾳ νόμου τοῦ μετὰ ταῦτα Μωυσέως θεραπεύσας. τοιούτῳ τε ὄντι εἴρητο ὅτι δὴ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ πάντα τὰ ἔθνη ἐν αὐτῷ εὐλογηθήσονται. 14. ἔργοις δὲ λόγων ἐναργεστέροις ἐπὶ τοῦ παρόντος παρὰ μόνοις Χριστιανοῖς καθ' ὅλης τῆς οἰκουμένης ἀσκούμενος αὐτὸς ἐκεῖνος ὁ τῆς θεοσεβείας τοῦ Ἀβραὰμ ἀναπέφηνε τρόπος. 15. τί δὴ οὖν λοιπὸν ἐμποδὼν ἂν εἴη, μὴ οὐχὶ ἕνα καὶ τὸν αὐτὸν βίον τε

7 Gen. 15, 6. 14 Gen. 22, 18. 18, 18.

καὶ τρόπον εὐσεβείας ἡμῖν τε τοῖς ἀπὸ Χριστοῦ καὶ τοῖς πρόπαλαι θεοφιλέσιν ὁμολογεῖν; ὥστε μὴ νέαν καὶ ξένην, ἀλλ' εἰ δεῖ φάναι ἀληθεύοντα, πρώτην ὑπάρχειν καὶ μόνην καὶ ἀληθῆ κατόρθωσιν εὐσεβείας τὴν διὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας παραδοθεῖσαν ἡμῖν ἀποδείκνυσθαι. καὶ ταῦτα μὲν ὧδε ἐχέτω.

V. [Nic. H. H. I, 6.] Φέρε δὲ ἤδη μετὰ τὴν δέουσαν προκατασκευὴν τῆς προτεθείσης ἡμῖν ἐκκλησιαστικῆς ἱστορίας ἤδη λοιπὸν ἀπὸ τῆς ἐνσάρκου τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας οἷά τινος ὁδοιπορίας ἐφαψώμεθα, τὸν τοῦ λόγου πατέρα θεὸν καὶ τὸν δηλούμενον αὐτὸν Ἰησοῦν Χριστὸν τὸν σωτῆρα καὶ κύριον ἡμῶν, τὸν οὐράνιον τοῦ θεοῦ λόγον βοηθὸν ἡμῖν καὶ συνεργὸν τῆς κατὰ τὴν διήγησιν ἀληθείας ἐπικαλεσάμενοι. 2. ἦν δὴ οὖν τοῦτο δεύτερον καὶ τεσσαρακοστὸν ἔτος τῆς Αὐγούστου βασιλείας, Αἰγύπτου δ' ὑποταγῆς καὶ τελευτῆς Ἀντωνίου καὶ Κλεοπάτρας, εἰς ἣν ὑστάτην ἡ κατ' Αἴγυπτον τῶν Πτολεμαίων κατέληξε δυναστεία, ὄγδοον ἔτος καὶ εἰκοστόν, ὁπηνίκα ὁ σωτὴρ ἡμῶν καὶ κύριος Ἰησοῦς Χριστὸς ἐπὶ τῆς τότε ἀπογραφῆς πρώτης, ἡγεμονεύοντος Κυρινίου τῆς Συρίας, ἀκολούθως ταῖς περὶ αὐτοῦ προφητείαις, ἐν Βηθλεὲμ γεννᾶται τῆς Ἰουδαίας. 3. ταύτης δὲ τῆς κατὰ Κυρίνιον ἀπογραφῆς καὶ ὁ τῶν παρ' Ἑβραίοις ἐπισημότατος ἱστορικῶν Φλαύιος Ἰώσηπος μνημονεύει, καὶ ἄλλην ἐπισυνάπτων ἱστορίαν περὶ τῆς τῶν Γαλιλαίων κατὰ τοὺς αὐτοὺς ἐπιφυείσης χρόνους αἱρέσεως, ἧς καὶ παρ' ἡμῖν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι μνήμην ὧδέ πως λέγων πεποίηται "μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς

---

25 Ἰωσηπος] A. I. XVIII, 1, 1. B. I. VII, 8, 1.
29 Act. 5, 37.

ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ὀπίσω αὐτοῦ, κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείσθησαν αὐτῷ διεσκορπίσθησαν." 4. τούτοις δ' οὖν καὶ ὁ δεδηλωμένος ἐν ὀκτωκαιδεκάτῳ τῆς ἀρχαιολογίας συνᾴδων ταῦτα παρατίθεται κατὰ λέξιν "Κυρίνιος δὲ τῶν εἰς τὴν "βουλὴν συναγομένων ἀνήρ, τάς τε ἄλλας ἀρχὰς ἐπι"τετελεκὼς καὶ διὰ πασῶν ὁδεύσας ὕπατος γενέσθαι, "τά τε ἄλλα ἀξιώματι μέγας, σὺν ὀλίγοις ἐπὶ Συρίας "παρῆν, ὑπὸ Καίσαρος δικαιοδότης τοῦ ἔθνους ἀπε"σταλμένος, καὶ τιμητὴς τῶν οὐσιῶν γενησόμενος." 5. καὶ μετὰ βραχέα φησίν "Ἰούδας δὲ Γαυλανίτης "ἀνὴρ ἐκ πόλεως ὄνομα Γαμάλας, Σάδδοκον Φαρι"σαῖον προσλαβόμενος, ἠπείγετο ἐπὶ ἀποστάσει, τήν "τε ἀποτίμησιν οὐδὲν ἄλλο ἢ ἄντικρυς δουλείαν ἐπι"φέρειν λέγοντες, καὶ τῆς ἐλευθερίας ἐπ' ἀντιλήψει "παρακαλοῦντες τὸ ἔθνος." 6. καὶ ἐν τῇ δευτέρᾳ δὲ τῶν ἱστοριῶν τοῦ Ἰουδαϊκοῦ πολέμου περὶ τοῦ αὐτοῦ ταῦτα γράφει "ἐπὶ τούτοις τις ἀνὴρ Γαλιλαῖος Ἰούδας "ὄνομα εἰς ἀποστασίαν ἐνῆγε τοὺς ἐπιχωρίους, κακί"ζων, εἰ φόρον τε Ῥωμαίοις τελεῖν ὑπομένουσι καὶ "μετὰ τὸν θεὸν οἴσουσι θνητοὺς δεσπότας." ταῦτα ὁ Ἰώσηπος.

VI. [Nic. H. E. I, 6.] Τηνικαῦτα δὲ καὶ τοῦ Ἰουδαίων ἔθνους Ἡρώδου πρώτου τὸ γένος ἀλλοφύλου διειληφότος τὴν βασιλείαν ἡ διὰ Μωυσέως περιγραφὴν ἐλάμβανε προφητεία "οὐκ ἐκλείψειν ἄρχοντα ἐξ Ἰούδα οὐδὲ ἡγούμενον ἐκ τῶν μηρῶν αὐτοῦ" φήσασα, "ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται," ὃν καὶ ἀποφαίνει προσδοκίαν ἐθνῶν ἔσεσθαι. 2. ἀτελῆ γέ τοι τὰ τῆς προρρή-

5 Ioseph. A. I. XVIII, 1, 1. 18 Ioseph. B. I. II, 8, 1.
26 Gen. 49, 10.

σεως ἦν, καθ' ὃν ὑπὸ τοῖς οἰκείοις τοῦ ἔθνους ἄρχουσι διάγειν αὐτοῖς ἐξῆν χρόνον, ἄνωθεν ἐξ αὐτοῦ Μωυσέως καταρξαμένοις καὶ εἰς τὴν Αὐγούστου βασιλείαν διαρκέσασι· καθ' ὃν πρῶτος ἀλλόφυλος Ἡρώδης τὴν κατὰ Ἰουδαίων ἐπιτρέπεται ὑπὸ Ῥωμαίων ἀρχὴν, ὡς μὲν Ἰώσηπος παραδίδωσιν, Ἰδουμαῖος ὢν κατὰ πατέρα τὸ γένος, Ἀράβιος δὲ κατὰ μητέρα, ὡς δ' Ἀφρικανὸς, (οὐχ ὁ τυχὼν δὲ καὶ οὗτος γέγονε συγγραφεὺς), φασὶν οἱ τὰ κατ' αὐτὸν ἀκριβοῦντες, Ἀντιπάτρου, τοῦτον δὲ Ἡρώδου τινὸς Ἀσκαλωνίτου τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἱεροδούλων καλουμένων γεγονέναι. 3. ὃς Ἀντίπατρος ὑπὸ Ἰδουμαίων λῃστῶν παιδίον αἰχμαλωτισθεὶς σὺν ἐκείνοις ἦν, διὰ τὸ μὴ δύνασθαι τὸν πατέρα πένητα ὄντα λύτρα καταθέσθαι ὑπὲρ αὐτοῦ. ἐντραφεὶς δὲ τοῖς ἐκείνων ἤθεσιν ὕστερον Ὑρκανῷ τῷ Ἰουδαίων ἀρχιερεῖ φιλοῦται. τούτῳ παῖς γίνεται ὁ ἐπὶ τοῦ σωτῆρος ἡμῶν Ἡρώδης. 4. εἰς δὴ οὖν τὸν τοιοῦτον τῆς Ἰουδαίων περιελθούσης βασιλείας, ἐπὶ θύραις ἤδη καὶ ἡ τῶν ἐθνῶν ἀκολούθως τῇ προφητείᾳ προσδοκία παρῆν, ἅτε διαλελοιπότων ἐξ ἐκείνου τῶν παρ' αὐτοῖς ἐξ αὐτοῦ Μωυσέως κατὰ διαδοχὴν ἀρξάντων τε καὶ ἡγησαμένων. 5. πρὸ μέν γε τῆς αἰχμαλωσίας αὐτῶν καὶ τῆς εἰς Βαβυλῶνα μεταναστάσεως ἐβασιλεύοντο, ἀπὸ Σαοὺλ πρώτου καὶ Δαβὶδ ἀρξάμενοι· πρὸ δὲ τῶν βασιλέων ἄρχοντες αὐτοὺς διεῖπον, οἱ προσαγορευόμενοι κριταὶ, ἄρξαντες καὶ αὐτοὶ μετὰ Μωυσέα καὶ τὸν τούτου διάδοχον Ἰησοῦν. 6. μετὰ δὲ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον οὐ διέλιπον πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ μετὰ ὀλιγαρχίας. οἱ γὰρ ἀρχιερεῖς προεστήκεσαν

6 Ioseph. A. I. XIV, 1, 3. 7, 3. (cf. XX, 8, 7.) B. I. I, 8, 9.

τῶν πραγμάτων, ἄχρις οὗ Πομπήιος Ῥωμαίων στρατηγὸς ἐπιστὰς τὴν μὲν Ἱερουσαλὴμ πολιορκεῖ κατὰ κράτος, μιαίνει τε τὰ ἅγια μέχρι τῶν ἀδύτων τοῦ ἱεροῦ προελθών, τὸν δὲ ἐκ προγόνων διαδοχῆς εἰς ἐκεῖνο τοῦ καιροῦ διαρκέσαντα βασιλέα τε ὁμοῦ καὶ ἀρχιερέα, Ἀριστόβουλος ὄνομα ἦν αὐτῷ, δέσμιον ἐπὶ Ῥώμην ἅμα τέκνοις ἐκπέμψας, Ὑρκανῷ μὲν τῷ τούτου ἀδελφῷ τὴν ἀρχιερωσύνην παραδίδωσι, τὸ δὲ πᾶν Ἰουδαίων ἔθνος ἐξ ἐκείνου Ῥωμαίοις ὑπόφορον κατεστήσατο. 7. αὐτίκα γοῦν καὶ Ὑρκανοῦ, εἰς ὃν ὕστατον τὰ τῆς τῶν ἀρχιερέων περιέστη διαδοχῆς, ὑπὸ Πάρθων αἰχμαλώτου ληφθέντος, πρῶτος, ὡς γοῦν ἔφην, ἀλλόφυλος Ἡρώδης ὑπὸ τῆς συγκλήτου Ῥωμαίων καὶ Αὐγούστου βασιλέως τὸ Ἰουδαίων ἔθνος ἐγχειρίζεται. 8. καθ' ὃν ἐναργῶς τῆς τοῦ Χριστοῦ παρουσίας ἐνστάσης καὶ τῶν ἐθνῶν ἡ προσδοκωμένη σωτηρία τε καὶ κλῆσις ἀκολούθως τῇ προφητείᾳ παρηκολούθησεν· ἐξ οὗ δὴ χρόνου τῶν ἐξ Ἰούδα ἀρχόντων τε καὶ ἡγουμένων, λέγω δὲ τῶν ἐκ τοῦ Ἰουδαίων ἔθνους διαλελοιπότων, εἰκότως αὐτοῖς καὶ τὰ τῆς ἐκ προγόνων εὐσταθῶς ἐπὶ τοὺς ἔγγιστα διαδόχους κατὰ γενεὰν προϊούσης ἀρχιερωσύνης παραχρῆμα συγχεῖται. 9. ἔχεις καὶ τούτων ἀξιόχρεων τὸν Ἰώσηπον μάρτυρα, δηλοῦντα ὡς τὴν βασιλείαν παρὰ Ῥωμαίων ἐπιτραπεὶς Ἡρώδης οὐκέτι τοὺς ἐξ ἀρχαίου γένους καθίστησιν ἀρχιερεῖς, ἀλλά τισιν ἀσήμοις τὴν τιμὴν ἀπένεμεν· τὰ ὅμοια δὲ πρᾶξαι τῷ Ἡρώδῃ περὶ τῆς καταστάσεως τῶν ἀρχιερέων Ἀρχέλαόν τε τὸν παῖδα αὐτοῦ καὶ μετὰ τοῦτον Ῥωμαίους, τὴν ἀρχὴν τῶν Ἰουδαίων παρειληφότας. 10. ὁ δ' αὐτὸς δηλοῖ ὡς ἄρα καὶ τὴν ἱερὰν στολὴν τοῦ ἀρχιερέως πρῶτος Ἡρώδης ἀποκλεί-

23 Ioseph. A. I. XX, 10. 30 A. I. XVIII, 4, 3. XX, 1, 1.

σας ὑπὸ ἰδίαν σφραγῖδα πεποίηται, μηκέτ' αὐτὴν τοῖς ἀρχιερεῦσιν ἔχειν ὑφ' ἑαυτοὺς ἐπιτρέψας· ταὐτὸ δὲ καὶ τὸν μετ' αὐτὸν Ἀρχέλαον καὶ μετὰ τοῦτον Ῥωμαίους διαπράξασθαι. 11. καὶ ταῦτα δ' ἡμῖν εἰρήσθω εἰς ἑτέραν ἀπόδειξιν προφητείας κατὰ τὴν ἐπιφάνειαν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πεπερασμένης. σαφέστατα γοῦν ἐν τῷ Δανιὴλ ἑβδομάδων τινῶν ἀριθμὸν ὀνομαστὶ ἕως Χριστοῦ ἡγουμένου περιλαβὼν ὁ λόγος, περὶ ὧν ἐν ἑτέροις διειλήφαμεν, μετὰ τὸ τούτων συμπέρασμα ἐξολοθρευθήσεσθαι τὸ παρὰ Ἰουδαίοις χρῖσμα προφητεύει. καὶ τοῦτο δὲ σαφῶς κατὰ τὸν καιρὸν τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσεως ἀποδείκνυται συμπεπληρωμένον. ταῦτα δ' ἡμῖν ἀναγκαίως εἰς παράστασιν τῆς τῶν χρόνων ἀληθείας προτετηρήσθω.

VII. [Nic. H. E. I, 7—11.] Ἐπειδὴ δὲ τὴν περὶ τοῦ Χριστοῦ γενεαλογίαν διαφόρως ἡμῖν ὅ τε Ματθαῖος καὶ ὁ Λουκᾶς εὐαγγελιζόμενοι παραδεδώκασι, διαφωνεῖν τε νομίζονται τοῖς πολλοῖς, τῶν τε πιστῶν ἕκαστος ἀγνοίᾳ τἀληθοῦς εὑρησιλογεῖν εἰς τοὺς τόπους πεφιλοτίμηται, φέρε καὶ τὴν περὶ τούτων κατελθοῦσαν εἰς ἡμᾶς ἱστορίαν παραθώμεθα, ἣν δι' ἐπιστολῆς Ἀριστείδῃ γράφων περὶ συμφωνίας τῆς ἐν τοῖς εὐαγγελίοις γενεαλογίας ὁ μικρῷ πρόσθεν ἡμῖν δηλωθεὶς Ἀφρικανὸς ἐμνημόνευσε, τὰς μὲν τῶν λοιπῶν δόξας ὡσὰν βιαίους καὶ διεψευσμένας ἀπελέγξας, ἣν δ' αὐτὸς παρείληφεν ἱστορίαν, τούτοις αὐτοῖς ἐκτιθέμενος τοῖς ῥήμασιν "ἐπειδὴ γὰρ τὰ ὀνόματα

---

7 Daniel. 9, 26. 10 ἐν ἑτέροις] Dem. Evang. VIII. p. 381. 29 ἐπειδὴ — διηγήσομαι (p. 25, 22)] Idem excerptum apud Eusebium in Quaestionibus ad Stephanum, in Maii Script. Vet. Nov. Collect. vol. 1. p. 22.

"τῶν γενῶν ἐν Ἰσραὴλ ἠριθμεῖτο ἢ φύσει ἢ νόμῳ, φύσει μέν, γνησίου σπέρματος διαδοχῇ, νόμῳ δέ, ἑτέρου παιδοποιουμένου εἰς ὄνομα τελευτήσαντος ἀδελφοῦ ἀτέκνου· (ὅτι γὰρ οὐδέπω δέδοτο ἐλπὶς ἀναστάσεως σαφής, τὴν μέλλουσαν ἐπαγγελίαν ἀναστάσει ἐμιμοῦντο θνητῇ, ἵνα ἀνέκλειπτον τὸ ὄνομα μείνῃ τοῦ μετηλλαχότος)· 3. ἐπεὶ οὖν οἱ τῇ γενεαλογίᾳ ταύτῃ ἐμφερόμενοι οἱ μὲν διεδέξαντο παῖς πατέρα γνησίως, οἱ δὲ ἑτέροις μὲν ἐγεννήθησαν, ἑτέροις δὲ προσετέθησαν κλήσει, ἀμφοτέρων γέγονεν ἡ μνήμη, καὶ τῶν γεγεννηκότων καὶ τῶν ὡς γεγεννηκότων. 4. οὕτως οὐδέτερον τῶν εὐαγγελίων ψεύδεται, καὶ φύσιν ἀριθμοῦν καὶ νόμον· ἐπεπλάκη γὰρ ἀλλήλοις τὰ γένη, τό τε ἀπὸ τοῦ Σολομῶνος καὶ τὸ ἀπὸ τοῦ Νάθαν, ἀναστάσεσιν ἀτέκνων καὶ δευτερογαμίαις καὶ ἀναστάσει σπερμάτων, ὡς δικαίως τοὺς αὐτοὺς ἄλλοτε ἄλλων νομίζεσθαι, τῶν μὲν δοκούντων πατέρων, τῶν δὲ ὑπαρχόντων· ὡς ἀμφοτέρας τὰς διηγήσεις κυρίως ἀληθεῖς οὔσας ἐπὶ τὸν Ἰωσὴφ πολυπλόκως μέν, ἀλλ' ἀκριβῶς κατελθεῖν. 5. ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, τὴν ἐπαλλαγὴν τῶν γενῶν διηγήσομαι. ἀπὸ τοῦ Δαβὶδ διὰ Σολομῶνος τὰς γενεὰς καταριθμουμένοις τρίτος ἀπὸ τέλους εὑρίσκεται Ματθάν, ὃς ἐγέννησε τὸν Ἰακὼβ τοῦ Ἰωσὴφ τὸν πατέρα· ἀπὸ δὲ Νάθαν τοῦ Δαβὶδ κατὰ Λουκᾶν ὁμοίως τρίτος ἀπὸ τέλους Μελχί, οὗ υἱὸς ὁ Ἡλὶ ὁ τοῦ Ἰωσὴφ πατήρ· Ἰωσὴφ γὰρ υἱὸς Ἡλὶ τοῦ Μελχί. 6. σκοποῦ τοίνυν ἡμῖν κειμένου τοῦ Ἰωσὴφ ἀποδεικτέον πῶς ἑκάτερος αὐτοῦ πατὴρ ἱστορεῖται, ὅ τε Ἰακὼβ ὁ ἀπὸ Σολομῶνος καὶ Ἡλὶ ὁ ἀπὸ τοῦ Νάθαν

---

23 Matth. 1, 15. 25 Luc. 3, 23.

"ἑκάτερος κατάγοντες τὸ γένος, ὅπως τε πρότερον
"οὗτοι δὴ ὅ τε Ἰακὼβ καὶ ὁ Ἡλὶ δύο ἀδελφοί, καὶ πρό
"γε, πῶς οἱ τούτων πατέρες Ματθὰν καὶ Μελχὶ δια-
"φόρων ὄντες γενῶν τοῦ Ἰωσὴφ ἀναφαίνονται πάπ-
"ποι. 7. καὶ δὴ οὖν ὅ τε Ματθὰν καὶ ὁ Μελχὶ ἐν μέρει
"τὴν αὐτὴν ἀγαγόμενοι γυναῖκα ὁμομητρίους ἀδελ-
"φοὺς ἐπαιδοποιήσαντο, τοῦ νόμου μὴ κωλύοντος
"χηρεύουσαν ἤτοι ἀπολελυμένην ἢ καὶ τελευτήσαντος
"τοῦ ἀνδρὸς ἄλλῳ γαμεῖσθαι. 8. ἐκ δὲ τῆς Ἐσθᾶ
"(τοῦτο γὰρ καλεῖσθαι τὴν γυναῖκα παραδέδοται)
"πρῶτος Ματθὰν ὁ ἀπὸ τοῦ Σολομῶνος τὸ γένος κατά-
"γων τὸν Ἰακὼβ γεννᾷ· καὶ τελευτήσαντος τοῦ Ματ-
"θὰν Μελχὶ ὁ ἐπὶ τὸν Νάθαν κατὰ γένος ἀναφερό-
"μενος χηρεύουσαν ἐκ μὲν τῆς αὐτῆς φυλῆς, ἐξ ἄλλου
"δὲ γένους ὤν, ὡς προεῖπον, ἀγαγόμενος αὐτὴν ἔσχεν
"υἱὸν τὸν Ἡλί. 9. οὕτω δὴ διαφόρων δύο γενῶν εὑρή-
"σομεν τόν τε Ἰακὼβ καὶ τὸν Ἡλὶ ὁμομητρίους ἀδελ-
"φούς, ὧν ὁ ἕτερος Ἰακώβ, ἀτέκνου τοῦ ἀδελφοῦ
"τελευτήσαντος Ἡλί, τὴν γυναῖκα παραλαβὼν ἐγέν-
"νησεν ἐξ αὐτῆς τρίτον τὸν Ἰωσήφ, κατὰ φύσιν μὲν
"ἑαυτῷ καὶ κατὰ λόγον· διὸ καὶ γέγραπται 'Ἰακὼβ
"δὲ ἐγέννησε τὸν Ἰωσήφ,' κατὰ νόμον δὲ τοῦ Ἡλὶ
"υἱὸς ἦν· ἐκείνῳ γὰρ ὁ Ἰακὼβ ἀδελφὸς ὢν ἀνέστησε
"σπέρμα. 10. διόπερ οὐκ ἀκυρωθήσεται καὶ ἡ κατ'
"αὐτὸν γενεαλογία, ἣν Ματθαῖος μὲν ὁ εὐαγγελιστὴς
"ἐξαριθμούμενος 'Ἰακὼβ δὲ' φησίν 'ἐγέννησε τὸν
"Ἰωσήφ·' ὁ δὲ Λουκᾶς ἀνάπαλιν 'ὃς ἦν υἱός, ὡς
"ἐνομίζετο (καὶ γὰρ τοῦτο προστίθησι) τοῦ Ἰωσὴφ
"τοῦ Ἡλὶ τοῦ Μελχί·' τὴν γὰρ κατὰ νόμον γένεσιν
"ἐπισημότερον οὐκ ἦν ἐξειπεῖν. καὶ τὸ "ἐγέννησεν"

---

21 Matth. 1, 16. 27 Luc. 3, 1.

“ἐπὶ τῆς τοιᾶσδε παιδοποιίας ἄχρι τέλους ἐσιώπησε, “τὴν ἀναφορὰν ποιησάμενος ἕως τοῦ Ἀδὰμ τοῦ θεοῦ “κατ᾽ ἀνάλυσιν. 11. οὐδὲ μὴν ἀναπόδεικτον ἢ ἐσχε-“διασμένον ἐστὶ τοῦτο· τοῦ γοῦν σωτῆρος οἱ κατὰ “σάρκα συγγενεῖς, εἴτ᾽ οὖν φανητιῶντες εἴθ᾽ ἁπλῶς “ἐκδιδάσκοντες, πάντως δὲ ἀληθεύοντες, παρέδοσαν “καὶ ταῦτα, ὡς Ἰδουμαῖοι λησταὶ Ἀσκάλωνι πόλει τῆς “Παλαιστίνης ἐπελθόντες ἐξ εἰδωλείου Ἀπόλλωνος, ὃ “πρὸς τοῖς τείχεσιν ἵδρυτο, Ἀντίπατρον Ἡρώδου τινὸς “ἱεροδούλου παῖδα πρὸς τοῖς ἄλλοις σύλοις αἰχμάλω-“τον ἀπῆγον, τῷ δὲ λύτρα ὑπὲρ τοῦ υἱοῦ καταθέσθαι “μὴ δύνασθαι τὸν ἱερέα ὁ Ἀντίπατρος τοῖς τῶν Ἰδου-“μαίων ἔθεσιν ἐντραφεὶς ὕστερον Ὑρκανῷ φιλοῦται “τῷ τῆς Ἰουδαίας ἀρχιερεῖ. 12. πρεσβεύσας δὲ πρὸς “Πομπήιον ὑπὲρ τοῦ Ὑρκανοῦ, καὶ τὴν βασιλείαν “ἐλευθερώσας αὐτῷ ὑπὸ Ἀριστοβούλου τοῦ ἀδελφοῦ “περικοπτομένην, αὐτὸς ηὐτύχησεν ἐπιμελητὴς τῆς “Παλαιστίνης χρηματίσας· διαδέχεται δὲ τὸν Ἀντί-“πατρον φθόνῳ τῆς πολλῆς εὐτυχίας δολοφονηθέντα “υἱὸς Ἡρώδης, ὃς ὕστερον ὑπ᾽ Ἀντωνίου καὶ τοῦ “Αὐγούστου συγκλήτου δόγματι τῶν Ἰουδαίων ἐκρίθη “βασιλεύειν· οὗ παῖδες Ἡρώδης οἵ τ᾽ ἄλλοι τετράρ-“χαι. ταῦτα μὲν δὴ κοινὰ καὶ ταῖς Ἑλλήνων ἱστο-“ρίαις. 13. ἀναγράπτων δὲ εἰς τότε ἐν τοῖς ἀρχείοις “ὄντων τῶν Ἑβραϊκῶν γενῶν, καὶ τῶν ἀρχιπροση-“λύτων ἀναφερομένων ἕως Ἀχιὼρ τοῦ Ἀμμανίτου καὶ “Ῥοὺθ τῆς Μωαβίτιδος, τῶν τε ἀπ᾽ Αἰγύπτου συνεκ-“πεσόντων ἐπιμίκτων, ὁ Ἡρώδης οὐδέν τι συμβαλ-“λομένου τοῦ τῶν Ἰσραηλιτῶν γένους αὐτῷ, καὶ τῷ “συνειδότι τῆς δυσγενείας κρουόμενος, ἐνέπρησεν αὐ-“τῶν τὰς ἀναγραφὰς τῶν γενῶν, οἰόμενος εὐγενὴς “ἀναφανεῖσθαι τῷ μηδὲ ἄλλον ἔχειν ἐκ δημοσίου συγ-

γραφῆς τὸ γένος ἀνάγειν ἐπὶ τοὺς πατριάρχας ἢ προσηλύτους, τούς τε καλουμένους γειώρας τοὺς ἐπιμίκτους. 14. ὀλίγοι δὴ τῶν ἐπιμελῶν ἰδιωτικὰς ἑαυτοῖς ἀπογραφάς, ἢ μνημονεύσαντες τῶν ὀνομάτων, ἢ ἄλλως ἔχοντες ἐξ ἀντιγράφων, ἐναβρύνονται, σωζομένης τῇ μνήμῃ τῆς εὐγενείας· ὧν ἐτύγχανον οἱ προειρημένοι δεσπόσυνοι καλούμενοι, διὰ τὴν πρὸς τὸ σωτήριον γένος συνάφειαν, ἀπό τε Ναζάρων καὶ Κωχαβὰ κωμῶν Ἰουδαϊκῶν τῇ λοιπῇ γῇ ἐπιφοιτήσαντες, καὶ τὴν προκειμένην γενεαλογίαν** ἔκ τε τῆς βίβλου τῶν ἡμερῶν εἰς ὅσον ἐξικνοῦντο ἐξηγησάμενοι. 15. εἴτ' οὖν οὕτως εἴτ' ἄλλως ἔχει, σαφεστέραν ἐξήγησιν οὐκ ἂν ἔχοι τις ἄλλος ἐξευρεῖν, ὡς ἔγωγε νομίζω πᾶς τε ὃς εὐγνώμων τυγχάνει. καὶ ἡμῖν αὕτη μελέτω, εἰ καὶ μὴ ἐμμάρτυρός ἐστι, τῷ μὴ κρείττονα ἢ ἀληθεστέραν ἔχειν εἰπεῖν. τό γέ τοι εὐαγγέλιον πάντως ἀληθεύει." 16. καὶ ἐπὶ τέλει δὲ τῆς αὐτῆς ἐπιστολῆς προστίθησι ταῦτα· Ματθὰν ὁ ἀπὸ Σολομῶνος ἐγέννησε τὸν Ἰακώβ. "Ματθὰν ἀποθανόντος Μελχὶ ὁ ἀπὸ Νάθαν ἐκ τῆς αὐτῆς γυναικὸς ἐγέννησε τὸν Ἡλί. ὁμομήτριοι ἄρα ἀδελφοὶ Ἡλὶ καὶ Ἰακώβ. Ἡλὶ ἀτέκνου ἀποθανόντος ὁ Ἰακὼβ ἀνέστησεν αὐτῷ σπέρμα, γεννήσας τὸν Ἰωσήφ, κατὰ φύσιν μὲν ἑαυτῷ, κατὰ νόμον δὲ τῷ Ἡλί. οὕτως ἀμφοτέρων υἱὸς ἦν ὁ Ἰωσήφ." τοσαῦτα ὁ Ἀφρικανός. 17. καὶ δὴ τοῦ Ἰωσὴφ ὧδέ πως γενεαλογουμένου, δυνάμει καὶ ἡ Μαρία σὺν αὐτῷ πέφηνεν ἐκ τῆς αὐτῆς οὖσα φυλῆς, εἴ γε κατὰ τὸν Μωυσέως νόμον οὐκ ἐξῆν ἑτέραις ἐπιμίγνυσθαι φυλαῖς· ἑνὶ γὰρ τῶν

---

19 *Ματθὰν* —] Haec quoque in Eusebii Quaest ad Steph. l. c. p. 23.

ἐκ τοῦ αὐτοῦ δήμου καὶ πατριᾶς τῆς αὐτῆς ζευγνυσθαι πρὸς γάμον παρακελεύεται ὡς ἂν μὴ περιστρέφοιτο τοῦ γένους ὁ κλῆρος ἀπὸ φυλῆς ἐπὶ φυλήν. ὧδὶ μὲν οὖν καὶ ταῦτα ἐχέτω.

VIII. [Nic. H. E. I, 12—15.] Ἀλλὰ γὰρ τοῦ Χριστοῦ γεννηθέντος ταῖς προφητείαις ἀκολούθως ἐν Βηθλεὲμ τῆς Ἰουδαίας κατὰ τοὺς δεδηλωμένους χρόνους, Ἡρώδης ἐπὶ τῇ τῶν ἐξ ἀνατολῆς μάγων ἀνερωτήσει, ὅπη εἴη διαπυνθανομένων ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων, ἑωρακέναι γὰρ αὐτοῦ τὸν ἀστέρα, καὶ τῆς τοσῆσδε πορείας τοῦτ' αἴτιον αὐτοῖς γεγονέναι, οἷα θεῷ προσκυνῆσαι τῷ τεχθέντι διὰ σπουδῆς πεποιημένοις, οὐ σμικρῶς ἐπὶ τῷ πράγματι ἅτε κινδυνευούσης, ὥς γε δὴ ᾤετο, αὐτῷ τῆς ἀρχῆς διακινηθείς, πυθόμενος τῶν παρὰ τῷ ἔθνει νομοδιδασκάλων ποῦ τὸν Χριστὸν γεννηθήσεσθαι προσδοκῷεν, ὡς ἔγνω τὴν Μιχαίου προφητείαν ἐν Βηθλεὲμ προαναφωνοῦσαν, ἑνὶ προστάγματι τοὺς ὑπομαζίους ἔν τε τῇ Βηθλεὲμ καὶ πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω παῖδας κατὰ τὸν ἀπηκριβωμένον αὐτῷ χρόνον παρὰ τῶν μάγων ἀναιρεθῆναι προστάττει, πάντως που καὶ τὸν Ἰησοῦν, ὥς γε ἦν εἰκός, τῆς αὐτῆς τοῖς ὁμήλιξι συναπολαῦσαι συμφορᾶς οἰόμενος. 2. φθάνει γε μὴν τὴν ἐπιβουλὴν εἰς Αἴγυπτον διακομισθεὶς ὁ παῖς, δι' ἐπιφανείας ἀγγέλου τὸ μέλλον προμεμαθηκότων αὐτοῦ τῶν γονέων. ταῦτα μὲν οὖν καὶ ἡ ἱερὰ τοῦ εὐαγγελίου διδάσκει γραφή. 3. ἄξιον δ' ἐπὶ τούτοις συνιδεῖν τἀπίχειρα τῆς Ἡρώδου κατὰ τοῦ Χριστοῦ καὶ τῶν ὁμηλίκων αὐτῷ τόλμης, ὡς παραυτίκα, μηδὲ σμικρᾶς ἀναβολῆς γεγενημένης, ἡ

---

2 Num. 36, 6. 17 Mich. 5, 2.

θεία δίκη περιόντα ἔτ' αὐτὸν ἐν τῷ βίῳ μετελήλυθε, τὰ τῶν μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν διαδεξομένων αὐτὸν ἐπιδεικνῦσα προοίμια. 4. ὡς μὲν οὖν τὰς κατὰ τὴν βασιλείαν αὐτῷ νομισθείσας εὐπραγίας ταῖς κατὰ τὸν οἶκον ἐπαλλήλοις ἠμαύρωσε συμφοραῖς, γυναικὸς καὶ τέκνων καὶ τῶν λοιπῶν τῶν μάλιστα πρὸς γένους ἀναγκαιοτάτων τε καὶ φιλτάτων μιαιφονίαις, οὐδὲ οἷόν τε νῦν καταλέγειν, τραγικὴν ἅπασαν δραματουργίαν ἐπισκιαζούσης τῆς περὶ τούτων ὑποθέσεως, ἣν εἰς πλάτος ἐν ταῖς καθ' αὐτὸν ἱστορίαις ὁ Ἰώσηπος διελήλυθεν. 5. ὡς δ' ἅμα τῇ κατὰ τοῦ σωτῆρος ἡμῶν καὶ τῶν ἄλλων νηπίων ἐπιβουλῇ θεήλατος αὐτὸν καταλαβοῦσα μάστιξ εἰς θάνατον συνήλασεν, οὐ χεῖρον καὶ τῶν φωνῶν τοῦ συγγραφέως ἐπακοῦσαι, κατὰ λέξιν ἐν ἑπτακαιδεκάτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας τὴν καταστροφὴν τοῦ κατ' αὐτὸν βίου τοῦτον γράφοντος τὸν τρόπον· "Ἡρώδῃ δὲ μειζόνως ἡ νόσος ἐνεπικραίνετο, δίκην ὧν παρανομήσειεν ἐκπρασσομένου τοῦ θεοῦ. 6. πῦρ μὲν γὰρ μαλακὸν ἦν, οὐχ ὧδε πολλὴν ἀποσημαῖνον τοῖς ἐπαφωμένοις τὴν φλόγωσιν, ὅσην τοῖς ἐντὸς προσετίθει τὴν κάκωσιν, ἐπιθυμία δὲ δεινὴ τοῦ δέξασθαί τι, οὐδὲ ἦν μὴ οὐχ ὑπουργεῖν, καὶ ἕλκωσις τῶν τε ἐντέρων, καὶ μάλιστα τοῦ κώλου δειναὶ ἀλγηδόνες, καὶ φλέγμα ὑγρὸν περὶ τοὺς πόδας καὶ διαυγές. 7. παραπλησία δὲ καὶ περὶ τὸ ἦτρον κάκωσις ἦν. ναὶ μὴν καὶ τοῦ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα, πνεύματός τε ὀρθία ἔντασις, καὶ αὐτὴ λίαν ἀηδὴς ἀχθηδόνι τε τῆς ἀποφορᾶς καὶ τῷ πυκνῷ τοῦ ἄσθματος. σπασμός τε περὶ πᾶν ἦν μέλος, ἰσχὺν οὐχ ὑπομενητὴν προστι-

17 Ioseph. A. I. XVII, 6, 5.

"θέμενος. 8. ἐλέγετο γοῦν ὑπὸ τῶν θειαζόντων, καὶ "οἷς ταῦτα προαποφθέγγεσθαι σοφία προὔκειτο, ποι- "νὴν τοῦ πολλοῦ δυσσεβοῦς ταύτην ὁ θεὸς εἰσπράτ- "τεσθαι παρὰ τοῦ βασιλέως." ταῦτα μὲν ἐν τῇ δηλω- θείσῃ γραφῇ παρασημαίνεται ὁ προειρημένος. 9. καὶ ἐν τῇ δευτέρᾳ δὲ τῶν ἱστοριῶν τὰ παραπλήσια περὶ τοῦ αὐτοῦ παραδίδωσι, ὧδέ πως γράφων "ἔνθεν αὐ- "τοῦ τὸ σῶμα πᾶν ἡ νόσος διαλαβοῦσα ποικίλοις πά- "θεσιν ἐμέριζεν. πυρετὸς μὲν γὰρ ἦν οὐ λάβρος, "κνησμὸς δ' ἀφόρητος τῆς ἐπιφανείας ὅλης, καὶ κώλου "συνεχεῖς ἀλγηδόνες, περί τε τοὺς πόδας ὡς ὑδρω- "πιῶντος οἰδήματα, τοῦ τε ἤτρου φλεγμονὴ, καὶ αἰ- "δοίου σηπεδὼν σκώληκας γεννῶσα. πρὸς τούτοις "ὀρθόπνοια καὶ δύσπνοια καὶ σπασμοὶ πάντων τῶν "μελῶν, ὥστε τοὺς ἐπιθειάζοντας ποινὴν εἶναι τὰ "νοσήματα λέγειν. 10. ὁ δὲ παλαίων τοσούτοις πάθε- "σιν ὅμως τοῦ ζῆν ἀντείχετο, σωτηρίαν τε ἤλπιζε, "καὶ θεραπείας ἐπενόει. διαβὰς γοῦν τὸν Ἰορδάνην "τοῖς κατὰ Καλλιρρόην θερμοῖς ἐχρῆτο. ταῦτα δὲ "ἔξεισι μὲν εἰς τὴν Ἀσφαλτῖτιν λίμνην, ὑπὸ γλυκύ- "τητος δέ ἐστι καὶ πότιμα. 11. δόξαν δ' ἐνταῦθα τοῖς "ἰατροῖς ἐλαίῳ θερμῷ πᾶν ἀναθάλψαι τὸ σῶμα χα- "λασθὲν εἰς ἐλαίου πλήρη πύελον ἐκλύει τοὺς ὀφθαλ- "μοὺς καὶ ὡς τεθνεὼς ἀνέστρεψεν. θορύβου δὲ τῶν "θεραπόντων γενομένου πρὸς μὲν τὴν κραυγὴν ἀνή- "νεγκεν, εἰς δὲ τὸ λοιπὸν ἀπογνοὺς τὴν σωτηρίαν, "τοῖς τε στρατιώταις ἀνὰ δραχμὰς πεντήκοντα ἐκέ- "λευσε διανεῖμαι, καὶ πολλὰ χρήματα τοῖς ἡγεμόσι "καὶ τοῖς φίλοις. 12. αὐτὸς δ' ὑποστρέφων εἰς Ἱερι- "χοῦντα παραγίνεται, μελαγχολῶν ἤδη, καὶ μονονουχὶ

---

7 B. I. I, 33, 5.

αὐτῷ τι τῷ θανάτῳ ἀπειλῶν προέκοψεν εἰς ἐπιβολὴν ἀθεμίτου πράξεως. τοὺς γὰρ ἀφ' ἑκάστης κώμης ἐπισήμους ἄνδρας ἐξ ὅλης Ἰουδαίας συναγαγὼν εἰς τὸν καλούμενον ἱππόδρομον ἐκέλευσε συγκλεῖσαι. 13. προσκαλεσάμενος δὲ Σαλώμην τὴν ἀδελφὴν καὶ τὸν ἄνδρα ταύτης Ἀλέξανδρον ʽοἶδαʼ ἔφη ʽἸουδαίους τὸν ἐμὸν ἑορτάσοντας θάνατον. δύναμαι δὲ πενθεῖσθαι δι' ἑτέρων καὶ λαμπρὸν ἐπιτάφιον σχεῖν, ἂν ὑμεῖς θελήσητε ταῖς ἐμαῖς ἐντολαῖς ὑπουργῆσαι. τοὺς δὲ φρουρουμένους ἄνδρας, ἐπειδὰν ἐκπνεύσω, τάχιστα κτείνατε περιστήσαντες τοὺς στρατιώτας, ἵνα πᾶσα Ἰουδαία καὶ πᾶς οἶκος καὶ ἄκων ἐπ' ἐμοὶ δακρύσῃ.'" 14. καὶ μετὰ βραχέα φησίν "αὖθις δὲ, καὶ γὰρ ἐνδείᾳ τροφῆς καὶ βηχὶ σπασμώδει διετείνετο, τῶν ἀλγηδόνων ἡττηθεὶς φθάσαι τὴν εἱμαρμένην ἐπεβάλετο. λαβὼν δὲ μῆλον ᾔτησε καὶ μαχαίριον· εἰώθει γὰρ ἀποτέμνων ἐσθίειν· ἔπειτα περιαθρήσας, μή τις ὁ κωλύων αὐτὸν εἴη, ἐπῆρε τὴν δεξιὰν ὡς πλήξων ἑαυτόν." 15. ἐπὶ δὲ τούτοις ὁ αὐτὸς ἱστορεῖ συγγραφεὺς ἕτερον αὐτοῦ γνήσιον παῖδα πρὸ τῆς ἐσχάτης τοῦ βίου τελευτῆς, τρίτον ἐπὶ δυσὶν ἤδη προανῃρημένοις, δι' ἐπιτάξεως ἀνελόντα παραχρῆμα τὴν ζωὴν οὐ μετὰ σμικρῶν ἀλγηδόνων ἀπορρῆξαι. 16. καὶ τοιοῦτο μὲν τὸ πέρας τῆς Ἡρώδου γέγονε τελευτῆς, ποινὴν δικαίαν ἐκτίσαντος ὧν ἀμφὶ τὴν Βηθλεὲμ ἀνεῖλε παίδων, τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιβουλῆς ἕνεκα. μεθ' ἣν ἄγγελος ὄναρ ἐπιστὰς ἐν Αἰγύπτῳ διατρίβοντι τῷ Ἰωσὴφ ἀπᾶραι ἅμα τῷ παιδὶ καὶ τῇ τούτου μητρὶ ἐπὶ τὴν Ἰουδαίαν παρακελεύεται, τεθνηκέναι δηλῶν τοὺς ἀναζητοῦντας τὴν ψυχὴν τοῦ παι-

20 Ioseph. A. I. XVII, 7. B. I. I, 33, 7.

δίου. τούτοις δ' ὁ εὐαγγελιστὴς ἐπιφέρει λέγων "ἀκούσας δ' ὅτι Ἀρχέλαος βασιλεύει τῆς Ἰουδαίας ἀντὶ τοῦ πατρὸς αὐτοῦ Ἡρώδου ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ' ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας."

IX. Τῇ δ' ἐπὶ τὴν ἀρχὴν μετὰ τὸν Ἡρώδην τοῦ Ἀρχελάου καταστάσει συνᾴδει καὶ ὁ προειρημένος ἱστορικὸς, τόν τε τρόπον ἀναγράφων, καθ' ὃν ἐκ διαθηκῶν Ἡρώδου τοῦ πατρὸς, ἐπικρίσεώς τε Καίσαρος Αὐγούστου, τὴν κατὰ Ἰουδαίων βασιλείαν διεδέξατο, καὶ ὡς τῆς ἀρχῆς μετὰ δεκαέτη χρόνον ἀποπεσόντος οἱ ἀδελφοὶ Φίλιππός τε καὶ ὁ νέος Ἡρώδης ἅμα Λυσανίᾳ τὰς ἑαυτῶν διεῖπον τετραρχίας. 2. ὁ δ' αὐτὸς ἐν ὀκτωκαιδεκάτῳ τῆς ἀρχαιολογίας κατὰ τὸ δωδέκατον ἔτος τῆς Τιβερίου βασιλείας (τοῦτον γὰρ τὴν καθ' ὅλων ἀρχὴν διαδέξασθαι ἑπτὰ ἐπὶ πεντήκοντα ἔτεσι τὴν ἡγεμονίαν ἐπικρατήσαντος Αὐγούστου) Πόντιον Πιλᾶτον ἐπιτραπῆναι δηλοῖ τὴν Ἰουδαίαν, ἐνταῦθα δὲ ἐφ' ὅλοις ἔτεσι δέκα σχεδὸν εἰς αὐτὴν παραμεῖναι τὴν Τιβερίου τελευτήν. 3. οὐκοῦν σαφῶς ἀπελήλεγκται τὸ πλάσμα τῶν κατὰ τοῦ σωτῆρος ἡμῶν ὑπομνήματα χθὲς καὶ πρώην διαδεδωκότων, ἐν οἷς πρῶτος αὐτὸς ὁ τῆς παρασημειώσεως χρόνος τῶν πεπλακότων ἀπελέγχει τὸ ψεῦδος. 4. ἐπὶ τῆς τετάρτης γοῦν ὑπατείας Τιβερίου, ἣ γέγονεν ἔτους ἑβδόμου τῆς βασιλείας αὐτοῦ, τὰ περὶ τὸ σωτήριον πάθος αὐτοῖς τολμηθέντα περιέχει, καθ' ὃν δείκνυται χρόνον μηδ' ἐπιστάς πω τῇ Ἰουδαίᾳ Πιλᾶτος, εἴ γε τῷ Ἰωσήπῳ μάρτυρι χρήσασθαι δέον, σαφῶς

---

2 Matth. 2, 22. 8 A. I. XVII, 8. B. I. I, 33, 9.
18 A. I. XVIII, 2, 2.

οὕτω σημαίνοντι κατὰ τὴν δηλωθεῖσαν αὐτοῦ γραφὴν ὅτι δὴ δωδεκάτῳ ἐνιαυτῷ τῆς Τιβερίου βασιλείας ἐπίτροπος τῆς Ἰουδαίας ὑπὸ Τιβερίου καθίσταται Πιλᾶτος.

X. [Nic. H. E. I, 18. 29.] Ἐπὶ τούτων δὴ οὖν κατὰ τὸν εὐαγγελιστὴν ἔτος πεντεκαιδέκατον Τιβερίου Καίσαρος ἄγοντος, τέταρτον δὲ τῆς ἡγεμονίας Ποντίου Πιλάτου, τῆς τε λοιπῆς Ἰουδαίας τετραρχούντων Ἡρώδου καὶ Λυσανίου καὶ Φιλίππου, ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ, ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα, ἐπὶ τὸ Ἰωάννου βάπτισμα παραγίνεται, καταρχήν τε ποιεῖται τηνικαῦτα τοῦ κατὰ τὸ εὐαγγέλιον κηρύγματος. 2. φησὶ δὲ αὐτὸν ἡ θεία γραφὴ τὸν πάντα τῆς διδασκαλίας διατελέσαι χρόνον ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα, δηλοῦσα ὅτι δὴ ἐν τοῖς μεταξὺ τῆς τούτων ἔτεσι λειτουργίας ὁ πᾶς τῆς διδασκαλίας αὐτῷ συνεπεράνθη χρόνος· ἀρξαμένου μὲν κατὰ τὴν τοῦ Ἄννα ἀρχιερωσύνην, μέχρι δὲ τῆς ἀρχῆς τοῦ Καϊάφα παραμείναντος, οὐδ' ὅλος ὁ μεταξὺ τετραέτης παρίσταται χρόνος. 3. τῶν γάρ τοι κατὰ τὸν νόμον ἤδη πως καθῃρημένων ἐξ ἐκείνου θεσμῶν, λέλυτο μέν, ᾧ διὰ βίου καὶ ἐκ προγόνων διαδοχῆς τὰ τῆς τοῦ θεοῦ θεραπείας προσήκοντα ἦν, ὑπὸ δὲ τῶν Ῥωμαϊκῶν ἡγεμόνων ἄλλοτ' ἄλλοι τὴν ἀρχιερωσύνην ἐπιτρεπόμενοι οὐ πλέον ἔτους ἑνὸς ἐπὶ ταύτης διετέλουν. 4. ἱστορεῖ δ' οὖν ὁ Ἰώσηπος τέσσαρας κατὰ διαδοχὴν ἐπὶ Καϊάφαν ἀρχιερεῖς μετὰ τὸν Ἄνναν διαγενέσθαι, κατὰ τὴν αὐτὴν τῆς ἀρχαιολογίας γραφὴν ὧδέ πως λέγων "Οὐαλέριος Γρᾶτος, παύσας "ἱερᾶσθαι Ἄνανον, Ἰσμάηλον ἀρχιερέα ἀποφαίνει τὸν

---

29 A. I. XVIII, 2, 2.

"τοῦ Φαβί. καὶ τοῦτον δὲ μετ' οὐ πολὺ μεταστήσας "Ἐλεάζαρον τὸν Ἀνάνου τοῦ ἀρχιερέως υἱὸν ἀποδεί-"κνυσιν ἀρχιερέα. ἐνιαυτοῦ δὲ διαγενομένου καὶ "τόνδε παύσας Σίμωνι τῷ Καμίθου τὴν ἀρχιερω-"σύνην παραδίδωσιν. οὐ πλέον δὲ καὶ τῷδε ἐνιαυτοῦ "τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ Ἰώσηπος, ὁ "καὶ Καϊάφας, διάδοχος ἦν αὐτῷ." 6. οὐκοῦν ὁ σύμπας οὐδ' ὅλος τετραέτης ἀποδείκνυται τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας χρόνος, τεσσάρων ἐπὶ τέσσαρσιν ἔτεσιν ἀρχιερέων ἀπὸ τοῦ Ἄννα καὶ ἐπὶ τὴν τοῦ Καϊάφα κατάστασιν ἐνιαύσιον λειτουργίαν διατετελεκότων. τόν γέ τοι Καϊάφαν ἀρχιερέα εἰκότως τοῦ ἐνιαυτοῦ, καθ' ὃν τὰ τοῦ σωτηρίου πάθους ἐπετελεῖτο, ἡ τοῦ εὐαγγελίου παρεσημήνατο γραφή, ἐξ ἧς καὶ αὐτῆς οὐκ ἀπᾴδων τῆς προκειμένης ἐπιτηρήσεως ὁ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἀποδείκνυται χρόνος. 7. ἀλλὰ γὰρ ὁ σωτὴρ καὶ κύριος ἡμῶν οὐ μετὰ πλεῖστον τῆς καταρχῆς τοῦ κηρύγματος τοὺς δώδεκα ἀποστόλους ἀνακαλεῖται, οὓς καὶ μόνους τῶν λοιπῶν αὐτοῦ μαθητῶν κατά τι γέρας ἐξαίρετον ἀποστόλους ὠνόμασεν. καὶ αὖθις ἀναδείκνυσιν ἑτέρους ἑβδομήκοντα, οὓς καὶ αὐτοὺς ἀπέστειλεν ἀνὰ δύο δύο πρὸ προσώπου αὐτοῦ εἰς πάντα τόπον καὶ πόλιν οὗ ἤμελλεν αὐτὸς ἔρχεσθαι.

XI. [Nic. H, E. I, 19. 20.] Οὐκ εἰς μακρὸν δὲ τοῦ βαπτιστοῦ Ἰωάννου ὑπὸ τοῦ νέου Ἡρώδου τὴν κεφαλὴν ἀποτμηθέντος μνημονεύει μὲν καὶ ἡ θεία τῶν εὐαγγελίων γραφή· συνιστορεῖ γε μὴν καὶ ὁ Ἰώσηπος, ὀνομαστὶ τῆς τε Ἡρωδιάδος μνήμην πεποιημένος καὶ ὡς ἀδελφοῦ γυναῖκα οὖσαν αὐτὴν ἠγάγετο

29 A. I. XVIII, 5.

πρὸς γάμον Ἡρώδης, ἀθετήσας μὲν τὴν προτέραν αὐτῷ κατὰ νόμους γεγενημένην (Ἀρέτα δ' ἦν αὕτη τοῦ Πετραίων βασιλέως θυγάτηρ), τὴν δὲ Ἡρωδιάδα ζῶντος διαστήσας τοῦ ἀνδρός· δι' ἣν καὶ τὸν Ἰωάννην ἀνελὼν πόλεμον αἴρεται πρὸς τὸν Ἀρέταν, ὡσὰν ἠτιμασμένης αὐτῷ τῆς θυγατρός. 2. ἐν ᾧ πολέμῳ μάχης γενομένης πάντα φησὶ τὸν Ἡρώδου στρατὸν διαφθαρῆναι, καὶ ταῦτα πεπονθέναι τῆς ἐπιβουλῆς ἕνεκεν τῆς κατὰ τοῦ Ἰωάννου γεγενημένης. 3. ὁ δ' αὐτὸς Ἰώσηπος ἐν τοῖς μάλιστα δικαιότατον καὶ βαπτιστὴν ὁμολογῶν γεγονέναι τὸν Ἰωάννην, τοῖς περὶ αὐτοῦ κατὰ τὴν τῶν εὐαγγελίων γραφὴν ἀναγεγραμμένοις συμμαρτυρεῖ. ἱστορεῖ δὲ καὶ τὸν Ἡρώδην τῆς βασιλείας ἀποπεπτωκέναι διὰ τὴν αὐτὴν Ἡρωδιάδα, μεθ' ἧς αὐτὸν καὶ εἰς τὴν ὑπερορίαν ἀπεληλάσθαι, Βίενναν τῆς Γαλλίας οἰκεῖν καταδικασθέντα. 4. καὶ ταῦτά γε αὐτῷ ἐν ὀκτωκαιδεκάτῳ τῆς ἀρχαιολογίας δεδήλωται, ἔνθα συλλαβαῖς αὐταῖς περὶ τοῦ Ἰωάννου ταῦτα γράφει "τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἡρώδου στρατὸν ὑπὸ τοῦ θεοῦ, καὶ μάλα "δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ κα"λουμένου βαπτιστοῦ. 5. κτείνει γὰρ τοῦτον Ἡρώ"δης, ἀγαθὸν ἄνδρα καὶ τοῖς Ἰουδαίοις κελεύοντα, "ἀρετὴν ἐπασκοῦσι καὶ τὰ πρὸς ἀλλήλους δικαιοσύνῃ "καὶ πρὸς τὸν θεὸν εὐσεβείᾳ χρωμένοις βαπτισμῷ "συνιέναι. οὕτω γὰρ δὴ καὶ τὴν βάπτισιν ἀποδεκτὴν "αὐτῷ φανεῖσθαι, μὴ ἐπί τινων ἁμαρτάδων παραι"τήσει χρωμένων, ἀλλ' ἐφ' ἁγνείᾳ τοῦ σώματος, ἅτε "δὴ καὶ τῆς ψυχῆς δικαιοσύνῃ προεκκεκαθαρμένης. "6. καὶ τῶν ἄλλων συστρεφομένων (καὶ γὰρ ἥσθησαν

---

19 A. I. VIII, 5, 2.

"ἐπὶ πλεῖστον τῇ ἀκροάσει τῶν λόγων), δείσας Ἡρώδης τὸ ἐπὶ τοσόνδε πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις, μὴ ἐπὶ ἀποστάσει τινὶ φέροι, (πάντα γὰρ ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράξοντες), πολὺ κρεῖττον ἡγεῖται, πρίν τι νεώτερον ἀπ' αὐτοῦ γενέσθαι, προλαβὼν ἀναιρεῖν, ἢ μεταβολῆς γενομένης εἰς πράγματα ἐμπεσὼν μετανοεῖν. καὶ ὁ μὲν ὑποψίᾳ τῇ Ἡρώδου δέσμιος εἰς τὸν Μαχαιροῦντα πεμφθεὶς, τὸ προειρημένον φρούριον, ταύτῃ κτίννυται." 7. ταῦτα περὶ τοῦ Ἰωάννου διελθὼν καὶ τοῦ σωτῆρος ἡμῶν κατὰ τὴν αὐτὴν τοῦ συγγράμματος ἱστορίαν ὧδέ πως μέμνηται "γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνὴρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων ἔργων ποιητὴς, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων, καὶ πολλοὺς μὲν τῶν Ἰουδαίων, πολλοὺς δὲ καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. 8. ὁ Χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων. εἰσέτι τε νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον." 9. ταῦτα τοῦ ἐξ αὐτῶν Ἑβραίων συγγραφέως ἀνέκαθεν τῇ ἑαυτοῦ γραφῇ περί τε τοῦ βαπτιστοῦ Ἰωάννου καὶ τοῦ σωτῆρος ἡμῶν παραδεδωκότος, τίς ἂν ἔτι λείποιτο ἀποφυγὴ τοῦ μὴ ἀναισχύντους ἀπελέγχεσθαι τοὺς τὰ κατ' αὐτῶν πλασαμένους ὑπομνήματα; ἀλλὰ ταῦτα μὲν ἐχέτω ταύτῃ.

XII. [Nic. H. E. I, 21. 22.] Τῶν γε μὴν τοῦ σω-

---

12 A. I. XVIII, 3, 3. Conf. Eus. Dem. Evang. 3, 3. p. 124.

τῆρος ἀποστόλων παντί τῳ σαφὴς ἐκ τῶν εὐαγγελίων ἡ πρόσρησις. τῶν δ' ἑβδομήκοντα μαθητῶν κατάλογος μὲν οὐδεὶς οὐδαμῇ φέρεται· λέγεταί γε μὴν εἷς αὐτῶν Βαρνάβας γεγονέναι, οὗ διαφόρως μὲν καὶ αἱ Πράξεις τῶν ἀποστόλων ἐμνημόνευσαν, οὐχ ἥκιστα δὲ καὶ ὁ Παῦλος Γαλάταις γράφων. τούτων δ' εἶναί φασι καὶ Σωσθένην τὸν ἅμα Παύλῳ Κορινθίοις ἐπιστείλαντα. 2. ἡ δ' ἱστορία παρὰ Κλήμεντι κατὰ τὴν πέμπτην τῶν Ὑποτυπώσεων, ἐν ᾗ καὶ Κηφᾶν, περὶ οὗ φησιν ὁ Παῦλος "ὅτε δὲ ἦλθε Κηφᾶς εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην," ἕνα φησὶ γεγονέναι τῶν ἑβδομήκοντα μαθητῶν, ὁμώνυμον Πέτρῳ τυγχάνοντα τῷ ἀποστόλῳ. 3. καὶ Ματθίαν δὲ τὸν ἀντὶ Ἰούδα τοῖς ἀποστόλοις συγκαταλεγέντα, τόν τε σὺν αὐτῷ τῇ ὁμοίᾳ ψήφῳ τιμηθέντα, τῆς αὐτῆς τῶν ἑβδομήκοντα κλήσεως ἠξιῶσθαι κατέχει λόγος. καὶ Θαδδαῖον δὲ ἕνα τῶν αὐτῶν εἶναί φασι, περὶ οὗ καὶ ἱστορίαν ἐλθοῦσαν εἰς ἡμᾶς αὐτίκα μάλα ἐκθήσομαι. 4. καὶ τῶν ἑβδομήκοντα δὲ πλείους τοῦ σωτῆρος πεφηνέναι μαθητὰς εὕροις ἂν ἐπιτηρήσας, μάρτυρι χρώμενος τῷ Παύλῳ, μετὰ τὴν ἐκ νεκρῶν ἔγερσιν ὦφθαι αὐτὸν φήσαντι πρῶτον μὲν Κηφᾷ, ἔπειτα τοῖς δώδεκα, καὶ μετὰ τούτους ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ὧν τινὰς μὲν ἔφασκε κεκοιμῆσθαι, τοὺς πλείους δ' ἔτι τῷ βίῳ, καθ' ὃν καιρὸν αὐτῷ ταῦτα συνετάττετο, περιεῖναι. 5. ἔπειτα δ' ὦφθαι αὐτὸν Ἰακώβῳ φησίν· εἷς δὲ καὶ οὗτος τῶν φερομένων τοῦ σωτῆρος ἀδελφῶν ἦν. εἶθ' ὡς παρὰ τούτους κατὰ μίμησιν τῶν δώδεκα πλείστων ὅσων ὑπαρξάντων ἀποστόλων, οἷος καὶ αὐτὸς ὁ Παῦλος ἦν,

---

6 Galat. 2, 1. 7 Corinth. 1, 1. 10 Galat. 2, 11. 13 Act. 1, 26. 21 Corr. 15, 5.

προστίθησι λέγων "ἔπειτα ὤφθη τοῖς ἀποστόλοις πᾶσι." ταῦτα μὲν οὖν περὶ τῶνδε. τῆς δὲ περὶ τὸν Θαδδαῖον ἱστορίας τοιοῦτος γέγονεν ὁ τρόπος.

XIII. [Nic. H. E. II, 7. et Euagr. IV, 29.] Ἡ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θειότης, εἰς πάντας ἀνθρώπους τῆς παραδοξοποιοῦ δυνάμεως ἕνεκεν βοωμένη, μυρίους ὅσους καὶ τῶν ἐπ' ἀλλοδαπῆς πορρωτάτω τε τῆς Ἰουδαίας νόσων καὶ παντοίων παθῶν ἐλπίδι θεραπείας ἐπήγετο. 2. ταύτῃ τοι βασιλεὺς Ἄβγαρος, τῶν ὑπὲρ Εὐφράτην ἐθνῶν ἐπισημότατα δυναστεύων, πάθει τὸ σῶμα δεινῷ καὶ οὐ θεραπευτῷ ὅσον ἐπ' ἀνθρωπείᾳ δυνάμει καταφθειρόμενος, ὡς καὶ τοὔνομα τοῦ Ἰησοῦ πολὺ καὶ τὰς δυνάμεις συμφώνως πρὸς ἁπάντων μαρτυρουμένας ἐπύθετο, ἱκέτης αὐτοῦ πέμψας δι' ἐπιστοληφόρου γίνεται, τῆς νόσου τυχεῖν ἀπαλλαγῆς ἀξιῶν. 3. ὁ δὲ μὴ τότε καλοῦντι ὑπακούσας ἐπιστολῆς γοῦν αὐτὸν ἰδίας καταξιοῖ, ἕνα τῶν αὐτοῦ μαθητῶν ἀποστέλλειν ἐπὶ θεραπείᾳ τῆς νόσου, ὁμοῦ τε αὐτοῦ σωτηρίαν καὶ τῶν προσηκόντων ἁπάντων ὑπισχνούμενος. 4. οὐκ εἰς μακρὰν δὲ ἄρα αὐτῷ ἐπληροῦτο τὰ τῆς ἐπαγγελίας. μετὰ γοῦν τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον Θωμᾶς, τῶν ἀποστόλων εἷς τῶν δώδεκα, Θαδδαῖον, ἐν ἀριθμῷ καὶ αὐτὸν τῶν ἑβδομήκοντα τοῦ Χριστοῦ μαθητῶν κατειλεγμένον, κινήσει θειοτέρᾳ ἐπὶ τὴν Ἔδεσσαν κήρυκα καὶ εὐαγγελιστὴν τῆς περὶ τοῦ Χριστοῦ διδασκαλίας ἐκπέμπει, πάντα τε δι' αὐτοῦ τὰ τῆς τοῦ σωτῆρος ἡμῶν τέλος ἐλάμβανεν ἐπαγγελίας. ἔχεις καὶ τούτων ἀνάγραπτον τὴν μαρτυρίαν, ἐκ τῶν κατὰ Ἔδεσσαν τὸ τηνικαῦτα βασιλευομένην πόλιν γραμματοφυλακείων ληφθεῖσαν. ἐν γοῦν τοῖς αὐτόθι δημοσίοις χάρταις, τοῖς τὰ παλαιὰ

καὶ τὰ ἀμφὶ τὸν Ἄβγαρον πραχθέντα περιέχουσι, καὶ ταῦτα εἰσέτι νῦν ἐξ ἐκείνου πεφυλαγμένα εὕρηται. οὐδὲν δὲ οἷον καὶ αὐτῶν ἐπακοῦσαι τῶν ἐπιστολῶν, ἀπὸ τῶν ἀρχείων ἡμῖν ἀναληφθεισῶν, καὶ τόνδε αὐτοῖς ῥήμασιν ἐκ τῆς Σύρων φωνῆς μεταβληθεισῶν τὸν τρόπον.

Ἀντίγραφον ἐπιστολῆς γραφείσης ὑπὸ Ἀβγάρου τοπάρχου τῷ Ἰησοῦ, καὶ πεμφθείσης αὐτῷ δι᾽ Ἀνανία ταχυδρόμου εἰς Ἱεροσόλυμα.

6. "Ἄβγαρος τοπάρχης Ἐδέσσης Ἰησοῦ σωτῆρι "ἀγαθῷ ἀναφανέντι ἐν τόπῳ Ἱεροσολύμων χαίρειν. "ἤκουσταί μοι τὰ περὶ σοῦ καὶ τῶν σῶν ἰαμάτων, ὡς "ἄνευ φαρμάκων καὶ βοτανῶν ὑπὸ σοῦ γινομένων. "ὡς γὰρ λόγος, τυφλοὺς ἀναβλέπειν ποιεῖς, χωλοὺς "περιπατεῖν, καὶ λεπροὺς καθαρίζεις, καὶ ἀκάθαρτα "πνεύματα καὶ δαίμονας ἐκβάλλεις, καὶ τοὺς ἐν μα-"κρονοσίᾳ βασανιζομένους θεραπεύεις, καὶ νεκροὺς "ἐγείρεις. 7. καὶ ταῦτα πάντα ἀκούσας περὶ σοῦ κατὰ "νοῦν ἐθέμην τὸ ἕτερον τῶν δύο, ἢ ὅτι σὺ εἶ ὁ θεὸς "καὶ καταβὰς ἀπὸ τοῦ οὐρανοῦ ποιεῖς ταῦτα, ἢ υἱὸς "εἶ τοῦ θεοῦ ποιῶν ταῦτα. 8. διὰ τοῦτο τοίνυν γρά-"ψας ἐδεήθην σου σκυλῆναι πρὸς ἐμὲ, καὶ τὸ πάθος, "ὃ ἔχω, θεραπεῦσαι. καὶ γὰρ ἤκουσα ὅτι καὶ Ἰουδαῖοι "καταγογγύζουσί σου καὶ βούλονται κακῶσαί σε. πόλις "δὲ μικροτάτη μοί ἐστι καὶ σεμνὴ, ἥτις ἐξαρκεῖ ἀμφο-"τέροις."

9. [Καὶ ταῦτα μὲν οὕτως ἔγραψε, τῆς θείας αὐτὸν τέως μικρὸν αὐγασάσης ἐλλάμψεως. ἄξιον δὲ καὶ τῆς πρὸς τοῦ Ἰησοῦ αὐτῷ διὰ τοῦ αὐτοῦ γραμματοκομιστοῦ ἀποσταλείσης ἐπακοῦσαι ὀλιγοστίχου μὲν, πολυδυνάμου δὲ ἐπιστολῆς, τοῦτον ἐχούσης καὶ αὐτῆς τὸν τρόπον.]

Τὰ ἀντιγραφέντα ὑπὸ Ἰησοῦ διὰ Ἀνανία ταχυδρόμου τοπάρχῃ Ἀβγάρῳ.

10. "Μακάριος εἶ πιστεύσας ἐν ἐμοὶ μὴ ἑωρακώς με. γέγραπται γὰρ περὶ ἐμοῦ τοὺς ἑωρακότας με μὴ πιστεύσειν μοι, καὶ ἵνα οἱ μὴ ἑωρακότες αὐτοὶ πιστεύσωσι καὶ ζήσωνται. περὶ δὲ οὗ ἔγραψάς μοι ἐλθεῖν πρὸς σέ, δέον ἐστὶ πάντα, δι' ἃ ἀπεστάλην, ἐνταῦθα πληρῶσαί με, καὶ μετὰ τὸ πληρῶσαι οὕτως ἀναληφθῆναι πρὸς τὸν ἀποστείλαντά με. καὶ ἐπειδὰν ἀναληφθῶ, ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ἵνα ἰάσηταί σου τὸ πάθος καὶ ζωήν σοι καὶ τοῖς σὺν σοὶ παράσχηται."

11. Ταύταις δὲ ταῖς ἐπιστολαῖς ἔτι καὶ ταῦτα συνῆπτο τῇ Σύρων φωνῇ. μετὰ δὲ τὸ ἀναληφθῆνα τὸν Ἰησοῦν ἀπέστειλεν αὐτῷ Ἰούδας ὁ καὶ Θωμᾶς Θαδδαῖον ἀπόστολον, ἕνα τῶν ἑβδομήκοντα· ὃς ἐλθὼν κατέμενε πρὸς Τωβίαν τὸν τοῦ Τωβία. ὡς δὲ ἠκούσθη περὶ αὐτοῦ, ἐμηνύθη τῷ Ἀβγάρῳ ὅτι ἐλήλυθεν ἐνταῦθα ἀπόστολος τοῦ Ἰησοῦ, καθὰ ἐπέστειλέ σοι. 12. ἤρξατο οὖν ὁ Θαδδαῖος ἐν δυνάμει θεοῦ θεραπεύειν πᾶσαν νόσον καὶ μαλακίαν, ὥστε πάντας θαυμάζειν· ὡς δὲ ἤκουσεν ὁ Ἄβγαρος τὰ μεγαλεῖα καὶ τὰ θαυμάσια, ἃ ἐποίει, καὶ ὡς ἐθεράπευεν, ἐν ὑπονοίᾳ γέγονεν ὡς ὅτι αὐτός ἐστι, περὶ οὗ ὁ Ἰησοῦς ἐπέστειλε λέγων, ἐπειδὰν ἀναληφθῶ, ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ὃς τὸ πάθος σου ἰάσετει. 13. μετακαλεσάμενος οὖν τὸν Τωβίαν, παρ' ᾧ κατέμενεν, εἶπεν, ἤκουσα ὅτι ἀνήρ τις δυνάστης ἐλθὼν κατέμεινεν ἐν τῇ σῇ οἰκίᾳ· ἀνάγαγε αὐτὸν πρὸς ἐμέ. ἐλθὼν δὲ ὁ Τωβίας παρὰ Θαδδαίῳ εἶπεν αὐτῷ, ὁ τοπάρχης Ἄβγαρος μετακαλεσάμενός με εἶπεν ἀναγα-

γεῖν σε παρ' αὐτῷ, ἵνα θεραπεύσῃς αὐτοῦ τὸ πάθος. καὶ ὁ Θαδδαῖος, ἀναβαίνω, ἔφη, ἐπειδήπερ δυνάμει παρ' αὐτῷ ἀπέσταλμαι. 14. ὀρθρίσας οὖν ὁ Τωβίας τῇ ἑξῆς καὶ παραλαβὼν τὸν Θαδδαῖον ἦλθε πρὸς τὸν Ἄβγαρον· ὡς δὲ ἀνέβη, παρόντων καὶ ἑστώτων τῶν μεγιστάνων αὐτοῦ, παραχρῆμα ἐν τῷ εἰσιέναι αὐτὸν ὅραμα μέγα ἐφάνη τῷ Ἀβγάρῳ ἐν τῷ προσώπῳ τοῦ ἀποστόλου Θαδδαίου. ὅπερ ἰδὼν Ἄβγαρος προσεκύνησε τῷ Θαδδαίῳ, θαῦμά τε ἔσχε πάντας τοὺς περιεστῶτας· αὐτοὶ γὰρ οὐχ ἑωράκεσαν τὸ ὅραμα, ὃ μόνῳ τῷ Ἀβγάρῳ ἐφάνη. 15. ὃς καὶ τὸν Θαδδαῖον ἤρετο, εἰ ἐπ' ἀληθείας μαθητὴς εἶ Ἰησοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, ὃς εἰρήκει πρὸς ἐμέ "ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ὅστις ἰάσεταί σε καὶ ζωήν σοι παρέξει." καὶ ὁ Θαδδαῖος ἔφη "ἐπεὶ μεγάλως πεπίστευκας εἰς τὸν ἀποστείλαντά με, διὰ τοῦτο ἀπεστάλην πρὸς σέ. καὶ πάλιν ἐὰν πιστεύσῃς ἐν αὐτῷ, ὡς ἂν πιστεύσῃς ἔσται σοι τὰ αἰτήματα τῆς καρδίας σου." 16. καὶ ὁ Ἄβγαρος πρὸς αὐτόν "οὕτως ἐπίστευσα, φησίν, ἐν αὐτῷ, ὡς καὶ τοὺς Ἰουδαίους τοὺς σταυρώσαντας αὐτὸν βουληθῆναι δύναμιν παραλαβὼν κατακόψαι, εἰ μὴ διὰ τὴν βασιλείαν τὴν Ῥωμαίων ἀνεκόπην τούτου." καὶ ὁ Θαδδαῖος εἶπεν "ὁ κύριος ἡμῶν τὸ θέλημα τοῦ πατρὸς αὐτοῦ πεπλήρωκε, καὶ πληρώσας ἀνελήφθη πρὸς τὸν πατέρα." 17. λέγει αὐτῷ Ἄβγαρος "κἀγὼ πεπίστευκα εἰς αὐτὸν καὶ εἰς τὸν πατέρα αὐτοῦ." καὶ ὁ Θαδδαῖος "διὰ τοῦτο, φησί, τίθημι τὴν χεῖρά μου ἐπὶ σὲ ἐν ὀνόματι αὐτοῦ." καὶ τοῦτο πράξαντος παραχρῆμα ἐθεραπεύθη τῆς νόσου καὶ τοῦ πάθους οὗ εἶχεν. 18. ἐθαύμασέ τε ὁ Ἄβγαρος, ὅτι καθὼς ἤκουσται αὐτῷ περὶ τοῦ Ἰησοῦ, οὕτως τοῖς ἔργοις παρέλαβε διὰ τοῦ μαθητοῦ αὐτοῦ Θαδδαίου, ὃς αὐτὸν ἄνευ φαρμακείας

καὶ βοτανῶν ἐθεράπευσεν, καὶ οὐ μόνον, ἀλλὰ καὶ Ἄβδον τὸν τοῦ Ἄβδου ποδάγραν ἔχοντα, ὃς καὶ αὐτὸς προσελθὼν ὑπὸ τοὺς πόδας αὐτοῦ ἔπεσεν, εὐχάς τε διὰ χειρὸς λαβὼν ἐθεραπεύθη· πολλούς τε ἄλλους συμπολίτας αὐτῶν ὁ αὐτὸς ἰάσατο, θαυμαστὰ καὶ μεγάλα ποιῶν, καὶ κηρύσσων τὸν λόγον τοῦ θεοῦ. 19. μετὰ δὲ ταῦτα ὁ Ἄβγαρος "σὺ Θαδδαῖε, ἔφη, σὺν δυνάμει τοῦ θεοῦ ταῦτα ποιεῖς, καὶ ἡμεῖς σε αὐτοὶ ἐθαυμάσαμεν. ἀλλ' ἐπὶ τούτοις δέομαί σου, διήγησαί μοι περὶ τῆς ἐλεύσεως τοῦ Ἰησοῦ πῶς ἐγένετο, καὶ περὶ τῆς δυνάμεως αὐτοῦ, καὶ ἐν ποίᾳ δυνάμει ταῦτα ἐποίει, ἅτινα ἠκούσαμεν." 20. καὶ ὁ Θαδδαῖος "νῦν μὲν σιωπήσομαι, ἔφη, ἐπειδὴ κηρῦξαι τὸν λόγον ἀπεστάλην, αὔριον δὲ ἐκκλησίασόν μοι τοὺς πολίτας σου πάντας, καὶ ἐπ' αὐτῶν κηρύξω τὸν λόγον τοῦ θεοῦ, καὶ σπερῶ ἐν αὐτοῖς τὸν λόγον τῆς ζωῆς, περί τε τῆς ἐλεύσεως τοῦ Ἰησοῦ καθὼς ἐγένετο, καὶ περὶ τῆς ἀποστολῆς αὐτοῦ, καὶ ἕνεκα τίνος ἀπεστάλη ὑπὸ τοῦ πατρός, καὶ περὶ τῆς δυνάμεως τῶν ἔργων αὐτοῦ, καὶ μυστηρίων ὧν ἐλάλησεν ἐν τῷ κόσμῳ, καὶ ποίᾳ δυνάμει ταῦτα ἐποίει, καὶ περὶ τῆς καινῆς αὐτοῦ κηρύξεως, καὶ περὶ τῆς σμικρότητος καὶ περὶ τῆς ταπεινώσεως αὐτοῦ, καὶ πῶς ἐταπείνωσεν ἑαυτὸν καὶ ἀπέθανε καὶ ἐσμίκρυνεν αὐτοῦ τὴν θεότητα καὶ ἐσταυρώθη, καὶ κατέβη εἰς τὸν Ἅιδην, καὶ διέσχισε φραγμὸν τὸν ἐξ αἰῶνος μὴ σχισθέντα, καὶ ἀνήγαγεν νεκρούς· καταβὰς γὰρ μόνος συνήγειρεν πολλούς, εἶθ' οὕτως ἀνέβη πρὸς τὸν πατέρα αὐτοῦ. 21. ἐκέλευσεν οὖν ὁ Ἄβγαρος τῇ ἕωθεν συνάξαι τοὺς πολίτας αὐτοῦ καὶ ἀκοῦσαι τὴν κήρυξιν Θαδδαίου, καὶ μετὰ ταῦτα προσέταξεν αὐτῷ δοθῆναι χρυσὸν καὶ ἄσημον. ὁ δὲ οὐκ ἐδέξατο εἰπών "εἰ τὰ ἡμέτερα καταλελοίπαμεν,

πῶς τὰ ἀλλότρια ληψόμεθα;" 22. ἐπράχθη ταῦτα τεσσαρακοστῷ καὶ τριακοσιοστῷ ἔτει, ἃ καὶ οὐκ εἰς ἄχρηστον πρὸς λέξιν ἐκ τῆς Σύρων μεταβληθέντα φωνῆς ἐνταῦθά μοι κατὰ καιρὸν κείσθω.

ΛΟΓΟΣ Β.

[Προοίμιον.] Ὅσα μὲν τῆς ἐκκλησιαστικῆς ἱστορίας ἐχρῆν ὡς ἐν προοιμίῳ διαστείλασθαι, τῆς τε θεολογίας πέρι τοῦ σωτηρίου λόγου καὶ τῆς ἀρχαιολογίας τῶν τῆς ἡμετέρας διδασκαλίας δογμάτων, ἀρχαιότητός τε τῆς κατὰ Χριστιανοὺς εὐαγγελικῆς πολιτείας, οὐ μὴν ἀλλὰ καὶ ὅσα περὶ τῆς γενομένης ἔναγχος ἐπιφανείας αὐτοῦ, τά τε περὶ τοῦ πάθους καὶ τὰ περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς ἐν τῷ πρὸ τούτου, συντεμόντες τὰς ἀποδείξεις διειλήφαμεν. 2. φέρε δ' ἐπὶ τοῦ παρόντος ἤδη καὶ τὰ μετὰ τὴν ἀνάληψιν αὐτοῦ διασκεψώμεθα, τὰ μὲν ἐκ τῶν θείων παρασημαινόμενοι γραμμάτων, τὰ δ' ἔξωθεν προσιστοροῦντες ἐξ ὧν κατὰ καιρὸν μνημονεύσομεν ὑπομνημάτων.

I. [Nic. H. E. II, 1—6.] Πρῶτος τοιγαροῦν εἰς τὴν ἀποστολὴν ἀντὶ τοῦ προδότου Ἰούδα κληροῦται Ματθίας, εἷς καὶ αὐτὸς, ὡς δεδήλωται, τῶν τοῦ κυρίου γενόμενος μαθητῶν. καθίστανται δὲ δι' εὐχῆς καὶ χειρῶν ἐπιθέσεως τῶν ἀποστόλων εἰς διακονίαν, ὑπηρεσίας ἕνεκα τοῦ κοινοῦ, ἄνδρες δεδοκιμασμένοι τὸν ἀριθμὸν ἑπτὰ οἱ ἀμφὶ τὸν Στέφανον, ὃς καὶ πρῶτος μετὰ τὸν κύριον, ἅμα τῇ χειροτονίᾳ, ὥσπερ εἰς αὐτὸ τοῦτο προαχθεὶς, λίθοις εἰς θάνατον πρὸς τῶν κυριοκτόνων βάλλεται, καὶ ταύτῃ πρῶτος τὸν αὐτῷ φερώ-

νυμον τῶν ἀξιονίκων τοῦ Χριστοῦ μαρτύρων ἀποφέρεται στέφανον. 2. τότε δῆτα καὶ Ἰάκωβον, τὸν τοῦ κυρίου λεγόμενον ἀδελφὸν (ὅτι δὴ καὶ οὗτος τοῦ Ἰωσὴφ ὠνόμαστο παῖς· τοῦ δὲ Χριστοῦ πατὴρ, ὁ Ἰωσὴφ, ᾧ μνηστευθεῖσα ἡ παρθένος, πρὶν ἢ συνελθεῖν αὐτοὺς, ηὕρητο ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου, ὡς ἡ ἱερὰ τῶν εὐαγγελίων διδάσκει γραφή), τοῦτον δὴ τὸν Ἰάκωβον, ὃν καὶ δίκαιον ἐπίκλην οἱ πάλαι δι' ἀρετῆς ἐκάλουν προτερήματα, πρῶτον ἱστοροῦσι τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας τὸν τῆς ἐπισκοπῆς ἐγχειρισθῆναι θρόνον. 3. Κλήμης δὲ ἐν ἕκτῳ τῶν Ὑποτυπώσεων γράφων ὧδε παρίστησι "Πέτρον γάρ φησι καὶ Ἰάκωβον καὶ Ἰωάννην μετὰ τὴν ἀνάληψιν τοῦ σωτῆρος, ὡσὰν καὶ ὑπὸ τοῦ κυρίου προτετιμημένους, μὴ ἐπιδικάζεσθαι δόξης, ἀλλ' Ἰάκωβον τὸν δίκαιον ἐπίσκοπον Ἱεροσολύμων ἑλέσθαι." 4. ὁ δ' αὐτὸς ἐν ἑβδόμῳ τῆς αὐτῆς ὑποθέσεως ἔτι καὶ ταῦτα περὶ αὐτοῦ φησιν "Ἰακώβῳ τῷ δικαίῳ καὶ Ἰωάννῃ καὶ Πέτρῳ μετὰ τὴν ἀνάστασιν παρέδωκε τὴν γνῶσιν ὁ κύριος, οὗτοι τοῖς λοιποῖς ἀποστόλοις παρέδωκαν, οἱ δὲ λοιποὶ ἀπόστολοι τοῖς ἑβδομήκοντα, ὧν εἷς ἦν καὶ Βαρνάβας. 5. δύο δὲ γεγόνασιν Ἰάκωβοι, εἷς ὁ δίκαιος, ὁ κατὰ τοῦ πτερυγίου βληθεὶς καὶ ὑπὸ γναφέως ξύλῳ πληγεὶς εἰς θάνατον, ἕτερος δὲ ὁ καρατομηθείς." αὐτοῦ δὴ τοῦ δικαίου καὶ ὁ Παῦλος μνημονεύει γράφων "ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου." 6. ἐν τούτοις καὶ τὰ τῆς τοῦ σωτῆρος ἡμῶν πρὸς τὸν τῶν Ὀσροηνῶν βασιλέα τέλος ἐλάμβανεν ὑποσχέσεως. ὁ γοῦν Θωμᾶς τὸν Θαδδαῖον

7 Matth. 1, 18. 26 Gal. 1, 19.

κινήσει θειοτέρᾳ ἐπὶ τὴν Ἔδεσσαν κήρυκα καὶ εὐαγγελιστὴν τῆς περὶ τοῦ Χριστοῦ διδασκαλίας ἐκπέμπει, ὡς ἀπὸ τῆς εὑρεθείσης αὐτόθι γραφῆς μικρῷ πρόσθεν ἐδηλώσαμεν. 7. *ὁ δὲ τοῖς τόποις ἐπιστὰς τόν τε Ἄβγαρον ἰᾶται τῷ Χριστοῦ λόγῳ καὶ τοὺς αὐτόθι πάντας τοῖς τῶν θαυμάτων παραδόξοις ἐκπλήττει, ἱκανῶς τε αὐτοὺς τοῖς ἔργοις διαθεὶς, καὶ ἐπὶ σέβας ἀγαγὼν τῆς τοῦ Χριστοῦ δυνάμεως, μαθητὰς τῆς σωτηρίου διδασκαλίας κατεστήσατο· εἰσέτι τε νῦν ἐξ ἐκείνου ἡ πᾶσα τῶν Ἐδεσσηνῶν πόλις τῇ Χριστοῦ προσανάκειται προσηγορίᾳ, οὐ τὸ τυχὸν ἐπιφερομένη δεῖγμα τῆς τοῦ σωτῆρος ἡμῶν καὶ εἰς αὐτοὺς εὐεργεσίας.* 8. *καὶ ταῦτα μὲν ὡς ἐξ ἀρχαίων ἱστορίας εἰρήσθω, μετίωμεν δ' αὖθις ἐπὶ τὴν θείαν γραφήν. γενομένου δῆτα ἐπὶ τῇ τοῦ Στεφάνου μαρτυρίᾳ πρώτου καὶ μεγίστου πρὸς αὐτῶν Ἰουδαίων κατὰ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας διωγμοῦ, πάντων τε τῶν μαθητῶν πλὴν ὅτι τῶν δώδεκα μόνων ἀνὰ τὴν Ἰουδαίαν τε καὶ Σαμάρειαν διασπαρέντων τινὲς, ᾗ φησιν ἡ θεία γραφὴ, διελθόντες ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, οὔπω μὲν ἔθνεσιν οἷοί τε ἦσαν τοῦ τῆς πίστεως μεταδιδόναι λόγου τολμᾶν, μόνοις δὲ τοῦτον Ἰουδαίοις κατήγγελλον.* 9. *τηνικαῦτα καὶ Παῦλος ἐλυμαίνετο εἰσέτι καὶ τότε τὴν ἐκκλησίαν, κατ' οἴκους τῶν πιστῶν εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας καὶ εἰς φυλακὴν παραδιδούς.* 10. *ἀλλὰ καὶ Φίλιππος, εἷς τῶν ἅμα Στεφάνῳ προχειρισθέντων εἰς τὴν διακονίαν, ἐν τοῖς διασπαρεῖσι γενόμενος, κάτεισιν εἰς τὴν Σαμάρειαν, θείας τε ἔμπλεως ὢν δυνάμεως κηρύττει πρῶτος τοῖς αὐτόθι τὸν λόγον.*

---

15 Act. 11, 19.

τοσαύτη δ' αὐτῷ θεία συνήργει χάρις ὡς καὶ Σίμωνα τὸν μάγον μετὰ πλείστων ὅσων τοῖς αὐτοῦ λόγοις ἑλχθῆναι 11. ἐπὶ τοσοῦτον δ' ὁ Σίμων βεβοημένος κατ' ἐκεῖνο καιροῦ τῶν ἠπατημένων ἐκράτει γοητείᾳ ὡς τὴν μεγάλην αὐτὸν ἡγεῖσθαι εἶναι δύναμιν τοῦ θεοῦ. τότε δ' οὖν καὶ οὗτος τὰς ὑπὸ τοῦ Φιλίππου δυνάμει θείᾳ τελουμένας καταπλαγεὶς παραδοξοποιίας παραδύεται, καὶ μέχρι λουτροῦ τὴν εἰς Χριστὸν πίστιν καθυποκρίνεται. 12. ὃ καὶ θαυμάζειν ἄξιον εἰς δεῦρο γινόμενον πρὸς τῶν ἔτι καὶ νῦν τὴν ἀπ' ἐκείνου μιαρωτάτην μετιόντων αἵρεσιν, οἳ τῇ τοῦ σφῶν προπάτορος μεθόδῳ τὴν ἐκκλησίαν λοιμώδους καὶ ψωραλέας νόσου δίκην ὑποδυόμενοι τὰ μέγιστα λυμαίνονται τοὺς οἷς ἐναπομάξασθαι οἷοί τε ἂν εἶεν τὸν ἐν αὐτοῖς ἀποκεκρυμμένον δυσαλθῆ καὶ χαλεπὸν ἰόν. ἤδη γέ τοι πλείους τούτων ἀπεώσθησαν, ὁποῖοί τινες ἦσαν τὴν μοχθηρίαν ἁλόντες, ὥσπερ οὖν καὶ ὁ Σίμων αὐτὸς πρὸς τοῦ Πέτρου καταφωραθεὶς ὃς ἦν τὴν προσήκουσαν ἔτισε τιμωρίαν. 13. ἀλλὰ γὰρ εἰς αὔξην ὁσημέραι προϊόντος τοῦ σωτηρίου κηρύγματος οἰκονομία τις ἦγεν καὶ ἀπὸ τῆς Αἰθιόπων τῶν τῆς αὐτόθι βασιλίδος, κατά τι πάτριον ἔθος ὑπὸ γυναικὸς τοῦ ἔθνους εἰσέτι νῦν βασιλευομένου, δυνάστην· ὃν πρῶτον ἐξ ἐθνῶν πρὸς τοῦ Φιλίππου δι' ἐπιφανείας τὰ τοῦ θείου λόγου ὄργια μετασχόντα, τῶν τε ἀνὰ τὴν οἰκουμένην πιστῶν ἀπαρχὴν γενόμενον, πρῶτον κατέχει λόγος ἐπὶ τὴν πάτριον παλινοστήσαντα γῆν εὐαγγελίσασθαι τὴν τοῦ τῶν ὅλων θεοῦ γνῶσιν, καὶ τὴν ζωοποιὸν εἰς ἀνθρώπους τοῦ σωτῆρος ἡμῶν ἐπιδημίαν, ἔργῳ πληρωθείσης δι' αὐτοῦ τῆς "Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ" περιεχούσης προφητείας. 14. ἐπὶ τούτοις Παῦλος, τὸ τῆς ἐκλογῆς σκεῦος,

οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων, δι' ἀποκαλύψεως δ' αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, ἀπόστολος ἀναδείκνυται, δι' ὀπτασίας καὶ τῆς κατὰ τὴν ἀποκάλυψιν οὐρανίου φωνῆς ἀξιωθεὶς τῆς κλήσεως.

II. [Nic. H. E. II, 8.] Καὶ δὴ τῆς παραδόξου τοῦ σωτῆρος ἡμῶν ἀναστάσεώς τε καὶ εἰς οὐρανοὺς ἀναλήψεως τοῖς πλείστοις ἤδη περιβοήτου καθεστώσης, παλαιοῦ κεκρατηκότος ἔθους τοῖς τῶν ἐθνῶν ἄρχουσι, τὰ παρὰ σφίσι καινοτομούμενα τῷ τὴν βασίλειον ἀρχὴν ἐπικρατοῦντι σημαίνειν, ὡς ἂν μηδὲν αὐτὸν διαδιδράσκοι τῶν γινομένων, τὰ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς πάντας ἤδη καθ' ὅλης τῆς Παλαιστίνης βεβοημένα Πιλᾶτος Τιβερίῳ βασιλεῖ κοινοῦται, 2. ὃν τάς τε ἄλλας αὐτοῦ πυθόμενον τερατείας καὶ ὡς ὅτι μετὰ θάνατον ἐκ νεκρῶν ἀναστὰς θεὸς εἶναι παρὰ πολλοῖς ἤδη πεπίστευτο ἀνενεγκεῖν ἐπὶ τὴν σύγκλητον, ἐκείνην τ' ἀπώσασθαί φασι τὸν λόγον, τῷ μὲν δοκεῖν, ὅτι μὴ πρότερον αὐτὴ τοῦτο δοκιμάσασα ἦν, παλαιοῦ νόμου κεκρατηκότος μὴ ἄλλως τινὰ παρὰ Ῥωμαίοις θεοποιεῖσθαι μὴ οὐχὶ ψήφῳ καὶ δόγματι συγκλήτου, τῇ δ' ἀληθείᾳ, ὅτι μηδὲ τῆς ἐξ ἀνθρώπων ἐπικρίσεώς τε καὶ συστάσεως ἡ σωτήριος τοῦ θείου κηρύγματος ἐδεῖτο διδασκαλία. 3. ταύτῃ δ' οὖν ἀπωσαμένης τὸν προσαγγελθέντα περὶ τοῦ σωτῆρος ἡμῶν λόγον τῆς Ῥωμαίων βουλῆς τὸν Τιβέριον ἣν καὶ πρότερον εἶχε γνώμην τηρήσαντα μηδὲν ἄτοπον κατὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐπινοῆσαι. 4. ταῦτα Τερτυλλιανὸς, τοὺς Ῥωμαίων νόμους ἠκριβωκὼς ἀνὴρ, τά τε ἄλλα ἔνδοξος καὶ τῶν μάλιστα ἐπὶ Ῥώμης λαμπρῶν, ἐν τῇ γραφείσῃ μὲν αὐτῷ τῇ Ῥωμαίων φωνῇ,

μεταβληθείσῃ δὲ καὶ ἐπὶ τὴν Ἑλλάδα γλῶτταν ὑπὲρ Χριστιανῶν ἀπολογίᾳ τίθησι κατὰ λέξιν τοῦτον ἱστορῶν τὸν τρόπον “ἵνα δὲ καὶ ἐκ τῆς γενέσεως διαλε“χθῶμεν τῶν τοιούτων νόμων, παλαιὸν ἦν δόγμα “μηδένα θεὸν ὑπὸ βασιλέως καθιεροῦσθαι, πρὶν ὑπὸ “τῆς συγκλήτου δοκιμασθῆναι. Μάρκος Αἰμίλιος “οὕτως περί τινος εἰδώλου πεποίηκεν Ἀλβούρνου. “καὶ τοῦτο ὑπὲρ τοῦ ἡμῶν λόγου πεποίηται, ὅτι παρ’ “ὑμῖν ἀνθρωπείᾳ δοκιμῇ ἡ θεότης δίδοται. ἐὰν μὴ “ἀνθρώπῳ θεὸς ἀρέσῃ, θεὸς οὐ γίνεται. οὕτως κατά “γε τοῦτο ἄνθρωπον θεῷ ἵλεων εἶναι προσήκει. 6. “Τιβέριος οὖν ἐφ’ οὗ τὸ τῶν Χριστιανῶν ὄνομα εἰς “τὸν κόσμον εἰσελήλυθεν, ἀγγελθέντος αὐτῷ ἐκ Πα“λαιστίνης τοῦ δόγματος τούτου, ἔνθα πρῶτον ἤρξατο, “τῇ συγκλήτῳ ἀνεκοινώσατο, δῆλος ὢν ἐκείνοις ὡς τῷ “δόγματι ἀρέσκεται. ἡ δὲ σύγκλητος, ἐπεὶ οὐκ αὐτὴ δεδο“κιμάκει, ἀπώσατο· ὁ δὲ ἐν τῇ αὐτοῦ ἀποφάσει ἔμεινεν, “ἀπειλήσας θάνατον τοῖς τῶν Χριστιανῶν κατηγόροις,” τῆς οὐρανίου προνοίας κατ’ οἰκονομίαν τοῦτ’ αὐτῷ πρὸς νοῦν βαλλομένης, ὡς ἂν ἀπαραποδίστως ἀρχὰς ἔχων ὁ τοῦ εὐαγγελίου λόγος πανταχόσε γῆς διαδράμοι.

III. [Nic. H. E. II, 8.] Οὕτω δῆτα οὐρανίῳ δυνάμει καὶ συνεργίᾳ ἀθρόως οἷά τις ἡλίου βολὴ τὴν σύμπασαν οἰκουμένην ὁ σωτήριος κατηύγαζε λόγος, αὐτίκα ταῖς θείαις ἑπομένως γραφαῖς ἐπὶ πᾶσαν προήει τὴν γῆν ὁ φθόγγος τῶν θεσπεσίων εὐαγγελιστῶν τε αὐτοῦ καὶ ἀποστόλων, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. 2 καὶ δῆτα ἀνὰ πάσας τὰς πόλεις τε καὶ κώμας, πληθυούσης ἅλωνος δίκην, μυρίανδροι καὶ παμπληθεῖς ἀθρόως ἐκκλησίαι συνειστήκεσαν, οἵ τε ἐκ προγόνων διαδοχῆς καὶ τῆς ἀνέ-

24 Psalm. 19, 5.

καθεν πλάνης παλαιᾷ νόσῳ δεισιδαιμονίας εἰδώλων τὰς ψυχὰς πεπεδημένοι, πρὸς τῆς τοῦ Χριστοῦ δυνάμεως διὰ τῆς τῶν φοιτητῶν αὐτοῦ διδασκαλίας τε ὁμοῦ καὶ παραδοξοποιίας ὥσπερ δεινῶν δεσποτῶν ἀπηλλαγμένοι, εἱργμῶν τε χαλεπωτάτων λύσιν εὑράμενοι, πάσης μὲν δαιμονικῆς κατέπτυον πολυθεΐας, ἕνα δὲ μόνον εἶναι θεὸν ὡμολόγουν τὸν τῶν συμπάντων δημιουργὸν, τοῦτόν τε αὐτὸν θεσμοῖς ἀληθοῦς εὐσεβείας δι' ἐνθέου καὶ σώφρονος θρησκείας τῆς ὑπὸ τοῦ σωτῆρος ἡμῶν τῷ τῶν ἀνθρώπων βίῳ κατασπαρείσης ἐγέραιρον. 3. ἀλλὰ γὰρ τῆς χάριτος ἤδη τῆς θείας καὶ ἐπὶ τὰ λοιπὰ χεομένης ἔθνη, καὶ πρώτου μὲν κατὰ τὴν Παλαιστινῶν Καισάρειαν Κορνηλίου σὺν ὅλῳ τῷ οἴκῳ δι' ἐπιφανείας θειοτέρας ὑπουργίας τε Πέτρου τὴν εἰς τὸν Χριστὸν πίστιν καταδεξαμένου, πλείστων τε καὶ ἄλλων ἐπ' Ἀντιοχείας Ἑλλήνων, οἷς οἱ κατὰ τὸν Στεφάνου διωγμὸν διασπαρέντες ἐκήρυξαν, ἀνθούσης ἄρτι καὶ πληθυούσης τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας, ἐν ταὐτῷ τε ἐπιπαρόντων πλείστων ὅσων τῶν τε ἀπὸ Ἱεροσολύμων προφητῶν, καὶ σὺν αὐτοῖς Βαρνάβα καὶ Παύλου, ἑτέρου τε πλήθους ἐπὶ τούτοις ἀδελφῶν, ἡ Χριστιανῶν προσηγορία τότε πρῶτον αὐτόθι ὥσπερ ἀπ' εὐθαλοῦς καὶ γονίμου πηγῆς ἀναδίδοται. 4. καὶ Ἄγαβος μὲν, εἷς τῶν συνόντων αὐτοῖς προφητῶν, περὶ τοῦ μέλλειν ἔσεσθαι λιμὸν προθεσπίζει, Παῦλος δὲ καὶ Βαρνάβας ἐξυπηρετησόμενοι τῇ τῶν ἀδελφῶν παραπέμπονται διακονίᾳ.

IV. [Nic. H. E. II, 9.] Τιβέριος μὲν οὖν ἀμφὶ τὰ δύο καὶ εἴκοσι βασιλεύσας ἔτη τελευτᾷ, μετὰ δὲ τοῦτον Γάϊος τὴν ἡγεμονίαν παραλαβὼν αὐτίκα τῆς Ἰουδαίων ἀρχῆς Ἀγρίππᾳ τὸ διάδημα περιτίθησιν, βασιλέα καταστήσας αὐτὸν τῆς τε Φιλίππου καὶ τῆς Λυσα-

νίου τετραρχίας, πρὸς αἷς μετ' οὐ πολὺν αὐτῷ χρόνον καὶ τὴν Ἡρώδου τετραρχίαν παραδίδωσιν, ἀϊδίῳ φυγῇ τὸν Ἡρώδην (οὗτος δ' ἦν ὁ κατὰ τὸ πάθος τοῦ σωτῆρος) σὺν καὶ τῇ γυναικὶ Ἡρωδιάδι πλείστων ἕνεκα ζημιώσας αἰτιῶν. μάρτυς Ἰώσηπος καὶ τούτων. 2. κατὰ δὴ τοῦτον Φίλων ἐγνωρίζετο, πλείστοις ἀνὴρ οὐ μόνον τῶν ἡμετέρων, ἀλλὰ καὶ τῶν ἀπὸ τῆς ἔξωθεν ὁρμωμένων παιδείας ἐπισημότατος. τὸ μὲν οὖν γένος ἀνέκαθεν Ἑβραῖος ἦν, τῶν δ' ἐπ' Ἀλεξανδρείας ἐν τέλει διαφανῶν οὐδενὸς χείρων. 3. περὶ μὲν οὖν τὰ θεῖα καὶ πάτρια μαθήματα ὅσον τε καὶ ὁπηλίκον εἰσενήνεκται πόνον ἔργῳ πᾶσι δῆλος· καὶ περὶ τὰ φιλόσοφα δὲ καὶ ἐλευθέρια τῆς ἔξωθεν παιδείας οἷός τις ἦν οὐδὲν δεῖ λέγειν, ὅτε καὶ μάλιστα τὴν κατὰ Πλάτωνα καὶ Πυθαγόραν ἐξηλωκὼς ἀγωγὴν διενεγκεῖν ἅπαντας τοὺς καθ' ἑαυτὸν ἱστορεῖται.

V. [Nic. H. E. II, 9.] Καὶ δὴ τὰ κατὰ Γάϊον οὗτος Ἰουδαίοις συμβάντα πέντε βιβλίοις παραδίδωσιν, ὁμοῦ τὴν Γαΐου διεξιὼν φρενοβλάβειαν, ὡσὰν θεὸν ἑαυτὸν ἀναγορεύσαντος καὶ μυρία περὶ τὴν ἀρχὴν ἐνυβρίσαντος, τάς τε κατ' αὐτὸν Ἰουδαίων ταλαιπωρίας, καὶ ἣν αὐτὸς στειλάμενος ἐπὶ τῆς Ῥωμαίων πόλεως ὑπὲρ τῶν κατὰ τὴν Ἀλεξάνδρειαν ὁμοεθνῶν ἐποιήσατο πρεσβείαν, καὶ ὅπως ἐπὶ τοῦ Γαΐου καταστὰς ὑπὲρ τῶν πατρίων νόμων οὐδέν τι πλέον γέλωτος καὶ διασυρμῶν ἀπηνέγκατο, μικροῦ δεῖν καὶ τὸν περὶ τῆς ζωῆς ἀνατλὰς κίνδυνον. 2. μέμνηται δὲ καὶ τούτων ὁ Ἰώσηπος ἐν ὀκτωκαιδεκάτῳ τῆς ἀρχαιολογίας, κατὰ λέξιν ταῦτα γράφων "καὶ δὴ στάσεως "ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων τε, οἳ ἐνοικοῦσι,

5 A. I. XVIII, 6, 10. 29 A. I. XVIII, 8, 1.

"καὶ Ἑλλήνων τρεῖς ἀφ' ἑκατέρας τῆς στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν πρὸς τὸν Γάϊον. 3. καὶ ἦν γὰρ τῶν Ἀλεξανδρέων πρέσβεων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφήμησεν, ἄλλα τε λέγων καὶ ὡς τῶν Καίσαρος τιμῶν περιορῷεν· πάντων γοῦν, ὅσοι τῇ Ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶεν, βωμοὺς τῷ Γαΐῳ καὶ ναοὺς ἱδρυμένων, τά τε ἄλλα ἐν πᾶσιν αὐτὸν ὥσπερ τοὺς θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγεῖσθαι ἀνδριᾶσι τιμᾶν καὶ ὅρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι. 4. πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀρθῆναι ἤλπιξε τὸν Γάϊον καὶ εἰκὸς ἦν, Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα ἔνδοξος, Ἀλεξάνδρου τε τοῦ ἀλαβάρχου ἀδελφὸς ὤν, καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων. 5. διακλείει δ' αὐτὸν Γάϊος, κελεύσας ἐκποδὼν ἀπελθεῖν, περιοργής τε ὢν φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. ὁ δὲ Φίλων ἔξεισι περιυβρισμένος, καί φησι πρὸς τοὺς Ἰουδαίους, οἳ περὶ αὐτὸν ἦσαν, ὡς χρὴ θαρρεῖν, Γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν θεὸν ἀντιπαρεξάγοντος." ταῦτα ὁ Ἰώσηπος. 6. καὶ αὐτὸς δὲ ὁ Φίλων ἐν ᾗ συνέγραψε πρεσβείᾳ τὰ κατὰ μέρος ἀκριβῶς τῶν τότε πραχθέντων αὐτῷ δηλοῖ, ὧν τὰ πλεῖστα παρεὶς ἐκεῖνα μόνα παραθήσομαι, δι' ὧν τοῖς ἐντυγχάνουσι προφανὴς γενήσεται δήλωσις τῶν ἅμα τε καὶ οὐκ εἰς μακρὸν τῶν κατὰ τοῦ Χριστοῦ τετολμημένων ἕνεκεν Ἰουδαίοις συμβεβηκότων. 7. πρῶτον δὴ οὖν κατὰ Τιβέριον ἐπὶ μὲν τῆς Ῥωμαίων πόλεως ἱστορεῖ Σηιανὸν, τῶν τότε παρὰ βασιλεῖ τὰ

23 Phil. vol. 2. p. 517. 569.

μέγιστα δυνάμενον, ἄρδην τὸ πᾶν ἔθνος ἀπολέσθαι σπουδὴν εἰσαγηοχέναι, ἐπὶ δὲ τῆς Ἰουδαίας Πιλᾶτον, καθ' ὃν τὰ περὶ τὸν σωτῆρα τετόλμητο, περὶ τὸ ἐν Ἱεροσολύμοις ἔτι τότε συνεστὼς ἱερὸν ἐπιχειρήσαντά τι παρὰ τὸ Ἰουδαίοις ἐξὸν, τὰ μέγιστα αὐτοὺς ἀνα-ταράξαι.

VI. [Nic. H. E. II, 10.] Μετὰ δὲ τὴν Τιβερίου τελευτὴν Γάϊον τὴν ἀρχὴν παρειληφότα πολλὰ μὲν εἰς πολλοὺς καὶ ἄλλα ἐνυβρίσαι, πάντων δὲ μάλιστα τὸ πᾶν Ἰουδαίων ἔθνος οὐ σμικρὰ καταβλάψαι· ἃ καὶ ἐν βραχεῖ πάρεστι διὰ τῶν αὐτοῦ καταμαθεῖν φωνῶν, ἐν αἷς κατὰ λέξιν ταῦτα γράφει 2. "τοσαύτη μὲν οὖν "τις ἡ τοῦ Γαΐου περὶ τὸ ἦθος ἦν ἀνωμαλία πρὸς "ἅπαντας, διαφερόντως δὲ πρὸς τὸ Ἰουδαίων γένος, "ᾧ χαλεπῶς ἀπεχθανόμενος τὰς μὲν ἐν ταῖς ἄλλαις "πόλεσι προσευχὰς, ἀπὸ τῶν κατ' Ἀλεξάνδρειαν ἀρξά-"μενος, σφετερίζεται καταπλήσας εἰκόνων καὶ ἀνδρι-"άντων τῆς ἰδίας μορφῆς, (ὁ γὰρ ἑτέρων ἀνατιθέντων "ἐφιεὶς αὐτὸς ἱδρύετο δυνάμει), τὸν δ' ἐν τῇ ἱερᾷ "πόλει νεὼν, ὃς λοιπὸν ἦν ἄψαυστος, ἀσυλίας ἠξιω-"μένος τῆς πάσης, μεθηρμόζετο καὶ μετεσχημάτιζεν "εἰς οἰκεῖον ἱερὸν, ἵνα Διὸς ἐπιφανοῦς νέου χρημα-"τίζῃ Γαΐου." 3. μυρία μὲν οὖν ἄλλα δεινὰ καὶ πέρα πάσης διηγήσεως ὁ αὐτὸς κατὰ τὴν Ἀλεξάνδρειαν συμβεβηκότα Ἰουδαίοις ἐπὶ τοῦ δηλουμένου ἐν δευ-τέρῳ συγγράμματι ᾧ ἐπέγραψε "περὶ ἀρετῶν" ἱστο-ρεῖ. συνᾴδει δ' αὐτῷ καὶ ὁ Ἰώσηπος, ὁμοίως ἀπὸ τῶν Πιλάτου χρόνων καὶ τῶν κατὰ τοῦ σωτῆρος ἡμῶν τετολμημένων τὰς κατὰ παντὸς τοῦ ἔθνους ἐνάρξα-σθαι σημαίνων συμφοράς. 4. ἄκουε δ' οὖν οἷα καὶ

12 Philo vol. 2. p. 596.

οὗτος ἐν δευτέρῳ τοῦ Ἰουδαϊκοῦ πολέμου αὐταῖς συλλαβαῖς δηλοῖ λέγων “πεμφθεὶς δὲ εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλᾶτος νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας· σημαῖαι καλοῦνται. τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρε τοῖς Ἰουδαίοις. οἱ γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν, ὡς πεπατημένων αὐτοῖς τῶν νόμων. οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι.” 5. ταῦτα δὲ συγκρίνας τῇ τῶν εὐαγγελίων γραφῇ εἴσῃ ὡς οὐκ εἰς μακρὸν αὐτοὺς μετῆλθεν, ἣν ἔρρηξαν ἐπ' αὐτοῦ Πιλάτου φωνήν, δι' ἧς οὐκ ἄλλον ἢ μόνον ἔχειν ἐπεβόων Καίσαρα βασιλέα. 6. εἶτα δὲ καὶ ἄλλην ἑξῆς ὁ αὐτὸς συγγραφεὺς ἱστορεῖ μετελθεῖν αὐτοὺς συμφορὰν ἐν τούτοις “μετὰ δὲ ταῦτα ἑτέραν ταραχὴν ἐκίνει, τὸν ἱερὸν θησαυρόν, καλεῖται δὲ κορβανᾶς, εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. κατήει δὲ ἀπὸ τριακοσίων σταδίων. πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν. 7. καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα περιστάντες τὸ βῆμα κατεβόων. ὁ δὲ (προῄδει γὰρ αὐτῶν τὴν ταραχὴν) τῷ πλήθει τοὺς στρατιώτας ἐνόπλους, ἐσθῆσιν ἰδιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας, καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος. τυπτόμενοι δὲ οἱ Ἰουδαῖοι πολλοὶ μὲν ἀπὸ τῶν πληγῶν, πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ καταπατηθέντες ἀπώλοντο, πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνῃρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώπησεν.”

8. ἐπὶ τούτοις μυρίας ἄλλας ἐν αὐτοῖς Ἱεροσολύμοις κεκινῆσθαι νεωτεροποιίας ὁ αὐτὸς ἐμφαίνει, παριστὰς

---

2 Ioseph. B. I. II, 9, 2 et 4.

ὡς οὐδαμῶς ἐξ ἐκείνου διέλιπον τήν τε πόλιν καὶ τὴν Ἰουδαίαν ἅπασαν στάσεις καὶ πόλεμοι καὶ κακῶν ἐπάλληλοι μηχαναί, εἰσότε τὸ πανύστατον ἡ κατὰ Οὐεσπασιανὸν αὐτοὺς μετῆλθε πολιορκία. Ἰουδαίους μὲν οὖν, ὧν κατὰ τοῦ Χριστοῦ τετολμήκασι, ταύτῃ πῃ τὰ ἐκ τῆς θείας μετῄει δίκης.

VII. [Nic. H. E. II, 10.] Οὐκ ἀγνοεῖν δὲ ἄξιον ὡς καὶ αὐτὸν ἐκεῖνον τὸν ἐπὶ τοῦ σωτῆρος Πιλᾶτον, κατὰ Γάϊον, οὗ τοὺς χρόνους διέξιμεν, τοσαύταις περιπεσεῖν κατέχει λόγος συμφοραῖς ὡς ἐξ ἀνάγκης αὐτοφονευτὴν ἑαυτοῦ καὶ τιμωρὸν αὐτόχειρα γενέσθαι, τῆς θείας, ὡς ἔοικε, δίκης οὐκ εἰς μακρὸν αὐτὸν μετελθούσης. ἱστοροῦσιν Ἑλλήνων οἱ τὰς Ὀλυμπιάδας ἅμα τοῖς κατὰ χρόνους πεπραγμένοις ἀναγράψαντες.

VIII. [Nic. H. E. II, 11. 12.] Ἀλλὰ γὰρ Γάϊον οὐδ' ὅλοις τέτταρσιν ἔτεσι τὴν ἀρχὴν διακατασχόντα Κλαύδιος αὐτοκράτωρ διαδέχεται. καθ' ὃν λιμοῦ τὴν οἰκουμένην πιέσαντος, (τοῦτο δὲ καὶ οἱ πόρρω τοῦ καθ' ἡμᾶς λόγου συγγραφεῖς ταῖς αὐτῶν ἱστορίαις παρέδοσαν), ἡ κατὰ τὰς Πράξεις τῶν ἀποστόλων Ἀγάβου προφήτου περὶ τοῦ μέλλειν ἔσεσθαι λιμὸν ἐφ' ὅλην τὴν οἰκουμένην πέρας ἐλάμβανε πρόρρησις. 2. τὸν δὲ κατὰ Κλαύδιον λιμὸν ἐπισημηνάμενος ἐν ταῖς Πράξεσιν ὁ Λουκᾶς, ἱστορήσας τε ὡς ἄρα διὰ Παύλου καὶ Βαρνάβα οἱ κατὰ Ἀντιόχειαν ἀδελφοὶ τοῖς κατὰ τὴν Ἰουδαίαν ἐξ ὧν ἕκαστος ηὐπόρει διαπεμψάμενοι ἦσαν ἐπιφέρει λέγων·

IX. "Κατ' ἐκεῖνον δὲ τὸν καιρόν, δῆλον ὅτι ἐπὶ Κλαυδίου, ἐπέβαλεν ὁ βασιλεὺς Ἡρώδης τὰς χεῖρας,

---

21 Act. 2, 28. 29 Act. 12, 1.

κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας, ἀνεῖλέ τε Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ." 2. περὶ τούτου δ' ὁ Κλήμης τοῦ Ἰακώβου καὶ ἱστορίαν μνήμης ἀξίαν ἐν τῇ τῶν Ὑποτυπώσεων ἑβδόμῃ παρατίθεται, ὡσὰν ἐκ παραδόσεως τῶν πρὸ αὐτοῦ φάσκων, ὅτι δὴ ὁ εἰσαγαγὼν αὐτὸν εἰς δικαστήριον, μαρτυρήσαντα ἰδὼν αὐτὸν, κινηθεὶς ὡμολόγησεν εἶναι καὶ αὐτὸς ἑαυτὸν Χριστιανόν. 3. συναπήχθησαν οὖν ἄμφω, φησὶ, καὶ κατὰ τὴν ὁδὸν ἠξίωσεν ἀφεθῆναι αὐτῷ ὑπὸ τοῦ Ἰακώβου. ὁ δὲ ὀλίγον σκεψάμενος "εἰρήνη σοι" εἶπε, καὶ κατεφίλησεν αὐτόν. καὶ οὕτως ἀμφότεροι ὁμοῦ ἐκαρατομήθησαν. 4. τὸ τηνικαῦτα δὲ, ὥς φησιν ἡ θεία γραφὴ, ἰδὼν ὁ Ἡρώδης ἐπὶ τῇ τοῦ Ἰακώβου ἀναιρέσει ὅτι δὴ πρὸς ἡδονῆς εἴη τὸ πραχθὲν τοῖς Ἰουδαίοις, ἐπιτίθεται καὶ Πέτρῳ, δεσμοῖς τε αὐτὸν παραδοὺς ὅσον οὔπω καὶ τὸν κατ' αὐτοῦ φόνον ἐνήργησεν ἂν, εἰ μὴ διὰ θείας ἐπιφανείας ἐπιστάντος αὐτῷ νύκτωρ ἀγγέλου παραδόξως τῶν εἱργμῶν ἀπαλλαγεὶς ἐπὶ τὴν τοῦ κηρύγματος ἀφεῖτο διακονίαν. καὶ τὰ μὲν κατὰ Πέτρον οὕτως εἶχεν οἰκονομίας.

X. [Nic. H. E. II, 13.] Τὰ δέ γε τῆς κατὰ τῶν ἀποστόλων ἐγχειρήσεως τοῦ βασιλέως οὐκέτ' ἀναβολῆς εἴχετο, ἀλλά γέ τοι αὐτὸν ὁ τῆς θείας δίκης τιμωρὸς διάκονος μετῄει, παραυτίκα μετὰ τὴν τῶν ἀποστόλων ἐπιβουλὴν, ὡς ἡ τῶν Πράξεων ἱστορεῖ γραφὴ, ὁρμήσαντα μὲν ἐπὶ τὴν Καισάρειαν, ἐν ἐπισήμῳ δ' ἐνταῦθα ἑορτῆς ἡμέρᾳ λαμπρᾷ καὶ βασιλικῇ κοσμησάμενον ἐσθῆτι, ὑψηλόν τε πρὸ βήματος δημηγορήσαντα· τοῦ γάρ τοι δήμου παντὸς ἐπευφημήσαντος

---

13 Act. 12, 3. 26 Act. 12, 20.

τῇ δημηγορίᾳ, ὡς ἐπὶ θεοῦ φωνῇ καὶ οὐκ ἀνθρώπου, παραχρῆμα τὸ λόγιον πατάξαι αὐτὸν ἄγγελον κυρίου ἱστορεῖ, γενόμενόν τε σκωληκόβρωτον ἐκψῦξαι. 2. θαυμάσαι δ' ἄξιον τῆς περὶ τὴν θείαν γραφὴν καὶ ἐν τῷδε τῷ παραδόξῳ συμφωνίας τὴν τοῦ Ἰωσήπου ἱστορίαν, καθ' ἣν ἐπιμαρτυρῶν τῇ ἀληθείᾳ δῆλός ἐστιν ἐν τόμῳ τῆς ἀρχαιολογίας ἐννεακαιδεκάτῳ, ἔνθα αὐτοῖς γράμμασιν ὧδέ πως τὸ θαῦμα διηγεῖται 3. "τρίτον "δ' ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης Ἰουδαίας πεπλή"ρωτο, καὶ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ τὸ πρό"τερον Στράτωνος πύργος ἐκαλεῖτο. συνετέλει δ' ἐν"ταῦθα θεωρίας εἰς τὴν Καίσαρος τιμήν, ὑπὲρ τῆς "ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην ἐπιστάμενος. "καὶ παρ' αὐτὴν ἤθροιστο τῶν κατὰ τὴν ἐπάρχιον ἐν "τέλει καὶ προβεβηκότων εἰς ἀξίαν πλῆθος. 4. δευ"τέρᾳ δὲ τῶν θεωριῶν ἡμέρᾳ στολὴν ἐνδυσάμενος ἐξ "ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὑφὴν "εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. "ἔνθα ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς "ὁ ἄργυρος καταυγασθεὶς θαυμασίως ἀπέστιλβε, μαρ"μαίρων τι φοβερὸν καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι "φρικῶδες. 5. εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδὲν ἐκείνῳ "πρὸς ἀγαθοῦ ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, θεὸν "προσαγορεύοντες, 'εὐμενής τε εἴης' ἐπιλέγοντες· "'εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν, ἀλλὰ "τοὐντεῦθεν κρείττονά σε θνητῆς τῆς φύσεως ὁμολο"γοῦμεν.' 6. οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεύς, οὐδὲ "τὴν κολακείαν ἀσεβοῦσαν ἀπετρίψατο. ἀνακύψας "δὲ μετ' ὀλίγον τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθεζόμενον "εἶδεν ἄγγελον. τοῦτον εὐθὺς ἐνόησε κακῶν εἶναι

---

8 Ioseph. A. I. XIX, 8, 2.

"αἴτιον, τὸν καί ποτε τῶν ἀγαθῶν γενόμενον, καὶ διακάρδιον ἔσχεν ὀδύνην. 7. ἄθρουν δ' αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα, μετὰ σφοδρότητος ἀρξάμενον. ἀναθεωρῶν οὖν πρὸς τοὺς φίλους, ὁ θεὸς ὑμῖν ἐγώ, φησίν, ἤδη καταστρέφειν ἐπιτάττομαι τὸν βίον, παραχρῆμα τῆς εἱμαρμένης τὰς ἄρτι μου κατεψευσμένας φωνὰς ἐλεγχούσης. ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν ἤδη θανεῖν ἀπάγομαι. δεκτέον δὲ τὴν πεπρωμένην, ᾗ θεὸς βεβούληται. καὶ γὰρ βεβιώκαμεν οὐδαμῇ φαύλως, ἀλλ' ἐπὶ τῆς μακαριζομένης λαμπρότητος. ταῦτα δὲ λέγων ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο. 8. μετὰ σπουδῆς οὖν εἰς τὸ βασίλειον ἐκομίσθη, καὶ διῆξε λόγος εἰς πάντας, ὡς ἔχοι τοῦ τεθνάναι παντάπασι μετ' ὀλίγον. ἡ πληθὺς δ' αὐτίκα σὺν γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκου καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν θεὸν ἱκέτευον ὑπὲρ τοῦ βασιλέως, οἰμωγῆς τε πάντ' ἦν ἀνάπλεα καὶ θρήνων. ἐν ὑψηλῷ δ' ὁ βασιλεὺς δωματίῳ κατακείμενος καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας ἄδακρυς οὐδ' αὐτὸς ἔμενεν. 9. συνεχῶς δ' ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι διεργασθεὶς τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν ἔτος καὶ τέταρτον, τῆς δὲ βασιλείας ἕβδομον. τέσσαρας μὲν οὖν ἐπὶ Γαΐου Καίσαρος ἐβασίλευσεν ἐνιαυτούς, τῆς Φιλίππου μὲν τετραρχίας εἰς τριετίαν ἄρξας, τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρῴδου προσειληφώς, τρεῖς δ' ἐπιλαβὼν τῆς Κλαυδίου Καίσαρος αὐτοκρατορίας."

10. ταῦτα τὸν Ἰώσηπον μετὰ τῶν ἄλλων ταῖς θείαις συναληθεύοντα γραφαῖς ἀποθαυμάζω. εἰ δὲ περὶ τὴν τοῦ βασιλέως προσηγορίαν δόξειέ τισι διαφωνεῖν, ἀλλ' ὅ γε χρόνος καὶ ἡ πρᾶξις τὸν αὐτὸν ὄντα δείκνυσιν, ἤτοι κατά τι σφάλμα γραφικὸν ἐνηλλαγμένου

τοῦ ὀνόματος, ἢ καὶ διωνυμίας περὶ τὸν αὐτὸν, οἷα καὶ περὶ πολλοὺς, γεγενημένης.

XI. [Nic. H. E. II, 11.] Ἐπεὶ δὲ πάλιν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν εἰσάγει τὸν Γαμαλιὴλ ἐν τῇ περὶ τῶν ἀποστόλων σκέψει λέγοντα ὡς ἄρα κατὰ τὸν δηλούμενον χρόνον ἀνέστη Θευδᾶς, λέγων ἑαυτὸν εἶναι τινὰ, ὃς κατελύθη, καὶ πάντες ὅσοι ἐπείσθησαν αὐτῷ διελύθησαν, φέρε καὶ τὴν περὶ τούτου παραθώμεθα τοῦ Ἰωσήπου γραφήν. ἱστορεῖ τοίνυν αὖθις κατὰ τὸν ἀρτίως δεδηλωμένον αὐτοῦ λόγον αὐτὰ δὴ ταῦτα κατὰ λέξιν “Φάδου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος γόης τις ἀνὴρ, Θευδᾶς ὀνόματι, πείθει τὸν πλεῖστον ὄχλον ἀναλαβόντα τὰς κτήσεις ἕπεσθαι πρὸς τὸν Ἰορδάνην ποταμὸν αὐτῷ. προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ προστάγματι τὸν ποταμὸν σχίσας δίοδον ἔφη παρέξειν αὐτοῖς ῥᾳδίαν. καὶ ταῦτα λέγων πολλοὺς ἠπάτησεν. 3. οὐ μὴν εἴασεν αὐτοὺς τῆς ἀφροσύνης ὄνασθαι Φάδος, ἀλλ' ἐξέπεμψεν ἴλην ἱππέων ἐπ' αὐτοὺς, ἥτις ἀπροσδόκητος ἐπιπεσοῦσα πολλοὺς μὲν ἀνεῖλε, πολλοὺς δὲ ζῶντας ἔλαβεν· αὐτόν τε τὸν Θευδᾶν ζωγρήσαντες ἀποτέμνουσι τὴν κεφαλὴν καὶ κομίζουσιν εἰς Ἱεροσόλυμα.” τούτοις ἑξῆς καὶ τοῦ κατὰ Κλαύδιον λιμοῦ γενομένου μνημονεύει ὧδέ πως·

XII. [Nic. H. E. II, 11.] “Ἐπὶ τούτοις δὲ καὶ τὸν μέγαν λιμὸν κατὰ τὴν Ἰουδαίαν συνέβη γενέσθαι, καθ' ὃν καὶ ἡ βασίλισσα Ἑλένη πολλῶν χρημάτων ὠνησαμένη σῖτον ἀπὸ τῆς Αἰγύπτου διένειμε τοῖς ἀπορουμένοις.” 2 σύμφωνα δ' ἂν εὕροις καὶ ταῦτα τῇ τῶν Πράξεων τῶν ἀποστόλων γραφῇ, περιεχούσῃ

3 Act. 5, 36. 11 Ioseph. A. I. XX, 5, 1. 24 Ioseph. A. I. XX, 5, 2. 29 Act. 11, 29.

ὡς ἄρα τῶν κατὰ τὴν Ἀντιόχειαν μαθητῶν καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος εἰς διακονίαν ἀποστεῖλαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ· ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Παύλου. 3. τῆς γέ τοι Ἑλένης, ἧς δὴ καὶ ὁ συγγραφεὺς ἐποιήσατο μνήμην, εἰσέτι νῦν στῆλαι διαφανεῖς ἐν προαστείοις δείκνυνται τῆς νῦν Αἰλίας. τοῦ δὲ Ἀδιαβηνῶν ἔθνους αὕτη βασιλεῦσαι ἐλέγετο.

XIII. [Nic. H. E. II, 14. 27. Eus. infra IV, 21.] Ἀλλὰ γὰρ τῆς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς πάντας ἀνθρώπους ἤδη διαδεδομένης πίστεως ὁ τῆς ἀνθρώπων πολέμιος σωτηρίας, τὴν βασιλεύουσαν προαρπάσασθαι πόλιν μηχανώμενος, ἐνταῦθα Σίμωνα τὸν πρόσθεν δεδηλωμένον ἄγει, καὶ δὴ ταῖς ἐντέχνοις τἀνδρὸς συναιρόμενος γοητείαις πλείους τῶν τὴν Ῥώμην οἰκούντων ἐπὶ τὴν πλάνην σφετερίζεται. 2. δηλοῖ δὲ τοῦτο μετ' οὐ πολὺ τῶν ἀποστόλων ἐν τῷ καθ' ἡμᾶς διαπρέψας λόγῳ Ἰουστῖνος, περὶ οὗ τὰ προσήκοντα κατὰ καιρὸν παραθήσομαι. καί μοι λαβὼν ἀνάγνωθι τοῦδε τὴν γραφήν, ἣν ἐν τῇ προτέρᾳ πρὸς Ἀντωνῖνον ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος ἀπολογίᾳ γράφων ὧδέ φησιν 3. "καὶ "μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου εἰς οὐρανὸν προεβάλ"λοντο οἱ δαίμονες ἀνθρώπους τινὰς, λέγοντας ἑαυ"τοὺς εἶναι θεοὺς, οἳ οὐ μόνον οὐκ ἐδιώχθησαν ὑφ' "ὑμῶν, ἀλλὰ καὶ τιμῶν ἠξιώθησαν· Σίμωνα μέν "τινα Σαμαρέα τὸν ἀπὸ κώμης λεγομένης Γιττῶν, ὃς "ἐπὶ Κλαυδίου Καίσαρος διὰ τῆς τῶν ἐνεργούντων "δαιμόνων τέχνης δυνάμεις μαγικὰς ποιήσας ἐπὶ τῇ "πόλει ὑμῶν τῇ βασιλίδι Ῥώμῃ θεὸς ἐνομίσθη, καὶ

---

19 Iustin. Apol. I. c. 26.

"ἀνδριάντι παρ' ὑμῖν ὡς θεὸς τετίμηται, ἐν τῷ Τιβέρει ποταμῷ μεταξὺ τῶν δύο γεφυρῶν, ἔχων Ῥωμαϊκὴν ἐπιγραφὴν ταύτην· SIMONI DEO SANCTO," ὅπερ ἐστὶ Σίμωνι θεῷ ἁγίῳ. 4. "καὶ σχεδὸν μὲν πάντες Σαμαρεῖς, ὀλίγοι δὲ καὶ ἐν ἄλλοις ἔθνεσιν, ὡς τὸν πρῶτον θεὸν ἐκεῖνον ὁμολογοῦντες προσκυνοῦσι. καὶ Ἑλένην τινά, τὴν συμπερινοστήσασαν αὐτῷ κατ' ἐκεῖνο καιροῦ, πρότερον ἐπὶ τέγους σταθεῖσαν ἐν Τύρῳ τῆς Φοινίκης, τὴν ἀπ' αὐτοῦ πρώτην ἔννοιαν λέγουσιν." 5. ταῦτα μὲν οὗτος. συνᾴδει δ' αὐτῷ καὶ ὁ Εἰρηναῖος, ἐν πρώτῳ τῶν πρὸς τὰς αἱρέσεις ὁμοῦ τὰ περὶ τὸν ἄνδρα καὶ τὴν ἀνοσίαν καὶ μιαρὰν αὐτοῦ διδασκαλίαν ὑπογράφων, ἣν ἐπὶ τοῦ παρόντος περιττὸν ἂν εἴη καταλέγειν, παρὸν τοῖς βουλομένοις καὶ τῶν μετ' αὐτὸν κατὰ μέρος αἱρεσιαρχῶν τὰς ἀρχὰς καὶ τοὺς βίους καὶ τῶν ψευδῶν δογμάτων τὰς ὑποθέσεις τά τε πᾶσιν αὐτοῖς ἐπιτετηδευμένα διαγνῶναι, οὐ κατὰ πάρεργον τῇ δεδηλωμένῃ τοῦ Εἰρηναίου παραδεδομένα βίβλῳ. 6. πάσης μὲν οὖν ἀρχηγὸν αἱρέσεως πρῶτον γενέσθαι τὸν Σίμωνα παρειλήφαμεν, ἐξ οὗ καὶ εἰς δεῦρο οἱ τὴν κατ' αὐτὸν μετιόντες αἵρεσιν, τὴν σώφρονα καὶ διὰ καθαρότητα βίου παρὰ τοῖς πᾶσι βεβοημένην Χριστιανῶν φιλοσοφίαν ὑποκρινόμενοι, ἧς μὲν ἔδοξαν ἀπαλλάττεσθαι περὶ τὰ εἴδωλα δεισιδαιμονίας οὐδὲν ἧττον αὖθις ἐπιλαμβάνονται, καταπίπτοντες ἐπὶ γραφὰς καὶ εἰκόνας αὐτοῦ τε τοῦ Σίμωνος καὶ τῆς σὺν αὐτῷ δηλωθείσης Ἑλένης, θυμιάμασί τε καὶ θυσίαις καὶ σπονδαῖς τούτους θρησκεύειν ἐγχειροῦντες. 7. τὰ δὲ τούτων αὐτοῖς ἀπορρητότερα, ὧν φασι τὸν πρῶτον

11 Iren. 1, 23. p. 98.

ἐπακούσαντα ἐκπλαγήσεσθαι, καὶ κατά τι παρ' αὐτοῖς λόγιον ἔγγραφον θαμβωθήσεσθαι, θάμβους ὡς ἀληθῶς καὶ φρενῶν ἐκστάσεως καὶ μανίας ἔμπλεα τυγχάνει, τοιαῦτα ὄντα, ὡς μὴ μόνον μὴ δυνατὰ εἶναι παραδοθῆναι γραφῇ, ἀλλ' οὐδὲ χείλεσιν αὐτὸ μόνον δι' ὑπερβολὴν αἰσχρουργίας τε καὶ ἀρρητοποιίας ἀνδράσι σώφροσι λαληθῆναι. 8. ὅ τι ποτὲ γὰρ ἂν εἴη ἢ ἐπινοηθείη παντὸς αἰσχροῦ μιαρώτερον, τοῦτο πᾶν ὑπερηκόντισεν ἡ τῶνδε μυσαρωτάτη αἵρεσις, ταῖς ἀθλίαις καὶ παντοίων ὡς ἀληθῶς κακῶν σεσωρευμέναις γυναιξὶν ἐγκαταπαιζόντων.

XIV. [Nic. H. E. II, 14.] Τοιούτων κακῶν πατέρα καὶ δημιουργὸν τὸν Σίμωνα κατ' ἐκεῖνο καιροῦ, ὡσπερεὶ μέγαν καὶ μεγάλων ἀντίπαλον τῶν θεσπεσίων τοῦ σωτῆρος ἡμῶν ἀποστόλων, ἡ μισόκαλος καὶ τῆς ἀνθρώπων ἐπίβουλος σωτηρίας πονηρὰ δύναμις προυστήσατο. 2. ὅμως δ' οὖν ἡ θεία καὶ ὑπερουράνιος χάρις, τοῖς αὐτῆς συναιρομένη διακόνοις, δι' ἐπιφανείας αὐτῶν καὶ παρουσίας ἀναπτομένην τοῦ πονηροῦ τὴν φλόγα ᾗ τάχος ἐσβέννυ, ταπεινοῦσα δι' αὐτῶν καὶ καθαιροῦσα πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. 3. διὸ δὴ οὔτε Σίμωνος οὔτ' ἄλλου του τῶν τότε φυέντων συγκρότημά τι κατ' αὐτοὺς ἐκείνους τοὺς ἀποστολικοὺς ὑπέστη χρόνους. ὑπερενίκα γάρ τοι καὶ ὑπερίσχυεν ἅπαντα τὸ τῆς ἀληθείας φέγγος, ὅ τε λόγος αὐτὸς ὁ θεῖος ἄρτι θεόθεν ἀνθρώποις ἐπιλάμψας, αὐτός τε ἐπὶ γῆς ἀκμάζων καὶ τοῖς ἰδίοις ἀποστόλοις ἐμπολιτευόμενος. 4. αὐτίκα ὁ δηλωθεὶς γόης ὥσπερ ὑπὸ θείας καὶ παραδόξου μαρμαρυγῆς τὰ τῆς διανοίας πληγεὶς ὄμματα, ὅτε πρότερον ἐπὶ τῆς Ἰουδαίας ἐφ' οἷς ἐπονηρεύσατο πρὸς τοῦ ἀποστόλου Πέτρου κατεφωράθη, μεγίστην καὶ

ὑπερπόντιον ἀπάρας πορείαν τὴν ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς ᾤχετο φεύγων, μόνως ταύτῃ βιωτὸν αὐτῷ κατὰ γνώμην εἶναι οἰόμενος. 5. ἐπιβὰς δὲ τῆς Ῥωμαίων πόλεως, συναιρομένης αὐτῷ τὰ μεγάλα τῆς ἐφεδρευούσης ἐνταῦθα δυνάμεως, ἐν ὀλίγῳ τοσοῦτον τὰ τῆς ἐπιχειρήσεως ἤνυστο, ὡς καὶ ἀνδριάντος ἀναθέσει πρὸς τῶν τῇδε οἷα θεὸν τιμηθῆναι. 6. οὐ μὴν εἰς μακρὸν αὐτῷ ταῦτα προυχώρει. παρὰ πόδας γοῦν ἐπὶ τῆς αὐτῆς Κλαυδίου βασιλείας ἡ πανάγαθος καὶ φιλανθρωποτάτη τῶν ὅλων πρόνοια τὸν καρτερὸν καὶ μέγαν τῶν ἀποστόλων, τὸν ἀρετῆς ἕνεκα τῶν λοιπῶν ἁπάντων προήγορον, Πέτρον, ἐπὶ τὴν Ῥώμην ὡς ἐπὶ τηλικοῦτον λυμεῶνα βίου χειραγωγεῖ, ὃς οἷά τις γενναῖος θεοῦ στρατηγὸς τοῖς θείοις ὅπλοις φραξάμενος τὴν πολυτίμητον ἐμπορίαν τοῦ νοητοῦ φωτὸς ἐξ ἀνατολῶν τοῖς κατὰ δύσιν ἐκόμιζεν, φῶς αὐτὸ καὶ λόγον ψυχῶν σωτήριον, τὸ κήρυγμα τῆς τῶν οὐρανῶν βασιλείας εὐαγγελιζόμενος.

XV. [Nic. H. E. II, 15.] Οὕτω δὴ οὖν ἐπιδημήσαντος αὐτοῖς τοῦ θείου λόγου ἡ μὲν τοῦ Σίμωνος ἀπέσβη καὶ παραχρῆμα σὺν καὶ τῷ ἀνδρὶ καταλέλυτο δύναμις, τοσοῦτο δ' ἐπέλαμψεν ταῖς τῶν ἀκροατῶν τοῦ Πέτρου διανοίαις εὐσεβείας φέγγος ὡς μὴ τῇ εἰσάπαξ ἱκανῶς ἔχειν ἀρκεῖσθαι ἀκοῇ, μηδὲ τῇ ἀγράφῳ τοῦ θείου κηρύγματος διδασκαλίᾳ, παρακλήσεσι δὲ παντοίαις Μάρκον, οὗ τὸ εὐαγγέλιον φέρεται, ἀκόλουθον ὄντα Πέτρου λιπαρῆσαι, ὡς ἂν καὶ διὰ γραφῆς ὑπόμνημα τῆς διὰ λόγου παραδοθείσης αὐτοῖς καταλείψοι διδασκαλίας, μὴ πρότερόν τε ἀνεῖναι ἢ κατεργάσασθαι τὸν ἄνδρα, καὶ ταύτῃ αἰτίους γενέσθαι τῆς τοῦ λεγομένου κατὰ Μάρκον εὐαγγελίου γραφῆς. 2. γνόντα δὲ τὸ πραχθέν φασι τὸν ἀπόστολον ἀποκαλύ-

ψαντος αὐτῷ τοῦ πνεύματος ἡσθῆναι τῇ τῶν ἀνδρῶν προθυμίᾳ, κυρῶσαί τε τὴν γραφὴν εἰς ἔντευξιν ταῖς ἐκκλησίαις,(Κλήμης ἐν ἕκτῳ τῶν Ὑποτυπώσεων παρατέθειται τὴν ἱστορίαν, συνεπιμαρτυρεῖ δ' αὐτῷ καὶ ὁ Ἱεραπολίτης ἐπίσκοπος ὀνόματι Παπίας), τοῦ δὲ Μάρκου μνημονεύειν τὸν Πέτρον ἐν τῇ προτέρᾳ ἐπιστολῇ, ἣν καὶ συντάξαι φασὶν ἐπ' αὐτῆς Ῥώμης, σημαίνειν τε τοῦτ' αὐτὸν, τὴν πόλιν τροπικώτερον Βαβυλῶνα προσειπόντα διὰ τούτων "ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου."

XVI. [Nic. H. E. II, 15.] Τοῦτον δὲ τὸν Μάρκον πρῶτόν φασιν ἐπὶ τῆς Αἰγύπτου στειλάμενον τὸ εὐαγγέλιον ὃ δὴ καὶ συνεγράψατο κηρῦξαι, ἐκκλησίας τε πρῶτον ἐπ' αὐτῆς Ἀλεξανδρείας συστήσασθαι. 2. τοσαύτη δ' ἄρα τῶν αὐτόθι πεπιστευκότων πληθὺς ἀνδρῶν τε καὶ γυναικῶν ἐκ πρώτης ἐπιβολῆς συνέστη, δι' ἀσκήσεως φιλοσοφωτάτης τε καὶ σφοδροτάτης, ὡς καὶ γραφῆς αὐτῶν ἀξιῶσαι τὰς διατριβὰς καὶ τὰς συνηλύσεις, τά τε συμπόσια καὶ τὴν ἄλλην πᾶσαν τοῦ βίου ἀγωγὴν τὸν Φίλωνα.

XVII. [Nic. H. E. II, 16. 17.] Ὃν καὶ λόγος ἔχει κατὰ Κλαύδιον ἐπὶ τῆς Ῥώμης εἰς ὁμιλίαν ἐλθεῖν Πέτρῳ, τοῖς ἐκεῖσε τότε κηρύττοντι. καὶ οὐκ ἀπεικὸς ἂν εἴη τοῦτό γε, ἐπεὶ καὶ ὃ φαμεν αὐτῷ σύγγραμμα εἰς ὕστερον καὶ μετὰ χρόνους αὐτῷ πεπονημένον, σαφῶς τοὺς εἰσέτι νῦν καὶ εἰς ἡμᾶς πεφυλαγμένους τῆς ἐκκλησίας περιέχει κανόνας. 2. ἀλλὰ καὶ τὸν βίον τῶν παρ' ἡμῖν ἀσκητῶν ὡς ἔνι μάλιστα ἀκριβέστατα ἱστορῶν γένοιτ' ἂν ἔκδηλος οὐκ εἰδὼς μόνον, ἀλλὰ καὶ ἀποδεχόμενος, ἐκθειάζων τε καὶ σεμνύνων τοὺς

---

9 Petr. 1, 5, 13.

κατ' αὐτὸν ἀποστολικοὺς ἄνδρας, ἐξ Ἑβραίων, ὡς ἔοικε, γεγονότας, ταύτῃ τε ἰουδαϊκώτερον τῶν παλαιῶν ἔτι τὰ πλεῖστα διατηροῦντας ἐθῶν. 3. πρῶτόν γέ τοι τὸ μηδὲν πέρα τῆς ἀληθείας οἴκοθεν καὶ ἐξ ἑαυτοῦ προσθήσειν ἐν οἷς ἱστορήσειν ἔμελλεν ἀπισχυρισάμενος, ἐν ᾧ ἐπέγραψε λόγῳ περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν θεραπευτὰς αὐτοὺς καὶ τὰς σὺν αὐτοῖς γυναῖκας θεραπευτρίδας ἀποκαλεῖσθαί φησι τὰς αἰτίας ἐπειπὼν τῆς τοιᾶσδε προσρήσεως· ἤτοι γὰρ παρὰ τὸ τὰς ψυχὰς τῶν προσιόντων αὐτοῖς τῶν ἀπὸ κακίας παθῶν ἰατρῶν δίκην ἀπαλλάττοντας ἀκεῖσθαι καὶ θεραπεύειν, ἢ τῆς περὶ τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας τε καὶ θρησκείας ἕνεκα. 4. εἴτ' οὖν ἐξ ἑαυτοῦ ταύτην αὐτοῖς ἐπιτέθειται τὴν προσηγορίαν, οἰκείως ἐπιγράψας τῷ τρόπῳ τῶν ἀνδρῶν τοὔνομα, εἴτε καὶ ὄντως τοῦτ' αὐτοὺς ἐκάλουν κατ' ἀρχὰς οἱ πρῶτοι, μηδαμῶς πω τῆς Χριστιανῶν προσρήσεως ἀνὰ πάντα τόπον ἐπιπεφημισμένης, οὔ τί πω διατείνεσθαι ἀναγκαῖον. 5. ὅμως δ' οὖν ἐν πρώτοις τὴν ἀπόταξιν αὐτοῖς τῆς οὐσίας μαρτυρεῖ, φάσκων ἀρχομένους φιλοσοφεῖν ἐξίστασθαι τοῖς προσήκουσι τῶν ὑπαρχόντων, ἔπειτα πάσαις ἀποταξαμένους ταῖς τοῦ βίου φροντίσιν, ἔξω τειχῶν προελθόντας, ἐν μοναγρίοις καὶ κήποις τὰς διατριβὰς ποιεῖσθαι, τὰς ἐκ τῶν ἀνομοίων ἐπιμιξίας ἀλυσιτελεῖς καὶ βλαβερὰς εὖ εἰδότας, τῶν κατ' ἐκεῖνο καιροῦ τοῦθ' ὡς εἰκὸς ἐπιτελούντων ἐκθύμῳ καὶ θερμοτάτῃ πίστει, τὸν προφητικὸν ζηλοῦν ἀσκούντων βίον. 6. τοιγαροῦν κἀν ταῖς ὁμολογουμέναις τῶν ἀποστόλων Πράξεσιν ἐμφέρεται ὅτι δὴ πάντες οἱ τῶν ἀποστόλων γνώριμοι

---

8 Philo vol. 2. p. 471. 30 Act. 2, 45.

τὰ κτήματα καὶ τὰς ὑπάρξεις διαπιπράσκοντες ἐμέριζον ἅπασι καθ' ὃ ἄν τις χρείαν εἶχεν, ὡς μηδ' εἶναί τινα ἐνδεῆ παρ' αὐτοῖς· ὅσοι γοῦν κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, ὡς ὁ λόγος φησὶ, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, ἐτίθεσάν τε παρὰ τοὺς πόδας τῶν ἀποστόλων, ὥστε διαδίδοσθαι ἑκάστῳ καθὸ ἄν τις χρείαν εἶχεν. 7. τὰ παραπλήσια δὲ τούτοις μαρτυρήσας τοῖς δηλουμένοις ὁ Φίλων συλλαβαῖς αὐταῖς ἐπιφέρει λέγων ταῦτα περὶ αὐτῶν οὕτω "πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶ τὸ γένος· "ἔδει γὰρ ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν Ἑλλάδα "καὶ τὴν βάρβαρον. πλεονάζει δ' ἐν Αἰγύπτῳ καθ' "ἕκαστον τῶν ἐπικαλουμένων νομῶν, καὶ μάλιστα "περὶ τὴν Ἀλεξάνδρειαν. 8. οἱ δὲ πανταχόθεν ἄρι"στοι, καθάπερ εἰς πατρίδα θεραπευτῶν, ἀποικίαν "στέλλονται πρός τι χωρίον ἐπιτηδειότατον, ὅπερ "ἐστὶν ὑπὲρ λίμνης Μαρίας κείμενον ἐπὶ γεωλόφου "χθαμαλωτέρου σφόδρα εὐκαίρως, ἀσφαλείας τε ἕνεκα "καὶ ἀέρος εὐκρασίας." 9. εἶθ' ἑξῆς τὰς οἰκήσεις αὐτῶν ὁποῖαί τινες ἦσαν διαγράψας περὶ τῶν κατὰ χώραν ἐκκλησιῶν ταῦτά φησιν "ἐν ἑκάστῃ δὲ οἰκίᾳ "ἐστὶν οἴκημα ἱερὸν ὃ καλεῖται σεμνεῖον καὶ μονα"στήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυ"στήρια τελοῦνται, μηδὲν εἰσκομίζοντες, μὴ ποτὸν, "μὴ σιτίον, μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ "σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια "θεσπισθέντα διὰ προφητῶν καὶ ὕμνους, καὶ τἄλλα "οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται καὶ τελειοῦν"ται." 10. καὶ μεθ' ἕτερά φησι "τὸ δ' ἐξ ἑωθινοῦ "μέχρις ἑσπέρας διάστημα σύμπαν αὐτοῖς ἐστιν ἄσκη-

---

4 Act. 4, 34. 10 Phil. vol. 2. p. 474. 475.

σις. ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασι τὴν πάτριον φιλοσοφοῦσι σοφίαν ἀλληγοροῦντες, ἐπειδὴ σύμβολα τὰ τῆς ῥητῆς ἑρμηνείας νομίζουσιν ἀποκεκρυμμένης φύσεως, ἐν ὑπονοίαις δηλουμένης. 11. "ἔστι δ' αὐτοῖς καὶ συγγράμματα παλαιῶν ἀνδρῶν, οἳ τῆς αἱρέσεως αὐτῶν ἀρχηγέται γενόμενοι πολλὰ μνημεῖα τῆς ἐν τοῖς ἀλληγορουμένοις ἰδέας ἀπέλιπον, οἷς καθάπερ τισὶν ἀρχετύποις χρώμενοι μιμοῦνται τῆς προαιρέσεως τὸν τρόπον." 12. ταῦτα μὲν ἔοικεν εἰρῆσθαι τῷ ἀνδρὶ, τὰς ἱερὰς ἐξηγουμένων αὐτῶν ἐπακροασαμένῳ γραφάς. τάχα δ' εἰκὸς, ἃ φησιν ἀρχαίων παρ' αὐτοῖς εἶναι συγγράμματα, τά τε εὐαγγέλια καὶ τὰς τῶν ἀποστόλων γραφὰς, διηγήσεις τέ τινας κατὰ τὸ εἰκὸς τῶν πάλαι προφητῶν ἑρμηνευτικὰς, ὁποίας ἥ τε πρὸς Ἑβραίους καὶ ἄλλαι πλείους τοῦ Παύλου περιέχουσιν ἐπιστολαὶ, ταῦτ' εἶναι. 13. εἶτα πάλιν ἑξῆς περὶ τοῦ νέους αὐτοὺς ποιεῖσθαι ψαλμοὺς οὕτως γράφει "ὥστ' οὐ θεωροῦσι μόνον, ἀλλὰ καὶ ποιοῦσιν ᾄσματα καὶ ὕμνους εἰς τὸν θεὸν διὰ παντοίων μέτρων καὶ μελῶν, ῥυθμοῖς σεμνοτέροις ἀναγκαίως χαράσσοντες." 14. πολλὰ μὲν οὖν καὶ ἄλλα, περὶ ὧν ὁ λόγος, ἐν ταὐτῷ διέξεισιν, ἐκεῖνα δ' ἀναγκαῖον ἐφάνη δεῖν ἀναλέξασθαι, δι' ὧν τὰ χαρακτηριστικὰ τῆς ἐκκλησιαστικῆς ἀγωγῆς ὑποτίθεται. 15. εἰ δέ τῳ μὴ δοκεῖ τὰ εἰρημένα ἴδια εἶναι τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας, δύνασθαι δὲ καὶ ἄλλοις παρὰ τοὺς δεδηλωμένους ἁρμόττειν, πειθέσθω κἂν ἀπὸ τῶν ἑξῆς αὐτοῦ φωνῶν, ἐν αἷς ἀναμφήριστον, εἰ εὐγνωμονοίη, κομίσεται τὴν περὶ τοῦδε μαρτυρίαν. γράφει γὰρ ὧδε "ἐγκράτειαν δ' ὥσπερ τινὰ θεμέλιον

---

18 Philo vol. 2. p. 476.

"προκαταβαλλόμενοι τῇ ψυχῇ τὰς ἄλλας ἐποικοδο- "μοῦσιν ἀρετάς. σιτίον δὲ ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν "προσενέγκαιτο πρὸ ἡλίου δύσεως, ἐπεὶ τὸ μὲν φιλο- "σοφεῖν φωτὸς ἄξιον κρίνουσιν εἶναι, σκότους δὲ τὰς "τοῦ σώματος ἀνάγκας, ὅθεν τῷ μὲν ἡμέρας, ταῖς δὲ "νυκτὸς βραχύ τι μέρος ἀπένειμαν. 17. ἔνιοι δὲ καὶ "διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς, οἷς "πλείων ὁ πόθος ἐπιστήμης ἐνίδρυται, τινὲς δ' οὕτως "ἐνευφραίνονται καὶ τρυφῶσιν, ὑπὸ σοφίας ἑστιώ- "μενοι πλουσίως καὶ ἀφθόνως τὰ δόγματα χορηγού- "σης, ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν, καὶ "μόγις δι' ἓξ ἡμερῶν ἀπογεύεσθαι τροφῆς ἀναγκαίας "ἐθισθέντες." ταύτας τοῦ Φίλωνος σαφεῖς καὶ ἀναν- τιρρήτους περὶ τῶν καθ' ἡμᾶς ὑπάρχειν ἡγούμεθα λέξεις. 18. εἰ δ' ἐπὶ τούτοις ἀντιλέγων τις ἔτι σκλη- ρύνοιτο, καὶ οὗτος ἀπαλλαττέσθω τῆς δυσπιστίας, ἐναργεστέραις πειθαρχῶν ἀποδείξεσιν, ἃς οὐ παρά τισιν, ἢ μόνῃ τῇ τῶν Χριστιανῶν εὑρεῖν ἔστι κατὰ τὸ εὐαγγέλιον θρησκείᾳ. 19. φησὶ γὰρ δὴ τοῖς περὶ ὧν ὁ λόγος καὶ γυναῖκας συνεῖναι, ὧν αἱ πλεῖσται γηραλέαι τυγχάνουσι παρθένοι, τὴν ἁγνείαν οὐκ ἀνάγκῃ, καθάπερ ἔνιαι τῶν παρ' Ἕλλησιν ἱερειῶν, φυλάξασαι μᾶλλον ἢ καθ' ἑκούσιον γνώμην, διὰ ζῆλον καὶ πόθον σοφίας, ᾗ συμβιοῦν σπουδάσασαι τῶν περὶ τὸ σῶμα ἡδονῶν ἠλόγησαν, οὐ θνητῶν ἐκγόνων, ἀλλ' ἀθανάτων ὀρεχθεῖσαι, ἃ μόνη τίκτειν ἀφ' ἑαυτῆς οἵα τέ ἐστιν ἡ θεοφιλὴς ψυχή. 20. εἶθ' ὑποκαταβὰς ἐμφαντικώτερον ἐκτίθεται καὶ ταῦτα "αἱ "δ' ἐξηγήσεις τῶν ἱερῶν γραμμάτων γίνονται αὐτοῖς "δι' ὑπονοιῶν ἐν ἀλληγορίαις. ἅπασα γὰρ ἡ νομο-

19 Philo vol. 2. p. 482. 20 Ibid. p. 483.

"θεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ἐοικέναι ζώῳ, καὶ "σῶμα μὲν ἔχειν τὰς ῥητὰς λέξεις, ψυχὴν δὲ τὸν ἐνα"ποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν, ὃν ἤρξατο "διαφερόντως ἡ θρησκεία αὕτη θεωρεῖν, ὡς διὰ κατό"πτρου τῶν ὀνομάτων ἐξαίσια κάλλη νοημάτων ἐμφαι"νόμενα κατιδοῦσα." 21. τί δεῖ τούτοις ἐπιλέγειν τὰς ἐπὶ ταυτὸν συνόδους, καὶ τὰς ἰδίᾳ μὲν ἀνδρῶν, ἰδίᾳ δὲ γυναικῶν ἐν ταὐτῷ διατριβὰς, καὶ τὰς ἐξ ἔθους εἰσέτι καὶ νῦν πρὸς ἡμῶν ἐπιτελουμένας ἀσκήσεις, ἃς διαφερόντως κατὰ τὴν τοῦ σωτηρίου πάθους ἑορτὴν ἐν ἀσιτίαις καὶ διανυκτερεύσεσιν, προσοχαῖς τε τῶν θείων λόγων ἐκτελεῖν εἰώθαμεν. 22. ἃ καὶ ἐπ' ἀκριβέστερον αὐτὸς, ὃν καὶ εἰς δεῦρο τετήρηται παρὰ μόνοις ἡμῖν τρόπον, ἐπισημηνάμενος ὁ δηλωθεὶς ἀνὴρ τῇ ἰδίᾳ παραδέδωκε γραφῇ· καὶ μάλιστά γε τὰς τῆς μεγάλης ἑορτῆς παννυχίδας καὶ τὰς ἐν ταύταις ἀσκήσεις, τούς τε λέγεσθαι εἰωθότας πρὸς ἡμῶν ὕμνους ἱστορῶν, καὶ ὡς ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι τῶν ὕμνων τὰ ἀκροτελεύτια συνεξηχοῦσιν, ὅπως τε κατὰ τὰς δεδηλωμένας ἡμέρας ἐπὶ στιβάδων χαμευνοῦντες οἴνου μὲν το παράπαν, ὡς αὐτοῖς ῥήμασιν ἀνέγραψεν, οὐδ' ἀπογεύονται, ἀλλ' οὐδὲ τῶν ἐναίμων τινὸς, ὕδωρ δὲ μόνον αὐτοῖς ἐστι ποτὸν, καὶ προσόψημα μετ' ἄρτου ἅλες καὶ ὕσσωπον. 23. πρὸς τούτοις γράφει τὸν τῆς προστασίας τρόπον τῶν τὰς ἐκκλησιαστικὰς λειτουργίας ἐγκεχειρισμένων, διακονίας τε καὶ τὰς ἐπὶ πᾶσιν ἀνωτάτω τῆς ἐπισκοπῆς προεδρίας. τούτων δ' ὅτῳ πόθος ἔνεστι τῆς ἀκριβοῦς ἐπιστάσεως, μάθοι ἂν ἐκ τῆς δηλωθείσης τἀνδρὸς ἱστορίας. 24. ὅτι δὲ τοὺς

---

18 Philo vol. 2. p. 484. 25 Philo vol. 2. p. 481.

πρώτους κήρυκας τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας, τά τε ἀρχῆθεν πρὸς τῶν ἀποστόλων ἔθη παραδεδομένα καταλαβὼν ὁ Φίλων ταῦτ᾽ ἔγραφε, παντί τῳ δῆλον.

XVIII. [Nic. H. E. II, 17. 18.] Πολύς γε μὴν τῷ λόγῳ καὶ πλατὺς ταῖς διανοίαις, ὑψηλός τε ὢν καὶ μετέωρος ἐν ταῖς εἰς τὰς θείας γραφὰς θεωρίαις γεγενημένος, ποικίλην καὶ πολύτροπον τῶν ἱερῶν λόγων πεποίηται τὴν ὑφήγησιν· τοῦτο μὲν εἱρμῷ καὶ ἀκολουθίᾳ, τὴν τῶν εἰς τὴν γένεσιν διεξελθὼν πραγματείαν, ἐν οἷς ἐπέγραψε νόμων ἱερῶν ἀλληγορίαις, τοῦτο δὲ, κατὰ μέρος διαστολὰς κεφαλαίων τῶν ἐν ταῖς γραφαῖς ζητουμένων, ἐπιστάσεις τε καὶ διαλύσεις ποιούμενος, ἐν οἷς καὶ αὐτοῖς καταλλήλως τῶν ἐν γενέσει καὶ τῶν ἐν ἐξαγωγῇ ζητημάτων τε καὶ λύσεων τέθειται τὴν ἐπιγραφήν. 2. ἔστι δ᾽ αὐτῷ παρὰ ταῦτα προβλημάτων τινῶν ἰδίως πεπονημένα σπουδάσματα, οἷά ἐστι τὰ περὶ γεωργίας δύο, καὶ τὰ περὶ μέθης τοσαῦτα, καὶ ἄλλα ἄττα διαφόρου καὶ οἰκείας ἐπιγραφῆς ἠξιωμένα, οἷος ὁ περὶ ὧν νήψας ὁ νοῦς εὔχεται καὶ καταρᾶται, καὶ ὁ περὶ συγχύσεως τῶν διαλέκτων, καὶ ὁ περὶ φυγῆς καὶ αἱρέσεως, καὶ ὁ περὶ φύσεως καὶ εὑρέσεως, καὶ ὁ περὶ τῆς πρὸς τὰ παιδεύματα συνόδου, περί τε τοῦ τίς ὁ τῶν θείων ἐστὶ κληρονόμος, ἢ περὶ τῆς εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς, καὶ ἔτι ὁ περὶ τῶν τριῶν ἀρετῶν, ἃς σὺν ἄλλαις ἀνέγραψε Μωυσῆς. 3. πρὸς τούτοις ὁ περὶ τῶν μετονομαζομένων καὶ ὧν ἕνεκα μετονομάζονται, ἐν ᾧ φησι συντεταχέναι καὶ περὶ διαθηκῶν πρῶτον καὶ δεύτερον. 4. ἔστι δ᾽ αὐτοῦ καὶ περὶ ἀποικίας, καὶ βίου σοφοῦ τοῦ κατὰ δικαιοσύνην τελειωθέντος, ἢ νόμων ἀγράφων. καὶ ἔτι περὶ γιγάντων, ἢ περὶ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον, περί τε τοῦ κατὰ

Μωυσέα θεοπέμπτους εἶναι τοὺς ὀνείρους πρῶτον, δεύτερον, τρίτον, τέταρτον, πέμπτον. καὶ ταῦτα μὲν τὰ εἰς ἡμᾶς ἐλθόντα τῶν εἰς τὴν γένεσιν. 5. εἰς δὲ τὴν ἔξοδον ἔγνωμεν αὐτοῦ ζητημάτων καὶ λύσεων πρῶτον, δεύτερον, τρίτον, τέταρτον, πέμπτον. καὶ τὸ περὶ τῆς σκηνῆς, τό τε περὶ τῶν δέκα λογίων, καὶ τὰ περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τὰ συντείνοντα κεφάλαια τῶν δέκα λόγων, α΄ β΄ γ΄ δ΄. καὶ τὸ περὶ τῶν εἰς τὰς ἱερουργίας ζῴων, καὶ τίνα τὰ τῶν θυσιῶν εἴδη. καὶ τὸ περὶ τῶν προκειμένων ἐν τῷ νόμῳ τοῖς μὲν ἀγαθοῖς ἄθλων, τοῖς δὲ πονηροῖς ἐπιτιμίων καὶ ἀρῶν. 6. πρὸς τούτοις ἅπασι καὶ μονόβιβλα αὐτοῦ φέρεται, ὡς τὸ περὶ προνοίας, καὶ ὁ περὶ Ἰουδαίων αὐτῷ συνταχθεὶς λόγος, καὶ ὁ πολιτικός· ἔτι τε ὁ Ἀλέξανδρος, ἢ περὶ τοῦ λόγον ἔχειν τὰ ἄλογα ζῷα. ἐπὶ τούτοις ὁ περὶ τοῦ δοῦλον εἶναι πάντα φαῦλον, ᾧ ἑξῆς ἐστιν ὁ περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι. 7. μεθ᾽ οὓς συντέτακται αὐτῷ ὁ περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν, ἐξ οὗ τὰ περὶ τοῦ βίου τῶν ἀποστολικῶν ἀνδρῶν διεληλύθαμεν· καὶ τῶν ἐν νόμῳ δὲ καὶ προφήταις Ἑβραϊκῶν ὀνομάτων αἱ ἑρμηνεῖαι τοῦ αὐτοῦ σπουδαὶ εἶναι λέγονται. 8. οὗτος μὲν οὖν κατὰ Γάϊον ἐπὶ τῆς Ῥώμης ἀφικόμενος τὰ περὶ τῆς Γαΐου θεοστυγίας αὐτῷ γραφέντα, ἃ μετὰ ἤθους καὶ εἰρωνείας περὶ ἀρετῶν ἐπέγραψεν, ἐπὶ πάσης λέγεται τῆς Ῥωμαίων συγκλήτου κατὰ Κλαύδιον διελθεῖν, ὡς καὶ τῆς ἐν βιβλιοθήκαις ἀναθέσεως θαυμασθέντας αὐτοῦ καταξιωθῆναι τοὺς λόγους. 9. τηνικαῦτα δὲ καὶ Παύλου τὴν ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ πορείαν μέχρι τοῦ Ἰλλυρικοῦ διανύοντος, Ἰουδαίους Ῥώμης ἀπελαύνει Κλαύδιος, ὅ τε Ἀκύλας καὶ Πρίσκιλλα μετὰ τῶν ἄλλων Ἰουδαίων

τῆς Ῥώμης ἀπαλλαγέντες ἐπὶ τὴν Ἀσίαν καταίρουσιν, ἐνταῦθά τε Παύλῳ τῷ ἀποστόλῳ συνδιατρίβουσι, τοὺς αὐτόθι τῶν ἐκκλησιῶν ἄρτι πρὸς αὐτοῦ καταβληθέντας θεμελίους ἐπιστηρίζοντι. διδάσκαλος καὶ τούτων ἡ ἱερὰ τῶν Πράξεων γραφή.

XIX. [Nic. H. E. II. 26.] Ἔτι δὲ Κλαυδίου τὰ τῆς βασιλείας διέποντος, κατὰ τὴν τοῦ πάσχα ἑορτὴν τοσαύτην ἐπὶ τῶν Ἱεροσολύμων στάσιν καὶ ταραχὴν ἐγγενέσθαι συνέβη ὡς μόνων τῶν περὶ τὰς ἐξόδους τοῦ ἱεροῦ βίᾳ συνωθουμένων τρεῖς μυριάδας Ἰουδαίων ἀποθανεῖν πρὸς ἀλλήλων καταπατηθέντων, γενέσθαι τε τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει, θρῆνον δὲ καθ' ἑκάστην οἰκίαν. καὶ ταῦτα μὲν κατὰ λέξιν ὁ Ἰώσηπος. 2. Κλαύδιος δὲ Ἀγρίππαν, Ἀγρίππου παῖδα, Ἰουδαίων καθίστησι βασιλέα, Φήλικα τῆς χώρας ἁπάσης Σαμαρείας τε καὶ Γαλιλαίας καὶ προσέτι τῆς ἐπικαλουμένης Περαίας ἐπίτροπον ἐκπέμψας. διοικήσας δὲ αὐτὸς τὴν ἡγεμονίαν ἔτεσι τρισὶ καὶ δέκα πρὸς μησὶν ὀκτὼ Νέρωνα τῆς ἀρχῆς διάδοχον καταλιπὼν τελευτᾷ.

XX. [Nic. H. E. II, 26.] Κατὰ δὲ Νέρωνα Φήλικος τῆς Ἰουδαίας ἐπιτροπεύοντος αὐτοῖς ῥήμασιν αὖθις ὁ Ἰώσηπος τὴν εἰς ἀλλήλους τῶν ἱερέων στάσιν ὧδέ πως ἐν εἰκοστῷ τῆς ἀρχαιολογίας γράφει 2. "ἐξάπτεται δὲ καὶ τοῖς ἀρχιερεῦσι στάσις πρὸς τοὺς ἱερεῖς "καὶ τοὺς πρώτους τοῦ πλήθους τῶν Ἱεροσολύμων, "ἕκαστός τε αὐτῶν, στῖφος ἀνθρώπων τῶν θρασυ"τάτων καὶ νεωτεριστῶν ἑαυτῷ ποιήσας, ἡγεμὼν ἦν. "καὶ συρράσσοντες ἐκακολόγουν τε ἀλλήλους καὶ λί"θοις ἔβαλλον. ὁ δ' ἐπιπλήξων ἦν οὐδὲ εἷς, ἀλλ' ὡς

3 Act. 18, 2. 12 Ioseph. A. I. XX, 5, 3. B. I. II, 12, 1. 22 Ioseph. A. I. XX, 8, 8.

"ἐν ἀπροστατεύτῳ πόλει ταῦτ' ἐπράσσετο μετ' ἐξου-"σίας. 3. τοσαύτη δὲ τοὺς ἀρχιερεῖς κατέλαβεν ἀναί-"δεια καὶ τόλμα ὥστε ἐκπέμπειν δούλους ἐτόλμων "ἐπὶ τὰς ἅλωνας, τοὺς ληψομένους τὰς τοῖς ἱερεῦσιν "ὀφειλομένας δεκάτας. καὶ συνέβαινε τοὺς ἀπορου-"μένους τῶν ἱερέων ὑπ' ἐνδείας ἀπολλυμένους θεω-"ρεῖν· οὕτως ἐκράτει τοῦ δικαίου παντὸς ἡ τῶν στα-"σιαζόντων βία." 4. πάλιν δὲ ὁ αὐτὸς συγγραφεὺς κατὰ τοὺς αὐτοὺς χρόνους ἐν Ἱεροσολύμοις ὑποφυῆναι λῃστῶν τι εἶδος ἱστορεῖ, οἳ "μεθ' ἡμέραν" ὥς φησι "καὶ ἐν μέσῃ τῇ πόλει ἐφόνευον τοὺς συναντῶντας. 5. μάλιστα γὰρ ἐν ταῖς ἑορταῖς μιγνυμένους τῷ πλήθει, καὶ ταῖς ἐσθῆσιν ὑποκρύπτοντας μικρὰ ξιφίδια, τούτοις νύττειν τοὺς διαφόρους· ἔπειτα πεσόντων, μέρος γίνεσθαι τῶν ἐπαγανακτούντων αὐτοὺς τοὺς πεφονευκότας· διὸ καὶ παντάπασιν ὑπ' ἀξιοπιστίας ἀνευρέτους γενέσθαι. 6. πρῶτον μὲν οὖν ὑπ' αὐτῶν Ἰωνάθην τὸν ἀρχιερέα κατασφαγῆναι, μετὰ δ' αὐτὸν καθ' ἡμέραν ἀναιρεῖσθαι πολλούς, καὶ τῶν συμφορῶν τὸν φόβον εἶναι χαλεπώτερον, ἑκάστου καθάπερ ἐν πολέμῳ καθ' ὥραν τὸν θάνατον προσδεχομένου."

XXI. [Nic. H. E. II, 26.] Ἑξῆς δὲ τούτοις ἐπιφέρει μεθ' ἕτερα λέγων "μείζονι δὲ τούτων πληγῇ Ἰου-"δαίους ἐκάκωσεν ὁ Αἰγύπτιος ψευδοπροφήτης. παρα-"γενόμενος γὰρ εἰς τὴν χώραν ἄνθρωπος γόης, καὶ "προφήτου πίστιν ἐπιθεὶς ἑαυτῷ, περὶ τρισμυρίους "μὲν ἀθροίζει τῶν ἠπατημένων, περιαγαγὼν δ' αὐ-"τοὺς ἐκ τῆς ἐρημίας εἰς τὸ ἐλαιῶν καλούμενον ὄρος "ἐκεῖθεν οἷός τε ἦν εἰς Ἱεροσόλυμα παρελθεῖν βιά-"ζεσθαι, καὶ κρατήσας τῆς τε Ῥωμαϊκῆς φρουρᾶς καὶ "τοῦ δήμου τυραννεῖν, χρώμενος τοῖς συνεισπεσοῦσι

9 Ioseph. B. I. II, 13, 3. 23 Ioseph. B. I. II, 13, 5.

"δορυφόροις. 2. φθάνει δ' αὐτοῦ τὴν ὁρμὴν Φῆλιξ, "ὑπαντήσας μετὰ τῶν Ῥωμαϊκῶν ὁπλιτῶν. καὶ πᾶς "ὁ δῆμος συνεφήψατο τῆς ἀμύνης, ὥστε συμβολῆς "γενομένης τὸν μὲν Αἰγύπτιον φυγεῖν μετ' ὀλίγων, "διαφθαρῆναι δὲ καὶ ζωγρηθῆναι πλείστους τῶν σὺν "αὐτῷ." 3. ταῦτα ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν ὁ Ἰώσηπος· ἐπιστῆσαι δὲ ἄξιον τοῖς ἐνταῦθα κατὰ τὸν Αἰγύπτιον δεδηλωμένοις καὶ τοῖς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων. ἔνθα τὰ κατὰ Φήλικα πρὸς τοῦ ἐν Ἱεροσολύμοις χιλιάρχου εἴρηται τῷ Παύλῳ, ὁπηνίκα κατεστασίαζεν αὐτοῦ τὸ τῶν Ἰουδαίων πλῆθος· "οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν ἐν τῇ ἐρήμῳ τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;" ἀλλὰ τὰ μὲν κατὰ Φήλικα τοιαῦτα.

XXII. [Nic. H. E. II, 28—33.] Τούτου δὲ Φῆστος ὑπὸ Νέρωνος διάδοχος πέμπεται, καθ' ὃν δικαιολογησάμενος ὁ Παῦλος δέσμιος ἐπὶ Ῥώμης ἄγεται. Ἀρίσταρχος δ' αὐτῷ συνῆν, ὃν καὶ εἰκότως συναιχμάλωτόν που τῶν ἐπιστολῶν ἀποκαλεῖ. καὶ Λουκᾶς δὲ, ὁ τὰς πράξεις τῶν ἀποστόλων γραφῇ παραδοὺς, ἐν τούτοις κατέλυσε τὴν ἱστορίαν, διετίαν ὅλην ἐπὶ τῆς Ῥώμης τὸν Παῦλον ἄνετον διαστρῖψαι, καὶ τὸν τοῦ θεοῦ λόγον ἀκωλύτως κηρῦξαι ἐπισημηνάμενος. 2. τότε μὲν οὖν ἀπολογησάμενον αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν λόγος ἔχει στείλασθαι τὸν ἀπόστολον, δεύτερον δ' ἐπιβάντα τῇ αὐτῇ πόλει τῷ κατ' αὐτὸν τελειωθῆναι μαρτυρίῳ. ἐν ᾧ δεσμοῖς ἐχόμενος τὴν πρὸς Τιμόθεον δευτέραν ἐπιστολὴν συντάττει, ὁμοῦ σημαίνων τήν τε προτέραν αὐτῷ γενομένην

---

12 Act. 21, 38. 20 Col. 4, 10. 21 Act. 28, 30.

ἀπολογίαν καὶ τὴν παρὰ πόδας τελείωσιν. 3. δέχου δὴ καὶ τούτων τὰς αὐτοῦ μαρτυρίας· "ἐν τῇ πρώτῃ μου, φησὶν, ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον, (μὴ αὐτοῖς λογισθείη), ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέ με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσωσι πάντα τὰ ἔθνη, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος." 4. σαφῶς δὴ παρίστησι διὰ τούτων ὅτι δὴ τὸ πρότερον, ὅπως ἂν τὸ κήρυγμα τὸ δι' αὐτοῦ πληρωθείη, ἐρρύσθη ἐκ στόματος λέοντος, (τὸν Νέρωνα ταύτῃ, ὡς ἔοικε, διὰ τὸ ὠμόθυμον προσειπών). οὐκ οὖν ἑξῆς προστέθεικε παραπλήσιόν τι τῷ "ῥύσεταί με ἐκ στόματος λέοντος." ἑώρα γὰρ τῷ πνεύματι τὴν ὅσον οὔπω μέλλουσαν αὐτοῦ τελευτήν. 5. διό φησιν ἐπιλέγων τῷ "καὶ ἐρρύσθην ἐκ στόματος λέοντος" τὸ "ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον," σημαίνων τὸ παραυτίκα μαρτύριον, ὃ καὶ σαφέστερον ἐν τῇ αὐτῇ προλέγει γραφῇ φάσκων "ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν." 6. νῦν μὲν οὖν ἐπὶ τῆς δευτέρας ἐπιστολῆς τῶν πρὸς Τιμόθεον τὸν Λουκᾶν μόνον γράφοντι αὐτῷ συνεῖναι δηλοῖ, κατὰ δὲ τὴν προτέραν ἀπολογίαν οὐδὲ τοῦτον. ὅθεν εἰκότως τὰς τῶν ἀποστόλων πράξεις ἐπ' ἐκεῖνον ὁ Λουκᾶς περιέγραψε τὸν χρόνον, τὴν μέχρις ὅτε τῷ Παύλῳ συνῆν ἱστορίαν ὑφηγησάμενος. 7. ταῦτα δὲ ἡμῖν εἴρηται παρισταμένοις ὅτι μὴ καθ' ἣν ὁ Λουκᾶς ἀνέγραψεν ἐπὶ τῆς Ῥώμης ἐπιδημίαν τοῦ Παύλου τὸ μαρτύριον αὐτῷ συνεπεράνθη. 8. εἰκός γέ τοι κατὰ μὲν ἀρχὰς ἠπιώτερον τοῦ Νέρωνος διακειμένου

2 2. Tim. 4, 16. 19 2. Tim. 4, 6.

ῥᾷον τὴν ὑπὲρ τοῦ δόγματος τοῦ Παύλου καταδεχθῆναι ἀπολογίαν, προελθόντος δὲ εἰς ἀθεμίτους τόλμας μετὰ τῶν ἄλλων καὶ τὰ κατὰ τῶν ἀποστόλων ἐπιχειρῆσαι.

XXIII. [Nic. H. E. II, 38.] Ἰουδαῖοί γε μὴν τοῦ Παύλου Καίσαρα ἐπικαλεσαμένου, ἐπί τε τὴν Ῥωμαίων πόλιν ὑπὸ Φήστου παραπεμφθέντος, τῆς ἐλπίδος καθ' ἣν ἐξήρτυον αὐτῷ τὴν ἐπιβουλὴν ἀποπεσόντες, ἐπὶ Ἰάκωβον τὸν τοῦ κυρίου τρέπονται ἀδελφὸν, ᾧ πρὸς τῶν ἀποστόλων ὁ τῆς ἐπισκοπῆς τῆς ἐν Ἱεροσολύμοις ἐγκεχείριστο θρόνος. τοιαῦτα δὲ αὐτοῖς καὶ τὰ κατὰ τούτου τολμᾶται. 2. εἰς μέσον αὐτὸν ἀγαγόντες ἄρνησιν τῆς εἰς τὸν Χριστὸν πίστεως ἐπὶ παντὸς ἐξήτουν τοῦ λαοῦ. τοῦ δὲ παρὰ τὴν ἁπάντων γνώμην ἐλευθέρᾳ φωνῇ καὶ μᾶλλον ἢ προσεδόκησαν ἐπὶ τῆς πληθύος ἁπάσης παρρησιασαμένου, καὶ ὁμολογήσαντος υἱὸν εἶναι τοῦ θεοῦ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν, μηκέθ' οἷοί τε τὴν τοῦ ἀνδρὸς μαρτυρίαν φέρειν, τῷ καὶ δικαιότατον αὐτὸν παρὰ τοῖς πᾶσι δι' ἀκρότητα ἧς μετήει κατὰ τὸν βίον φιλοσοφίας τε καὶ θεοσεβείας πιστεύεσθαι, κτείνουσι, καιρὸν εἰς ἐξουσίαν λαβόντες τὴν ἀναρχίαν, ὅτι δὴ τοῦ Φήστου κατ' αὐτὸ τοῦ καιροῦ ἐπὶ τῆς Ἰουδαίας τελευτήσαντος ἄναρχα καὶ ἀνεπιτρόπευτα τὰ τῆς αὐτόθι διοικήσεως καθειστήκει. 3. τὸν δὲ τῆς τοῦ Ἰακώβου τελευτῆς τρόπον ἤδη μὲν πρότερον αἱ παρατεθεῖσαι τοῦ Κλήμεντος φωναὶ δεδηλώκασιν, ἀπὸ τοῦ πτερυγίου βεβλῆσθαι ξύλῳ τε τὴν πρὸς θάνατον πεπλῆχθαι αὐτὸν ἱστορηκότος. ἀκριβέστατά γε μὴν τὰ κατ' αὐτὸν ὁ Ἡγήσιππος, ἐπὶ τῆς πρώτης τῶν

---

26 πρότερον] II, 1. p. 45, 23.

ἀποστόλων γενόμενος διαδοχῆς, ἐν τῷ πέμπτῳ αὐτοῦ ὑπομνήματι τοῦτον λέγων ἱστορεῖ τὸν τρόπον "δια-"δέχεται δὲ τὴν ἐκκλησίαν μετὰ τῶν ἀποστόλων ὁ "ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ "πάντων δίκαιος ἀπὸ τῶν τοῦ κυρίου χρόνων μέχρι "καὶ ἡμῶν· ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο. 5. οὗτος "δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν. οἶνον καὶ σί-"κερα οὐκ ἔπιεν, οὐδὲ ἔμψυχον ἔφαγε. ξυρὸν ἐπὶ "τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀνέβη, ἔλαιον οὐκ ἠλείψατο, "καὶ βαλανείῳ οὐκ ἐχρήσατο. 6. τούτῳ μόνῳ ἐξῆν "εἰς τὰ ἅγια εἰσιέναι. οὐδὲ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ "σινδόνας. καὶ μόνος εἰσήρχετο εἰς τὸν ναὸν, ηὑρί-"σκετό τε κείμενος ἐπὶ τοῖς γόνασι, καὶ αἰτούμενος "ὑπὲρ τοῦ λαοῦ ἄφεσιν, ὡς ἀπεσκληκέναι τὰ γόνατα "αὐτοῦ δίκην καμήλου, διὰ τὸ ἀεὶ κάμπτειν προσκυ-"νοῦντα τῷ θεῷ τὰ γόνατα καὶ αἰτεῖσθαι ἄφεσιν τῷ "λαῷ. 7. διά γέ τοι τὴν ὑπερβολὴν τῆς δικαιοσύνης "αὐτοῦ ἐκαλεῖτο δίκαιος καὶ ὠβλίας, ὅ ἐστιν Ἑλλη-"νιστὶ περιοχὴ τοῦ λαοῦ καὶ δικαιοσύνη, ὡς οἱ προ-"φῆται δηλοῦσι περὶ αὐτοῦ. 8. τινὲς οὖν τῶν ἑπτὰ "αἱρέσεων τῶν ἐν τῷ λαῷ, τῶν προγεγραμμένων μοι "ἐν τοῖς ὑπομνήμασιν, ἐπυνθάνοντο αὐτοῦ τίς ἡ θύρα "τοῦ Ἰησοῦ. καὶ ἔλεγε τοῦτον εἶναι τὸν σωτῆρα. 9. ἐξ "ὧν τινες ἐπίστευσαν ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός. αἱ "δὲ αἱρέσεις αἱ προειρημέναι οὐκ ἐπίστευον οὔτε ἀνά-"στασιν οὔτε ἐρχόμενον ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ "ἔργα αὐτοῦ. ὅσοι δὲ καὶ ἐπίστευσαν, διὰ Ἰάκωβον. "10. πολλῶν οὖν καὶ τῶν ἀρχόντων πιστευόντων ἦν "θόρυβος τῶν Ἰουδαίων καὶ γραμματέων καὶ Φαρι-"σαίων λεγόντων ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν "τὸν Χριστὸν προσδοκᾶν. ἔλεγον οὖν συνελθόντες "τῷ Ἰακώβῳ· παρακαλοῦμέν σε, ἐπίσχες τὸν λαὸν,

"ἐπεὶ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ. παρακαλοῦμέν σε πεῖσαι πάντας τοὺς ἐλθόντας εἰς τὴν ἡμέραν τοῦ πάσχα περὶ Ἰησοῦ. σοὶ γὰρ πάντες πειθόμεθα. ἡμεῖς γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαὸς ὅτι δίκαιος εἶ καὶ ὅτι πρόσωπον οὐ λαμβάνεις. 11. πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλανᾶσθαι. καὶ γὰρ πᾶς ὁ λαὸς καὶ πάντες πειθόμεθά σοι. στῆθι οὖν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ᾖς ἐπιφανὴς καὶ ᾖ εὐάκουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. διὰ γὰρ τὸ πάσχα συνεληλύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν. 12. ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ναοῦ, καὶ ἔκραξαν αὐτῷ καὶ εἶπαν, δίκαιε, ᾧ πάντες πείθεσθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ. 13. καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ, τί με ἐπερωτᾶτε περὶ Ἰησοῦ τοῦ υἱοῦ τοῦ ἀνθρώπου; καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. 14. καὶ πολλῶν πληροφορηθέντων, καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου, καὶ λεγόντων ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, τότε πάλιν οἱ αὐτοὶ γραμματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον, κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ· ἀλλὰ ἀναβάντες καταβάλωμεν αὐτὸν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ. 15. καὶ ἔκραξαν λέγοντες, ὢ ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη. καὶ ἐπλήρωσαν τὴν γραφὴν τὴν ἐν τῷ Ἡσαΐᾳ γεγραμμένην· ἄρωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι· τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. 16.

29 Ies. 3, 10.

ἀναβάντες οὖν κατέβαλον τὸν δίκαιον, καὶ ἔλεγον ἀλλήλοις, λιθάσωμεν Ἰάκωβον τὸν δίκαιον. καὶ ἤρξαντο λιθάζειν αὐτόν, ἐπεὶ καταβληθεὶς οὐκ ἀπέθανεν, ἀλλὰ στραφεὶς ἔθηκε τὰ γόνατα λέγων, παρακαλῶ, κύριε θεὲ πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. 17. οὕτω δὲ καταλιθοβολούντων αὐτὸν εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ υἱοῦ Ῥαχαβεὶμ τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου τοῦ προφήτου ἔκραζε λέγων, παύσασθε· τί ποιεῖτε; εὔχεται ὑπὲρ ὑμῶν ὁ δίκαιος. 18. καὶ λαβών τις ἀπ' αὐτῶν εἷς τῶν γναφέων τὸ ξύλον, ἐν ᾧ ἀπεπίεζε τὰ ἱμάτια, ἤνεγκε κατὰ τῆς κεφαλῆς τοῦ δικαίου. καὶ οὕτως ἐμαρτύρησεν. καὶ ἔθαψαν αὐτὸν ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ, καὶ ἔτι αὐτοῦ ἡ στήλη μένει παρὰ τῷ ναῷ. μάρτυς οὗτος ἀληθὴς Ἰουδαίοις τε καὶ Ἕλλησι γεγένηται ὅτι Ἰησοῦς ὁ Χριστός ἐστιν. καὶ εὐθὺς Οὐεσπασιανὸς πολιορκεῖ αὐτούς." 19. ταῦτα διὰ πλάτους συνῳδὰ τῷ Κλήμεντι καὶ ὁ Ἡγήσιππος. οὕτω δὲ ἄρα θαυμάσιός τις ἦν καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἐπὶ δικαιοσύνῃ βεβόητο ὁ Ἰάκωβος ὡς καὶ τοὺς Ἰουδαίων ἔμφρονας δοξάζειν ταύτην εἶναι τὴν αἰτίαν τῆς παραχρῆμα μετὰ τὸ μαρτύριον αὐτοῦ πολιορκίας τῆς Ἱερουσαλήμ, ἣν δι' οὐδὲν ἕτερον αὐτοῖς συμβῆναι ἢ διὰ τὸ κατ' αὐτοῦ τολμηθὲν ἄγος. 20. ἀμέλει γέ τοι καὶ ὁ Ἰώσηπος οὐκ ἀπώκνησε καὶ τοῦτ' ἐγγράφως ἐπιμαρτύρασθαι δι' ὧν φησι λέξεων "ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις κατ' ἐκδίκησιν Ἰακώβου τοῦ δικαίου, ὃς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ, ἐπειδήπερ δικαιότατον αὐτὸν ὄντα οἱ Ἰουδαῖοι ἀπέκτειναν." 21. ὁ δ' αὐτὸς καὶ τὸν θάνατον αὐτοῦ ἐν εἰκοστῷ τῆς ἀρχαιολογίας δηλοῖ διὰ τούτων· "πέμπει

31 Ioseph. A. I. XX, 9, 1.

"δὲ Καῖσαρ Ἀλβῖνον εἰς τὴν Ἰουδαίαν ἔπαρχον, Φήστου τὴν τελευτὴν πυθόμενος. ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύνην εἴπαμεν παρειληφέναι, θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς διαφερόντως, αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν. 22. ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον, διὰ τὸ τεθνάναι μὲν Φῆστον, Ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν, καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ Χριστοῦ λεγομένου, Ἰάκωβος ὄνομα αὐτῷ, καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν ποιησάμενος παρέδωκε λευσθησομένους. 23. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρύφα, παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν· μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. τινὲς δὲ αὐτῶν καὶ τὸν Ἀλβῖνον ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα, καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς αὐτοῦ γνώμης καθίσαι συνέδριον. 24. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ, λήψεσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. καὶ ὁ βασιλεὺς δὲ Ἀγρίππας διὰ τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτοῦ ἄρξαντος μῆνας τρεῖς, Ἰησοῦν τὸν τοῦ Δαμμαίου κατέστησεν." τοιαῦτα καὶ τὰ κατὰ Ἰάκωβον, οὗ ἡ πρώτη τῶν ὀνομαζομένων καθολικῶν ἐπιστολῶν εἶναι λέγεται. 25. ἰστέον δὲ ὡς νοθεύεται μὲν, (οὐ πολλοὶ γοῦν τῶν παλαιῶν αὐτῆς ἐμνημόνευσαν, ὡς οὐδὲ τῆς λεγομένης Ἰούδα, μιᾶς καὶ αὐτῆς οὔσης τῶν ἑπτὰ λεγομένων καθολικῶν),

ὅμως δ' ἴσμεν καὶ ταύτας μετὰ τῶν λοιπῶν ἐν πλείσταις δεδημοσιευμένας ἐκκλησίαις.

XXIV. [Nic. H. E. II, 15.] Νέρωνος δὲ ὄγδοον ἄγοντος τῆς βασιλείας ἔτος πρῶτος μετὰ Μάρκον τὸν εὐαγγελιστὴν τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας Ἀννιανὸς τὴν λειτουργίαν διαδέχεται.

XXV. [Nic. H. E. II, 34—37]. Κραταιουμένης δὲ ἤδη τῷ Νέρωνι τῆς ἀρχῆς, εἰς ἀνοσίους ἐξοκείλας ἐπιτηδεύσεις κατ' αὐτῆς ὡπλίζετο τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας. γράφειν μὲν οὖν οἷός τις οὗτος γεγένηται τὴν μοχθηρίαν οὐ τῆς παρούσης γένοιτ' ἂν σχολῆς. 2. πολλῶν γε μὴν τὰ κατ' αὐτὸν ἀκριβεστάταις παραδεδωκότων διηγήσεσι, πάρεστιν ὅτῳ φίλον ἐξ αὐτῶν τὴν σκαιότητα τῆς τἀνδρὸς ἐκτόπου καταθεωρῆσαι μανίας, καθ' ἣν, οὐ μετὰ λογισμοῦ, μυρίων ὅσων ἀπωλείας διεξελθὼν ἐπὶ τοσαύτην ἤλασε μιαιφονίαν ὡς μηδὲ τῶν οἰκειοτάτων τε καὶ φιλτάτων ἐπισχεῖν, μητέρα δὲ ὁμοίως καὶ ἀδελφοὺς καὶ γυναῖκα σὺν καὶ ἄλλοις μυρίοις τῷ γένει προσήκουσι τρόπον ἐχθρῶν καὶ πολεμίων ποικίλαις θανάτων ἰδέαις διαχρήσασθαι. 3. ἐνέδει δὲ ἄρα τοῖς πᾶσι καὶ τοῦτ' ἐπιγραφῆναι αὐτῷ, ὡς ἂν πρῶτος αὐτοκρατόρων τῆς εἰς τὸ θεῖον εὐσεβείας πολέμιος ἀναδειχθείη. 4. τούτου δὲ πάλιν ὁ Ῥωμαῖος Τερτυλλιανὸς ὧδέ πως λέγων μνημονεύει "ἐντύχετε τοῖς "ὑπομνήμασιν ὑμῶν. ἐκεῖ εὑρήσετε πρῶτον Νέρωνα "τοῦτο τὸ δόγμα, ἡνίκα μάλιστα ἐν Ῥώμῃ τὴν ἀνα-"τολὴν πᾶσαν ὑποτάξας ὠμὸς ἦν εἰς πάντας, διώ-"ξαντα. τοιούτῳ τῆς κολάσεως ἡμῶν ἀρχηγῷ καυχώ-"μεθα. ὁ γὰρ εἰδὼς ἐκεῖνον νοῆσαι δύναται, ὡς οὐκ "ἄν, εἰ μὴ μέγα τι ἀγαθὸν ἦν, ὑπὸ Νέρωνος κατα-"κριθῆναι." 5. ταύτῃ γοῦν οὗτος θεομάχος ἐν τοῖς

μάλιστα πρῶτος ἀνακηρυχθεὶς ἐπὶ τὰς κατὰ τῶν ἀποστόλων ἐπήρθη σφαγάς. Παῦλος δὴ οὖν ἐπ' αὐτῆς Ῥώμης τὴν κεφαλὴν ἀποτμηθῆναι, καὶ Πέτρος ὡσαύτως ἀνασκολιπισθῆναι κατ' αὐτὸν ἱστοροῦνται. καὶ πιστοῦταί γε τὴν ἱστορίαν ἡ Πέτρου καὶ Παύλου εἰς δεῦρο κρατήσασα ἐπὶ τῶν αὐτόθι κοιμητηρίων πρόσρησις. 6. οὐδὲν δ' ἧττον καὶ ἐκκλησιαστικὸς ἀνήρ, Γάϊος ὀνόματι, κατὰ Ζεφυρῖνον Ῥωμαίων γεγονὼς ἐπίσκοπον· ὃς δὴ Πρόκλῳ τῆς κατὰ Φρύγας προϊσταμένῳ γνώμης ἐγγράφως διαλεχθεὶς αὐτὰ δὴ ταῦτα περὶ τῶν τόπων, ἔνθα τῶν εἰρημένων ἀποστόλων τὰ ἱερὰ σκηνώματα κατατέθειται, φησίν 7. "ἐγὼ δὲ τὰ τρόπαια τῶν ἀποστόλων ἔχω δεῖξαι. ἐὰν γὰρ θελήσῃς ἀπελθεῖν ἐπὶ τὸν Βατικανὸν, ἢ ἐπὶ τὴν ὁδὸν τὴν Ὠστίαν, εὑρήσεις τὰ τρόπαια τῶν ταύτην ἱδρυσαμένων τὴν ἐκκλησίαν." 8. ὡς δὲ κατὰ τὸν αὐτὸν ἄμφω καιρὸν ἐμαρτύρησαν, Κορινθίων ἐπίσκοπος Διονύσιος ἐγγράφως Ῥωμαίοις ὁμιλῶν ὧδέ πως παρίστησιν "ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Πέτρου καὶ Παύλου φυτείαν γενηθεῖσαν Ῥωμαίων τε καὶ Κορινθίων συνεκεράσατε. καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φυτεύσαντες ἡμᾶς ὁμοίως ἐδίδαξαν· ὁμοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ὁμόσε διδάξαντες ἐμαρτύρησαν κατὰ τὸν αὐτὸν καιρόν." καὶ ταῦτα δὲ, ὡς ἂν ἔτι μᾶλλον πιστωθείη τὰ τῆς ἱστορίας.

XXVI. [Nic. H. E. III, 3.] Αὖθις δ' ὁ Ἰώσηπος πλεῖστα ὅσα περὶ τῆς τὸ πᾶν Ἰουδαίων ἔθνος καταλαβούσης διελθὼν συμφορᾶς δηλοῖ κατὰ λέξιν, ἐπὶ πλείστοις ἄλλοις μυρίους ὅσους τῶν παρὰ Ἰουδαίοις

29 Ioseph. B. I. II, 14, 9.

τετιμημένων μάστιξιν αἰκισθέντας ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ ἀνασταυρωθῆναι ὑπὸ Φλώρου. τοῦτον δὲ εἶναι τῆς Ἰουδαίας ἐπίτροπον, ὁπηνίκα τὴν ἀρχὴν ἀναρριπισθῆναι τοῦ πολέμου, ἔτους δωδεκάτου τῆς Νέρωνος ἡγεμονίας, συνέβη. 2. εἶτα δὲ καὶ καθ' ὅλην τὴν Συρίαν ἐπὶ τῇ τῶν Ἰουδαίων ἀποστάσει δεινήν φησι κατειληφέναι ταραχήν, πανταχόσε τῶν ἀπὸ τοῦ ἔθνους πρὸς τῶν κατὰ πόλιν ἐνοίκων ὡσὰν πολεμίων ἀνηλεῶς πορθουμένων, ὥστε ὁρᾶν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους, γύναιά τε μηδὲ τῆς ἐπ' αἰδοῖ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπαρχίον μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις ἀνάτασιν. ταῦτα κατὰ λέξιν ὁ Ἰώσηπος. καὶ τὰ μὲν κατὰ Ἰουδαίους ἐν τούτοις ἦν.

ΛΟΓΟΣ Γ.

1. [Nic. H. E. II, 39—44. III, 1.] *Τὰ μὲν δὴ κατὰ Ἰουδαίους ἐν τούτοις ἦν. τῶν δὲ ἱερῶν τοῦ σωτῆρος ἡμῶν ἀποστόλων τε καὶ μαθητῶν ἐφ' ἅπασαν κατασπαρέντων τὴν οἰκουμένην, Θωμᾶς μέν, ὡς ἡ παράδοσις περιέχει, τὴν Παρθίαν εἴληχεν, Ἀνδρέας δὲ τὴν Σκυθίαν, Ἰωάννης τὴν Ἀσίαν, πρὸς οὓς καὶ διατρίψας ἐν Ἐφέσῳ τελευτᾷ. 2. Πέτρος δὲ ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Βιθυνίᾳ Καππαδοκίᾳ τε καὶ Ἀσίᾳ κεκηρυχέναι τοῖς ἐν διασπορᾷ Ἰουδαίοις ἔοικεν· ὃς*

7 Ioseph. B. I. II, 18, 2.

μάλιστα πρῶτος ἀνακηρυχθεὶς ἐπὶ τὰς κατὰ τῶν ἀποστόλων ἐπήρθη σφαγάς. Παῦλος δὴ οὖν ἐπ' αὐτῆς Ῥώμης τὴν κεφαλὴν ἀποτμηθῆναι, καὶ Πέτρος ὡσαύτως ἀνασκολιπισθῆναι κατ' αὐτὸν ἱστοροῦνται. καὶ πιστοῦταί γε τὴν ἱστορίαν ἡ Πέτρου καὶ Παύλου εἰς δεῦρο κρατήσασα ἐπὶ τῶν αὐτόθι κοιμητηρίων πρόσρησις. 6. οὐδὲν δ' ἧττον καὶ ἐκκλησιαστικὸς ἀνήρ, Γάϊος ὀνόματι, κατὰ Ζεφυρῖνον Ῥωμαίων γεγονὼς ἐπίσκοπον· ὃς δὴ Πρόκλῳ τῆς κατὰ Φρύγας προϊσταμένῳ γνώμης ἐγγράφως διαλεχθεὶς αὐτὰ δὴ ταῦτα περὶ τῶν τόπων, ἔνθα τῶν εἰρημένων ἀποστόλων τὰ ἱερὰ σκηνώματα κατατέθειται, φησίν 7. "ἐγὼ δὲ τὰ τρόπαια τῶν ἀποστόλων ἔχω δεῖξαι. ἐὰν γὰρ θελήσῃς ἀπελθεῖν ἐπὶ τὸν Βατικανὸν, ἢ ἐπὶ τὴν ὁδὸν τὴν Ὠστίαν, εὑρήσεις τὰ τρόπαια τῶν ταύτην ἱδρυσαμένων τὴν ἐκκλησίαν." 8. ὡς δὲ κατὰ τὸν αὐτὸν ἄμφω καιρὸν ἐμαρτύρησαν, Κορινθίων ἐπίσκοπος Διονύσιος ἐγγράφως Ῥωμαίοις ὁμιλῶν ὧδέ πως παρίστησιν "ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Πέτρου καὶ Παύλου φυτείαν γενηθεῖσαν Ῥωμαίων τε καὶ Κορινθίων συνεκεράσατε. καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φυτεύσαντες ἡμᾶς ὁμοίως ἐδίδαξαν· ὁμοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ὁμόσε διδάξαντες ἐμαρτύρησαν κατὰ τὸν αὐτὸν καιρόν." καὶ ταῦτα δὲ, ὡς ἂν ἔτι μᾶλλον πιστωθείη τὰ τῆς ἱστορίας.

XXVI. [Nic. H. E. III, 3.] *Αὖθις* δ' ὁ Ἰώσηπος πλεῖστα ὅσα περὶ τῆς τὸ πᾶν Ἰουδαίων ἔθνος καταλαβούσης διελθὼν συμφορᾶς δηλοῖ κατὰ λέξιν, ἐπὶ πλείστοις ἄλλοις μυρίους ὅσους τῶν παρὰ Ἰουδαίοις

---

29 Ioseph. B. I. II, 14, 9.

τετιμημένων μάστιξιν αἰκισθέντας ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ ἀνασταυρωθῆναι ὑπὸ Φλώρου. τοῦτον δὲ εἶναι τῆς Ἰουδαίας ἐπίτροπον, ὁπηνίκα τὴν ἀρχὴν ἀναρριπισθῆναι τοῦ πολέμου, ἔτους δωδεκάτου τῆς Νέρωνος ἡγεμονίας, συνέβη. 2. εἶτα δὲ καὶ καθ' ὅλην τὴν Συρίαν ἐπὶ τῇ τῶν Ἰουδαίων ἀποστάσει δεινήν φησι κατειληφέναι ταραχὴν, πανταχόσε τῶν ἀπὸ τοῦ ἔθνους πρὸς τῶν κατὰ πόλιν ἐνοίκων ὡσὰν πολεμίων ἀνηλεῶς πορθουμένων, ὥστε ὁρᾶν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους, γύναιά τε μηδὲ τῆς ἐπ' αἰδοῖ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπάρχιον μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις ἀνάτασιν. ταῦτα κατὰ λέξιν ὁ Ἰώσηπος. καὶ τὰ μὲν κατὰ Ἰουδαίους ἐν τούτοις ἦν.

ΛΟΓΟΣ Γ.

I. [Nic. H. E. II, 39—44. III, 1.] *Τὰ μὲν δὴ κατὰ Ἰουδαίους ἐν τούτοις ἦν. τῶν δὲ ἱερῶν τοῦ σωτῆρος ἡμῶν ἀποστόλων τε καὶ μαθητῶν ἐφ' ἅπασαν κατασπαρέντων τὴν οἰκουμένην, Θωμᾶς μὲν, ὡς ἡ παράδοσις περιέχει, τὴν Παρθίαν εἴληχεν, Ἀνδρέας δὲ τὴν Σκυθίαν, Ἰωάννης τὴν Ἀσίαν, πρὸς οὓς καὶ διατρίψας ἐν Ἐφέσῳ τελευτᾷ.* 2. *Πέτρος δὲ ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Βιθυνίᾳ Καππαδοκίᾳ τε καὶ Ἀσίᾳ κεκηρυχέναι τοῖς ἐν διασπορᾷ Ἰουδαίοις ἔοικεν· ὃς*

---

7 Ioseph. B. I. II, 18, 2.

καὶ ἐπὶ τέλει ἐν Ῥώμῃ γενόμενος ἀνεσκολοπίσθη κατὰ κεφαλῆς, οὕτως αὐτὸς ἀξιώσας παθεῖν. 3. τί δεῖ περὶ Παύλου λέγειν, ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκότος τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ὕστερον ἐν τῇ Ῥώμῃ ἐπὶ Νέρωνος μεμαρτυρηκότος; ταῦτα Ὠριγένει κατὰ λέξιν ἐν τρίτῳ τόμῳ τῶν εἰς τὴν Γένεσιν ἐξηγητικῶν εἴρηται.

II. [Nic. H. E. III, 2.] Τῆς δὲ Ῥωμαίων ἐκκλησίας μετὰ τὴν Παύλου καὶ Πέτρου μαρτυρίαν πρῶτος κληροῦται τὴν ἐπισκοπὴν Λίνος. μνημονεύει τούτου Τιμοθέῳ γράφων ἀπὸ Ῥώμης ὁ Παῦλος κατὰ τὴν ἐπὶ τέλει τῆς ἐπιστολῆς πρόσρησιν.

III. [Nic. H. E. II, 45. 46.] Πέτρου μὲν οὖν ἐπιστολὴ μία ἡ λεγομένη αὐτοῦ προτέρα ἀνωμολόγηται· ταύτῃ δὲ καὶ οἱ πάλαι πρεσβύτεροι ὡς ἀναμφιλέκτῳ ἐν τοῖς σφῶν αὐτῶν κατακέχρηνται συγγράμμασι. τὴν δὲ φερομένην αὐτοῦ δευτέραν οὐκ ἐνδιάθηκον μὲν εἶναι παρειλήφαμεν, ὅμως δὲ πολλοῖς χρήσιμος φανεῖσα μετὰ τῶν ἄλλων ἐσπουδάσθη γραφῶν. 2. τό γε μὴν τῶν ἐπικεκλημένων αὐτοῦ πράξεων, καὶ τὸ κατ᾽ αὐτὸν ὠνομασμένον εὐαγγέλιον, τό τε λεγόμενον αὐτοῦ κήρυγμα, καὶ τὴν καλουμένην ἀποκάλυψιν οὐδ᾽ ὅλως ἐν καθολικαῖς ἴσμεν παραδεδομένα, ὅτι μήτε ἀρχαίων μήτε τῶν καθ᾽ ἡμᾶς τις ἐκκλησιαστικὸς συγγραφεὺς ταῖς ἐξ αὐτῶν συνεχρήσατο μαρτυρίαις. 3. προϊούσης δὲ τῆς ἱστορίας προὔργου ποιήσομαι σὺν ταῖς διαδοχαῖς ὑποσημήνασθαι τίνες τῶν κατὰ χρόνους ἐκκλησιαστικῶν συγγραφέων ὁποίαις κέχρηνται τῶν ἀντιλεγομένων, τίνα τε περὶ τῶν ἐνδιαθήκων καὶ ὁμολογουμένων γραφῶν, καὶ ὅσα περὶ τῶν μὴ τοιούτων αὐτοῖς εἴρηται. 4. ἀλλὰ τὰ μὲν ὀνομαζόμενα Πέτρου, ὧν μόνην μίαν γνησίαν ἔγνων ἐπιστολὴν καὶ

παρὰ τοῖς πάλαι πρεσβυτέροις ὡμολογημένην, τοσαῦτα. 5. τοῦ δὲ Παύλου πρόδηλοι καὶ σαφεῖς αἱ δεκατέσσαρες ἐπιστολαί. ὅτι γε μήν τινες ἠθετήκασι τὴν πρὸς Ἑβραίους, πρὸς τῆς Ῥωμαίων ἐκκλησίας ὡς μὴ Παύλου οὖσαν αὐτὴν ἀντιλέγεσθαι φήσαντες, οὐ δίκαιον ἀγνοεῖν. καὶ τὰ περὶ ταύτης δὲ τοῖς πρὸ ἡμῶν εἰρημένα κατὰ καιρὸν παραθήσομαι. οὐδὲ μὴν τὰς λεγομένας αὐτοῦ Πράξεις ἐν ἀναμφιλέκτοις παρείληφα. 6. ἐπεὶ δὲ ὁ αὐτὸς ἀπόστολος ἐν ταῖς ἐπὶ τέλει προσρήσεσι τῆς πρὸς Ῥωμαίους μνήμην πεποίηται μετὰ τῶν ἄλλων καὶ Ἑρμᾶ, οὗ φασιν ὑπάρχειν τὸ τοῦ ποιμένος βιβλίον, ἰστέον ὡς καὶ τοῦτο πρὸς μέν τινων ἀντιλέλεκται, δι᾽ οὓς οὐκ ἂν ἐν ὁμολογουμένοις τεθείη, ὑφ᾽ ἑτέρων δὲ ἀναγκαιότατον οἷς μάλιστα δεῖ στοιχειώσεως εἰσαγωγικῆς κέκριται. ὅθεν ἤδη καὶ ἐν ἐκκλησίαις ἴσμεν αὐτὸ δεδημοσιευμένον, καὶ τῶν παλαιτάτων δὲ συγγραφέων κεχρημένους τινὰς αὐτῷ κατείληφα. 7. ταῦτα εἰς παράστασιν τῶν τε ἀναντιρρήτων καὶ τῶν μὴ παρὰ πᾶσιν ὁμολογουμένων θείων γραμμάτων εἰρήσθω.

IV. [Nic. H. E. III, 1. 2.] Ὅτι μὲν οὖν τοῖς ἐξ ἐθνῶν κηρύσσων ὁ Παῦλος τοὺς ἀπὸ Ἰερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ τῶν ἐκκλησιῶν καταβέβλητο θεμελίους δῆλον ἐκ τῶν αὐτοῦ γένοιτ᾽ ἂν φωνῶν καὶ ἀφ᾽ ὧν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν ἱστόρησεν. 2. καὶ ἐκ τῶν Πέτρου δὲ λέξεων ἐν ὁπόσαις καὶ οὗτος ἐπαρχίαις τοὺς ἐκ περιτομῆς τὸν Χριστὸν εὐαγγελιζόμενος τὸν τῆς καινῆς διαθήκης παρεδίδου λόγον σαφὲς ἂν εἴη ἀφ᾽ ἧς εἰρήκαμεν ὁμολογουμένης αὐτοῦ ἐπιστολῆς, ἐν ᾗ τοῖς ἐξ Ἑβραίων οὖσιν ἐν δια-

---

10 Rom. 16, 14. 26 1. Petr. 1, 1.

σπορᾷ Πόντου καὶ Γαλατίας Καππαδοκίας τε καὶ Ἀσίας καὶ Βιθυνίας γράφει. 3. ὅσοι δὲ τούτων καὶ τίνες γνήσιοι ζηλωταὶ γεγονότες τὰς πρὸς αὐτῶν ἱδρυθείσας ἱκανοὶ ποιμαίνειν ἐδοκιμάσθησαν ἐκκλησίας οὐ ῥᾴδιον εἰπεῖν, μὴ ὅτι γε ὅσους ἄν τις ἐκ τῶν Παύλου φωνῶν ἀναλέξοιτο. 4. τούτου γὰρ οὖν μυρίοι συνεργοὶ καὶ ὡς αὐτὸς ὠνόμασε συστρατιῶται γεγόνασιν, ὧν οἱ πλείους ἀλήστου πρὸς αὐτοῦ μνήμης ἠξίωνται, διηνεκῆ τὴν περὶ αὐτῶν μαρτυρίαν ταῖς ἰδίαις ἐπιστολαῖς ἐγκαταλέξαντος. οὐ μὴν ἀλλὰ καὶ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι τοὺς γνωρίμους αὐτοῦ καταλέγων ἐξ ὀνόματος αὐτῶν μνημονεύει. 5. Τιμόθεός γε μὴν τῆς ἐν Ἐφέσῳ παροικίας ἱστορεῖται πρῶτος τὴν ἐπισκοπὴν εἰληχέναι, ὡς καὶ Τίτος τῶν ἐπὶ Κρήτης ἐκκλησιῶν. 6. Λουκᾶς δὲ τὸ μὲν γένος ὢν τῶν ἀπ' Ἀντιοχείας, τὴν ἐπιστήμην δὲ ἰατρὸς, τὰ πλεῖστα συγγεγονὼς τῷ Παύλῳ, καὶ τοῖς λοιποῖς δὲ οὐ παρέργως τῶν ἀποστόλων ὡμιληκὼς, ἧς ἀπὸ τούτων προσεκτήσατο ψυχῶν θεραπευτικῆς ἐν δυσὶν ἡμῖν ὑποδείγματα θεοπνεύστοις καταλέλοιπε βιβλίοις, τῷ τε εὐαγγελίῳ, ὃ καὶ χαράξαι μαρτυρεῖται, καθὰ παρέδοντο αὐτῷ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, οἷς καί φησιν ἐπάνωθεν ἅπασι παρηκολουθηκέναι, καὶ ταῖς τῶν ἀποστόλων πράξεσιν, ἃς οὐκέτι δι' ἀκοῆς, ὀφθαλμοῖς δὲ αὐτοῖς παραλαβὼν συνετάξατο. 7. φασὶ δὲ ὡς ἄρα τοῦ κατ' αὐτὸν εὐαγγελίου μνημονεύειν ὁ Παῦλος εἴωθεν ὁπηνίκα ὡς περὶ ἰδίου τινὸς εὐαγγελίου γράφων ἔλεγε "κατὰ τὸ εὐαγγέλιόν μου." 8. τῶν δὲ λοιπῶν ἀκολούθων τοῦ Παύλου Κρίσκης μὲν ἐπὶ τὰς Γαλλίας στειλάμενος

---

23 Luc. 1, 3. 28 Rom. 2, 16. 2. Tim. 2, 8.

ὑπ' αὐτοῦ μαρτυρεῖται, Λίνος δέ, οὗ μέμνηται συνόντος ἐπὶ Ῥώμης αὐτῷ κατὰ τὴν δευτέραν πρὸς Τιμόθεον ἐπιστολήν, πρῶτος μετὰ Πέτρον τῆς Ῥωμαίων ἐκκλησίας τὴν ἐπισκοπὴν ἤδη πρότερον κληρωθεὶς δεδήλωται. 9. ἀλλὰ καὶ ὁ Κλήμης τῆς Ῥωμαίων καὶ αὐτὸς ἐκκλησίας τρίτος ἐπίσκοπος καταστὰς Παύλου συνεργὸς καὶ συναθλητὴς γεγονέναι πρὸς αὐτοῦ μαρτυρεῖται. 10. ἐπὶ τούτοις καὶ τὸν Ἀρεοπαγίτην ἐκεῖνον, Διονύσιος ὄνομα αὐτῷ, (ὃν ἐν Πράξεσι μετὰ τὴν ἐν Ἀρείῳ πάγῳ πρὸς Ἀθηναίους Παύλου δημηγορίαν πρῶτον πιστεῦσαι ἀνέγραψεν ὁ Λουκᾶς) τῆς ἐν Ἀθήναις ἐκκλησίας πρῶτον ἐπίσκοπον ἀρχαίων τις ἕτερος Διονύσιος τῆς Κορινθίων παροικίας ποιμὴν ἱστορεῖ γεγονέναι. 11. ἀλλὰ γὰρ ὁδῷ προβαίνουσιν ἐπὶ καιροῦ τὰ τῆς κατὰ χρόνους τῶν ἀποστόλων διαδοχῆς ἡμῖν εἰρήσεται. νῦν δὲ ἐπὶ τὰ ἑξῆς ἴωμεν τῆς ἱστορίας.

V. [Nic. H. E. III, 3—8.] Μετὰ Νέρωνα δέκα πρὸς τρισὶν ἔτεσι τὴν ἀρχὴν ἐπικρατήσαντα τῶν ἀμφὶ Γάλβαν καὶ Ὄθωνα ἐνιαυτὸν ἐπὶ μησὶν ἓξ διαγενομένων Οὐεσπασιανός, ταῖς κατὰ Ἰουδαίων παρατάξεσι λαμπρυνόμενος, βασιλεὺς ἐπ' αὐτῆς ἀναδείκνυται τῆς Ἰουδαίας, αὐτοκράτωρ πρὸς τῶν αὐτόθι στρατοπέδων ἀναγορευθείς. τὴν ἐπὶ Ῥώμης οὖν αὐτίκα στειλάμενος Τίτῳ τῷ παιδὶ τὸν κατὰ Ἰουδαίων ἐγχειρίζει πόλεμον. 2. μετά γε μὴν τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν Ἰουδαίων πρὸς τῷ κατ' αὐτοῦ τολμήματι ἤδη καὶ κατὰ τῶν ἀποστόλων αὐτοῦ πλείστας ὅσας ἐπιβουλὰς μεμηχανημένων, πρώτου τε Στεφάνου λίθοις ὑπ' αὐτῶν ἀνῃρημένου, εἶτα δὲ μετ' αὐ-

---

1 2. Tim. 4, 10. 8 Philipp. 4, 3. 9 Act. 17, 34.

τὸν Ἰακώβου, ὃς ἦν Ζεβεδαίου μὲν παῖς, ἀδελφὸς δὲ Ἰωάννου, τὴν κεφαλὴν ἀποτμηθέντος, ἐπὶ πᾶσί τε Ἰακώβου, τοῦ τὸν αὐτόθι τῆς ἐπισκοπῆς θρόνον πρώτου μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν κεκληρωμένου, τὸν προδηλωθέντα τρόπον μεταλλάξαντος, τῶν τε λοιπῶν ἀποστόλων μυρία εἰς θάνατον ἐπιβεβουλευμένων, καὶ τῆς μὲν Ἰουδαίας γῆς ἀπεληλαμένων, ἐπὶ δὲ τῇ τοῦ κηρύγματος διδασκαλίᾳ τὴν εἰς σύμπαντα τὰ ἔθνη στειλαμένων πορείαν σὺν δυνάμει τοῦ Χριστοῦ φήσαντος αὐτοῖς "πορευθέντες μαθητεύ"σατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου," 3. οὐ μὴν ἀλλὰ καὶ τοῦ λαοῦ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας κατά τινα χρησμὸν τοῖς αὐτόθι δοκίμοις δι' ἀποκαλύψεως δοθέντα πρὸ τοῦ πολέμου μεταναστῆναι τῆς πόλεως καί τινα τῆς Περαίας πόλιν οἰκεῖν κεκελευσμένου, Πέλλαν αὐτὴν ὀνομάζουσιν, ἐν ᾗ τῶν εἰς Χριστὸν πεπιστευκότων ἀπὸ τῆς Ἱερουσαλὴμ μετῳκισμένων, ὡσὰν παντελῶς ἐπιλελοιπότων ἁγίων ἀνδρῶν αὐτήν τε τὴν Ἰουδαίων βασιλικὴν μητρόπολιν καὶ σύμπασαν τὴν Ἰουδαίαν γῆν, ἡ ἐκ θεοῦ δίκη λοιπὸν αὐτοὺς ἅτε τοσαῦτα εἴς τε τὸν Χριστὸν καὶ τοὺς ἀποστόλους αὐτοῦ παρηνομηκότας μετῄει, τῶν ἀσεβῶν ἄρδην τὴν γενεὰν αὐτὴν ἐκείνην ἐξ ἀνθρώπων ἀφανίζουσα. 4. ὅσα μὲν οὖν τηνικάδε κατὰ πάντα τόπον ὅλῳ τῷ ἔθνει συνερρύη κακά, ὅπως τε αὖ μάλιστα οἱ τῆς Ἰουδαίας οἰκήτορες εἰς ἔσχατον περιηλάθησαν συμφορῶν, ὁπόσαι τε μυριάδες ἡβηδὸν γυναιξὶν ἅμα καὶ παισὶ ξίφει καὶ λιμῷ καὶ μυρίοις ἄλλοις εἴδεσι περιπεπτώκασι θανάτου, πόλεών τε Ἰουδαϊκῶν ὅσαι τε καὶ οἷαι γεγόνασι πολιορκίαι, ἀλλὰ καὶ ὁπόσα

---

10 Matth. 28, 19.

οἱ ἐπ᾿ αὐτὴν Ἱερουσαλὴμ ὡσὰν ἐπὶ μητρόπολιν ὀχυρωτάτην καταπεφευγότες δεινὰ καὶ πέρα δεινῶν ἑωράκασι, τοῦ τε παντὸς πολέμου τὸν τρόπον, καὶ τῶν ἐν τούτῳ γεγενημένων ἐν μέρει ἕκαστα, καὶ ὡς ἐπὶ τέλει τὸ πρὸς τῶν προφητῶν ἀνηγορευμένον βδέλυγμα τῆς ἐρημώσεως ἐν αὐτῷ κατέστη τῷ πάλαι τοῦ θεοῦ περιβοήτῳ νεῷ, παντελῆ φθορὰν καὶ ἀφανισμὸν ἔσχατον τὸν διὰ πυρὸς ὑπομείναντι, πάρεστιν ὅτῳ φίλον ἐπ᾿ ἀκριβὲς ἐκ τῆς τῷ Ἰωσήπῳ γραφείσης ἀναλέξασθαι ἱστορίας. 5. ὡς δὲ αὐτὸς οὗτος τῶν ἀθροισθέντων ἀπὸ τῆς Ἰουδαίας ἁπάσης ἐν ἡμέραις τῆς τοῦ Πάσχα ἑορτῆς ὥσπερ ἐν εἱρκτῇ ῥήμασιν αὐτοῖς ἀποκλεισθῆναι εἰς τὰ Ἱεροσόλυμα ἀμφὶ τριακοσίας μυριάδας τὸ πλῆθος ἱστορεῖ, ἀναγκαῖον ὑποσημήνασθαι. 6. χρῆν γοῦν, ἐν αἷς ἡμέραις τὸν πάντων σωτῆρα καὶ εὐεργέτην τὸν Χριστὸν τοῦ θεοῦ τὰ κατὰ τὸ πάθος διατέθεινται, ταῖς αὐταῖς ὥσπερ ἐν εἱρκτῇ κατακλεισθέντας τὸν μετελθόντα αὐτοὺς ὄλεθρον πρὸς τῆς θείας δίκης καταδέξασθαι. 7. παρελθὼν δὴ τὰ τῶν ἐν μέρει συμβεβηκότων αὐτοῖς ὅσα διὰ ξίφους καὶ ἄλλῳ τρόπῳ κατ᾿ αὐτῶν ἐγκεχείρισται μόνας τὰς διὰ τοῦ λιμοῦ ἀναγκαῖον ἡγοῦμαι συμφορὰς παραθέσθαι, ὡς ἂν ἐκ μέρους ἔχοιεν οἱ τῇδε τῇ γραφῇ ἐντυγχάνοντες εἰδέναι ὅπως αὐτοὺς τῆς εἰς τὸν Χριστὸν τοῦ θεοῦ παρανομίας οὐκ εἰς μακρὸν ἡ ἐκ θεοῦ μετῆλθε τιμωρία.

VI. [Nic. H. E. III, 6.] Φέρε δὴ οὖν τῶν ἱστοριῶν τὴν πέμπτην τοῦ Ἰωσήπου μετὰ χεῖρας αὖθις ἀναλαβὼν τῶν τότε πραχθέντων δίελθε τὴν τραγῳδίαν· "τοῖς γε μὴν εὐπόροις" φησὶ "καὶ τὸ μένειν πρὸς

30 Ioseph. B. I. V, 10, 2.

"ἀπωλείας ἴσον ἦν. προφάσει γὰρ αὐτομολίας ἀνῃ-"ρεῖτό τις διὰ τὴν οὐσίαν. τῷ λιμῷ δὲ ἡ ἀπόνοια "τῶν στασιαστῶν συνήκμαζε, καὶ καθ' ἡμέραν ἀμφό-"τερα προσεξεκάετο τὰ δεινά. 2. φανερὸς μέν γε οὐ-"δαμοῦ σῖτος ἦν, ἐπεισπηδῶντες δὲ διηρεύνων τὰς "οἰκίας, ἔπειθ' εὑρόντες μὲν ὡς ἀρνησαμένους ᾐκί-"ζοντο, μὴ εὑρόντες δὲ ὡς ἐπιμελέστερον κρύψαντας "ἐβασάνιζον. τεκμήριον δὲ τοῦ τ' ἔχειν καὶ μὴ τὰ "σώματα τῶν ἀθλίων ἦν, ὧν οἱ μὲν ἔτι συνεστῶτες "εὐπορεῖν τροφῆς ἐδόκουν, οἱ τηκόμενοι δὲ ἤδη πα-"ρωδεύοντο, καὶ κτείνειν ἄλογον ἐδόκει τοὺς ὑπ' ἐν-"δείας τεθνηξομένους αὐτίκα. 3. πολλοὶ δὲ λάθρα "τὰς κτήσεις ἑνὸς ἀντικατηλλάξαντο μέτρου, πυρῶν "μὲν, εἰ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέ-"στεροι κριθῆς. ἔπειτα κατακλείοντες ἑαυτοὺς εἰς τὰ "μυχαίτατα τῶν οἰκιῶν τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας "ἀνέργαστον τὸν σῖτον ἤσθιον, οἱ δὲ ἔπεσσον, ὡς ἥ "τε ἀνάγκη καὶ τὸ δέος παρῄνει. 4. καὶ τράπεζα μὲν "οὐδαμοῦ παρετίθετο, τοῦ δὲ πυρὸς ἀφέλκοντες ἔτ' "ὠμὰ τὰ σιτία διήρπαζον. ἐλεεινὴ δ' ἦν ἡ τροφὴ καὶ "δακρύων ἄξιος ἡ θέα, τῶν μὲν δυνατωτέρων πλεο-"νεκτούντων, τῶν δὲ ἀσθενῶν ὀδυρομένων. 5. πάν-"των μὲν δὴ παθῶν ὑπερίσταται λιμὸς, οὐδὲν δ' "οὕτως ἀπόλλυσιν ὡς αἰδώς. τὸ γὰρ ἄλλως ἐντροπῆς "ἄξιον ἐν τούτῳ καταφρονεῖται. γυναῖκες γοῦν ἀν-"δρῶν καὶ παῖδες πατέρων, καὶ τὸ οἰκτρότατον, μη-"τέρες νηπίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς "τροφάς. καὶ τῶν φιλτάτων ἐν χερσὶ μαραινομένων "οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν ἀφελέσθαι σταλαγμούς. "6. τοιαῦτα δ' ἐσθίοντες ὅμως οὐ διελάνθανον. παν-"ταχοῦ δ' οὖν ἐφίσταντο οἱ στασιασταὶ καὶ τούτων "ταῖς ἁρπαγαῖς. ὁπότε γὰρ κατίδοιεν ἀποκεκλεισμένην

οἰκίαν, σημεῖον ἦν τοῦτο τοὺς ἔνδον προσφέρεσθαι τροφήν. εὐθέως δὲ εἰσαράξαντες τὰς θύρας εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ τῶν φαρύγγων ἀναθλίβοντες τοὺς ἀκόλους ἀνέφερον. 7. ἐτύπτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, καὶ κόμης ἐσπαράσσοντο γυναῖκες, συγκαλύπτουσαι τὰ ἐν χερσίν· οὐδέ τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων, ἀλλὰ συνεπαίροντες τὰ νήπια τῶν ψωμῶν ἐκκρεμάμενα κατέσειον εἰς ἔδαφος. τοῖς δὲ φθάσασι τὴν εἰσδρομὴν αὐτῶν καὶ προκαταπιοῦσι τὸ ἁρπαγησόμενον ὡς ἀδικηθέντες ἦσαν ὠμότεροι. 8. δεινὰς δὲ βασάνων ὁδοὺς ἐπενόουν πρὸς ἔρευναν τροφῆς, ὀρόβοις μὲν ἐμφράττοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους, ῥάβδοις δὲ ὀξείαις ἀναπείροντες τὰς ἕδρας. τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔπασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου καὶ ἵνα μηνύσῃ δράκα μίαν κεκρυμμένην ἀλφίτων. 9. οἱ βασανισταὶ δ' οὐκ ἐπείνων, (καὶ γὰρ ἂν ἧττον ὠμὸν ἦν τὸ μετ' ἀνάγκης), γυμνάζοντες δὲ τὴν ἀπόνοιαν, καὶ προπαρασκευάζοντες ἑαυτοῖς εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια. 10. τοῖς δ' ἐπὶ τὴν Ῥωμαίων φρουρὰν νύκτωρ ἐξερπύσασιν ἐπὶ λαχάνων συλλογὴν ἀγρίων καὶ πόας ὑπαντῶντες, ὅτ' ἤδη διαπεφευγέναι τοὺς πολεμίους ἐδόκουν, ἀφήρπαξον τὰ κομισθέντα, καὶ πολλάκις ἱκετευόντων, καὶ τὸ φρικτότατον ἐπικαλουμένων ὄνομα τοῦ θεοῦ, μεταδοῦναί τι μέρος αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁτιοῦν μετέδοσαν. ἀγαπητὸν δ' ἦν τὸ μὴ καὶ προσαπολέσθαι σεσυλημένον." 11. τούτοις δὲ μεθ' ἕτερα ἐπιφέρει λέγων "Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σωτηρίας ἐλπίς. καὶ βαθύνας ἑαυτὸν ὁ λιμὸς κατ' οἴκους

29 Ioseph. B. I. V, 12, 3.

"καὶ γενεὰς τὸν δῆμον ἐπεβόσκετο. καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρεφῶν λελυμένων, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν. 12. παῖδες δὲ καὶ νεανίαι διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς ἀγορὰς ἀνειλοῦντο καὶ κατέπιπτον, ὅπῃ τινὰ τὸ πάθος καταλαμβάνοι· θάπτειν δὲ τοὺς προσήκοντας οὔτε ἴσχυον οἱ κάμνοντες, καὶ τὸ διευτονοῦν ὤκνει, διά τε τὸ πλῆθος τῶν νεκρῶν καὶ τὸ κατὰ σφᾶς ἄδηλον. πολλοὶ γοῦν τοῖς ὑπ' αὐτῶν θαπτομένοις ἐπαπέθνησκον, πολλοὶ δ' ἐπὶ τὰς θήκας, πρὶν ἐπιστῆναι τὸ χρεὼν, προῆλθον. 13. οὔτε δὲ θρῆνος ἐν ταῖς συμφοραῖς οὔτε ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ πάθη. ξηροῖς δὲ τοῖς ὄμμασιν οἱ δυσθανατοῦντες ἐφεώρων τοὺς φθάσαντας ἀναπαύσασθαι. βαθεῖα δὲ τὴν πόλιν περιεῖχε σιγὴ, καὶ νὺξ θανάτου γέμουσα. καὶ τούτων οἱ λησταὶ χαλεπώτεροι. 14. τυμβωρυχοῦντες γοῦν τὰς οἰκίας ἐσύλων τοὺς νεκροὺς, καὶ τὰ καλύμματα τῶν σωμάτων περισπῶντες μετὰ γέλωτος ἐξῄεσαν, τάς τε ἀκμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασι, καί τινας τῶν ἐρριμμένων ἔτι ζῶντας διήλαυνον, ἐπὶ πείρᾳ τοῦ σιδήρου, τοὺς δὲ ἱκετεύοντας χρῆσαι σφίσι δεξιὰν καὶ ξίφος, τῷ λιμῷ κατέλιπον ὑπερηφανοῦντες. καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτενὲς εἰς τὸν ναὸν ἐφεώρα, τοὺς στασιαστὰς ζῶντας ἀπολιπών. 15. οἱ δὲ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ τοὺς νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὀσμὴν οὐ φέροντες· ἔπειθ' ὡς οὐ διήρκουν, ἀπὸ τῶν τειχῶν ἐρρίπτουν εἰς τὰς φάραγγας. περιιὼν δὲ ταύτας ὁ Τίτος ὡς ἐθεάσατο πεπλησμένας τῶν νεκρῶν, καὶ βαθὺν ἰχῶρα μυδώντων τὸν ὑπορρέοντα τῶν σωμάτων, ἐστέναξέ τε καὶ τὰς χεῖρας ἀνατείνας κατεμαρτύρατο τὸν θεὸν, ὡς

"οὐκ εἴη τὸ ἔργον αὐτοῦ." 16. τούτοις ἐπειπών τινα "μεταξὺ ἐπιφέρει λέγων "οὐκ ἂν ὑποστειλαίμην εἰ"πεῖν ἃ μοι κελεύει τὸ πάθος. οἶμαι Ῥωμαίων βρα"δυνάντων ἐπὶ τοὺς ἀλιτηρίους, ἢ καταποθῆναι ἂν "ὑπὸ χάσματος, ἢ κατακλυσθῆναι τὴν πόλιν, ἢ τοὺς "τῆς Σοδομηνῆς μεταλαβεῖν κεραυνούς. πολὺ γὰρ "τῶν ταῦτα παθόντων ἤνεγκε γενεὰν ἀθεωτέραν. τῇ "γοῦν τούτων ἀπονοίᾳ πᾶς ὁ λαὸς συναπώλετο." 17. καὶ ἐν τῷ ἕκτῳ δὲ βιβλίῳ οὕτω γράφει "τῶν δ' ὑπὸ "τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν "ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. "καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφα"νείη σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν "οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαί"πωρα τῆς ψυχῆς ἐφόδια. πίστις δ' ἀπορίας οὐδὲ "τοῖς θνήσκουσιν ἦν. 18. ἀλλὰ καὶ τοὺς ἐμπνέοντας "οἱ λησταὶ διηρεύνων, μή τις ὑπὸ κόλπον ἔχων τρο"φὴν σκήπτοιτο τὸν θάνατον αὐτοῦ. οἱ δ' ὑπ' ἐν"δείας κεχηνότες ὥσπερ λυσσῶντες κύνες ἐφήλλοντο "καὶ παρεφέροντο, ταῖς τε θύραις ἐνσειόμενοι μεθυ"όντων τρόπον καὶ ὑπ' ἀμηχανίας εἰς τοὺς αὐτοὺς "οἴκους εἰσεπήδων δὶς ἢ τρὶς ὥρᾳ μιᾷ. 19. πάντα δ' "ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυ"παρωτάτοις τῶν ἀλόγων ζῴων πρόσφορα συλλέγον"τες ἐσθίειν ὑπέφερον. ζωστήρων γοῦν καὶ ὑποδη"μάτων τὸ τελευταῖον οὐκ ἀπείχοντο, καὶ τὰ δέρματα "τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο. τροφὴ δὲ ἦν καὶ "χόρτου τισὶ παλαιοῦ σπαράγματα. τὰς γὰρ ἶνας ἔνιοι "συλλέγοντες ἐλάχιστον σταθμὸν ἐπώλουν Ἀττικῶν "τεσσάρων. 20. καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν

2 Ioseph. B. I. V, 13, 6. 9 B. I. VI, 3, 3.

"τοῦ λιμοῦ λέγειν; εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον, ὁποῖον μήτε παρ' Ἕλλησι μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δ' ἀκοῦσαι. καὶ ἔγωγε μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας· ἄλλως τε καὶ ψυχρὰν ἂν καταθείμην τῇ πατρίδι χάριν καθυφέμενος τὸν λόγον ὧν πέπονθε τὰ ἔργα. 21. γυνὴ τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, Μαρία τοὔνομα, πατρὸς Ἐλεαζάρου, κώμης Βαθεζὼρ, (σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου,) διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. 22. ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν, τὰ δὲ λείψανα τῶν κειμηλίων κἂν εἴ τι τροφῆς ἐπινοηθείη, καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' ἑαυτὴν ἠρέθιζεν. 23. ὡς δ' οὔτε παροξυνόμενός τις οὔτ' ἐλεῶν αὐτὴν ἀνῄρει, καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δ' ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει, καὶ τοῦ λιμοῦ μᾶλλον ἐξεκαίοντο οἱ θυμοὶ, σύμβουλον λαβοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον, ἦν δ' αὐτῇ παῖς ὑπομάσθιος, ἁρπασαμένη, 24. βρέφος, εἶπεν, ἄθλιον, ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει, τίνι σε τηρῶ; τὰ μὲν παρὰ Ῥωμαίοις δουλεία, κἂν ζήσωμεν ἐπ' αὐτοὺς, φθάνει δὲ καὶ δουλείαν ὁ λιμὸς, οἱ στασιασταὶ δὲ ἀμφοτέρων χαλεπώτεροι. ἴθι, γενοῦ μοι τροφὴ, καὶ τοῖς στασιασταῖς

"ἐρινὺς, καὶ τῷ βίῳ μῦθος, ὁ μόνος ἐλλείπων ταῖς "Ἰουδαίων συμφοραῖς. 25. καὶ ταῦθ' ἅμα λέγουσα "κτείνει τὸν υἱόν. ἔπειτ' ὀπτήσασα τὸ μὲν ἥμισυ "κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. "εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου "κνίσης σπάσαντες ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρα"σκευασθὲν, ἀποσφάξειν αὐτὴν εὐθέως. ἡ δὲ καὶ "μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι τὰ λεί"ψανα τοῦ τέκνου διανεκάλυψεν. 26. τοὺς δ' εὐθέως "φρίκη καὶ φρενῶν ἔκστασις ᾕρει, καὶ παρὰ τὴν ὄψιν "ἐπεπήγεσαν. ἡ δὲ, ἐμὸν, ἔφη, τοῦτο τὸ τέκνον γνή"σιον, καὶ τὸ ἔργον ἐμόν. φάγετε, καὶ γὰρ ἐγὼ βέ"βρωκα. μὴ γένησθε μήτε μαλακώτεροι γυναικὸς "μήτε συμπαθέστεροι μητρός. εἰ δ' ὑμεῖς εὐσεβεῖς "καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ὑμῖν "βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ μεινάτω. 27. μετὰ "ταῦθ' οἱ μὲν τρέμοντες ἐξῄεσαν, πρὸς ἓν τοῦτο δει"λοὶ, καὶ μόλις ταύτης τῆς τροφῆς παραχωρήσαντες "τῇ μητρί. ἀνεπλήσθη δ' εὐθέως ὅλη τοῦ μύσους ἡ "πόλις, καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος ἀναλαμ"βάνων ὡς παρ' αὐτοῦ τολμηθὲν δεινῶς ἔφριττε. "28. σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον "ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων πρὶν ἀκοῦσαι "καὶ θεάσασθαι κακὰ τηλικαῦτα." τοιαῦτα τῆς Ἰουδαίων εἰς τὸν Χριστὸν τοῦ θεοῦ παρανομίας τε καὶ δυσσεβείας τἀπίχειρα.

VII. [Nic. H. E. III, 4.] Παραθεῖναι δ' αὐτοῖς ἄξιον τὴν ἀψευδῆ τοῦ σωτῆρος ἡμῶν πρόρρησιν, δι' ἧς αὐτὰ ταῦτα δηλοῖ ὡδέ πως προφητεύων "οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκεί-

---

29 Matth. 24, 19.

ναις ταῖς ἡμέραις· προσεύχεσθε δέ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ σαββάτῳ. ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐκ ἐγένετο ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδὲ μὴ γένηται." 2. συναγαγὼν δὲ πάντα τὸν τῶν ἀνῃρημένων ἀριθμὸν ὁ συγγραφεὺς λιμῷ καὶ ξίφει μυριάδας ἑκατὸν καὶ δέκα διαφθαρῆναί φησι, τοὺς δὲ λοιποὺς στασιώδεις καὶ ληστρικούς, ὑπ' ἀλλήλων μετὰ τὴν ἅλωσιν ἐνδεικνυμένους, ἀνῃρῆσθαι, τῶν δὲ νέων τοὺς ὑψηλοτάτους καὶ κάλλει σώματος διαφέροντας τετηρῆσθαι θριάμβῳ, τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ἑπτακαίδεκα ἔτη δεσμίους εἰς τὰ κατ' Αἴγυπτον ἔργα παραπεμφθῆναι, πλείους δὲ εἰς τὰς ἐπαρχίας διανενεμῆσθαι φθαρησομένους ἐν τοῖς θεάτροις σιδήρῳ καὶ θηρίοις, τοὺς δ' ἐντὸς ἑπτακαίδεκα ἐτῶν αἰχμαλώτους ἀχθέντας διαπεπρᾶσθαι, τούτων δὲ μόνων τὸν ἀριθμὸν εἰς ἐννέα μυριάδας ἀνδρῶν συναχθῆναι. 3. ταῦτα δὲ τοῦτον ἐπράχθη τὸν τρόπον, δευτέρῳ τῆς Οὐεσπασιανοῦ βασιλείας ἔτει, ἀκολούθως ταῖς προγνωστικαῖς τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προρρήσεσιν, θείᾳ δυνάμει ὥσπερ ἤδη παρόντα προεωρακότος αὐτά, ἐπιδακρύσαντός τε καὶ ἀποκλαυσαμένου κατὰ τὴν τῶν ἱερῶν εὐαγγελιστῶν γραφήν, οἳ καὶ αὐτὰς αὐτοῦ παρατέθεινται τὰς λέξεις, τοτὲ μὲν φήσαντος ὡς πρὸς αὐτὴν τὴν Ἱερουσαλήμ 4. "εἰ ἔγνως καί γε σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σοι· νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου· ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σέ, καὶ περιβαλοῦσί σοι οἱ ἐχθροί σου χάρακα, καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν, καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου·" 5. τοτὲ δὲ ὡς

---

4 Ioseph. B. I. VI, 9, 2. 3. 25 Luc. 19, 42.

περὶ τοῦ λαοῦ "ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ τῷ λαῷ τούτῳ. καὶ πεσοῦνται ἐν στόματι μαχαίρας καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ τῶν ἐθνῶν, ἄχρις οὗ πληρωθῶσι καιροὶ ἐθνῶν." καὶ πάλιν "ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς." 6. συγκρίνας δέ τις τὰς τοῦ σωτῆρος ἡμῶν λέξεις ταῖς λοιπαῖς τοῦ συγγραφέως ἱστορίαις ταῖς περὶ τοῦ παντὸς πολέμου πῶς οὐκ ἂν ἀποθαυμάσειεν θείαν ὡς ἀληθῶς καὶ ὑπερφυῶς παράδοξον τὴν πρόγνωσιν ὁμοῦ καὶ πρόρρησιν τοῦ σωτῆρος ἡμῶν ὁμολογήσας; 7. περὶ μὲν οὖν τῶν μετὰ τὸ σωτήριον πάθος καὶ τὰς φωνὰς ἐκείνας, ἐν αἷς ἡ τῶν Ἰουδαίων πληθὺς τὸν μὲν λῃστὴν καὶ φονέα τοῦ θανάτου παρῄτηται, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἐξ αὐτῶν ἱκέτευσεν ἀρθῆναι, τῷ παντὶ συμβεβηκότων ἔθνει, οὐδὲν ἂν δέοι ταῖς ἱστορίαις ἐπιλέγειν. 8. ταῦτα δ' ἂν εἴη δίκαιον ἔτι προσθεῖναι, ἃ γένοιτ' ἂν παραστατικὰ φιλανθρωπίας τῆς παναγάθου προνοίας, τεσσαράκοντα ἐφ' ὅλοις ἔτεσι μετὰ τὴν κατὰ τοῦ Χριστοῦ τόλμαν τὸν κατ' αὐτῶν ὄλεθρον ὑπερθεμένης, ἐν ὅσοις τῶν ἀποστόλων καὶ τῶν μαθητῶν πλείους, Ἰάκωβός τε αὐτὸς ὁ τῇδε πρῶτος ἐπίσκοπος, τοῦ κυρίου χρηματίζων ἀδελφὸς, ἔτι τῷ βίῳ περιόντες, καὶ ἐπ' αὐτῆς τῆς Ἱεροσολύμων πόλεως τὰς διατριβὰς ποιούμενοι, ἕρκος ὥσπερ ἐχυρώτατον παρέμενον τῷ τόπῳ, 9. τῆς θείας ἐπισκοπῆς εἰσέτι τότε μακροθυμούσης, εἰ ἄρα ποτὲ δυνηθεῖεν ἐφ' οἷς ἔδρασαν μετανοήσαντες συγγνώμης καὶ σωτηρίας τυχεῖν, καὶ πρὸς τῇ τοσαύτῃ μακρο-

1 Luc. 21, 23. 5 Luc. 21, 20.

θυμίᾳ παραδόξους θεοσημίας τῶν μελλόντων αὐτοῖς μὴ μετανοήσασι συμβήσεσθαι παρασχομένης. ἃ καὶ αὐτὰ μνήμης ἠξιωμένα πρὸς τοῦ δεδηλωμένου συγγραφέως οὐδὲν οἷον τοῖς τῇδε προσιοῦσι τῇ γραφῇ παραθεῖναι.

VIII. [Nic. H. E. III, 4.] *Καὶ δὴ λαβὼν ἀνάγνωθι* τὰ κατὰ τὴν ἕκτην τῶν ἱστοριῶν αὐτῷ δεδηλωμένα ἐν τούτοις "τὸν γοῦν ἄθλιον δῆμον οἱ μὲν ἀπατεῶνες "καὶ καταψευδόμενοι τοῦ θεοῦ τηνικαῦτα παρέπειθον, "τοῖς δ' ἐναργέσι καὶ προσημαίνουσι τὴν μέλλουσαν "ἔσεσθαι ἐρημίαν τέρασιν οὔτε προσεῖχον οὔτε ἐπί-"στευον, ἀλλ' ὡς ἐμβεβροντημένοι καὶ μήτε ὄμματα "μήτε ψυχὴν ἔχοντες τῶν τοῦ θεοῦ κηρυγμάτων "παρήκουον· 2. τοῦτο μὲν ὅτε ὑπὲρ τὴν πόλιν ἄστρον "ἔστη ῥομφαίᾳ παραπλήσιον καὶ παρατείνας ἐπ' ἐνι-"αυτὸν κομήτης, τοῦτο δὲ ἡνίκα πρὸ τῆς ἀποστάσεως "καὶ τοῦ πρὸς τὸν πόλεμον κινήματος, ἀθροιζομένου "τοῦ λαοῦ πρὸς τὴν τῶν ἀζύμων ἑορτήν, ὀγδόῃ Ξαν-"θικοῦ μηνὸς κατὰ νυκτὸς ἐνάτην ὥραν τοσοῦτο φῶς "περιέλαμψε τὸν βωμὸν καὶ τὸν ναὸν ὡς δοκεῖν ἡμέ-"ραν εἶναι λαμπράν. καὶ τοῦτο παρέτεινεν ἐφ' ἡμί-"σειαν ὥραν· ὃ τοῖς μὲν ἀπείροις ἀγαθὸν ἐδόκει "εἶναι, τοῖς δὲ ἱερογραμματεῦσι πρὸ τῶν ἀποβεβη-"κότων εὐθέως ἐκρίθη. 3. καὶ κατὰ τὴν αὐτὴν ἑορ-"τὴν βοῦς μὲν ἀχθεῖσα ὑπὸ τοῦ ἀρχιερέως πρὸς τὴν "θυσίαν ἔτεκεν ἄρνα ἐν τῷ ἱερῷ μέσῳ. 4. ἡ δ' ἀνα-"τολικὴ πύλη τοῦ ἐνδοτέρω χαλκῆ μὲν οὖσα καὶ στι-"βαρωτάτη, κλειομένη δὲ περὶ δείλην μόλις ὑπ' "ἀνθρώπων εἴκοσι, καὶ μοχλοῖς μὲν ἐπερειδομένη "σιδηροδέτοις, καταπῆγας δ' ἔχουσα βαθυτάτους,

---

8 Ioseph. B. I. VI, 5, 3.

ὤφθη κατὰ νυκτὸς ὥραν ἕκτην αὐτομάτως ἠνοιγμένη. 5. μετὰ δὲ τὴν ἑορτὴν ἡμέραις οὐ πολλαῖς ὕστερον, μιᾷ καὶ εἰκάδι Ἀρτεμισίου μηνὸς, φάσμα τι δαιμόνιον ὤφθη μεῖζον πίστεως. τέρας δ' ἂν ἔδοξεν εἶναι τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς θεασαμένοις ἱστόρητο καὶ τὰ ἐπακολουθήσαντα πάθη τῶν σημείων ἦν ἄξια. πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα περὶ πᾶσαν τὴν χώραν ἅρματα καὶ φάλαγγες ἔνοπλοι διάττουσαι τῶν νεφῶν καὶ κυκλούμεναι τὰς πόλεις. 6. κατὰ δὲ τὴν ἑορτὴν, ἣ πεντηκοστὴ καλεῖται, νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἱερὸν, ὥσπερ αὐτοῖς ἔθος ἦν, πρὸς τὰς λειτουργίας πρῶτον μὲν κινήσεως ἔφασαν ἀντιλαμβάνεσθαι καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας ‘μεταβαίνομεν ἐντεῦθεν.’ 7. τὸ δὲ τούτων φοβερώτερον· Ἰησοῦς γάρ τις υἱὸς Ἀνανίου, τῶν ἰδιωτῶν ἄγροικος, πρὸ τεσσάρων ἐτῶν τοῦ πολέμου, τὰ μάλιστα τῆς πόλεως εἰρηνευομένης καὶ εὐθηνούσης, ἐλθὼν ἐπὶ τὴν ἑορτὴν, ἐν ᾗ σκηνοποιεῖσθαι πάντας ἔθος ἦν τῷ θεῷ, κατὰ τὸ ἱερὸν ἐξαπίνης ἀναβοᾶν ἤρξατο ‘φωνὴ ἀπ' ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναὸν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ πάντα τὸν λαόν.’ τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ κατὰ πάντας τοὺς στενωποὺς περιῄει κεκραγώς. 8. τῶν δ' ἐπισήμων τινὲς δημοτῶν ἀγανακτήσαντες πρὸς τὸ κακόφημον συλλαμβάνουσι τὸν ἄνθρωπον καὶ πολλαῖς αἰκίζονται πληγαῖς. ὁ δὲ οὔθ' ὑπὲρ ἑαυτοῦ φθεγξάμενος οὔτε ἰδίᾳ πρὸς τοὺς παρόντας ἃς καὶ πρότερον φωνὰς βοῶν διετέλει. 9. νομίσαντες δ' οἱ ἄρχοντες, ὅπερ ἦν, δαιμονιώτερον εἶναι κίνημα τἀνδρὸς ἄγουσιν αὐτὸν ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον· ἔνθα μάστιξι μέχρις ὀστέων ξαινό-

"μενος οὔθ' ἱκέτευσεν οὔτ' ἐδάκρυσεν, ἀλλ' ὡς ἐνῆν "μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρεγκλίνων πρὸς "ἑκάστην ἀπεκρίνατο πληγήν, αἰαῖ Ἱεροσολύμοις." 10. ἕτερον δέ τι τούτου παραδοξότερον ὁ αὐτὸς ἱστορεῖ συγγραφεὺς χρησμόν τινα φάσκων ἐν ἱεροῖς γράμμασιν ηὑρῆσθαι περιέχοντα ὡς κατὰ τὸν καιρὸν ἐκεῖνον ἀπὸ τῆς χώρας τις αὐτῶν ἄρξει τῆς οἰκουμένης, ὃν αὐτὸς μὲν ἐπὶ Οὐεσπασιανὸν πεπληρῶσθαι ἐξείληφεν· 11. ἀλλ' οὐχ ἁπάσης γε οὗτος ἢ μόνης ἦρξεν τῆς ὑπὸ Ῥωμαίους· δικαιότερον δ' ἂν ἐπὶ τὸν Χριστὸν ἀναχθείη, πρὸς ὃν εἴρητο ὑπὸ τοῦ πατρὸς "αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς." οὗ δὴ κατ' αὐτὸ δὴ ἐκεῖνο τοῦ καιροῦ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἱερῶν ἀποστόλων καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

IX. [Nic. H. E. II, 18.] Ἐπὶ τούτοις ἅπασιν ἄξιον μηδ' αὐτὸν τὸν Ἰώσηπον, τοσαῦτα τῇ μετὰ χεῖρας συμβεβλημένον ἱστορίᾳ, ὁπόθεν τε καὶ ἀφ' οἵου γένους ὡρμᾶτο ἀγνοεῖν. δηλοῖ δὲ πάλιν αὐτὸς καὶ τοῦτο λέγων ὧδε "Ἰώσηπος Ματταθίου παῖς, ἐξ Ἱεροσολύμων ἱερεύς, αὐτός τε Ῥωμαίους πολεμήσας τὰ πρῶτα καὶ τοῖς ὕστερον παρατυχὼν ἐξ ἀνάγκης." 2. μάλιστα δὲ τῶν κατ' ἐκεῖνο καιροῦ Ἰουδαίων οὐ παρὰ μόνοις τοῖς ὁμοεθνέσιν, ἀλλὰ καὶ παρὰ Ῥωμαίοις γέγονεν ἀνὴρ ἐπιδοξότατος, ὡς αὐτὸν μὲν ἀναθέσει ἀνδριάντος ἐπὶ τῆς Ῥωμαίων τιμηθῆναι πόλεως, τοὺς δὲ σπουδασθέντας αὐτῷ λόγους βιβλιοθήκης

5 Ioseph. B. I. VI, 5, 4. 12 Ps. 2, 8. 15 Ps. 18 (19), 5. 22 B. I. Prooem. I.

ἀξιωθῆναι. 3. οὗτος δὴ πᾶσαν τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν ἐν ὅλοις εἴκοσι καταβέβληται συγγράμμασι, τὴν δ᾽ ἱστορίαν τοῦ κατ᾽ αὐτὸν Ἰουδαϊκοῦ πολέμου ἐν ἑπτά, ἃ οὐ μόνον τῇ Ἑλλήνων, ἀλλὰ καὶ τῇ πατρίῳ φωνῇ παραδοῦναι αὐτὸς ἑαυτῷ μαρτυρεῖ, ἄξιός γε ὢν διὰ τὰ λοιπὰ πιστεύεσθαι. 4. καὶ ἕτερα δὲ αὐτοῦ φέρεται σπουδῆς ἄξια δύο, τὰ περὶ τῆς Ἰουδαίων ἀρχαιότητος, ἐν οἷς καὶ ἀντιρρήσεις πρὸς Ἀπίωνα τὸν γραμματικὸν κατὰ Ἰουδαίων τηνικάδε συντάξαντα λόγον πεποίηται καὶ πρὸς ἄλλους, οἳ διαβάλλειν καὶ αὐτοὶ τὰ πάτρια τοῦ Ἰουδαίων ἔθνους ἐπειράθησαν. 5. τούτων ἐν τῷ προτέρῳ τὸν ἀριθμὸν τῆς λεγομένης παλαιᾶς τῶν ἐνδιαθήκων γραφῶν τίθησι, τίνα τὰ παρ᾽ Ἑβραίοις ἀναντίρρητα, ὡσὰν ἐξ ἀρχαίας παραδόσεως, αὐτοῖς ῥήμασι διὰ τούτων διδάσκων·

X. "Οὐ μυριάδες οὖν βιβλίων εἰσὶ παρ᾽ ἡμῖν ἀσυμφώνων καὶ μαχομένων, δύο δὲ μόνα πρὸς τοῖς εἴκοσι βιβλία, τοῦ παντὸς ἔχοντα χρόνου τὴν ἀναγραφήν, τὰ δικαίως θεῖα πεπιστευμένα. 2. καὶ τούτων πέντε μέν ἐστι τὰ Μωυσέως, ἃ τούς τε νόμους περιέχει καὶ τὴν τῆς ἀνθρωπογονίας παράδοσιν, μέχρι τῆς αὐτοῦ τελευτῆς. οὗτος ὁ χρόνος ἀπολείπει τρισχιλίων ὀλίγῳ ἐτῶν. 3. ἀπὸ δὲ τῆς Μωυσέως τελευτῆς μέχρι τῆς Ἀρταξέρξου τοῦ μετὰ Ξέρξην Περσῶν βασιλέως οἱ μετὰ Μωυσῆν προφῆται τὰ κατ᾽ αὐτοὺς πραχθέντα συνέγραψαν ἐν τρισὶ καὶ δέκα βιβλίοις. αἱ δὲ λοιπαὶ τέσσαρες ὕμνους εἰς τὸν θεὸν καὶ τοῖς ἀνθρώποις ὑποθήκας τοῦ βίου περιέχουσιν. 4. ἀπὸ δὲ Ἀρταξέρξου μέχρι τοῦ καθ᾽ ἡμᾶς χρόνου γέγραπται μὲν ἕκαστα, πίστεως δ᾽ οὐχ ὁμοίας ἠξί-

16 Ioseph. c. Apion. I, 8.

"ωται τοῖς πρὸ αὐτῶν, διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ διαδοχήν. 5. δῆλον δ' ἐστὶν ἔργῳ πῶς ἡμεῖς πρόσιμεν τοῖς ἰδίοις γράμμασι. τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος οὔτε προσθεῖναί τις οὔτε ἀφελεῖν ἀπ' αὐτῶν οὔτε μεταθεῖναι τετόλμηκε, πᾶσι δὲ σύμφυτόν ἐστιν εὐθὺς ἐκ πρώτης γενέσεως Ἰουδαίοις τὸ νομίζειν αὐτὰ θεοῦ δόγματα, καὶ τούτοις ἐπιμένειν, καὶ ὑπὲρ αὐτῶν, εἰ δέοι, θνήσκειν ἡδέως." 6. καὶ ταῦτα δὲ τοῦ συγγραφέως χρησίμως ὧδε παρατεθείσθω. πεπόνηται δὲ καὶ ἄλλο οὐκ ἀγεννὲς σπούδασμα τῷ ἀνδρὶ περὶ αὐτοκράτορος λογισμοῦ, ὅ τινες Μακκαβαϊκὸν ἐπέγραψαν, τῷ τοὺς ἀγῶνας τῶν ἐν τοῖς οὕτω καλουμένοις Μακκαβαϊκοῖς συγγράμμασιν ὑπὲρ τῆς εἰς τὸ θεῖον εὐσεβείας ἀνδρισαμένων Ἑβραίων περιέχειν. 7. καὶ πρὸς τῷ τέλει δὲ τῆς εἰκοστῆς ἀρχαιολογίας ἐπισημαίνεται ὁ αὐτὸς, ὡσὰν προῃρημένος ἐν τέτταρσι συγγράψαι βιβλίοις κατὰ τὰς πατρίους δόξας τῶν Ἰουδαίων περὶ θεοῦ καὶ τῆς οὐσίας αὐτοῦ, καὶ περὶ τῶν νόμων, διὰ τί κατ' αὐτοὺς τὰ μὲν ἔξεστι πράττειν, τὰ δὲ κεκώλυται. καὶ ἄλλα δὲ αὐτῷ σπουδασθῆναι ὁ αὐτὸς ἐν τοῖς ἰδίοις αὐτοῦ μνημονεύει λόγοις. 8. πρὸς τούτοις εὔλογον καταλέξαι καὶ ἃς ἐπ' αὐτοῦ τῆς ἀρχαιολογίας τοῦ τέλους φωνὰς παρατέθειται, εἰς πίστωσιν τῆς τῶν ἐξ αὐτοῦ παραληφθέντων ἡμῖν μαρτυρίας. διαβάλλων δῆτα Ἰοῦστον Τιβεριέα, ὁμοίως αὐτῷ τὰ κατὰ τοὺς αὐτοὺς ἱστορῆσαι χρόνους πεπειραμένον, ὡς μὴ τἀληθῆ συγγεγραφότα πολλάς τε ἄλλας εὐθύνας ἐπαγαγὼν τῷ ἀνδρὶ, καὶ ταῦτα αὐτοῖς ῥήμασιν ἐπιλέγει 9. "οὐ μὴν ἐγώ σοι τὸν αὐτὸν τρόπον περὶ τῆς ἐμαυτοῦ γραφῆς ἔδεισα, ἀλλ' αὐτοῖς ἐπέδωκα τοῖς

---

15 Ioseph. A. I. XX, 11, 2. 29 Ioseph. de vita sua c. 65.

"αὐτοκράτορσι τὰ βιβλία, μόνον οὐχὶ τῶν ἔργων ἤδη "βλεπομένων. συνῄδειν γὰρ ἐμαυτῷ τετηρηκότι τὴν "τῆς ἀληθείας παράδοσιν, ἐφ' ᾗ μαρτυρίας τεύξεσθαι "προσδοκήσας οὐ διήμαρτον. 10. καὶ ἄλλοις δὲ πολ"λοῖς ἐπέδωκα τὴν ἱστορίαν, ὧν ἔνιοι καὶ παρατετυ"χήκεσαν τῷ πολέμῳ, καθάπερ βασιλεὺς Ἀγρίππας "καί τινες αὐτοῦ τῶν συγγενῶν. 11. ὁ μὲν γὰρ αὐτο"κράτωρ Τίτος οὕτως ἐκ μόνων αὐτῶν ἐβουλήθη τὴν "γνῶσιν τοῖς ἀνθρώποις παραδοῦναι τῶν πράξεων, "ὥστε χαράξας τῇ αὐτοῦ χειρὶ τὰ βιβλία δημοσιεύε"σθαι προσέταξεν, ὁ δὲ βασιλεὺς Ἀγρίππας ἑξήκοντα "δύο ἔγραψεν ἐπιστολάς, τῇ τῆς ἀληθείας παραδόσει "μαρτυρῶν," ἀφ' ὧν καὶ δύο παρατίθησιν. ἀλλὰ τὰ μὲν κατὰ τοῦτον ταύτῃ πῃ δεδηλώσθω, ἴωμεν δ' ἐπὶ τὰ ἑξῆς.

XI. [Nic. H. E. III, 9.] *Μετὰ τὴν Ἰακώβου μαρτυρίαν καὶ τὴν αὐτίκα γενομένην ἅλωσιν τῆς Ἱερουσαλὴμ λόγος κατέχει τῶν ἀποστόλων καὶ τῶν τοῦ κυρίου μαθητῶν τοὺς εἰσέτι τῷ βίῳ λειπομένους ἐπὶ ταὐτὸ πανταχόθεν συνελθεῖν, ἅμα τοῖς πρὸς γένους κατὰ σάρκα τοῦ κυρίου (πλείους γὰρ καὶ τούτων περιῆσαν εἰσέτι τότε τῷ βίῳ) βουλήν τε ὁμοῦ τοὺς πάντας περὶ τοῦ τίνα χρὴ τῆς Ἰακώβου διαδοχῆς ἐπικρῖναι ἄξιον ποιήσασθαι, καὶ δὴ ἀπὸ μιᾶς γνώμης τοὺς πάντας Συμεῶνα τὸν τοῦ Κλωπᾶ, οὗ καὶ ἡ τοῦ εὐαγγελίου μνημονεύει γραφὴ, τοῦ τῆς αὐτόθι παροικίας θρόνου ἄξιον εἶναι δοκιμάσαι, ἀνεψιόν γε, ὥς φασι, γεγονότα τοῦ σωτῆρος. τὸν γὰρ οὖν Κλωπᾶν ἀδελφὸν τοῦ Ἰωσὴφ ὑπάρχειν Ἡγήσιππος ἱστορεῖ.*

XII. [Nic. H. E. III, 10.] *Καὶ ἐπὶ τούτοις Οὐεσπασιανὸν μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν πάντας τοὺς ἀπὸ γένους Δαβὶδ, ὡς ἂν μὴ περιλειφθείη τις*

παρὰ Ἰουδαίοις τῶν ἀπὸ τῆς βασιλικῆς φυλῆς, ἀναζητεῖσθαι προστάξαι, μέγιστόν τε Ἰουδαίοις αὖθις ἐκ ταύτης διωγμὸν ἐπαρτηθῆναι τῆς αἰτίας.

XIII. Ἐπὶ δέκα δὲ τὸν Οὐεσπασιανὸν ἔτεσι βασιλεύσαντα αὐτοκράτωρ Τίτος ὁ παῖς διαδέχεται, οὗ κατὰ δεύτερον ἔτος τῆς βασιλείας Λίνος ἐπίσκοπος τῆς Ῥωμαίων ἐκκλησίας δυοκαίδεκα τὴν λειτουργίαν ἐνιαυτοῖς κατασχὼν Ἀνεγκλήτῳ ταύτην παραδίδωσι. Τίτον δὲ Δομετιανὸς ἀδελφὸς διαδέχεται, δύο ἔτεσι καὶ μησὶ τοῖς ἴσοις βασιλεύσαντα.

XIV. Τετάρτῳ μὲν οὖν ἔτει Δομετιανοῦ τῆς κατ' Ἀλεξάνδρειαν παροικίας ὁ πρῶτος Ἀννιανός, δύο πρὸς εἴκοσιν ἀναπλήσας ἔτη, τελευτᾷ, διαδέχεται δ' αὐτὸν δεύτερος Ἀβίλιος.

XV. Δωδεκάτῳ δὲ ἔτει τῆς ἡγεμονίας τῆς Ῥωμαίων ἐκκλησίας Ἀνέγκλητον ἔτεσιν ἐπισκοπεύσαντα δεκαδύο διαδέχεται Κλήμης. ὃν συνεργὸν ἑαυτοῦ γενέσθαι Φιλιππησίοις ἐπιστέλλων ὁ ἀπόστολος διδάσκει λέγων "μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν "συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς."

XVI. Τούτου δὴ οὖν τοῦ Κλήμεντος ὁμολογουμένη μία ἐπιστολὴ φέρεται, μεγάλη τε καὶ θαυμασία, ἣν ὡς ἀπὸ τῆς Ῥωμαίων ἐκκλησίας τῇ Κορινθίων διετυπώσατο, στάσεως τηνικάδε κατὰ τὴν Κόρινθον γενομένης. ταύτην δὲ καὶ ἐν πλείσταις ἐκκλησίαις ἐπὶ τοῦ κοινοῦ δεδημοσιευμένην πάλαι τε καὶ καθ' ἡμᾶς αὐτοὺς ἔγνωμεν. καὶ ὅτι γε κατὰ τὸν δηλούμενον τὰ τῆς Κορινθίων κεκίνητο στάσεως ἀξιόχρεως μάρτυς ὁ Ἡγήσιππος.

XVII. [Nic. H. E. III, 9.] Πολλήν γε μὴν εἰς πολ-

---

18 Philipp 4, 3.

λοὺς ἐπιδειξάμενος ὁ Δομετιανὸς ὠμότητα, οὐκ ὀλίγον τε τῶν ἐπὶ Ῥώμης εὐπατριδῶν τε καὶ ἐπισήμων ἀνδρῶν πλῆθος οὐ μετ' εὐλόγου κρίσεως κτείνας, μυρίους τε ἄλλους ἐπιφανεῖς ἄνδρας ταῖς ὑπὲρ τὴν ἐνορίαν ζημιώσας φυγαῖς καὶ ταῖς τῶν οὐσιῶν ἀποβολαῖς ἀναιτίως, τελευτῶν τῆς Νέρωνος θεοεχθρίας τε καὶ θεομαχίας διάδοχον ἑαυτὸν κατεστήσατο. δεύτερος δῆτα τὸν καθ' ἡμῶν ἀνεκίνει διωγμόν, καίπερ τοῦ πατρὸς αὐτῷ Οὐεσπασιανοῦ μηδὲν καθ' ἡμῶν ἄτοπον ἐπινοήσαντος.

XVIII. [Nic. H. E. III, 9.] Ἐν τούτῳ κατέχει λόγος τὸν ἀπόστολον ἅμα καὶ εὐαγγελιστὴν Ἰωάννην ἔτι τῷ βίῳ ἐνδιατρίβοντα, τῆς εἰς τὸν θεῖον λόγον ἕνεκεν μαρτυρίας, Πάτμον οἰκεῖν καταδικασθῆναι τὴν νῆσον. 2. γράφων γέ τοι ὁ Εἰρηναῖος περὶ τῆς ψήφου τῆς κατὰ τὸν ἀντίχριστον προσηγορίας φερομένης ἐν τῇ Ἰωάννου λεγομένῃ Ἀποκαλύψει αὐταῖς συλλαβαῖς ἐν πέμπτῳ τῶν πρὸς τὰς αἱρέσεις ταῦτα περὶ τοῦ Ἰωάννου φησίν 3. "εἰ δὲ ἔδει ἀνα"φανδὸν ἐν τῷ νῦν καιρῷ κηρύττεσθαι τοὔνομα αὐ"τοῦ, δι' ἐκείνου ἂν ἐρρέθη τοῦ καὶ τὴν ἀποκάλυψιν "ἑωρακότος. οὐδὲ γὰρ πρὸ πολλοῦ χρόνου ἑωράθη, "ἀλλὰ σχεδὸν ἐπὶ τῆς ἡμετέρας γενεᾶς, πρὸς τῷ τέ"λει τῆς Δομετιανοῦ ἀρχῆς." 4. εἰς τοσοῦτον δὲ ἄρα κατὰ τοὺς δηλουμένους ἡ τῆς ἡμετέρας πίστεως διέλαμπε διδασκαλία, ὡς καὶ τοὺς ἄποθεν τοῦ καθ' ἡμᾶς λόγου συγγραφεῖς μὴ ἀποκνῆσαι ταῖς αὐτῶν ἱστορίαις τόν τε διωγμὸν καὶ τὰ ἐν αὐτῷ μαρτύρια παραδοῦναι, οἵ γε καὶ τὸν καιρὸν ἐπ' ἀκριβὲς ἐπεσημήναντο, ἐν ἔτει πεντεκαιδεκάτῳ Δομετιανοῦ μετὰ

19 Iren. Adv. haer. V, 30, 3. p. 330.

πλείστων ἑτέρων καὶ Φλαουίαν Δομέτιλλαν ἱστορήσαντες, ἐξ ἀδελφῆς γεγονυῖαν Φλαουίου Κλήμεντος, ἑνὸς τῶν τηνικάδε ἐπὶ Ῥώμης ὑπάτων, τῆς εἰς Χριστὸν μαρτυρίας ἕνεκεν εἰς νῆσον Ποντίαν κατὰ τιμωρίαν δεδόσθαι.

XIX. [Nic. H. E. III, 10.] Τοῦ δ' αὐτοῦ Δομετιανοῦ τοὺς ἀπὸ γένους Δαβὶδ ἀναιρεῖσθαι προστάξαντος παλαιὸς κατέχει λόγος τῶν αἱρετικῶν τινας κατηγορῆσαι τῶν ἀπογόνων Ἰούδα, (τοῦτον δὲ εἶναι ἀδελφὸν κατὰ σάρκα τοῦ σωτῆρος), ὡς ἀπὸ γένους τυγχανόντων Δαβίδ, καὶ ὡς αὐτοῦ συγγένειαν τοῦ Χριστοῦ φερόντων. ταῦτα δὲ δηλοῖ κατὰ λέξιν ὧδέ πως λέγων ὁ Ἡγήσιππος·

XX. "Ἔτι δὲ περιῆσαν οἱ ἀπὸ γένους τοῦ κυρίου "υἱωνοὶ Ἰούδα, τοῦ κατὰ σάρκα λεγομένου αὐτοῦ "ἀδελφοῦ, οὓς ἐδηλατόρευσαν ὡς ἐκ γένους ὄντας "Δαβίδ. τούτους δ' ὁ Ἰουόκατος ἤγαγε πρὸς Δομε-"τιανὸν Καίσαρα· ἐφοβεῖτο γὰρ τὴν παρουσίαν τοῦ "Χριστοῦ ὡς καὶ Ἡρώδης. 2. καὶ ἐπηρώτησεν αὐ-"τοὺς εἰ ἐκ Δαβίδ εἰσι, καὶ ὡμολόγησαν. τότε ἐπη-"ρώτησεν αὐτοὺς πόσας κτήσεις ἔχουσιν, ἢ πόσων "χρημάτων κυριεύουσιν. οἱ δὲ εἶπαν ἀμφότεροι ἐν-"νακισχίλια δηνάρια ὑπάρχειν αὐτοῖς μόνα, ἑκάστῳ "αὐτῶν ἀνήκοντος τοῦ ἡμίσεος. καὶ ταῦτα οὐκ ἐν "ἀργυρίοις ἔφασκον ἔχειν, ἀλλ' ἐν διατιμήσει γῆς "πλέθρων τριάκοντα ἐννέα μόνων, ἐξ ὧν καὶ τοὺς "φόρους ἀναφέρειν καὶ αὐτοὺς αὐτουργοῦντας δια-"τρέφεσθαι. 3. εἶτα δὲ καὶ τὰς χεῖρας τὰς ἑαυτῶν "ἐπιδεικνύναι, μαρτύριον τῆς αὐτουργίας τὴν τοῦ σώ-"ματος σκληρίαν καὶ τοὺς ἀπὸ τῆς συνεχοῦς ἐργασίας "ἐναποτυπωθέντας ἐπὶ τῶν ἰδίων χειρῶν τύλους πα-"ριστάντας. 4. ἐρωτηθέντας δὲ περὶ τοῦ Χριστοῦ καὶ

"τῆς βασιλείας αὐτοῦ, ὁποία τις εἴη καὶ ποῖ καὶ πότε φανησομένη, λόγον δοῦναι ὡς οὐ κοσμικὴ μὲν οὐδ' ἐπίγειος, ἐπουράνιος δὲ καὶ ἀγγελικὴ τυγχάνει, ἐπὶ συντελείᾳ τοῦ αἰῶνος γενησομένη, ὁπηνίκα ἐλθὼν ἐν δόξῃ κρινεῖ ζῶντας καὶ νεκρούς, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ. 5. ἐφ' οἷς μηδὲν αὐτῶν κατεγνωκότα τὸν Δομετιανόν, ἀλλὰ καὶ ὡς εὐτελῶν καταφρονήσαντα, ἐλευθέρους μὲν αὐτοὺς ἀνεῖναι, καταπαῦσαι δὲ διὰ προστάγματος τὸν κατὰ τῆς ἐκκλησίας διωγμόν. 6. τοὺς δὲ ἀπολυθέντας ἡγήσασθαι τῶν ἐκκλησιῶν, ὡσὰν δὴ μάρτυρας ὁμοῦ καὶ ἀπὸ γένους ὄντας τοῦ κυρίου, γενομένης τε εἰρήνης μέχρι Τραϊανοῦ παραμεῖναι αὐτοὺς τῷ βίῳ." 7. ταῦτα μὲν ὁ Ἡγήσιππος. οὐ μὴν ἀλλὰ καὶ ὁ Τερτυλλιανὸς τοῦ Δομετιανοῦ τοιαύτην πεποίηται μνήμην· "πεπειράκει ποτὲ καὶ Δομετιανὸς ταὐτὸ ποιεῖν ἐκείνῳ, μέρος ὢν τῆς Νέρωνος ὠμότητος. ἀλλ' οἶμαι ἅτε ἔχων τι συνέσεως τάχιστα ἐπαύσατο, ἀνακαλεσάμενος καὶ οὓς ἐξεληλάκει." 8. μετὰ δὲ τὸν Δομετιανὸν πεντεκαίδεκα ἔτεσιν ἐπικρατήσαντα Νέρουα τὴν ἀρχὴν διαδεξαμένου καθαιρεθῆναι μὲν τὰς Δομετιανοῦ τιμάς, ἐπανελθεῖν δὲ ἐπὶ τὰ οἰκεῖα μετὰ τοῦ καὶ τὰς οὐσίας ἀπολαβεῖν τοὺς ἀδίκως ἐξεληλαμένους, ἡ Ῥωμαίων σύγκλητος βουλὴ ψηφίζεται· ἱστοροῦσιν οἱ γραφῇ τὰ κατὰ τοὺς χρόνους παραδόντες. 9. τότε δὴ οὖν καὶ τὸν ἀπόστολον Ἰωάννην ἀπὸ τῆς κατὰ τὴν νῆσον φυγῆς τὴν ἐπὶ τῆς Ἐφέσου διατριβὴν ἀπειληφέναι ὁ τῶν παρ' ἡμῖν ἀρχαίων παραδίδωσι λόγος.

XXI. Μικρῷ δὲ πλέον ἐνιαυτοῦ βασιλεύσαντα

---

16 Tertullian. Apol. 5.

Νέρουαν διαδέχεται Τραϊανός. οὗ δὴ πρῶτον ἔτος ἦν, ἐν ᾧ τῆς κατ᾽ Ἀλεξάνδρειαν παροικίας Ἀβίλιον δέκα πρὸς τρισὶν ἔτεσιν ἡγησάμενον διαδέχεται Κέρδων. τρίτος οὗτος τῶν αὐτόθι μετὰ τὸν πρῶτον Ἀννιανὸν προέστη. ἐν τούτῳ δὲ Ῥωμαίων εἰσέτι Κλήμης ἡγεῖτο, τρίτον καὶ αὐτὸς ἐπέχων τῶν τῆδε μετὰ Παῦλόν τε καὶ Πέτρον ἐπισκοπευσάντων βαθμόν. Λίνος δὲ ὁ πρῶτος ἦν, καὶ μετ᾽ αὐτὸν Ἀνέγκλητος.

XXII. [Nic. H. E. III, 11.] Ἀλλὰ καὶ τῶν ἐπ᾽ Ἀντιοχείας Εὐοδίου πρώτου καταστάντος δεύτερος ἐν τοῖς δηλουμένοις Ἰγνάτιος ἐγνωρίζετο. Συμεὼν ὁμοίως δεύτερος μετὰ τὸν τοῦ σωτῆρος ἡμῶν ἀδελφὸν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας κατὰ τούτους τὴν λειτουργίαν εἶχεν,

XXIII. [Nic. H. E. III, 11. II, 42.] Ἐπὶ τούτοις κατὰ τὴν Ἀσίαν ἔτι τῷ βίῳ περιλειπόμενος αὐτὸς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀπόστολος ὁμοῦ καὶ εὐαγγελιστὴς Ἰωάννης τὰς αὐτόθι διεῖπεν ἐκκλησίας, ἀπὸ τῆς κατὰ τὴν νῆσον μετὰ τὴν Δομετιανοῦ τελευτὴν ἐπανελθὼν φυγῆς. 2. ὅτι δὲ εἰς τούτους ἔτι τῷ βίῳ περιῆν ἀπόχρη διὰ δύο πιστώσασθαι τὸν λόγον μαρτύρων. πιστοὶ δ᾽ ἂν εἶεν οὗτοι, τῆς ἐκκλησιαστικῆς πρεσβεύσαντες ὀρθοδοξίας, εἰ δὴ τοιοῦτοι Εἰρηναῖος καὶ Κλήμης ὁ Ἀλεξανδρεύς. 3. ὧν ὁ μὲν πρότερος ἐν δευτέρῳ τῶν πρὸς τὰς αἱρέσεις ὧδέ πως γράφει κατὰ λέξιν "καὶ πάντες δὲ οἱ πρεσβύτεροι
"μαρτυροῦσιν, οἱ κατὰ τὴν Ἀσίαν Ἰωάννῃ τῷ τοῦ
"κυρίου μαθητῇ συμβεβληκότες, παραδεδωκέναι τὸν
"Ἰωάννην. παρέμεινε γὰρ αὐτοῖς μέχρι τῶν Τραϊα-
"νοῦ χρόνων." 4. καὶ ἐν τρίτῳ δὲ τῆς αὐτῆς ὑπο-

26 Iren. Adv. haer. II, 22, 5. p. 148.

θέσεως ταὐτὸ τοῦτο δηλοῖ διὰ τούτων "ἀλλὰ καὶ ἡ "ἐν Ἐφέσῳ ἐκκλησία ὑπὸ Παύλου μὲν τεθεμελιωμένη, "Ἰωάννου δὲ παραμείναντος αὐτοῖς μέχρι τῶν Τραϊανοῦ "χρόνων, μάρτυς ἀληθής ἐστι τῆς τῶν ἀποστόλων "παραδόσεως." 5. ὁ δὲ Κλήμης ὁμοῦ καὶ τὸν χρόνον ἐπισημηνάμενος καὶ ἱστορίαν ἀναγκαιοτάτην οἷς τὰ καλὰ καὶ ἐπωφελῆ φίλον ἀκούειν προστίθησιν ἐν ᾧ "τίς ὁ σῳζόμενος πλούσιος" ἐπέγραψεν αὐτοῦ συγγράμματι. λαβὼν δὲ ἀνάγνωθι ὧδέ πως ἔχουσαν καὶ αὐτοῦ τὴν γραφήν 6. "ἄκουσον μῦθον "οὐ μῦθον, ἀλλὰ ὄντα λόγον, περὶ Ἰωάννου τοῦ ἀποστόλου "παραδεδομένον καὶ μνήμῃ πεφυλαγμένον. "ἐπειδὴ γὰρ τοῦ τυράννου τελευτήσαντος ἀπὸ τῆς "Πάτμου τῆς νήσου μετῆλθεν ἐπὶ τὴν Ἔφεσον, ἀπῄει "παρακαλούμενος καὶ ἐπὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν, "ὅπου μὲν ἐπισκόπους καταστήσων, ὅπου δὲ ὅλας ἐκκλησίας "ἁρμόσων, ὅπου δὲ κλήρῳ ἕνα γέ τινα κληρώσων "τῶν ὑπὸ τοῦ πνεύματος σημαινομένων. 7. "ἐλθὼν οὖν καὶ ἐπί τινα τῶν οὐ μακρὰν πόλεων, ἧς "καὶ τοὔνομα λέγουσιν ἔνιοι, καὶ τἆλλα ἀναπαύσας "τοὺς ἀδελφούς, ἐπὶ πᾶσι τῷ καθεστῶτι προσβλέψας "ἐπισκόπῳ, νεανίσκον ἱκανὸν τῷ σώματι καὶ τῇ ὄψει "ἀστεῖον καὶ θερμὸν τὴν ψυχὴν ἰδών, "τοῦτον" ἔφη "σοὶ παρακατατίθεμαι μετὰ πάσης σπουδῆς, ἐπὶ τῆς "ἐκκλησίας καὶ τοῦ Χριστοῦ μάρτυρος." τοῦ δὲ δεχομένου "καὶ πάνθ' ὑπισχνουμένου καὶ πάλιν τὰ αὐτὰ "διελέγετο καὶ διεμαρτύρετο. 8. εἶτα ὁ μὲν ἀπῆρεν "ἐπὶ τὴν Ἔφεσον, ὁ δὲ πρεσβύτερος ἀναλαβὼν οἴκαδε "τὸν παραδοθέντα νεανίσκον ἔτρεφε, συνεῖχεν, "ἔθαλπε, τὸ τελευταῖον ἐφώτισε. καὶ μετὰ τοῦτο

---

5 Clemens περὶ τοῦ σωζ. πλουσίου p. 958 ed. Pott.

ὑφῆκε τῆς πλείονος ἐπιμελείας καὶ παραφυλακῆς, ὡς τὸ τέλειον αὐτῷ φυλακτήριον ἐπιστήσας τὴν σφραγῖδα τοῦ κυρίου. 9. τῷ δὲ ἀνέσεως πρὸ ὥρας λαβομένῳ προσφθείρονταί τινες ἥλικες ἀργοὶ καὶ ἀπερρωγότες, ἐθάδες κακῶν. καὶ πρῶτον μὲν δι' ἑστιάσεων πολυτελῶν αὐτὸν ἐπάγονται, εἶτά που καὶ νύκτωρ ἐπὶ λωποδυσίαν ἐξιόντες συνεπάγονται, εἶτά τι καὶ μεῖζον συμπράττειν ἠξίουν. 10. ὁ δὲ κατ' ὀλίγον προσειθίζετο, καὶ διὰ μέγεθος φύσεως, ἐκστὰς ὥσπερ ἄστομος καὶ εὔρωστος ἵππος ὀρθῆς ὁδοῦ καὶ τὸν χαλινὸν ἐνδακών, μειζόνως κατὰ τῶν βαράθρων ἐφέρετο. 11. ἀπογνοὺς δὲ τελέως τὴν ἐν θεῷ σωτηρίαν οὐδὲν ἔτι μικρὸν διενοεῖτο, ἀλλὰ μέγα τι πράξας, ἐπειδήπερ ἅπαξ ἀπολώλει, ἴσα τοῖς ἄλλοις παθεῖν ἠξίου. αὐτοὺς δὴ τούτους ἀναλαβὼν καὶ λῃστήριον συγκροτήσας ἕτοιμος λῄσταρχος ἦν, βιαιότατος, μιαιφονώτατος, χαλεπώτατος. 12. χρόνος ἐν μέσῳ, καί τινος ἐπιπεσούσης χρείας ἀνακαλοῦσι τὸν Ἰωάννην. ὁ δὲ ἐπεὶ τὰ ἄλλα ὧν χάριν ἧκε κατεστήσατο, ἄγε δή, ἔφη, ὦ ἐπίσκοπε, τὴν παρακαθήκην ἀπόδος ἡμῖν, ἣν ἐγώ τε καὶ ὁ Χριστός σοι παρακατεθέμεθα ἐπὶ τῆς ἐκκλησίας, ἧς προκαθίζῃ, μάρτυρος. 13. ὁ δὲ τὸ μὲν πρῶτον ἐξεπλάγη, χρήματα οἰόμενος, ἅπερ οὐκ ἔλαβε, συκοφαντεῖσθαι, καὶ οὔτε πιστεύειν εἶχεν ὑπὲρ ὧν οὐκ ἔσχεν οὔτε ἀπιστεῖν Ἰωάννῃ. ὡς δὲ "τὸν νεανίσκον" εἶπεν "ἀπαιτῶ καὶ τὴν ψυχὴν τοῦ ἀδελφοῦ," στενάξας κάτωθεν ὁ πρεσβύτης καί τι καὶ ἐπιδακρύσας, "ἐκεῖνος" ἔφη "τέθνηκε." "πῶς καὶ τίνα θάνατον;" "θεῷ τέθνηκεν" εἶπεν. "ἀπέβη γὰρ πονηρὸς καὶ ἐξώλης, καὶ τὸ κεφάλαιον, λῃστής. καὶ νῦν ἀντὶ τῆς ἐκκλησίας τὸ ὄρος κατείληφε μεθ' ὁμοίου στρατιωτικοῦ." 14. καταρρηξάμε-

"νος οὖν τὴν ἐσθῆτα ὁ ἀπόστολος, καὶ μετὰ μεγάλης "οἰμωγῆς πληξάμενος τὴν κεφαλὴν, καλόν γε, ἔφη, "φύλακα τῆς τἀδελφοῦ ψυχῆς κατέλιπον. ἀλλ' ἵππος "ἤδη μοι παρέστω, καὶ ἡγεμὼν γινέσθω μοί τις τῆς "ὁδοῦ. ἤλαυνεν, ὥσπερ εἶχεν, αὐτόθεν ἀπὸ τῆς ἐκ-"κλησίας. 15. ἐλθὼν δὲ εἰς τὸ χωρίον ὑπὸ τῆς προ-"φυλακῆς τῶν λῃστῶν ἁλίσκεται, μήτε φεύγων μήτε "παραιτούμενος, ἀλλὰ βοῶν, ἐπὶ τοῦτ' ἐλήλυθα, ἐπὶ "τὸν ἄρχοντα ὑμῶν ἀγάγετέ με. 16. ὃς τέως, ὥσπερ "ὥπλιστο, ἀνέμενεν, ὡς δὲ προσιόντα ἐγνώρισε τὸν "Ἰωάννην, εἰς φυγὴν αἰδεσθεὶς ἐτράπετο. ὁ δὲ ἐδί-"ωκεν ἀνὰ κράτος, ἐπιλαθόμενος τῆς ἡλικίας τῆς ἑαυ-"τοῦ, κεκραγὼς, 17. τί με φεύγεις, τέκνον, τὸν σαυ-"τοῦ πατέρα, τὸν γυμνὸν, τὸν γέροντα; ἐλέησόν με, "τέκνον, μὴ φοβοῦ. ἔχεις ἔτι ζωῆς ἐλπίδα. ἐγὼ "Χριστῷ λόγον δώσω ὑπὲρ σοῦ, ἂν δέῃ, τὸν σὸν θά-"νατον ἑκὼν ὑπομενῶ, ὡς ὁ κύριος τὸν ὑπὲρ ἡμῶν. "ὑπὲρ σοῦ τὴν ψυχὴν ἀντιδώσω τὴν ἐμήν. στῆθι, "πίστευσον, Χριστός με ἀπέστειλεν. 18. ὁ δὲ ἀκού-"σας πρῶτον μὲν ἔστη κάτω βλέπων, εἶτα ἔρριψε τὰ "ὅπλα, εἶτα τρέμων ἔκλαιε πικρῶς. προσελθόντα δὲ "τὸν γέροντα περιέλαβεν, ἀπολογούμενος ταῖς οἰμω-"γαῖς ὡς ἐδύνατο καὶ τοῖς δάκρυσι βαπτιζόμενος ἐκ "δευτέρου, μόνην ἀποκρύπτων τὴν δεξιάν. 19. ὁ δ' "ἐγγυώμενος, ἐπομνύμενος, ὡς ἄφεσιν αὐτῷ παρὰ "τοῦ σωτῆρος ηὕρηται, δεόμενος, γονυπετῶν, αὐτὴν "τὴν δεξιὰν ὡς ὑπὸ τῆς μετανοίας κεκαθαρμένην κα-"ταφιλῶν, ἐπὶ τὴν ἐκκλησίαν ἐπανήγαγε, καὶ δαψι-"λέσι μὲν εὐχαῖς ἐξαιτούμενος, συνεχέσι δὲ νηστείαις "συναγωνιζόμενος, ποικίλαις δὲ σειρῆσι λόγων κατε-"πάδων αὐτοῦ τὴν γνώμην οὐ πρότερον ἀπῆλθεν, ὥς "φασι, πρὶν αὐτὸν ἀποκατέστησε τῇ ἐκκλησίᾳ, διδοὺς

"μέγα παράδειγμα μετανοίας ἀληθινῆς καὶ μέγα γνώ-
"ρισμα παλιγγενεσίας, τρόπαιον ἀναστάσεως βλεπο-
"μένη."

XXIV. [Nic. H. E. II, 45.] *Ταῦτα τοῦ Κλήμεντος, ἱστορίας ὁμοῦ καὶ ὠφελείας τῆς τῶν ἐντευξομένων ἕνεκεν, ἐνταῦθά μοι κείσθω. φέρε δὲ καὶ τοῦδε τοῦ ἀποστόλου τὰς ἀναντιρρήτους ἐπισημηνώμεθα γραφάς.* 2. *καὶ δὴ τὸ κατ' αὐτὸν εὐαγγέλιον ταῖς ὑπὸ τὸν οὐρανὸν διεγνωσμένον ἐκκλησίαις πρῶτον ἀνωμολογήσθω. ὅτι γε μὴν εὐλόγως πρὸς τῶν ἀρχαίων ἐν τετάρτῃ μοίρᾳ τῶν ἄλλων τριῶν κατείλεκται, ταύτῃ ἂν γένοιτο δῆλον.* 3. *οἱ θεσπέσιοι καὶ ὡς ἀληθῶς θεοπρεπεῖς, φημὶ δὲ τοῦ Χριστοῦ τοὺς ἀποστόλους, τὸν βίον ἄκρως κεκαρθαρμένοι, καὶ ἀρετῇ πάσῃ τὰς ψυχὰς κεκοσμημένοι, τὴν δὲ γλῶτταν ἰδιωτεύοντες, τῇ γε μὴν πρὸς τοῦ σωτῆρος αὐτυῖς δεδωρημένῃ θείᾳ καὶ παραδοξοποιῷ δυνάμει θαρσοῦντες, τὸ μὲν ἐν περινοίᾳ καὶ τέχνῃ λόγων τὰ τοῦ διδασκάλου μαθήματα πρεσβεύειν οὔτε ᾔδεσαν οὔτε ἐνεχείρουν, τῇ δὲ τοῦ θείου πνεύματος τοῦ συνεργοῦντος αὐτοῖς ἀποδείξει καὶ τῇ δι' αὐτῶν συντελουμένῃ θαυματουργῷ τοῦ Χριστοῦ δυνάμει μόνῃ χρώμενοι, τῆς τῶν οὐρανῶν βασιλείας τὴν γνῶσιν ἐπὶ πᾶσαν κατήγγελλον τὴν οἰκουμένην, σπουδῆς τῆς περὶ τὸ λογογραφεῖν μικρὰν ποιούμενοι φροντίδα.* 4. *καὶ τοῦτ' ἔπραττον ἅτε μείζονι καὶ ὑπὲρ ἄνθρωπον ἐξυπηρετούμενοι διακονίᾳ. ὁ γοῦν Παῦλος πάντων ἐν παρασκευῇ λόγων δυνατώτατος νοήμασί τε ἱκανώτατος γεγονώς, οὐ πλέον τῶν βραχυτάτων ἐπιστολῶν γραφῇ παραδέδωκε, καίτοι μυρία γε καὶ ἀπόρρητα λέγειν ἔχων, ἅτε τῶν μέχρις οὐρανοῦ τρίτου θεωρημάτων ἐπιψαύσας, ἐπ' αὐτόν τε τὸν θεοπρεπῆ παράδεισον ἀναρ-*

πασθεὶς καὶ τῶν ἐκεῖσε ῥημάτων ἀρρήτων ἀξιωθεὶς ἐπακοῦσαι. 5. οὐκ ἄπειροι μὲν οὖν ὑπῆρχον τῶν αὐτῶν καὶ οἱ λοιποὶ τοῦ σωτῆρος ἡμῶν φοιτηταί, δώδεκα μὲν ἀπόστολοι, ἑβδομήκοντα δὲ μαθηταί, ἄλλοι τε ἐπὶ τούτοις μυρίοι. ὅμως δ' οὖν ἐξ ἁπάντων τῶν τοῦ κυρίου διατριβῶν ὑπομνήματα Ματθαῖος ἡμῖν καὶ Ἰωάννης μόνοι καταλελοίπασιν, οὓς καὶ ἐπάναγκες ἐπὶ τὴν γραφὴν ἐλθεῖν κατέχει λόγος. 6. Ματθαῖος μὲν γὰρ πρότερον Ἑβραίοις κηρύξας, ὡς ἤμελλεν καὶ ἐφ' ἑτέρους ἰέναι, πατρίῳ γλώττῃ γραφῇ παραδοὺς τὸ κατ' αὐτὸν εὐαγγέλιον τὸ λεῖπον τῇ αὐτοῦ παρουσίᾳ τούτοις, ἀφ' ὧν ἐστέλλετο, διὰ τῆς γραφῆς ἀπεπλήρου. 7. ἤδη δὲ Μάρκου καὶ Λουκᾶ τῶν κατ' αὐτοὺς εὐαγγελίων τὴν ἔκδοσιν πεποιημένων Ἰωάννην φασί, τὸν πάντα χρόνον ἀγράφῳ κεχρημένον κηρύγματι, τέλος καὶ ἐπὶ τὴν γραφὴν ἐλθεῖν τοιᾶσδε χάριν αἰτίας. τῶν προαναγραφέντων τριῶν εἰς πάντας ἤδη καὶ εἰς αὐτὸν διαδεδομένων ἀποδέξασθαι μέν φασιν ἀλήθειαν αὐτοῖς ἐπιμαρτυρήσαντα, μόνην δὲ ἄρα λείπεσθαι τῇ γραφῇ τὴν περὶ τῶν ἐν πρώτοις καὶ κατ' ἀρχὴν τοῦ κηρύγματος ὑπὸ τοῦ Χριστοῦ πεπραγμένων διήγησιν. 8. καὶ ἀληθής γε ὁ λόγος. τοὺς ἄλλους γοῦν τρεῖς εὐαγγελιστὰς συνιδεῖν πάρεστι μόνα τὰ μετὰ τὴν ἐν τῷ δεσμωτηρίῳ Ἰωάννου τοῦ βαπτιστοῦ κάθειρξιν ἐφ' ἕνα ἐνιαυτὸν πεπραγμένα τῷ σωτῆρι συγγεγραφότας, αὐτό τε τοῦτ' ἐπισημηναμένους κατ' ἀρχὰς τῆς αὐτῶν ἱστορίας. 9. μετὰ γοῦν τὴν τεσσαρακονταήμερον νηστείαν καὶ τὸν ἐπ' αὐτῇ πειρασμὸν τὸν χρόνον τῆς ἰδίας γραφῆς ὁ μὲν Ματθαῖος δηλοῖ λέγων "ἀκούσας δὲ ὅτι Ἰωάννης πα-

---

30 Matth. 4, 12.

"ρεδόθη ἀνεχώρησεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Γα-"λιλαίαν." 10. ὁ δὲ Μάρκος ὡσαύτως "μετὰ δὲ τὸ "παραδοθῆναι" φησὶν "Ἰωάννην ἦλθεν ὁ Ἰησοῦς εἰς "τὴν Γαλιλαίαν." καὶ ὁ Λουκᾶς δέ, πρὶν ἄρξασθαι τῶν τοῦ Ἰησοῦ πράξεων, παραπλησίως ἐπιτηρεῖ φάσκων ὡς ἄρα προσθεὶς Ἡρώδης οἷς διεπράξατο πονηροῖς κατέκλεισε τὸν Ἰωάννην ἐν φυλακῇ. 11. παρακληθέντα δὴ οὖν τούτων ἕνεκά φασι τὸν ἀπόστολον Ἰωάννην τὸν ὑπὸ τῶν προτέρων εὐαγγελιστῶν παρασιωπηθέντα χρόνον καὶ τὰ κατὰ τοῦτον πεπραγμένα τῷ σωτῆρι (ταῦτα δ' ἦν τὰ πρὸ τῆς τοῦ βαπτιστοῦ καθείρξεως) τῷ κατ' αὐτὸν εὐαγγελίῳ παραδοῦναι, αὐτό τε τοῦτ' ἐπισημήνασθαι, τοτὲ μὲν φήσαντα "ταύτην ἀρχὴν ἐποίησε τῶν παραδόξων ὁ Ἰησοῦς," τοτὲ δὲ μνημονεύσαντα τοῦ βαπτιστοῦ μεταξὺ τῶν τοῦ Ἰησοῦ πράξεων, ὡς ἔτι τότε βαπτίζοντος ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, σαφῶς τε τοῦτο δηλοῦν ἐν τῷ λέγειν "οὔπω γὰρ ἦν, φησίν, Ἰωάννης βεβλημένος εἰς "φυλακήν." 12. οὐκοῦν ὁ μὲν Ἰωάννης τῇ τοῦ κατ' αὐτὸν εὐαγγελίου γραφῇ τὰ μηδέπω τοῦ βαπτιστοῦ βεβλημένου εἰς φυλακὴν πρὸς τοῦ Χριστοῦ πραχθέντα παραδίδωσιν, οἱ δὲ λοιποὶ τρεῖς εὐαγγελισταὶ τὰ μετὰ τὴν εἰς τὸ δεσμωτήριον κάθειρξιν τοῦ βαπτιστοῦ μνημονεύουσιν. 13. οἷς καὶ ἐπιστήσαντι οὐκέτι ἂν δόξαι διαφωνεῖν ἀλλήλοις τὰ εὐαγγέλια, τῷ τὸ μὲν κατὰ Ἰωάννην τὰ πρῶτα τῶν τοῦ Χριστοῦ πράξεων περιέχειν, τὰ δὲ λοιπὰ τὴν ἐπὶ τέλει τοῦ χρόνου αὐτῷ γεγενημένην ἱστορίαν· εἰκότως δ' οὖν τὴν μὲν τῆς σαρκὸς τοῦ σωτῆρος ἡμῶν γενεαλογίαν, ἅτε Ματθαίῳ καὶ Λουκᾷ προγραφεῖσαν, ἀποσιωπῆσαι τὸν Ἰωάν-

---

2 Marc. 1, 14. 4 Lucas 3, 20. 14 Ioann. 2, 11. 18 Ioann. 3, 24.

νην, τῆς δὲ θεολογίας ἀπάρξασθαι, ὡσὰν αὐτῷ πρὸς τοῦ θείου πνεύματος οἷα κρείττονι παραπεφυλαγμένης. 14. *ταῦτα μὲν οὖν ἡμῖν περὶ τῆς τοῦ κατὰ Ἰωάννην εὐαγγελίου γραφῆς εἰρήσθω. καὶ τῆς κατὰ Μάρκον δὲ ἡ γενομένη αἰτία ἐν τοῖς πρόσθεν ἡμῖν δεδήλωται.* 15. *ὁ δὲ Λουκᾶς ἀρχόμενος καὶ αὐτὸς τοῦ κατ' αὐτὸν συγγράμματος τὴν αἰτίαν προὔθηκε, δι' ἣν πεποίηται τὴν σύνταξιν, δηλῶν ὡς ἄρα πολλῶν καὶ ἄλλων προπετέστερον ἐπιτετηδευκότων διήγησιν ποιήσασθαι ὧν αὐτὸς πεπληροφόρητο λόγων, ἀναγκαίως ἀπαλλάττων ἡμᾶς τῆς περὶ τοὺς ἄλλους ἀμφηρίστου ὑπολήψεως τὸν ἀσφαλῆ λόγον ὧν αὐτὸς ἱκανῶς τὴν ἀλήθειαν κατειλήφει, ἐκ τῆς ἅμα Παύλῳ συνουσίας τε καὶ διατριβῆς καὶ τῆς τῶν λοιπῶν ἀποστόλων ὁμιλίας ὠφελημένος, διὰ τοῦ ἰδίου παρέδωκεν εὐαγγελίου.* 16 *καὶ ταῦτα μὲν ἡμεῖς περὶ τούτων· οἰκειότερον δὲ κατὰ καιρὸν διὰ τῆς τῶν ἀρχαίων παραθέσεως τὰ καὶ τοῖς ἄλλοις περὶ αὐτῶν εἰρημένα πειρασόμεθα δηλῶσαι.* 17. *τῶν δὲ Ἰωάννου συγγραμμάτων πρὸς τῷ εὐαγγελίῳ καὶ ἡ προτέρα τῶν ἐπιστολῶν παρά τε τοῖς νῦν καὶ τοῖς ἀρχαίοις ἀναμφίλεκτος ὡμολόγηται, ἀντιλέγονται δὲ αἱ λοιπαὶ δύο.* 18. *τῆς δ' Ἀποκαλύψεως ἐφ' ἑκάτερον ἔτι νῦν παρὰ τοῖς πολλοῖς περιέλκεται ἡ δόξα. ὅμως γε μὴν ἐκ τῆς τῶν ἀρχαίων μαρτυρίας ἐν οἰκείῳ καιρῷ τὴν ἐπίκρισιν δέξεται καὶ αὐτή.*

XXV. [Nic. H. E. II, 46.] *Εὔλογον δ' ἐνταῦθα γενομένους ἀνακεφαλαιώσασθαι τὰς δηλωθείσας τῆς καινῆς διαθήκης γραφάς. καὶ δὴ τακτέον ἐν πρώτοις τὴν ἁγίαν τῶν εὐαγγελίων τετρακτὺν, οἷς ἕπε-*

---

5 *ἐν τοῖς πρόσθεν*] 2, 15.

ται ἡ τῶν πράξεων τῶν ἀποστόλων γραφή. 2. μετὰ δὲ ταύτην τὰς Παύλου καταλεκτέον ἐπιστολάς, αἷς ἑξῆς τὴν φερομένην Ἰωάννου προτέραν καὶ ὁμοίως τὴν Πέτρου κυρωτέον ἐπιστολήν. ἐπὶ τούτοις τακτέον, εἴ γε φανείη, τὴν Ἀποκάλυψιν Ἰωάννου, περὶ ἧς τὰ δόξαντα κατὰ καιρὸν ἐκθησόμεθα. 3. καὶ ταῦτα μὲν ἐν ὁμολογουμένοις. τῶν δ' ἀντιλεγομένων, γνωρίμων δ' οὖν ὅμως τοῖς πολλοῖς, ἡ λεγομένη Ἰακώβου φέρεται καὶ ἡ Ἰούδα, ἥ τε Πέτρου δευτέρα ἐπιστολή, καὶ ἡ ὀνομαζομένη δευτέρα καὶ τρίτη Ἰωάννου, εἴτε τοῦ εὐαγγελιστοῦ τυγχάνουσαι, εἴτε καὶ ἑτέρου ὁμωνύμου ἐκείνῳ. 4. ἐν τοῖς νόθοις κατατετάχθω καὶ τῶν Παύλου πράξεων ἡ γραφή, ὅ τε λεγόμενος Ποιμήν, καὶ ἡ Ἀποκάλυψις Πέτρου, καὶ πρὸς τούτοις ἡ φερομένη Βαρνάβα ἐπιστολή, καὶ τῶν ἀποστόλων αἱ λεγόμεναι διδαχαί· ἔτι τε, ὡς ἔφην, ἡ Ἰωάννου Ἀποκάλυψις, εἰ φανείη, ἥν τινες, ὡς ἔφην, ἀθετοῦσιν, ἕτεροι δὲ ἐγκρίνουσι τοῖς ὁμολογουμένοις. 5. ἤδη δ' ἐν τούτοις τινὲς καὶ τὸ καθ' Ἑβραίους εὐαγγέλιον κατέλεξαν, ᾧ μάλιστα Ἑβραίων οἱ τὸν Χριστὸν παραδεξάμενοι χαίρουσι. ταῦτα μὲν πάντα τῶν ἀντιλεγομένων ἂν εἴη. 6. ἀναγκαίως δὲ καὶ τούτων ὅμως τὸν κατάλογον πεποιήμεθα, διακρίναντες τάς τε κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀληθεῖς καὶ ἀπλάστους καὶ ἀνωμολογημένας γραφάς, καὶ τὰς ἄλλας παρὰ ταύτας, οὐκ ἐνδιαθήκους μέν, ἀλλὰ καὶ ἀντιλεγομένας, ὅμως δὲ παρὰ πλείστοις τῶν ἐκκλησιαστικῶν γινωσκομένας, ἵν' εἰδέναι ἔχοιμεν αὐτάς τε ταύτας καὶ τὰς ὀνόματι τῶν ἀποστόλων πρὸς τῶν αἱρετικῶν προφερομένας, ἤτοι ὡς Πέτρου καὶ Θωμᾶ καὶ Ματθία ἢ καί τινων παρὰ τούτους ἄλλων εὐαγγέλια περιεχούσας, ἢ ὡς Ἀνδρέου καὶ Ἰω-

άννου καὶ τῶν ἄλλων ἀποστόλων πράξεις, ὧν οὐδὲν οὐδαμῶς ἐν συγγράμματι τῶν κατὰ τὰς διαδοχὰς ἐκκλησιαστικῶν τις ἀνὴρ εἰς μνήμην ἀγαγεῖν ἠξίωσεν. 7. πόρρω δέ που καὶ ὁ τῆς φράσεως παρὰ τὸ ἦθος τὸ ἀποστολικὸν ἐναλλάττει χαρακτήρ, ἥ τε γνώμη καὶ ἡ τῶν ἐν αὐτοῖς φερομένων προαίρεσις, πλεῖστον ὅσον τῆς ἀληθοῦς ὀρθοδοξίας ἀπᾴδουσα, ὅτι δὴ αἱρετικῶν ἀνδρῶν ἀναπλάσματα τυγχάνει σαφῶς παρίστησιν· ὅθεν οὐδ' ἐν νόθοις αὐτὰ κατατακτέον, ἀλλ' ὡς ἄτοπα πάντη καὶ δυσσεβῆ παραιτητέον. ἴωμεν δὴ λοιπὸν καὶ ἐπὶ τὴν ἑξῆς ἱστορίαν.

XXVI. [Nic. H. E. III, 42.] Σίμωνα τὸν μάγον Μένανδρος διαδεξάμενος ὅπλον δεύτερον, οὐ χεῖρον τοῦ προτέρου, τῆς διαβολικῆς ἐνεργείας ἀποδείκνυται τὸν τρόπον· ἦν καὶ οὗτος Σαμαρεύς, εἰς ἄκρον δὲ γοητείας οὐκ ἔλαττον τοῦ διδασκάλου προελθὼν μείζοσιν ἐπιδαψιλεύεται τερατολογίαις, ἑαυτὸν μὲν ὡς ἄρα εἴη, λέγων, ὁ σωτήρ, ἐπὶ τῇ τῶν ἀνθρώπων ἄνωθέν ποθεν ἐξ ἀοράτων αἰώνων ἀπεσταλμένος σωτηρίᾳ, 2. διδάσκων δὲ μὴ ἄλλως δύνασθαί τινα καὶ αὐτῶν τῶν κοσμοποιῶν ἀγγέλων περιγενήσεσθαι, μὴ πρότερον διὰ τῆς πρὸς αὐτοῦ παραδιδομένης μαγικῆς ἐμπειρίας ἀχθέντα, καὶ διὰ τοῦ μεταδιδομένου πρὸς αὐτοῦ βαπτίσματος, οὗ τοὺς κατηξιωμένους ἀθανασίαν ἀΐδιον ἐν αὐτῷ τούτῳ μεθέξειν τῷ βίῳ, μηκέτι θνήσκοντας, αὐτοῦ δὲ παραμένοντας, εἰς τὸ ἀεὶ ἀγήρως τινὰς καὶ ἀθανάτους ἐσομένους. ταῦτα μὲν οὖν καὶ ἐκ τῶν Εἰρηναίου διαγνῶναι ῥᾴδιον. 3. καὶ ὁ Ἰουστῖνος δὲ κατὰ τὸ αὐτὸ τοῦ Σίμωνος μνημονεύσας καὶ τὴν περὶ τούτου διήγησιν ἐπιφέρει, λέγων

28 Iren. 1, 23, 5. p. 100. 29 Iustin. Apol. I. c. 26.

"Μένανδρον δέ τινα καὶ αὐτὸν Σαμαρέα, τὸν ἀπὸ "κώμης Καππαραττέας, γενόμενον μαθητὴν τοῦ Σί"μωνος, οἰστρηθέντα καὶ αὐτὸν ὑπὸ τῶν δαιμόνων "καὶ ἐν Ἀντιοχείᾳ γενόμενον πολλοὺς ἐξαπατῆσαι "διὰ μαγικῆς τέχνης οἴδαμεν, ὃς καὶ τοὺς αὐτῷ ἑπο"μένους ὡς μὴ ἀποθνήσκοιεν ἔπεισεν. καὶ νῦν "τινές εἰσιν ἀπ' ἐκείνου τοῦτο ὁμολογοῦντες." 4. ἦν δ' ἄρα διαβολικῆς ἐνεργείας διὰ τοιῶνδε γοήτων τὴν Χριστιανῶν προσηγορίαν ὑποδυομένων τὸ μέγα τῆς θεοσεβείας μυστήριον ἐπὶ μαγείᾳ σπουδάσαι διαβαλεῖν, διασῦραί τε δι' αὐτῶν τὰ περὶ ψυχῆς ἀθανασίας καὶ νεκρῶν ἀναστάσεως ἐκκλησιαστικὰ δόγματα. ἀλλ' οὗτοι μὲν τούτους σωτῆρας ἐπιγραψάμενοι τῆς ἀληθοῦς ἀποπεπτώκασιν ἐλπίδος.

XXVII. [Nic. H. E. III, 13.] Ἄλλους δὲ ὁ πονηρὸς δαίμων, τῆς περὶ τὸν Χριστὸν τοῦ θεοῦ διαθέσεως ἀδυνατῶν ἐκσεῖσαι, θατέρᾳ ληπτοὺς εὑρὼν ἐσφετερίζετο. Ἐβιωναίους τούτους οἰκείως ἐπεφήμιζον οἱ πρῶτοι, πτωχῶς καὶ ταπεινῶς τὰ περὶ τοῦ Χριστοῦ δοξάζοντας. 2. λιτὸν μὲν γὰρ αὐτὸν καὶ κοινὸν ἡγοῦντο κατὰ προκοπὴν ἤθους αὐτὸ μόνον ἄνθρωπον δεδικαιωμένον, ἐξ ἀνδρός τε κοινωνίας καὶ τῆς Μαρίας γεγεννημένον· δεῖν δὲ πάντως αὐτοῖς νομικῆς θρησκείας, ὡς μὴ ἂν διὰ μόνης τῆς εἰς τὸν Χριστὸν πίστεως καὶ τοῦ κατ' αὐτὴν βίου σωθησομένοις. 3. ἄλλοι δὲ παρὰ τούτους τῆς αὐτῆς ὄντες προσηγορίας τὴν μὲν τῶν εἰρημένων ἔκτοπον διεδίδρασκον ἀτοπίαν, ἐκ παρθένου καὶ ἁγίου πνεύματος μὴ ἀρνούμενοι γεγονέναι τὸν κύριον, οὐ μὴν ἔθ' ὁμοίως καὶ οὗτοι προϋπάρχειν αὐτὸν, θεὸν λόγον ὄντα καὶ σοφίαν, ὁμολογοῦντες τῇ τῶν προτέρων περιετρέποντο δυσσεβείᾳ, μάλιστα ὅτε καὶ τὴν σωματικὴν περὶ τὸν

νόμον λατρείαν ὁμοίως ἐκείνοις περιέπειν ἐσπούδαζον. 4. οὗτοι δὲ τοῦ μὲν ἀποστόλου πάσας τὰς ἐπιστολὰς ἀρνητέας ἡγοῦντο εἶναι δεῖν, ἀποστάτην ἀποκαλοῦντες αὐτὸν τοῦ νόμου· εὐαγγελίῳ δὲ μόνῳ τῷ καθ' Ἑβραίους λεγομένῳ χρώμενοι τῶν λοιπῶν σμικρὸν ἐποιοῦντο λόγον. 5. καὶ τὸ μὲν σάββατον καὶ τὴν ἄλλην Ἰουδαϊκὴν ἀγωγὴν ὁμοίως ἐκείνοις παρεφύλαττον, ταῖς δ' αὖ κυριακαῖς ἡμέραις ἡμῖν τὰ παραπλήσια εἰς μνήμην τῆς τοῦ κυρίου ἀναστάσεως ἐπετέλουν. 6. ὅθεν παρὰ τὴν τοιαύτην ἐγχείρησιν τῆς τοιᾶσδε λελόγχασι προσηγορίας, τοῦ Ἐβιωναίων ὀνόματος, τὴν τῆς διανοίας πτωχείαν αὐτῶν ὑποφαίνοντος· ταύτῃ γὰρ ἐπίκλην ὁ πτωχὸς παρ' Ἑβραίοις ὀνομάζεται.

XXVIII. [Nic. H. E. III, 14.] *Κατὰ τοὺς δεδηλωμένους χρόνους ἑτέρας αἱρέσεως ἀρχηγὸν γενέσθαι Κήρινθον παρειλήφαμεν. Γάϊος, οὗ φωνὰς ἤδη πρότερον παρατέθειμαι, ἐν τῇ φερομένῃ αὐτοῦ ζητήσει ταῦτα περὶ τοῦ αὐτοῦ γράφει 2. "ἀλλὰ καὶ Κήρινθος "ὁ δι' ἀποκαλύψεων ὡς ὑπὸ ἀποστόλου μεγάλου γε"γραμμένων τερατολογίας ἡμῖν ὡς δι' ἀγγέλων αὐτῷ "δεδειγμένας ψευδόμενος ἐπεισάγει λέγων μετὰ τὴν "ἀνάστασιν ἐπίγειον εἶναι τὸ βασίλειον τοῦ Χρι"στοῦ, καὶ πάλιν ἐπιθυμίαις καὶ ἡδοναῖς ἐν Ἱερου"σαλὴμ τὴν σάρκα πολιτευομένην δουλεύειν. καὶ "ἐχθρὸς ὑπάρχων ταῖς γραφαῖς τοῦ θεοῦ ἀριθμὸν "χιλιονταετίας ἐν γάμῳ ἑορτῆς, θέλων πλανᾶν, λέγει "γίνεσθαι." 3. καὶ Διονύσιος δὲ ὁ τῆς κατ' Ἀλεξάνδρειαν παροικίας καθ' ἡμᾶς τὴν ἐπισκοπὴν εἰληχώς, ἐν δευτέρῳ τῶν ἐπαγγελιῶν περὶ τῆς Ἰωάννου Ἀπο-*

---

28 Διονύσιος] Conf. infra 7, 25.

καλύψεως εἰπών τινα ὡς ἐκ τῆς ἀνέκαθεν παραδόσεως, τοῦ αὐτοῦ μέμνηται ἀνδρὸς τούτοις τοῖς ῥήμασι 4. "Κήρινθον δὲ τὸν καὶ τὴν ἀπ' ἐκείνου κληθεῖσαν Κηρινθιανὴν αἵρεσιν συστησάμενον ἀξιόπιστον ἐπιφημίσαι θελήσαντα τῷ ἑαυτοῦ πλάσματι "ὄνομα. τοῦτο γὰρ εἶναι τῆς διδασκαλίας αὐτοῦ τὸ "δόγμα, ἐπίγειον ἔσεσθαι τὴν τοῦ Χριστοῦ βασιλείαν. "5. καὶ ὧν αὐτὸς ὠρέγετο φιλοσώματος ὢν καὶ πάνυ "σαρκικὸς, ἐν τούτοις ὀνειροπολεῖν ἔσεσθαι, γαστρὸς "καὶ τῶν ὑπὸ γαστέρα πλησμοναῖς, τουτέστι σιτίοις "καὶ ποτοῖς καὶ γάμοις, καὶ δι' ὧν εὐφημότερον "ταῦτα ᾠήθη ποριεῖσθαι, ἑορταῖς καὶ θυσίαις καὶ ἱε"ρείων σφαγαῖς." 6. ταῦτα Διονύσιος. ὁ δὲ Εἰρηναῖος ἀπορρητοτέρας δή τινας τοῦ αὐτοῦ ψευδοδοξίας ἐν πρώτῳ συγγράμματι τῶν πρὸς τὰς αἱρέσεις προθεὶς ἐν τῷ τρίτῳ καὶ ἱστορίαν οὐκ ἀξίαν λήθης τῇ γραφῇ παραδέδωκεν, ὡς ἐκ παραδόσεως Πολυκάρπου φάσκων Ἰωάννην τὸν ἀπόστολον εἰσελθεῖν ποτε ἐν βαλανείῳ, ὥστε λούσασθαι, γνόντα δὲ ἔνδον ὄντα τὸν Κήρινθον ἀποπηδῆσαί τε τοῦ τόπου καὶ ἐκφυγεῖν θύραζε, μηδ' ὑπομείναντα τὴν αὐτὴν αὐτῷ ὑποδῦναι στέγην, ταὐτὸ δὲ τοῦτο καὶ τοῖς σὺν αὐτῷ παραινέσαι φήσαντα, "φύγωμεν, μὴ καὶ τὸ βαλανεῖον "συμπέσῃ, ἔνδον ὄντος Κηρίνθου τοῦ τῆς ἀληθείας "ἐχθροῦ."

XXIX. [Nic. H. E. III, 15.] *Ἐπὶ τούτῳ δῆτα καὶ ἡ λεγομένη τῶν Νικολαϊτῶν αἵρεσις ἐπὶ σμικρότατον συνέστη χρόνον, ἧς δὴ καὶ ἡ τοῦ Ἰωάννου Ἀποκάλυψις μνημονεύει. οὗτοι Νικόλαον ἕνα τῶν ἀμφὶ τὸν Στέφανον διακόνων πρὸς τῶν ἀποστόλων ἐπὶ τῇ τῶν*

---

13 Iren. I, 26. p. 105. 16 Ibid. III, 3. p. 177.

ἐνδεῶν θεραπείᾳ προκεχειρισμένων ηὔχουν. ὅ γε μὴν Ἀλεξανδρεὺς Κλήμης ἐν τρίτῳ στρωματεῖ ταῦτα περὶ αὐτοῦ κατὰ λέξιν ἱστορεῖ 2. "ὡραίαν, φασί, γυ-"ναῖκα ἔχων οὗτος μετὰ τὴν ἀνάληψιν τὴν τοῦ σωτῆ-"ρος πρὸς τῶν ἀποστόλων ὀνειδισθεὶς ζηλοτυπίαν εἰς "μέσον ἀγαγὼν τὴν γυναῖκα γῆμαι τῷ βουλομένῳ ἐπέ-"τρεψεν. ἀκόλουθον γάρ εἶναί φασι τὴν πρᾶξιν ταύ-"την ἐκείνῃ τῇ φωνῇ, τῇ ὅτι παραχρᾶσθαι τῇ σαρκὶ "δεῖ. καὶ δὴ κατακολουθήσαντες τῷ γεγενημένῳ τῷ "τε εἰρημένῳ ἁπλῶς καὶ ἀβασανίστως ἀναίδην ἐκ-"πορνεύουσιν οἱ τὴν αἵρεσιν αὐτοῦ μετιόντες. 3. "πυνθάνομαι δ' ἐγὼ τὸν Νικόλαον μηδεμιᾷ ἑτέρᾳ "παρ' ἣν ἔγημε κεχρῆσθαι γυναικί, τῶν τε ἐκείνου "τέκνων τὰς μὲν θηλείας καταγηράσαι παρθένους, "ἄφθορον δὲ διαμεῖναι τὸν υἱόν. ὧν οὕτως ἐχόντων "ἀποβολὴ πάθους ἦν ἡ εἰς μέσον τῶν ἀποστόλων τῆς "ζηλοτυπουμένης ἐγκύκλησις γυναικός, καὶ ἡ ἐγκρά-"τεια τῶν περισπουδάστων ἡδονῶν τὸ "παραχρᾶσθαι "τῇ σαρκί" ἐδίδασκεν. οὐ γὰρ οἶμαι ἐβούλετο κατὰ "τὴν τοῦ σωτῆρος ἐντολὴν δυσὶ κυρίοις δουλεύειν, "ἡδονῇ καὶ κυρίῳ. 4. λέγουσι δ' οὖν καὶ τὸν Ματ-"θίαν οὕτω διδάξαι, σαρκὶ μὲν μάχεσθαι καὶ παρα-"χρᾶσθαι, μηδὲν αὐτῇ πρὸς ἡδονὴν ἐνδιδόντα, ψυ-"χὴν δ' αὔξειν διὰ πίστεως καὶ γνώσεως." ταῦτα μὲν οὖν περὶ τῶν κατὰ τοὺς δηλουμένους χρόνους παραβραβεῦσαι τὴν ἀλήθειαν ἐγκεχειρηκότων, λόγου γε μὴν θᾶττον εἰς τὸ παντελὲς ἀπεσβηκότων, εἰρήσθω.

XXX. [Nic. H. E. II, 44]. Ὁ μέντοι Κλήμης, οὗ τὰς φωνὰς ἀρτίως ἀνέγνωμεν, τοῖς προειρημένοις ἑξῆς

2 Clemens Strom. 3, 4. p. 522.

διὰ τοὺς ἀθετοῦντας γάμον τοὺς τῶν ἀποστόλων ἐξετασθέντας ἐν συζυγίαις καταλέγει φάσκων "ἢ καὶ τοὺς ἀποστόλους ἀποδοκιμάσουσι. Πέτρος μὲν γὰρ καὶ Φίλιππος ἐπαιδοποιήσαντο, Φίλιππος δὲ καὶ τὰς θυγατέρας ἀνδράσιν ἐξέδωκε. καὶ ὅ γε Παῦλος οὐκ ὀκνεῖ ἔν τινι ἐπιστολῇ τὴν αὑτοῦ προσαγορεῦσαι σύζυγον, ἣν οὐ περιεκόμιζε διὰ τὸ τῆς ὑπηρεσίας εὐσταλές." 2. *ἐπεὶ δὲ τούτων ἐμνήσθημεν, οὐ λυπεῖ καὶ ἄλλην ἀξιοδιήγητον ἱστορίαν τοῦ αὐτοῦ παραθέσθαι, ἣν ἐν τῷ ἑβδόμῳ στρωματεῖ τοῦτον ἱστορῶν ἀνέγραψε τὸν τρόπον "φασὶ γοῦν τὸν μακάριον Πέτρον, θεασάμενον τὴν ἑαυτοῦ γυναῖκα ἀπαγομένην τὴν ἐπὶ θανάτῳ, ἡσθῆναι μὲν τῆς κλήσεως χάριν καὶ τῆς ἐπ' οἶκον ἀνακομιδῆς, ἐπιφωνῆσαι δὲ εὖ μάλα προτρεπτικῶς καὶ παρακλητικῶς ἐξ ὀνόματος προσειπόντα 'μέμνησο, ὦ αὕτη, τοῦ κυρίου.' τοιοῦτος ἦν ὁ τῶν μακαρίων γάμος καὶ ἡ τῶν φιλτάτων τελεία διάθεσις." καὶ ταῦτα δ' οἰκεῖα ὄντα τῇ μετὰ χεῖρας ὑποθέσει ἐνταῦθά μοι κατὰ καιρὸν κείσθω.*

XXXI. [Nic. H. E. I, 35.] *Παύλου μὲν οὖν καὶ Πέτρου τῆς τελευτῆς ὅ τε χρόνος καὶ ὁ τρόπος καὶ προσέτι τῆς μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου τῶν σκηνωμάτων αὐτῶν καταθέσεως ὁ χῶρος ἤδη πρότερον ἡμῖν δεδήλωται.* 2. *τοῦ δὲ Ἰωάννου τὰ μὲν τοῦ χρόνου ἤδη πως εἴρηται, τὸ δέ γε τοῦ σκηνώματος αὐτοῦ χωρίον ἐξ ἐπιστολῆς Πολυκράτους (τῆς δ' ἐν Ἐφέσῳ παροικίας ἐπίσκοπος οὗτος ἦν) ἐπιδείκνυται, ἣν Οὐίκτορι Ῥωμαίων ἐπισκόπῳ γράφων ὁμοῦ τε αὐτοῦ καὶ Φιλίππου μνημονεύει τοῦ ἀποστόλου τῶν τε*

---

2 Clemens Strom. 3, 6. p. 535. 11 Ibid. 7, 11, p. 869.
24 *δεδήλωται*] 2, 25. 26 *Πολυκράτους*] Conf. 5, 24.

τούτου θυγατέρων ὧδέ πως "καὶ γὰρ καὶ κατὰ τὴν Ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηται, ἅτινα ἀναστήσεται τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς παρουσίας τοῦ κυρίου, ἐν ᾗ ἔρχεται μετὰ δόξης ἐξ οὐρανοῦ, καὶ ἀναζητήσει πάντας τοὺς ἁγίους, Φίλιππον τὸν τῶν δώδεκα ἀποστόλων, ὃς κεκοίμηται ἐν Ἱεραπόλει, καὶ δύο θυγατέρες αὐτοῦ γεγηρακυῖαι παρθένοι, καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ ἐν ἁγίῳ πνεύματι πολιτευσαμένη, ἣ ἐν Ἐφέσῳ ἀναπαύεται, ἔτι δὲ καὶ Ἰωάννης ὁ ἐπὶ τὸ στῆθος τοῦ κυρίου ἀναπεσών, ὃς ἐγενήθη ἱερεὺς τὸ πέταλον πεφορηκὼς καὶ μάρτυς καὶ διδάσκαλος· οὗτος ἐν Ἐφέσῳ κεκοίμηται." ταῦτα καὶ περὶ τῆς τῶνδε τελευτῆς. 4. καὶ ἐν τῷ Γαΐου δέ, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν, διαλόγῳ Πρόκλος, πρὸς ὃν ἐποιεῖτο τὴν ζήτησιν, περὶ τῆς Φιλίππου καὶ τῶν θυγατέρων αὐτοῦ τελευτῆς συνᾴδων τοῖς ἐκτεθεῖσιν οὕτω φησίν "μετὰ τοῦτον δὲ προφήτιδες τέσσαρες αἱ Φιλίππου γεγένηνται ἐν Ἱεραπόλει τῇ κατὰ τὴν Ἀσίαν· ὁ τάφος αὐτῶν ἐστιν ἐκεῖ καὶ ὁ τοῦ πατρὸς αὐτῶν." 5. ταῦτα μὲν οὗτος. ὁ δὲ Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων τῶν Φιλίππου θυγατέρων ἐν Καισαρείᾳ τῆς Ἰουδαίας ἅμα τῷ πατρὶ τότε διατριβουσῶν, προφητικοῦ τε χαρίσματος ἠξιωμένων, μνημονεύει κατὰ λέξιν ὧδέ πως λέγων "ἤλθομεν εἰς Καισάρειαν, καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτὰ ἐμείναμεν παρ' αὐτῷ. τούτῳ δὲ ἦσαν παρθένοι θυγατέρες προφητεύουσαι τέσσαρες." 6. τὰ μὲν οὖν εἰς ἡμετέραν ἐλθόντα γνῶσιν περί τε τῶν ἀποστόλων αὐτῶν καὶ τῶν ἀποστολικῶν χρόνων, ὧν τε καταλελοίπασιν ἡμῖν

24 Act. 21, 8.

ἱερῶν γραμμάτων, καὶ τῶν ἀντιλεγομένων μὲν, ὅμως δ' ἐν πλείσταις ἐκκλησίαις παρὰ πολλοῖς δεδημοσιευμένων, τῶν τε παντελῶς νόθων καὶ τῆς ἀποστολικῆς ὀρθοδοξίας ἀλλοτρίων ἐν τούτοις διειληφότες ἐπὶ τὴν τῶν ἑξῆς προΐωμεν ἱστορίαν.

XXXII. [Nic. H. E. III, 16.] *Μετὰ Νέρωνα καὶ Δομετιανὸν, κατὰ τοῦτον οὗ νῦν τοὺς χρόνους ἐξετάζομεν, μερικῶς καὶ κατὰ πόλεις ἐξ ἐπαναστάσεως δήμων τὸν καθ' ἡμῶν κατέχει λόγος ἀνακινηθῆναι διωγμὸν, ἐν ᾧ Συμεῶνα τὸν τοῦ Κλωπᾶ, ὃν δεύτερον καταστῆναι τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐπίσκοπον ἐδηλώσαμεν, μαρτυρίῳ τὸν βίον ἀναλῦσαι παρειλήφαμεν.* 2. *καὶ τούτου μάρτυς αὐτὸς ἐκεῖνος, οὗ διαφόροις ἤδη πρότερον ἐχρησάμεθα φωναῖς, Ἡγήσιππος· ὃς δὴ περί τινων αἱρετικῶν ἱστορῶν ἐπιφέρει δηλῶν ὡς ἄρα ὑπὸ τούτων κατὰ τόνδε τὸν χρόνον ὑπομείνας κατηγορίαν, πολυτρόπως ὁ δηλούμενος ὡσὰν Χριστιανὸς ἐπὶ πλείσταις αἰκισθεὶς ἡμέραις, αὐτόν τε τὸν δικαστὴν καὶ τοὺς ἀμφ' αὐτὸν εἰς τὰ μέγιστα καταπλήξας, τῷ τοῦ κυρίου πάθει παραπλήσιον τὸ τέλος ἀπηνέγκατο.* 3. *οὐδὲν δὲ οἷον καὶ τοῦ συγγραφέως ἐπακοῦσαι, αὐτὰ δὴ ταῦτα κατὰ λέξιν ὧδέ πως ἱστοροῦντος "ἀπὸ τούτων δηλαδὴ τῶν αἱρετικῶν κατηγοροῦσί τινες Συμεῶνος τοῦ Κλωπᾶ, ὡς ὄντος ἀπὸ Δαβὶδ καὶ Χριστιανοῦ, καὶ οὕτω μαρτυρεῖ ἐτῶν ὢν ἑκατὸν εἴκοσιν, ἐπὶ Τραϊανοῦ Καίσαρος καὶ ὑπατικοῦ Ἀττικοῦ."* 4. *φησὶ δὲ ὁ αὐτὸς ὡς ἄρα καὶ τοὺς κατηγόρους αὐτοῦ, ζητουμένων τότε τῶν ἀπὸ τῆς βασιλικῆς Ἰουδαίων φυλῆς, ὡσὰν ἐξ αὐτῆς ὄντας ἁλῶναι συνέβη. λογισμῷ δ' ἂν καὶ τὸν Συμεῶνα τῶν αὐτοπτῶν καὶ αὐτηκόων εἴποι ἄν τις γεγονέναι τοῦ κυρίου, τεκμηρίῳ τῷ μήκει τοῦ χρό-*

νου τῆς αὐτοῦ ζωῆς χρώμενος, καὶ τῷ μνημονεύειν τὴν τῶν εὐαγγελίων γραφὴν Μαρίας τῆς τοῦ Κλωπᾶ, οὗ γεγονέναι αὐτὸν καὶ πρότερον ὁ λόγος ἐδήλωσεν. 5. ὁ δ' αὐτὸς συγγραφεὺς καὶ ἑτέρους ἀπὸ γένους ἑνὸς τῶν φερομένων ἀδελφῶν τοῦ σωτῆρος, ᾧ ὄνομα Ἰούδας, φησὶν εἰς τὴν αὐτὴν ἐπιβιῶναι βασιλείαν, μετὰ τὴν ἤδη πρότερον ἱστορηθεῖσαν αὐτῶν ὑπὲρ τῆς εἰς τὸν Χριστὸν πίστεως ἐπὶ Δομετιανοῦ μαρτυρίαν. 6. γράφει δὲ οὕτως "ἔρχονται οὖν καὶ προηγοῦνται "πάσης ἐκκλησίας ὡς μάρτυρες καὶ ἀπὸ γένους τοῦ "κυρίου, καὶ γενομένης εἰρήνης βαθείας ἐν πάσῃ ἐκ-"κλησίᾳ μένουσι μέχρι Τραϊανοῦ Καίσαρος, μέχρις "οὗ ὁ ἐκ θείου τοῦ κυρίου, ὁ προειρημένος Συμεὼν "υἱὸς Κλωπᾶ, συκοφαντηθεὶς ὑπὸ τῶν αἱρέσεων, "ὡσαύτως κατηγορήθη καὶ αὐτὸς ἐπὶ τῷ αὐτῷ λόγῳ "ἐπὶ Ἀττικοῦ τοῦ ὑπατικοῦ. καὶ ἐπὶ πολλαῖς ἡμέραις "αἰκιζόμενος ἐμαρτύρησεν, ὡς πάντας ὑπερθαυμά-"ζειν καὶ τὸν ὑπατικὸν πῶς ἑκατὸν εἴκοσι τυγχάνων "ἐτῶν ὑπέμεινε· καὶ ἐκελεύσθη σταυρωθῆναι." 7. ἐπὶ τούτοις ὁ αὐτὸς ἀνὴρ διηγούμενος τὰ κατὰ τοὺς δηλουμένους ἐπιλέγει, ὡς ἄρα μέχρι τῶν τότε χρόνων παρθένος καθαρὰ καὶ ἀδιάφθορος ἔμενεν ἡ ἐκκλησία, ἐν ἀδήλῳ που σκότει φωλευόντων εἰσέτι τότε τῶν, εἰ καί τινες ὑπῆρχον, παραφθείρειν ἐπιχειρούντων τὸν ὑγιῆ κανόνα τοῦ σωτηρίου κηρύγματος. 8. ὡς δ' ὁ ἱερὸς τῶν ἀποστόλων χορὸς διάφορον εἰλήφει τοῦ βίου τέλος, παρεληλύθει τε ἡ γενεὰ ἐκείνη τῶν αὐταῖς ἀκοαῖς τῆς ἐνθέου σοφίας ἐπακοῦσαι κατηξιωμένων, τηνικαῦτα τῆς ἀθέου πλάνης ἀρχὴν ἐλάμβανεν ἡ σύστασις, διὰ τῆς τῶν ἑτεροδιδασκάλων

---

3 πρότερον] 3, 20.

ἀπάτης, οἳ καί, ἅτε μηδενὸς ἔτι τῶν ἀποστόλων λειπομένου, γυμνῇ λοιπὸν ἤδη τῇ κεφαλῇ τῷ τῆς ἀληθείας κηρύγματι τὴν ψευδώνυμον γνῶσιν ἀντικηρύττειν ἐπεχείρουν.

XXXIII. [Nic. H. E. III, 17.] Τοσοῦτός γε μὴν ἐν πλείοσι τόποις ὁ καθ' ἡμῶν ἐπετάθη τότε διωγμός, ὡς Πλίνιον Σεκοῦνδον ἐπισημότατον ἡγεμόνων, ἐπὶ τῷ πλήθει τῶν μαρτύρων κινηθέντα, βασιλεῖ κοινώσασθαι περὶ τοῦ πλήθους τῶν ὑπὲρ τῆς πίστεως ἀναιρουμένων, ἅμα δ' ἐν ταὐτῷ μηνῦσαι, μηδὲν ἀνόσιον μηδὲ παρὰ τοὺς νόμους πράττειν αὐτοὺς κατειληφέναι, πλὴν τό γε ἅμα τῇ ἕῳ διεγειρομένους τὸν Χριστὸν θεοῦ δίκην ὑμνεῖν, τὸ δὲ μοιχεύειν καὶ φονεύειν καὶ τὰ συγγενῆ τούτοις ἀθέμιτα πλημμελήματα καὶ αὐτοὺς ἀπαγορεύειν, πάντα τε πράττειν ἀκολούθως τοῖς νόμοις. 2. πρὸς ἃ τὸν Τραϊανὸν δόγμα τοιόνδε τεθεικέναι, τὸ Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μέν, ἐμπεσὸν δὲ κολάζεσθαι· οὗ γενομένου ποσῶς μὲν τοῦ διωγμοῦ σβεσθῆναι τὴν ἀπειλὴν σφοδρότατα ἐγκειμένου, οὐ χείρονάς γε μὴν τοῖς κακουργεῖν περὶ ἡμᾶς ἐθέλουσι λείπεσθαι προφάσεις, ἔσθ' ὅπη μὲν τῶν δήμων, ἔσθ' ὅπη δὲ καὶ τῶν κατὰ χώρας ἀρχόντων τὰς καθ' ἡμῶν συσκευαζομένων ἐπιβουλάς, ὡς καὶ ἄνευ προφανῶν διωγμῶν μερικοὺς κατ' ἐπαρχίαν ἐξάπτεσθαι, πλείους τε τῶν πιστῶν διαφόροις ἐναγωνίζεσθαι μαρτυρίοις. 3. εἴληπται δ' ἡμῖν ἡ ἱστορία ἐξ ἧς ἀνωτέρω δεδηλώκαμεν τοῦ Τερτυλλιανοῦ Ῥωμαϊκῆς ἀπολογίας, ἧς ἡ ἑρμηνεία τοῦτον ἔχει τὸν τρόπον "καίτοι ηὑρήκαμεν καὶ τὴν εἰς "ἡμᾶς ἐπιζήτησιν κεκωλυμένην. Πλίνιος γὰρ Σε-

7 Plinius Epist. 10, 96. 97. 28 Tertullian. Apol. 2.

"κοῦνδος ἡγούμενος ἐπαρχίου, κατακρίνας Χριστιανούς τινας καὶ τῆς ἀξίας ἐκβαλών, ταραχθεὶς τῷ πλήθει ἠγνόει τί αὐτῷ λοιπὸν εἴη πρακτέον. Τραϊανῷ οὖν τῷ βασιλεῖ ἀνεκοινώσατο λέγων ἔξω τοῦ μὴ βούλεσθαι αὐτοὺς εἰδωλολατρεῖν οὐδὲν ἀνόσιον ἐν αὐτοῖς ηὑρηκέναι. ἐμήνυε δὲ καὶ τοῦτο, ἀνίστασθαι ἕωθεν τοὺς Χριστιανοὺς καὶ τὸν Χριστὸν θεοῦ δίκην ὑμνεῖν, καὶ πρὸς τὸ τὴν ἐπιστήμην αὐτῶν διαφυλάσσειν κωλύεσθαι φονεύειν, μοιχεύειν, πλεονεκτεῖν, ἀποστερεῖν καὶ τὰ τούτοις ὅμοια. πρὸς ταῦτα ἀντέγραψε Τραϊανὸς τὸ τῶν Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μέν, ἐμπεσὸν δὲ κολάζεσθαι." καὶ ταῦτα μὲν ἐν τούτοις ἦν.

XXXIV. [Nic. H. E. III, 25.] *Τῶν δὲ ἐπὶ Ῥώμης ἐπισκόπων ἔτει τρίτῳ τῆς τοῦ προειρημένου βασιλέως ἀρχῆς Κλήμης Εὐαρέστῳ παραδοὺς τὴν λειτουργίαν ἀναλύει τὸν βίον, τὰ πάντα προστὰς ἔτη ἐννέα τῆς τοῦ θείου λόγου διδασκαλίας.*

XXXV. [Nic. H. E. III. 2.] *Ἀλλὰ καὶ τοῦ Συμεῶνος τὸν δηλωθέντα τελειωθέντος τρόπον, τῆς ἐν Ἱεροσολύμοις ἐπισκοπῆς τὸν θρόνον Ἰουδαῖός τις ὄνομα Ἰοῦστος, μυρίων ὅσων ἐκ περιτομῆς εἰς τὸν Χριστὸν τηνικαῦτα πεπιστευκότων εἷς καὶ αὐτὸς ὤν, διαδέχεται.*

XXXVI. [Nic. H. E. III, 29.] *Διέπρεπέ γε μὴν κατὰ τούτους ἐπὶ τῆς Ἀσίας τῶν ἀποστόλων ὁμιλητὴς Πολύκαρπος, τῆς κατὰ Σμύρναν ἐκκλησίας πρὸς τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ κυρίου τὴν ἐπισκοπὴν ἐγκεχειρισμένος.* 2. *καθ᾽ ὃν ἐγνωρίζετο Παπίας τῆς ἐν Ἱεραπόλει παροικίας καὶ αὐτὸς ἐπίσκοπος, ὅ τε παρὰ πλείστοις εἰσέτι νῦν διαβόητος*

30 *ἐπίσκοπος*] Libri interpolati addunt *ἀνὴρ τὰ πάντα ὅτι μάλιστα λογιώτατος καὶ τῆς γραφῆς εἰδήμων.*

Ἰγνάτιος, τῆς κατ' Ἀντιόχειαν Πέτρου διαδοχῆς δεύτερος τὴν ἐπισκοπὴν κεκληρωμένος. 3. λόγος δ' ἔχει τοῦτον ἀπὸ Συρίας ἐπὶ τὴν Ῥωμαίων πόλιν ἀναπεμφθέντα θηρίων γενέσθαι βορὰν τῆς εἰς Χριστὸν μαρτυρίας ἕνεκεν. 4. οὗτος δὴ οὖν τὴν δι' Ἀσίας ἀνακομιδὴν μετ' ἐπιμελεστάτης φρουρῶν φυλακῆς ποιούμενος τὰς κατὰ πόλιν αἷς ἐπεδήμει παροικίας ταῖς διὰ λόγων ὁμιλίαις τε καὶ προτροπαῖς ἐπιρρωννύς, ἐν πρώτοις μάλιστα προφυλάττεσθαι τὰς αἱρέσεις ἄρτι τότε πρῶτον ἀναφυείσας καὶ ἐπιπολαζούσας παρῄνει, προύτρεπέ τε ἀπρὶξ ἔχεσθαι τῆς τῶν ἀποστόλων παραδόσεως, ἣν ὑπὲρ ἀσφαλείας καὶ ἐγγράφως ἤδη μαρτυρόμενος διατυποῦσθαι ἀναγκαῖον ἡγεῖτο. 5. οὕτω δῆτα ἐν Σμύρνῃ γενόμενος, ἔνθα ὁ Πολύκαρπος ἦν, μίαν μὲν τῇ κατὰ τὴν Ἔφεσον ἐπιστολὴν ἐκκλησίᾳ γράφει, ποιμένος αὐτῆς μνημονεύων Ὀνησίμου, ἑτέραν δὲ τῇ ἐν Μαγνησίᾳ τῇ πρὸς Μαιάνδρῳ, ἔνθα πάλιν ἐπισκόπου Δάμα μνήμην πεποίηται, καὶ τῇ ἐν Τράλλεσι δὲ ἄλλην, ἧς ἄρχοντα τότε ὄντα Πολύβιον ἱστορεῖ. πρὸς ταύταις καὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ γράφει, ᾗ καὶ παράκλησιν προτείνει, ὡς μὴ παραιτησάμενοι τοῦ μαρτυρίου τῆς ποθουμένης αὐτὸν ἀποστερήσαιεν ἐλπίδος· ἐξ ὧν καὶ βραχύτατα εἰς ἐπίδειξιν τῶν εἰρημένων παραθέσθαι ἄξιον. 7. γράφει δὴ οὖν κατὰ λέξιν "ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, ἐνδεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτικὸν τάγμα, οἳ καὶ εὐεργετούμενοι χείρονες γίνονται. ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι, ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι. 8. ὀναί-

25 Ignat. Ep. ad Rom. c. 5.

"μην τῶν θηρίων τῶν ἐμοὶ ἑτοίμων, ἃ καὶ εὔχομαι "σύντομά μοι εὑρεθῆναι, ἃ καὶ κολακεύσω συντόμως "με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ "ἥψαντο· κἂν αὐτὰ δὲ ἄκοντα μὴ θέλῃ, ἐγὼ προσ-"βιάσομαι. 9. συγγνώμην μοι ἔχετε. τί μοι συμφέ-"ρει ἐγὼ γινώσκω. νῦν ἄρχομαι μαθητὴς εἶναι. μη-"δέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ ἀοράτων, ἵνα Ἰησοῦ "Χριστοῦ ἐπιτύχω· πῦρ καὶ σταυρὸς, θηρίων τε συ-"στάσεις, σκορπισμοὶ ὀστέων, συγκοπαὶ μελῶν, ἀλε-"σμοὶ ὅλου τοῦ σώματος, κολάσεις τοῦ διαβόλου εἰς ἐμὲ "ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω." 10. καὶ ταῦτα μὲν ἀπὸ τῆς δηλωθείσης πόλεως ταῖς καταλεχθείσαις ἐκκλησίαις διετυπώσατο. ἤδη δ' ἐπέκεινα τῆς Σμύρνης γενόμενος ἀπὸ Τρωάδος τοῖς τε ἐν Φιλαδελφείᾳ αὖθις διὰ γραφῆς ὁμιλεῖ καὶ τῇ Σμυρναίων ἐκκλησίᾳ, ἰδίως τε τῷ ταύτης προηγουμένῳ Πολυκάρπῳ, ὃν οἷα δὴ ἀποστολικὸν ἄνδρα εὖ μάλα γνωρίζων, τὴν κατ' Ἀντιόχειαν αὐτῷ ποίμνην ὡσὰν γνήσιος καὶ ἀγαθὸς ποιμὴν παρατίθεται, τὴν περὶ αὐτῆς φροντίδα διὰ σπουδῆς ἔχειν αὐτὸν ἀξιῶν. 11. ὁ δ' αὐτὸς Σμυρναίοις γράφων οὐκ οἶδ' ὁπόθεν ῥητοῖς συγκέχρηται, τοιαῦτά τινα περὶ τοῦ Χριστοῦ διεξιών "ἐγὼ δὲ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν "οἶδα καὶ πιστεύω ὄντα. καὶ ὅτε πρὸς τοὺς περὶ Πέ-"τρον ἐλήλυθεν, ἔφη αὐτοῖς, λάβετε, ψηλαφήσατέ με "καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον· καὶ "εὐθὺς αὐτοῦ ἥψαντο καὶ ἐπίστευσαν." 12. οἶδε δὲ αὐτοῦ τὸ μαρτύριον καὶ ὁ Εἰρηναῖος, καὶ τῶν ἐπιστολῶν αὐτοῦ μνημονεύει λέγων οὕτως "ὡς εἶπέ τις "τῶν ἡμετέρων διὰ τὴν πρὸς θεὸν μαρτυρίαν κατα-

---

23 Ignat. Ep. ad Smyrn. c. 4. 28 Iren. 5, 28, 4. p. 327.

"*κριθεὶς πρὸς θηρία, ὅτι σῖτός εἰμι θεοῦ, καὶ δι' "ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος εὑ"ρεθῶ.*" 13. *καὶ ὁ Πολύκαρπος δὲ τούτων αὐτῶν μέμνηται ἐν τῇ φερομένῃ αὐτοῦ πρὸς Φιλιππησίους ἐπιστολῇ, φάσκων αὐτοῖς ῥήμασι "παρακαλῶ οὖν "πάντας ὑμᾶς πειθαρχεῖν καὶ ἀσκεῖν πᾶσαν ὑπομο"νήν, ἣν εἴδετε κατ' ὀφθαλμοὺς οὐ μόνον ἐν τοῖς "μακαρίοις Ἰγνατίῳ καὶ Ῥούφῳ καὶ Ζωσίμῳ, ἀλλὰ "καὶ ἐν ἄλλοις τοῖς ἐξ ὑμῶν, καὶ ἐν αὐτῷ Παύλῳ "καὶ τοῖς λοιποῖς ἀποστόλοις, πεπεισμένους ὅτι οὗτοι "πάντες οὐκ εἰς κενὸν ἔδραμον, ἀλλ' ἐν πίστει καὶ "δικαιοσύνῃ, καὶ ὅτι εἰς τὸν ὀφειλόμενον αὐτοῖς τό"πον εἰσὶ παρὰ κυρίῳ, ᾧ καὶ συνέπαθον. οὐ γὰρ "τὸν νῦν ἠγάπησαν αἰῶνα, ἀλλὰ τὸν ὑπὲρ ἡμῶν ἀπο"θανόντα καὶ δι' ἡμᾶς ὑπὸ τοῦ θεοῦ ἀναστάντα.*" 14. *καὶ ἑξῆς ἐπιφέρει "ἐγράψατέ μοι καὶ ὑμεῖς καὶ Ἰγνά"τιος, ἵνα ἐάν τις ἀπέρχηται εἰς Συρίαν, καὶ τὰ παρ' "ὑμῶν ἀποκομίσῃ γράμματα. ὅπερ ποιήσω, ἐὰν λάβω "καιρὸν εὔθετον, εἴτε ἐγώ, εἴτε ὃν πέμπω πρεσβεύ"σοντα καὶ περὶ ὑμῶν.* 15. *τὰς ἐπιστολὰς Ἰγνατίου "τὰς πεμφθείσας ἡμῖν ὑπ' αὐτοῦ καὶ ἄλλας ὅσας εἴ"χομεν παρ' ἡμῖν ἐπέμψαμεν ὑμῖν καθὼς ἐνετεί"λασθε, αἵτινες ὑποτεταγμέναι εἰσὶ τῇ ἐπιστολῇ "ταύτῃ, ἐξ ὧν μεγάλα ὠφεληθῆναι δυνήσεσθε. πε"ριέχουσι γὰρ πίστιν καὶ ὑπομονὴν καὶ πᾶσαν οἰκο"δομὴν τὴν εἰς τὸν κύριον ἡμῶν ἀνήκουσαν." καὶ τὰ μὲν περὶ τὸν Ἰγνάτιον τοιαῦτα. διαδέχεται δὲ μετ' αὐτὸν τὴν Ἀντιοχείας ἐπισκοπὴν Ἥρως.*

XXXVII. [Nic H. E. III, 21.] *Τῶν δὲ κατὰ τού-*

---

3 Polycarp. Ep. ad Philipp. c. 9. et c. 13.

τους διαλαμψάντων καὶ Κοδρᾶτος ἦν, ὃν ἅμα ταῖς Φιλίππου θυγατράσι προφητικῷ χαρίσματι λόγος ἔχει διαπρέψαι. καὶ ἄλλοι δ' ἐπὶ τούτοις πλείους ἐγνωρίζοντο κατὰ τούσδε, τὴν πρώτην τάξιν τῆς τῶν ἀποστόλων ἐπέχοντες διαδοχῆς· οἳ καί, ἅτε τηλικῶνδε ὄντες διαπρεπεῖς μαθηταί, τοὺς κατὰ πάντα τόπον τῶν ἐκκλησιῶν προκαταβληθέντας ὑπὸ τῶν ἀποστόλων θεμελίους ἐπῳκοδόμουν, αὔξοντες εἰς πλέον τὸ κήρυγμα καὶ τὰ σωτήρια σπέρματα τῆς τῶν οὐρανῶν βασιλείας ἀνὰ πᾶσαν εἰς πλάτος ἐπισπείροντες τὴν οἰκουμένην. 2. καὶ γὰρ δὴ πλεῖστοι τῶν τότε μαθητῶν σφοδροτέρῳ φιλοσοφίας ἔρωτι πρὸς τοῦ θείου λόγου τὴν ψυχὴν πληττόμενοι τὴν σωτήριον πρότερον ἀπεπλήρουν παρακέλευσιν, ἐνδεέσι νέμοντες τὰς οὐσίας, ἔπειτα δὲ ἀποδημίας στελλόμενοι ἔργον ἐπετέλουν εὐαγγελιστῶν, τοῖς ἔτι πάμπαν ἀνηκόοις τοῦ τῆς πίστεως λόγου κηρύττειν τὸν Χριστὸν φιλοτιμούμενοι καὶ τὴν τῶν θείων εὐαγγελίων παραδιδόναι γραφήν. 3. οὗτοι δὲ θεμελίους τῆς πίστεως ἐπὶ ξένοις τισὶ τόποις αὐτὸ μόνον καταβαλλόμενοι, ποιμένας τε καθιστάντες ἑτέρους, τούτοις τε αὐτοῖς ἐγχειρίζοντες τὴν τῶν ἀρτίως εἰσαχθέντων γεωργίαν, ἑτέρας αὐτοὶ πάλιν χώρας τε καὶ ἔθνη μετῄεσαν σὺν τῇ ἐκ θεοῦ χάριτι καὶ συνεργίᾳ, ἐπεὶ καὶ τοῦ θείου πνεύματος εἰσέτι τότε δι' αὐτῶν πλεῖσται παράδοξοι δυνάμεις ἐνήργουν, ὥστε ἀπὸ πρώτης ἀκροάσεως ἀθρόως αὔτανδρα πλήθη προθύμως τὴν εἰς τὸν τῶν ὅλων δημιουργὸν εὐσέβειαν ἐν ταῖς αὐτῶν ψυχαῖς καταδέχεσθαι. 4. ἀδυνάτου δ' ὄντος ἡμῖν ἅπαντας ἐξ ὀνόματος ἀπαριθμεῖσθαι, ὅσοι ποτὲ κατὰ τὴν πρώτην τῶν ἀποστόλων διαδοχὴν ἐν ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις γεγόνασι ποιμένες ἢ καὶ εὐαγ-

γελισταί, τούτων εἰκότως ἐξ ὀνόματος γραφῇ μόνων τὴν μνήμην κατατεθείμεθα, ὧν ἔτι καὶ νῦν εἰς ἡμᾶς δι᾽ ὑπομνημάτων τῆς ἀποστολικῆς διδασκαλίας ἡ παράδοσις φέρεται·

XXXVIII. [Nic. H. E. III, 18.] ὥσπερ οὖν ἀμέλει τοῦ Ἰγνατίου ἐν αἷς κατελέξαμεν ἐπιστολαῖς, καὶ τοῦ Κλήμεντος ἐν τῇ ἀνωμολογημένῃ παρὰ πᾶσιν, ἣν ἐκ προσώπου τῆς Ῥωμαίων ἐκκλησίας τῇ Κορινθίων διετυπώσατο, ἐν ᾗ τῆς πρὸς Ἑβραίους πολλὰ νοήματα παραθεὶς, ἤδη δὲ καὶ αὐτολεξεὶ ῥητοῖς τισὶν ἐξ αὐτῆς χρησάμενος, σαφέστατα παρίστησιν ὅτι μὴ νέον ὑπάρχει τὸ σύγγραμμα. 2. ὅθεν δὴ καὶ εἰκότως ἔδοξεν αὐτὸ τοῖς λοιποῖς ἐγκαταλεχθῆναι γράμμασι τοῦ ἀποστόλου. Ἑβραίοις γὰρ διὰ τῆς πατρίου γλώττης ἐγγράφως ὡμιληκότος τοῦ Παύλου οἱ μὲν τὸν εὐαγγελιστὴν Λουκᾶν, οἱ δὲ τὸν Κλήμεντα τοῦτον αὐτὸν ἑρμηνεῦσαι λέγουσι τὴν γραφήν. 3. ὃ καὶ μᾶλλον ἂν εἴη ἀληθὲς, τῷ τὸν ὅμοιον τῆς φράσεως χαρακτῆρα τήν τε τοῦ Κλήμεντος ἐπιστολὴν καὶ τὴν πρὸς Ἑβραίους ἀποσώζειν, καὶ τῷ μὴ πόρρω τὰ ἐν ἑκατέροις τοῖς συγγράμμασι νοήματα καθεστάναι. 4. ἰστέον δ᾽ ὡς καὶ δευτέρα τις εἶναι λέγεται τοῦ Κλήμεντος ἐπιστολή. οὐ μὴν ἔθ᾽ ὁμοίως τῇ προτέρᾳ καὶ ταύτην γνώριμον ἐπιστάμεθα, ὅτι μηδὲ τοὺς ἀρχαίους αὐτῇ κεχρημένους ἴσμεν. 5. ἤδη δὲ καὶ ἕτερα πολυεπῆ καὶ μακρὰ συγγράμματα ὡς τοῦ αὐτοῦ ἐχθὲς καὶ πρώην τινὲς προήγαγον, Πέτρου δὴ καὶ Ἀπίωνος διαλόγους περιέχοντα, ὧν οὐδ᾽ ὅλως μνήμη τις παρὰ τοῖς παλαιοῖς φέρεται. οὐδὲ γὰρ καθαρὸν τῆς ἀποστολικῆς ὀρθοδοξίας ἀποσώζει τὸν χαρακτῆρα. ἡ μὲν οὖν τοῦ Κλήμεντος ὁμολογουμένη γραφὴ πρόδηλος. εἴρηται δὲ καὶ τὰ Ἰγνατίου καὶ Πολυκάρπου.

XXXIX. [Nic. H. E. III, 20.] Τοῦ δὲ Παπία συγγράμματα πέντε τὸν ἀριθμὸν φέρεται, ἃ καὶ ἐπιγέγραπται Λογίων κυριακῶν ἐξηγήσεις. τούτων καὶ Εἰρηναῖος ὡς μόνων αὐτῷ γραφέντων μνημονεύει ὡδέ πως λέγων "ταῦτα δὲ καὶ Παπίας ὁ Ἰωάννου μὲν "ἀκουστής, Πολυκάρπου δὲ ἑταῖρος γεγονώς, ἀρχαῖος "ἀνήρ, ἐγγράφως ἐπιμαρτυρεῖ ἐν τῇ τετάρτῃ τῶν "ἑαυτοῦ βίβλων. ἔστι γὰρ αὐτῷ πέντε βιβλία συν"τεταγμένα." καὶ ὁ μὲν Εἰρηναῖος ταῦτα. 2. αὐτός γε μὴν ὁ Παπίας κατὰ τὸ προοίμιον τῶν αὐτοῦ λόγων ἀκροατὴν μὲν καὶ αὐτόπτην οὐδαμῶς ἑαυτὸν γενέσθαι τῶν ἱερῶν ἀποστόλων ἐμφαίνει, παρειληφέναι δὲ τὰ τῆς πίστεως παρὰ τῶν ἐκείνοις γνωρίμων διδάσκει δι' ὧν φησι λέξεων· 3. "οὐκ ὀκνήσω δέ σοι "καὶ ὅσα ποτὲ παρὰ τῶν πρεσβυτέρων καλῶς ἔμαθον "καὶ καλῶς ἐμνημόνευσα συντάξαι ταῖς ἑρμηνείαις, "διαβεβαιούμενος ὑπὲρ αὐτῶν ἀλήθειαν. οὐ γὰρ τοῖς "τὰ πολλὰ λέγουσιν ἔχαιρον ὥσπερ οἱ πολλοί, ἀλλὰ "τοῖς τἀληθῆ διδάσκουσιν, οὐδὲ τοῖς τὰς ἀλλοτρίας "ἐντολὰς μνημονεύουσιν, ἀλλὰ τοῖς τὰς παρὰ τοῦ "κυρίου τῇ πίστει δεδομένας καὶ ἀπ' αὐτῆς παραγινο"μένας τῆς ἀληθείας. 4. εἰ δέ που καὶ παρηκολουθη"κώς τις τοῖς πρεσβυτέροις ἔλθοι, τοὺς τῶν πρεσβυτέ"ρων ἀνέκρινον λόγους· τί Ἀνδρέας ἢ τί Πέτρος εἶπεν "ἢ τί Φίλιππος ἢ τί Θωμᾶς ἢ Ἰάκωβος ἢ τί Ἰωάννης "ἢ Ματθαῖος ἤ τις ἕτερος τῶν τοῦ κυρίου μαθητῶν, "ἅ τε Ἀριστίων καὶ ὁ πρεσβύτερος Ἰωάννης οἱ τοῦ "κυρίου μαθηταὶ λέγουσιν. οὐ γὰρ τὰ ἐκ τῶν βιβλίων "τοσοῦτόν με ὠφελεῖν ὑπελάμβανον ὅσον τὰ παρὰ "ζώσης φωνῆς καὶ μενούσης." 5. ἔνθα καὶ ἐπιστῆσαι

4 Iren. 5, 33, 4. p. 333.

ἄξιον δὶς καταριθμοῦντι αὐτῷ τὸ Ἰωάννου ὄνομα, ὧν τὸν μὲν πρότερον Πέτρῳ καὶ Ἰακώβῳ καὶ Ματθαίῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις συγκαταλέγει, σαφῶς δηλῶν τὸν εὐαγγελιστήν, τὸν δ' ἕτερον Ἰωάννην διαστείλας τὸν λόγον ἐν ἑτέροις παρὰ τὸν τῶν ἀποστόλων ἀριθμὸν κατατάσσει, προτάξας αὐτοῦ τὸν Ἀριστίωνα, σαφῶς τε αὐτὸν πρεσβύτερον ὀνομάζει· 6. ὡς καὶ διὰ τούτων ἀποδείκνυσθαι τὴν ἱστορίαν ἀληθῆ τῶν δύο κατὰ τὴν Ἀσίαν ὁμωνυμίᾳ κεχρῆσθαι εἰρηκότων, δύο τε ἐν Ἐφέσῳ γενέσθαι μνήματα καὶ ἑκάτερον Ἰωάννου ἔτι νῦν λέγεσθαι. οἷς καὶ ἀναγκαῖον προσέχειν τὸν νοῦν· εἰκὸς γὰρ τὸν δεύτερον, εἰ μή τις ἐθέλοι τὸν πρῶτον, τὴν ἐπ' ὀνόματος φερομένην Ἰωάννου ἀποκάλυψιν ἑωρακέναι. 7. καὶ ὁ νῦν δὲ ἡμῖν δηλούμενος Παπίας τοὺς μὲν τῶν ἀποστόλων λόγους παρὰ τῶν αὐτοῖς παρηκολουθηκότων ὁμολογεῖ παρειληφέναι, Ἀριστίωνος δὲ καὶ τοῦ πρεσβυτέρου Ἰωάννου αὐτήκοον ἑαυτόν φησι γενέσθαι. ὀνομαστὶ γοῦν πολλάκις αὐτῶν μνημονεύσας ἐν τοῖς αὐτοῦ συγγράμμασι τίθησιν αὐτῶν καὶ παραδόσεις. 8. καὶ ταῦτα δ' ἡμῖν οὐκ εἰς τὸ ἄχρηστον εἰρήσθω. ἄξιον δὲ ταῖς ἀποδοθείσαις τοῦ Παπία φωναῖς προσάψαι λέξεις ἑτέρας αὐτοῦ, δι' ὧν παράδοξά τινα ἱστορεῖ καὶ ἄλλα ὡσὰν ἐκ παραδόσεως εἰς αὐτὸν ἐλθόντα. 9. τὸ μὲν οὖν κατὰ τὴν Ἱεράπολιν Φίλιππον τὸν ἀπόστολον ἅμα ταῖς θυγατράσι διατρῖψαι διὰ τῶν πρόσθεν δεδήλωται, ὡς δὲ κατὰ τοὺς αὐτοὺς ὁ Παπίας γενόμενος διήγησιν παρειληφέναι θαυμασίαν ὑπὸ τῶν τοῦ Φιλίππου θυγατέρων μνημονεύει τὰ νῦν σημειωτέον. νεκροῦ γὰρ ἀνάστασιν κατ' αὐτὸν γεγονυῖαν ἱστορεῖ, καὶ αὖ πάλιν ἕτερον παράδοξον περὶ Ἰοῦστον τὸν ἐπικληθέντα Βαρσαββᾶν γεγονός, ὡς δηλητήριον φάρμακον ἐμπιόντος

καὶ μηδὲν ἀηδὲς διὰ τὴν τοῦ κυρίου χάριν ὑπομείναντος. 10. τοῦτον δὲ τὸν Ἰοῦστον μετὰ τὴν τοῦ σωτῆρος ἀνάληψιν τοὺς ἱεροὺς ἀποστόλους μετὰ Ματθία στῆσαί τε καὶ ἐπεύξασθαι ἀντὶ τοῦ προδότου Ἰούδα ἐπὶ τὸν κλῆρον τῆς ἀναπληρώσεως τοῦ αὐτῶν ἀριθμοῦ ἡ τῶν Πράξεων ὧδέ πως ἱστορεῖ γραφή "καὶ "ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαββᾶν, ὃς "ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν· καὶ προσευξάμε-"νοι εἶπαν." 11. καὶ ἄλλα δὲ ὁ αὐτὸς ὡσὰν ἐκ παραδόσεως ἀγράφου εἰς αὐτὸν ἥκοντα παρατέθειται, ξένας τέ τινας παραβολὰς τοῦ σωτῆρος καὶ διδασκαλίας αὐτοῦ, καί τινα ἄλλα μυθικώτερα. 12. ἐν οἷς καὶ χιλιάδα τινά φησιν ἐτῶν ἔσεσθαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, σωματικῶς τῆς Χριστοῦ βασιλείας ἐπὶ ταυτησὶ τῆς γῆς ὑποστησομένης. ἃ καὶ ἡγοῦμαι τὰς ἀποστολικὰς παρεκδεξάμενον διηγήσεις ὑπολαβεῖν, τὰ ἐν ὑποδείγμασι πρὸς αὐτῶν μυστικῶς εἰρημένα μὴ συνεωρακότα. 13. σφόδρα γάρ τοι σμικρὸς ὢν τὸν νοῦν, ὡσὰν ἐκ τῶν αὐτοῦ λόγων τεκμηράμενον εἰπεῖν, φαίνεται· πλὴν καὶ τοῖς μετ' αὐτὸν πλείστοις ὅσοις τῶν ἐκκλησιαστικῶν τῆς ὁμοίας αὐτῷ δόξης παραίτιος γέγονε, τὴν ἀρχαιότητα τἀνδρὸς προβεβλημένοις, ὥσπερ οὖν Εἰρηναίῳ, καὶ εἴ τις ἄλλος τὰ ὅμοια φρονῶν ἀναπέφηνεν. 14. καὶ ἄλλας δὲ τῇ ἑαυτοῦ γραφῇ παραδίδωσιν Ἀριστίωνος τοῦ πρόσθεν δεδηλωμένου τῶν τοῦ κυρίου λόγων διηγήσεις καὶ τοῦ πρεσβυτέρου Ἰωάννου παραδόσεις, ἐφ' ἃς τοὺς φιλομαθεῖς ἀναπέμψαντες ἀναγκαίως νῦν προσθήσομεν ταῖς προεκτεθείσαις αὐτοῦ φωναῖς παράδοσιν, ἣ περὶ Μάρκου τοῦ τὸ εὐαγγέλιον γεγραφότος ἐκτέ-

6 Act. 1, 23.

θειται διὰ τούτων 15. "καὶ τοῦτο ὁ πρεσβύτερος ἔλεγε· "Μάρκος μὲν ἑρμηνευτὴς Πέτρου γενόμενος, ὅσα ἐμνη- "μόνευσεν ἀκριβῶς ἔγραψεν, οὐ μέντοι τάξει, τὰ ὑπὸ "τοῦ Χριστοῦ ἢ λεχθέντα ἢ πραχθέντα. οὔτε γὰρ "ἤκουσε τοῦ κυρίου οὔτε παρηκολούθησεν αὐτῷ, "ὕστερον δὲ, ὡς ἔφην, Πέτρῳ, ὃς πρὸς τὰς χρείας ἐποι- "εῖτο τὰς διδασκαλίας, ἀλλ' οὐχ ὥσπερ σύνταξιν τῶν "κυριακῶν ποιούμενος λόγων, ὥστε οὐδὲν ἥμαρτε "Μάρκος, οὕτως ἔνια γράψας ὡς ἀπεμνημόνευσεν. "ἑνὸς γὰρ ἐποιήσατο πρόνοιαν, τοῦ μηδὲν ὧν ἤκουσε "παραλιπεῖν, ἢ ψεύσασθαί τι ἐν αὐτοῖς." ταῦτα μὲν οὖν ἱστόρηται τῷ Παπίᾳ περὶ τοῦ Μάρκου. 16. περὶ δὲ τοῦ Ματθαίου ταῦτ' εἴρηται "Ματθαῖος μὲν οὖν "Ἑβραΐδι διαλέκτῳ τὰ λόγια συνεγράψατο, ἡρμή- "νευσε δ' αὐτὰ ὡς ἦν δυνατὸς ἕκαστος." 17. κέχρηται δ' αὐτὸς μαρτυρίαις ἀπὸ τῆς Ἰωάννου προτέρας ἐπιστολῆς καὶ ἀπὸ τῆς Πέτρου ὁμοίως. ἐκτέθειται δὲ καὶ ἄλλην ἱστορίαν περὶ γυναικὸς ἐπὶ πολλαῖς ἁμαρτίαις διαβληθείσης ἐπὶ τοῦ κυρίου, ἣν τὸ κατ' Ἑβραίους εὐαγγέλιον περιέχει. καὶ ταῦτα δ' ἡμῖν ἀναγκαίως πρὸς τοῖς ἐκτεθεῖσιν ἐπιτετηρήσθω.

ΛΟΓΟΣ Δ.

I. Ἀμφὶ δὲ τὸ δωδέκατον ἔτος τῆς Τραϊανοῦ βασιλείας ὁ μικρῷ πρόσθεν ἡμῖν τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας δηλωθεὶς ἐπίσκοπος τὴν ζωὴν μεταλλάττει, τέταρτος δὲ ἀπὸ τῶν ἀποστόλων τὴν τῶν αὐτόθι λειτουργίαν κληροῦται Πρῖμος. ἐν τούτῳ καὶ Ἀλέξαν-

---

24 μικρῷ πρόσθεν] III, 21.

δρος ἐπὶ Ῥώμης, ὄγδοον ἔτος ἀποπληρώσαντος Εὐαρέστου, πέμπτην ἀπὸ Πέτρου καὶ Παύλου κατάγων διαδοχήν, τὴν ἐπισκοπὴν ἀπολαμβάνει.

II. [Nic. H. E. III, 22.] Καὶ τὰ μὲν τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας τε καὶ ἐκκλησίας ὁσημέραι ἀνθοῦντα ἐπὶ μεῖζον ἐχώρει προκοπῆς, τὰ δὲ τῆς Ἰουδαίων συμφορᾶς κακοῖς ἐπαλλήλοις ἤκμαζεν. ἤδη γοῦν τοῦ αὐτοκράτορος εἰς ἐνιαυτὸν ὀκτωκαιδέκατον ἐλαύνοντος αὖθις Ἰουδαίων κίνησις ἐπαναστᾶσα πάμπολυ πλῆθος αὐτῶν διέφθειρεν. 2. ἔν τε γὰρ Ἀλεξανδρείᾳ καὶ τῇ λοιπῇ Αἰγύπτῳ καὶ προσέτι κατὰ Κυρήνην ὥσπερ ὑπὸ πνεύματος δεινοῦ τινος καὶ στασιώδους ἀναρριπισθέντες ὥρμηντο πρὸς τοὺς συνοίκους Ἕλληνας στασιάζειν, αὐξήσαντές τε εἰς μέγα τὴν στάσιν τῷ ἐπιόντι ἐνιαυτῷ πόλεμον οὐ σμικρὸν συνῆψαν, ἡγουμένου τηνικαῦτα Λούπου τῆς ἁπάσης Αἰγύπτου. 3. καὶ δὴ ἐν τῇ πρώτῃ συμβολῇ ἐπικρατῆσαι αὐτοὺς συνέβη τῶν Ἑλλήνων, οἳ καὶ καταφυγόντες εἰς τὴν Ἀλεξάνδρειαν τοὺς ἐν τῇ πόλει Ἰουδαίους ἐζώγρησάν τε καὶ ἀπέκτειναν. τῆς δὲ παρὰ τούτων συμμαχίας ἀποτυχόντες οἱ κατὰ Κυρήνην, τὴν χώραν τῆς Αἰγύπτου λεηλατοῦντες καὶ τοὺς ἐν αὐτῇ νομοὺς φθείροντες διετέλουν, ἡγουμένου αὐτῶν Λουκούα· ἐφ' οὓς ὁ αὐτοκράτωρ ἔπεμψε Μάρκιον Τούρβωνα σὺν δυνάμει πεζῇ τε καὶ ναυτικῇ, ἔτι δὲ καὶ ἱππικῇ. 4. ὁ δὲ πολλαῖς μάχαις οὐκ ὀλίγῳ τε χρόνῳ τὸν πρὸς αὐτοὺς διαπονήσας πόλεμον πολλὰς μυριάδας Ἰουδαίων, οὐ μόνον τῶν ἀπὸ Κυρήνης, ἀλλὰ καὶ τῶν ἀπ' Αἰγύπτου συναιρομένων Λουκούᾳ τῷ βασιλεῖ αὐτῶν ἀναιρεῖ. 5. ὁ δὲ αὐτοκράτωρ ὑποπτεύσας καὶ τοὺς ἐν Μεσοποταμίᾳ Ἰουδαίους ἐπιθήσεσθαι τοῖς αὐτόθι Λουσίῳ Κυήτῳ προσέταξεν ἐκκαθᾶραι τῆς

ἐπαρχίας αὐτούς, ὃς καὶ παραταξάμενος πάμπολυ πλῆθος τῶν αὐτόθι φονεύει, ἐφ' ᾧ κατορθώματι Ἰουδαίας ἡγεμὼν ὑπὸ τοῦ αὐτοκράτορος ἀνεδείχθη. ταῦτα καὶ Ἑλλήνων οἱ τὰ κατὰ τοὺς αὐτοὺς χρόνους γραφῇ παραδόντες αὐτοῖς ἱστόρησαν ῥήμασι.

III. [Nic. H. E. III, 21.] Τραϊανοῦ δὲ ἐφ' ὅλοις ἔτεσιν εἴκοσι τὴν ἀρχὴν μησὶν ἓξ δέουσι κρατήσαντος Αἴλιος Ἀδριανὸς διαδέχεται τὴν ἡγεμονίαν. τούτῳ Κοδρᾶτος λόγον προσφωνήσας ἀναδίδωσιν, ἀπολογίαν συντάξας ὑπὲρ τῆς καθ' ἡμᾶς θεοσεβείας, ὅτι δή πονηροί τινες ἄνδρες τοὺς ἡμετέρους ἐνοχλεῖν ἐπειρῶντο. εἰσέτι δὲ φέρεται παρὰ πλείστοις τῶν ἀδελφῶν, ἀτὰρ καὶ παρ' ἡμῖν τὸ σύγγραμμα, ἐξ οὗ κατιδεῖν ἔστι λαμπρὰ τεκμήρια τῆς τε τοῦ ἀνδρὸς διανοίας καὶ τῆς ἀποστολικῆς ὀρθοτομίας. 2. ὁ δ' αὐτὸς τὴν καθ' ἑαυτὸν ἀρχαιότητα παραφαίνει δι' ὧν ἱστορεῖ ταῦτα ἰδίαις φωναῖς "τοῦ δὲ σωτῆρος ἡμῶν "τὰ ἔργα ἀεὶ παρῆν, ἀληθῆ γὰρ ἦν, οἱ θεραπευθέν"τες, οἱ ἀναστάντες ἐκ νεκρῶν, οἳ οὐκ ὤφθησαν μό"νον θεραπευόμενοι καὶ ἀνιστάμενοι, ἀλλὰ καὶ ἀεὶ "παρόντες, οὐδὲ ἐπιδημοῦντος μόνον τοῦ σωτῆρος, "ἀλλὰ καὶ ἀπαλλαγέντος ἦσαν ἐπὶ χρόνον ἱκανόν, "ὥστε καὶ εἰς τοὺς ἡμετέρους χρόνους τινὲς αὐτῶν "ἀφίκοντο." 3. τοιοῦτος μὲν οὖν οὗτος. καὶ Ἀριστείδης δὲ πιστὸς ἀνὴρ τῆς καθ' ἡμᾶς ὁρμώμενος εὐσεβείας τῷ Κοδράτῳ παραπλησίως ὑπὲρ τῆς πίστεως ἀπολογίαν ἐπιφωνήσας Ἀδριανῷ καταλέλοιπε. σώζεται δέ γε εἰς δεῦρο παρὰ πλείστοις καὶ ἡ τούτου γραφή.

IV. [Nic. H. E. III, 25.] Ἔτει δὲ τρίτῳ τῆς αὐτῆς ἡγεμονίας Ἀλέξανδρος Ῥωμαίων ἐπίσκοπος τελευτᾷ, δέκατον τῆς οἰκονομίας ἀποπλήσας ἔτος. Ξύστος ἦν

τούτῳ διάδοχος. καὶ τῆς Ἀλεξανδρέων δὲ παροικίας ἀμφὶ τὸν αὐτὸν χρόνον Πρῖμον μεταλλάξαντα δωδεκάτῳ τῆς προστασίας ἔτει διαδέχεται Ἰοῦστος.

V. Τῶν γε μὴν ἐν Ἱεροσολύμοις ἐπισκόπων τοὺς χρόνους γραφῇ σωζομένους οὐδαμῶς ηὗρον· κομιδῇ γὰρ οὖν βραχυβίους αὐτοὺς λόγος κατέχει γενέσθαι. 2. τοσοῦτον δ' ἐξ ἐγγράφων παρείληφα, ὡς μέχρι τῆς κατὰ Ἀδριανὸν Ἰουδαίων πολιορκίας πεντεκαίδεκα τὸν ἀριθμὸν αὐτόθι γεγόνασιν ἐπισκόπων διαδοχαί, οὓς πάντας Ἑβραίους φασὶν ὄντας ἀνέκαθεν τὴν γνῶσιν τοῦ Χριστοῦ γνησίως καταδέξασθαι, ὥστ' ἤδη πρὸς τῶν τὰ τοιάδε ἐπικρίνειν δυνατῶν καὶ τῆς τῶν ἐπισκόπων λειτουργίας ἀξίους δοκιμασθῆναι· συνεστάναι γὰρ αὐτοῖς τότε τὴν πᾶσαν ἐκκλησίαν ἐξ Ἑβραίων πιστῶν, ἀπὸ τῶν ἀποστόλων καὶ εἰς τὴν τότε διαρκεσάντων πολιορκίαν, καθ' ἣν Ἰουδαῖοι Ῥωμαίων αὖθις ἀποστάντες οὐ μικροῖς πολέμοις ἥλωσαν. 3. διαλελοιπότων δ' οὖν τηνικαῦτα τῶν ἐκ περιτομῆς ἐπισκόπων τοὺς ἀπὸ πρώτου νῦν ἀναγκαῖον ἂν εἴη καταλέξαι. πρῶτος τοιγαροῦν Ἰάκωβος ὁ τοῦ κυρίου λεγόμενος ἀδελφὸς ἦν, μεθ' ὃν δεύτερος Συμεών, τρίτος Ἰοῦστος, Ζακχαῖος τέταρτος, πέμπτος Τωβίας, ἕκτος Βενιαμὶν, Ἰωάννης ἕβδομος, ὄγδοος Ματθίας, ἔνατος Φίλιππος, δέκατος Σενεκᾶς, ἑνδέκατος Ἰοῦστος, Λευὶς δωδέκατος, Ἐφρῆς τρισκαιδέκατος, τεσσαρεσκαιδέκατος Ἰωσήφ, ἐπὶ πᾶσι πεντεκαιδέκατος Ἰούδας. 4. τοσοῦτοι καὶ οἱ ἐπὶ τῆς Ἱεροσολύμων πόλεως ἐπίσκοποι ἀπὸ τῶν ἀποστόλων εἰς τὸν δηλούμενον διαγενόμενοι χρόνον, οἱ πάντες ἐκ περιτομῆς. 5. ἤδη δὲ δωδέκατον ἐχούσης ἔτος τῆς ἡγεμονίας Ἀδριανοῦ, Ξύστον δεκαέτη χρόνον ἀποπλήσαντα ἐπὶ τῆς Ῥωμαίων ἐπισκοπῆς ἕβδομος ἀπὸ

τῶν ἀποστόλων διαδέχεται Τελεσφόρος, ἐνιαυτοῦ δὲ μεταξὺ καὶ μηνῶν διαγενομένου τῆς Ἀλεξανδρέων παροικίας τὴν προστασίαν Εὐμένης ἕκτῳ κλήρῳ διαδέχεται, τοῦ πρὸ αὐτοῦ ἔτεσιν ἕνδεκα διαρκέσαντος.

VI. [Nic. H. E. III, 24.] *Καὶ δῆτα τῆς Ἰουδαίων ἀποστασίας αὖθις εἰς μέγα καὶ πολὺ προελθούσης Ῥοῦφος ἐπάρχων τῆς Ἰουδαίας, στρατιωτικῆς αὐτῷ συμμαχίας ὑπὸ βασιλέως πεμφθείσης, ταῖς ἀπονοίαις αὐτῶν ἀφειδῶς χρώμενος ἐπεξῄει, μυριάδας ἀθρόως ἀνδρῶν ὁμοῦ καὶ παίδων καὶ γυναικῶν διαφθείρων, πολέμου τε νόμῳ τὰς χώρας αὐτῶν ἐξανδραποδιζόμενος.* 2. *ἐστρατήγει δὲ Ἰουδαίων τηνικαῦτα Βαρχωχέβας ὄνομα, (ἀστέρα δηλοῖ τοῦτο), τὰ μὲν ἄλλα λῃστρικὸς καὶ φονικός τις ἀνήρ, ἐπὶ δὲ τῇ προσηγορίᾳ, οἷα ἐπ' ἀνδραπόδων, ὡς δὴ ἐξ οὐρανοῦ φωστὴρ αὐτοῖς κατεληλυθὼς, κακουμένοις τε ἐπιλάμψαι τερατευόμενος.* 3. *ἀκμάσαντος δὲ τοῦ πολέμου ἔτους ὀκτωκαιδεκάτου τῆς ἡγεμονίας Ἀδριανοῦ κατὰ Βίθθηρα πόλιν, ἥτις ἦν ἐχυρωτάτη, τῶν Ἱεροσολύμων οὐ σφόδρα πόρρω διεστῶσα, τῆς τε ἔξωθεν πολιορκίας χρονίου γενομένης, λιμῷ τε καὶ δίψει τῶν νεωτεροποιῶν εἰς ἔσχατον ὀλέθρου περιελαθέντων, καὶ τοῦ τῆς ἀπονοίας αὐτοῖς αἰτίου τὴν ἀξίαν ἐκτίσαντος δίκην, τὸ πᾶν ἔθνος ἐξ ἐκείνου καὶ τῆς περὶ τὰ Ἱεροσόλυμα γῆς πάμπαν ἐπιβαίνειν εἴργεται, νόμου δόγματι καὶ διατάξεσιν Ἀδριανοῦ, ὡς ἂν μηδ' ἐξ ἀπόπτου θεωροῖεν τὸ πατρῷον ἔδαφος, ἐγκελευσαμένου. Ἀρίστων ὁ Πελλαῖος ἱστορεῖ.* 4. *οὕτω δὴ τῆς πόλεως εἰς ἐρημίαν τοῦ Ἰουδαίων ἔθνους καὶ παντελῆ φθορὰν τῶν πάλαι οἰκητόρων ἐλθούσης, ἐξ ἀλλοφύλου τε γένους συνοικισθείσης, ἡ μετέπειτα συστᾶσα Ῥω-*

μαϊκὴ πόλις τὴν ἐπωνυμίαν ἀμείψασα εἰς τὴν τοῦ κρατοῦντος Αἰλίου Ἀδριανοῦ τιμὴν Αἰλία προσαγορεύεται. καὶ δὴ τῆς αὐτόθι ἐκκλησίας ἐξ ἐθνῶν συγκροτηθείσης πρῶτος μετὰ τοὺς ἐκ περιτομῆς ἐπισκόπους τὴν τῶν ἐκεῖσε λειτουργίαν ἐγχειρίζεται Μάρκος.

VII. [Nic. H. E. IV, 2—4.] Ἤδη δὲ λαμπροτάτων δίκην φωστήρων τῶν ἀνὰ τὴν οἰκουμένην ἀποστιλβουσῶν ἐκκλησιῶν, ἀκμαζούσης τε εἰς ἅπαν τὸ τῶν ἀνθρώπων γένος τῆς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστεως, ὁ μισόκαλος δαίμων οἷα τῆς ἀληθείας ἐχθρὸς καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἀεὶ τυγχάνων πολεμιώτατος, πάσας στρέφων κατὰ τῆς ἐκκλησίας μηχανάς, πάλαι μὲν τοῖς ἔξωθεν διωγμοῖς κατ' αὐτῆς ὡπλίζετο· 2. τότε γε μὴν τούτων ἀποκεκλεισμένος, πονηροῖς καὶ γόησιν ἀνδράσιν ὥσπερ τισὶν ὀλεθρίοις ψυχῶν ὀργάνοις διακόνοις τε ἀπωλείας χρώμενος, ἑτέραις κατεστρατήγει μεθόδοις, πάντα μόρον ἐπινοῶν, ὡς ἂν ὑποδύντες γόητες καὶ ἀπατηλοὶ τὴν αὐτὴν τοῦ δόγματος ἡμῖν προσηγορίαν ὁμοῦ μὲν τῶν πιστῶν τοὺς πρὸς αὐτῶν ἁλισκομένους εἰς βυθὸν ἀπωλείας ἄγοιειν, ὁμοῦ δὲ τοὺς τῆς πίστεως ἀγνῶτας δι' ὧν αὐτοὶ δρῶντες ἐπιχειροῖεν ἀποτρέποιντο τῆς ἐπὶ τὸν σωτήριον λόγον παρόδου. 3. ἀπὸ γοῦν τοῦ Μενάνδρου, ὃν διάδοχον τοῦ Σίμωνος ἤδη πρότερον παραδεδώκαμεν, ἀμφίστομος ὥσπερ καὶ δικέφαλος ὀφιώδης τις προελθοῦσα δύναμις δυεῖν αἱρέσεων διαφόρων ἀρχηγοὺς κατεστήσατο, Σατορνῖνόν τε Ἀντιοχέα τὸ γένος καὶ Βασιλείδην Ἀλεξανδρέα, ὧν ὁ μὲν κατὰ Συρίαν, ὁ δὲ κατ' Αἴγυπτον συνεστήσαντο θεομισῶν αἱρέσεων διδασκαλεῖα. 4. τὰ μὲν οὖν πλεῖστα τὸν Σατορνῖνον τὰ

αὐτὰ τῷ Μενάνδρῳ ψευδολογῆσαι ὁ Εἰρηναῖος δηλοῖ, προσχήματι δὲ ἀπορρητοτέρων τὸν Βασιλείδην εἰς τὸ ἄπειρον τεῖναι τὰς ἐπινοίας, δυσσεβοῦς αἱρέσεως ἑαυτῷ τερατώδεις ἀναπλάσαντα μυθοποιίας. 5. πλείστων οὖν ἐκκλησιαστικῶν ἀνδρῶν κατ' ἐκεῖνο καιροῦ τῆς ἀληθείας ὑπεραγωνιζομένων, λογικώτερόν τε τῆς ἀποστολικῆς καὶ ἐκκλησιαστικῆς δόξης ὑπερμαχούντων, ἤδη τινὲς καὶ διὰ συγγραμμάτων τοῖς μετέπειτα προφυλακτικὰς αὐτῶν δὴ τούτων τῶν δηλωθεισῶν αἱρέσεων παρεῖχον ἐφόδους. 6. ὧν εἰς ἡμᾶς κατῆλθεν ἐν τοῖς τότε γνωριμωτάτου συγγραφέως Ἀγρίππα Κάστορος ἱκανώτατος κατὰ Βασιλείδου ἔλεγχος, τὴν δεινότητα τῆς τἀνδρὸς ἀποκαλύπτων γοητείας. 7. ἐκφαίνων δ' οὖν αὐτοῦ τὰ ἀπόρρητά φησιν αὐτὸν εἰς μὲν τὸ εὐαγγέλιον τέσσαρα πρὸς τοῖς εἴκοσι συντάξαι βιβλία, προφήτας δὲ ἑαυτῷ ὀνομάσαι Βαρκαββᾶν καὶ Βαρκὼφ καὶ ἄλλους ἀνυπάρκτους τινὰς ἑαυτῷ συστησάμενον, βαρβάρους τε αὐτοῖς εἰς κατάπληξιν τῶν τὰ τοιαῦτα τεθηπότων ἐπιφημίσαι προσηγορίας, διδάσκειν τε ἀδιαφορεῖν εἰδωλοθύτων ἀπογευομένους καὶ ἐξομνυμένους ἀπαραφυλάκτως τὴν πίστιν κατὰ τοὺς τῶν διωγμῶν καιρούς, Πυθαγορικῶς τε τοῖς προσιοῦσιν αὐτῷ πενταέτη σιωπὴν παρακελεύεσθαι. 8. καὶ ἕτερα δὲ τούτοις παραπλήσια ἀμφὶ τοῦ Βασιλείδου καταλέξας ὁ εἰρημένος οὐκ ἀγεννῶς τῆς δηλωθείσης αἱρέσεως εἰς προὔπτον ἐφώρασε τὴν πλάνην. 9. γράφει δὲ καὶ Εἰρηναῖος συγχρονίσαι τούτοις Καρποκράτην, ἑτέρας αἱρέσεως τῆς τῶν γνωστικῶν ἐπικληθείσης πατέρα, οἳ καὶ τοῦ Σίμωνος οὐχ ὡς ἐκεῖνος κρύβδην, ἀλλ'

1 Iren. I, 24, 1. p. 101.

ἤδη καὶ εἰς φανερὸν τὰς μαγείας παραδιδόναι ἠξίουν, ὡς ἐπὶ μεγάλοις δὴ μονονουχὶ σεμνυνόμενοι τοῖς κατὰ περιεργίαν πρὸς αὐτῶν ἐπιτελουμένοις φίλτροις ὀνειροπομποῖς τε καὶ παρέδροις τισὶ δαίμοσι καὶ ἄλλαις ὁμοιοτρόποις τισὶν ἀγωγαῖς· τούτοις τε ἀκολούθως πάντα δρᾶν χρῆναι διδάσκειν τὰ αἰσχρουργότατα τοὺς μέλλοντας εἰς τὸ τέλειον τῆς κατ' αὐτοὺς μυσταγωγίας ἢ καὶ μᾶλλον μυσαροποιΐας ἐλεύσεσθαι, ὡς μὴ ἂν ἄλλως ἐκφευξομένους τοὺς κοσμικούς, ὡς ἂν ἐκεῖνοι φαῖεν, ἄρχοντας, μὴ οὐχὶ πᾶσι τὰ δι' ἀρρητοποιΐας ἀπονείμαντας χρέα. 10. τούτοις δῆτα συνέβαινε διακόνοις χρώμενον τὸν ἐπιχαιρεσίκακον δαίμονα τοὺς μὲν πρὸς αὐτῶν ἀπατωμένους οἰκτρῶς οὕτως εἰς ἀπώλειαν ἀνδραποδίζεσθαι, τοῖς δ' ἀπίστοις ἔθνεσι πολλὴν παρέχειν κατὰ τοῦ θείου λόγου δυσφημίας περιουσίαν, τῆς ἐξ αὐτῶν φήμης εἰς τὴν τοῦ παντὸς ἔθνους Χριστιανῶν διαβολὴν καταχεομένης. 11. ταύτῃ δ' οὖν ἐπὶ πλεῖστον συνέβαινε τὴν περὶ ἡμῶν παρὰ τοῖς τότε ἀπίστοις ὑπόνοιαν δυσσεβῆ καὶ ἀτοπωτάτην διαδίδοσθαι, ὡς δὴ ἀθεμίτοις πρὸς μητέρας καὶ ἀδελφὰς μίξεσιν ἀνοσίαις τε τροφαῖς χρωμένων. 12. οὐκ εἰς μακρόν γε μὴν αὐτῷ ταῦτα προυχώρει, τῆς ἀληθείας αὐτῆς ἑαυτὴν συνιστώσης, ἐπὶ μέγα τε φῶς κατὰ τὸν προϊόντα χρόνον διαλαμπούσης. 13. ἔσβεστο μὲν γὰρ αὐτίκα πρὸς αὐτῆς ἐνεργείας ἀπελεγχόμενα τὰ τῶν ἐχθρῶν ἐπιτεχνήματα, ἄλλων ἐπ' ἄλλαις αἱρέσεων καινοτομουμένων, ὑπορρεουσῶν ἀεὶ τῶν προτέρων καὶ εἰς πολυτρόπους καὶ πολυμόρφους ἰδέας ἄλλοτε ἄλλως φθειρομένων· προῄει δ' εἰς αὔξην καὶ μέγεθος ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα ἡ τῆς καθόλου καὶ μόνης ἀληθοῦς ἐκκλησίας λαμπρότης, τό τε σεμνὸν

καὶ εἰλικρινὲς καὶ ἐλευθέριον τό τε σῶφρον καὶ καθαρὸν τῆς ἐνθέου πολιτείας τε καὶ φιλοσοφίας εἰς ἅπαν γένος Ἑλλήνων τε καὶ βαρβάρων ἀποστίλβουσα. 14. *συναπέσβη γοῦν τῷ χρόνῳ καὶ ἡ κατὰ παντὸς τοῦ δόγματος διαβολή, ἔμενε δὲ μόνη ἄρα κρατοῦσα καὶ ἀνομολογουμένη τὰ μάλιστα διαπρέπειν ἐπὶ σεμνότητι καὶ σωφροσύνῃ θείοις τε καὶ φιλοσόφοις δόγμασιν ἡ καθ' ἡμᾶς διδασκαλία, ὡς μηδένα τῶν εἰς νῦν αἰσχρὰν ἐπιφέρειν τολμᾶν κατὰ τῆς πίστεως ἡμῶν δυσφημίαν, μηδέ τινα τοιαύτην διαβολήν, οἵαις πάλαι πρότερον φίλον ἦν χρῆσθαι τοῖς καθ' ἡμῶν ἐπισυνισταμένοις.* 15. *ὅμως δ' οὖν κατὰ τοὺς δηλουμένους αὖθις παρῆγεν εἰς μέσον ἡ ἀλήθεια πλείους ἑαυτῆς ὑπερμάχους, οὐ δι' ἀγράφων αὐτὸ μόνον ἐλέγχων, ἀλλὰ καὶ δι' ἐγγράφων ἀποδείξεων κατὰ τῶν ἀθέων αἱρέσεων στρατευομένους.*

VIII. [Nic. H. E. IV, 5.] *Ἐν τούτοις ἐγνωρίζετο Ἡγήσιππος, οὗ πλείσταις ἤδη πρότερον κεχρήμεθα φωναῖς, ὡσὰν ἐκ τῆς αὐτοῦ παραδόσεώς τινα τῶν κατὰ τοὺς ἀποστόλους παρατιθέμενοι.* 2. *ἐν πέντε δ' οὖν συγγράμμασιν οὗτος τὴν ἀπλανῆ παράδοσιν τοῦ ἀποστολικοῦ κηρύγματος ἁπλουστάτῃ συντάξει γραφῆς ὑπομνηματισάμενος, καθ' ὃν ἐγνωρίζετο σημαίνει χρόνον, περὶ τῶν ἀρχῆθεν ἱδρυσάντων τὰ εἴδωλα οὕτω πως γράφων "οἷς καινοτάφια καὶ ναοὺς ἐποίησαν ὡς μέχρι νῦν, ὧν ἐστι καὶ Ἀντίνοος, δοῦλος Ἀδριανοῦ Καίσαρος, οὗ καὶ ἀγὼν ἄγεται Ἀντινόειος, ἐφ' ἡμῶν γενόμενος. καὶ γὰρ καὶ πόλιν ἔκτισεν ἐπώνυμον Ἀντινόου καὶ προφήτας."* 3. *κατ' αὐτὸν δὲ καὶ Ἰουστῖνος, γνήσιος τῆς ἀληθοῦς φιλο-*

---

30 Iustin. Apol. I. c. 29.

σοφίας ἐραστής, ἔτι τε τοῖς παρ' Ἕλλησιν ἀσκούμενος ἐνδιέτριβε λόγοις. σημαίνει δὲ καὶ αὐτὸς τουτονὶ τὸν χρόνον, ἐν τῇ πρὸς Ἀντωνῖνον ἀπολογίᾳ ὧδε γράφων "οὐκ ἄτοπον δὲ ἐπιμνησθῆναι ἐν τούτοις ἡγούμεθα καὶ Ἀντινόου τοῦ νῦν γενομένου, ὃν καὶ ἅπαντες ὡς θεὸν διὰ φόβον σέβειν ὥρμηντο, ἐπιστάμενοι τίς τε ἦν καὶ πόθεν ὑπῆρχεν." 4. ὁ δ' αὐτὸς καὶ τοῦ τότε κατὰ Ἰουδαίων πολέμου μνημονεύων ταῦτα παρατίθεται "καὶ γὰρ ἐν τῷ νῦν γενομένῳ Ἰουδαϊκῷ πολέμῳ Βαρχωχέβας, ὁ τῆς Ἰουδαίων ἀποστάσεως ἀρχηγέτης, Χριστιανοὺς μόνους εἰς τιμωρίας δεινὰς, εἰ μὴ ἀρνοῖντο Ἰησοῦν τὸν Χριστὸν καὶ βλασφημοῖεν, ἐκέλευεν ἄγεσθαι." 5. ἐν ταὐτῷ δὲ καὶ τὴν ἀπὸ τῆς Ἑλληνικῆς φιλοσοφίας ἐπὶ τὴν θεοσέβειαν μεταβολὴν αὐτοῦ, ὅτι μὴ ἀλόγως, μετὰ κρίσεως δ' αὐτῷ γεγόνει δηλῶν ταῦτα γράφει "καὶ γὰρ αὐτὸς ἐγὼ τοῖς Πλάτωνος χαίρων διδάγμασι, διαβαλλομένους ἀκούων Χριστιανοὺς, ὁρῶν δὲ καὶ ἀφόβους πρὸς θάνατον καὶ πάντα τὰ νομιζόμενα φοβερὰ, ἐνενόουν ἀδύνατον εἶναι ἐν κακίᾳ καὶ φιληδονίᾳ ὑπάρχειν αὐτούς. τίς γὰρ φιλήδονος ἢ ἀκρατὴς καὶ ἀνθρωπείων σαρκῶν βορὰν ἡγούμενος ἀγαθὸν δύναιτ' ἂν θάνατον ἀσπάζεσθαι, ὅπως τῶν ἑαυτοῦ στερηθείη ἐπιθυμιῶν, ἀλλ' οὐκ ἐκ παντὸς ζῆν ἀεὶ τὴν ἐνθάδε βιοτὴν καὶ λανθάνειν τοὺς ἄρχοντας ἐπειρᾶτο, οὐχ ὅτι ἑαυτὸν κατήγγελλε φονευθησόμενον;" 6. ἔτι δ' ὁ αὐτὸς ἱστορεῖ, δεξάμενον τὸν Ἀδριανὸν παρὰ Σερεννίου Γρανιανοῦ, λαμπροτάτου ἡγουμένου, γράμματα ὑπὲρ Χριστιανῶν, περιέχοντα ὡς οὐ δίκαιον εἴη ἐπὶ μηδενὶ ἐγκλήματι, βοαῖς

9 Iustin. Apol. I. c. 31. 17 Iustin. Apol. II. c. 12.

δήμου χαριζομένους, ἀκρίτως κτείνειν αὐτοὺς, ἀντιγράψαι Μινουκίῳ Φουνδανῷ ἀνθυπάτῳ τῆς Ἀσίας, προστάττοντα μηδένα κτείνειν ἄνευ ἐγκλήματος καὶ εὐλόγου κατηγορίας. 7. καὶ τῆς ἐπιστολῆς δὲ ἀντίγραφον παρατέθειται, τὴν Ῥωμαϊκὴν φωνὴν, ὡς εἶχε, διαφυλάξας. προλέγει δ' αὐτῆς ταῦτα "καὶ ἐξ ἐπιστολῆς δὲ ταῦτα τοῦ μεγίστου καὶ ἐπιφανεστάτου Καίσαρος Ἀδριανοῦ τοῦ πατρὸς ὑμῶν ἔχοντες ἀπαιτεῖν ὑμᾶς, καθὰ ἠξιώσαμεν κελεῦσαι τὰς κρίσεις γίνεσθαι, τοῦτο οὐχ ὡς ὑπὸ Ἀδριανοῦ κελευσθὲν μᾶλλον ἠξιώσαμεν, ἀλλὰ καὶ ἐκ τοῦ ἐπίστασθαι δικαίαν ἀξιοῦν τὴν προσφώνησιν. ὑπετάξαμεν δὲ καὶ τῆς ἐπιστολῆς Ἀδριανοῦ τὸ ἀντίγραφον, ἵνα καὶ τοῦτο ἀληθεύειν ἡμᾶς γνωρίζητε. καὶ ἔστι τόδε." 8. τούτοις ὁ μὲν δηλωθεὶς ἀνὴρ αὐτὴν παρατέθειται τὴν Ῥωμαϊκὴν ἀντιγραφὴν, ἡμεῖς δ' εἰς τὸ Ἑλληνικὸν κατὰ δύναμιν αὐτὴν μετειλήφαμεν, ἔχουσαν ὧδε·

IX. [Nic. H. E. III, 27.] "Μινουκίῳ Φουνδανῷ. ἐπιστολὴν ἐδεξάμην γραφεῖσάν μοι ἀπὸ Σερεννίου Γρανιανοῦ, λαμπροτάτου ἀνδρὸς, ὅντινα σὺ διεδέξω. οὐ δοκεῖ μοι οὖν τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας παρασχεθῇ. 2. εἰ οὖν σαφῶς εἰς ταύτην τὴν ἀξίωσιν οἱ ἐπαρχιῶται δύνανται διισχυρίζεσθαι κατὰ τῶν Χριστιανῶν, ὡς καὶ πρὸ βήματος ἀποκρίνασθαι, ἐπὶ τοῦτο μόνον τραπῶσιν, ἀλλ' οὐκ ἀξιώσεσιν οὐδὲ μόναις βοαῖς. πολλῷ γὰρ μᾶλλον προσῆκεν, εἴ τις κατηγορεῖν βούλοιτο, τοῦτό σε διαγινώσκειν. 3. εἴ τις οὖν κατηγορεῖ καὶ δείκνυσί τι παρὰ τοὺς νόμους πράττον-

6 Iustin. Apol. I. c. 68. 19 Σερεννίου] Ἑρεννίου Zon. Ann. XI, 24.

τας, οὕτως ὅριζε κατὰ τὴν δύναμιν τοῦ ἁμαρτήματος· ὡς μὰ τὸν Ἡρακλέα εἴ τις συκοφαντίας χάριν τοῦτο προτείνοι, διαλάμβανε ὑπὲρ τῆς δεινότητος, καὶ φρόντιζε ὅπως ἂν ἐκδικήσειας." καὶ τὰ μὲν τῆς Ἀδριανοῦ ἀντιγραφῆς τοιαῦτα.

X. [Nic. H. E. III, 25.] Τούτου δὲ τὸ χρεὼν μετὰ πρῶτον καὶ εἰκοστὸν ἔτος ἐκτίσαντος Ἀντωνῖνος ὁ κληθεὶς Εὐσεβὴς τὴν Ῥωμαίων ἀρχὴν διαδέχεται. τούτου δὲ ἐν ἔτει πρώτῳ Τελεσφόρου τὸν βίον ἑνδεκάτῳ τῆς λειτουργίας ἐνιαυτῷ μεταλλάξαντος Ὑγῖνος τὸν κλῆρον τῆς Ῥωμαίων ἐπισκοπῆς παραλαμβάνει. ἱστορεῖ γε μὴν ὁ Εἰρηναῖος τὸν Τελεσφόρον μαρτυρίῳ τὴν τελευτὴν διαπρέψαι, δηλῶν ἐν ταὐτῷ, κατὰ τὸν δηλούμενον Ῥωμαίων ἐπίσκοπον Ὑγῖνον Οὐαλεντῖνον ἰδίας αἱρέσεως εἰσηγητὴν, καὶ Κέρδωνα τῆς κατὰ Μαρκίωνα πλάνης ἀρχηγὸν ἐπὶ τῆς Ῥώμης ἄμφω γνωρίζεσθαι. γράφει δὲ οὕτως·

XI. [Nic. H. E. III, 4]. "Οὐαλεντῖνος μὲν γὰρ ἦλθεν εἰς Ῥώμην ἐπὶ Ὑγίνου, ἤκμασε δὲ ἐπὶ Πίου, καὶ παρέμεινεν ἕως Ἀνικήτου. Κέρδων δὲ ὁ πρὸ Μαρκίωνος καὶ αὐτὸς ἐπὶ Ὑγίνου, ὃς ἦν ἔνατος ἐπίσκοπος, εἰς τὴν ἐκκλησίαν ἐλθὼν καὶ ἐξομολογούμενος οὕτω διετέλεσε, ποτὲ μὲν λαθροδιδασκαλῶν, ποτὲ δὲ πάλιν ἐξομολογούμενος, ποτὲ δὲ ἐλεγχόμενος ἐφ' οἷς ἐδίδασκε κακῶς, καὶ ἀφιστάμενος τῆς τῶν ἀδελφῶν συνοδίας." ταῦτα δέ φησιν ἐν τρίτῳ τῶν πρὸς τὰς αἱρέσεις. 2. ἔν γε μὴν τῷ πρώτῳ αὖθις περὶ τοῦ Κέρδωνος ταῦτα διέξεισι "Κέρδων δέ τις ἀπὸ τῶν περὶ τὸν Σίμωνα τὰς ἀφορμὰς λαβὼν, καὶ ἐπιδημήσας εἰς τὴν Ῥώμην ἐπὶ

12 Iren. III, 3, 3. p. 176. 18 Iren. III, 4, 3. p. 178. 29 Iren. I, 27, 1. p. 105.

"Ὑγίνου ἔνατον κλῆρον τῆς ἐπισκοπικῆς διαδοχῆς ἀπὸ τῶν ἀποστόλων ἔχοντος, ἐδίδαξε τὸν ὑπὸ τοῦ νόμου καὶ προφητῶν κεκηρυγμένον θεὸν μὴ εἶναι πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τὸν μὲν γὰρ γνωρίζεσθαι, τὸν δὲ ἀγνῶτα εἶναι, καὶ τὸν μὲν δίκαιον, τὸν δὲ ἀγαθὸν ὑπάρχειν. διαδεξάμενος δὲ αὐτὸν Μαρκίων ὁ Ποντικὸς ηὔξησε τὸ διδασκαλεῖον, ἀπηρυθριασμένως βλασφημῶν." 3. ὁ δὲ αὐτὸς Εἰρηναῖος τὸν ἄπειρον βυθὸν τῆς Οὐαλεντίνου πολυπλανοῦς ὕλης εὐτονώτατα διαπλώσας, ἑρπετοῦ δίκην φωλεύοντος ἀπόκρυφον οὖσαν αὐτοῦ καὶ λεληθυῖαν ἀπογυμνοῖ τὴν κακίαν. 4. πρὸς τούτοις καὶ ἄλλον τινά, Μάρκος αὐτῷ ὄνομα, κατ' αὐτοὺς γενέσθαι λέγει μαγικῆς κυβείας ἐμπειρότατον. γράφει δὲ καὶ τὰς ἀτελέστους αὐτῶν τελετὰς μυσαράς τε μυσταγωγίας ἐκφαίνων αὐτοῖς δὴ τούτοις τοῖς γράμμασιν 5. "οἱ μὲν γὰρ αὐτῶν νυμφῶνα κατασκευάζουσι καὶ μυσταγωγίαν ἐπιτελοῦσι μετ' ἐπιρρήσεών τινων τοῖς τελουμένοις, καὶ πνευματικὸν γάμον φάσκουσιν εἶναι τὸ ὑπ' αὐτῶν γινόμενον, κατὰ τὴν ὁμοιότητα τῶν ἄνω συζυγιῶν. οἱ δὲ ἄγουσιν ἐφ' ὕδωρ, καὶ βαπτίζοντες οὕτως ἐπιλέγουσιν· εἰς ὄνομα ἀγνώστου πατρὸς τῶν ὅλων, εἰς ἀλήθειαν μητέρα τῶν πάντων, εἰς τὸν κατελθόντα εἰς τὸν Ἰησοῦν. ἄλλοι δὲ Ἑβραϊκὰ ὀνόματα ἐπιλέγουσι πρὸς τὸ μᾶλλον καταπλῆξαι τοὺς τελουμένους." 6. ἀλλὰ γὰρ μετὰ τέταρτον τῆς ἐπισκοπῆς ἔτος Ὑγίνου τελευτήσαντος Πίος ἐπὶ Ῥώμης ἐγχειρίζεται τὴν λειτουργίαν. κατά γε μὴν τὴν Ἀλεξάνδρειαν Μάρκος ἀναδείκνυται ποιμήν, Εὐμενοῦς ἔτη τὰ πάντα δέκα πρὸς τρισὶν ἐκπλήσαντος, τοῦ τε

17 Iren. I, 21, 3. p. 94.

Μάρκου ἐπὶ δέκα ἔτη τῆς λειτουργίας ἀναπαυσαμένου Κελαδίων τῆς Ἀλεξανδρέων ἐκκλησίας τὴν λειτουργίαν παραλαμβάνει. 7. καὶ κατὰ τὴν Ῥωμαίων δὲ πόλιν πεντεκαιδεκάτῳ τῆς ἐπισκοπῆς ἐνιαυτῷ Πίου μεταλλάξαντος Ἀνίκητος τῶν ἐκεῖσε προΐσταται. καθ' ὃν Ἡγήσιππος ἱστορεῖ ἑαυτὸν ἐπιδημῆσαι τῇ Ῥώμῃ, παραμεῖναί τε αὐτόθι μέχρι τῆς ἐπισκοπῆς Ἐλευθέρου. 8. μάλιστα δὲ ἤκμαζεν ἐπὶ τῶνδε Ἰουστῖνος, ἐν φιλοσόφου σχήματι πρεσβεύων τὸν θεῖον λόγον, καὶ τοῖς ὑπὲρ τῆς πίστεως ἐναγωνιζόμενος συγγράμμασιν. ὃς δὴ καὶ γράψας κατὰ Μαρκίωνος σύγγραμμα μνημονεύει ὡς καθ' ὃν συνέταττε καιρὸν γνωριζομένου τῷ βίῳ τἀνδρός. φησὶ δὲ οὕτως· 9. "Μαρκίωνα δέ τινα Ποντικόν, ὃς καὶ νῦν ἔτι ἐστὶ "διδάσκων τοὺς πειθομένους ἄλλον τινὰ εἶναι νομί"ζειν μείζονα τοῦ δημιουργοῦ θεόν, ὃς καὶ κατὰ πᾶν "γένος ἀνθρώπων διὰ τῆς τῶν δαιμόνων συλλήψεως "πολλοὺς πέπεικε βλάσφημα λέγειν, καὶ ἀρνεῖσθαι "τὸν ποιητὴν τοῦδε τοῦ παντὸς πατέρα εἶναι τοῦ "Χριστοῦ, ἄλλον δέ τινα ὡς ὄντα μείζονα παρὰ τοῦ"τον ὁμολογεῖν πεποιηκέναι. καὶ πάντες οἱ ἀπὸ τού"των ὡρμημένοι, ὡς ἔφαμεν, Χριστιανοὶ καλοῦνται, "ὃν τρόπον καὶ οὐ κοινῶν ὄντων δογμάτων τοῖς φιλο"σόφοις τὸ ἐπικαλούμενον ὄνομα τῆς φιλοσοφίας "κοινόν ἐστι." 10. τούτοις ἐπιφέρει λέγων "ἔστι "δὲ ἡμῖν καὶ σύνταγμα κατὰ πασῶν τῶν γεγενημέ"νων αἱρέσεων, ᾧ εἰ βούλεσθε ἐντυχεῖν, δώσομεν." 11. ὁ δὲ αὐτὸς οὗτος Ἰουστῖνος, καὶ πρὸς Ἕλληνας ἱκανώτατα πονήσας, καὶ λόγους ὑπὲρ τῆς ἡμετέρας πίστεως ἀπολογίαν ἔχοντας βασιλεῖ Ἀντωνίνῳ τῷ

---

14 Iustin. Apol. I. c. 26.

δὴ ἐπικληθέντι Εὐσεβεῖ καὶ τῇ Ῥωμαίων συγκλήτῳ βουλῇ προσφωνεῖ. καὶ γὰρ ἐπὶ τῆς Ῥώμης τὰς διατριβὰς ἐποιεῖτο. ἐμφαίνει δὲ ἑαυτὸν, ὅστις καὶ πόθεν ἦν, διὰ τῆς ἀπολογίας ἐν τούτοις·

XII. [Nic. H. E. III, 26. 32.] "*Αὐτοκράτορι Τίτῳ Αἰλίῳ Ἀδριανῷ Ἀντωνίνῳ Εὐσεβεῖ Καίσαρι Σεβαστῷ, καὶ Οὐηρισσίμῳ υἱῷ φιλοσόφῳ, καὶ Λουκίῳ φιλοσόφῳ, Καίσαρος φύσει υἱῷ καὶ Εὐσεβοῦς εἰσποιητῷ, ἐραστῇ παιδείας, ἱερᾷ τε συγκλήτῳ καὶ παντὶ δήμῳ Ῥωμαίων, ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ἀδίκως μισουμένων καὶ ἐπηρεαζομένων, Ἰουστῖνος Πρίσκου τοῦ Βακχείου, τῶν ἀπὸ Φλαουίας Νέας πόλεως τῆς Συρίας Παλαιστίνης, εἷς αὐτῶν ὤν, τὴν προσφώνησιν καὶ ἔντευξιν ποιήσομαι.*" *ἐντευχθεὶς δὲ καὶ ὑφ' ἑτέρων ὁ αὐτὸς βασιλεὺς ἐπὶ τῆς Ἀσίας ἀδελφῶν, παντοίαις ὕβρεσι πρὸς τῶν ἐπιχωρίων δήμων καταπονουμένων, τοιαύτης ἠξίωσε τὸ κοινὸν τῆς Ἀσίας διατάξεως·*

XIII. [Nic. H. E. III, 28.] "*Αὐτοκράτωρ Καῖσαρ Μάρκος Αὐρήλιος Ἀντωνῖνος Σεβαστὸς, Ἀρμένιος, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ πέμπτον καὶ δέκατον, ὕπατος τὸ τρίτον, τῷ κοινῷ τῆς Ἀσίας χαίρειν.* 2. *ἐγὼ μὲν οἶδα ὅτι καὶ τοῖς θεοῖς ἐπιμελές ἐστι μὴ λανθάνειν τοὺς τοιούτους. πολὺ γὰρ μᾶλλον ἐκεῖνοι κολάσαιεν ἂν τοὺς μὴ βουλομένους αὐτοὺς προσκυνεῖν ἢ ὑμεῖς.* 3. *οὓς εἰς ταραχὴν ἐμβάλλετε, βεβαιοῦντες τὴν γνώμην αὐτῶν ἥνπερ ἔχουσιν, ὡς ἀθέων κατηγοροῦντες. εἴη δ' ἂν ἐκείνοις αἱρετὸν τὸ δοκεῖν κατηγορουμένοις τεθνάναι μᾶλλον ἢ ζῆν ὑπὲρ τοῦ οἰκείου θεοῦ. ὅθεν καὶ νικῶσι,*

---

5 Iustin. Apol. I. c. 1. p. 53. 19 Ibid. c. 68. p. 100.

"προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς, ἤπερ πειθόμενοι οἷς
"ἀξιοῦτε πράττειν αὐτούς. 4. περὶ δὲ τῶν σεισμῶν
"τῶν γεγονότων καὶ γινομένων οὐκ ἄτοπον ὑμᾶς
"ὑπομνῆσαι, ἀθυμοῦντας μὲν ὅταν περ ὦσι, παρα-
"βάλλοντας δὲ τὰ ὑμέτερα προς τὰ ἐκείνων. 5. οἱ μὲν
"οὖν εὐπαρρησιαστότεροι γίνονται πρὸς τὸν θεὸν,
"ὑμεῖς δὲ παρὰ πάντα τὸν χρόνον, καθ᾽ ὃν ἀγνοεῖν
"δοκεῖτε, τῶν τε θεῶν καὶ τῶν ἄλλων ἀμελεῖτε καὶ
"τῆς θρησκείας τῆς περὶ τὸν ἀθάνατον, ὃν δὴ τοὺς
"Χριστιανοὺς θρησκεύοντας ἐλαύνετε καὶ διώκετε
"ἕως θανάτου. 6. ὑπὲρ δὲ τῶν τοιούτων ἤδη καὶ
"πολλοὶ τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων καὶ τῷ
"θειοτάτῳ ἡμῶν ἔγραψαν πατρὶ, οἷς καὶ ἀντέγραψε
"μηδὲν ἐνοχλεῖν τοῖς τοιούτοις, εἰ μηδὲν φαίνοιντο
"περὶ τὴν τῶκ Ῥωμαίων ἡγεμονίαν ἐγχειροῦντες. καὶ
"ἐμοὶ δὲ περὶ τῶν τοιούτων πολλοὶ ἐσήμαναν, οἷς
"δὴ καὶ ἀντέγραψα, κατακολουθῶν τῇ τοῦ πατρὸς
"γνώμῃ. 7. εἰ δέ τις ἐπιμένοι τινὰ τῶν τοιούτων εἰς
"πράγματα φέρων ὡς δὴ τοιοῦτον, ἐκεῖνος ὁ καταφε-
"ρόμενος ἀπολελύσθω τοῦ ἐγκλήματος, καὶ ἐὰν φαί-
"νηται τοιοῦτος ὤν, ὁ δὲ καταφέρων ἔνοχος ἔσται
"δίκης. προετέθη ἐν Ἐφέσῳ ἐν τῷ κοινῷ τῆς Ἀσίας."
8. τούτοις οὕτω χωρήσασιν ἐπιμαρτυρῶν Μελίτων τῆς ἐν Σάρδεσιν ἐκκλησίας ἐπίσκοπος, κατ᾽ αὐτὸ γνωριζόμενος τοῦ χρόνου, δῆλός ἐστιν ἐκ τῶν εἰρημένων αὐτῷ ἐν ᾗ πεποίηται πρὸς αὐτοκράτορα Οὐῆρον ὑπὲρ τοῦ καθ᾽ ἡμᾶς δόγματος ἀπολογίᾳ.

XIV. [Nic. H. E. III, 30.] Ἐπὶ δὲ τῶν δηλουμένων, Ἀνικήτου τῆς Ῥωμαίων ἐκκλησίας ἡγουμένου, Πολύκαρπον ἔτι περιόντα τῷ βίῳ γενέσθαι τε ἐπὶ Ῥώμης καὶ εἰς ὁμιλίαν τῷ Ἀνικήτῳ ἐλθεῖν διά τι ζήτημα περὶ τῆς κατὰ τὸ πάσχα ἡμέρας, Εἰρη-

ναῖος ἱστορεῖ. 2. καὶ ἄλλην δὲ ὁ αὐτὸς περὶ τοῦ Πολυκάρπου παραδίδωσι διήγησιν, ἣν ἀναγκαῖον τοῖς περὶ αὐτοῦ δηλουμένοις ἐπισυνάψαι οὕτως ἔχουσαν·

[Ἀπὸ τοῦ τρίτου τῶν πρὸς τὰς αἱρέσεις Εἰρηναίου.]

3. "Καὶ Πολύκαρπος δὲ οὐ μόνον ὑπὸ ἀποστόλων μαθητευθεὶς, καὶ συναναστραφεὶς πολλοῖς τὸν Χριστὸν ἑωρακόσιν, ἀλλὰ καὶ ὑπὸ ἀποστόλων κατασταθεὶς εἰς τὴν Ἀσίαν ἐν τῇ ἐν Σμύρνῃ ἐκκλησίᾳ ἐπίσκοπος, ὃν καὶ ἡμεῖς ἑωράκαμεν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ. 4. ἐπιπολὺ γὰρ παρέμεινε, καὶ πάνυ γηραλέος, ἐνδόξως καὶ ἐπιφανέστατα μαρτυρήσας, ἐξῆλθε τοῦ βίου, ταῦτα διδάξας ἀεὶ, ἃ καὶ παρὰ τῶν ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ ἐκκλησία παραδίδωσιν, ἃ καὶ μόνα ἐστὶν ἀληθῆ. 5. μαρτυροῦσι τούτοις αἱ κατὰ τὴν Ἀσίαν ἐκκλησίαι πᾶσαι, καὶ οἱ μέχρι νῦν διαδεδεγμένοι τὸν Πολύκαρπον, πολλῷ ἀξιοπιστότερον καὶ βεβαιότερον ἀληθείας μάρτυρα ὄντα Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ τῶν λοιπῶν κακογνωμόνων, ὃς καὶ ἐπὶ Ἀνικήτου ἐπιδημήσας τῇ Ῥώμῃ πολλοὺς ἀπὸ τῶν προειρημένων αἱρετικῶν ἐπέστρεψεν ἐπὶ τὴν ἐκκλησίαν τοῦ θεοῦ, μίαν καὶ μόνην ταύτην ἀλήθειαν κηρύξας ὑπὸ τῶν ἀποστόλων παρειληφέναι, τὴν ὑπὸ τῆς ἐκκλησίας παραδεδομένην. 6. καὶ εἰσὶν οἱ ἀκηκοότες αὐτοῦ ὅτι Ἰωάννης ὁ τοῦ κυρίου μαθητὴς ἐν τῇ Ἐφέσῳ πορευθεὶς λούσασθαι, καὶ ἰδὼν ἔσω Κήρινθον ἐξήλατο τοῦ βαλανείου μὴ λουσάμενος, ἀλλ᾽ ἐπειπὼν, φύγωμεν, μὴ καὶ τὸ βαλανεῖον συμπέσῃ, ἔνδον ὄντος Κηρίνθου τοῦ τῆς ἀληθείας ἐχθροῦ. 7. καὶ αὐτὸς δὲ ὁ Πολύκαρπος

1 Iren. fragm. p. 341. Mass. Conf. infra 5, 24. 5 Iren. III, 3. 4. p. 176.

"Μαρκίωνί ποτε εἰς ὄψιν αὐτῷ ἐλθόντι καὶ φήσαντι 'ἐπιγινώσκεις ἡμᾶς' ἀπεκρίθη 'ἐπιγινώσκω τὸν πρωτότοκον τοῦ σατανᾶ.' τοσαύτην οἱ ἀπόστολοι καὶ οἱ μαθηταὶ αὐτῶν ἔσχον εὐλάβειαν πρὸς τὸ μηδὲ μέχρι λόγου κοινωνεῖν τινὶ τῶν παραχαρασσόντων τὴν ἀλήθειαν, ὡς καὶ Παῦλος ἔφησεν 'αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.' 8. ἔστι δὲ καὶ ἐπιστολὴ Πολυκάρπου πρὸς Φιλιππησίους γεγραμμένη ἱκανωτάτη, ἐξ ἧς καὶ τὸν χαρακτῆρα τῆς πίστεως αὐτοῦ καὶ τὸ κήρυγμα τῆς ἀληθείας οἱ βουλόμενοι καὶ φροντίζοντες τῆς ἑαυτῶν σωτηρίας δύνανται μαθεῖν." 9. ταῦτα ὁ Εἰρηναῖος. ὁ γέ τοι Πολύκαρπος ἐν τῇ δηλωθείσῃ πρὸς Φιλιππησίους αὐτοῦ γραφῇ φερομένῃ εἰς δεῦρο κέχρηταί τισι μαρτυρίαις ἀπὸ τῆς Πέτρου προτέρας ἐπιστολῆς. 10. Ἀντωνῖνον μὲν δὴ τὸν Εὐσεβῆ κληθέντα, εἰκοστὸν καὶ δεύτερον ἔτος τῆς ἀρχῆς διανύσαντα, Μάρκος Αὐρήλιος Οὐῆρος, ὁ καὶ Ἀντωνῖνος, υἱὸς αὐτοῦ, σὺν καὶ Λουκίῳ ἀδελφῷ διαδέχεται.

XV. [Nic. H. E. III, 34. 35.] Ἐν τούτῳ δὲ ὁ Πολύκαρπος μεγίστων τὴν Ἀσίαν ἀναθορυβησάντων διωγμῶν μαρτυρίῳ τελειοῦται. ἀναγκαιότατον δὲ αὐτοῦ τὸ τέλος ἐγγράφως ἔτι φερόμενον ἡγοῦμαι δεῖν μνήμῃ τῆς ἱστορίας καταθέσθαι. 2. ἔστι δὲ ἡ γραφὴ ἐκ προσώπου ἧς αὐτὸς ἐκκλησίας ἡγεῖτο ταῖς κατὰ Πόντον παροικίαις τὰ κατ' αὐτὸν ἀποσημαίνουσα διὰ τούτων 3. "ἡ ἐκκλησία τοῦ θεοῦ ἡ παροικοῦσα Σμύρναν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ παροικούσῃ ἐν Φιλομηλίῳ

---

6 Tit. 3, 10. 28 διὰ τούτων] Integrius in codicibus apud Iacobson. vol. 2. p. 604 seqq. edit. quartae.

"καὶ πάσαις ταῖς κατὰ πάντα τόπον τῆς ἁγίας καθο-"λικῆς ἐκκλησίας παροικίαις ἔλεος, εἰρήνη καὶ ἀγάπη "θεοῦ πατρὸς καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πλη-"θυνθείη. ἐγράψαμεν ὑμῖν, ἀδελφοί, τὰ κατὰ τοὺς "μαρτυρήσαντας καὶ τὸν μακάριον Πολύκαρπον, ὅστις "ὥσπερ ἐπισφραγίσας διὰ τῆς μαρτυρίας αὐτοῦ κα-"τέπαυσε τὸν διωγμόν." 4. τούτοις ἑξῆς πρὸ τῆς ἀμφὶ τοῦ Πολυκάρπου διηγήσεως τὰ κατὰ τοὺς λοιποὺς ἀνιστοροῦσι μάρτυρας, οἵας ἐνστάσεις πρὸς τὰς ἀλγηδόνας ἐνεδείξαντο, διαγράφοντες. καταπλῆξαι γάρ φασι τοὺς ἐν κύκλῳ περιεστῶτας καὶ θεωμένους τοτὲ μὲν μάστιξι μέχρι καὶ τῶν ἐνδοτάτω φλεβῶν καὶ ἀρτηριῶν καταξαινομένους, ὡς ἤδη καὶ τὰ ἐν μυχοῖς ἀπόρρητα τοῦ σώματος σπλάγχνα τε αὐτῶν καὶ μέλη κατοπτεύεσθαι, τοτὲ δὲ τοὺς ἀπὸ θαλάττης κήρυκας καί τινας ὀξεῖς ὀβελίσκους ὑποστρωννυμένους, καὶ διὰ παντὸς εἴδους κολάσεων καὶ βασάνων προϊόντας, καὶ τέλος θηρσὶν εἰς βορὰν παραδιδομένους. 5. μάλιστα δὲ ἱστοροῦσιν διαπρέψαι τὸν γενναιότατον Γερμανικὸν, ὑπορρωννύντα σὺν θείᾳ χάριτι τὴν ἔμφυτον περὶ τὸν θάνατον τοῦ σώματος δειλίαν. βουλομένου γέ τοι τοῦ ἀνθυπάτου πείθειν αὐτὸν, προβαλλομένου τε τὴν ἡλικίαν καὶ ἀντιβολοῦντος κομιδῆ νέον ὄντα καὶ ἀκμαῖον οἶκτον ἑαυτοῦ λαβεῖν, μὴ μελλῆσαι, προθύμως δὲ ἐπισπάσασθαι εἰς ἑαυτὸν τὸ θηρίον, μονονουχὶ βιασάμενον καὶ παροξύναντα, ὡς ἂν τάχιον τοῦ ἀδίκου καὶ ἀνόμου βίου αὐτῶν ἀπαλλαγείη. 6. τούτου δὲ ἐπὶ τῷ διαπρεπεῖ θανάτῳ τὸ πᾶν πλῆθος ἀποθαυμάσαν τῆς ἀνδρείας τὸν θεοφιλῆ μάρτυρα καὶ τὴν καθόλου τοῦ γένους τῶν Χριστιανῶν ἀρετὴν, ἀθρόως ἐπιβοᾶν ἄρξασθαι "αἶρε τοὺς ἀθέους· "ζητείσθω Πολύκαρπος." 7. καὶ δὴ πλείστης ἐπὶ ταῖς

βοαῖς γενομένης ταραχῆς Φρύγα τινὰ τὸ γένος, Κόϊντον τοὔνομα, νεωστὶ ἐκ τῆς Φρυγίας ἐπιστάντα, ἰδόντα τοὺς θῆρας καὶ τὰς ἐπὶ τούτοις ἀπειλὰς καταπτῆξαι τὴν ψυχὴν μαλακισθέντα, καὶ τέλος τῆς σωτηρίας ἐνδοῦναι. 8. ἐδήλου δὲ τοῦτον ὁ τῆς προειρημένης γραφῆς λόγος προπετέστερον, ἀλλ' οὐ κατ' εὐλάβειαν ἐπιπηδῆσαι τῷ δικαστηρίῳ σὺν ἑτέροις, ἁλόντα δ' οὖν ὅμως καταφανὲς ὑπόδειγμα τοῖς πᾶσι παρασχεῖν, ὅτι μὴ δέοι τοῖς τοιούτοις ῥιψοκινδύνως καὶ ἀνευλαβῶς ἐπιτολμᾶν. ἀλλὰ ταύτῃ μὲν εἶχε πέρας τὰ κατὰ τούτους. 9. τόν γε μὴν θαυμασιώτατον Πολύκαρπον τὰ μὲν πρῶτα τούτων ἀκούσαντα ἀτάραχον διαμεῖναι, εὐσταθὲς τὸ ἦθος καὶ ἀκίνητον φυλάξαντα, βούλεσθαί τε αὐτοῦ κατὰ τὴν πόλιν περιμένειν· πεισθέντα γε μὴν ἀντιβολοῦσι τοῖς ἀμφ' αὐτόν, καὶ ὡς ἂν ὑπεξέλθοι παρακαλοῦσι, προελθεῖν εἰς οὐ πόρρω διεστῶτα τῆς πόλεως ἀγρὸν, διατρίβειν τε σὺν ὀλίγοις ἐνταῦθα, νύκτωρ καὶ μεθ' ἡμέραν οὔτε ἕτερον πράττοντα ἢ ταῖς πρὸς τὸν κύριον διακαρτεροῦντα εὐχαῖς, δι' ὧν δεῖσθαι καὶ ἱκετεύειν, εἰρήνην ἐξαιτούμενον ταῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαις· τοῦτο γὰρ καὶ εἶναι ἐκ τοῦ παντὸς αὐτῷ σύνηθες. 10. καὶ δὴ εὐχόμενον ἐν ὀπτασίᾳ τριῶν πρότερον ἡμερῶν τῆς συλλήψεως νύκτωρ ἰδεῖν τὸ ὑπὸ κεφαλῆς αὐτῷ στρῶμα ἀθρόως οὕτως ὑπὸ πυρὸς φλεχθὲν δεδαπανῆσθαι, ἔξυπνον δὲ ἐπὶ τούτῳ γενόμενον εὐθὺς ὑφερμηνεῦσαι τοῖς παροῦσι τὸ φανὲν, μονονουχὶ τὸ μέλλον προθεσπίσαντα, σαφῶς τε ἀνειπόντα τοῖς ἀμφ' αὐτὸν ὅτι δέοι αὐτὸν διὰ Χριστὸν πυρὶ τὴν ζωὴν μεταλλάξαι. 11. ἐπικειμένων δὴ οὖν σὺν πάσῃ σπουδῇ τῶν ἀναζητούντων αὐτὸν αὖθις πρὸς τῆς τῶν ἀδελφῶν διαθέσεως καὶ στοργῆς ἐκβεβιασμένον μεταβῆ-

ναί φασιν ἐφ' ἕτερον ἀγρὸν, ἔνθα μετ' οὐ πλεῖστον τοὺς συνελαύνοντας ἐπελθεῖν, δύο δὲ τῶν αὐτόθι συλλαβεῖν παίδων, ὧν θάτερον αἰκισαμένους ἐπιστῆναι δι' αὐτοῖ τῇ τοῦ Πολυκάρπου καταγωγῇ. 12. ὀψὲ δὲ τῆς ὥρας ἐπελθόντας αὐτὸν μὲν εὑρεῖν ἐν ὑπερῴῳ κατακείμενον, ὅθεν δυνατὸν ὂν αὐτῷ ἐφ' ἑτέραν μεταστῆναι οἰκίαν μὴ βεβουλῆσθαι, εἰπόντα "τὸ θέλημα τοῦ θεοῦ γινέσθω." 13. καὶ δὴ μαθὼν παρόντας, ὡς ὁ λόγος φησὶ, καταβὰς αὐτοῖς διελέξατο, εὖ μάλα φαιδρῷ καὶ πραοτάτῳ προσώπῳ, ὡς καὶ θαῦμα δοκεῖν ὁρᾶν τοὺς πάλαι τοῦ ἀνδρὸς ἀγνῶτας, ἐναποβλέποντας τῷ τῆς ἡλικίας αὐτοῦ παλαιῷ καὶ τῷ σεμνῷ καὶ εὐσταθεῖ τοῦ προσώπου, καὶ εἰ τοσαύτη γένοιτο σπουδὴ ὑπὲρ τοῦ τοιοῦτον συλληφθῆναι πρεσβύτην. 14. ὁ δ' οὐ μελλήσας εὐθέως τράπεζαν αὐτοῖς παρατεθῆναι προστάττει, εἶτα τροφῆς ἀφθόνου μεταλαβεῖν ἀξιοῖ, μίαν τε ὥραν, ὡς ἂν προσεύξοιτο ἀδεῶς, παρ' αὐτῶν αἰτεῖται. ἐπιτρεψάντων δὲ ἀναστὰς ηὔχετο, ἔμπλεως τῆς χάριτος ὢν τοῦ κυρίου, ὡς ἐκπλήττεσθαι τοὺς παρόντας εὐχομένου αὐτοῦ ἀκροωμένους, πολλούς τε αὐτῶν μετανοεῖν ἤδη ἐπὶ τῷ τοιοῦτον ἀναιρεῖσθαι μέλλειν σεμνὸν καὶ θεοπρεπῆ πρεσβύτην. 15. ἐπὶ τούτοις ἡ περὶ αὐτοῦ γραφὴ κατὰ λέξιν ὧδέ πως τὰ ἑξῆς τῆς ἱστορίας ἔχει "ἐπεὶ δέ ποτε κατέπαυσε τὴν προσευχὴν, μνημονεύ-"σας ἁπάντων καὶ τῶν πώποτε συμβεβληκότων αὐτῷ "μικρῶν τε καὶ μεγάλων, ἐνδόξων τε καὶ ἀδόξων, "καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην καθολικῆς "ἐκκλησίας, τῆς ὥρας ἐλθούσης τοῦ ἐξιέναι, ὄνῳ "καθίσαντες αὐτὸν ἤγαγον εἰς τὴν πόλιν, ὄντος "σαββάτου μεγάλου, καὶ ὑπήντα αὐτῷ ὁ εἰρήναρ-"χος Ἡρώδης καὶ ὁ πατὴρ αὐτοῦ Νικήτης, οἳ καὶ

“μεταθέντες αὐτὸν εἰς τὸ ὄχημα ἔπειθον παρακαθεζόμενοι καὶ λέγοντες· τί γὰρ κακόν ἐστιν εἰπεῖν, κύριε Καῖσαρ, καὶ θῦσαι καὶ διασώζεσθαι; 16. ὁ δὲ τὰ μὲν πρῶτα οὐκ ἀπεκρίνατο, ἐπιμενόντων δὲ αὐτῶν ἔφη, οὐ μέλλω πράττειν ὃ συμβουλεύετέ μοι. οἱ δὲ ἀποτυχόντες τοῦ πεῖσαι αὐτὸν δεινὰ ῥήματα ἔλεγον, καὶ μετὰ σπουδῆς καθῄρουν, ὡς κατιόντα ἀπὸ τοῦ ὀχήματος ἀποσῦραι τὸ ἀντικνήμιον. ἀλλὰ γὰρ μὴ ἐπιστραφείς, οἷα μηδὲν πεπονθώς, προθύμως μετὰ σπουδῆς ἐπορεύετο, ἀγόμενος εἰς τὸ στάδιον. 17. θορύβου δὲ τηλικούτου ὄντος ἐν τῷ σταδίῳ, ὡς μηδὲ πολλοῖς ἀκουσθῆναι, τῷ Πολυκάρπῳ εἰσιόντι εἰς τὸ στάδιον φωνὴ ἐξ οὐρανοῦ γέγονεν ‘ἴσχυε, Πολύκαρπε, καὶ ἀνδρίζου.’ καὶ τὸν μὲν εἰπόντα οὐδεὶς εἶδεν, τὴν δὲ φωνὴν τῶν ἡμετέρων πολλοὶ ἤκουσαν. 18. προσαχθέντος οὖν αὐτοῦ θόρυβος ἦν μέγας, ἀκουσάντων ὅτι Πολύκαρπος συνείληπται. λοιπὸν οὖν προσελθόντα ἀνηρώτα ὁ ἀνθύπατος εἰ αὐτὸς εἴη Πολύκαρπος. καὶ ὁμολογήσαντος ἔπειθεν ἀρνεῖσθαι λέγων ‘αἰδέσθητί σου τὴν ἡλικίαν’ καὶ ἕτερα τούτοις ἀκόλουθα, ἃ σύνηθες αὐτοῖς λέγειν ἐστίν ‘ὄμοσον τὴν Καίσαρος τύχην, μετανόησον’ εἶπον· ‘αἶρε τοὺς ἀθέους.’ 19. ὁ δὲ Πολύκαρπος ἐμβριθεῖ τῷ προσώπῳ εἰς πάντα τὸν ὄχλον τὸν ἐν τῷ σταδίῳ ἐμβλέψας, ἐπισείσας αὐτοῖς τὴν χεῖρα, στενάξας τε καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπεν ‘αἶρε τοὺς ἀθέους.’ 20. ἐγκειμένου δὲ τοῦ ἡγουμένου καὶ λέγοντος ‘ὄμοσον, καὶ ἀπολύσω σε, λοιδόρησον τὸν Χριστόν,’ ἔφη ὁ Πολύκαρπος· ‘ὀγδοήκοντα καὶ ἓξ ἔτη δουλεύω αὐτῷ, καὶ οὐδέν με ἠδίκησε· καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με;’ 21. ἐπιμένοντος δὲ πάλιν αὐτοῦ καὶ λέγοντος

"'ὄμοσον τὴν Καίσαρος τύχην,' ὁ Πολύκαρπος 'εἰ κενοδοξεῖς' φησίν, 'ἵνα ὀμόσω τὴν Καίσαρος τύχην, ὡς λέγεις, προσποιούμενος ἀγνοεῖν ὅστις εἰμί, μετὰ παρρησίας ἄκουε· Χριστιανός εἰμι. εἰ δὲ θέλεις τὸν τοῦ Χριστιανισμοῦ μαθεῖν λόγον, δὸς ἡμέραν καὶ ἄκουσον.' 22. ἔφη ὁ ἀνθύπατος 'πεῖσον τὸν δῆμον.' Πολύκαρπος ἔφη 'σὲ μὲν καὶ λόγου ἠξίωσα· δεδιδάγμεθα γὰρ ἀρχαῖς καὶ ἐξουσίαις ὑπὸ θεοῦ τεταγμέναις τιμὴν κατὰ τὸ προσῆκον τὴν μὴ βλάπτουσαν ἡμᾶς ἀπονέμειν, ἐκείνους δὲ οὐκ ἀξίους ἡγοῦμαι τοῦ ἀπολογεῖσθαι αὐτοῖς.' 23. ὁ δὲ ἀνθύπατος ἔφη "'θηρία ἔχω· τούτοις σε παραβαλῶ, ἐὰν μὴ μετανοήσῃς.' ὁ δὲ εἶπεν 'κάλει, ἀμετάθετος γὰρ ἡμῖν ἡ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω μετάνοια, καλὸν δὲ μετατίθεσθαι ἀπὸ τῶν χαλεπῶν ἐπὶ τὰ δίκαια.' 24. ὁ δὲ πάλιν πρὸς αὐτὸν 'πυρί σε ποιήσω δαμασθῆναι, ἐὰν τῶν θηρίων καταφρονῇς, ἐὰν μὴ μετανοήσῃς.' Πολύκαρπος εἶπε 'πῦρ ἀπειλεῖς πρὸς ὥραν καιόμενον καὶ μετ' ὀλίγον σβεννύμενον· ἀγνοεῖς γὰρ τὸ τῆς μελλούσης κρίσεως καὶ αἰωνίου κολάσεως τοῖς ἀσεβέσι τηρούμενον πῦρ. ἀλλὰ τί βραδύνεις; φέρε ἃ βούλει.' 25. ταῦτα δὲ καὶ ἕτερα πλείω λέγων θάρσους καὶ χαρᾶς ἐνεπίμπλατο, καὶ τὸ πρόσωπον αὐτοῦ χάριτος ἐπληροῦτο, ὥστε μὴ μόνον μὴ συμπεσεῖν ταραχθέντα ὑπὸ τῶν λεγομένων πρὸς αὐτόν, ἀλλὰ τοὐναντίαν τὸν ἀνθύπατον ἐκστῆναι, πέμψαι τε τὸν κήρυκα καὶ ἐν μέσῳ τῷ σταδίῳ κηρῦξαι τρὶς 'Πολύκαρπος ὡμολόγησεν ἑαυτὸν Χριστιανὸν εἶναι.' 26. τούτου λεχθέντος ὑπὸ τοῦ κήρυκος πᾶν τὸ πλῆθος τῶν ἐθνῶν τε καὶ Ἰουδαίων τῶν τὴν Σμύρναν κατοικούντων ἀκατασχέτῳ θυμῷ καὶ μεγάλῃ φωνῇ ἐβόα 'οὗτός ἐστιν ὁ τῆς Ἀσίας διδάσκαλος, ὁ πατὴρ

"τῶν Χριστιανῶν, ὁ τῶν ἡμετέρων θεῶν καθαιρέ-"της, ὁ πολλοὺς διδάσκων μὴ θύειν μηδὲ προσκυ-"νεῖν.' 27. ταῦτα λέγοντες ἐπεβόων καὶ ἠρώτων τὸν "ἀσιάρχην Φίλιππον, ἵνα ἐπαφῇ τῷ Πολυκάρπῳ λέ-"οντα. ὁ δὲ ἔφη μὴ εἶναι ἐξὸν αὐτῷ, ἐπειδὴ πεπλη-"ρώκει τὰ κυνηγέσια. τότε ἔδοξεν αὐτοῖς ὁμοθυμα-"δὸν ἐπιβοῆσαι, ὥστε ζῶντα τὸν Πολύκαρπον κατα-"καῦσαι. 28. ἔδει γὰρ τὸ τῆς φανερωθείσης αὐτῷ "ἐπὶ τοῦ προσκεφαλαίου ὀπτασίας πληρωθῆναι, ὅτε "ἰδὼν αὐτὸ καιόμενον προσευχόμενος εἶπεν ἐπιστρα-"φεὶς τοῖς μετ' αὐτοῦ πιστοῖς προφητικῶς 'δεῖ με "ζῶντα κατακαῆναι.' 29. ταῦτα οὖν μετὰ τοσούτου "τάχους ἐγένετο, θᾶττον ἢ ἐλέγετο, τῶν ὄχλων πα-"ραχρῆμα συναγόντων ἐκ τῶν ἐργαστηρίων καὶ ἐκ "τῶν βαλανείων ξύλα καὶ φρύγανα, μάλιστα Ἰου-"δαίων προθύμως, ὡς ἔθος αὐτοῖς, εἰς ταῦτα ὑπουρ-"γούντων. 30. ἀλλὰ ὅτε ἡ πυρὰ ἡτοιμάσθη, ἀποθέ-"μενος ἑαυτῷ πάντα τὰ ἱμάτια καὶ λύσας τὴν ζώνην "ἐπειρᾶτο καὶ ὑπολύειν ἑαυτὸν, μὴ πρότερον τοῦτο "ποιῶν, διὰ τὸ ἀεὶ ἕκαστον τῶν πιστῶν σπουδάζειν "ὅστις τάχιον τοῦ χρωτὸς αὐτοῦ ἐφάψηται· ἐν παντὶ "γὰρ ἀγαθῆς ἕνεκεν πολιτείας καὶ πρὸ τῆς πολιᾶς "ἐκεκόσμητο. 31. εὐθέως οὖν αὐτῷ περιετίθετο τὰ "πρὸς τὴν πυρὰν ἡρμοσμένα ὄργανα, μελλόντων δὲ "αὐτῶν καὶ προσηλοῦν αὐτὸν εἶπεν 'ἄφετέ με οὕτως· "ὁ γὰρ διδοὺς ὑπομεῖναι τὸ πῦρ δώσει καὶ χωρὶς τῆς "ὑμετέρας ἐκ τῶν ἥλων ἀσφαλείας ἀσκύλτως ἐπιμεῖ-"ναι τῇ πυρᾷ.' οἱ δὲ οὐ καθήλωσαν, προσέδησαν δὲ "αὐτόν. 32. ὁ δὲ ὀπίσω τὰς χεῖρας ποιήσας, καὶ "προσδεθεὶς ὥσπερ κριὸς ἐπίσημος ἀναφερόμενος "ἐκ μεγάλου ποιμνίου ὁλοκαύτωμα δεκτὸν θεῷ παν-"τοκράτορι, εἶπεν 33. 'ὁ τοῦ ἀγαπητοῦ καὶ εὐλογη-

τοῦ παιδός σου Ἰησοῦ Χριστοῦ πατήρ, δι' οὗ τὴν περὶ σὲ ἐπίγνωσιν εἰλήφαμεν, ὁ θεὸς ἀγγέλων καὶ δυνάμεων καὶ πάσης τῆς κτίσεως παντός τε τοῦ γένους τῶν δικαίων, οἳ ζῶσιν ἐνώπιόν σου, εὐλογῶ σε ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης, τοῦ λαβεῖν μέρος ἐν ἀριθμῷ τῶν μαρτύρων, ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ, εἰς ἀνάστασιν ζωῆς αἰωνίου ψυχῆς τε καὶ σώματος, ἐν ἀφθαρσίᾳ πνεύματος ἁγίου· 34. ἐν οἷς προσδεχθείην ἐνώπιόν σου σήμερον ἐν θυσίᾳ πίονι καὶ προσδεκτῇ, καθὼς προητοίμασας προφανερώσας καὶ πληρώσας ὁ ἀψευδὴς καὶ ἀληθινὸς θεός. 35. διὰ τοῦτο καὶ περὶ πάντων σὲ αἰνῶ, σὲ εὐλογῶ, σὲ δοξάζω, διὰ τοῦ αἰωνίου ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ ἀγαπητοῦ σου παιδὸς, δι' οὗ σοι σὺν αὐτῷ ἐν πνεύματι ἁγίῳ δόξα, καὶ νῦν καὶ εἰς τοὺς μέλλοντας αἰῶνας, ἀμήν.' 36. ἀναπέμψαντος δὲ αὐτοῦ τὸ ἀμὴν καὶ πληρώσαντος τὴν προσευχὴν οἱ τοῦ πυρὸς ἄνθρωποι ἐξῆψαν τὸ πῦρ, μεγάλης δὲ ἐκλαμψάσης φλογὸς θαῦμα εἴδομεν οἷς ἰδεῖν ἐδόθη, οἳ καὶ ἐτηρήθησαν εἰς τὸ ἀναγγεῖλαι τοῖς λοιποῖς τὰ γενόμενα. 37. τὸ γὰρ πῦρ καμάρας εἶδος ποιῆσαν, ὥσπερ ὀθόνης πλοίου ὑπὸ πνεύματος πληρουμένης, κύκλῳ περιετείχισε τὸ σῶμα τοῦ μάρτυρος, καὶ ἦν εἰς μέσον οὐχ ὡς σὰρξ καιομένη, ἀλλ' ὡς χρυσὸς καὶ ἄργυρος ἐν καμίνῳ πυρούμενος. καὶ γὰρ εὐωδίας τοιαύτης ἀντελαβόμεθα, ὡς λιβανωτοῦ πνέοντος ἢ ἄλλου τινὸς τῶν τιμίων ἀρωμάτων. 38. πέρας γοῦν ἰδόντες οἱ ἄνομοι μὴ δυνάμενον τὸ σῶμα ὑπὸ τοῦ πυρὸς δαπανηθῆναι ἐκέλευσαν προσελθόντα αὐτῷ κομφέκτορα παραβῦσαι τὸ ξίφος. 39. καὶ τοῦτο ποιήσαντος ἐξῆλθε πλῆθος αἵματος, ὥστε κατασβέσαι τὸ πῦρ, καὶ θαυμάσαι πάντα τὸν ὄχλον,

"εἰ τοσαύτη τις διαφορὰ μεταξὺ τῶν τε ἀπίστων καὶ "τῶν ἐκλεκτῶν, ὧν εἷς καὶ οὗτος γέγονεν ὁ θαυμα-"σιώτατος ἐν τοῖς καθ' ἡμᾶς χρόνοις διδάσκαλος ἀπο-"στολικὸς καὶ προφητικὸς, γενόμενος ἐπίσκοπος τῆς "ἐν Σμύρνῃ καθολικῆς ἐκκλησίας. πᾶν γὰρ ῥῆμα, ὃ "ἀφῆκεν ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἐτελειώθη καὶ "τελειωθήσεται. 40. ὁ δὲ ἀντίζηλος καὶ βάσκανος καὶ "πονηρὸς, ὁ ἀντικείμενος τῷ γένει τῶν δικαίων, ἰδὼν "τὸ μέγεθος αὐτοῦ τῆς μαρτυρίας καὶ τὴν ἀπ' ἀρχῆς "ἀνεπίληπτον αὐτοῦ πολιτείαν, ἐστεφανωμένον τε τὸν "τῆς ἀφθαρσίας στέφανον καὶ βραβεῖον ἀναντίρρη-"τον ἀπενηνεγμένον, ἐπετήδευσεν ὡς μηδὲ τὸ σω-"μάτιον αὐτοῦ ὑφ' ἡμῶν ληφθείη, καίπερ πολλῶν "ἐπιθυμούντων τοῦτο ποιῆσαι, καὶ κοινωνῆσαι τῷ "ἁγίῳ αὐτοῦ σαρκίῳ. 41. ὑπέβαλον γοῦν τινες Νι-"κήτην, τὸν τοῦ Ἡρώδου πατέρα, ἀδελφὸν δὲ Ἄλκης, "ἐντυχεῖν τῷ ἡγεμόνι, ὥστε μὴ δοῦναι αὐτοῦ τὸ "σῶμα, μὴ, φησὶν, ἀφέντες τὸν ἐσταυρωμένον, τοῦ-"τον ἄρξωνται σέβειν. καὶ ταῦτα εἶπον ὑποβαλόν-"των καὶ ἐνισχυσάντων τῶν Ἰουδαίων, οἳ καὶ ἐτήρη-"σαν μελλόντων ἡμῶν ἐκ τοῦ πυρὸς αὐτὸν λαμβάνειν, "ἀγνοοῦντες ὅτι οὔτε τὸν Χριστόν ποτε καταλιπεῖν "δυνησόμεθα, τὸν ὑπὲρ τῆς τοῦ παντὸς κόσμου τῶν "σωζομένων σωτηρίας παθόντα, οὔτε ἕτερόν τινα σέ-"βειν. 42. τοῦτον μὲν γὰρ ὄντα υἱὸν τοῦ θεοῦ προσ-"κυνοῦμεν, τοὺς δὲ μάρτυρας ὡς μαθητὰς καὶ μιμη-"τὰς τοῦ κυρίου ἀγαπῶμεν ἀξίως, ἕνεκα εὐνοίας "ἀνυπερβλήτου τῆς εἰς τὸν ἴδιον βασιλέα καὶ διδά-"σκαλον· ὧν γένοιτο καὶ ἡμᾶς συγκοινωνούς τε καὶ "συμμαθητὰς γενέσθαι. 43. ἰδὼν οὖν ὁ ἑκατοντάρ-"χης τὴν τῶν Ἰουδαίων γενομένην φιλονεικίαν, θεὶς "αὐτὸν ἐν μέσῳ, ὡς ἔθος αὐτοῖς, ἔκαυσεν. οὕτως τε

"ἡμεῖς ὕστερον ἀνελόμενοι τὰ τιμιώτερα λίθων πο- "λυτελῶν καὶ δοκιμώτερα ὑπὲρ χρυσίον ὀστᾶ αὐτοῦ "ἀπεθέμεθα ὅπου καὶ ἀκόλουθον ἦν. 44. ἔνθα ὡς "δυνατὸν ἡμῖν συναγομένοις ἐν ἀγαλλιάσει καὶ χαρᾷ "παρέξει ὁ κύριος ἐπιτελεῖν τὴν τοῦ μαρτυρίου αὐτοῦ "ἡμέραν γενέθλιον, εἴς τε τὴν τῶν προηθληκότων "μνήμην καὶ τῶν μελλόντων ἄσκησίν τε καὶ ἑτοιμα- "σίαν. 45. τοιαῦτα τὰ κατὰ τὸν μακάριον Πολύκαρ- "πον, σὺν τοῖς ἀπὸ Φιλαδελφείας δωδέκατον ἐν "Σμύρνῃ μαρτυρήσαντα, ὃς μόνος ὑπὸ πάντων μᾶλ- "λον μνημονεύεται, ὡς καὶ ὑπὸ τῶν ἐθνῶν ἐν παντὶ "τόπῳ λαλεῖσθαι." 46. τὰ μὲν δὴ κατὰ τὸν θαυμάσιον καὶ ἀποστολικὸν Πολύκαρπον τοιούτου κατηξίωτο τέλους, τῶν κατὰ τὴν Σμυρναίων ἐκκλησίαν ἀδελφῶν τὴν ἱστορίαν ἐν ᾗ δεδηλώκαμεν αὐτῶν ἐπιστολῇ κατατεθειμένων. ἐν τῇ αὐτῇ δὲ περὶ αὐτοῦ γραφῇ καὶ ἄλλα μαρτύρια συνῆπτο κατὰ τὴν αὐτὴν Σμύρναν πεπραγμένα ὑπὸ τὴν αὐτὴν περίοδον τοῦ χρόνου τῆς τοῦ Πολυκάρπου μαρτυρίας, μεθ' ὧν καὶ Μητρόδωρος τῆς κατὰ Μαρκίωνα πλάνης πρεσβύτερος δὴ εἶναι δοκῶν πυρὶ παραδοθεὶς ἀνῄρηται. 47. τῶν γε μὴν τότε περιβόητος μάρτυς εἷς τις ἐγνωρίζετο Πιόνιος, οὗ τὰς κατὰ μέρος ὁμολογίας, τήν τε τοῦ λόγου παρρησίαν, καὶ τὰς ὑπὲρ τῆς πίστεως ἐπὶ τοῦ δήμου καὶ τῶν ἀρχόντων ἀπολογίας, διδασκαλικάς τε δημηγορίας, καὶ ἔτι τὰς πρὸς τοὺς ὑποπεπτωκότας τῷ κατὰ τὸν διωγμὸν πειρασμῷ δεξιώσεις, παραμυθίας τε ἃς ἐπὶ τῆς εἱρκτῆς τοῖς παρ' αὐτὸν εἰσαφικνουμένοις ἀδελφοῖς παρετίθετο, ἅς τε ἐπὶ τούτοις ὑπέμεινε βασάνους τε καὶ τὰς ἐπὶ ταύταις ἀλγηδόνας καθηλώσεις τε, καὶ τὴν ἐπὶ τῆς πυρᾶς καρτερίαν, τήν τε ἐφ' ἅπασι τοῖς παραδόξοις αὐτοῦ

τελευτὴν πληρέστατα τῆς περὶ αὐτοῦ γραφῆς περιεχούσης, τοὺς οἷς φίλον ἐπὶ ταύτην ἀναπέμψομεν, τοῖς τῶν ἀρχαίων συναχθεῖσιν ἡμῖν μαρτυρίοις ἐντεταγμένην. 48. *ἑξῆς δὲ καὶ ἄλλων ἐν Περγάμῳ πόλει τῆς Ἀσίας ὑπομνήματα μεμαρτυρηκότων φέρεται, Κάρπου καὶ Παπύλου καὶ γυναικὸς Ἀγαθονίκης, μετὰ πλείστας καὶ διαπρεπεῖς ὁμολογίας ἐπιδόξως τετελειωμένων.*

XVI. [Nic. H. E. III, 32.] *Κατὰ τούτους δὲ καὶ ὁ μικρῷ πρόσθεν ἡμῖν δηλωθεὶς Ἰουστῖνος, δεύτερον ὑπὲρ τῶν καθ' ἡμᾶς δογμάτων βιβλίον ἀναδοὺς τοῖς δεδηλωμένοις ἄρχουσι, θείῳ κατακοσμεῖται μαρτυρίῳ, φιλοσόφου Κρίσκεντος (τὸν φερώνυμον δὲ οὗτος τῇ Κυνικῇ προσηγορίᾳ βίον τε καὶ τρόπον ἐζήλου) τὴν ἐπιβουλὴν αὐτῷ καταρτύσαντος, ἐπείπερ πλεονάκις ἐν διαλόγοις ἐπ' ἀκροατῶν εὐθύνας αὐτὸν τὰ νικητήρια τελευτῶν ὑπὲρ ἧς ἐπρέσβευεν ἀληθείας διὰ τοῦ μαρτυρίου τοῦ κατ' αὐτὸν ἀνεδήσατο.* 2. *τοῦτο δὲ καὶ αὐτὸς ὁ ταῖς ἀληθείαις φιλοσοφώτατος ἐν τῇ δεδηλωμένῃ ἀπολογίᾳ σαφῶς οὕτως, ὥσπερ οὖν καὶ ἔμελλεν ὅσον οὔπω περὶ αὐτὸν συμβήσεσθαι, προλαβὼν ἀποσημαίνει τούτοις αὐτοῖς τοῖς ῥήμασι* 3. *"κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων "ἐπιβουλευθῆναι, κἂν ξύλῳ ἐντιναγῆναι, ἢ κἂν ὑπὸ "Κρίσκεντος τοῦ ἀφιλοσόφου ἢ καὶ φιλοκόμπου. οὐ "γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τ`ν ἄνδρα, ὅς γε περὶ "ὧν μὴ ἐπίσταται δημοσίᾳ καταμαρτυρεῖ, ὡς ἀθέων "καὶ ἀσεβῶν Χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδο"νὴν τῶν πολλῶν πεπλανημένως τοῦτο πράττων. "*4. *εἴτε γὰρ μὴ ἐντυχὼν τοῖς τοῦ Χριστοῦ διδάγμασι*

---

20 Iustin. Apol. II c. 3.

"κατατρέχει ἡμῶν, παμπόνηρός ἐστι καὶ ἰδιωτῶν πολὺ χείρων, οἳ φυλάττονται πολλάκις περὶ ὧν οὐκ ἐπίστανται διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν, καὶ εἰ ἐντυχὼν μὴ συνῆκε τὸ ἐν αὐτοῖς μεγαλεῖον, ἢ συνεὶς πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγεννὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ ἀλόγου δόξης καὶ φόβου ἐλάττων ὤν. 5. καὶ γὰρ προθέντα με καὶ ἐρωτήσαντα αὐτὸν ἐρωτήσεις τινὰς τοιαύτας μαθεῖν καὶ ἐλέγξαι, ὅτι ἀληθῶς μηδὲν ἐπίσταται, εἰδέναι ὑμᾶς βούλομαι. καὶ ὅτι ἀληθῆ λέγω, εἰ μὴ ἀνηνέχθησαν ὑμῖν αἱ κοινωνίαι τῶν λόγων, ἕτοιμος καὶ ἐφ' ὑμῶν κοινωνεῖν τῶν ἐρωτήσεων πάλιν· βασιλικὸν δ' ἂν καὶ τοῦτο ἔργον εἴη. 6. εἰ δὲ καὶ ἐγνώσθησαν ὑμῖν αἱ ἐρωτήσεις μου καὶ αἱ ἐκείνου ἀποκρίσεις, φανερὸν ὑμῖν ἐστιν ὅτι οὐδὲν τῶν ἡμετέρων ἐπίσταται· ἢ εἰ ἐπίσταται, διὰ τοὺς ἀκούοντας δὲ οὐ τολμᾷ λέγειν, ὡς πρότερον ἔφην, οὐ φιλόσοφος, ἀλλὰ φιλόδοξος ἀνὴρ δείκνυται, ὅς γε μηδὲ τὸ Σωκρατικὸν ἀξιέραστον ὂν τιμᾷ." ταῦτα μὲν οὖν ὁ Ἰουστῖνος. 7. ὅτι δὲ κατὰ τὴν αὐτοῦ πρόρρησιν πρὸς τοῦ Κρίσκεντος συσκευασθεὶς ἐτελειώθη, Τατιανὸς ἀνὴρ τὸν πρῶτον αὐτοῦ βίον σοφιστεύσας ἐν τοῖς Ἑλλήνων μαθήμασι, καὶ δόξαν οὐ σμικρὰν ἐν αὐτοῖς ἀπενηνεγμένος, πλεῖστά τε συγγράμμασιν αὐτοῦ καταλιπὼν μνημεῖα, ἐν τῷ πρὸς Ἕλληνας ἱστορεῖ λέγων ὧδέ πως "καὶ ὁ θαυμασιώτατος Ἰουστῖνος ὀρθῶς ἐξεφώνησεν ἐοικέναι τοὺς προειρημένους λῃσταῖς." 8. εἶτ' ἐπειπών τινα περὶ τῶν φιλοσόφων ἐπιλέγει ταῦτα "Κρίσκης γοῦν, ὁ ἐννεοττεύσας τῇ μεγάλῃ πόλει, παιδεραστίᾳ μὲν πάντας ὑπερήνεγκε,

25 Tatian. or. ad Graec. c. 18 et 19.

"φιλαργυρίᾳ δὲ πάνυ προσεχὴς ἦν. 9. θανάτου δὲ "ὁ καταφρονεῖν συμβουλεύων οὕτως αὐτὸς ἐδεδίει "τὸν θάνατον ὡς καὶ Ἰουστῖνον καθάπερ μεγάλῳ "κακῷ τῷ θανάτῳ περιβαλεῖν πραγματεύσασθαι, διότι "κηρύττων τὴν ἀλήθειαν λίχνους τοὺς φιλοσόφους "καὶ ἀπατεῶνας ἐξήλεγχεν." καὶ τὸ μὲν κατὰ Ἰουστῖνον μαρτύριον τοιαύτην εἴληχε τὴν αἰτίαν.

XVII. [Nic. H. E. III, 33.] Ὁ δ' αὐτὸς ἀνὴρ πρὸ τοῦ κατ' αὐτὸν ἀγῶνος ἑτέρων πρὸ αὐτοῦ μαρτυρησάντων ἐν τῇ προτέρᾳ αὐτοῦ μνημονεύει ἀπολογίᾳ, χρησίμως τῇ ὑποθέσει καὶ ταῦτα ἱστορῶν. 2. γράφει δὲ ὧδε "γυνή τις συνεβίου ἀνδρὶ ἀκολασταίνοντι, "ἀκολασταίνουσα καὶ αὐτὴ πρότερον. ἐπειδὴ δὲ τὰ "τοῦ Χριστοῦ διδάγματα ἔγνω, ἐσωφρονίσθη, καὶ τὸν "ἄνδρα ὁμοίως σωφρονεῖν πείθειν ἐπειρᾶτο, τὰ δι"δάγματα ἀναφέρουσα, τήν τε μέλλουσαν τοῖς οὐ σω"φρόνως καὶ μετὰ λόγου ὀρθοῦ βιοῦσιν ἔσεσθαι ἐν "αἰωνίῳ πυρὶ κόλασιν ἀπαγγέλλουσα. 3. ὁ δὲ ταῖς "αὐταῖς ἀσελγείαις ἐπιμένων ἀλλοτρίαν διὰ τῶν πρά"ξεων ἐποιεῖτο τὴν γαμετήν. ἀσεβὲς γὰρ ἡγουμένη "τὸ λοιπὸν ἡ γυνὴ συγκατακλίνεσθαι ἀνδρὶ παρὰ "τὸν τῆς φύσεως νόμον καὶ παρὰ τὸ δίκαιον πόρους "ἡδονῆς ἐκ παντὸς πειρωμένῳ ποιεῖσθαι τῆς συζυ"γίας χωρισθῆναι ἐβουλήθη. 4. καὶ ἐπεὶ ἐξεδυσω"πεῖτο ὑπὸ τῶν αὐτῆς, ἔτι προσμένειν συμβουλευόν"των, ὡς εἰς ἐλπίδα μεταβολῆς ἥξοντός ποτε τοῦ "ἀνδρὸς, βιαζομένη ἑαυτὴν ἐπέμενεν. 5. ἐπειδὴ δὲ "ὁ ταύτης ἀνὴρ εἰς τὴν Ἀλεξάνδρειαν πορευθεὶς χα"λεπώτερα πράττειν ἀπηγγέλθη, ὅπως μὴ κοινωνὸς "τῶν ἀδικημάτων καὶ ἀσεβημάτων γένηται, μένουσα

---

12 Iustin. Apol. II. c. 2.

"ἐν τῇ συζυγίᾳ, καὶ ὁμοδίαιτος καὶ ὁμόκοιτος γινομένη, τὸ λεγόμενον παρ' ἡμῖν ῥεπούδιον δοῦσα ἐχωρίσθη. 6. ὁ δὲ καλὸς κἀγαθὸς ταύτης ἀνήρ, δέον αὐτὸν χαίρειν, ὅτι ἃ πάλαι μετὰ τῶν ὑπηρετῶν καὶ τῶν μισθοφόρων εὐχερῶς ἔπραττε, μέθαις χαίρουσα καὶ κακίᾳ πάσῃ, τούτων μὲν τῶν πράξεων πέπαυτο, καὶ αὐτὸν τὰ αὐτὰ παύσασθαι πράττοντα ἐβούλετο, μὴ βουλομένου ἀπαλλαγείσης κατηγορίαν πεποίηται, λέγων αὐτὴν Χριστιανὴν εἶναι. 7. καὶ ἡ μὲν βιβλίδιόν σοι τῷ αὐτοκράτορι ἀναδέδωκε, πρότερον συγχωρηθῆναι αὐτῇ διοικήσασθαι τὰ ἑαυτῆς ἀξιοῦσα, ἔπειτα ἀπολογήσασθαι περὶ τοῦ κατηγορήματος μετὰ τὴν τῶν πραγμάτων αὐτῆς διοίκησιν. καὶ συνεχώρησας τοῦτο. 8. ὁ δὲ ταύτης ποτὲ ἀνήρ, πρὸς ἐκείνην μὲν μὴ δυνάμενος τὰ νῦν ἔτι λέγειν, πρὸς Πτολεμαῖόν τινα, ὃν Οὐρβίκιος ἐκολάσατο, διδάσκαλον ἐκείνης τῶν Χριστιανῶν μαθημάτων γενόμενον, ἐτράπετο διὰ τοῦδε τοῦ τρόπου. 9. ἑκατόνταρχον εἰς δεσμὰ ἐμβαλόντα τὸν Πτολεμαῖον, φίλον αὐτῷ ὑπάρχοντα, ἔπεισε λαβέσθαι τοῦ Πτολεμαίου καὶ ἀνερωτῆσαι εἰ, αὐτὸ τοῦτο μόνον, Χριστιανός ἐστι. καὶ τὸν Πτολεμαῖον φιλαλήθη, ἀλλ' οὐκ ἀπατηλὸν οὐδὲ ψευδολόγον τὴν γνώμην ὄντα, ὁμολογήσαντα ἑαυτὸν εἶναι Χριστιανὸν, ἐν δεσμοῖς γενέσθαι ὁ ἑκατόνταρχος πεποίηκε, καὶ ἐπὶ πολὺν χρόνον ἐν τῷ δεσμωτηρίῳ ἐκολάσατο. 10. τελευταῖον δὲ ὅτε ἐπὶ Οὐρβίκιον ἤχθη ὁ ἄνθρωπος, ὁμοίως αὐτὸ τοῦτο μόνον ἐξητάσθη, εἰ εἴη Χριστιανός. καὶ πάλιν τὰ καλὰ ἑαυτῷ συνεπιστάμενος διὰ τὴν ἀπὸ τοῦ Χριστοῦ διδαχήν, τὸ διδασκαλεῖον τῆς θείας ἀρετῆς ὡμολόγησεν. 11. ὁ γὰρ ἀρνούμενος ὁτιοῦν ἢ καταγνωκὼς τοῦ πράγματος ἔξαρνος γίνεται, ἢ ἑαυτὸν

"ἀνάξιον ἐπιστάμενος καὶ ἀλλότριον τοῦ πράγματος τὴν ὁμολογίαν φεύγει. ὧν οὐδὲν πρόσεστι τῷ ἀληθινῷ Χριστιανῷ. 12. καὶ τοῦ Οὐρβικίου κελεύσαντος αὐτὸν ἀπαχθῆναι, Λούκιός τις, καὶ αὐτὸς ὢν Χριστιανὸς, ὁρῶν τὴν ἀλόγως οὕτω γενομένην κρίσιν, πρὸς τὸν Οὐρβίκιον ἔφη 'τίς ἡ αἰτία τοῦ μήτε μοιχὸν, μήτε πόρνον, μήτε ἀνδροφόνον, μήτε λωποδύτην, μήτε ἅρπαγα, μήτε ἁπλῶς ἀδίκημά τι πράξαντα ἐλεγχόμενον, ὀνόματος δὲ Χριστιανοῦ προσωνυμίαν ὁμολογοῦντα τὸν ἄνθρωπον τοῦτον ἐκολάσω; οὐ πρέποντα Εὐσεβεῖ αὐτοκράτορι οὐδὲ φιλοσόφῳ Καίσαρος παιδὶ, οὐδὲ ἱερᾷ συγκλήτῳ κρίνεις, ὦ Οὐρβίκιε.' 13. καὶ ὃς οὐδὲν ἄλλο ἀποκρινάμενος καὶ πρὸς τὸν Λούκιον ἔφη 'δοκεῖς μοι καὶ σὺ εἶναι τοιοῦτος.' καὶ τοῦ Λουκίου φήσαντος 'μάλιστα' πάλιν καὶ αὐτὸν ἀπαχθῆναι ἐκέλευσεν. ὁ δὲ χάριν εἰδέναι ὡμολόγει· πονηρῶν γὰρ δεσποτῶν τῶν τοιούτων ἀπηλλάχθαι ἐπεῖπε, καὶ παρὰ ἀγαθὸν πατέρα καὶ βασιλέα τὸν θεὸν πορεύεσθαι. καὶ ἄλλος δὲ τρίτος ἐπελθὼν κολασθῆναι προσετιμήθη." τούτοις ὁ Ἰουστῖνος εἰκότως καὶ ἀκολούθως ἃς προεμνημονεύσαμεν αὐτοῦ φωνὰς ἐπάγει λέγων "κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι" καὶ τὰ λοιπά.

XVIII. [Nic. H. E. IV, 6.] Πλεῖστα δὲ οὗτος καταλέλοιπεν ἡμῖν πεπαιδευμένης διανοίας καὶ περὶ τὰ θεῖα ἐσπουδακυίας ὑπομνήματα, πάσης ὠφελείας ἔμπλεα, ἐφ' ἃ τοὺς φιλομαθεῖς ἀναπέμψομεν, τὰ εἰς ἡμετέραν γνῶσιν ἐλθόντα χρησίμως παρασημηνάμενοι. 2. ὁ μέν τίς ἐστιν αὐτῷ λόγος πρὸς Ἀντωνῖνον τὸν Εὐσεβῆ προσαγορευθέντα καὶ τοὺς τούτου παῖδας τήν τε Ῥωμαίων σύγκλητον προσφωνητικὸς ὑπὲρ τῶν

καθ' ἡμᾶς δογμάτων, ὁ δὲ δευτέραν περιέχων ὑπὲρ τῆς ἡμετέρας πίστεως ἀπολογίαν, ἣν πεποίηται πρὸς τὸν τοῦ δεδηλωμένου αὐτοκράτορος διάδοχόν τε καὶ ὁμώνυμον Ἀντωνῖνον Οὐῆρον, οὗ τὰ κατὰ τοὺς χρόνους ἐπὶ τοῦ παρόντος διέξιμεν. 3. *καὶ ἄλλος ὁ πρὸς Ἕλληνας, ἐν ᾧ μακρὸν περὶ πλείστων παρ' ἡμῖν τε καὶ τοῖς Ἑλλήνων φιλοσόφοις ζητουμένων κατατείνας λόγον περὶ τῆς τῶν δαιμόνων διαλαμβάνει φύσεως· ἃ οὐδὲν ἂν ἐπείγοι τὰ νῦν παρατίθεσθαι.* 4. *καὶ αὖθις ἕτερον πρὸς Ἕλληνας εἰς ἡμᾶς ἐλήλυθεν αὐτοῦ σύγγραμμα, ὃ καὶ ἐπέγραψεν ἔλεγχον. καὶ παρὰ τούτους ἄλλο περὶ θεοῦ μοναρχίας, ἣν οὐ μόνον ἐκ τῶν παρ' ἡμῖν γραφῶν, ἀλλὰ καὶ ἐκ τῶν Ἑλληνικῶν συνίστησι βιβλίων.* 5. *ἐπὶ τούτοις ἐπιγεγραμμένον ψάλτης, καὶ ἄλλο σχολικὸν περὶ ψυχῆς, ἐν ᾧ διαφόρους πεύσεις προτείνας περὶ τοῦ κατὰ τὴν ὑπόθεσιν προβλήματος, τῶν παρ' Ἕλλησι φιλοσόφων παρατίθεται τὰς δόξας, αἷς καὶ ἀντιλέξειν ὑπισχνεῖται, τήν τε αὐτὸς αὑτοῦ δόξαν ἐν ἑτέρῳ παραθήσεσθαι συγγράμματι.* 6. *καὶ διάλογον δὲ πρὸς Ἰουδαίους συνέταξεν, ὃν ἐπὶ τῆς Ἐφεσίων πόλεως πρὸς Τρύφωνα τῶν τότε Ἑβραίων ἐπισημότατον πεποίηται, ἐν ᾧ τίνα τρόπον ἡ θεία χάρις αὐτὸν ἐπὶ τὸν τῆς πίστεως παρώρμησε λόγον δηλοῖ, ὁποίαν τε πρότερον περὶ τὰ φιλόσοφα μαθήματα σπουδὴν εἰσενήνεκται καὶ ὅσην ἐποιήσατο τῆς ἀληθείας ἐκθυμοτάτην ζήτησιν.* 7. *ἱστορεῖ δ' ἐν ταὐτῷ περὶ Ἰουδαίων, ὡς κατὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐπιβουλὴν συσκευασαμένων, αὐτὰ ταῦτα πρὸς τὸν Τρύφωνα ἀποτεινόμενος· "οὐ μόνον δὲ οὐ "μετενοήσατε ἐφ' οἷς ἐπράξατε κακῶς, ἀλλὰ ἄνδρας*

---

21 Iustin. c. Tryph. c. 17.

"ἐκλεκτοὺς ἐκλεξάμενοι τότε ἀπὸ Ἱερουσαλὴμ ἐξεπέμ-"ψατε εἰς ἅπασαν τὴν γῆν λέγοντες αἵρεσιν ἄθεον "Χριστιανῶν πεφάνθαι, καταλέγοντές τε ταῦτα, ἅπερ "καθ' ἡμῶν οἱ ἀγνοοῦντες ἡμᾶς πάντες λέγουσιν, "ὥστε οὐ μόνον ἑαυτοῖς ἀδικίας αἴτιοι ὑπάρχετε, ἀλλὰ "καὶ τοῖς ἄλλοις ἅπασιν ἁπλῶς ἀνθρώποις." 8. γράφει δὲ καὶ ὡς ὅτι μέχρι καὶ αὐτοῦ χαρίσματα προφητικὰ διέλαμπεν ἐπὶ τῆς ἐκκλησίας. μέμνηται δὲ καὶ τῆς Ἰωάννου ἀποκαλύψεως, σαφῶς τοῦ ἀποστόλου αὐτὴν εἶναι λέγων. καὶ ῥητῶν δέ τινων προφητικῶν μνημονεύει, διελέγχων τὸν Τρύφωνα, ὡσὰν περικοψάντων αὐτὰ Ἰουδαίων ἀπὸ τῆς γραφῆς. πλεῖστα δὲ καὶ ἕτερα παρὰ πολλοῖς φέρεται ἀδελφοῖς τῶν αὐτοῦ πόνων. 9. οὑτωσὶ δὲ σπουδῆς εἶναι ἄξιοι καὶ τοῖς παλαιοῖς ἐδόκουν οἱ τἀνδρὸς λόγοι ὡς τὸν Εἰρηναῖον ἀπομνημονεύειν αὐτοῦ φωνάς, τοῦτο μὲν ἐν τῷ τετάρτῳ πρὸς τὰς αἱρέσεις αὐτὰ δὴ ταῦτα ἐπιλέγοντα "καὶ καλῶς ὁ Ἰουστῖνος ἐν τῷ πρὸς Μαρκίωνα "συντάγματί φησιν ὅτι αὐτῷ τῷ κυρίῳ οὐκ ἂν ἐπεί-"σθην ἄλλον θεὸν καταγγέλλοντι παρὰ τὸν δημιουρ-"γόν," τοῦτο δὲ ἐν τῷ πέμπτῳ τῆς αὐτῆς ὑποθέσεως διὰ τούτων "καὶ καλῶς ὁ Ἰουστῖνος ἔφη ὅτι πρὸ μὲν "τῆς τοῦ κυρίου παρουσίας οὐδέποτε ἐτόλμησεν ὁ σα-"τανᾶς βλασφημῆσαι τὸν θεόν, ἅτε μηδέπω εἰδὼς "αὐτοῦ τὴν κατάκρισιν." 10. καὶ ταῦτα δὲ ἀναγκαίως εἰρήσθω, εἰς προτροπὴν τοῦ μετὰ σπουδῆς τοὺς φιλομαθεῖς καὶ τοὺς τούτου περιέπειν λόγους. καὶ τὰ μὲν κατὰ τόνδε τοιαῦτα ἦν.

XIX. [Nic. H. E. IV, 19.] Ἤδη δὲ εἰς ὄγδοον ἐλαυνούσης ἔτος τῆς δηλουμένης ἡγεμονίας τῆς Ῥω-

---

16 Iren. IV, 6, 2. p. 233. 21 Iren. V, 26, 2. p. 324.

μαίων ἐκκλησίας τὴν ἐπισκοπὴν Ἀνίκητον ἕνδεκα τοῖς πᾶσιν ἔτεσι διελθόντα Σωτὴρ διαδέχεται. ἀλλὰ καὶ τῆς Ἀλεξανδρέων παροικίας Κελαδίωνος τέτταρσιν ἐπὶ δέκα ἔτεσι προστάντος τὴν διαδοχὴν Ἀγριππῖνος διαλαμβάνει.

XX. [Nic. H. E. IV, 19.] *Τηνικαῦτα καὶ ἐπὶ τῆς Ἀντιοχέων ἐκκλησίας Θεόφιλος ἕκτος ἀπὸ τῶν ἀποστόλων ἐγνωρίζετο, τετάρτου μὲν τῶν ἐκεῖσε μετὰ Ἥρωνα καταστάντος Κορνηλίου, μετὰ δὲ αὐτὸν πέμπτῳ βαθμῷ τὴν ἐπισκοπὴν Ἔρωτος διαδεξαμένου.*

XXI. [Nic. H. E. IV, 19.] *Ἤκμαζον δὲ ἐν τούτοις ἐπὶ τῆς ἐκκλησίας Ἡγήσιππός τε, ὃν ἴσμεν ἐκ τῶν προτέρων, καὶ Διονύσιος Κορινθίων ἐπίσκοπος, Πινυτός τε ἄλλος τῶν ἐπὶ Κρήτης ἐπίσκοπος, Φίλιππός τε ἐπὶ τούτοις καὶ Ἀπολινάριος καὶ Μελίτων, Μουσανός τε καὶ Μόδεστος, καὶ ἐπὶ πᾶσιν Εἰρηναῖος, ὧν καὶ εἰς ἡμᾶς τῆς ἀποστολικῆς παραδόσεως ἡ τῆς ὑγιοῦς πίστεως ἔγγραφος κατῆλθεν ὀρθοδοξία.*

XXII. [Nic. H. E. IV, 7.] *Ὁ μὲν οὖν Ἡγήσιππος ἐν πέντε τοῖς εἰς ἡμᾶς ἐλθοῦσιν ὑπομνήμασι τῆς ἰδίας γνώμης πληρεστάτην μνήμην καταλέλοιπεν, ἐν οἷς δηλοῖ ὡς πλείστοις ἐπισκόποις συμμίξειεν, ἀποδημίαν στειλάμενος μέχρι Ῥώμης, καὶ ὡς ὅτι τὴν αὐτὴν παρὰ πάντων παρείληφε διδασκαλίαν. ἀκοῦσαί γέ τοι πάρεστι μετά τινα περὶ τῆς Κλήμεντος πρὸς Κορινθίους ἐπιστολῆς αὐτῷ εἰρημένα ἐπιλέγοντος ταῦτα* 2. "*καὶ ἐπέμενεν ἡ ἐκκλησία ἡ Κορινθίων ἐν τῷ "ὀρθῷ λόγῳ μέχρι Πρίμου ἐπισκοπεύοντος ἐν Κο"ρίνθῳ· οἷς συνέμιξα πλέων εἰς Ῥώμην, καὶ συνδιέ"τριψα τοῖς Κορινθίοις ἡμέρας ἱκανάς, ἐν αἷς συνα"νεπάημεν τῷ ὀρθῷ λόγῳ.* 3. *γενόμενος δὲ ἐν Ῥώμῃ "διαδοχὴν ἐποιησάμην μέχρις Ἀνικήτου, οὗ διάκονος*

"ἦν Ἐλεύθερος. καὶ παρὰ Ἀνικήτου διαδέχεται Σωτήρ, μεθ' ὃν Ἐλεύθερος. ἐν ἑκάστῃ δὲ διαδοχῇ καὶ ἐν ἑκάστῃ πόλει οὕτως ἔχει ὡς ὁ νόμος κηρύσσει καὶ οἱ προφῆται καὶ ὁ κύριος." 4. ὁ δ' αὐτὸς καὶ τῶν κατ' αὐτὸν αἱρέσεων τὰς ἀρχὰς ὑποτίθεται διὰ τούτων "καὶ μετὰ τὸ μαρτυρῆσαι Ἰάκωβον τὸν δίκαιον ὡς καὶ ὁ κύριος ἐπὶ τῷ αὐτῷ λόγῳ, πάλιν ὁ ἐκ θείου αὐτοῦ Συμεὼν ὁ τοῦ Κλωπᾶ καθίσταται ἐπίσκοπος, ὃν προέθεντο πάντες ὄντα ἀνεψιὸν τοῦ κυρίου δεύτερον. διὰ τοῦτο ἐκάλουν τὴν ἐκκλησίαν παρθένον· οὔπω γὰρ ἔφθαρτο ἀκοαῖς ματαίαις. 5. ἄρχεται δ' ὁ Θέβουθις διὰ τὸ μὴ γενέσθαι αὐτὸν ἐπίσκοπον ὑποφθείρειν, ἀπὸ τῶν ἑπτὰ αἱρέσεων ὧν (καὶ αὐτὸς ἦν ἐν τῷ λαῷ), ἀφ' ὧν Σίμων, ὅθεν οἱ Σιμωνιανοί, καὶ Κλεόβιος, ὅθεν Κλεοβιηνοί, καὶ Δοσίθεος, ὅθεν Δοσιθεανοί, καὶ Γορθαῖος, ὅθεν Γοραθηνοί, καὶ Μασβώθεος, ὅθεν Μασβώθεοι· ἀπὸ τούτων Μενανδριανισταὶ καὶ Μαρκιωνισταὶ καὶ Καρποκρατιανοὶ καὶ Οὐαλεντινιανοὶ καὶ Βασιλειδιανοὶ καὶ Σατορνιλιανοὶ ἕκαστος ἰδίως καὶ ἑτέρως ἰδίαν δόξαν παρεισηγάγοσαν. 6. ἀπὸ τούτων ψευδόχριστοι, ψευδοπροφῆται, ψευδαπόστολοι, οἵτινες ἐμέρισαν τὴν ἕνωσιν τῆς ἐκκλησίας φθοριμαίοις λόγοις κατὰ τοῦ θεοῦ καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ." 7. ἔτι δὲ ὁ αὐτὸς καὶ τὰς πάλαι γεγενημένας παρὰ Ἰουδαίοις αἱρέσεις ἱστορεῖ λέγων "ἦσαν δὲ γνῶμαι διάφοροι ἐν τῇ περιτομῇ ἐν υἱοῖς Ἰσραὴλ τῶν κατὰ τῆς φυλῆς Ἰούδα καὶ τοῦ Χριστοῦ αὗται· Ἐσσαῖοι, Γαλιλαῖοι, Ἡμεροβαπτισταί, Μασβώθεοι, Σαμαρεῖται, Σαδδουκαῖοι, Φαρισαῖοι." 8. καὶ ἕτερα δὲ πλεῖστα γράφει, ὧν ἐκ μέρους ἤδη πρότερον ἐμνημονεύσαμεν, οἰκείως τοῖς καιροῖς τὰς ἱστορίας παραθέμενοι. ἔκ τε τοῦ

καθ' Ἑβραίους εὐαγγελίου καὶ τοῦ Συριακοῦ καὶ ἰδίως ἐκ τῆς Ἑβραΐδος διαλέκτου τινὰ τίθησιν, ἐμφαίνων ἐξ Ἑβραίων ἑαυτὸν πεπιστευκέναι, καὶ ἄλλα δὲ ὡσὰν ἐξ Ἰουδαϊκῆς ἀγράφου παραδόσεως μνημονεύει. 9. οὐ μόνος δὲ οὗτος, ἀλλὰ καὶ Εἰρηναῖος καὶ ὁ πᾶς τῶν ἀρχαίων χορὸς πανάρετον σοφίαν τὰς Σολομῶνος παροιμίας ἐκάλουν. καὶ περὶ τῶν λεγομένων δὲ ἀποκρύφων διαλαμβάνων ἐπὶ τῶν αὐτοῦ χρόνων πρός τινων αἱρετικῶν ἀναπεπλάσθαι τινὰ τούτων ἱστορεῖ. ἀλλὰ γὰρ ἐφ' ἕτερον ἤδη μεταβατέον.

XXIII. [Nic. H. E. IV, 8.] *Καὶ πρῶτόν γε περὶ Διονυσίου φατέον ὅτι τε τῆς ἐν Κορίνθῳ παροικίας τὸν τῆς ἐπισκοπῆς ἐγκεχείριστο θρόνον, καὶ ὡς τῆς ἐνθέου φιλοπονίας οὐ μόνοις τοῖς ὑπ' αὐτὸν, ἀλλ' ἤδη καὶ τοῖς ἐπὶ τῆς ἀλλοδαπῆς ἀφθόνως ἐκοινώνει, χρησιμώτατον ἅπασιν ἑαυτὸν καθιστὰς ἐν αἷς ὑπετυποῦτο καθολικαῖς πρὸς τὰς ἐκκλησίας ἐπιστολαῖς. 2. ὧν ἐστιν ἡ μὲν πρὸς Λακεδαιμονίους, ὀρθοδοξίας κατηχητικὴ, εἰρήνης τε καὶ ἑνώσεως ὑποθετικὴ, ἡ δὲ πρὸς Ἀθηναίους διεγερτικὴ πίστεως καὶ τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας, ἧς ὀλιγωρήσαντας ἐλέγχει, ὡσὰν μικροῦ δεῖν ἀποστάντας τοῦ λόγου, ἐξ οὗπερ τὸν προεστῶτα αὐτῶν Πούπλιον μαρτυρῆσαι κατὰ τοὺς τότε συνέβη διωγμούς. 3. Κοδράτου δὲ μετὰ τὸν μαρτυρήσαντα Πούπλιον καταστάντος αὐτῶν ἐπισκόπου μέμνηται, ἐπιμαρτυρῶν ὡς διὰ τῆς αὐτοῦ σπουδῆς ἐπισυναχθέντων καὶ τῆς πίστεως ἀναζωπύρησιν εἰληχότων. δηλοῖ δ' ἐπὶ τούτοις ὡς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης ὑπὸ τοῦ ἀποστόλου Παύλου προτραπεὶς ἐπὶ τὴν πίστιν κατὰ τὰ ἐν ταῖς Πράξεσι δεδηλωμένα πρῶτος τῆς Ἀθήνησι παροικίας τὴν*

ἐπισκοπὴν ἐγκεχείριστο. 4. ἄλλη δ' ἐπιστολή τις αὐτοῦ πρὸς Νικομηδέας φέρεται, ἐν ᾗ τὴν Μαρκίωνος αἵρεσιν πολεμῶν τῷ τῆς ἀληθείας παρίσταται κανόνι. 5. καὶ τῇ ἐκκλησίᾳ δὲ τῇ παροικούσῃ Γόρτυναν ἅμα ταῖς λοιπαῖς κατὰ Κρήτην παροικίαις ἐπιστείλας Φίλιππον ἐπίσκοπον αὐτῶν ἀποδέχεται, ἅτε δὴ ἐπὶ πλείσταις μαρτυρουμένης ἀνδραγαθίαις τῆς ὑπ' αὐτὸν ἐκκλησίας, τήν τε τῶν αἱρετικῶν διαστροφὴν ὑπομιμνήσκει φυλάττεσθαι. 6. καὶ τῇ ἐκκλησίᾳ δὲ τῇ παροικούσῃ Ἄμαστριν ἅμα ταῖς κατὰ Πόντον ἐπιστείλας Βακχυλίδου μὲν καὶ Ἐλπίστου ὡσὰν αὐτὸν ἐπὶ τὸ γράψαι προτρεψάντων μέμνηται, γραφῶν τε θείων ἐξηγήσεις παρατέθειται, ἐπίσκοπον αὐτῶν ὀνόματι Πάλμαν ὑποσημαίνων· πολλὰ δὲ περὶ γάμου καὶ ἁγνείας τοῖς αὐτοῖς παραινεῖ, καὶ τοὺς ἐξ οἵας δ' οὖν ἀποπτώσεως, εἴτε πλημμελείας, εἴτε μὴν αἱρετικῆς πλάνης ἐπιστρέφοντας δεξιοῦσθαι προστάττει. 7. ταύταις ἄλλη ἐγκατείλεκται πρὸς Κνωσσίους ἐπιστολή, ἐν ᾗ Πινυτὸν τῆς παροικίας ἐπίσκοπον παρακαλεῖ μὴ βαρὺ φορτίον ἐπάναγκες τὸ περὶ ἁγνείας τοῖς ἀδελφοῖς ἐπιτιθέναι, τῆς δὲ τῶν πολλῶν καταστοχάζεσθαι ἀσθενείας. 8. πρὸς ἣν ὁ Πινυτὸς ἀντιγράφων θαυμάζει μὲν καὶ ἀποδέχεται τὸν Διονύσιον, ἀντιπαρακαλεῖ δὲ στερροτέρας ἤδη ποτὲ μεταδιδόναι τροφῆς, τελειοτέροις γράμμασιν εἰσαῦθις τὸν ὑπ' αὐτῷ λαὸν ὑποθρέψαντα, ὡς μὴ διὰ τέλους τοῖς γαλακτώδεσιν ἐνδιατρίβοντες λόγοις τῇ νηπιώδει ἀγωγῇ λάθοιεν καταγηράσαντες. δι' ἧς ἐπιστολῆς καὶ ἡ τοῦ Πινυτοῦ περὶ τὴν πίστιν ὀρθοδοξία τε καὶ φροντὶς τῆς τῶν ὑπηκόων ὠφελείας, τό τε λόγιον καὶ ἡ περὶ τὰ θεῖα σύνεσις ὡς δι' ἀκριβεστάτης ἀναδείκνυται εἰκόνος. 9. ἔτι τοῦ Διονυσίου καὶ πρὸς Ῥωμαίους

ἐπιστολὴ φέρεται, ἐπισκόπῳ τῷ τότε Σωτῆρι προσφωνοῦσα, ἐξ ἧς οὐδὲν οἷον τὸ καὶ παραθέσθαι λέξεις, δι' ὧν τὸ μέχρι τοῦ καθ' ἡμᾶς διωγμοῦ φυλαχθὲν Ῥωμαίων ἔθος ἀποδεχόμενος ταῦτα γράφει 10. "ἐξ ἀρχῆς γὰρ ὑμῖν ἔθος ἐστὶ τοῦτο, πάντας μὲν ἀδελφοὺς ποικίλως εὐεργετεῖν, ἐκκλησίαις τε πολλαῖς ταῖς κατὰ πᾶσαν πόλιν ἐφόδια πέμπειν, ὧδε μὲν τὴν τῶν δεομένων πενίαν ἀναψύχοντας, ἐν μετάλλοις δὲ ἀδελφοῖς ὑπάρχουσιν ἐπιχορηγοῦντας δι' ὧν πέμπετε ἀρχῆθεν ἐφοδίων, πατροπαράδοτον ἔθος Ῥωμαίων Ῥωμαῖοι διαφυλάττοντες, ὃ οὐ μόνον διατετήρηκεν ὁ μακάριος ὑμῶν ἐπίσκοπος Σωτήρ, ἀλλὰ καὶ ἐπηύξηκεν, ἐπιχορηγῶν μὲν τὴν διαπεμπομένην δαψίλειαν τὴν εἰς τοὺς ἁγίους, λόγοις δὲ μακαρίοις τοὺς ἀνιόντας ἀδελφοὺς ὡς τέκνα πατὴρ φιλόστοργος παρακαλῶν." 11. ἐν αὐτῇ δὲ ταύτῃ καὶ τῆς Κλήμεντος πρὸς Κορινθίους μέμνηται ἐπιστολῆς, δηλῶν ἀνέκαθεν ἐξ ἀρχαίου ἔθους ἐπὶ τῆς ἐκκλησίας τὴν ἀνάγνωσιν αὐτῆς ποιεῖσθαι. λέγει γοῦν "τὴν σήμερον οὖν κυριακὴν ἁγίαν ἡμέραν διηγάγομεν, ἐν ᾗ ἀνέγνωμεν ὑμῶν τὴν ἐπιστολήν, ἣν ἕξομεν ἀεί ποτε ἀναγινώσκοντες νουθετεῖσθαι, ὡς καὶ τὴν προτέραν ἡμῖν διὰ Κλήμεντος γραφεῖσαν." 12. ἔτι δὲ ὁ αὐτὸς καὶ περὶ τῶν ἰδίων ἐπιστολῶν ὡς ῥᾳδιουργηθεισῶν ταῦτά φησιν "ἐπιστολὰς γὰρ ἀδελφῶν ἀξιωσάντων με γράψαι ἔγραψα. καὶ ταύτας οἱ τοῦ διαβόλου ἀπόστολοι ζιζανίων γεγέμικαν, ἃ μὲν ἐξαιροῦντες, ἃ δὲ προστιθέντες. οἷς τὸ οὐαὶ κεῖται. οὐ θαυμαστὸν ἄρα εἰ καὶ τῶν κυριακῶν ῥᾳδιουργῆσαί τινες ἐπιβέβληνται γραφῶν, ὁπότε καὶ ταῖς οὐ τοιαύταις ἐπιβεβουλεύκασι." 13. καὶ ἄλλη δέ τις παρὰ ταύτας ἐπιστολὴ τοῦ Διονυσίου φέρεται, Χρυσοφόρᾳ

πιστοτάτῃ ἀδελφῇ ἐπιστείλαντος, ᾗ τὰ κατάλληλα γράφων τῆς προσηκούσης καὶ αὐτῇ μετεδίδου λογικῆς τροφῆς. καὶ τὰ μὲν τοῦ Διονυσίου τοσαῦτα.

XXIV. [Nic. H. E. IV, 9.] Τοῦ δὲ Θεοφίλου, ὃν τῆς Ἀντιοχέων ἐκκλησίας ἐπίσκοπον δεδηλώκαμεν, τρία τὰ πρὸς Αὐτόλυκον στοιχειώδη φέρεται συγγράμματα, καὶ ἄλλο πρὸς τὴν αἵρεσιν Ἑρμογένους τὴν ἐπιγραφὴν ἔχον, ἐν ᾧ ἐκ τῆς ἀποκαλύψεως Ἰωάννου κέχρηται μαρτυρίαις, καὶ ἕτερα δέ τινα κατηχητικὰ αὐτοῦ βιβλία. τῶν γε μὴν αἱρετικῶν οὐδὲν χεῖρον καὶ τότε, ζιζανίων δίκην, λυμαινομένων τὸν εἰλικρινῆ τῆς ἀποστολικῆς διδασκαλίας σπόρον, οἱ πανταχόσε τῶν ἐκκλησιῶν ποιμένες ὥσπερ τινὰς θῆρας ἀγρίους τῶν Χριστοῦ προβάτων ἀποσοβοῦντες αὐτοὺς ἀνεῖργον, τοτὲ μὲν ταῖς πρὸς τοὺς ἀδελφοὺς νουθεσίαις καὶ παραινέσεσι, τοτὲ δὲ πρὸς αὐτοὺς γυμνότερον ἀποδυόμενοι, ἀγράφοις τε εἰς πρόσωπον ζητήσεσι καὶ ἀνατροπαῖς, ἤδη δὲ καὶ δι' ἐγγράφων ὑπομνημάτων τὰς δόξας αὐτῶν ἀκριβεστάτοις ἐλέγχοις διευθύνοντες. ὅ γέ τοι Θεόφιλος σὺν τοῖς ἄλλοις κατὰ τούτων στρατευσάμενος δῆλός ἐστιν ἀπό τινος οὐκ ἀγεννῶς αὐτῷ κατὰ Μαρκίωνος πεπονημένου λόγου, ὃς καὶ αὐτὸς μεθ' ὧν ἄλλων εἰρήκαμεν εἰσέτι νῦν διασέσωσται. τοῦτον μὲν οὖν ἕβδομος ἀπὸ τῶν ἀποστόλων τῆς Ἀντιοχέων ἐκκλησίας διαδέχεται Μαξιμῖνος.

XXV. [Nic. H. E. IV, 9.] Φίλιππός γε μήν, ὃν ἐκ τῶν Διονυσίου φωνῶν τῆς ἐν Γορτύνῃ παροικίας ἐπίσκοπον ἔγνωμεν, πάνυ γε σπουδαιότατον πεποίηται καὶ αὐτὸς κατὰ Μαρκίωνος λόγον, Εἰρηναῖος δὲ ὡσαύτως καὶ Μόδεστος, ὃς καὶ διαφερόντως παρὰ τοὺς ἄλλους τὴν τοῦ ἀνδρὸς εἰς ἔκδηλον τοῖς πᾶσι

κατεφώρασε πλάνην, καὶ ἄλλοι δὲ πλείους, ὧν παρὰ πλείστοις τῶν ἀδελφῶν εἰσέτι νῦν οἱ πόνοι διαφυλάττονται.

XXVI. [Nic. H. E. IV, 10.] Ἐπὶ τῶνδε καὶ Μελίτων τῆς ἐν Σάρδεσι παροικίας ἐπίσκοπος, Ἀπολινάριός τε τῆς ἐν Ἱεραπόλει διαπρεπῶς ἤκμαζον, οἳ καὶ τῷ δηλωθέντι κατὰ τοὺς χρόνους Ῥωμαίων βασιλεῖ λόγους ὑπὲρ τῆς πίστεως ἰδίως ἑκάτερος ἀπολογίας προσεφώνησαν. 2. τούτων εἰς ἡμετέραν γνῶσιν ἀφῖκται τὰ ὑποτεταγμένα· Μελίτωνος τὰ περὶ τοῦ πάσχα δύο, καὶ τὰ περὶ πολιτείας καὶ προφητῶν, καὶ ὁ περὶ ἐκκλησίας, καὶ ὁ περὶ κυριακῆς λόγος, ἔτι δὲ ὁ περὶ φύσεως ἀνθρώπου, καὶ ὁ περὶ πλάσεως, καὶ ὁ περὶ ὑπακοῆς πίστεως [καὶ ὁ περὶ] αἰσθητηρίων, καὶ πρὸς τούτοις ὁ περὶ ψυχῆς καὶ σώματος ἢ νοός, καὶ ὁ περὶ λουτροῦ, καὶ ὁ περὶ ἀληθείας, καὶ περὶ κτίσεως καὶ γενέσεως Χριστοῦ, καὶ λόγος αὐτοῦ περὶ προφητείας, καὶ ὁ περὶ φιλοξενίας, καὶ ἡ κλείς, καὶ τὰ περὶ τοῦ διαβόλου, καὶ τῆς ἀποκαλύψεως Ἰωάννου, καὶ ὁ περὶ ἐνσωμάτου θεοῦ, ἐπὶ πᾶσι καὶ τὸ πρὸς Ἀντωνῖνον βιβλίδιον. 3. ἐν μὲν οὖν τοῖς περὶ τοῦ πάσχα τὸν χρόνον, καθ' ὃν συνέταττεν, ἀρχόμενος σημαίνει ἐν τούτοις "ἐπὶ Σερουιλλίου Παύλου ἀνθυπάτου τῆς Ἀσίας, ᾧ Σάγαρις καιρῷ ἐμαρτύρησεν, ἐγένετο ζήτησις πολλὴ ἐν Λαοδικείᾳ περὶ τοῦ πάσχα, ἐμπεσόντος κατὰ καιρὸν ἐν ἐκείναις ταῖς ἡμέραις, καὶ ἐγράφη ταῦτα." 4. τούτου δὲ τοῦ λόγου μέμνηται Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν ἰδίῳ περὶ τοῦ πάσχα λόγῳ, ὃν ὡς ἐξ αἰτίας τῆς τοῦ Μελίτωνος γραφῆς φησὶν ἑαυτὸν συντάξαι. 5. ἐν δὲ τῷ πρὸς τὸν αὐτοκράτορα βιβλίῳ τοιαῦτά τινα καθ' ἡμῶν ἐπ' αὐτοῦ γεγονέναι ἱστορεῖ "τὸ γὰρ οὐδεπώποτε γενόμενον, νῦν

διώκεται τὸ τῶν θεοσεβῶν γένος, καινοῖς ἐλαυνόμενον δόγμασι κατὰ τὴν Ἀσίαν. οἱ γὰρ ἀναιδεῖς συκοφάνται καὶ τῶν ἀλλοτρίων ἐρασταί, τὴν ἐκ τῶν διαταγμάτων ἔχοντες ἀφορμήν, φανερῶς ληστεύουσι, νύκτωρ καὶ μεθ' ἡμέραν διαρπάζοντες τοὺς μηδὲν ἀδικοῦντας." 6. καὶ μεθ' ἕτερά φησι "καὶ εἰ μὲν σοῦ κελεύσαντος ταῦτα πράττεται, ἔστω καλῶς γινόμενον. δίκαιος γὰρ βασιλεὺς οὐκ ἂν ἀδίκως βουλεύσαιτο πώποτε. καὶ ἡμεῖς ἡδέως φέρομεν τοῦ τοιούτου θανάτου τὸ γέρας. ταύτην δέ σοι μόνην προσφέρομεν δέησιν, ἵνα αὐτὸς πρότερον ἐπιγνοὺς τοὺς τῆς τοιαύτης φιλονεικίας ἐργάτας δικαίως κρίνειας, εἰ ἄξιοι θανάτου καὶ τιμωρίας ἢ σωτηρίας καὶ ἡσυχίας εἰσίν. εἰ δὲ καὶ παρὰ σοῦ μὴ εἴη ἡ βουλὴ αὕτη καὶ τὸ καινὸν τοῦτο διάταγμα, ὃ μηδὲ κατὰ βαρβάρων πρέπει πολεμίων, πολὺ μᾶλλον δεόμεθά σου μὴ περιιδεῖν ἡμᾶς ἐν τοιαύτῃ δημώδει λεηλασίᾳ." 7. τούτοις αὖθις ἐπιφέρει λέγων "ἡ γὰρ καθ' ἡμᾶς φιλοσοφία πρότερον μὲν ἐν βαρβάροις ἤκμασεν, ἐπανθήσασα δὲ τοῖς σοῖς ἔθνεσι κατὰ τὴν Αὐγούστου τοῦ σοῦ προγόνου μεγάλην ἀρχήν, ἐγενήθη μάλιστα τῇ σῇ βασιλείᾳ αἴσιον ἀγαθόν. ἔκτοτε γὰρ εἰς μέγα καὶ λαμπρὸν τὸ Ῥωμαίων ηὐξήθη κράτος, οὗ σὺ διάδοχος εὐκταῖος γέγονάς τε καὶ ἔσῃ μετὰ τοῦ παιδός, φυλάσσων τῆς βασιλείας τὴν σύντροφον καὶ συναρξαμένην Αὐγούστῳ φιλοσοφίαν, ἣν καὶ οἱ πρόγονοί σου πρὸς ταῖς ἄλλαις θρησκείαις ἐτίμησαν. 8. καὶ τοῦτο μέγιστον τεκμήριον τοῦ πρὸς ἀγαθοῦ τὸν καθ' ἡμᾶς λόγον συνακμάσαι τῇ καλῶς ἀρξαμένῃ βασιλείᾳ, ἐκ τοῦ μηδὲν φαῦλον ἀπὸ τῆς Αὐγούστου ἀρχῆς ἀπαντῆσαι, ἀλλὰ τοὐναντίον ἅπαντα λαμπρὰ καὶ ἔνδοξα κατὰ τὰς

"πάντων εὐχάς. 9. μόνοι πάντων ἀναπεισθέντες ὑπό τινων βασκάνων ἀνθρώπων τὸν καθ' ἡμᾶς ἐν διαβολῇ καταστῆσαι λόγον ἠθέλησαν Νέρων καὶ Δομετιανός, ἀφ' ὧν καὶ τὸ τῆς συκοφαντίας ἀλόγῳ συνηθείᾳ περὶ τοὺς τοιούτους ῥυῆναι συμβέβηκε ψεῦδος. 10. ἀλλὰ τὴν ἐκείνων ἄγνοιαν οἱ σοὶ εὐσεβεῖς πατέρες ἐπηνωρθώσαντο, πολλάκις πολλοῖς ἐπιπλήξαντες ἐγγράφως, ὅσοι περὶ τούτων νεωτερίσαι ἐτόλμησαν. ἐν οἷς ὁ μὲν πάππος σου Ἀδριανὸς πολλοῖς μὲν καὶ ἄλλοις, καὶ Φουνδανῷ δὲ τῷ ἀνθυπάτῳ, ἡγουμένῳ δὲ τῆς Ἀσίας, γράφων φαίνεται, ὁ δὲ πατήρ σου, καὶ σοῦ τὰ σύμπαντα διοικοῦντος αὐτῷ, ταῖς πόλεσι περὶ τοῦ μηδὲν νεωτερίζειν περὶ ἡμῶν ἔγραψεν, ἐν οἷς καὶ πρὸς Λαρισαίους καὶ πρὸς Θεσσαλονικεῖς καὶ Ἀθηναίους καὶ πρὸς πάντας Ἕλληνας. 11. σὲ δὲ καὶ μᾶλλον περὶ τούτων τὴν αὐτὴν ἐκείνοις ἔχοντα γνώμην, καὶ πολύ γε φιλανθρωποτέραν καὶ φιλοσοφωτέραν, πεπείσμεθα πάντα πράσσειν ὅσα σου δεόμεθα." 12. ἀλλὰ ταῦτα μὲν ἐν τῷ δηλωθέντι τέθειται λόγῳ. ἐν δὲ ταῖς γραφείσαις αὐτῷ ἐκλογαῖς ὁ αὐτὸς κατὰ τὸ προοίμιον αὐτὸ ἀρχόμενος τῶν ὁμολογουμένων τῆς παλαιᾶς διαθήκης γραφῶν ποιεῖται κατάλογον, ὃν καὶ ἀναγκαῖον ἐνταῦθα καταλέξαι. 13. γράφει δὲ οὕτως "Μελίτων Ὀνησίμῳ τῷ ἀδελφῷ χαίρειν. ἐπειδὴ πολλάκις ἠξίωσας σπουδῇ τῇ πρὸς τὸν λόγον χρώμενος γενέσθαι ἐκλογάς σοι ἔκ τε τοῦ νόμου καὶ τῶν προφητῶν περὶ τοῦ σωτῆρος καὶ πάσης τῆς πίστεως ἡμῶν, ἔτι δὲ καὶ μαθεῖν τὴν τῶν παλαιῶν βιβλίων ἐβουλήθης ἀκρίβειαν, πόσα τὸν ἀριθμὸν καὶ ὁποῖα τὴν τάξιν εἶεν, ἐσπούδασα τὸ τοιοῦτο πρᾶξαι, ἐπιστάμενός σου τὸ σπουδαῖον περὶ τὴν πίστιν καὶ φιλομαθὲς περὶ τὸν λόγον,

"ὅτι τε μάλιστα πάντων πόθῳ τῷ πρὸς θεὸν ταῦτα προκρίνεις, περὶ τῆς αἰωνίου σωτηρίας ἀγωνιζόμενος. 14. ἀνελθὼν οὖν εἰς τὴν ἀνατολὴν, καὶ ἕως τοῦ τόπου γενόμενος ἔνθα ἐκηρύχθη καὶ ἐπράχθη, καὶ ἀκριβῶς μαθὼν τὰ τῆς παλαιᾶς διαθήκης βιβλία, ὑποτάξας ἔπεμψά σοι· ὧν ἐστὶ τὰ ὀνόματα· Μωυσέως πέντε, Γένεσις, Ἔξοδος, Ἀριθμοὶ, Λευιτικὸν, Δευτερονόμιον. Ἰησοῦς Ναυῆ, Κριταὶ, Ῥούθ· Βασιλειῶν τέσσαρα, Παραλειπομένων δύο. Ψαλμῶν Δαβὶδ, Σολομῶνος Παροιμίαι, ἣ καὶ Σοφία, Ἐκκλησιαστὴς, Ἆισμα Ἀισμάτων, Ἰώβ. Προφητῶν, Ἡσαΐου, Ἱερεμίου· τῶν δώδεκα ἐν μονοβίβλῳ· Δανιὴλ, Ἰεζεκιὴλ, Ἔσδρας. ἐξ ὧν καὶ τὰς ἐκλογὰς ἐποιησάμην, εἰς ἓξ βιβλία διελών." καὶ τὰ μὲν τοῦ Μελίτωνος τοσαῦτα.

XXVII. [Nic. H. E. IV, 11.] Τοῦ δὲ Ἀπολιναρίου πολλῶν παρὰ πολλοῖς σωζομένων τὰ εἰς ἡμᾶς ἐλθόντα ἐστὶ τάδε· λόγος ὁ πρὸς τὸν εἰρημένον βασιλέα, καὶ πρὸς Ἕλληνας συγγράμματα πέντε, καὶ περὶ ἀληθείας πρῶτον καὶ δεύτερον, καὶ πρὸς Ἰουδαίους πρῶτον καὶ δεύτερον, καὶ ἃ μετὰ ταῦτα συνέγραψε κατὰ τῆς τῶν Φρυγῶν αἱρέσεως μετ' οὐ πολὺν καινοτομηθείσης χρόνον, τότε γε μὴν ὥσπερ ἐκφύειν ἀρχομένης, ἔτι τοῦ Μοντανοῦ ἅμα ταῖς αὐτοῦ ψευδοπροφήτισιν ἀρχὰς τῆς παρεκτροπῆς ποιουμένου.

XXVIII. [Nic. H. E. IV, 11.] Καὶ Μουσανοῦ δὲ, ὃν ἐν τοῖς φθάσασι κατελέξαμεν, φέρεταί τις ἐπιστρεπτικώτατος λόγος πρός τινας αὐτῷ γραφεὶς ἀδελφοὺς, ἀποκλίναντας ἐπὶ τὴν τῶν λεγομένων Ἐγκρατητῶν αἵρεσιν, ἄρτι τότε φύειν ἀρχομένην, ξένην τε καὶ φθοριμαίαν ψευδοδοξίαν εἰσάγουσαν τῷ βίῳ, ἧς παρεκτροπῆς ἀρχηγὸν καταστῆναι Τατιανὸν λόγος ἔχει·

XXIX. οὗ μικρῷ πρόσθεν τὰς περὶ τοῦ θαυμασίου Ἰουστίνου παρατεθείμεθα λέξεις, μαθητὴν αὐτὸν ἱστοροῦντες τοῦ μάρτυρος. δηλοῖ δὲ Εἰρηναῖος ἐν τῷ πρώτῳ τῶν πρὸς τὰς αἱρέσεις, ὁμοῦ τά τε περὶ αὐτοῦ καὶ τῆς κατ' αὐτὸν αἱρέσεως οὕτω γράφων 2. "ἀπὸ Σατορνίνου καὶ Μαρκίωνος οἱ καλούμενοι Ἐγκρατεῖς ἀγαμίαν ἐκήρυξαν, ἀθετοῦντες τὴν ἀρχαίαν πλάσιν τοῦ θεοῦ, καὶ ἠρέμα κατηγοροῦντες τοῦ ἄρρεν καὶ θῆλυ εἰς γένεσιν ἀνθρώπων πεποιηκότος· καὶ τῶν λεγομένων παρ' αὐτοῖς ἐμψύχων ἀποχὴν εἰσηγήσαντο, ἀχαριστοῦντες τῷ πάντα πεποιηκότι θεῷ· ἀντιλέγουσί τε τῇ τοῦ πρωτοπλάστου σωτηρίᾳ. 3. καὶ τοῦτο νῦν ἐξηυρέθη παρ' αὐτοῖς, Τατιανοῦ τινος πρώτως ταύτην εἰσενέγκαντος τὴν βλασφημίαν, ὃς Ἰουστίνου ἀκροατὴς γεγονώς, ἐφ' ὅσον μὲν συνῆν ἐκείνῳ, οὐδὲν ἐξέφηνε τοιοῦτον, μετὰ δὲ τὴν ἐκείνου μαρτυρίαν ἀποστὰς τῆς ἐκκλησίας, οἰήματι διδασκάλου ἐπαρθεὶς καὶ τυφωθεὶς ὡς διαφέρων τῶν λοιπῶν, ἴδιον χαρακτῆρα διδασκαλείου συνεστήσατο, αἰῶνάς τινας ἀοράτους ὁμοίως τοῖς ἀπὸ Οὐαλεντίνου μυθολογήσας, τὸν γάμον τε φθορὰν καὶ πορνείαν παραπλησίως Μαρκίωνι καὶ Σατορνίνῳ ἀναγορεύσας, τῇ δὲ τοῦ Ἀδὰμ σωτηρίᾳ παρ' ἑαυτοῦ τὴν αἰτιολογίαν ποιησάμενος." 4. ταῦτα μὲν ὁ Εἰρηναῖος τότε· σμικρῷ δὲ ὕστερον Σευῆρός τις τοὔνομα κρατύνας τὴν προδεδηλωμένην αἵρεσιν αἴτιος τοῖς ἐξ αὐτῆς ὡρμημένοις τῆς ἀπ' αὐτοῦ παρηγμένης Σευηριανῶν προσηγορίας γέγονε. 5. χρῶνται μὲν οὖν οὗτοι νόμῳ καὶ προφήταις καὶ εὐαγγελίοις, ἰδίως ἑρμηνεύοντες τῶν ἱερῶν τὰ νοήματα

6 Iren. Adv. haer. I, 28, 1. p. 106.

γραφῶν· βλασφημοῦντες δὲ Παῦλον τὸν ἀπόστολον ἀθετοῦσιν αὐτοῦ τὰς ἐπιστολάς, μηδὲ τὰς Πράξεις τῶν ἀποστόλων καταδεχόμενοι. 6. ὁ μέντοι γε πρότερος αὐτῶν ἀρχηγὸς ὁ Τατιανὸς συνάφειάν τινα καὶ συναγωγὴν οὐκ οἶδ' ὅπως τῶν εὐαγγελίων συνθεὶς τὸ διὰ τεσσάρων τοῦτο προσωνόμασεν, ὃ καὶ παρά τισιν εἰσέτι νῦν φέρεται. τοῦ δὲ ἀποστόλου φασὶ τολμῆσαί τινας αὐτὸν μεταφράσαι φωνάς, ὡς ἐπιδιορθούμενον αὐτῶν τὴν τῆς φράσεως σύνταξιν. 7. καταλέλοιπε δὲ οὗτος πολύ τι πλῆθος συγγραμμάτων, ὧν μάλιστα παρὰ πολλοῖς μνημονεύεται διαβόητος αὐτοῦ λόγος ὁ πρὸς Ἕλληνας, ἐν ᾧ τῶν ἀνέκαθεν χρόνων μνημονεύσας τῶν παρ' Ἕλλησιν εὐδοκίμων ἁπάντων προγενέστερον Μωυσέα τε καὶ τοὺς Ἑβραίων προφήτας ἀπέφηνεν, ὃς δὴ καὶ δοκεῖ τῶν συγγραμμάτων ἁπάντων αὐτοῦ κάλλιστός τε καὶ ὠφελιμώτατος ὑπάρχειν. καὶ τὰ μὲν κατὰ τούσδε τοιαῦτα ἦν.

XXX. [Nic. H. E. IV, 11.] Ἐπὶ δὲ τῆς αὐτῆς βασιλείας πληθουσῶν τῶν αἱρέσεων ἐπὶ τῆς μέσης τῶν ποταμῶν Βαρδησάνης, ἱκανώτατός τις ἀνὴρ, ἔν τε τῇ Σύρων φωνῇ διαλεκτικώτατος, πρὸς τοὺς κατὰ Μαρκίωνα καί τινας ἑτέρους διαφόρων προϊσταμένους δογμάτων διαλόγους συστησάμενος, τῇ οἰκείᾳ παρέδωκε γλώττῃ τε καὶ γραφῇ, μετὰ καὶ πλείστων ἑτέρων αὐτοῦ συγγραμμάτων· οὓς οἱ γνώριμοι (πλεῖστοι δὲ ἦσαν αὐτῷ δυνατῶς τῷ λόγῳ παρισταμένῳ) ἐπὶ τὴν Ἑλλήνων ἀπὸ τῆς Σύρων μεταβεβλήκασι φωνῆς. 2. ἐν οἷς ἐστι καὶ ὁ πρὸς Ἀντωνῖνον ἱκανώτατος αὐτοῦ περὶ εἱμαρμένης διάλογος, ὅσα τε ἄλλα φασὶν αὐτὸν προφάσει τοῦ τότε διωγμοῦ συγγράψαι. 3. ἦν δ' ἄρα οὗτος πρότερον τῆς κατὰ Οὐαλεντῖνον σχολῆς, καταγνοὺς δὲ ταύτης, πλεῖστά τε τῆς κατὰ

τοῦτον μυθοποιίας ἀπελέγξας, ἐδόκει μέν πως αὐτὸς ἑαυτῷ ἐπὶ τὴν ὀρθοτέραν γνώμην μετατεθεῖσθαι, οὐ μὴν παντελῶς γε ἀπερρύψατο τὸν τῆς παλαιᾶς αἱρέσεως ῥύπον. ἐν τούτῳ γε μὴν καὶ ὁ τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Σωτὴρ τελευτᾷ.

ΛΟΓΟΣ Ε.

[Προοίμιον.] Ὁ μὲν οὖν τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Σωτὴρ ἐπὶ ὄγδοον ἔτος ἡγησάμενος τελευτᾷ τὸν βίον. τοῦτον δωδέκατος ἀπὸ τῶν ἀποστόλων Ἐλεύθερος διαδέχεται· ἔτος δ' ἦν ἑπτακαιδέκατον αὐτοκράτορος Ἀντωνίνου Οὐήρου, ἐν ᾧ κατά τινα μέρη τῆς γῆς σφοδρότερον ἀναρριπισθέντος τοῦ καθ' ἡμῶν διωγμοῦ ἐξ ἐπιθέσεως τῶν κατὰ πόλεις δήμων μυριάδας μαρτύρων ἀνὰ τὴν οἰκουμένην διαπρέψαι, στοχασμῷ λαβεῖν ἔνεστιν ἀπὸ τῶν καθ' ἓν ἔθνος συμβεβηκότων, ἃ καὶ γραφῇ τοῖς μετέπειτα παραδοθῆναι, ἀλήστου μνήμης ὡς ἀληθῶς ἐπάξια ὄντα, συμβέβηκε. 2. τῆς μὲν οὖν περὶ τούτων ἐντελεστάτης ὑφηγήσεως τὸ πᾶν σύγγραμμα τῇ τῶν μαρτύρων ἡμῖν κατατέτακται συναγωγῇ, οὐχ ἱστορικὴν αὐτὸ μόνον, ἀλλὰ καὶ διδασκαλικὴν περιέχον διήγησιν. ὁπόσα γέ τοι τῆς παρούσης ἔχοιτο πραγματείας, ταῦτ' ἐπὶ τοῦ παρόντος ἀναλεξάμενος παραθήσομαι. 3. ἄλλοι μὲν οὖν ἱστορικὰς ποιούμενοι διηγήσεις πάντως ἂν παρέδωκαν τῇ γραφῇ πολέμων νίκας, καὶ τρόπαια κατ' ἐχθρῶν, στρατηγῶν τε ἀριστείας, καὶ ὁπλιτῶν ἀνδραγαθίας, αἵματι καὶ μυρίοις φόνοις παίδων καὶ πατρίδος καὶ τῆς ἄλλης ἕνεκεν περιου-

σίας μιανθέντων. 4. ὁ δέ γε περὶ τοῦ καθ' ἡμᾶς πολιτεύματος διηγηματικὸς ἡμῖν λόγος τοὺς ὑπὲρ αὐτῆς τῆς κατὰ ψυχὴν εἰρήνης εἰρηνικωτάτους πολέμους, καὶ τοὺς ἐν τούτοις ὑπὲρ ἀληθείας μᾶλλον ἢ πατρίδος, καὶ μᾶλλον ὑπὲρ εὐσεβείας ἢ τῶν φιλτάτων ἀνδρισαμένους αἰωνίαις ἀναγράψεται στήλαις, τῶν εὐσεβείας ἀθλητῶν τὰς ἐνστάσεις, καὶ τὰς πολυτλήτους ἀνδρείας, τρόπαιά τε τὰ κατὰ δαιμόνων, καὶ νίκας τὰς κατὰ τῶν ἀοράτων ἀντιπάλων, καὶ τοὺς ἐπὶ πᾶσι τούτοις στεφάνους εἰς αἰώνιον μνήμην ἀνακηρύττων.

I. [Nic. H. E. IV, 16. 17.] Γαλλία μὲν οὖν ἡ χώρα ἦν, καθ' ἣν τὸ τῶν δηλουμένων συνεκροτεῖτο στάδιον, ἧς μητροπόλεις ἐπίσημοι καὶ παρὰ τὰς ἄλλας τῶν αὐτόθι διαφέρουσαι βεβόηνται Λούγδουνος καὶ Βίεννα, δι' ὧν ἀμφοτέρων τὴν ἅπασαν χώραν πολλῷ τῷ ῥεύματι περιρρέων ὁ Ῥοδανὸς ποταμὸς διέξεισι. 2. τὴν οὖν περὶ τῶν μαρτύρων γραφὴν αἱ τῇδε διαφανέσταται ἐκκλησίαι ταῖς κατὰ τὴν Ἀσίαν καὶ Φρυγίαν διαπέμπονται, τὰ παρ' αὐταῖς πραχθέντα τοῦτον ἀνιστοροῦσαι τὸν τρόπον. 3. παραθήσομαι δὲ τὰς αὐτῶν φωνάς "οἱ ἐν Βιέννῃ καὶ Λουγδούνῳ τῆς Γαλ"λίας παροικοῦντες δοῦλοι Χριστοῦ τοῖς κατὰ τὴν "Ἀσίαν καὶ Φρυγίαν τὴν αὐτὴν τῆς ἀπολυτρώσεως "ἡμῖν πίστιν καὶ ἐλπίδα ἔχουσιν ἀδελφοῖς εἰρήνη "καὶ χάρις καὶ δόξα ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ "Ἰησοῦ τοῦ κυρίου ἡμῶν." 4. εἶτα τούτοις ἑξῆς ἕτερα προοιμιασάμενοι τὴν τοῦ λόγου καταρχὴν ποιοῦνται ἐν τούτοις "τὸ μὲν οὖν μέγεθος τῆς ἐνθάδε "θλίψεως καὶ τὴν τοσαύτην τῶν ἐθνῶν εἰς τοὺς ἁγί"ους ὀργὴν, καὶ ὅσα ὑπέμειναν οἱ μακάριοι μάρτυ"ρες, ἐπ' ἀκριβὲς οὔθ' ἡμεῖς εἰπεῖν ἱκανοὶ οὔτε μὴν "γραφῇ περιληφθῆναι δυνατόν. 5. παντὶ γὰρ σθένει

"ἐνέσκηψεν ὁ ἀντικείμενος, προοιμιαζόμενος ἤδη τὴν ἀδεῶς μέλλουσαν ἔσεσθαι παρουσίαν αὐτοῦ, καὶ διὰ πάντων διῆλθεν, ἐθίζων τοὺς ἑαυτοῦ καὶ προγυμνάζων κατὰ τῶν δούλων τοῦ θεοῦ, ὥστε μὴ μόνον οἰκιῶν καὶ βαλανείων καὶ ἀγορᾶς εἴργεσθαι, ἀλλὰ καὶ τὸ καθόλου φαίνεσθαι ἡμῶν τινὰ αὐτοῖς ἀπειρῆσθαι ἐν ὁποίῳ δήποτε τόπῳ. 6. ἀντεστρατήγει δὲ ἡ χάρις τοῦ θεοῦ, καὶ τοὺς μὲν ἀσθενεῖς ἐρρύετο, ἀντιπαρέτασσε δὲ στύλους ἑδραίους, δυναμένους διὰ τῆς ὑπομονῆς πᾶσαν τὴν ὁρμὴν τοῦ πονηροῦ εἰς ἑαυτοὺς ἑλκύσαι, οἳ καὶ ὁμόσε ἐχώρουν αὐτῷ, πᾶν εἶδος ὀνειδισμοῦ καὶ κολάσεως ἀνεχόμενοι, οἳ καὶ τὰ πολλὰ ὀλίγα ἡγούμενοι ἔσπευδον πρὸς Χριστὸν, ὄντως ἐπιδεικνύμενοι ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. 7. καὶ πρῶτον μὲν τὰ ἀπὸ τοῦ ὄχλου πανδημεὶ σωρηδὸν ἐπιφερόμενα γενναίως ὑπέμενον, ἐπιβοήσεις καὶ πληγὰς καὶ συρμοὺς καὶ διαρπαγὰς καὶ λίθων βολὰς καὶ συγκλείσεις καὶ πάνθ' ὅσα ἠγριωμένῳ πλήθει ὡς πρὸς ἐχθροὺς καὶ πολεμίους φιλεῖ γίνεσθαι. 8. καὶ δὴ ἀναχθέντες εἰς τὴν ἀγορὰν ὑπό τε τοῦ χιλιάρχου καὶ τῶν προεστηκότων τῆς πόλεως ἐξουσιῶν, ἐπὶ παντὸς τοῦ πλήθους ἀνακριθέντες καὶ ὁμολογήσαντες, συνεκλείσθησαν εἰς τὴν εἱρκτὴν ἕως τοῦ ἡγεμόνος τῆς παρουσίας 9. μετέπειτα δὲ ἐπὶ τὸν ἡγεμόνα ἀχθέντων αὐτῶν, κἀκείνου πάσῃ τῇ πρὸς ἡμᾶς ὠμότητι χρωμένου, Οὐέττιος Ἐπάγαθος, εἷς ἐκ τῶν ἀδελφῶν, πλήρωμα ἀγάπης τῆς πρὸς τὸν θεὸν καὶ πρὸς τὸν πλησίον κεχωρηκὼς — οὗ καὶ ἐπὶ τοσοῦτον

---

14 Rom. 8, 18.

"ἠκρίβωτο ἡ πολιτεία, ὡς καίπερ ὄντα νέον συνεξισοῦσθαι τῇ τοῦ πρεσβυτέρου Ζαχαρίου μαρτυρίᾳ· πεπόρευτο γοῦν ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου ἄμεμπτος, πάσῃ τῇ πρὸς τὸν πλησίον λειτουργίᾳ ἄοκνος, ζῆλον θεοῦ πολὺν ἔχων, καὶ ζέων τῷ πνεύματι — τοιοῦτος δή τις ὢν τὴν οὕτως καθ᾽ ἡμῶν ἀλόγως γινομένην κρίσιν οὐκ ἐβάστασεν, ἀλλ᾽ ὑπερηγανάκτησε, καὶ ἠξίου καὶ αὐτὸς ἀκουσθῆναι ἀπολογούμενος ὑπὲρ τῶν ἀδελφῶν, ὅτι μηδὲν ἄθεον μηδὲ ἀσεβές ἐστιν ἐν ἡμῖν. 10. τῶν δὲ περὶ τὸ βῆμα καταβοησάντων αὐτοῦ, (καὶ γὰρ ἦν ἐπίσημος), καὶ τοῦ ἡγεμόνος μὴ ἀνασχομένου τῆς οὕτως ὑπ᾽ αὐτοῦ δικαίας προταθείσης ἀξιώσεως, ἀλλὰ μόνον τοῦτο πυθομένου, εἰ καὶ αὐτὸς εἴη Χριστιανὸς, τοῦ δὲ λαμπροτάτῃ φωνῇ ὁμολογήσαντος, ἀνελήφθη καὶ αὐτὸς εἰς τὸν κλῆρον τῶν μαρτύρων, παράκλητος Χριστιανῶν χρηματίσας, ἔχων δὲ τὸν παράκλητον ἐν ἑαυτῷ, τὸ πνεῦμα πλέον τοῦ Ζαχαρίου, ὃ διὰ τοῦ πληρώματος τῆς ἀγάπης ἐνεδείξατο, εὐδοκήσας ὑπὲρ τῆς τῶν ἀδελφῶν ἀπολογίας καὶ τὴν ἑαυτοῦ θεῖναι ψυχήν. ἦν γὰρ καὶ ἔστι γνήσιος Χριστοῦ μαθητὴς, ἀκολουθῶν τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ. 11. ἐντεῦθεν δὴ διεκρίνοντο οἱ λοιποὶ, καὶ φανεροὶ καὶ ἕτοιμοι ἐγίνοντο πρωτομάρτυρες, οἳ καὶ μετὰ πάσης προθυμίας ἀνεπλήρουν τὴν ὁμολογίαν τῆς μαρτυρίας, ἐφαίνοντο δὲ καὶ οἱ ἀνέτοιμοι καὶ ἀγύμναστοι καὶ ἔτι ἀσθενεῖς, ἀγῶνος μεγάλου τόνον ἐνεγκεῖν μὴ δυνάμενοι, ὧν καὶ ἐξέτρωσαν ὡς δέκα τὸν ἀριθμὸν, οἳ καὶ μεγάλην λύπην καὶ πένθος ἀμέτρητον ἐνεποίησαν ἡμῖν, καὶ τὴν προθυμίαν τῶν

---

22 Apoc. 14, 4.

λοιπῶν τῶν μὴ συνειλημμένων ἐνέκοψαν, οἳ καίπερ πάντα τὰ δεινὰ πάσχοντες ὅμως συμπαρῆσαν τοῖς μάρτυσι καὶ οὐκ ἀπελείποντο αὐτῶν. 12. τότε δὴ οἱ πάντες μεγάλως ἐπτοήθημεν, διὰ τὸ ἄδηλον τῆς ὁμολογίας, οὐ τὰς ἐπιφερομένας κολάσεις φοβούμενοι, ἀλλὰ τὸ τέλος ἀφορῶντες, καὶ τὸ ἀποπεσεῖν τινὰ δεδιότες. 13. συνελαμβάνοντο μέντοι καθ' ἑκάστην ἡμέραν οἱ ἄξιοι, τὸν ἐκείνων ἀναπληροῦντες ἀριθμὸν, ὥστε συλλεγῆναι ἐκ τῶν δύο ἐκκλησιῶν πάντας τοὺς σπουδαίους, καὶ δι' ὧν μάλιστα συνειστήκει τὰ ἐνθάδε. 14. συνελαμβάνοντο δὲ καὶ ἐθνικοί τινες οἰκέται τῶν ἡμετέρων, ἐπεὶ δημοσίᾳ ἐκέλευσεν ὁ ἡγεμὼν ἀναζητεῖσθαι πάντας ἡμᾶς· οἳ καὶ κατ' ἐνέδραν τοῦ σατανᾶ, φοβηθέντες τὰς βασάνους ἃς τοὺς ἁγίους ἔβλεπον πάσχοντας, τῶν στρατιωτῶν ἐπὶ τοῦτο παρορμώντων αὐτοὺς κατεψεύσαντο ἡμῶν Θυέστεια δεῖπνα καὶ Οἰδιποδείους μίξεις καὶ ὅσα μήτε λαλεῖν μήτε νοεῖν θέμις ἡμῖν, ἀλλὰ μηδὲ πιστεύειν, εἴ τι τοιοῦτο πώποτε παρὰ ἀνθρώποις ἐγένετο. 15. τούτων δὲ φημισθέντων πάντες ἀπεθηριώθησαν εἰς ἡμᾶς, ὥστε καὶ εἴ τινες τὸ πρότερον δι' οἰκειότητα ἐμετρίαζον, τότε μεγάλως ἐχαλέπαινον καὶ διεπρίοντο καθ' ἡμῶν. ἐπληροῦτο δὲ τὸ ὑπὸ τοῦ κυρίου ἡμῶν εἰρημένον, ὅτι ἐλεύσεται καιρὸς ἐν ᾧ πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξει λατρείαν προσφέρειν τῷ θεῷ. 16. ἐνταῦθα λοιπὸν ὑπεράνω πάσης ἐξηγήσεως ὑπέμενον κολάσεις οἱ ἅγιοι μάρτυρες, φιλοτιμουμένου τοῦ σατανᾶ καὶ δι' ἐκείνων ῥηθῆναί τι τῶν βλασφήμων. 17. ὑπερβεβλημένως δὲ ἐνέσκηψεν ἡ ὀργὴ πᾶσα καὶ ὄχλου καὶ ἡγεμόνος καὶ στρατιωτῶν εἰς Σάγκτον

24 Ioann. 16, 2.

"τὸν διάκονον ἀπὸ Βιέννης, καὶ εἰς Μάτουρον, νεο-"φώτιστον μὲν, ἀλλὰ γενναῖον ἀγωνιστὴν, καὶ εἰς "Ἄτταλον Περγαμηνὸν τῷ γένει, στῦλον καὶ ἑδραίωμα "τῶν ἐνταῦθα ἀεὶ γεγονότα, καὶ εἰς Βλανδῖναν, δι' "ἧς ἐπέδειξεν ὁ Χριστὸς ὅτι τὰ παρὰ ἀνθρώποις "εὐτελῆ καὶ ἀειδῆ καὶ εὐκαταφρόνητα φαινόμενα με-"γάλης καταξιοῦται παρὰ θεῷ δόξης, διὰ τὴν πρὸς "αὐτὸν ἀγάπην, τὴν ἐν δυνάμει δεικνυμένην, καὶ μὴ "ἐν εἴδει καυχωμένην. 18. ἡμῶν γὰρ πάντων δεδιό-"των, καὶ τῆς σαρκίνης δεσποίνης αὐτῆς, ἥτις ἦν καὶ "αὐτὴ τῶν μαρτύρων μία ἀγωνίστρια, ἀγωνιώσης "μὴ οὐδὲ τὴν ὁμολογίαν δυνήσεται παρρησιάσασθαι "διὰ τὸ ἀσθενὲς τοῦ σώματος, ἡ Βλανδῖνα τοσαύτης "ἐπληρώθη δυνάμεως ὥστε ἐκλυθῆναι καὶ παρεθῆ-"ναι τοὺς κατὰ διαδοχὰς παντὶ τρόπῳ βασανίζοντας "αὐτὴν ἀπὸ ἑωθινῆς ἕως ἑσπέρας, καὶ αὐτοὺς ὁμο-"λογοῦντας ὅτι νενίκηνται, μηδὲν ἔχοντες μηκέτι ὃ "ποιήσουσιν αὐτῇ, καὶ θαυμάζειν ἐπὶ τῷ παραμένειν "ἔμπνουν αὐτὴν, παντὸς τοῦ σώματος διερρωγότος "καὶ ἠνεῳγμένου, καὶ μαρτυρεῖν ὅτι ἓν εἶδος στρε-"βλώσεως ἱκανὸν ἦν πρὸς τὸ ἐξαγαγεῖν τὴν ψυχὴν, "οὐχ ὅτι γε τοιαῦτα καὶ τοσαῦτα. 19. ἀλλ' ἡ μακα-"ρία ὡς γενναῖος ἀθλητὴς ἀνενέαζεν ἐν τῇ ὁμολογίᾳ, "καὶ ἦν αὐτῆς ἀνάληψις καὶ ἀνάπαυσις καὶ ἀναλγη-"σία τῶν συμβαινόντων τὸ λέγειν ὅτι Χριστιανή "εἰμι καὶ παρ' ἡμῖν οὐδὲν φαῦλον γίνεται. 20. ὁ δὲ "Σάγκτος καὶ αὐτὸς ὑπερβεβλημένως καὶ ὑπὲρ πάντα "ἄνθρωπον πάσας τὰς ἐξ ἀνθρώπων αἰκίας γενναίως "ὑπομένων, τῶν ἀνόμων ἐλπιζόντων διὰ τὴν ἐπι-"μονὴν καὶ τὸ μέγεθος τῶν βασάνων ἀκούσεσθαί τι "παρ' αὐτοῦ τῶν μὴ δεόντων, τοσαύτῃ ὑποστάσει "ἀντιπαρετάξατο αὐτοῖς ὥστε μηδὲ τὸ ἴδιον κατειπεῖν

"ὄνομα, μήτε ἔθνους, μήτε πόλεως ὅθεν ἦν, μήτε εἰ δοῦλος ἢ ἐλεύθερος εἴη, ἀλλὰ πρὸς πάντα τὰ ἐπερωτώμενα ἀπεκρίνατο τῇ Ῥωμαϊκῇ φωνῇ 'Χριστιανός εἰμι.' τοῦτο καὶ ἀντὶ ὀνόματος καὶ ἀντὶ πόλεως καὶ ἀντὶ γένους καὶ ἀντὶ παντὸς ἐπαλλήλως ὡμολόγει, ἄλλην δὲ φωνὴν οὐκ ἤκουσαν αὐτοῦ τὰ ἔθνη. 21. ὅθεν δὴ καὶ φιλονεικία μεγάλη τοῦ τε ἡγεμόνος καὶ τῶν βασανιστῶν ἐγένετο πρὸς αὐτόν, ὥστε ὁπότε μηκέτι μηδὲν εἶχον ὃ ποιήσουσιν αὐτῷ, τὸ τελευταῖον χαλκᾶς λεπίδας διαπύρους προσεκόλλων τοῖς τρυφερωτάτοις μέλεσι τοῦ σώματος αὐτοῦ. 22. καὶ ταῦτα μὲν ἐκαίετο, αὐτὸς δὲ παρέμενεν ἀνεπίκαμπτος καὶ ἀνένδοτος, στερρὸς πρὸς τὴν ὁμολογίαν, ὑπὸ τῆς οὐρανίου πηγῆς τοῦ ὕδατος τῆς ζωῆς τοῦ ἐξιόντος ἐκ τῆς νηδύος τοῦ Χριστοῦ δροσιζόμενος καὶ ἐνδυναμούμενος. 23. τὸ δὲ σωμάτιον μάρτυς ἦν τῶν συμβεβηκότων, ὅλον τραῦμα καὶ μώλωψ καὶ συνεσπασμένον καὶ ἀποβεβληκὸς τὴν ἀνθρώπειον ἔξωθεν μορφήν, ἐν ᾧ πάσχων Χριστὸς μεγάλας ἐπετέλει δόξας, καταργῶν τὸν ἀντικείμενον, καὶ εἰς τὴν τῶν λοιπῶν ὑποτύπωσιν ὑποδεικνύων ὅτι μηδὲν φοβερὸν ὅπου πατρὸς ἀγάπη, μηδὲ ἀλγεινὸν ὅπου Χριστοῦ δόξα. 24. τῶν γὰρ ἀνόμων μεθ' ἡμέρας πάλιν στρεβλούντων τὸν μάρτυρα, καὶ νομιζόντων ὅτι οἰδούντων καὶ φλεγμαινόντων τῶν σωμάτων εἰ τὰ αὐτὰ προσενέγκοιεν κολαστήρια, περιέσοιντο αὐτοῦ, ὁπότε οὐδὲ τὴν ἀπὸ τῶν χειρῶν ἁφὴν ἠνείχετο, ἢ ὅτι ἐναποθανὼν ταῖς βασάνοις φόβον ἐμποιήσειε τοῖς λοιποῖς, οὐ μόνον οὐδὲν περὶ αὐτὸν τοιοῦτο συνέβη, ἀλλὰ καὶ παρὰ πᾶσαν δόξαν ἀνθρώπων ἀνέκυψε καὶ ἀνωρθώθη τὸ σωμάτιον ἐν ταῖς μετέπειτα βασάνοις, καὶ τὴν ἰδέαν ἀπέλαβε

τὴν προτέραν καὶ τὴν χρῆσιν τῶν μελῶν, ὥστε μὴ κόλασιν, ἀλλ' ἴασιν διὰ τῆς χάριτος τοῦ Χριστοῦ τὴν δευτέραν στρέβλωσιν αὐτῷ γενέσθαι. 25. καὶ Βιβλιάδα δέ τινα, μίαν τῶν ἠρνημένων, ἤδη δοκῶν ὁ διάβολος καταπεπωκέναι, θελήσας δὲ καὶ διὰ βλασφημίας κατακρῖναι, ἦγεν ἐπὶ κόλασιν, ἀναγκάζων εἰπεῖν τὰ ἄθεα περὶ ἡμῶν, ὡς εὔθραυστον ἤδη καὶ ἄνανδρον. 26. ἡ δὲ ἐν τῇ στρεβλώσει ἀνένηψε, καὶ ὡσὰν εἰπεῖν ἐκ βαθέος ὕπνου ἀνεγρηγόρησεν, ὑπομνησθεῖσα διὰ τῆς προσκαίρου τιμωρίας τὴν αἰώνιον ἐν γεέννῃ κόλασιν, καὶ ἐξ ἐναντίας ἀντεῖπε τοῖς βλασφήμοις φήσασα 'πῶς ἂν παιδία φάγοιεν οἱ τοιοῦτοι, οἷς μηδὲ ἀλόγων ζῴων αἷμα φαγεῖν ἐξόν;' καὶ ἀπὸ τοῦδε Χριστιανὴν ἑαυτὴν ὡμολόγει, καὶ ἐν τῷ κλήρῳ τῶν μαρτύρων προσετέθη. 27. καταργηθέντων δὲ τῶν τυραννικῶν κολαστηρίων ὑπὸ τοῦ Χριστοῦ διὰ τῆς τῶν μακαρίων ὑπομονῆς, ἑτέρας μηχανὰς ὁ διάβολος ἐπενόει, τὰς κατὰ τὴν εἱρκτὴν ἐν τῷ σκότει καὶ τῷ χαλεπωτάτῳ χωρίῳ συγκλείσεις, καὶ τὰς ἐν τῷ ξύλῳ διατάσεις τῶν ποδῶν, ἐπὶ πέμπτον διατεινομένων τρύπημα, καὶ τὰς λοιπὰς αἰκίας, ὅσας εἰώθασιν ὀργιζόμενοι ὑπουργοί, καὶ ταῦτα διαβόλου πλήρεις, διατιθέναι τοὺς ἐγκλειομένους, ὥστε ἀποπνιγῆναι τοὺς πλείστους ἐν τῇ εἱρκτῇ, ὅσους γε ὁ κύριος οὕτως ἐξελθεῖν ἠθέλησεν, ἐπιδεικνύων τὴν αὑτοῦ δόξαν. 28. οἱ μὲν γὰρ βασανισθέντες πικρῶς, ὥστε δοκεῖν μηδὲ τῆς θεραπείας πάσης τυχόντας ἔτι ζῆσαι δύνασθαι, παρέμενον ἐν τῇ εἱρκτῇ ἔρημοι μὲν τῆς παρὰ ἀνθρώπων ἐπιμελείας, ἀναρρωννύμενοι δὲ ὑπὸ κυρίου καὶ ἐνδυναμούμενοι καὶ σώματι καὶ ψυχῇ, καὶ τοὺς λοιποὺς παρορμῶντες καὶ παραμυθούμενοι. οἱ δὲ νεαροὶ καὶ ἄρτι συνειλημ-

μένοι, ὧν μὴ προκατήκιστο τὰ σώματα, τὸ βάρος οὐκ ἔφερον τῆς συγκλείσεως, ἀλλ᾽ ἔνδον ἐναπέθνησκον. 29. ὁ δὲ μακάριος Ποθεινὸς, ὁ τὴν διακονίαν τῆς ἐπισκοπῆς ἐν Λουγδούνῳ πεπιστευμένος, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη τῆς ἡλικίας γεγονὼς, καὶ πάνυ ἀσθενὴς τῷ σώματι, μόλις μὲν ἐμπνέων διὰ τὴν προκειμένην σωματικὴν ἀσθένειαν, ὑπὸ δὲ προθυμίας πνεύματος ἀναῤῥωννύμενος διὰ τὴν ἐγκειμένην τῆς μαρτυρίας ἐπιθυμίαν, καὶ αὐτὸς ἐπὶ τὸ βῆμα ἐσύρετο, τοῦ μὲν σώματος καὶ ὑπὸ τοῦ γήρως καὶ ὑπὸ τῆς νόσου λελυμένου, τηρουμένης δὲ τῆς ψυχῆς ἐν αὐτῷ, ἵνα δι᾽ αὐτῆς Χριστὸς θριαμβεύσῃ. 30. ὃς ὑπὸ τῶν στρατιωτῶν ἐπὶ τὸ βῆμα κομισθεὶς, παραπεμπόντων αὐτὸν τῶν πολιτικῶν ἐξουσιῶν καὶ παντὸς τοῦ πλήθους, ἐπιβοήσεις παντοίας ποιουμένων, ὡς αὐτοῦ ὄντος τοῦ κυρίου, ἀπεδίδου τὴν καλὴν μαρτυρίαν. 31. ἀνεταζόμενος δὲ ὑπὸ τοῦ ἡγεμόνος τίς εἴη Χριστιανῶν ὁ θεὸς, ἔφη ʽἐὰν ᾖς ἄξιος, γνώσῃ.᾽ ἐντεῦθεν δὴ ἀφειδῶς ἐσύρετο, καὶ ποικίλας ἔπασχε πληγὰς, τῶν μὲν σύνεγγυς χερσὶ καὶ ποσὶν ἐνυβριζόντων παντοίως, μηδὲ τὴν ἡλικίαν αἰδουμένων αὐτοῦ, τῶν δὲ μακρὰν, ὃ μετὰ χεῖρας ἕκαστος εἶχεν, εἰς αὐτὸν ἀκοντιζόντων, πάντων δὲ ἡγουμένων μεγάλως πλημμελεῖν καὶ ἀσεβεῖν, εἴ τις ἀπολειφθείη τῆς εἰς αὐτὸν ἀσελγείας· καὶ γὰρ τοὺς θεοὺς ἑαυτῶν ᾤοντο οὕτως ἐκδικήσειν. καὶ μόγις ἐμπνέων ἐῤῥίφη εἰς τὴν εἱρκτὴν, καὶ μετὰ δύο ἡμέρας ἀπέψυξεν. 32. ἐνταῦθα δὴ μεγάλη τις οἰκονομία τοῦ θεοῦ ἐγίνετο, καὶ ἔλεος ἀμέτρητον ἀνεφαίνετο Ἰησοῦ, σπανίως μὲν ἐν τῇ ἀδελφότητι γεγονὸς, μὴ ἀπολειπόμενον δὲ τῆς τέχνης τοῦ Χριστοῦ. 33. οἱ γὰρ κατὰ τὴν πρώτην σύλληψιν ἔξαρνοι

"γενόμενοι συνεκλείοντο καὶ αὐτοὶ καὶ μετεῖχον τῶν "δεινῶν· οὐδὲ γὰρ ἐν τῷ καιρῷ τούτῳ ὄφελός τι αὐ"τοῖς ἡ ἐξάρνησις ἐγίνετο· ἀλλ' οἱ μὲν ὁμολογοῦντες "ὃ καὶ ἦσαν, συνεκλείοντο ὡς Χριστιανοὶ, μηδεμιᾶς "ἄλλης αὐτοῖς αἰτίας ἐπιφερομένης, οὗτοι δὲ λοιπὸν "ὡς ἀνδροφόνοι καὶ μιαροὶ κατείχοντο, διπλότερον "παρὰ τοὺς λοιποὺς κολαζόμενοι. 34. ἐκείνους μὲν "γὰρ ἐπεκούφιζεν ἡ χαρὰ τῆς μαρτυρίας, καὶ ἡ ἐλ"πὶς τῶν ἐπηγγελμένων, καὶ ἡ πρὸς τὸν Χριστὸν "ἀγάπη, καὶ τὸ πνεῦμα τὸ πατρικὸν, τούτους δὲ τὸ "συνειδὸς μεγάλως ἐτιμωρεῖτο, ὥστε καὶ παρὰ τοῖς "λοιποῖς ἅπασι κατὰ τὰς παρόδους διαδήλους τὰς "ὄψεις αὐτῶν εἶναι. 35. οἱ μὲν γὰρ ἱλαροὶ προήεσαν, "δόξης καὶ χάριτος πολλῆς ταῖς ὄψεσιν αὐτῶν συγκε"κραμένης, ὥστε καὶ τὰ δεσμὰ κόσμον εὐπρεπῆ πε"ρικεῖσθαι αὐτοῖς, ὡς νύμφῃ κεκοσμημένῃ ἐν κροσ"σωτοῖς χρυσοῖς πεποικιλμένοις, τὴν εὐωδίαν ὀδω"δότες ἅμα τὴν Χριστοῦ, ὥστε ἐνίους δόξαι καὶ μύρῳ "κοσμικῷ κεχρῖσθαι αὐτούς· οἱ δὲ κατηφεῖς καὶ τα"πεινοὶ καὶ δυσειδεῖς καὶ πάσης ἀσχημοσύνης ἀνά"πλεοι, προσέτι δὲ καὶ ὑπὸ τῶν ἐθνῶν ὀνειδιζόμε"νοι ὡς ἀγεννεῖς καὶ ἄνανδροι, ἀνδροφόνων μὲν ἐγ"κλήματα ἔχοντες, ἀπολωλεκότες δὲ τὴν πάντιμον "καὶ ἔνδοξον καὶ ζωοποιὸν προσηγορίαν. ταῦτα δὲ "οἱ λοιποὶ θεωροῦντες ἐστηρίχθησαν, καὶ οἱ συλλαμ"βανόμενοι ἀδιστάκτως ὡμολόγουν, μηδὲ ἔννοιαν "ἔχοντες διαβολικοῦ λογισμοῦ." 36. τούτοις μεταξύ τινα ἐπειπόντες αὖθις ἐπιφέρουσι· "μετὰ ταῦτα δὴ "λοιπὸν εἰς πᾶν εἶδος διῃρεῖτο τὰ μαρτύρια τῆς ἐξό"δου αὐτῶν. ἐκ διαφόρων γὰρ χρωμάτων καὶ παν"τοίων ἀνθῶν ἕνα πλέξαντες στέφανον προσήνεγκαν "τῷ πατρί. ἐχρῆν γοῦν τοὺς γενναίους ἀθλητὰς,

"ποικίλον ὑπομείναντας ἀγῶνα καὶ μεγάλως νικήσαντας, ἀπολαβεῖν τὸν μέγαν τῆς ἀφθαρσίας στέφανον. 37. ὁ μὲν οὖν Μάτουρος καὶ ὁ Σάγκτος καὶ ἡ Βλανδῖνα καὶ Ἄτταλος ἤγοντο ἐπὶ τὰ θηρία εἰς τὸ δημόσιον καὶ εἰς τὸ κοινὸν τῶν ἐθνῶν τῆς ἀπανθρωπίας θέαμα, ἐπίτηδες τῆς τῶν θηριομαχιῶν ἡμέρας διὰ τοὺς ἡμετέρους διδομένης. 38. καὶ ὁ μὲν Μάτουρος καὶ ὁ Σάγκτος αὖθις διῄεσαν ἐν τῷ ἀμφιθεάτρῳ διὰ πάσης κολάσεως, ὡς μηδὲν ὅλως προπεπονθότες, μᾶλλον δὲ ὡς διὰ πλειόνων ἤδη κλήρων ἐκβεβιακότες τὸν ἀντίπαλον, καὶ περὶ τοῦ στεφάνου αὐτοῦ τὸν ἀγῶνα ἔχοντες, ὑπέφερον πάλιν τὰς διεξόδους τῶν μαστίγων τὰς ἐκεῖσε εἰθισμένας, καὶ τοὺς ἀπὸ τῶν θηρίων ἑλκηθμοὺς, καὶ πάνθ᾽ ὅσα μαινόμενος ὁ δῆμος ἄλλοι ἀλλαχόθεν ἐπεβόων καὶ ἐπεκελεύοντο, καὶ ἐπὶ πᾶσι τὴν σιδηρᾶν καθέδραν, ἐφ᾽ ἧς τηγανιζόμενα τὰ σώματα κνίσης αὐτοὺς ἐνεφόρει. 39. οἱ δ᾽ οὐδ᾽ οὕτως ἔληγον, ἀλλ᾽ ἔτι καὶ μᾶλλον ἐξεμαίνοντο, βουλόμενοι νικῆσαι τὴν ἐκείνων ὑπομονήν. καὶ οὐδ᾽ ὣς παρὰ Σάγκτου ἕτερόν τι ἤκουσαν παρ᾽ ἣν ἀπ᾽ ἀρχῆς εἴθιστο λέγειν τῆς ὁμολογίας φωνήν. 40. οὗτοι μὲν οὖν, δι᾽ ἀγῶνος μεγάλου ἐπιπολὺ παραμενούσης αὐτῶν τῆς ψυχῆς, τοὔσχατον ἐτύθησαν διὰ τῆς ἡμέρας ἐκείνης, ἀντὶ πάσης τῆς ἐν τοῖς μονομαχίοις ποικιλίας αὐτοὶ θέαμα γενόμενοι τῷ κόσμῳ. 41. ἡ δὲ Βλανδῖνα ἐπὶ ξύλου κρεμασθεῖσα προὔκειτο βορὰ τῶν εἰσβαλλομένων θηρίων, ἣ καὶ διὰ τοῦ βλέπεσθαι σταυροῦ σχήματι κρεμαμένη, διὰ τῆς εὐτόνου προσευχῆς πολλὴν προθυμίαν τοῖς ἀγωνιζομένοις ἐνεποίει, βλεπόντων αὐτῶν ἐν τῷ ἀγῶνι καὶ τοῖς ἔξωθεν ὀφθαλμοῖς διὰ τῆς ἀδελφῆς τὸν ὑπὲρ αὐτῶν ἐσταυρωμένον, ἵνα πείσῃ τοὺς

"πιστεύοντας εἰς αὐτὸν, ὅτι πᾶς ὁ ὑπὲρ τῆς Χριστοῦ "δόξης παθὼν τὴν κοινωνίαν ἀεὶ ἔχει μετὰ τοῦ ζῶν"τος θεοῦ. 42. καὶ μηδενὸς ἁψαμένου τότε τῶν θηρίων "αὐτῆς, καθαιρεθεῖσα ἀπὸ τοῦ ξύλου ἀνελήφθη πά"λιν εἰς τὴν εἱρκτήν, εἰς ἄλλον ἀγῶνα τηρουμένη, "ἵνα διὰ πλειόνων γυμνασμάτων νικήσασα τῷ μὲν "σκολιῷ ὄφει ἀπαραίτητον ποιήσῃ τὴν καταδίκην, "προτρέψηται δὲ τοὺς ἀδελφοὺς ἡ μικρὰ καὶ ἀσθενὴς "καὶ εὐκαταφρόνητος, μέγαν καὶ ἀκαταγώνιστον "ἀθλητὴν Χριστὸν ἐνδεδυμένη, διὰ πολλῶν κλήρων "ἐκβιάσασα τὸν ἀντικείμενον, καὶ δι' ἀγῶνος τὸν τῆς "ἀφθαρσίας στεψαμένη στέφανον. 43. ὁ δὲ Ἄτταλος "καὶ αὐτὸς μεγάλως ἐξαιτηθεὶς ὑπὸ τοῦ ὄχλου (καὶ γὰρ "ἦν ὀνομαστός) ἕτοιμος εἰσῆλθεν ἀγωνιστὴς διὰ τὸ "εὐσυνείδητον, ἐπειδὴ γνησίως ἐν τῇ Χριστιανῇ συν"τάξει γεγυμνασμένος ἦν, καὶ ἀεὶ μάρτυς ἐγεγόνει "παρ' ἡμῖν ἀληθείας. 44. καὶ περιαχθεὶς κύκλῳ τοῦ "ἀμφιθεάτρου, πίνακος αὐτὸν προάγοντος ἐν ᾧ ἐγέ"γραπτο Ῥωμαϊστὶ 'οὗτός ἐστιν Ἄτταλος ὁ Χριστια"νός', καὶ τοῦ δήμου σφόδρα σφριγῶντος ἐπ' αὐτῷ, "μαθὼν ὁ ἡγεμὼν ὅτι Ῥωμαῖός ἐστιν, ἐκέλευσεν "αὐτὸν ἀναληφθῆναι μετὰ καὶ τῶν λοιπῶν τῶν ἐν τῇ "εἱρκτῇ ὄντων, περὶ ὧν ἐπέστειλε τῷ Καίσαρι, καὶ "περιέμενε τὴν ἀπόφασιν τὴν ἀπ' ἐκείνου. 45. ὁ δὲ "διὰ μέσου καιρὸς οὐκ ἀργὸς αὐτοῖς οὐδὲ ἄκαρπος "ἐγίνετο, ἀλλὰ διὰ τῆς ὑπομονῆς αὐτῶν τὸ ἀμέτρητον "ἔλεος ἀνεφαίνετο Χριστοῦ. διὰ γὰρ τῶν ζώντων "ἐζωοποιοῦντο τὰ νεκρά, καὶ μάρτυρες τοῖς μὴ μάρ"τυσιν ἐχαρίζοντο, καὶ ἐνεγίνετο πολλὴ χαρὰ τῇ παρ"θένῳ μητρί, οὓς ὡς νεκροὺς ἐξέτρωσε, τούτους ζῶν"τας ἀπολαμβανούσῃ. 46. δι' ἐκείνων γὰρ οἱ πλείους "τῶν ἠρνημένων ἀνεμητροῦντο καὶ ἀνεκυΐσκοντο καὶ

ἀνεζωπυροῦντο καὶ ἐμάνθανον ὁμολογεῖν, καὶ ζῶντες ἤδη καὶ τετονωμένοι προσῄεσαν τῷ βήματι, ἐγγλυκαίνοντος τοῦ τὸν μὲν θάνατον τοῦ ἁμαρτωλοῦ μὴ βουλομένου, ἐπὶ δὲ τὴν μετάνοιαν χρηστευομένου θεοῦ, ἵνα καὶ πάλιν ἐπερωτηθῶσιν ὑπὸ τοῦ ἡγεμόνος. 47. ἐπιστείλαντος γὰρ τοῦ Καίσαρος τοὺς μὲν ἀποτυμπανισθῆναι, εἰ δέ τινες ἀρνοῖντο, τούτους ἀπολυθῆναι, τῆς ἐνθάδε πανηγύρεως (ἔστι δὲ αὕτη πολυάνθρωπος ἐκ πάντων τῶν ἐθνῶν συνερχομένων εἰς αὐτήν) ἀρχομένης συνεστάναι ἀνῆγεν ἐπὶ τὸ βῆμα θεατρίζων τοὺς μακαρίους καὶ ἐμπομπεύων τοῖς ὄχλοις. διὸ καὶ πάλιν ἀνήταξε, καὶ ὅσοι μὲν ἐδόκουν πολιτείαν Ῥωμαίων ἐσχηκέναι, τούτων ἀπέτεμνε τὰς κεφαλὰς, τοὺς δὲ λοιποὺς ἔπεμπεν εἰς θηρία. 48. ἐδοξάζετο δὲ μεγάλως ὁ Χριστὸς ἐπὶ τοῖς πρότερον ἀρνησαμένοις, τότε παρὰ τὴν τῶν ἐθνῶν ὑπόνοιαν ὁμολογοῦσι. καὶ γὰρ ἰδίᾳ οὗτοι ἀνητάζοντο, ὡς δῆθεν ἀπολυθησόμενοι, καὶ ὁμολογοῦντες προσετίθεντο τῷ τῶν μαρτύρων κλήρῳ. ἔμειναν δὲ ἔξω οἱ μηδὲ ἴχνος πώποτε πίστεως, μηδὲ αἴσθησιν ἐνδύματος νυμφικοῦ, μηδὲ ἔννοιαν φόβου θεοῦ σχόντες, ἀλλὰ καὶ διὰ τῆς ἀναστροφῆς αὐτῶν βλασφημοῦντες τὴν ὁδὸν, τουτέστιν οἱ υἱοὶ τῆς ἀπωλείας. 49. οἱ δὲ λοιποὶ πάντες τῇ ἐκκλησίᾳ προσετέθησαν, ὧν καὶ ἀνεταζομένων Ἀλέξανδρός τις, Φρὺξ μὲν τὸ γένος, ἰατρὸς δὲ τὴν ἐπιστήμην, πολλοῖς ἔτεσιν ἐν ταῖς Γαλλίαις διατρίψας, καὶ γνωστὸς σχεδὸν πᾶσι διὰ τὴν πρὸς τὸν θεὸν ἀγάπην καὶ παρρησίαν τοῦ λόγου (ἦν γὰρ καὶ οὐκ ἄμοιρος ἀποστολικοῦ χαρίσματος), παρεστὼς τῷ βήματι, καὶ νεύματι προτρέπων αὐτοὺς πρὸς τὴν ὁμολογίαν, φανερὸς ἦν τοῖς περιεστηκόσι τὸ βῆμα ὥσπερ ὠδί-

νων. 50. ἀγανακτήσαντες δὲ οἱ ὄχλοι ἐπὶ τῷ τοὺς πρότερον ἠρνημένους αὖθις ὁμολογεῖν κατεβόησαν τοῦ Ἀλεξάνδρου, ὡς ἐκείνου τοῦτο ποιοῦντος. καὶ ἐπιστήσαντος τοῦ ἡγεμόνος καὶ ἀνετάσαντος αὐτὸν ὅστις εἴη, τοῦ δὲ φήσαντος ὅτι Χριστιανὸς, ἐν ὀργῇ γενόμενος κατέκρινεν αὐτὸν πρὸς θηρία, καὶ τῇ ἐπιούσῃ εἰσῆλθε μετὰ καὶ τοῦ Ἀττάλου. καὶ γὰρ καὶ τὸν Ἄτταλον τῷ ὄχλῳ χαριζόμενος ὁ ἡγεμὼν ἐξέδωκε πάλιν πρὸς θηρία. 51. οἳ καὶ διὰ πάντων διελθόντες ἐν τῷ ἀμφιθεάτρῳ τῶν πρὸς κόλασιν ἐξηυρημένων ὀργάνων, καὶ μέγιστον ὑπομείναντες ἀγῶνα, τοὔσχατον ἐτύθησαν καὶ αὐτοὶ, τοῦ μὲν Ἀλεξάνδρου μήτε στενάξαντος μήτε γρύξαντός τι ὅλως, ἀλλὰ κατὰ καρδίαν ὁμιλοῦντος τῷ θεῷ. 52. ὁ δὲ Ἄτταλος, ὁπότε ἐπὶ τῆς σιδηρᾶς ἐπετέθη καθέδρας καὶ περιεκαίετο, ἡνίκα ἡ ἀπὸ τοῦ σώματος κνῖσα ἀνεφέρετο, ἔφη πρὸς τὸ πλῆθος τῇ Ῥωμαϊκῇ φωνῇ ‘ἰδοὺ τοῦτό ἐστιν ἀνθρώπους ἐσθίειν, ὃ ποιεῖτε ὑμεῖς· ἡμεῖς δὲ οὔτε ἀνθρώπους ἐσθίομεν οὔθ’ ἕτερόν τι πονηρὸν πράττομεν.’ ἐπερωτώμενος δὲ τί ὄνομα ἔχει ὁ θεὸς, ἀπεκρίθη ‘ὁ θεὸς ὄνομα οὐκ ἔχει ὡς ἄνθρωπος.’ 53. ἐπὶ πᾶσι δὲ τούτοις τῇ ἐσχάτῃ λοιπὸν ἡμέρᾳ τῶν μονομαχίων ἡ Βλανδῖνα πάλιν εἰσεκομίζετο μετὰ καὶ Ποντικοῦ παιδαρίου ὡς πεντεκαίδεκα ἐτῶν, οἳ καὶ καθ’ ἡμέραν εἰσήγοντο πρὸς τὸ βλέπειν τὴν τῶν λοιπῶν κόλασιν, καὶ ἠναγκάζοντο ὀμνύναι κατὰ τῶν εἰδώλων αὐτῶν. καὶ διὰ τὸ ἐμμένειν εὐσταθῶς καὶ ἐξουθενεῖν αὐτοὺς ἠγριώθη πρὸς αὐτοὺς τὸ πλῆθος, ὡς μήτε τὴν ἡλικίαν τοῦ παιδὸς οἰκτεῖραι μήτε τὸ γύναιον αἰδεσθῆναι. 54. πρὸς πάντα δὲ τὰ δεινὰ παρέβαλλον αὐτοὺς, καὶ διὰ πάσης ἐν κύκλῳ διῆγον κολάσεως, ἐπαλλήλως ἀναγκάζοντες ὀμόσαι,

"ἀλλὰ μὴ δυνάμενοι τοῦτο πρᾶξαι· ὁ μὲν γὰρ Ποντικὸς ὑπὸ τῆς ἀδελφῆς παρωρμημένος, ὡς καὶ τὰ "ἔθνη βλέπειν ὅτι ἐκείνη ἦν προτρεπομένη καὶ στηρίζουσα αὐτὸν, πᾶσαν κόλασιν γενναίως ὑπομείνας "ἀπέδωκε τὸ πνεῦμα. 55. ἡ δὲ μακαρία Βλανδῖνα "πάντων ἐσχάτη, καθάπερ μήτηρ εὐγενὴς παρορμήσασα τὰ τέκνα καὶ νικηφόρους προπέμψασα πρὸς "τὸν βασιλέα, ἀναμετρουμένη καὶ αὐτὴ πάντα τὰ "τῶν παίδων ἀγωνίσματα, ἔσπευδε πρὸς αὐτοὺς χαίρουσα καὶ ἀγαλλιωμένη ἐπὶ τῇ ἐξόδῳ, ὡς εἰς νυμφικὸν δεῖπνον κεκλημένη, ἀλλὰ μὴ πρὸς θηρία "βεβλημένη. 56. καὶ μετὰ τὰς μάστιγας, μετὰ τὰ "θηρία, μετὰ τὸ τήγανον, τοὔσχατον εἰς γυργαθὸν "βληθεῖσα ταύρῳ παρεβλήθη, καὶ ἱκανῶς ἀναβληθεῖσα πρὸς τοῦ ζῴου, μηδὲ αἴσθησιν ἔτι τῶν συμβαινόντων ἔχουσα διὰ τὴν ἐλπίδα καὶ ἐποχὴν τῶν "πεπιστευμένων καὶ ὁμιλίαν πρὸς Χριστὸν, ἐτύθη "καὶ αὐτὴ, καὶ αὐτῶν ὁμολογούντων τῶν ἐθνῶν ὅτι "μηδεπώποτε παρ' αὐτοῖς γυνὴ τοιαῦτα καὶ τοσαῦτα "ἔπαθεν. 57. ἀλλ' οὐδ' οὕτως κόρον ἐλάμβανεν αὐτῶν "ἡ μανία καὶ ἡ πρὸς τοὺς ἁγίους ὠμότης. ὑπὸ γὰρ "ἀγρίου θηρὸς ἄγρια καὶ βάρβαρα φῦλα ταραχθέντα "δυσπαύστως εἶχε, καὶ ἄλλην ἰδίαν ἀρχὴν ἐπὶ τοῖς "σώμασιν ἐλάμβανεν ἡ ὕβρις αὐτῶν. 58. τὸ γὰρ "νενικῆσθαι αὐτοὺς οὐκ ἐδυσώπει, διὰ τὸ μὴ ἔχειν "ἀνθρώπινον ἐπιλογισμὸν, μᾶλλον δὲ καὶ ἐξέκαιεν "αὐτῶν τὴν ὀργὴν καθάπερ θηρίου, καὶ τοῦ ἡγεμόνος καὶ τοῦ δήμου τὸ ὅμοιον εἰς ἡμᾶς ἄδικον ἐπιδεικνυμένων μῖσος, ἵνα ἡ γραφὴ πληρωθῇ 'ὁ ἄνομος ἀνομησάτω ἔτι, καὶ ὁ δίκαιος δικαιωθήτω ἔτι.'

29 Dan. 4, 2, 10. Apoc. 22, 11.

"59. καὶ γὰρ τοὺς ἐναποπνιγέντας ἐν τῇ εἱρκτῇ παρ-"έβαλλον κυσίν, ἐπιμελῶς παραφυλάσσοντες νύκτωρ "καὶ μεθ' ἡμέραν, μὴ κηδευθῇ τις ὑφ' ἡμῶν, καὶ "τότε δὴ προθέντες τά τε τῶν θηρίων τά τε τοῦ "πυρὸς λείψανα, πῇ μὲν ἐσπαραγμένα, πῇ δὲ ἠν-"θρακευμένα, καὶ τῶν λοιπῶν τὰς κεφαλὰς σὺν τοῖς "ἀποτμήμασιν αὐτῶν ὡσαύτως ἀτάφους παρεφύλατ-"τον μετὰ στρατιωτικῆς ἐπιμελείας ἡμέραις συχναῖς. "60. καὶ οἱ μὲν ἐνεβριμῶντο καὶ ἔβρυχον τοὺς ὀδόντας "ἐπ' αὐτοῖς, ζητοῦντές τινα περισσοτέραν ἐκδίκησιν "παρ' αὐτῶν λαβεῖν, οἱ δὲ ἐνεγέλων καὶ ἐπετώθαζον, "μεγαλύνοντες ἅμα τὰ εἴδωλα αὐτῶν, καὶ ἐκείνοις "προσάπτοντες τὴν τούτων τιμωρίαν, οἱ δὲ ἐπιεικέ-"στεροι καὶ κατὰ ποσὸν συμπαθεῖν δοκοῦντες ὠνεί-"διζον πολὺ λέγοντες 'ποῦ ὁ θεὸς αὐτῶν, καὶ τί αὐ-"τοὺς ὤνησεν ἡ θρησκεία, ἣν καὶ πρὸ τῆς ἑαυτῶν "εἵλοντο ψυχῆς;' 61. καὶ τὰ μὲν ἀπ' ἐκείνων τοιαύ-"την εἶχε τὴν ποικιλίαν, τὰ δὲ καθ' ἡμᾶς ἐν μεγάλῳ "καθειστήκει πένθει, διὰ τὸ μὴ δύνασθαι τὰ σώματα "κρύψαι τῇ γῇ. οὔτε γὰρ νὺξ συνεβάλλετο ἡμῖν πρὸς "τοῦτο οὔτε ἀργύρια ἔπειθεν οὔτε λιτανεία ἐδυσώ-"πει, παντὶ δὲ τρόπῳ παρετήρουν, ὡς μέγα τι κερ-"δανοῦντες, εἰ μὴ τύχοιεν ταφῆς." 62. τούτοις ἑξῆς μεθ' ἕτερά φασι "τὰ οὖν σώματα τῶν μαρτύρων παν-"τοίως παραδειγματισθέντα καὶ αἰθριασθέντα ἐπὶ "ἡμέρας ἕξ, μετέπειτα καέντα καὶ αἰθαλωθέντα ὑπὸ "τῶν ἀνόμων κατεσαρώθη εἰς τὸν Ῥοδανὸν ποταμὸν "πλησίον παραρρέοντα, ὅπως μηδὲ λείψανον αὐτῶν "φαίνηται ἐπὶ τῆς γῆς ἔτι. 63. καὶ ταῦτ' ἔπραττον "ὡς δυνάμενοι νικῆσαι τὸν θεὸν καὶ ἀφελέσθαι αὐ-"τῶν τὴν παλιγγενεσίαν, ἵνα, ὡς ἔλεγον ἐκεῖνοι, "μηδὲ ἐλπίδα σχῶσιν ἀναστάσεως, ἐφ' ᾗ πεποιθότες

"ξένην τινὰ καὶ καινὴν ἡμῖν εἰσάγουσι θρησκείαν, "καὶ καταφρονοῦσι τῶν δεινῶν, ἕτοιμοι καὶ μετὰ "χαρᾶς ἥκοντες ἐπὶ τὸν θάνατον· νῦν ἴδωμεν εἰ ἀνα"στήσονται, καὶ εἰ δύναται βοηθῆσαι αὐτοῖς ὁ θεὸς "αὐτῶν, καὶ ἐξελέσθαι ἐκ τῶν χειρῶν ἡμῶν."

II. [Nic. H. E. IV, 18.] Τοιαῦτα καὶ τὰ κατὰ τὸν δεδηλωμένον αὐτοκράτορα ταῖς Χριστοῦ συμβέβηκεν ἐκκλησίαις, ἀφ' ὧν καὶ τὰ ἐν ταῖς λοιπαῖς ἐπαρχίαις ἐνηργημένα εἰκότι λογισμῷ στοχάζεσθαι πάρεστιν. ἄξιον τούτοις ἐκ τῆς αὐτῆς ἐπισυνάψαι γραφῆς λέξεις ἑτέρας, δι' ὧν καὶ τὸ ἐπιεικὲς καὶ φιλάνθρωπον τῶν δεδηλωμένων μαρτύρων ἀναγέγραπται τούτοις αὐτοῖς τοῖς ῥήμασιν 2. "οἳ καὶ ἐπὶ τοσοῦτον ζηλωταὶ καὶ μιμηταὶ "Χριστοῦ ἐγένοντο, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ "ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ὥστε ἐν τοι"αύτῃ δόξῃ ὑπάρχοντες, καὶ οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ "πολλάκις μαρτυρήσαντες, καὶ ἐκ θηρίων αὖθις ἀνα"ληφθέντες, καὶ τὰ καυτήρια καὶ τοὺς μώλωπας καὶ "τὰ τραύματα ἔχοντες περικείμενα, οὔτ' αὐτοὶ μάρ"τυρας ἑαυτοὺς ἀνεκήρυττον οὔτε μὴν ἡμῖν ἐπέτρε"πον τούτῳ τῷ ὀνόματι προσαγορεύειν αὐτούς, ἀλλ' "εἴ ποτέ τις ἡμῶν δι' ἐπιστολῆς ἢ διὰ λόγου μάρτυ"ρας αὐτοὺς προσεῖπεν, ἐπέπλησσον πικρῶς. 3. ἡδέως "γὰρ παρεχώρουν τὴν τῆς μαρτυρίας προσηγορίαν "τῷ Χριστῷ, τῷ πιστῷ καὶ ἀληθινῷ μάρτυρι καὶ "πρωτοτόκῳ τῶν νεκρῶν καὶ ἀρχηγῷ τῆς ζωῆς τοῦ "θεοῦ, καὶ ἐπεμιμνήσκοντο τῶν ἐξεληλυθότων ἤδη "μαρτύρων καὶ ἔλεγον 'ἐκεῖνοι ἤδη μάρτυρες, οὓς ἐν "τῇ ὁμολογίᾳ Χριστὸς ἠξίωσεν ἀναληφθῆναι, ἐπι"σφραγισάμενος αὐτῶν διὰ τῆς ἐξόδου τὴν μαρτυ-

13 Phil. 2, 6.

"ρίαν, ἡμεῖς δὲ ὁμόλογοι μέτριοι καὶ ταπεινοί.' καὶ "μετὰ δακρύων παρεκάλουν τοὺς ἀδελφοὺς, δεόμενοι "ἵνα ἐκτενεῖς εὐχαὶ γίνωνται πρὸς τὸ τελειωθῆναι "αὐτούς. 4. καὶ τὴν μὲν δύναμιν τῆς μαρτυρίας ἔργῳ "ἐπεδείκνυντο, πολλὴν παρρησίαν ἄγοντες πρὸς πάντα "τὰ ἔθνη, καὶ τὴν εὐγένειαν διὰ τῆς ὑπομονῆς καὶ "ἀφοβίας καὶ ἀτρομίας φανερὰν ἐποίουν, τὴν δὲ πρὸς "τοὺς ἀδελφοὺς τῶν μαρτύρων προσηγορίαν παρῃ-"τοῦντο, ἐμπεπλησμένοι φόβου θεοῦ." 5. καὶ αὖθις μετὰ βραχέα φασίν "ἐταπείνουν ἑαυτοὺς ὑπὸ τὴν "κραταιὰν χεῖρα, ὑφ' ἧς ἱκανῶς νῦν εἰσιν ὑψωμένοι. "τότε δὲ πᾶσι μὲν ἀπελογοῦντο, κατηγόρουν δὲ οὐδε-"νὸς, ἔλυον μὲν ἅπαντας, ἐδέσμευον δὲ οὐδένα, καὶ "ὑπὲρ τῶν τὰ δεινὰ διατιθέντων ηὔχοντο, καθάπερ "Στέφανος ὁ τέλειος μάρτυς 'κύριε, μὴ στήσῃς αὐτοῖς "τὴν ἁμαρτίαν ταύτην.' εἰ δ' ὑπὲρ τῶν λιθαζόντων "ἐδέετο, πόσῳ μᾶλλον ὑπὲρ τῶν ἀδελφῶν;" 6. καὶ αὖθίς φασι μεθ' ἕτερα "οὗτος γὰρ καὶ μέγιστος αὐ-"τοῖς πρὸς αὐτὸν ὁ πόλεμος ἐγένετο, διὰ τὸ γνήσιον "τῆς ἀγάπης, ἵνα ἀποπνιχθεὶς ὁ θὴρ, οὓς πρότερον "ᾤετο καταπεπωκέναι, ζῶντας ἐξεμέσῃ. οὐ γὰρ ἔλα-"βον καύχημα κατὰ τῶν πεπτωκότων, ἀλλ' ἐν οἷς "ἐπλεόναζον αὐτοὶ, τοῦτο τοῖς ἐνδεεστέροις ἐπήρκουν, "μητρικὰ σπλάγχνα ἔχοντες, καὶ πολλὰ περὶ αὐτῶν "ἐκχέοντες δάκρυα πρὸς τὸν πατέρα. 7. ζωὴν ᾐτή-"σαντο, καὶ ἔδωκεν αὐτοῖς, ἣν καὶ συνεμερίσαντο "τοῖς πλησίον. κατὰ πάντων νικηφόροι πρὸς θεὸν "ἀπελθόντες, εἰρήνην ἀγαπήσαντες ἀεὶ, καὶ εἰρήνην "ἀεὶ παρεγγυήσαντες, μετ' εἰρήνης ἐχώρησαν πρὸς "θεὸν, μὴ καταλιπόντες πόνον τῇ μητρὶ, μηδὲ στάσιν

10 I Petri 5, 6. 15 Act. 7, 60.

"καὶ πόλεμον τοῖς ἀδελφοῖς, ἀλλὰ χαρὰν καὶ εἰρήνην "καὶ ὁμόνοιαν καὶ ἀγάπην." 8. ταῦτα καὶ περὶ τῆς τῶν μακαρίων ἐκείνων πρὸς τοὺς παραπεπτωκότας τῶν ἀδελφῶν στοργῆς ὠφελίμως προσκείσθω, τῆς ἀπανθρώπου καὶ ἀνηλεοῦς ἕνεκα διαθέσεως τῶν μετὰ ταῦτα ἀφειδῶς τοῖς Χριστοῦ μέλεσι προσενηνεγμένων.

III. [Nic. H. E. IV, 18.] Ἡ δ' αὐτὴ τῶν προειρημένων μαρτύρων γραφὴ καὶ ἄλλην τινὰ μνήμης ἀξίαν ἱστορίαν περιέχει, ἣν καὶ οὐδεὶς ἂν γένοιτο φθόνος μὴ οὐχὶ τῶν ἐντευξομένων εἰς γνῶσιν προσθεῖναι. ἔχει δὲ οὕτως. 2. Ἀλκιβιάδου γάρ τινος ἐξ αὐτῶν, πάνυ αὐχμηρὸν βιοῦντος βίον, καὶ μηδενὸς ὅλως τὸ πρότερον μεταλαμβάνοντος, ἀλλ' ἢ ἄρτῳ μόνῳ καὶ ὕδατι χρωμένου, πειρωμένου τε καὶ ἐν τῇ εἱρκτῇ οὕτω διάγειν, Ἀττάλῳ μετὰ τὸν πρῶτον ἀγῶνα, ὃν ἐν τῷ ἀμφιθεάτρῳ ἤνυσεν, ἀπεκαλύφθη, ὅτι μὴ καλῶς ποιοίη Ἀλκιβιάδης, μὴ χρώμενος τοῖς κτίσμασι τοῦ θεοῦ, καὶ ἄλλοις τύπον σκανδάλου ὑπολειπόμενος. 3. πεισθεὶς δὲ ὁ Ἀλκιβιάδης πάντων ἀνέδην μετελάμβανε, καὶ ηὐχαρίστει τῷ θεῷ. οὐ γὰρ ἀνεπίσκεπτοι χάριτος θεοῦ ἦσαν, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ἦν σύμβουλον αὐτοῖς. καὶ ταῦτα μὲν ὧδι ἐχέτω. 4. τῶν δ' ἀμφὶ τὸν Μοντανὸν καὶ Ἀλκιβιάδην καὶ Θεόδοτον περὶ τὴν Φρυγίαν ἄρτι τότε πρῶτον τὴν περὶ τοῦ προφητεύειν ὑπόληψιν παρὰ πολλοῖς ἐκφερομένων (πλεῖσται γὰρ οὖν καὶ ἄλλαι παραδοξοποιίαι τοῦ θείου χαρίσματος εἰσέτι τότε κατὰ διαφόρους ἐκκλησίας ἐκτελούμεναι πίστιν παρὰ πολλοῖς τοῦ κἀκείνους προφητεύειν παρεῖχον), καὶ δὴ διαφωνίας ὑπαρχούσης περὶ τῶν δεδηλωμένων, αὖθις οἱ κατὰ τὴν Γαλλίαν ἀδελφοὶ τὴν ἰδίαν κρίσιν καὶ περὶ τούτων

εὐλαβῆ καὶ ὀρθοδοξοτάτην ὑποτάττουσιν, ἐκθέμενοι καὶ τῶν παρ' αὐτοῖς τελειωθέντων μαρτύρων διαφόρους ἐπιστολάς, ἃς ἐν δεσμοῖς ἔτι ὑπάρχοντες τοῖς ἐπ' Ἀσίας καὶ Φρυγίας ἀδελφοῖς διεχάραξαν, οὐ μὴν ἀλλὰ καὶ Ἐλευθέρῳ τῷ τότε Ῥωμαίων ἐπισκόπῳ, τῆς τῶν ἐκκλησιῶν εἰρήνης ἕνεκεν πρεσβεύοντες.

IV. [Nic. H. E. IV, 13—15.] *Οἱ δ' αὐτοὶ μάρτυρες καὶ τὸν Εἰρηναῖον, πρεσβύτερον ἤδη τότ' ὄντα τῆς ἐν Λουγδούνῳ παροικίας, τῷ δηλωθέντι κατὰ Ῥώμην ἐπισκόπῳ συνίστων, πλεῖστα τῷ ἀνδρὶ μαρτυροῦντες, ὡς αἱ τοῦτον ἔχουσαι τὸν τρόπον δηλοῦσι φωναί* 2. *"χαίρειν ἐν θεῷ σε ἐν πᾶσιν εὐχόμεθα καὶ ἀεί, πάτερ Ἐλεύθερε. ταῦτά σοι τὰ γράμματα προετρεψάμεθα τὸν ἀδελφὸν ἡμῶν καὶ κοινωνὸν Εἰρηναῖον διακομίσαι, καὶ παρακαλοῦμεν ἔχειν σε αὐτὸν ἐν παραθέσει, ζηλωτὴν ὄντα τῆς διαθήκης Χριστοῦ. εἰ γὰρ ᾔδειμεν, τόπον τινὶ δικαιοσύνην περιποιεῖσθαι, ὡς πρεσβύτερον ἐκκλησίας, ὅπερ ἐστὶν ἐπ' αὐτῷ, ἐν πρώτοις ἂν παρεθέμεθα."* 3. *τί δεῖ καταλέγειν τὸν ἐν τῇ δηλωθείσῃ γραφῇ τῶν μαρτύρων κατάλογον, ἰδίᾳ μὲν τῶν ἀποτμήσει κεφαλῆς τετελειωμένων, ἰδίᾳ δὲ τῶν θηρσὶν εἰς βορὰν παραβεβλημένων, καὶ αὖθις τῶν ἐπὶ τῆς εἱρκτῆς κεκοιμημένων, τόν τε ἀριθμὸν τῶν εἰσέτι τότε περιόντων ὁμολογητῶν; ὅτῳ γὰρ φίλον, καὶ ταῦτα ῥᾴδιον πληρέστατα διαγνῶναι μετὰ χεῖρας ἀναλαβόντι τὸ σύγγραμμα, ὃ καὶ αὐτὸ τῇ τῶν μαρτυρίων συναγωγῇ πρὸς ἡμῶν, ὡς γοῦν ἔφην, κατείλεκται. ἀλλὰ τὰ μὲν ἐπ' Ἀντωνίνου τοιαῦτα.*

V. [Nic. H. E. IV, 12.] *Τούτου δὴ ἀδελφὸν Μάρκον Αὐρήλιον Καίσαρα λόγος ἔχει Γερμανοῖς καὶ Σαρμάταις ἀντιπαρατασσόμενον μάχῃ δίψει πιεζομένης αὐτοῦ τῆς στρατιᾶς ἐν ἀμηχανίᾳ γενέσθαι, τοὺς δὲ*

ἐπὶ τῆς Μελιτηνῆς οὕτω καλουμένης λεγεῶνος στρατιώτας διὰ πίστεως ἐξ ἐκείνου καὶ εἰς δεῦρο συνεστώσης ἐν τῇ πρὸς τοὺς πολεμίους παρατάξει γόνυ θέντας ἐπὶ γῆν κατὰ τὸ οἰκεῖον ἡμῖν τῶν εὐχῶν ἔθος ἐπὶ τὰς πρὸς θεὸν ἱκεσίας τραπέσθαι. 2. παραδόξου δὲ τοῖς πολεμίοις τοῦ τοιούτου δὴ θεάματος φανέντος ἄλλο τι λόγος ἔχει παραδοξότερον ἐπικαταλαβεῖν αὐτίκα· σκηπτὸν μὲν εἰς φυγὴν καὶ ἀπώλειαν συνελαύνοντα τοὺς πολεμίους, ὄμβρον δὲ ἐπὶ τὴν τῶν τὸ θεῖον παρακεκληκότων στρατιάν, πᾶσαν αὐτὴν ἐκ τοῦ δίψους μέλλουσαν ὅσον οὔπω διαφθείρεσθαι ἀνακτώμενον. 3. ἡ δὲ ἱστορία φέρεται μὲν καὶ παρὰ τοῖς πόρρω τοῦ καθ' ἡμᾶς λόγου συγγραφεῦσιν, οἷς μέλον γέγονε τῆς κατὰ τοὺς δηλουμένους γραφῆς, δεδήλωται δὲ καὶ πρὸς τῶν ἡμετέρων. ἀλλὰ τοῖς μὲν ἔξωθεν ἱστορικοῖς, ἅτε τῆς πίστεως ἀνοικείοις, τέθειται μὲν τὸ παράδοξον, οὐ μὴν καὶ ταῖς τῶν ἡμετέρων εὐχαῖς τοῦτο ὡμολογήθη γεγονέναι· τοῖς δέ γε ἡμετέροις, ἅτε ἀληθείας φίλοις, ἁπλῷ καὶ ἀκακοήθει τρόπῳ τὸ πραχθὲν παραδέδοται. 4. τούτων δ' ἂν εἴη καὶ Ἀπολινάριος, ἐξ ἐκείνου φήσας τὴν δι' εὐχῆς τὸ παράδοξον πεποιηκυῖαν λεγεῶνα οἰκείαν τῷ γεγονότι πρὸς τοῦ βασιλέως εἰληφέναι προσηγορίαν, κεραυνοβόλον τῇ Ῥωμαίων ἐπικληθεῖσαν φωνῇ. 5. μάρτυς δὲ τούτων γένοιτ' ἂν ἀξιόχρεως ὁ Τερτυλλιανὸς, τῇ Ῥωμαϊκῇ συγκλήτῳ προσφωνήσας ὑπὲρ τῆς πίστεως ἀπολογίαν, ἧς καὶ πρόσθεν ἐμνημονεύσαμεν, τήν τε ἱστορίαν βεβαιῶν σὺν ἀποδείξει μείζονι καὶ ἐναργεστέρᾳ. 6. γράφει δ' οὖν καὶ αὐτὸς λέγων Μάρκου τοῦ συνετωτάτου βασιλέως ἐπιστολὰς εἰσέτι νῦν φέρεσθαι,

---

25 Tertull. Apol. 5.

ἐν αἷς αὐτὸς μαρτυρεῖ ἐν Γερμανίᾳ ὕδατος ἀπορίᾳ μέλλοντα αὐτοῦ τὸν στρατὸν διαφθείρεσθαι ταῖς τῶν Χριστιανῶν εὐχαῖς σεσῶσθαι. τοῦτον δέ φησι καὶ θάνατον ἀπειλῆσαι τοῖς κατηγορεῖν ἡμῶν ἐπιχειροῦσιν. 7. οἷς ὁ δηλωθεὶς ἀνὴρ καὶ ταῦτα προσεπιλέγει· “ποταποὶ οὖν οἱ νόμοι οὗτοι, οἷς καθ' ἡμῶν μόνον ἕπονται ἀσεβεῖς, ἄδικοι, ὠμοί; οὓς οὔτε Οὐεσπασιανὸς ἐφύλαξε, καίτοι γε Ἰουδαίους νικήσας, οὓς Τραϊανὸς ἐκ μέρους ἐξουθένησε, κωλύων ἐπιζητεῖσθαι Χριστιανούς, οὓς οὔτε Ἀδριανός, καίτοι γε πάντα τὰ περίεργα πολυπραγμονῶν, οὔτε ὁ Εὐσεβὴς ἐπικληθεὶς ἐπεκύρωσεν.” ἀλλὰ ταῦτα μὲν ὅπῃ τις ἐθέλῃ τιθέσθω, μετίωμεν δὲ ἡμεῖς ἐπὶ τὴν τῶν ἑξῆς ἀκολουθίαν. 8. Ποθεινοῦ δὴ ἐφ' ὅλοις τῆς ζωῆς ἔτεσιν ἐνενήκοντα σὺν τοῖς ἐπὶ Γαλλίας μαρτυρήσασι τελειωθέντος, Εἰρηναῖος τῆς κατὰ Λούγδουνον ἧς ὁ Ποθεινὸς ἡγεῖτο παροικίας τὴν ἐπισκοπὴν διαδέχεται. Πολυκάρπου δὲ τοῦτον ἀκουστὴν γενέσθαι κατὰ τὴν νέαν ἐμανθάνομεν ἡλικίαν. 9. οὗτος τῶν ἐπὶ Ῥώμης τὴν διαδοχὴν ἐπισκόπων ἐν τρίτῃ συντάξει τῶν πρὸς τὰς αἱρέσεις παραθέμενος, εἰς Ἐλεύθερον, οὗ τὰ κατὰ τοὺς χρόνους ἡμῖν ἐξετάζεται, ὡσὰν δὴ κατ' αὐτὸν σπουδαζομένης αὐτῷ τῆς γραφῆς, τὸν κατάλογον ἵστησι, γράφων ὧδε·

VI. [Nic. H. E. IV, 15.] “Θεμελιώσαντες οὖν καὶ οἰκοδομήσαντες οἱ μακάριοι ἀπόστολοι τὴν ἐκκλησίαν Λίνῳ τὴν τῆς ἐπισκοπῆς λειτουργίαν ἐνεχείρισαν. τούτου τοῦ Λίνου Παῦλος ἐν ταῖς πρὸς Τιμόθεον ἐπιστολαῖς μέμνηται, διαδέχεται δὲ αὐτὸν Ἀνέγκλητος. 2. μετὰ τοῦτον δὲ τρίτῳ τόπῳ ἀπὸ

---

25 Iren. III, 3, 3. p. 176. 29 II Tim. 4, 21.

"τῶν ἀποστόλων τὴν ἐπισκοπὴν κληροῦται Κλήμης, ὁ καὶ ἑωρακὼς τοὺς μακαρίους ἀποστόλους, καὶ συμβεβληκὼς αὐτοῖς, καὶ ἔτι ἔναυλον τὸ κήρυγμα τῶν ἀποστόλων καὶ τὴν παράδοσιν πρὸ ὀφθαλμῶν ἔχων, οὐ μόνος· ἔτι γὰρ πολλοὶ ὑπελείποντο τότε ὑπὸ τῶν ἀποστόλων δεδιδαγμένοι. 3. ἐπὶ τούτου οὖν τοῦ Κλήμεντος στάσεως οὐκ ὀλίγης τοῖς ἐν Κορίνθῳ γενομένης ἀδελφοῖς, ἐπέστειλεν ἡ ἐν Ῥώμῃ ἐκκλησία ἱκανωτάτην γραφὴν τοῖς Κορινθίοις, εἰς εἰρήνην συμβιβάζουσα αὐτούς, καὶ ἀνανεοῦσα τὴν πίστιν αὐτῶν καὶ ἣν νεωστὶ ἀπὸ τῶν ἀποστόλων παράδοσιν εἰλήφει." 4. καὶ μετὰ βραχέα φησὶ "τὸν δὲ Κλήμεντα τοῦτον διαδέχεται Εὐάρεστος, καὶ τὸν Εὐάρεστον Ἀλέξανδρος. εἶθ' οὕτως ἕκτος ἀπὸ τῶν ἀποστόλων καθίσταται Ξύστος, μετὰ δὲ τοῦτον Τελεσφόρος, ὃς καὶ ἐνδόξως ἐμαρτύρησεν· ἔπειτα Ὑγῖνος, εἶτα Πίος, μεθ' ὃν Ἀνίκητος. διαδεξαμένου τὸν Ἀνίκητον Σωτῆρος νῦν δωδεκάτῳ τόπῳ τὸν τῆς ἐπισκοπῆς ἀπὸ τῶν ἀποστόλων κατέχει κλῆρον Ἐλεύθερος. 5. τῇ αὐτῇ τάξει καὶ τῇ αὐτῇ διδαχῇ ἥ τε ἀπὸ τῶν ἀποστόλων ἐν τῇ ἐκκλησίᾳ παράδοσις καὶ τὸ τῆς ἀληθείας κήρυγμα κατήντηκεν εἰς ἡμᾶς."

VII. [Nic. H. E. IV, 13.] *Ταῦτα ὁ Εἰρηναῖος, ἀκολούθως ταῖς προδιεξοδευθείσαις ἡμῖν ὑπογράψας ἱστορίαις ἐν οἷς ἐπέγραψε πέντε οὖσι τὸν ἀριθμὸν ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως, ἐν δευτέρῳ τῆς αὐτῆς ὑποθέσεως, ὅτι δὴ καὶ εἰς αὐτὸν ὑποδείγματα τῆς θείας καὶ παραδόξου δυνάμεως ἐν ἐκκλησίαις τισὶν ὑπολέλειπτο, διὰ τούτων ἐπισημαίνεται λέγων* 2. "*τοσοῦτον δὲ ἀποδέουσι*

30 Iren. II, 31, 2. p. 164.

τοῦ νεκρὸν ἐγεῖραι, καθὼς ὁ κύριος ἤγειρε καὶ οἱ ἀπόστολοι διὰ προσευχῆς, καὶ ἐν τῇ ἀδελφότητι πολλάκις, διὰ τὸ ἀναγκαῖον τῆς κατὰ τόπον ἐκκλησίας πάσης αἰτησαμένης μετὰ νηστείας καὶ λιτανείας πολλῆς, ἐπέστρεψε τὸ πνεῦμα τοῦ τετελευτηκότος, καὶ ἐχαρίσθη ὁ ἄνθρωπος ταῖς εὐχαῖς τῶν ἁγίων." 3. καὶ αὖθίς φησι μεθ' ἕτερα "εἰ δὲ καὶ τὸν κύριον φαντασιωδῶς τὰ τοιαῦτα πεποιηκέναι φήσουσιν, ἐπὶ τὰ προφητικὰ ἀνάγοντες αὐτοὺς ἐξ αὐτῶν ἐπιδείξομεν πάντα οὕτως περὶ αὐτοῦ καὶ προειρῆσθαι καὶ γεγονέναι βεβαίως, καὶ αὐτὸν μόνον εἶναι τὸν υἱὸν τοῦ θεοῦ. διὸ καὶ ἐν τῷ ἐκείνου ὀνόματι οἱ ἀληθῶς αὐτοῦ μαθηταί, παρ' αὐτοῦ λαβόντες τὴν χάριν, ἐπιτελοῦσιν ἐπ' εὐεργεσίᾳ τῇ τῶν λοιπῶν ἀνθρώπων, καθὼς εἷς ἕκαστος τὴν δωρεὰν εἴληφε παρ' αὐτοῦ. 4. οἱ μὲν γὰρ δαίμονας ἐλαύνουσι βεβαίως καὶ ἀληθῶς, ὥστε πολλάκις καὶ πιστεύειν ἐκείνους αὐτοὺς τοὺς καθαρισθέντας ἀπὸ τῶν πονηρῶν πνευμάτων καὶ εἶναι ἐν τῇ ἐκκλησίᾳ, οἱ δὲ καὶ πρόγνωσιν ἔχουσι τῶν μελλόντων καὶ ὀπτασίας καὶ ῥήσεις προφητικάς, ἄλλοι δὲ τοὺς κάμνοντας διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως ἰῶνται καὶ ὑγιεῖς ἀποκαθιστᾶσιν. ἤδη δέ, καθὼς ἔφαμεν, καὶ νεκροὶ ἠγέρθησαν, καὶ παρέμειναν σὺν ἡμῖν ἔτεσιν ἱκανοῖς. 5. καὶ τί γάρ; οὐκ ἔστιν ἀριθμὸν εἰπεῖν τῶν χαρισμάτων, ὧν κατὰ παντὸς τοῦ κόσμου ἡ ἐκκλησία παρὰ θεοῦ λαβοῦσα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου ἑκάστης ἡμέρας ἐπ' εὐεργεσίᾳ τῇ τῶν ἐθνῶν ἐπιτελεῖ, μήτε ἐξαπατῶσά τινας μήτε ἐξαργυριζομένη· ὡς γὰρ

7 Iren. II, 32, 4. p. 166.

"δωρεὰν εἴληφε παρὰ θεοῦ, δωρεὰν καὶ διακονεῖ." 6. καὶ ἐν ἑτέρῳ δὲ τόπῳ ὁ αὐτὸς γράφει "καθὼς καὶ πολλῶν ἀκούομεν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ προφητικὰ χαρίσματα ἐχόντων, καὶ παντοδαπαῖς λαλούντων διὰ τοῦ πνεύματος γλώσσαις, καὶ τὰ κρύφια τῶν ἀνθρώπων εἰς φανερὸν ἀγόντων ἐπὶ τῷ συμφέροντι, καὶ τὰ μυστήρια τοῦ θεοῦ ἐκδιηγουμένων." ταῦτα καὶ περὶ τοῦ διαφορὰς χαρισμάτων μέχρι καὶ τῶν δηλουμένων χρόνων παρὰ τοῖς ἀξίοις διαμεῖναι.

VIII. [Nic. H. E. IV, 14.] Ἐπεὶ δὲ ἀρχόμενοι τῆς πραγματείας ὑπόσχεσιν πεποιήμεθα παραθήσεσθαι κατὰ καιρὸν εἰπόντες τὰς τῶν ἀρχαίων ἐκκλησιαστικῶν πρεσβυτέρων τε καὶ συγγραφέων φωνάς, ἐν αἷς τὰς περὶ τῶν ἐνδιαθήκων γραφῶν εἰς αὐτοὺς κατελθούσας παραδόσεις γραφῇ παραδεδώκασι, τούτων δὲ καὶ ὁ Εἰρηναῖος ἦν, φέρε καὶ τὰς αὐτοῦ παραθώμεθα λέξεις. 2. καὶ πρώτας γε τὰς περὶ τῶν ἱερῶν εὐαγγελίων, οὕτως ἐχούσας "ὁ μὲν δὴ Ματθαῖος ἐν τοῖς Ἑβραίοις τῇ ἰδίᾳ αὐτῶν διαλέκτῳ καὶ γραφὴν ἐξήνεγκεν εὐαγγελίου, τοῦ Πέτρου καὶ τοῦ Παύλου ἐν Ῥώμῃ εὐαγγελιζομένων καὶ θεμελιούντων τὴν ἐκκλησίαν. 3. μετὰ δὲ τὴν τούτων ἔξοδον Μάρκος ὁ μαθητὴς καὶ ἑρμηνευτὴς Πέτρου καὶ αὐτὸς τὰ ὑπὸ Πέτρου κηρυσσόμενα ἐγγράφως ἡμῖν παραδέδωκε, καὶ Λουκᾶς δέ, ὁ ἀκόλουθος Παύλου, τὸ ὑπ' ἐκείνου κηρυσσόμενον εὐαγγέλιον ἐν βίβλῳ κατέθετο. 4. ἔπειτα Ἰωάννης, ὁ μαθητὴς τοῦ κυρίου, ὁ καὶ ἐπὶ τὸ στῆθος αὐτοῦ ἀναπεσών, καὶ αὐτὸς ἐξέδωκε τὸ εὐαγγέλιον, ἐν Ἐφέσῳ τῆς Ἀσίας διατρίβων." 5. ταῦτα μὲν οὖν ἐν τρίτῳ τῆς εἰρημένης

---

2 Iren. V, 6, 1. p. 299. 18 Iren. III, 1, 1. p. 174.

ὑποθέσεως τῷ προδηλωθέντι εἴρηται. ἐν δὲ τῷ πέμπτῳ περὶ τῆς Ἰωάννου ἀποκαλύψεως καὶ τῆς ψήφου τῆς τοῦ ἀντιχρίστου προσηγορίας οὕτω διαλαμβάνει· "τούτων δὲ οὕτως ἐχόντων, καὶ ἐν πᾶσι "δὲ τοῖς σπουδαίοις καὶ ἀρχαίοις ἀντιγράφοις τοῦ "ἀριθμοῦ τούτου κειμένου, καὶ μαρτυρούντων αὐτῶν "ἐκείνων τῶν κατ' ὄψιν τὸν Ἰωάννην ἑωρακότων, "καὶ τοῦ λόγου διδάσκοντος ἡμᾶς ὅτι ὁ ἀριθμὸς τοῦ "ὀνόματος τοῦ θηρίου κατὰ τὴν τῶν Ἑλλήνων ψῆφον "διὰ τῶν ἐν αὐτῷ γραμμάτων ἐμφαίνεται." 6. *καὶ ὑποκαταβὰς περὶ τοῦ αὐτοῦ φάσκει "ἡμεῖς οὖν οὐκ "ἀποκινδυνεύομεν περὶ τοῦ ὀνόματος τοῦ ἀντιχρίστου "ἀποφαινόμενοι βεβαιωτικῶς. εἰ γὰρ ἔδει ἀναφαν-"δὸν τῷ νῦν καιρῷ κηρύττεσθαι τοὔνομα αὐτοῦ, δι' "ἐκείνου ἂν ἐρρέθη τοῦ καὶ τὴν ἀποκάλυψιν ἑωρα-"κότος· οὐδὲ γὰρ πρὸ πολλοῦ χρόνου ἑωράθη, ἀλλὰ "σχεδὸν ἐπὶ τῆς ἡμετέρας γενεᾶς, πρὸς τῷ τέλει τῆς "Δομετιανοῦ ἀρχῆς."* 7. *ταῦτα καὶ περὶ τῆς ἀποκαλύψεως ἱστόρηται τῷ δεδηλωμένῳ. μέμνηται δὲ καὶ τῆς Ἰωάννου πρώτης ἐπιστολῆς, μαρτύρια ἐξ αὐτῆς πλεῖστα εἰσφέρων, ὁμοίως δὲ καὶ τῆς Πέτρου προτέρας. οὐ μόνον δὲ οἶδεν, ἀλλὰ καὶ ἀποδέχεται τὴν τοῦ Ποιμένος γραφὴν λέγων "καλῶς οὖν εἶπεν ἡ γραφὴ "ἡ λέγουσα, πρῶτον πάντων πίστευσον ὅτι εἷς ἐστιν "ὁ θεός, ὁ τὰ πάντα κτίσας" καὶ τὰ ἑξῆς.* 8. *καὶ ῥητοῖς δέ τισιν ἐκ τῆς Σολομῶνος Σοφίας κέχρηται, μονονουχὶ φάσκων· ὅρασις δὲ θεοῦ περιποιητικὴ ἀφθαρσίας, ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ. καὶ ἀπομνημονευμάτων δὲ ἀποστολικοῦ τινὸς πρεσβυτέρου, οὗ τοὔνομα σιωπῇ παραδέδωκε, μνημονεύει,*

---

4 Iren. V, 30, 1. p. 328. 11 Iren. V, 30, 3. p. 330. 23 Iren. IV, 20, 2. p. 253. 27 Iren. IV 38, 3. p. 285. Conf. Sap. 6, 20.

ἐξηγήσεις τε αὐτοῦ θείων γραφῶν παρατέθειται. 9. ἔτι καὶ Ἰουστίνου τοῦ μάρτυρος καὶ Ἰγνατίου μνήμην πεποίηται, μαρτυρίαις αὖθις καὶ ἀπὸ τῶν τούτοις γραφέντων κεχρημένος. ἐπήγγελται δὲ αὐτὸς ἐκ τῶν Μαρκίωνος συγγραμμάτων ἀντιλέξειν αὐτῷ ἐν ἰδίῳ σπουδάσματι. 10. καὶ περὶ τῆς κατὰ τοὺς ἑβδομήκοντα ἑρμηνείας τῶν θεοπνεύστων γραφῶν ἄκουε οἷα κατὰ λέξιν γράφει "ὁ θεὸς οὖν ἄνθρωπος ἐγένετο, καὶ αὐτὸς κύριος ἔσωσεν ἡμᾶς, δοὺς τὸ τῆς παρθένου σημεῖον· ἀλλ' οὐχ ὡς ἔνιοί φασι τῶν νῦν τολμώντων μεθερμηνεύειν τὴν γραφὴν 'ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν', ὡς Θεοδοτίων ἡρμήνευσεν ὁ Ἐφέσιος, καὶ Ἀκύλας ὁ Ποντικός, ἀμφότεροι Ἰουδαῖοι προσήλυτοι, οἷς κατακολουθήσαντες οἱ Ἐβιωναῖοι ἐξ Ἰωσὴφ αὐτὸν γεγενῆσθαι φάσκουσι." 11. τούτοις ἐπιφέρει μετὰ βραχέα λέγων "πρὸ τοῦ γὰρ Ῥωμαίους κρατῦναι τὴν ἀρχὴν αὐτῶν, ἔτι τῶν Μακεδόνων τὴν Ἀσίαν κατεχόντων, Πτολεμαῖος ὁ Λάγου, φιλοτιμούμενος τὴν ὑπ' αὐτοῦ κατεσκευασμένην βιβλιοθήκην ἐν Ἀλεξανδρείᾳ κοσμῆσαι τοῖς πάντων ἀνθρώπων συγγράμμασιν, ὅσα γε σπουδαῖα ὑπῆρχεν, ᾐτήσατο παρὰ τῶν Ἱεροσολυμιτῶν εἰς τὴν Ἑλληνικὴν διάλεκτον σχεῖν αὐτῶν μεταβεβλημένας τὰς γραφάς. 12. οἱ δὲ (ὑπήκουον γὰρ ἔτι τοῖς Μακεδόσι τότε) τοὺς παρ' αὐτοῖς ἐμπειροτάτους τῶν γραφῶν καὶ ἀμφοτέρων τῶν διαλέκτων, ἑβδομήκοντα πρεσβυτέρους ἔπεμψαν Πτολεμαίῳ, ποιήσοντας τοῦθ' ὅπερ ἠβούλετο. 13. ὁ δὲ ἰδίᾳ πεῖραν αὐτῶν λαβεῖν θελή-

---

1 Iren. V, 33, 3. p. 333. IV, 6, 2. p. 233. V, 28, 4. p. 327. I, 27, 4. p. 106. III, 21, 1 et 2. p. 215. 12 Ies. 7, 14.

"σας, εὐλαβηθείς τε μή τι ἄρα συνθέμενοι ἀποκρύ- "ψωσι τὴν ἐν ταῖς γραφαῖς διὰ τῆς ἑρμηνείας ἀλή- "θειαν, χωρίσας αὐτοὺς ἀπ' ἀλλήλων ἐκέλευσε τοὺς "πάντας τὴν αὐτὴν ἑρμηνείαν γράφειν, καὶ τοῦτο "ἐπὶ πάντων τῶν βιβλίων ἐποίησε. 14. συνελθόντων "δὲ αὐτῶν ἐπὶ τὸ αὐτὸ παρὰ τῷ Πτολεμαίῳ, καὶ "συναντιβαλλόντων ἑκάστου τὴν ἑαυτοῦ ἑρμηνείαν, "ὁ μὲν θεὸς ἐδοξάσθη, αἱ δὲ γραφαὶ ὄντως θεῖαι "ἐγνώσθησαν, τῶν πάντων τὰ αὐτὰ ταῖς αὐταῖς λέ- "ξεσι καὶ τοῖς αὐτοῖς ὀνόμασιν ἀναγορευσάντων ἀπ' "ἀρχῆς μέχρι τέλους, ὥστε καὶ τὰ παρόντα ἔθνη "γνῶναι ὅτι κατ' ἐπίπνοιαν τοῦ θεοῦ εἰσιν ἡρμη- "νευμέναι αἱ γραφαί. 15. καὶ οὐδέν γε θαυμαστὸν "τοῦτο ἐνηργηκέναι τὸν θεόν, ὅς γε καὶ ἐν τῇ ἐπὶ "Ναβουχοδονόσορ αἰχμαλωσίᾳ τοῦ λαοῦ, διαφθαρει- "σῶν τῶν γραφῶν, καὶ μετὰ ἑβδομήκοντα ἔτη τῶν "Ἰουδαίων ἀνελθόντων εἰς τὴν χώραν αὐτῶν, ἔπειτα "ἐν τοῖς χρόνοις Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως "ἐνέπνευσεν Ἔσδρᾳ τῷ ἱερεῖ ἐκ τῆς φυλῆς Λευί, τοὺς "τῶν προγεγονότων προφητῶν πάντας ἀνατάξασθαι "λόγους, καὶ ἀποκαταστῆσαι τῷ λαῷ τὴν διὰ Μωυ- "σέως νομοθεσίαν." τοσαῦτα ὁ Εἰρηναῖος.

IX. [Nic. H. E. IV, 19.] Ἐννέα δὲ καὶ δέκα ἔτεσι τῇ βασιλείᾳ διαρκέσαντος Ἀντωνίνου, Κόμοδος τὴν ἡγεμονίαν παραλαμβάνει, οὗ κατὰ τὸ πρῶτον ἔτος τῶν κατ' Ἀλεξάνδρειαν ἐκκλησιῶν Ἰουλιανὸς ἐγχειρίζεται τὴν ἐπισκοπήν, ἐπὶ δυοκαίδεκα ἔτεσιν Ἀγριππίνου τὴν λειτουργίαν ἀναπλήσαντος.

X. [Nic. H. E. IV, 32.] Ἡγεῖτο δὲ τηνικαῦτα τῆς τῶν πιστῶν αὐτόθι διατριβῆς τῶν ἀπὸ παιδείας ἀνὴρ ἐπιδοξότατος, ὄνομα αὐτῷ Πάνταινος, ἐξ ἀρχαίου ἔθους διδασκαλείου τῶν ἱερῶν λόγων παρ' αὐτοῖς

συνεστῶτος, ὃ καὶ εἰς ἡμᾶς παρατείνεται, καὶ πρὸς τῶν ἐν λόγῳ καὶ τῇ περὶ τὰ θεῖα σπουδῇ δυνατῶν συγκροτεῖσθαι παρειλήφαμεν. ἐν δὲ τοῖς μάλιστα κατ' ἐκεῖνο καιροῦ διαλάμψαι λόγος ἔχει τὸν δεδηλωμένον, οἷα καὶ ἀπὸ φιλοσόφου ἀγωγῆς τῶν καλουμένων Στωϊκῶν ὁρμώμενον. 2. τοσαύτην δ' οὖν φασιν αὐτὸν ἐκθυμοτάτῃ διαθέσει προθυμίαν περὶ τὸν θεῖον λόγον ἐνδείξασθαι ὡς καὶ κήρυκα τοῦ κατὰ Χριστὸν εὐαγγελίου τοῖς ἐπ' ἀνατολῆς ἔθνεσιν ἀναδειχθῆναι, μέχρι καὶ τῆς Ἰνδῶν στειλάμενον γῆς. ἦσαν γάρ, ἦσαν εἰσέτι τότε πλείους εὐαγγελισταὶ τοῦ λόγου, ἔνθεον ζῆλον ἀποστολικοῦ μιμήματος συνεισφέρειν ἐπ' αὐξήσει καὶ οἰκοδομῇ τοῦ θείου λόγου προμηθούμενοι. 3. ὧν εἷς γενόμενος καὶ ὁ Πάνταινος καὶ εἰς Ἰνδοὺς ἐλθεῖν λέγεται, ἔνθα λόγος εὑρεῖν αὐτὸν προφθάσαν τὴν αὐτοῦ παρουσίαν τὸ κατὰ Ματθαῖον εὐαγγέλιον παρά τισιν αὐτόθι τὸν Χριστὸν ἐπεγνωκόσιν, οἷς Βαρθολομαῖον τῶν ἀποστόλων ἕνα κηρῦξαι, αὐτοῖς τε Ἑβραίων γράμμασι τὴν τοῦ Ματθαίου καταλεῖψαι γραφήν, ἣν καὶ σώζεσθαι εἰς τὸν δηλούμενον χρόνον. 4. ὅ γε μὴν Πάνταινος ἐπὶ πολλοῖς κατορθώμασι τοῦ κατ' Ἀλεξάνδρειαν τελευτῶν ἡγεῖται διδασκαλείου, ζώσῃ φωνῇ καὶ διὰ συγγραμμάτων τοὺς τῶν θείων δογμάτων θησαυροὺς ὑπομνηματιζόμενος.

XI. [Nic. H. E. IV, 33.] Κατὰ τοῦτον ταῖς θείαις γραφαῖς συνασκούμενος ἐπ' Ἀλεξανδρείας ἐγνωρίζετο Κλήμης, ὁμώνυμος τῷ πάλαι τῆς Ῥωμαίων ἐκκλησίας ἡγησαμένῳ φοιτητῇ τῶν ἀποστόλων. 2. ὅς δὴ καὶ ὀνομαστὶ ἐν αἷς συνέταξεν Ὑποτυπώσεσιν ὡσὰν διδασκάλου τοῦ Πανταίνου μέμνηται, τοῦτόν τε αὐτὸν καὶ τῶν Στρωματέων ἐν πρώτῳ συγγράμματι αἰνίτ-

τεσθαί μοι δοκεῖ, ὅτε τοὺς ἐμφανεστέρους ἧς κατείληφεν ἀποστολικῆς διαδοχῆς ἐπισημαινόμενος ταῦτά φησιν 3. "ἤδη δὲ οὐ γραφὴ εἰς ἐπίδειξιν τετεχνασμένη ἥδε ἡ πραγματεία, ἀλλά μοι ὑπομνήματα εἰς γῆρας θησαυρίζεται, λήθης φάρμακον, εἴδωλον ἀτεχνῶς καὶ σκιαγραφία τῶν ἐναργῶν καὶ ἐμψύχων ἐκείνων ὧν κατηξιώθην ἐπακοῦσαι λόγων τε καὶ ἀνδρῶν μακαρίων καὶ τῷ ὄντι ἀξιολόγων. 4. τούτων ὁ μὲν ἐπὶ τῆς Ἑλλάδος, ὁ Ἰωνικὸς, ὁ δὲ ἐπὶ τῆς μεγάλης Ἑλλάδος, τῆς Κοίλης ἅτερος αὐτῶν Συρίας ἦν, ὁ δὲ ἀπ' Αἰγύπτου, ἄλλοι δὲ ἀνὰ τὴν ἀνατολὴν, καὶ ταύτης ὁ μέν τις τῶν Ἀσσυρίων, ὁ δὲ ἐν τῇ Παλαιστίνῃ Ἑβραῖος ἀνέκαθεν. ὑστάτῳ δὲ περιτυχὼν (δυνάμει δὲ ἄρα πρῶτος ἦν) ἀνεπαυσάμην, ἐν Αἰγύπτῳ θηράσας λεληθότα. 5. ἀλλ' οἱ μὲν τὴν ἀληθῆ τῆς μακαρίας σώζοντες διδασκαλίας παράδοσιν εὐθὺς ἀπὸ Πέτρου καὶ Ἰακώβου, Ἰωάννου τε καὶ Παύλου τῶν ἁγίων ἀποστόλων, παῖς παρὰ πατρὸς ἐκδεξάμενος (ὀλίγοι δὲ οἱ πατράσιν ὅμοιοι), ἧκον δὴ σὺν θεῷ καὶ εἰς ἡμᾶς, τὰ προγονικὰ ἐκεῖνα καὶ ἀποστολικὰ καταθησόμενοι σπέρματα."

XII. [Nic. H. E. IV, 19.] Ἐπὶ τούτων τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐπίσκοπος ὁ παρὰ πολλοῖς εἰσέτι νῦν βεβοημένος Νάρκισσος ἐγνωρίζετο, πεντεκαιδεκάτην ἄγων διαδοχὴν ἀπὸ τῆς τῶν Ἰουδαίων κατὰ Ἀδριανὸν πολιορκίας, ἐξ οὗ δὴ πρῶτον τὴν αὐτόθι ἐκκλησίαν ἐξ ἐθνῶν συστῆναι μετὰ τοὺς ἐκ περιτομῆς, καθηγήσασθαί τε αὐτῶν πρῶτον ἐξ ἐθνῶν ἐπίσκοπον Μάρκον ἐδηλώσαμεν. 2. μεθ' ὃν ἐπισκοπεῦσαι Κασσιανὸν αἱ τῶν αὐτόθι διαδοχαὶ περιέ-

3 Clem. Strom. 1, 1. p. 322.

συνεστῶτος, ὃ καὶ εἰς ἡμᾶς παρατείνεται, καὶ πρὸς τῶν ἐν λόγῳ καὶ τῇ περὶ τὰ θεῖα σπουδῇ δυνατῶν συγκροτεῖσθαι παρειλήφαμεν. ἐν δὲ τοῖς μάλιστα κατ' ἐκεῖνο καιροῦ διαλάμψαι λόγος ἔχει τὸν δεδηλωμένον, οἷα καὶ ἀπὸ φιλοσόφου ἀγωγῆς τῶν καλουμένων Στωϊκῶν ὁρμώμενον. 2. τοσαύτην δ' οὖν φασιν αὐτὸν ἐκθυμοτάτῃ διαθέσει προθυμίαν περὶ τὸν θεῖον λόγον ἐνδείξασθαι ὡς καὶ κήρυκα τοῦ κατὰ Χριστὸν εὐαγγελίου τοῖς ἐπ' ἀνατολῆς ἔθνεσιν ἀναδειχθῆναι, μέχρι καὶ τῆς Ἰνδῶν στειλάμενον γῆς. ἦσαν γάρ, ἦσαν εἰσέτι τότε πλείους εὐαγγελισταὶ τοῦ λόγου, ἔνθεον ζῆλον ἀποστολικοῦ μιμήματος συνεισφέρειν ἐπ' αὐξήσει καὶ οἰκοδομῇ τοῦ θείου λόγου προμηθούμενοι. 3. ὧν εἷς γενόμενος καὶ ὁ Πάνταινος καὶ εἰς Ἰνδοὺς ἐλθεῖν λέγεται, ἔνθα λόγος εὑρεῖν αὐτὸν προφθάσαν τὴν αὐτοῦ παρουσίαν τὸ κατὰ Ματθαῖον εὐαγγέλιον παρά τισιν αὐτόθι τὸν Χριστὸν ἐπεγνωκόσιν, οἷς Βαρθολομαῖον τῶν ἀποστόλων ἕνα κηρῦξαι, αὐτοῖς τε Ἑβραίων γράμμασι τὴν τοῦ Ματθαίου καταλεῖψαι γραφήν, ἣν καὶ σώζεσθαι εἰς τὸν δηλούμενον χρόνον. 4. ὅ γε μὴν Πάνταινος ἐπὶ πολλοῖς κατορθώμασι τοῦ κατ' Ἀλεξάνδρειαν τελευτῶν ἡγεῖται διδασκαλείου, ζώσῃ φωνῇ καὶ διὰ συγγραμμάτων τοὺς τῶν θείων δογμάτων θησαυροὺς ὑπομνηματιζόμενος.

XI. [Nic. H. E. IV, 33.] Κατὰ τοῦτον ταῖς θείαις γραφαῖς συνασκούμενος ἐπ' Ἀλεξανδρείας ἐγνωρίζετο Κλήμης, ὁμώνυμος τῷ πάλαι τῆς Ῥωμαίων ἐκκλησίας ἡγησαμένῳ φοιτητῇ τῶν ἀποστόλων. 2. ὅς δὴ καὶ ὀνομαστὶ ἐν αἷς συνέταξεν Ὑποτυπώσεσιν ὡσὰν διδασκάλου τοῦ Πανταίνου μέμνηται, τοῦτόν τε αὐτὸν καὶ τῶν Στρωματέων ἐν πρώτῳ συγγράμματι αἰνίτ-

τεσθαί μοι δοκεῖ, ὅτε τοὺς ἐμφανεστέρους ἧς κατείληφεν ἀποστολικῆς διαδοχῆς ἐπισημαινόμενος ταῦτά φησιν 3. "ἤδη δὲ οὐ γραφὴ εἰς ἐπίδειξιν τετεχνασμένη "ἥδε ἡ πραγματεία, ἀλλά μοι ὑπομνήματα εἰς γῆρας "θησαυρίζεται, λήθης φάρμακον, εἴδωλον ἀτεχνῶς καὶ "σκιαγραφία τῶν ἐναργῶν καὶ ἐμψύχων ἐκείνων ὧν "κατηξιώθην ἐπακοῦσαι λόγων τε καὶ ἀνδρῶν μακα-"ρίων καὶ τῷ ὄντι ἀξιολόγων. 4. τούτων ὁ μὲν ἐπὶ "τῆς Ἑλλάδος, ὁ Ἰωνικὸς, ὁ δὲ ἐπὶ τῆς μεγάλης "Ἑλλάδος, τῆς Κοίλης ἅτερος αὐτῶν Συρίας ἦν, ὁ "δὲ ἀπ' Αἰγύπτου, ἄλλοι δὲ ἀνὰ τὴν ἀνατολὴν, καὶ "ταύτης ὁ μέν τις τῶν Ἀσσυρίων, ὁ δὲ ἐν τῇ Παλαι-"στίνῃ Ἑβραῖος ἀνέκαθεν. ὑστάτῳ δὲ περιτυχὼν "(δυνάμει δὲ ἄρα πρῶτος ἦν) ἀνεπαυσάμην, ἐν "Αἰγύπτῳ θηράσας λεληθότα. 5. ἀλλ' οἱ μὲν τὴν "ἀληθῆ τῆς μακαρίας σώζοντες διδασκαλίας παρά-"δοσιν εὐθὺς ἀπὸ Πέτρου καὶ Ἰακώβου, Ἰωάννου τε "καὶ Παύλου τῶν ἁγίων ἀποστόλων, παῖς παρὰ πα-"τρὸς ἐκδεξάμενος (ὀλίγοι δὲ οἱ πατράσιν ὅμοιοι), "ἧκον δὴ σὺν θεῷ καὶ εἰς ἡμᾶς, τὰ προγονικὰ ἐκεῖνα "καὶ ἀποστολικὰ καταθησόμενοι σπέρματα."

XII. [Nic. H. E. IV, 19.] Ἐπὶ τούτων τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐπίσκοπος ὁ παρὰ πολλοῖς εἰσέτι νῦν βεβοημένος Νάρκισσος ἐγνωρίζετο, πεντεκαιδεκάτην ἄγων διαδοχὴν ἀπὸ τῆς τῶν Ἰουδαίων κατὰ Ἀδριανὸν πολιορκίας, ἐξ οὗ δὴ πρῶτον τὴν αὐτόθι ἐκκλησίαν ἐξ ἐθνῶν συστῆναι μετὰ τοὺς ἐκ περιτομῆς, καθηγήσασθαί τε αὐτῶν πρῶτον ἐξ ἐθνῶν ἐπίσκοπον Μάρκον ἐδηλώσαμεν. 2. μεθ' ὃν ἐπισκοπεῦσαι Κασσιανὸν αἱ τῶν αὐτόθι διαδοχαὶ περιέ-

3 Clem. Strom. 1, 1. p. 322.

χουσι, καὶ μετὰ τοῦτον Πούπλιον, εἶτα Μάξιμον, καὶ ἐπὶ τούτοις Ἰουλιανὸν, ἔπειτα Γάϊον, μεθ᾽ ὃν Σύμμαχον, καὶ Γάϊον ἕτερον, καὶ πάλιν ἄλλον Ἰουλιανὸν, Καπίτωνά τε πρὸς τούτοις καὶ Οὐάλεντα καὶ Δολιχιανὸν, καὶ ἐπὶ πᾶσι τὸν Νάρκισσον, τριακοστὸν ἀπὸ τῶν ἀποστόλων κατὰ τὴν τῶν ἑξῆς διαδοχὴν γεγενημένον.

XIII. [Nic. H. E. IV, 29.] Ἐν τούτῳ καὶ Ῥόδων, γένος τῶν ἀπὸ Ἀσίας, μαθητευθεὶς ἐπὶ Ῥώμης, ὡς αὐτὸς ἱστορεῖ, Τατιανῷ, ὃν ἐκ τῶν πρόσθεν ἔγνωμεν, διάφορα συντάξας βιβλία, μετὰ τῶν λοιπῶν καὶ πρὸς τὴν Μαρκίωνος παρατέτακται αἵρεσιν· ἣν καὶ εἰς διαφόρους γνώμας κατ᾽ αὐτὸν διαστᾶσαν ἱστορεῖ, τοὺς τὴν διάστασιν ἐμπεποιηκότας ἀναγράφων, ἐπ᾽ ἀκριβές τε τὰς παρ᾽ ἑκάστῳ τούτων ἐπινενοημένας διελέγχων ψευδολογίας. 2. ἄκουε δ᾽ οὖν καὶ αὐτοῦ ταῦτα γράφοντος “διὰ τοῦτο καὶ παρ᾽ ἑαυτοῖς ἀσύμφωνοι γεγόνασιν, ἀσυστάτου γνώμης ἀντιποιούμενοι. ἀπὸ γὰρ τῆς τούτων ἀγέλης Ἀπελλῆς μὲν, ὁ τῇ πολιτείᾳ σεμνυνόμενος καὶ τῷ γήρᾳ, μίαν ἀρχὴν ὁμολογεῖ, τὰς δὲ προφητείας ἐξ ἀντικειμένου λέγει πνεύματος, πειθόμενος ἀποφθέγμασι παρθένου δαιμονώσης, ὄνομα Φιλουμένης. 3. ἕτεροι δὲ, καθὼς καὶ αὐτὸς ὁ ναύτης Μαρκίων, δύο ἀρχὰς εἰσηγοῦνται· ἀφ᾽ ὧν εἰσι Ποτῖτός τε καὶ Βασιλικός. 4. καὶ οὗτοι μὲν κατακολουθήσαντες τῷ Ποντικῷ λύκῳ, καὶ μὴ εὑρίσκοντες τὴν διαίρεσιν τῶν πραγμάτων, ὡς οὐδὲ ἐκεῖνος, ἐπὶ τὴν εὐχέρειαν ἐτράποντο, καὶ δύο ἀρχὰς ἀπεφήναντο ψιλῶς καὶ ἀναποδείκτως. ἄλλοι δὲ πάλιν ἀπ᾽ αὐτῶν ἐπὶ τὸ χεῖρον ἐξοκείλαντες οὐ μόνον δύο, ἀλλὰ καὶ τρεῖς ὑποτίθενται φύσεις, ὧν ἐστιν ἀρχηγὸς καὶ προστάτης Σύνερως, καθὼς οἱ τὸ

"διδασκαλεῖον αὐτοῦ προβαλλόμενοι λέγουσι." 5. γράφει δὲ ὁ αὐτὸς ὡς καὶ εἰς λόγους ἐληλύθοι τῷ Ἀπελλῇ, φάσκων οὕτως "ὁ γὰρ γέρων Ἀπελλῆς συμμίξας ἡμῖν πολλὰ μὲν κακῶς λέγων ἠλέγχθη, ὅθεν καὶ ἔφασκε μὴ δεῖν ὅλως ἐξετάζειν τὸν λόγον, ἀλλ' ἕκαστον, ὡς πεπίστευκε, διαμένειν. σωθήσεσθαι γὰρ τοὺς ἐπὶ τὸν ἐσταυρωμένον ἠλπικότας ἀπεφαίνετο, μόνον ἐὰν ἐν ἔργοις ἀγαθοῖς εὑρίσκωνται. τὸ δὲ πάντων ἀσαφέστατον ἐδογματίζετο αὐτῷ πρᾶγμα, καθὼς προειρήκαμεν, τὸ περὶ τοῦ θεοῦ. ἔλεγε μὲν γὰρ μίαν ἀρχὴν καθὼς καὶ ὁ ἡμέτερος λόγος." 6. εἶτα προθεὶς αὐτοῦ πᾶσαν τὴν δόξαν ἐπιφέρει φάσκων "λέγοντος δέ μου πρὸς αὐτὸν 'πόθεν ἡ ἀπόδειξις αὕτη σοι, ἢ πῶς δύνασαι λέγειν μίαν ἀρχήν, φράσον ἡμῖν' ἔφη τὰς μὲν προφητείας ἑαυτὰς ἐλέγχειν, διὰ τὸ μηδὲν ὅλως ἀληθὲς εἰρηκέναι· ἀσύμφωνοι γὰρ ὑπάρχουσι καὶ ψευδεῖς καὶ ἑαυταῖς ἀντικείμεναι. τὸ δὲ πῶς ἐστι μία ἀρχὴ μὴ γινώσκειν ἔλεγεν, οὕτω δὲ κινεῖσθαι μόνον. 7. εἶτ' ἐπομοσαμένου μου τἀληθὲς εἰπεῖν, ὤμνυεν ἀληθεύων λέγειν, μὴ ἐπίστασθαι πῶς εἷς ἐστιν ἀγέννητος θεός, τοῦτο δὲ πιστεύειν. ἐγὼ δὲ γελάσας κατέγνων αὐτοῦ, διότι διδάσκαλος εἶναι λέγων οὐκ ᾔδει τὸ διδασκόμενον ὑπ' αὐτοῦ κρατύνειν." 8. ἐν τῷ αὐτῷ δὲ συγγράμματι Καλλιστίωνι προσφωνῶν ὁ αὐτὸς μεμαθητεῦσθαι ἐπὶ Ῥώμης Τατιανῷ ἑαυτὸν ὁμολογεῖ. φησὶ δὲ καὶ ἐσπουδάσθαι τῷ Τατιανῷ προβλημάτων βιβλίον, δι' ὧν τὸ ἀσαφὲς καὶ ἐπικεκρυμμένον τῶν θείων γραφῶν παραστήσειν ὑποσχομένου τοῦ Τατιανοῦ αὐτὸς ὁ Ῥόδων ἐν ἰδίῳ συγγράμματι τὰς τῶν ἐκείνου προβλημάτων ἐπιλύσεις ἐκθήσεσθαι ἐπαγγέλλεται. φέρεται δὲ τοῦ αὐτοῦ καὶ εἰς τὴν ἑξαήμε-

ρον ὑπόμνημα. 9. ὅ γέ τοι Ἀπελλῆς οὗτος μυρία κατὰ τοῦ Μωυσέως ἠσέβησε νόμου, διὰ πλειόνων συγγραμμάτων τοὺς θείους βλασφημήσας λόγους, εἰς ἔλεγχόν τε, ὥς γε δὴ ἐδόκει, καὶ ἀνατροπὴν αὐτῶν οὐ μικρὰν πεποιημένος σπουδήν. ταῦτα μὲν οὖν περὶ τούτων.

XIV. [Nic. H. E. IV, 20.] Μισόκαλός γε μὴν ἐς τὰ μάλιστα καὶ φιλοπόνηρος ὢν ὁ τῆς ἐκκλησίας τοῦ θεοῦ πολέμιος, μηδένα τε μηδαμῶς τῆς κατὰ τῶν ἀνθρώπων ἀπολιπὼν ἐπιβουλῆς τρόπον, αἱρέσεις ξένας αὖθις ἐπιφύεσθαι κατὰ τῆς ἐκκλησίας ἐνήργει, ὧν οἱ μὲν ἰοβόλων δίκην ἑρπετῶν ἐπὶ τῆς Ἀσίας καὶ Φρυγίας εἷρπον, τὸν μὲν παράκλητον Μοντανὸν, τὰς δ' ἐξ αὐτοῦ γυναῖκας, Πρίσκιλλαν καὶ Μαξίμιλλαν, ὡσὰν τοῦ Μοντανοῦ προφήτιδας γεγονυίας αὐχοῦντες.

XV. οἱ δ' ἐπὶ Ῥώμης ἤκμαζον, ὧν ἡγεῖτο Φλωρῖνος, πρεσβυτερίου τῆς ἐκκλησίας ἀποπεσὼν, Βλάστος τε σὺν τούτῳ παραπλησίῳ πτώματι κατεσχημένος. οἳ καὶ πλείους τῆς ἐκκλησίας περιέλκοντες ἐπὶ τὸ σφῶν ὑπῆγον βούλημα, θάτερος ἰδίως περὶ τὴν ἀλήθειαν νεωτερίζειν πειρώμενος.

XVI. [Nic. H. E. IV, 23.] Πρὸς μὲν οὖν τὴν λεγομένην κατὰ Φρύγας αἵρεσιν ὅπλον ἰσχυρὸν καὶ ἀκαταγώνιστον ἐπὶ τῆς Ἱεραπόλεως τὸν Ἀπολινάριον, οὗ καὶ πρόσθεν μνήμην ὁ λόγος πεποίητο, ἄλλους τε σὺν αὐτῷ πλείους τῶν τηνικάδε λογίων ἀνδρῶν ἡ τῆς ἀληθείας ὑπέρμαχος ἀνίστη δύναμις, ἐξ ὧν καὶ ἡμῖν ἱστορίας πλείστη τις ὑπόθεσις καταλέλειπται. 2. ἀρχόμενος γοῦν τῆς κατ' αὐτῶν γραφῆς τῶν εἰρημένων δή τις πρῶτον ἐπισημαίνεται, ὡς καὶ ἀγράφοις τοῖς κατ' αὐτῶν ἐπεξέλθοι ἐλέγχοις. προοιμιά-

ζεται γοῦν τοῦτον τὸν τρόπον 3. "ἐκ πλείστου ὅσου καὶ ἱκανωτάτου χρόνου, ἀγαπητὲ Ἀουίρκιε Μάρκελλε, ἐπιταχθεὶς ὑπὸ σοῦ συγγράψαι τινὰ λόγον εἰς τὴν τῶν κατὰ Μιλτιάδην λεγομένων αἵρεσιν, ἐφεκτικώτερόν πως μέχρι νῦν διεκείμην, οὐκ ἀπορίᾳ τοῦ δύνασθαι ἐλέγχειν μὲν τὸ ψεῦδος, μαρτυρεῖν δὲ τῇ ἀληθείᾳ, δεδιὼς δὲ καὶ ἐξευλαβούμενος μή πη δόξω τισὶν ἐπισυγγράφειν ἢ ἐπιδιατάσσεσθαι τῷ τῆς τοῦ εὐαγγελίου καινῆς διαθήκης λόγῳ, ᾧ μήτε προσθεῖναι μήτ' ἀφελεῖν δυνατὸν τῷ κατὰ τὸ εὐαγγέλιον αὐτὸ πολιτεύεσθαι προῃρημένῳ. 4. προσφάτως δὲ γενόμενος ἐν Ἀγκύρᾳ τῆς Γαλατίας, καὶ καταλαβὼν τὴν κατὰ Πόντον ἐκκλησίαν ὑπὸ τῆς νέας ταύτης, οὐχ, ὡς αὐτοί φασι, προφητείας, πολὺ δὲ μᾶλλον, ὡς δειχθήσεται, ψευδοπροφητείας διατεθρυλημένην, καθ' ὅσον δυνατὸν, τοῦ κυρίου παρασχόντος, περὶ αὐτῶν τε τούτων καὶ τῶν προτεινομένων ὑπ' αὐτῶν ἕκαστά τε διελέχθημεν ἡμέραις πλείοσιν ἐν τῇ ἐκκλησίᾳ, ὡς τὴν μὲν ἐκκλησίαν ἀγαλλιασθῆναι καὶ πρὸς τὴν ἀλήθειαν ἐπιρρωσθῆναι, τοὺς δ' ἐξ ἐναντίας πρὸς τὸ παρὸν ἀποκρουσθῆναι, καὶ τοὺς ἀντιθέους λυπηθῆναι. 5. ἀξιούντων οὖν τῶν κατὰ τόπον πρεσβυτέρων, ὅπως τῶν λεχθέντων κατὰ τῶν ἀντιδιατιθεμένων τῷ τῆς ἀληθείας λόγῳ ὑπόμνημά τι καταλίπωμεν, παρόντος καὶ τοῦ συμπρεσβυτέρου ἡμῶν Ζωτικοῦ τοῦ Ὀτρηνοῦ, τοῦτο μὲν οὐκ ἐπράξαμεν, ἐπηγγειλάμεθα δὲ, ἐνθάδε γράψαντες τοῦ κυρίου διδόντος διὰ σπουδῆς πέμψειν αὐτοῖς." 6. ταῦτα καὶ ἑξῆς τούτοις ἕτερα κατ' ἀρχὰς εἰπὼν τοῦ λόγου, τὸν αἴτιον τῆς δηλουμένης αἱρέσεως προϊὼν τοῦτον ἀνιστορεῖ τὸν τρόπον "ἡ τοίνυν ἔνστασις αὐτῶν καὶ ἡ πρόσφατος τοῦ ἀπο-

"σχίσματος αἵρεσις πρὸς τὴν ἐκκλησίαν τὴν αἰτίαν ἔσχε τοιαύτην. 7. κώμη τις εἶναι λέγεται ἐν τῇ κατὰ τὴν Φρυγίαν Μυσίᾳ, καλουμένη Ἀρδαβαῦ τοὔνομα· ἔνθα φασί τινα τῶν νεοπίστων πρώτως, Μοντανὸν τοὔνομα, κατὰ Γρᾶτον Ἀσίας ἀνθύπατον, ἐν ἐπιθυμίᾳ ψυχῆς ἀμέτρῳ φιλοπρωτείας δόντα πάροδον εἰς ἑαυτὸν τῷ ἀντικειμένῳ πνευματοφορηθῆναί τε καὶ αἰφνιδίως ἐν κατοχῇ τινι καὶ παρεκστάσει γενόμενον ἐνθουσιᾶν ἄρξασθαί τε λαλεῖν καὶ ξενοφωνεῖν, παρὰ τὸ κατὰ παράδοσιν καὶ κατὰ διαδοχὴν ἄνωθεν τῆς ἐκκλησίας ἔθος δῆθεν προφητεύοντα. 8. τῶν δὲ κατ' ἐκεῖνο καιροῦ ἐν τῇ τῶν νόθων ἐκφωνημάτων ἀκροάσει γενομένων οἱ μὲν ὡς ἐπὶ ἐνεργουμένῳ καὶ δαιμονῶντι καὶ ἐν πλάνης πνεύματι ὑπάρχοντι καὶ τοὺς ὄχλους ταράττοντι ἀχθόμενοι ἐπετίμων καὶ λαλεῖν ἐκώλυον, μεμνημένοι τῆς τοῦ κυρίου διαστολῆς τε καὶ ἀπειλῆς πρὸς τὸ φυλάττεσθαι τὴν τῶν ψευδοπροφητῶν ἐγρηγορότως παρουσίαν· οἱ δὲ ὡς ἁγίῳ πνεύματι καὶ προφητικῷ χαρίσματι ἐπαιρόμενοι καὶ οὐχ ἥκιστα χαυνούμενοι, καὶ τῆς διαστολῆς τοῦ κυρίου ἐπιλανθανόμενοι, τὸ βλαψίφρον καὶ ὑποκοριστικὸν καὶ λαοπλάνον πνεῦμα προυκαλοῦντο, θελγόμενοι καὶ πλανώμενοι ὑπ' αὐτοῦ, εἰς τὸ μηκέτι κωλύεσθαι σιωπᾶν. 9. τέχνῃ δέ τινι, μᾶλλον δὲ τοιαύτῃ μεθόδῳ κακοτεχνίας ὁ διάβολος τὴν κατὰ τῶν παρηκόων ἀπώλειαν μηχανησάμενος, καὶ παρ' ἀξίαν ὑπ' αὐτῶν τιμώμενος, ὑπεξήγειρέ τε καὶ προσεξέκαυσεν αὐτῶν τὴν ἀποκεκοιμημένην ἀπὸ τῆς κατ' ἀλήθειαν πίστεως διάνοιαν, ὡς καὶ ἑτέρας τινὰς δύο γυναῖκας ἐπεγεῖραι καὶ τοῦ νόθου πνεύματος πληρῶσαι, ὡς καὶ λαλεῖν ἐκφρόνως καὶ ἀκαίρως καὶ ἀλλοτριοτρόπως, ὁμοίως τῷ προειρημένῳ, καὶ τοὺς

μὲν χαίροντας καὶ χαυνουμένους ἐπ' αὐτῷ μακαρίζοντος τοῦ πνεύματος, καὶ διὰ τοῦ μεγέθους τῶν ἐπαγγελμάτων ἐκφυσιοῦντος, ἔσθ' ὅπη δὲ καὶ κατακρίνοντος στοχαστικῶς καὶ ἀξιοπίστως αὐτοὺς ἄντικρυς, ἵνα καὶ ἐλεγκτικὸν εἶναι δοκῇ, (ὀλίγοι δ' ἦσαν οὗτοι τῶν Φρυγῶν ἐξηπατημένοι), τὴν δὲ καθόλου καὶ πᾶσαν τὴν ὑπὸ τὸν οὐρανὸν ἐκκλησίαν βλασφημεῖν διδάσκοντος τοῦ ἀπηυθαδισμένου πνεύματος, ὅτι μήτε τιμὴν μήτε πάροδον εἰς αὐτὴν τὸ ψευδοπροφητικὸν ἐλάμβανε πνεῦμα. 10. τῶν γὰρ κατὰ τὴν Ἀσίαν πιστῶν πολλάκις καὶ πολλαχῇ τῆς Ἀσίας εἰς τοῦτο συνελθόντων, καὶ τοὺς προσφάτους λόγους ἐξετασάντων καὶ βεβήλους ἀποφηνάντων καὶ ἀποδοκιμασάντων τὴν αἵρεσιν, οὕτω δὴ τῆς τε ἐκκλησίας ἐξεώσθησαν καὶ τῆς κοινωνίας εἴρχθησαν." 11. ταῦτα ἐν πρώτοις ἱστορήσας, καὶ δι' ὅλου τοῦ συγγράμματος τὸν ἔλεγχον τῆς κατ' αὐτοὺς πλάνης ἐπαγαγὼν, ἐν τῷ δευτέρῳ περὶ τῆς τελευτῆς τῶν προδεδηλωμένων ταῦτά φησιν 12. "ἐπειδὴ τοίνυν καὶ προφητοφόντας ἡμᾶς ἀπεκάλουν, ὅτι μὴ τοὺς ἀμετροφώνους αὐτῶν προφήτας ἐδεξάμεθα, (τούτους γὰρ εἶναί φασιν, οὕσπερ ἐπηγγείλατο τῷ λαῷ πέμψειν ὁ κύριος), ἀποκρινάσθωσαν ἡμῖν πρὸς θεοῦ, ἔστι τις, ὦ βέλτιστοι, τούτων τῶν ἀπὸ Μοντανοῦ καὶ τῶν γυναικῶν λαλεῖν ἀρξαμένων, ὅστις ὑπὸ Ἰουδαίων ἐδιώχθη ἢ ὑπὸ παρανόμων ἀπεκτάνθη; οὐδείς. οὐδέ γέ τις αὐτῶν κρατηθεὶς ὑπὲρ τοῦ ὀνόματος ἀνεσταυρώθη. οὐ γὰρ οὖν. οὐδὲ μὴν οὐδὲ ἐν συναγωγαῖς Ἰουδαίων τῶν γυναικῶν τις ἐμαστιγώθη ποτὲ ἢ ἐλιθοβολήθη. οὐδαμόσε οὐδαμῶς. 13. ἄλλῳ δὲ θανάτῳ τελευτῆσαι λέγονται Μοντανός τε καὶ Μαξίμιλλα. τούτους γὰρ ὑπὸ πνεύμα-

"τος βλαψίφρονος ἑκατέρους ὑποκινήσαντος λόγος ἀναρτῆσαι ἑαυτούς, οὐχ ὁμοῦ, κατὰ δὲ τὸν τῆς ἑκάστου τελευτῆς καιρὸν φήμη πολλή, καὶ οὕτω δὲ τελευτῆσαι καὶ τὸν βίον καταστρέψαι Ἰούδα προδότου δίκην. 14. καθάπερ καὶ τὸν θαυμαστὸν ἐκεῖνον τὸν πρῶτον τῆς κατ' αὐτοὺς λεγομένης προφητείας οἷον ἐπίτροπόν τινα Θεόδοτον πολὺς αἱρεῖ λόγος, ὡς αἰρόμενόν ποτε καὶ ἀναλαμβανόμενον εἰς οὐρανοὺς παρεκστῆναί τε καὶ καταπιστεῦσαι ἑαυτὸν τῷ τῆς ἀπάτης πνεύματι, καὶ δισκευθέντα κακῶς τελευτῆσαι. 15. φασὶ γοῦν τοῦτο οὕτως γεγονέναι, ἀλλὰ μὴ ἄνευ τοῦ ἰδεῖν ἡμᾶς ἐπίστασθαί τι τῶν τοιούτων νομίζομεν, ὦ μακάριε. ἴσως μὲν γὰρ οὕτως, ἴσως δὲ οὐχ οὕτως τετελευτήκασι Μοντανός τε καὶ Θεόδοτος καὶ ἡ προειρημένη γυνή." 16. αὖθις δ' ἐν τῷ αὐτῷ φησι λόγῳ τοὺς τότε ἱεροὺς ἐπισκόπους πεπειρᾶσθαι μὲν τὸ ἐν τῇ Μαξιμίλλῃ πνεῦμα διελέγξαι, κεκωλύσθαι δὲ πρὸς ἑτέρων, συνεργούντων δηλαδὴ τῷ πνεύματι. 17. γράφει δὲ οὕτως "καὶ μὴ λεγέτω ἐν τῷ αὐτῷ λόγῳ τῷ κατὰ Ἀστέριον Οὐρβανὸν τὸ διὰ Μαξιμίλλης πνεῦμα 'διώκομαι ὡς λύκος ἐκ προβάτων· οὐκ εἰμὶ λύκος· ῥῆμά εἰμι καὶ πνεῦμα καὶ δύναμις', ἀλλὰ τὴν ἐν τῷ πνεύματι δύναμιν ἐναργῶς δειξάτω καὶ ἐλεγξάτω, καὶ ἐξομολογεῖσθαι διὰ τοῦ πνεύματος καταναγκασάτω τοὺς τότε παρόντας εἰς τὸ δοκιμάσαι καὶ διαλεχθῆναι τῷ πνεύματι λαλοῦντι, ἄνδρας δοκίμους καὶ ἐπισκόπους, Ζωτικὸν ἀπὸ Κομάνης κώμης καὶ Ἰουλιανὸν ἀπὸ Ἀπαμείας, ὧν οἱ περὶ Θεμίσωνα τὰ στόματα φιμώσαντες οὐκ εἴασαν τὸ ψευδὲς καὶ λαοπλάνον πνεῦμα ὑπ' αὐτῶν ἐλεγχθῆναι." 18. ἐν ταὐτῷ δὲ πάλιν ἕτερα μεταξὺ πρὸς ἔλεγχον τῶν τῆς Μαξιμίλλης ψευδοπροφητειῶν εἰ-

πών, ὁμοῦ τόν τε χρόνον καθ' ὃν ταῦτ' ἔγραφε σημαίνει καὶ τῶν προρρήσεων αὐτῆς μέμνηται, δι' ὧν πολέμους ἔσεσθαι καὶ ἀκαταστασίας προεμαντεύσατο, ὧν καὶ τὴν ψευδολογίαν εὐθύνει ὧδε λέγων 19. "καὶ "πῶς οὐ καταφανὲς ἤδη γέγονε καὶ τοῦτο τὸ ψεῦδος; "πλείω γὰρ ἢ τρισκαίδεκα ἔτη εἰς ταύτην τὴν ἡμέ"ραν, ἐξ οὗ τετελεύτηκεν ἡ γυνή, καὶ οὔτε μερικὸς "οὔτε καθολικὸς κόσμῳ γέγονε πόλεμος, ἀλλὰ καὶ "Χριστιανοῖς μᾶλλον εἰρήνη διάμονος ἐξ ἐλέου θεοῦ". καὶ ταῦτα δὲ ἐκ τοῦ δευτέρου συγγράμματος. 20. καὶ ἀπὸ τοῦ τρίτου δὲ σμικρὰς παραθήσομαι λέξεις, δι' ὧν πρὸς τοὺς αὐχοῦντας, ὡς ἄρα πλείους καὶ αὐτῶν μεμαρτυρηκότες εἶεν, ταῦτά φησιν "ὅταν τοίνυν ἐν "πᾶσι τοῖς εἰρημένοις ἐλεγχθέντες ἀπορήσωσιν, ἐπὶ "τοὺς μάρτυρας πειρῶνται καταφεύγειν, λέγοντες "πολλοὺς ἔχειν μάρτυρας, καὶ τοῦτο εἶναι τεκμήριον "πιστὸν τῆς δυνάμεως τοῦ παρ' αὐτοῖς λεγομένου "προφητικοῦ πνεύματος. τὸ δ' ἔστιν ἄρα, ὡς ἔοικε, "παντὸς μᾶλλον οὐκ ἀληθές. 21. καὶ γὰρ τῶν ἄλλων "αἱρέσεών τινες πλείστους ὅσους ἔχουσι μάρτυρας, "καὶ οὐ παρὰ τοῦτο δήπου συγκαταθησόμεθα, οὐδὲ "ἀλήθειαν ἔχειν αὐτοὺς ὁμολογήσομεν. καὶ πρῶτοί "γε οἱ ἀπὸ τῆς Μαρκίωνος αἱρέσεως Μαρκιωνισταὶ "καλούμενοι πλείστους ὅσους ἔχειν Χριστοῦ μάρτυ"ρας λέγουσιν, ἀλλὰ τόν γε Χριστὸν αὐτὸν κατ' ἀλήθειαν οὐχ ὁμολογοῦσι." καὶ μετὰ βραχέα τούτοις ἐπιφέρει λέγων 22. "ὅθεν τοι καὶ ἐπειδὰν οἱ ἐπὶ τὸ "τῆς κατ' ἀλήθειαν πίστεως μαρτύριον κληθέντες "ἀπὸ τῆς ἐκκλησίας τύχωσι μετά τινων τῶν ἀπὸ τῆς "τῶν Φρυγῶν αἱρέσεως λεγομένων μαρτύρων, δια"φέρονταί τε πρὸς αὐτοὺς καὶ μὴ κοινωνήσαντες αὐ"τοῖς τελειοῦνται, διὰ τὸ μὴ βούλεσθαι συγκαταθέ-

σθαι τῷ διὰ Μοντανοῦ καὶ τῶν γυναικῶν πνεύματι. καὶ ὅτι τοῦτο ἀληθὲς καὶ ἐπὶ τῶν ἡμετέρων χρόνων ἐν Ἀπαμείᾳ τῇ πρὸς Μαιάνδρῳ τυγχάνει γεγενημένον ἐν τοῖς περὶ Γάϊον καὶ Ἀλέξανδρον ἀπὸ Εὐμενείας μαρτυρήσασι πρόδηλον."

XVII. [Nic. H. E. IV, 24.] Ἐν τούτῳ δὲ τῷ συγγράμματι καὶ Μιλτιάδου συγγραφέως μέμνηται, ὡς λόγον τινὰ καὶ αὐτοῦ κατὰ τῆς προειρημένης αἱρέσεως γεγραφότος. παραθέμενος γοῦν αὐτῶν λέξεις τινὰς ἐπιφέρει λέγων "ταῦτα εὑρὼν ἔν τινι συγγράμματι αὐτῶν ἐνισταμένων τῷ Μιλτιάδου τοῦ ἀδελφοῦ συγγράμματι, ἐν ᾧ ἀποδείκνυσι περὶ τοῦ μὴ δεῖν προφήτην ἐν ἐκστάσει λαλεῖν, ἐπετεμόμην." 2. ὑποκαταβὰς δὲ ἐν αὐτῷ τοὺς κατὰ τὴν καινὴν διαθήκην προπεφητευκότας καταλέγει, ἐν οἷς καταριθμεῖ Ἀμμίαν τινὰ καὶ Κοδρᾶτον, λέγων οὕτως "ἀλλ' ὅ γε ψευδοπροφήτης ἐν παρεκστάσει, ᾧ ἕπεται ἄδεια καὶ ἀφοβία, ἀρχόμενος μὲν ἐξ ἑκουσίου ἀμαθίας, καταστρέφων δὲ εἰς ἀκούσιον μανίαν ψυχῆς, ὡς προείρηται. 3. τοῦτον δὲ τὸν τρόπον οὔτε τινὰ τῶν κατὰ τὴν παλαιάν, οὔτε τῶν κατὰ τὴν καινὴν πνευματοφορηθέντα προφήτην δεῖξαι δυνήσονται, οὔτε Ἄγαβον, οὔτε Ἰούδαν, οὔτε Σίλαν, οὔτε τὰς Φιλίππου θυγατέρας, οὔτε τὴν ἐν Φιλαδελφείᾳ Ἀμμίαν, οὔτε Κοδρᾶτον, οὔτε γε δή τινας ἄλλους μηδὲν αὐτοῖς προσήκοντας καυχήσονται." 4. καὶ αὖθις δὲ μετὰ βραχέα ταῦτά φησιν "εἰ γὰρ μετὰ Κοδρᾶτον καὶ τὴν ἐν Φιλαδελφείᾳ Ἀμμίαν, ὥς φασιν, αἱ περὶ Μοντανὸν διεδέξαντο γυναῖκες τὸ προφητικὸν χάρισμα, τοὺς ἀπὸ Μοντανοῦ καὶ τῶν γυναικῶν τίνες παρ' αὐτοῖς διεδέξαντο δειξάτωσαν· δεῖν γὰρ εἶναι τὸ προφητικὸν χάρισμα ἐν πάσῃ τῇ

"ἐκκλησίᾳ μέχρι τῆς τελείας παρουσίας ὁ ἀπόστολος "ἀξιοῖ· ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι τεσσαρεσκαιδέκα"τον ἤδη που τοῦτο ἔτος ἀπὸ τῆς Μαξιμίλλης τελευ"τῆς." 5. οὗτος μὲν δὴ τοσαῦτα. ὅ γέ τοι πρὸς αὐτοῦ δεδηλωμένος Μιλτιάδης καὶ ἄλλας ἡμῖν τῆς ἰδίας περὶ τὰ θεῖα λόγια σπουδῆς μνήμας καταλέλοιπεν, ἔν τε οἷς πρὸς Ἕλληνας συνέταξε λόγοις καὶ τοῖς πρὸς Ἰουδαίους, ἑκατέρᾳ ἰδίως ὑποθέσει ἐν δυσὶν ὑπαντήσας συγγράμμασιν. ἔτι δὲ καὶ πρὸς τοὺς κοσμικοὺς ἄρχοντας ὑπὲρ ἧς μετήει φιλοσοφίας πεποίηται ἀπολογίαν.

XVIII. [Nic. H. E. IV, 25.] Τῆς δὲ κατὰ Φρύγας καλουμένης αἱρέσεως καὶ Ἀπολλώνιος, ἐκκλησιαστικὸς συγγραφεύς, ἀκμαζούσης εἰσέτι τότε κατὰ τὴν Φρυγίαν ἔλεγχον ἐνστησάμενος ἴδιον κατ' αὐτῶν πεποίηται σύγγραμμα, τὰς μὲν φερομένας αὐτῶν προφητείας ψευδεῖς οὔσας κατὰ λέξιν εὐθύνων, τὸν δὲ βίον τῶν τῆς αἱρέσεως ἀρχηγῶν ὁποῖός τις γέγονε διελέγχων. αὐτοῖς δὲ ῥήμασι περὶ τοῦ Μοντανοῦ ταῦτα λέγοντος ἄκουε 2. "ἀλλὰ τίς οὗτός ἐστιν ὁ "πρόσφατος διδάσκαλος τὰ ἔργα αὐτοῦ καὶ ἡ διδα"σκαλία δείκνυσιν. οὗτός ἐστιν ὁ διδάξας λύσεις "γάμων, ὁ νηστείας νομοθετήσας, ὁ Πέπουζαν καὶ "Τύμιον Ἱερουσαλὴμ ὀνομάσας (πόλεις δέ εἰσιν αὗ"ται μικραὶ τῆς Φρυγίας), τοὺς πανταχόθεν ἐκεῖ "συναγαγεῖν ἐθέλων, ὁ πρακτῆρας χρημάτων κατα"στήσας, ὁ ἐπ' ὀνόματι προσφορῶν τὴν δωροληψίαν "ἐπιτεχνώμενος, ὁ σαλάρια χορηγῶν τοῖς κηρύττου"σιν αὐτοῦ τὸν λόγον, ἵνα διὰ τῆς γαστριμαργίας "ἡ διδασκαλία τοῦ λόγου κρατύνηται." 3. καὶ ταῦτα μὲν περὶ τοῦ Μοντανοῦ· καὶ περὶ τῶν προφητίδων δὲ αὐτοῦ ὑποκαταβὰς οὕτω γράφει "δείκνυμεν οὖν

αὐτὰς πρώτας τὰς προφήτιδας ταύτας, ἀφ' οὗ τοῦ πνεύματος ἐπληρώθησαν, τοὺς ἄνδρας καταλιπούσας. πῶς οὖν ἐψεύδοντο Πρίσκαν παρθένον ἀποκαλοῦντες;" εἶτ' ἐπιφέρει λέγων 4. "δοκεῖ σοι πᾶσα γραφὴ κωλύειν προφήτην λαμβάνειν δῶρα καὶ χρήματα; ὅταν οὖν ἴδω τὴν προφῆτιν εἰληφυῖαν καὶ χρυσὸν καὶ ἄργυρον καὶ πολυτελεῖς ἐσθῆτας, πῶς αὐτὴν μὴ παραιτήσωμαι;" 5. αὖθις δὲ ὑποκαταβὰς περί τινος τῶν κατ' αὐτοὺς ὁμολογητῶν ταῦτά φησιν "ἔτι δὲ καὶ Θεμίσων, ὁ τὴν ἀξιόπιστον πλεονεξίαν ἠμφιεσμένος, ὁ μὴ βαστάσας τῆς ὁμολογίας τὸ σημεῖον, ἀλλὰ πλήθει χρημάτων ἀποθέμενος τὰ δεσμά, δέον ἐπὶ τούτῳ ταπεινοφρονεῖν, ὡς μάρτυς καυχώμενος ἐτόλμησε, μιμούμενος τὸν ἀπόστολον, καθολικήν τινα συνταξάμενος ἐπιστολὴν κατηχεῖν μὲν τοὺς ἄμεινον αὐτοῦ πεπιστευκότας, συναγωνίζεσθαι δὲ τοῖς τῆς κενοφωνίας λόγοις, βλασφημῆσαι δὲ εἰς τὸν κύριον καὶ τοὺς ἀποστόλους καὶ τὴν ἁγίαν ἐκκλησίαν." 6. καὶ περὶ ἑτέρων δὲ αὖθις τῶν κατ' αὐτοὺς τετιμημένων ὡς δὴ μαρτύρων οὕτω γράφει "ἵνα δὲ μὴ περὶ πλειόνων λέγωμεν, ἡ προφῆτις ἡμῖν εἰπάτω τὰ κατὰ Ἀλέξανδρον τὸν λέγοντα ἑαυτὸν μάρτυρα, ᾧ συνεστιᾶται, ᾧ προσκυνοῦσι καὶ αὐτῷ πολλοί, οὗ τὰς ληστείας καὶ τὰ ἄλλα τολμήματα, ἐφ' οἷς κεκόλασται, οὐχ ἡμᾶς δεῖ λέγειν, ἀλλὰ ὁ ὀπισθόδομος ἔχει. 7. τίς οὖν τίνι χαρίζεται τὰ ἁμαρτήματα; πότερον ὁ προφήτης τὰς ληστείας τῷ μάρτυρι, ἢ ὁ μάρτυς τῷ προφήτῃ τὰς πλεονεξίας; εἰρηκότος γὰρ τοῦ κυρίου 'μὴ κτήσησθε χρυσὸν μήτε ἄργυρον μήτε δύο χιτῶνας' οὗτοι πᾶν τοὐναν-

---

29 Matth. 10, 9.

"τίον πεπλημμελήκασι περὶ τὰς τούτων τῶν ἀπηγορευμένων κτήσεις. δείξομεν γὰρ τοὺς λεγομένους "παρ' αὐτοῖς προφήτας καὶ μάρτυρας μὴ μόνον παρὰ "πλουσίων, ἀλλὰ καὶ παρὰ πτωχῶν καὶ ὀρφανῶν καὶ "χηρῶν κερματιζομένους. 8. καὶ εἰ πεποίθησιν ἔχουσιν, στήτωσαν ἐν τούτῳ, καὶ διορισάσθωσαν ἐπὶ "τούτοις, ἵνα ἐὰν ἐλεγχθῶσι, κἂν τοῦ λοιποῦ παύσωνται πλημμελοῦντες· δεῖ γὰρ τοὺς καρποὺς δοκιμάζεσθαι τοῦ προφήτου, ἀπὸ γὰρ τοῦ καρποῦ τὸ "ξύλον γινώσκεται. 9. ἵνα δὲ τοῖς βουλομένοις τὰ "κατὰ Ἀλέξανδρον ᾖ γνώριμα, κέκριται ὑπὸ Αἰμιλίου "Φροντίνου ἀνθυπάτου ἐν Ἐφέσῳ, οὐ διὰ τὸ ὄνομα, "ἀλλὰ δι' ἃς ἐτόλμησε λῃστείας, ὢν ἤδη παραβάτης· "εἶτα ἐπιψευσάμενος τῷ ὀνόματι τοῦ κυρίου ἀπολέλυται, πλανήσας τοὺς ἐκεῖ πιστούς· καὶ ἡ ἰδία παροικία αὐτὸν, ὅθεν ἦν, οὐκ ἐδέξατο, διὰ τὸ εἶναι "αὐτὸν λῃστήν. καὶ οἱ θέλοντες μαθεῖν τὰ κατ' αὐτὸν ἔχουσι τὸ τῆς Ἀσίας δημόσιον ἀρχεῖον. 10. ὃν "ὁ προφήτης συνόντα πολλοῖς ἔτεσιν ἀγνοεῖ, τοῦτον "ἐλέγχοντες ἡμεῖς δι' αὐτοῦ καὶ τὴν ὑπόστασιν ἐξελέγχομεν τοῦ προφήτου. τὸ ὅμοιον ἐπὶ πολλῶν δυνάμεθα ἀποδεῖξαι, καὶ εἰ θαρροῦσιν, ὑπομεινάτωσαν τὸν ἔλεγχον." 11. πάλιν τε αὖ ἐν ἑτέρῳ τόπῳ τοῦ συγγράμματος περὶ ὧν αὐχοῦσι προφητῶν ἐπιλέγει ταῦτα "ἐὰν ἀρνῶνται δῶρα τοὺς προφήτας αὐτῶν εἰληφέναι, τοῦτο ὁμολογησάτωσαν, ὅτι ἐὰν "ἐλεγχθῶσιν εἰληφότες, οὐκ εἰσὶ προφῆται, καὶ μυρίας ἀποδείξεις τούτων παραστήσομεν. ἀναγκαῖον "δέ ἐστι πάντας καρποὺς δοκιμάζεσθαι προφήτου. "προφήτης, εἰπέ μοι, βάπτεται; προφήτης στιβίζε-

9 Matth. 7, 20.

"ται; προφήτης φιλοκοσμεῖ; προφήτης τάβλαις καὶ "κύβοις παίζει; προφήτης δανείζει; ταῦτα ὁμολογη- "σάτωσαν πότερον ἔξεστιν ἢ μή, ἐγὼ δὲ ὅτι γέγονε "παρ' αὐτοῖς δείξω." 12. ὁ δ' αὐτὸς οὗτος Ἀπολλώνιος κατὰ τὸ αὐτὸ σύγγραμμα ἱστορεῖ ὡς ἄρα τεσσαρακοστὸν ἐτύγχανεν ἔτος ἐπὶ τὴν τοῦ συγγράμματος αὐτοῦ γραφήν, ἐξ οὗ τῇ προσποιήτῳ αὐτοῦ προφητείᾳ ὁ Μοντανὸς ἐπικεχείρηκε. 13. καὶ πάλιν φησὶν ὡς ἄρα Ζωτικός, οὗ καὶ ὁ πρότερος συγγραφεὺς ἐμνημόνευσεν, ἐν Πεπούζοις προφητεύειν δὴ προσποιουμένης τῆς Μαξιμίλλης ἐπιστὰς διελέγξαι τὸ ἐνεργοῦν ἐν αὐτῇ πνεῦμα πεπείραται, ἐκωλύθη γε μὴν πρὸς τῶν τὰ ἐκείνης φρονούντων. καὶ Θρασέα δέ τινος τῶν τότε μαρτύρων μνημονεύει. 14. ἔτι δὲ ὡς ἐκ παραδόσεως τὸν σωτῆρά φησι προστεταχέναι τοῖς αὐτοῦ ἀποστόλοις, ἐπὶ δώδεκα ἔτεσι μὴ χωρισθῆναι τῆς Ἱερουσαλήμ. κέχρηται δὲ καὶ μαρτυρίαις ἀπὸ τῆς Ἰωάννου ἀποκαλύψεως, καὶ νεκρὸν δὲ δυνάμει θείᾳ πρὸς αὐτοῦ Ἰωάννου ἐν τῇ Ἐφέσῳ ἐγηγέρθαι ἱστορεῖ. καὶ ἄλλα τινά φησι, δι' ὧν ἱκανῶς τῆς προειρημένης αἱρέσεως πληρέστατα διηύθυνε τὴν πλάνην. ταῦτα καὶ ὁ Ἀπολλώνιος.

XIX. [Nic. H. E. IV, 27.] Τῶν δὲ Ἀπολιναρίου κατὰ τῆς δηλωθείσης αἱρέσεως μνήμην πεποίηται Σαραπίων, ὃν ἐπὶ τῶν δηλουμένων χρόνων μετὰ Μαξιμῖνον ἐπίσκοπον τῆς Ἀντιοχέων ἐκκλησίας γενέσθαι κατέχει λόγος. μέμνηται δὲ αὐτοῦ ἐν ἰδίᾳ ἐπιστολῇ τῇ πρὸς Καρικὸν καὶ Πόντιον, ἐν ᾗ διευθύνων καὶ αὐτὸς τὴν αὐτὴν αἵρεσιν ἐπιλέγει ταῦτα 2. "ὅπως δὲ καὶ τοῦτο ἴδητε, ὅτι τῆς ψευδοῦς ταύ- "της τάξεως τῆς ἐπικαλουμένης νέας προφητείας "ἐβδέλυκται ἡ ἐνέργεια παρὰ πάσῃ τῇ ἐν κόσμῳ

"ἀδελφότητι, πέπομφα ὑμῖν καὶ Κλαυδίου Ἀπολιναρίου τοῦ μακαριωτάτου γενομένου ἐν Ἱεραπόλει τῆς "Ἀσίας ἐπισκόπου γράμματα." 3. ἐν ταύτῃ δὲ τῇ τοῦ Σαραπίωνος ἐπιστολῇ καὶ ὑποσημειώσεις φέρονται διαφόρων ἐπισκόπων, ὧν ὁ μέν τις ὧδέ πως ὑποσεσημείωται "Αὐρήλιος Κυρήνιος μάρτυς ἐρρῶσθαι ὑμᾶς εὔχομαι", ὁ δέ τις τοῦτον τὸν τρόπον "Αἴλιος Πούπλιος Ἰούλιος ἀπὸ Δεβελτοῦ κολωνίας τῆς Θρᾴκης ἐπίσκοπος· ζῇ ὁ θεὸς ὁ ἐν τοῖς οὐρανοῖς, ὅτι Σωτᾶς ὁ μακάριος ὁ ἐν Ἀγχιάλῳ ἠθέλησε τὸν δαίμονα τὸν Πρισκίλλης ἐκβαλεῖν, καὶ οἱ ὑποκριταὶ οὐκ ἀφῆκαν." 4. καὶ ἄλλων δὲ πλειόνων τὸν ἀριθμὸν ἐπισκόπων συμψήφων τούτοις ἐν τοῖς δηλωθεῖσι γράμμασιν αὐτόγραφοι φέρονται σημειώσεις. καὶ τὰ μὲν κατὰ τούτους ἦν τοιαῦτα.

XX. [Nic. H. E. IV, 30.] Ἐξ ἐναντίας δὲ τῶν ἐπὶ Ῥώμης τὸν ὑγιῆ τῆς ἐκκλησίας θεσμὸν παραχαραττόντων, Εἰρηναῖος διαφόρους ἐπιστολὰς συντάττει, τὴν μὲν ἐπιγράψας πρὸς Βλάστον περὶ σχίσματος, τὴν δὲ πρὸς Φλωρῖνον περὶ μοναρχίας ἢ περὶ τοῦ μὴ εἶναι τὸν θεὸν ποιητὴν κακῶν. ταύτης γάρ τοι τῆς γνώμης οὗτος ἐδόκει προασπίζειν· δι' ὃν αὖθις ὑποσυρόμενον τῇ κατὰ Οὐαλεντῖνον πλάνῃ καὶ τὸ περὶ ὀγδοάδος συντάττεται τῷ Εἰρηναίῳ σπούδασμα, ἐν ᾧ καὶ ἐπισημαίνεται τὴν πρώτην τῶν ἀποστόλων κατειληφέναι ἑαυτὸν διαδοχήν. 2. ἔνθα πρὸς τῷ τοῦ συγγράμματος τέλει χαριεστάτην αὐτοῦ σημείωσιν εὑρόντες ἀναγκαίως καὶ ταύτην τῇδε καταλέξομεν τῇ γραφῇ, τοῦτον ἔχουσαν τὸν τρόπον "ὁρκίζω σε τὸν "μεταγραψόμενον τὸ βιβλίον τοῦτο κατὰ τοῦ κυρίου

29 Iren. fragm. p. 339 Mass.

"ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ κατὰ τῆς ἐνδόξου παρουσίας αὐτοῦ, ἧς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς, ἵνα ἀντιβάλῃς ὃ μετεγράψω, καὶ κατορθώσῃς αὐτὸ πρὸς τὸ ἀντίγραφον τοῦτο, ὅθεν μετεγράψω, ἐπιμελῶς· καὶ τὸν ὅρκον τοῦτον ὁμοίως μεταγράψεις καὶ θήσεις ἐν τῷ ἀντιγράφῳ." 3. καὶ ταῦτα δὲ ὠφελίμως ὑπ' ἐκείνου λελέχθω, πρὸς ἡμῶν τε ἱστορείσθω, ὡς ἂν ἔχοιμεν ἄριστον σπουδαιοτάτης ἐπιμελείας τοὺς ἀρχαίους ἐκείνους καὶ ὄντως ἱεροὺς ἄνδρας ὑπόδειγμα. 4. ἐν ᾗ γε μὴν προειρήκαμεν πρὸς τὸν Φλωρῖνον ὁ Εἰρηναῖος ἐπιστολῇ αὖθις τῆς ἅμα Πολυκάρπῳ συνουσίας αὐτοῦ μνημονεύει λέγων "ταῦτα τὰ δόγματα, Φλωρῖνε, ἵνα πεφεισμένως εἴπω, οὐκ ἔστιν ὑγιοῦς γνώμης· ταῦτα τὰ δόγματα ἀσύμφωνά ἐστι τῇ ἐκκλησίᾳ, εἰς τὴν μεγίστην ἀσέβειαν περιβάλλοντα τοὺς πειθομένους αὐτοῖς· ταῦτα τὰ δόγματα οὐδὲ οἱ ἔξω τῆς ἐκκλησίας αἱρετικοὶ ἐτόλμησαν ἀποφήνασθαί ποτε· ταῦτα τὰ δόγματα οἱ πρὸ ἡμῶν πρεσβύτεροι οἱ καὶ τοῖς ἀποστόλοις συμφοιτήσαντες οὐ παρέδωκάν σοι. 5. εἶδον γάρ σε παῖς ἔτι ὢν ἐν τῇ κάτω Ἀσίᾳ παρὰ Πολυκάρπῳ, λαμπρῶς πράσσοντα ἐν τῇ βασιλικῇ αὐλῇ, καὶ πειρώμενον εὐδοκιμεῖν παρ' αὐτῷ. μᾶλλον γὰρ τὰ τότε διαμνημονεύω τῶν ἔναγχος γινομένων. 6. αἱ γὰρ ἐκ παίδων μαθήσεις συναύξουσαι τῇ ψυχῇ ἑνοῦνται αὐτῇ, ὥστε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος διελέγετο ὁ μακάριος Πολύκαρπος, καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους, καὶ τὸν χαρακτῆρα τοῦ βίου, καὶ τὴν τοῦ σώματος ἰδέαν, καὶ τὰς διαλέξεις ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος, καὶ τὴν μετὰ Ἰωάννου

12 Iren. fragm. p. 339 Mass.

συναναστροφὴν ὡς ἀπήγγελλε καὶ τὴν μετὰ τῶν λοιπῶν τῶν ἑωρακότων τὸν κύριον, καὶ ὡς ἀπεμνημόνευε τοὺς λόγους αὐτῶν, καὶ περὶ τοῦ κυρίου τίνα ἦν ἃ παρ' ἐκείνων ἀκηκόει, καὶ περὶ τῶν δυνάμεων αὐτοῦ, καὶ περὶ τῆς διδασκαλίας, ὡς παρὰ τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ λόγου παρειληφὼς ὁ Πολύκαρπος ἀπήγγελλε πάντα σύμφωνα ταῖς γραφαῖς. 7. ταῦτα καὶ τότε διὰ τὸ ἔλεος τοῦ θεοῦ τὸ ἐπ' ἐμοὶ γεγονὸς σπουδαίως ἤκουον, ὑπομνηματιζόμενος αὐτὰ οὐκ ἐν χάρτῃ, ἀλλ' ἐν τῇ ἐμῇ καρδίᾳ, καὶ ἀεὶ διὰ τὴν χάριν τοῦ θεοῦ γνησίως αὐτὰ ἀναμαρυκῶμαι· καὶ δύναμαι διαμαρτύρασθαι ἔμπροσθεν τοῦ θεοῦ, ὅτι εἴ τι τοιοῦτον ἀκηκόει ἐκεῖνος ὁ μακάριος καὶ ἀποστολικὸς πρεσβύτερος, ἀνακράξας ἂν καὶ ἐμφράξας τὰ ὦτα αὐτοῦ, καὶ τὸ σύνηθες αὐτῷ εἰπὼν ὦ καλὲ θεέ, εἰς οἵους με καιροὺς τετήρηκας, ἵνα τούτων ἀνέχωμαι πεφεύγει ἂν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος ἢ ἑστὼς τῶν τοιούτων ἀκηκόει λόγων. 8. καὶ ἐκ τῶν ἐπιστολῶν δὲ αὐτοῦ ὧν ἐπέστειλεν ἤτοι ταῖς γειτνιώσαις ἐκκλησίαις ἐπιστηρίζων αὐτάς, ἢ τῶν ἀδελφῶν τισὶ νουθετῶν αὐτοὺς καὶ προτρεπόμενος, δύναται φανερωθῆναι." ταῦτα ὁ Εἰρηναῖος.

XXI. [Nic. H. E. IV, 26.] Κατὰ δὲ τὸν αὐτὸν τῆς Κομόδου βασιλείας χρόνον μεταβέβλητο μὲν ἐπὶ τὸ πρᾶον τὰ καθ' ἡμᾶς, εἰρήνης σὺν θείᾳ χάριτι τὰς καθ' ὅλης τῆς οἰκουμένης διαλαβούσης ἐκκλησίας, ὅτε καὶ ὁ σωτήριος λόγος ἐκ παντὸς γένους ἀνθρώπων πᾶσαν ὑπήγετο ψυχὴν ἐπὶ τὴν εὐσεβῆ τοῦ τῶν ὅλων θεοῦ θρησκείαν, ὥστε ἤδη καὶ τῶν ἐπὶ Ῥώμης εὖ μάλα πλούτῳ καὶ γένει διαφανῶν πλείους ἐπὶ τὴν σφῶν ὁμόσε χωρεῖν πανοικί τε καὶ παγγενῆ

σωτηρίαν. 2. οὐκ ἦν δὲ ἄρα τοῦτο τῷ μισοκάλῳ δαίμονι βασκάνῳ ὄντι τὴν φύσιν οἰστόν· ἀπεδύετο δ' οὖν αὖθις, ποικίλας τὰς καθ' ἡμῶν μηχανὰς ἐπιτεχνώμενος. ἐπὶ γοῦν τῆς Ῥωμαίων πόλεως Ἀπολλώνιον, ἄνδρα τῶν τότε πιστῶν ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ βεβοημένον, ἐπὶ δικαστήριον ἄγει, ἕνα γέ τινα τῶν εἰς ταῦτα ἐπιτηδείων αὐτῷ διακόνων ἐπὶ κατηγορίᾳ τἀνδρὸς ἐγείρας. 3. ἀλλ' ὁ μὲν δείλαιος παρὰ καιρὸν τὴν δίκην εἰσελθών, ὅτι μὴ ζῆν ἐξὸν ἦν κατὰ βασιλικὸν ὅρον τοὺς τῶν τοιῶνδε μηνυτάς, αὐτίκα κατάγνυται τὰ σκέλη, Περεννίου δικαστοῦ τοιαύτην κατ' αὐτοῦ ψῆφον ἀπενέγκαντος. 4. ὁ δέ γε θεοφιλέστατος μάρτυς, πολλὰ λιπαρῶς ἱκετεύσαντος τοῦ δικαστοῦ καὶ λόγον αὐτὸν ἐπὶ τῆς συγκλήτου βουλῆς αἰτήσαντος, λογιωτάτην ὑπὲρ ἧς ἐμαρτύρει πίστεως ἐπὶ πάντων παρασχὼν ἀπολογίαν κεφαλικῇ κολάσει ὡσὰν ἀπὸ δόγματος συγκλήτου τελειοῦται, μηδ' ἄλλως ἀφεῖσθαι τοὺς ἅπαξ εἰς δικαστήριον παριόντας καὶ μηδαμῶς τῆς προθέσεως μεταβαλλομένους ἀρχαίου παρ' αὐτοῖς νόμου κεκρατηκότος. 5. τούτου μὲν οὖν τὰς ἐπὶ τοῦ δικαστοῦ φωνὰς καὶ τὰς ἀποκρίσεις, ἃς πρὸς πεῦσιν πεποίητο τοῦ Περεννίου, πᾶσάν τε τὴν πρὸς τὴν σύγκλητον ἀπολογίαν ὅτῳ διαγνῶναι φίλον, ἐκ τῆς τῶν ἀρχαίων μαρτυρίων συναχθείσης ἡμῖν ἀναγραφῆς εἴσεται.

XXII. [Nic. H. E. IV, 19.] Δεκάτῳ γε μὴν τῆς Κομόδου βασιλείας ἔτει δέκα πρὸς τρισὶν ἔτεσι τὴν ἐπισκοπὴν λελειτουργηκότα Ἐλεύθερον διαδέχεται Βίκτωρ· ἐν ᾧ καὶ Ἰουλιανοῦ δέκατον ἔτος ἀναπλήσαντος τῶν κατ' Ἀλεξάνδρειαν παροικιῶν τὴν λειτουργίαν ἐγχειρίζεται Δημήτριος· καθ' οὓς καὶ τῆς Ἀντιοχέων ἐκκλησίας ὄγδοος ἀπὸ τῶν ἀποστόλων ὁ

πρόσθεν ἤδη δεδηλωμένος ἔτι τότε Σαραπίων ἐπίσκοπος ἐγνωρίζετο· Καισαρείας δὲ τῆς ἐπὶ Παλαιστίνῃ καθηγεῖτο Θεόφιλος. καὶ Νάρκισσος δὲ ὁμοίως, οὗ καὶ πρόσθεν ὁ λόγος μνήμην ἐποιήσατο, τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἔτι τότε τὴν λειτουργίαν εἶχεν. Κορίνθου δὲ τῆς καθ' Ἑλλάδα κατὰ τοὺς αὐτοὺς χρόνους ἐπίσκοπος ἦν Βάκχυλλος, καὶ τῆς ἐν Ἐφέσῳ παροικίας Πολυκράτης, καὶ ἄλλοι δὲ, ὥς γε εἰκὸς, ἐπὶ τούτοις μυρίοι κατὰ τούσδε διέπρεπον. ὧν γε μὴν ἔγγραφος ἡ τῆς πίστεως εἰς ἡμᾶς κατῆλθεν ὀρθοδοξία, τούτους εἰκότως ὀνομαστὶ κατελέξαμεν.

XXIII. [Nic. H. E. IV, 36.] Ζητήσεως δῆτα κατὰ τούσδε οὐ σμικρᾶς ἀνακινηθείσης, ὅτι δὴ τῆς Ἀσίας ἁπάσης αἱ παροικίαι ὡσὰν ἐκ παραδόσεως ἀρχαιοτέρας σελήνης τὴν τεσσαρεσκαιδεκάτην ᾤοντο δεῖν ἐπὶ τῆς τοῦ πάσχα σωτηρίου ἑορτῆς παραφυλάττειν, ἐν ᾗ θύειν τὸ πρόβατον Ἰουδαίοις προηγόρευτο, ὡς δέον ἐκ παντὸς κατὰ ταύτην, ὁποίᾳ δ' ἂν ἡμέρᾳ τῆς ἑβδομάδος περιτυγχάνοι, τὰς τῶν ἀσιτιῶν ἐπιλύσεις ποιεῖσθαι, οὐκ ἔθους ὄντος τοῦτον ἐπιτελεῖν τὸν τρόπον ταῖς ἀνὰ τὴν λοιπὴν ἅπασαν οἰκουμένην ἐκκλησίαις, ἐξ ἀποστολικῆς παραδόσεως τὸ καὶ εἰς δεῦρο κρατῆσαν ἔθος φυλαττούσαις, ὡς μηδ' ἑτέρᾳ προσήκειν παρὰ τὴν τῆς ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν ἡμέρᾳ τὰς νηστείας ἐπιλύεσθαι. 2. σύνοδοι δὴ καὶ συγκροτήσεις ἐπισκόπων ἐπὶ ταυτὸν ἐγίνοντο, πάντες τε μιᾷ γνώμῃ δι' ἐπιστολῶν ἐκκλησιαστικὸν δόγμα τοῖς πανταχόσε διετυποῦντο, ὡς ἂν μηδ' ἐν ἄλλῃ ποτὲ τῆς κυριακῆς ἡμέρᾳ τὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἐπιτελοῖτο τοῦ κυρίου μυστήριον, καὶ ὅπως ἐν ταύτῃ μόνῃ τῶν κατὰ τὸ πάσχα νηστειῶν

φυλαττοίμεθα τὰς ἐπιλύσεις. 3. φέρεται δ' εἰσέτι νῦν τῶν κατὰ Παλαιστίνην τηνικάδε συγκεκροτημένων γραφή, ὧν προυτέτακτο Θεόφιλος τῆς ἐν Καισαρείᾳ παροικίας ἐπίσκοπος καὶ Νάρκισσος τῆς ἐν Ἱεροσολύμοις· καὶ τῶν ἐπὶ Ῥώμης δὲ ὁμοίως ἄλλη περὶ τοῦ αὐτοῦ ζητήματος, ἐπίσκοπον Βίκτορα δηλοῦσα· τῶν τε κατὰ Πόντον ἐπισκόπων, ὧν Πάλμας ὡς ἀρχαιότατος προυτέτακτο, καὶ τῶν κατὰ Γαλλίαν δὲ παροικιῶν, ἃς Εἰρηναῖος ἐπεσκόπει· 4. ἔτι τε τῶν κατὰ τὴν Ὀσροηνὴν καὶ τὰς ἐκεῖσε πόλεις· καὶ ἰδίως Βακχύλλου τῆς Κορινθίων ἐκκλησίας ἐπισκόπου, καὶ πλείστων ὅσων ἄλλων, οἳ μίαν καὶ τὴν αὐτὴν δόξαν τε καὶ κρίσιν ἐξενηνεγμένοι τὴν αὐτὴν τέθεινται ψῆφον. καὶ τούτων μὲν ἦν ὅρος εἷς, ὁ δεδηλωμένος·

XXIV. [Nic. H. E. IV, 37.] τῶν δὲ ἐπὶ τῆς Ἀσίας ἐπισκόπων, τὸ πάλαι πρότερον αὐτοῖς παραδοθὲν διαφυλάττειν ἔθος χρῆναι δισχυριζομένων, ἡγεῖτο Πολυκράτης, ὃς καὶ αὐτὸς ἐν ᾗ πρὸς Βίκτορα καὶ τὴν Ῥωμαίων ἐκκλησίαν διετυπώσατο γραφῇ τὴν εἰς αὐτὸν ἐλθοῦσαν παράδοσιν ἐκτέθειται διὰ τούτων 2. "ἡμεῖς οὖν ἀρρᾳδιούργητον ἄγομεν τὴν ἡμέραν, μήτε προστιθέντες μήτε ἀφαιρούμενοι. καὶ γὰρ κατὰ τὴν Ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηται, ἅτινα ἀναστήσεται τῇ ἡμέρᾳ τῆς παρουσίας τοῦ κυρίου, ἐν ᾗ ἔρχεται μετὰ δόξης ἐξ οὐρανῶν, καὶ ἀναστήσει πάντας τοὺς ἁγίους, Φίλιππον τὸν τῶν δώδεκα ἀποστόλων, ὃς κεκοίμηται ἐν Ἱεραπόλει, καὶ δύο θυγατέρες αὐτοῦ γεγηρακυῖαι παρθένοι, καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ ἐν ἁγίῳ πνεύματι πολιτευσαμένη, ἣ ἐν Ἐφέσῳ ἀναπαύεται· 3. ἔτι δὲ καὶ Ἰωάννης ὁ ἐπὶ τὸ στῆθος τοῦ κυρίου ἀναπεσών, ὃς ἐγενήθη

"ἱερεὺς τὸ πέταλον πεφορηκώς, καὶ μάρτυς καὶ διδάσκαλος· οὗτος ἐν Ἐφέσῳ κεκοίμηται· 4. ἔτι δὲ καὶ Πολύκαρπος ὁ ἐν Σμύρνῃ καὶ ἐπίσκοπος καὶ μάρτυς, καὶ Θρασέας ἐπίσκοπος καὶ μάρτυς ἀπὸ Εὐμενείας, ὃς ἐν Σμύρνῃ κεκοίμηται. 5. τί δὲ δεῖ λέγειν Σάγαριν ἐπίσκοπον καὶ μάρτυρα, ὃς ἐν Λαοδικείᾳ κεκοίμηται, ἔτι δὲ καὶ Παπίριον τὸν μακάριον, καὶ Μελίτωνα τὸν εὐνοῦχον, τὸν ἐν ἁγίῳ πνεύματι πάντα πολιτευσάμενον, ὃς κεῖται ἐν Σάρδεσι περιμένων τὴν ἀπὸ τῶν οὐρανῶν ἐπισκοπήν, ἐν ᾗ ἐκ νεκρῶν ἀναστήσεται. 6. οὗτοι πάντες ἐτήρησαν τὴν ἡμέραν τῆς τεσσαρεσκαιδεκάτης τοῦ πάσχα κατὰ τὸ εὐαγγέλιον, μηδὲν παρεκβαίνοντες, ἀλλὰ κατὰ τὸν κανόνα τῆς πίστεως ἀκολουθοῦντες· ἔτι δὲ κἀγὼ ὁ μικρότερος πάντων ὑμῶν Πολυκράτης, κατὰ παράδοσιν τῶν συγγενῶν μου, οἷς καὶ παρηκολούθησά τισιν αὐτῶν. ἑπτὰ μὲν ἦσαν συγγενεῖς μου ἐπίσκοποι, ἐγὼ δὲ ὄγδοος· καὶ πάντοτε τὴν ἡμέραν ἤγαγον οἱ συγγενεῖς μου, ὅτε ὁ λαὸς ἤρνυε τὴν ζύμην. 7. ἐγὼ οὖν, ἀδελφοί, ἑξήκοντα πέντε ἔτη ἔχων ἐν κυρίῳ, καὶ συμβεβληκὼς τοῖς ἀπὸ τῆς οἰκουμένης ἀδελφοῖς, καὶ πᾶσαν ἁγίαν γραφὴν διεληλυθώς, οὐ πτύρομαι ἐπὶ τοῖς καταπλησσομένοις. οἱ γὰρ ἐμοῦ μείζονες εἰρήκασι 'πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις'." 8. τούτοις ἐπιφέρει περὶ πάντων γράφων τῶν συμπαρόντων αὐτῷ καὶ ὁμοδοξούντων ἐπισκόπων ταῦτα λέγων "ἐδυνάμην δὲ τῶν ἐπισκόπων τῶν συμπαρόντων μνημονεῦσαι, οὓς ὑμεῖς ἠξιώσατε μετακληθῆναι ὑπ' ἐμοῦ, καὶ μετεκαλεσάμην· ὧν τὰ ὀνόματα ἐὰν γράφω, πολλὰ πλήθη εἰσίν. οἱ δὲ

24 Act. 5, 29.

"ἰδόντες τὸν μικρόν μου ἄνθρωπον συνηυδόκησαν "τῇ ἐπιστολῇ, εἰδότες ὅτι εἰκῇ πολιὰς οὐκ ἤνεγκα, "ἀλλὰ ἐν κυρίῳ Ἰησοῦ πάντοτε πεπολίτευμαι." 9. ἐπὶ τούτοις ὁ μὲν τῆς Ῥωμαίων προεστὼς Βίκτωρ ἀθρόως τῆς Ἀσίας πάσης ἅμα ταῖς ὁμόροις ἐκκλησίαις τὰς παροικίας ἀποτέμνειν, ὡσὰν ἑτεροδοξούσας, τῆς κοινῆς ἑνώσεως πειρᾶται, καὶ στηλιτεύει γε διὰ γραμμάτων, ἀκοινωνήτους πάντας ἄρδην τοὺς ἐκεῖσε ἀνακηρύττων ἀδελφούς. 10. ἀλλ' οὐ πᾶσί γε τοῖς ἐπισκόποις ταῦτ' ἠρέσκετο. ἀντιπαρακελεύονται δῆτα αὐτῷ τὰ τῆς εἰρήνης καὶ τῆς πρὸς τοὺς πλησίον ἑνώσεώς τε καὶ ἀγάπης φρονεῖν. φέρονται δὲ καὶ αἱ τούτων φωναί, πληκτικώτερον καθαπτομένων τοῦ Βίκτορος. 11. ἐν οἷς καὶ ὁ Εἰρηναῖος ἐκ προσώπου ὧν ἡγεῖτο κατὰ τὴν Γαλλίαν ἀδελφῶν ἐπιστείλας παρίσταται μὲν τῷ δεῖν ἐν μόνῃ τῇ τῆς κυριακῆς ἡμέρᾳ τὸ τῆς τοῦ κυρίου ἀναστάσεως ἐπιτελεῖσθαι μυστήριον, τῷ γε μὴν Βίκτορι προσηκόντως, ὡς μὴ ἀποκόπτοι ὅλας ἐκκλησίας θεοῦ, ἀρχαίου ἔθους παράδοσιν ἐπιτηρούσας, πλεῖστα ἕτερα παραινεῖ, καὶ αὐτοῖς ῥήμασι τάδε ἐπιλέγων 12. "οὐδὲ γὰρ μόνον "περὶ τῆς ἡμέρας ἐστὶν ἡ ἀμφισβήτησις, ἀλλὰ καὶ "περὶ τοῦ εἴδους αὐτοῦ τῆς νηστείας. οἱ μὲν γὰρ "οἴονται μίαν ἡμέραν δεῖν αὐτοὺς νηστεύειν, οἱ δὲ "δύο, οἱ δὲ καὶ πλείονας· οἱ δὲ τεσσαράκοντα ὥρας "ἡμερινάς τε καὶ νυκτερινὰς συμμετροῦσι τὴν ἡμέραν "αὐτῶν. 13. καὶ τοιαύτη μὲν ποικιλία τῶν ἐπιτη"ρούντων οὐ νῦν ἐφ' ἡμῶν γεγονυῖα, ἀλλὰ καὶ πολὺ "πρότερον ἐπὶ τῶν πρὸ ἡμῶν, τῶν παρὰ τὸ ἀκριβές, "ὡς εἰκὸς, κρατούντων τὴν καθ' ἁπλότητα καὶ ἰδιω-

---

21 Iren. fragm. p. 340 Mass.

τισμὸν συνήθειαν εἰς τὸ μετέπειτα πεποιηκότων. καὶ οὐδὲν ἔλαττον πάντες οὗτοι εἰρήνευσάν τε καὶ εἰρηνεύομεν πρὸς ἀλλήλους, καὶ ἡ διαφωνία τῆς νηστείας τὴν ὁμόνοιαν τῆς πίστεως συνίστησι." 14. τούτοις καὶ ἱστορίαν προστίθησιν, ἣν οἰκείως παραθήσομαι, τοῦτον ἔχουσαν τὸν τρόπον "ἐν οἷς καὶ οἱ πρὸ Σωτῆρος πρεσβύτεροι οἱ προστάντες τῆς ἐκκλησίας ἧς σὺ νῦν ἀφηγῇ, Ἀνίκητον λέγομεν καὶ Πίον, Ὑγῖνόν τε καὶ Τελεσφόρον καὶ Ξύστον, οὔτε αὐτοὶ ἐτήρησαν οὔτε τοῖς μετ' αὐτῶν ἐπέτρεπον, καὶ οὐδὲν ἔλαττον αὐτοὶ μὴ τηροῦντες εἰρήνευον τοῖς ἀπὸ τῶν παροικιῶν, ἐν αἷς ἐτηρεῖτο, ἐρχομένοις πρὸς αὐτούς· καίτοι μᾶλλον ἐναντίον ἦν τὸ τηρεῖν τοῖς μὴ τηροῦσι. 15. καὶ οὐδέποτε διὰ τὸ εἶδος τοῦτο ἀπεβλήθησάν τινες, ἀλλ' αὐτοὶ μὴ τηροῦντες οἱ πρὸ σοῦ πρεσβύτεροι τοῖς ἀπὸ τῶν παροικιῶν τηροῦσιν ἔπεμπον εὐχαριστίαν. 16. καὶ τοῦ μακαρίου Πολυκάρπου ἐπιδημήσαντος τῇ Ῥώμῃ ἐπὶ Ἀνικήτου, καὶ περὶ ἄλλων τινῶν μικρὰ σχόντες πρὸς ἀλλήλους εὐθὺς εἰρήνευσαν, περὶ τούτου τοῦ κεφαλαίου μὴ φιλεριστήσαντες εἰς ἑαυτούς. οὔτε γὰρ ὁ Ἀνίκητος τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν, ἅτε μετὰ Ἰωάννου τοῦ μαθητοῦ τοῦ κυρίου ἡμῶν καὶ τῶν λοιπῶν ἀποστόλων, οἷς συνδιέτριψεν, ἀεὶ τετηρηκότα, οὔτε μὴν ὁ Πολύκαρπος τὸν Ἀνίκητον ἔπεισε τηρεῖν, λέγοντα τὴν συνήθειαν τῶν πρὸ αὐτοῦ πρεσβυτέρων ὀφείλειν κατέχειν. 17. καὶ τούτων οὕτως ἐχόντων ἐκοινώνησαν ἑαυτοῖς, καὶ ἐν τῇ ἐκκλησίᾳ παρεχώρησεν ὁ Ἀνίκητος τὴν εὐχαριστίαν τῷ Πολυκάρπῳ κατ' ἐντροπὴν δηλονότι, καὶ μετ' εἰρήνης ἀπ' ἀλλήλων ἀπηλλάγησαν, πάσης τῆς ἐκκλησίας εἰρήνην ἐχόντων καὶ τῶν τηρούντων καὶ

"τῶν μὴ τηρούντων." 18. καὶ ὁ μὲν Εἰρηναῖος φερώνυμός τις ὢν τῇ προσηγορίᾳ, αὐτῷ τε τῷ τρόπῳ εἰρηνοποιὸς, τοιαῦτα ὑπὲρ τῆς τῶν ἐκκλησιῶν εἰρήνης παρεκάλει τε καὶ ἐπρέσβευεν. ὁ δ' αὐτὸς οὐ μόνον τῷ Βίκτορι, καὶ διαφόροις δὲ πλείστοις ἄρχουσιν ἐκκλησιῶν τὰ κατάλληλα δι' ἐπιστολῶν περὶ τοῦ κεκινημένου ζητήματος ὡμίλει.

XXV. [Nic. H. E. IV, 36.] Οἵ γε μὴν ἐπὶ Παλαιστίνης, οὓς ἀρτίως διεληλύθαμεν, ὅ τε Νάρκισσος καὶ Θεόφιλος, καὶ σὺν αὐτοῖς Κάσσιος τῆς κατὰ Τύρον ἐκκλησίας ἐπίσκοπος, καὶ Κλάρος τῆς ἐν Πτολεμαΐδι, οἵ τε μετὰ τούτων συνεληλυθότες περὶ τῆς κατελθούσης εἰς αὐτοὺς ἐκ διαδοχῆς τῶν ἀποστόλων περὶ τοῦ πάσχα παραδόσεως πλεῖστα διειληφότες, κατὰ τὸ τέλος τῆς γραφῆς αὐτοῖς ῥήμασιν ἐπιλέγουσι ταῦτα "τῆς δ' ἐπιστολῆς ἡμῶν πειράθητε κατὰ πᾶσαν "ἐκκλησίαν ἀντίγραφα διαπέμψασθαι, ὅπως μὴ ἔνοχοι "ὦμεν τοῖς ῥᾳδίως πλανῶσιν ἑαυτῶν τὰς ψυχάς. δη"λοῦμεν δὲ ὑμῖν ὅτι τῇ αὐτῇ ἡμέρᾳ καὶ ἐν Ἀλεξαν"δρείᾳ ἄγουσιν, ᾗπερ καὶ ἡμεῖς. παρ' ἡμῶν γὰρ τὰ "γράμματα κομίζεται αὐτοῖς καὶ ἡμῖν παρ' αὐτῶν, "ὥστε συμφώνως καὶ ὁμοῦ ἄγειν ἡμᾶς τὴν ἁγίαν "ἡμέραν."

XXVI. Ἀλλὰ γὰρ πρὸς τοῖς ἀποδοθεῖσιν Εἰρηναίου συγγράμμασι καὶ ταῖς ἐπιστολαῖς φέρεταί τις αὐτοῦ πρὸς Ἕλληνας λόγος συντομώτατος καὶ τὰ μάλιστα ἀναγκαιότατος, περὶ ἐπιστήμης ἐπιγεγραμμένος· καὶ ἄλλος ὃν ἀνατέθεικεν ἀδελφῷ, Μαρκιανῷ τοὔνομα, εἰς ἐπίδειξιν τοῦ ἀποστολικοῦ κηρύγματος· καὶ βιβλίον τι διαλέξεων διαφόρων, ἐν ᾧ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς καὶ τῆς λεγομένης Σοφίας Σολομῶνος μνημονεύει, ῥητά τινα ἐξ αὐτῶν παραθέμε-

νος. καὶ τὰ μὲν εἰς ἡμετέραν ἐλθόντα γνῶσιν τῶν Εἰρηναίου τοσαῦτα. Κομόδου δὲ τὴν ἀρχὴν ἐπὶ δέκα καὶ τρισὶν ἔτεσι καταλύσαντος αὐτοκράτωρ Σεβῆρος οὐδ' ὅλοις μησὶν ἓξ μετὰ τὴν Κομόδου τελευτὴν Περτίνακος διαγενομένου κρατεῖ.

XXVII. [Nic. H. E. IV, 35.] Πλεῖστα μὲν οὖν παρὰ πολλοῖς εἰσέτι νῦν τῶν τότε σώζεται παλαιῶν καὶ ἐκκλησιαστικῶν ἀνδρῶν ἐναρέτου σπουδῆς ὑπομνήματα· ὧν γε μὴν αὐτοὶ διέγνωμεν, εἴη ἂν τὰ Ἡρακλείτου εἰς τὸν ἀπόστολον, καὶ τὰ Μαξίμου περὶ τοῦ πολυθρυλήτου παρὰ τοῖς αἱρεσιώταις ζητήματος, τοῦ πόθεν ἡ κακία, καὶ περὶ τοῦ γενητὴν ὑπάρχειν τὴν ὕλην· τά τε Κανδίδου εἰς τὴν ἑξαήμερον, καὶ Ἀπίωνος εἰς τὴν αὐτὴν ὑπόθεσιν· ὁμοίως Σέξτου περὶ ἀναστάσεως, καὶ ἄλλη τις ὑπόθεσις Ἀραβιανοῦ, καὶ μυρίων ἄλλων, ὧν διὰ τὸ μηδεμίαν ἔχειν ἀφορμὴν οὐχ οἷόν τε οὔτε τοὺς χρόνους παραδοῦναι γραφῇ οὔθ' ἱστορίας μνήμην ὑποσημήνασθαι. καὶ ἄλλων δὲ πλείστων, ὧν οὐδὲ τὰς προσηγορίας καταλέγειν ἡμῖν δυνατὸν, ἦλθον εἰς ἡμᾶς λόγοι ὀρθοδόξων μὲν καὶ ἐκκλησιαστικῶν, ὥς γε δὴ ἡ ἑκάστου παραδείκνυσι τῆς θείας γραφῆς ἑρμηνεία, ἀδήλων δὲ ὅμως ἡμῖν, ὅτι μὴ τὴν προσηγορίαν ἐπάγεται τῶν συγγραψαμένων.

XXVIII. [Nic. H. E. IV, 21.] Τούτων ἔν τινος σπουδάσματι μετὰ τῆς Ἀρτέμωνος αἱρέσεως πεπονημένῳ, ἣν αὖθις ὁ ἐκ Σαμοσάτων Παῦλος ὁ καθ' ἡμᾶς ἀνανεώσασθαι πεπείραται, φέρεταί τις διήγησις, ταῖς ἐξεταζομέναις ἡμῖν προσήκουσα ἱστορίαις. 2. τὴν γάρ τοι δεληλωμένην αἵρεσιν, ψιλὸν ἄνθρωπον γενέσθαι τὸν σωτῆρα φάσκουσαν, οὐ πρὸ πολλοῦ νεωτερισθεῖσαν διευθύνων, ἐπειδὴ σεμνύνειν αὐτὴν

ὡσὰν ἀρχαίαν οἱ ταύτης ἤθελον εἰσηγηταί, πολλὰ καὶ ἄλλα εἰς ἔλεγχον αὐτῶν τῆς βλασφήμου ψευδηγορίας παραθεὶς ὁ λόγος ταῦτα κατὰ λέξιν ἱστορεῖ 3. “φασὶ γὰρ τοὺς μὲν προτέρους ἅπαντας καὶ αὐτοὺς τοὺς ἀποστόλους παρειληφέναι τε καὶ δεδιδαχέναι ταῦτα, ἃ νῦν οὗτοι λέγουσι, καὶ τετηρῆσθαι τὴν ἀλήθειαν τοῦ κηρύγματος μέχρι τῶν χρόνων τῶν Βίκτορος, ὃς ἦν τρισκαιδέκατος ἀπὸ Πέτρου ἐν Ῥώμῃ ἐπίσκοπος, ἀπὸ δὲ τοῦ διαδόχου αὐτοῦ Ζεφυρίνου παρακεχαράχθαι τὴν ἀλήθειαν. 4. ἦν δ' ἂν τυχὸν πιθανὸν τὸ λεγόμενον, εἰ μὴ πρῶτον μὲν ἀντέπιπτον αὐτοῖς αἱ θεῖαι γραφαί. καὶ ἀδελφῶν δέ τινων ἐστὶ γράμματα πρεσβύτερα τῶν Βίκτορος χρόνων, ἃ ἐκεῖνοι πρὸς τὰ ἔθνη ὑπὲρ τῆς ἀληθείας καὶ πρὸς τὰς τότε αἱρέσεις ἔγραψαν, λέγω δὲ Ἰουστίνου καὶ Μιλτιάδου καὶ Τατιανοῦ καὶ Κλήμεντος καὶ ἑτέρων πλειόνων, ἐν οἷς ἅπασι θεολογεῖται ὁ Χριστός. 5. τὰ γὰρ Εἰρηναίου τε καὶ Μελίτωνος καὶ τῶν λοιπῶν τίς ἀγνοεῖ βιβλία, θεὸν καὶ ἄνθρωπον καταγγέλλοντα τὸν Χριστόν; ψαλμοὶ δὲ ὅσοι καὶ ᾠδαὶ ἀδελφῶν ἀπ' ἀρχῆς ὑπὸ πιστῶν γραφεῖσαι τὸν λόγον τοῦ θεοῦ τὸν Χριστὸν ὑμνοῦσι θεολογοῦντες. 6. πῶς οὖν ἐκ τοσούτων ἐτῶν καταγγελλομένου τοῦ ἐκκλησιαστικοῦ φρονήματος ἐνδέχεται τοὺς μέχρι Βίκτορος οὕτως, ὡς οὗτοι λέγουσι, κεκηρυχέναι; πῶς δὲ οὐκ αἰδοῦνται ταῦτα Βίκτορος καταψεύδεσθαι, ἀκριβῶς εἰδότες ὅτι Βίκτωρ Θεόδοτον τὸν σκυτέα, τὸν ἀρχηγὸν καὶ πατέρα ταύτης τῆς ἀρνησιθέου ἀποστασίας, ἀπεκήρυξε τῆς κοινωνίας, πρῶτον εἰπόντα ψιλὸν ἄνθρωπον τὸν Χριστόν; εἰ γὰρ Βίκτωρ κατ' αὐτοὺς οὕτως ἐφρόνει ὡς ἡ τούτων διδάσκει βλασφημία, πῶς ἂν ἀπέβαλλε Θεό-

“δοτον τὸν τῆς αἱρέσεως ταύτης εὑρετήν;” καὶ τὰ μὲν κατὰ τὸν Βίκτορα τοιαῦτα. 7. τούτου δὲ ἔτεσι δέκα προστάντος τῆς λειτουργίας διάδοχος καθίσταται Ζεφυρῖνος, ἀμφὶ τὸ ἔνατον τῆς Σεβήρου βασιλείας ἔτος. προστίθησι δὲ ὁ τὸ προειρημένον συντάξας περὶ τοῦ κατάρξαντος τῆς δηλωθείσης αἱρέσεως βιβλίον καὶ ἄλλην κατὰ Ζεφυρῖνον γενομένην πρᾶξιν, ὧδέ πως αὐτοῖς ῥήμασι γράφων 8. “ὑπομνήσω γοῦν πολλοὺς τῶν ἀδελφῶν πρᾶγμα ἐφ' ἡμῶν γενόμενον, ὃ νομίζω ὅτι εἰ ἐν Σοδόμοις ἐγεγόνει, τυχὸν ἂν κἀκείνους ἐνουθέτησε. Νατάλιος ἦν τις ὁμολογητής, οὐ πάλαι, ἀλλ' ἐπὶ τῶν ἡμετέρων γενόμενος καιρῶν. 9. οὗτος ἠπατήθη ποτὲ ὑπὸ Ἀσκληπιοδότου καὶ ἑτέρου Θεοδότου τινὸς τραπεζίτου. ἦσαν δὲ οὗτοι ἄμφω Θεοδότου τοῦ σκυτέως μαθηταί, τοῦ πρώτου ἐπὶ ταύτῃ τῇ φρονήσει, μᾶλλον δὲ ἀφροσύνῃ, ἀφορισθέντος τῆς κοινωνίας ὑπὸ Βίκτορος, ὡς ἔφην, τοῦ τότε ἐπισκόπου. 10. ἀνεπείσθη δὲ ὁ Νατάλιος ὑπ' αὐτῶν ἐπὶ σαλαρίῳ ἐπίσκοπος κληρωθῆναι ταύτης τῆς αἱρέσεως, ὥστε λαμβάνειν παρ' αὐτῶν μηνιαῖα δηνάρια ἑκατὸν πεντήκοντα. 11. γενόμενος οὖν σὺν αὐτοῖς δι' ὁραμάτων πολλάκις ἐνουθετεῖτο ὑπὸ τοῦ κυρίου. ὁ γὰρ εὔσπλαγχνος θεὸς καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐβούλετο ἔξω ἐκκλησίας γενόμενον ἀπολέσθαι μάρτυρα τῶν ἰδίων παθῶν. 12. ἐπεὶ δὲ ῥᾳθυμότερον τοῖς ὁράμασι προσεῖχε, δελεαζόμενος τῇ τε παρ' αὐτοῖς πρωτοκαθεδρίᾳ καὶ τῇ πλείστους ἀπολλυούσῃ αἰσχροκερδείᾳ, τελευταῖον ὑπὸ ἁγίων ἀγγέλων ἐμαστιγώθη, δι' ὅλης τῆς νυκτὸς οὐ σμικρῶς αἰκισθείς, ὥστε ἕωθεν ἀναστῆναι, καὶ ἐνδυσάμενον σάκκον καὶ σποδὸν καταπασάμενον μετὰ πολλῆς σπουδῆς καὶ δα-

"κρύων προσπεσεῖν Ζεφυρίνῳ τῷ ἐπισκόπῳ, κυλιόμενον ὑπὸ τοὺς πόδας οὐ μόνον τῶν ἐν κλήρῳ, ἀλλὰ καὶ τῶν λαϊκῶν, συγχέαι τε τοῖς δάκρυσι τὴν εὔσπλαγχνον ἐκκλησίαν τοῦ ἐλεήμονος Χριστοῦ· πολλῇ τε τῇ δεήσει χρησάμενον, δείξαντά τε τοὺς μώλωπας ὧν εἰλήφει πληγῶν μόλις κοινωνηθῆναι."

13. τούτοις ἐπισυνάψωμεν καὶ ἄλλας περὶ τῶν αὐτῶν τοῦ αὐτοῦ συγγραφέως φωνάς, τοῦτον ἐχούσας τὸν τρόπον· "γραφὰς μὲν θείας ἀφόβως ῥεραδιουργήκασι, πίστεώς τε ἀρχαίας κανόνα ἠθετήκασι, Χριστὸν δὲ ἠγνοήκασιν, οὐ τί αἱ θεῖαι λέγουσι γραφαὶ ζητοῦντες, ἀλλ' ὁποῖον σχῆμα συλλογισμοῦ εἰς τὴν τῆς ἀθεότητος σύστασιν εὑρεθῇ, φιλοπόνως ἀσκοῦντες· κἂν αὐτοῖς προτείνῃ τις ῥητὸν γραφῆς θεϊκῆς, ἐξετάζουσι, πότερον συνημμένον ἢ διεζευγμένον δύναται ποιῆσαι σχῆμα συλλογισμοῦ. 14. καταλιπόντες δὲ τὰς ἁγίας τοῦ θεοῦ γραφὰς γεωμετρίαν ἐπιτηδεύουσιν, ὡσὰν ἐκ τῆς γῆς ὄντες καὶ ἐκ τῆς γῆς λαλοῦντες, καὶ τὸν ἄνωθεν ἐρχόμενον ἀγνοοῦντες. Εὐκλείδης γοῦν παρά τισιν αὐτῶν φιλοπόνως γεωμετρεῖται, Ἀριστοτέλης δὲ καὶ Θεόφραστος θαυμάζονται, Γαληνὸς γὰρ ἴσως ὑπό τινων καὶ προσκυνεῖται. 15. οἱ δὲ ταῖς τῶν ἀπίστων τέχναις εἰς τὴν τῆς αἱρέσεως αὐτῶν γνώμην ἀποχρώμενοι, καὶ τῇ τῶν ἀθέων πανουργίᾳ τὴν ἁπλῆν τῶν θείων γραφῶν πίστιν καπηλεύοντες, ὅτι μηδὲ ἐγγὺς πίστεως ὑπάρχουσι, τί δεῖ καὶ λέγειν; διὰ τοῦτο ταῖς θείαις γραφαῖς ἀφόβως ἐπέβαλον τὰς χεῖρας, λέγοντες αὐτὰς διωρθωκέναι. 16. καὶ ὅτι τοῦτο μὴ καταψευδόμενος αὐτῶν λέγω ὁ βουλόμενος δύναται μαθεῖν. εἰ γάρ τις θελήσει συγκομίσας αὐτῶν ἑκάστου τὰ ἀντίγραφα ἐξετάζειν πρὸς ἄλληλα, κατὰ πολὺ ἂν

"εὕροι διαφωνοῦντα. ἀσύμφωνα γοῦν ἔσται τὰ Ἀσκλη-"πιάδου τοῖς Θεοδότου. 17. πολλῶν δὲ ἔστιν εὐπο-"ρῆσαι, διὰ τὸ φιλοτίμως ἐγγεγράφθαι τοὺς μαθητὰς "αὐτῶν τὰ ὑφ' ἑκάστου αὐτῶν, ὡς αὐτοὶ καλοῦσι, "κατωρθωμένα, τουτέστιν ἠφανισμένα. πάλιν δὲ τού-"τοις τὰ Ἑρμοφίλου οὐ συνᾴδει. τὰ γὰρ Ἀπολλωνί-"δου οὐδὲ αὐτὰ ἑαυτοῖς ἐστι σύμφωνα. ἔνεστι γὰρ "συγκρῖναι τὰ πρότερον ὑπ' αὐτῶν κατασκευασθέντα "τοῖς ὕστερον πάλιν ἐπιδιαστραφεῖσι, καὶ εὑρεῖν κατὰ "πολὺ ἀπᾴδοντα. 18. ὅσης δὲ τόλμης ἐστὶ τοῦτο τὸ "ἁμάρτημα, εἰκὸς μηδὲ ἐκείνους ἀγνοεῖν. ἢ γὰρ οὐ "πιστεύουσιν ἁγίῳ πνεύματι λελέχθαι τὰς θείας γρα-"φάς, καί εἰσιν ἄπιστοι, ἢ ἑαυτοὺς ἡγοῦνται σοφω-"τέρους τοῦ ἁγίου πνεύματος ὑπάρχειν, καὶ τί ἕτερον "ἢ δαιμονῶσιν. οὐδὲ γὰρ ἀρνήσασθαι δύνανται ἑαυ-"τῶν εἶναι τὸ τόλμημα, ὁπόταν καὶ τῇ αὐτῶν χειρὶ "ᾖ γεγραμμένα, καὶ παρ' ὧν κατηχήθησαν, μὴ τοι-"αύτας παρέλαβον τὰς γραφάς, καὶ δεῖξαι ἀντίγραφα, "ὅθεν αὐτὰ μετεγράψαντο, μὴ ἔχωσιν. 19. ἔνιοι δὲ "αὐτῶν οὐδὲ παραχαράσσειν ἠξίωσαν αὐτάς, ἀλλ' "ἁπλῶς ἀρνησάμενοι τόν τε νόμον καὶ τοὺς προφή-"τας, ἀνόμου καὶ ἀθέου διδασκαλίας προφάσει χάρι-"τος εἰς ἔσχατον ἀπωλείας ὄλεθρον κατωλίσθησαν. "καὶ ταῦτα μὲν τοῦτον ἱστορήσθω τὸν τρόπον.

ΛΟΓΟΣ ϛ.

I. [Nic. H. E. V, 2.] Ὡς δὲ καὶ Σεβῆρος διωγμὸν κατὰ τῶν ἐκκλησιῶν ἐκίνει, λαμπρὰ μὲν τῶν ὑπὲρ εὐσεβείας ἀθλητῶν κατὰ πάντα τόπον ἀπετελεῖτο μαρτύρια, μάλιστα δ' ἐπλήθυεν ἐπ' Ἀλεξανδρείας, τῶν ἀπ' Αἰγύπτου καὶ Θηβαΐδος ἁπάσης ἀριστίνδην

αὐτόθι ὥσπερ ἐπὶ μέγιστον ἀθλητῶν θεοῦ παραπεμπομένων στάδιον, διὰ καρτερικωτάτης τε ποικίλων βασάνων καὶ θανάτου τρόπων ὑπομονῆς τοὺς παρὰ θεῷ στεφάνους ἀναδουμένων. ἐν οἷς καὶ Λεωνίδης ὁ λεγόμενος Ὠριγένους πατὴρ τὴν κεφαλὴν ἀποτμηθεὶς νέον κομιδῇ καταλείπει τὸν παῖδα, ὃς δὴ ὁποίας ἐξ ἐκείνου περὶ τὸν θεῖον λόγον προαιρέσεως ἦν, οὐκ ἄκαιρον διὰ βραχέων διελθεῖν, τῷ μάλιστα πολὺν εἶναι παρὰ τοῖς πολλοῖς τὸν περὶ αὐτοῦ βεβοημένον λόγον.

II. [Nic. H. E. V, 3.] *Πολλὰ μὲν οὖν ἄν τις εἴποι, τὸν βίον τοῦ ἀνδρὸς ἐν σχολῇ παραδοῦναι διὰ γραφῆς πειρώμενος, δέοιτο δ' ἂν καὶ ἰδίας ὑποθέσεως ἡ περὶ αὐτοῦ σύνταξις. ὅμως δ' ἡμεῖς ἐπὶ τοῦ παρόντος ἐπιτεμνόμενοι τὰ πλεῖστα διὰ βραχέων ὡς οἷόν τε ὀλίγα ἄττα τῶν περὶ αὐτὸν διελευσόμεθα, ἔκ τινων ἐπιστολῶν καὶ ἱστορίας τῶν καὶ εἰς ἡμᾶς τῷ βίῳ πεφυλαγμένων αὐτοῦ γνωρίμων τὰ δηλούμενα φέροντες.* 2. *Ὠριγένους καὶ τὰ ἐξ αὐτῶν ὡς εἰπεῖν σπαργάνων ἀξιομνημόνευτά μοι εἶναι δοκεῖ. δέκατον μὲν γὰρ ἐπεῖχε Σεβῆρος τῆς βασιλείας ἔτος, ἡγεῖτο δὲ Ἀλεξανδρείας καὶ τῆς λοιπῆς Αἰγύπτου Λαῖτος, τῶν δὲ αὐτόθι παροικιῶν τὴν ἐπισκοπὴν νεωστὶ τότε μετὰ Ἰουλιανὸν Δημήτριος ὑπειλήφει.* 3. *εἰς μέγα δὴ οὖν τῆς τοῦ διωγμοῦ πυρκαϊᾶς ἀφθείσης, καὶ μυρίων ὅσων τοῖς κατὰ τὸ μαρτύριον ἀναδουμένων στεφάνοις, ἔρως τοσοῦτος μαρτυρίου τὴν Ὠριγένους ἔτι κομιδῇ παιδὸς ὑπάρχοντος κατεῖχε ψυχήν, ὡς ὁμόσε τοῖς κινδύνοις χωρεῖν, προπηδᾶν τε καὶ ὁρμᾶν ἐπὶ τὸν ἀγῶνα προθύμως ἔχειν.* 4. *ἤδη γέ τοι μικρὸν ὅσον αὐτῷ καὶ τὰ τῆς ἀπὸ τοῦ βίου ἀπαλλαγῆς οὐ πόρρω καθίστατο, μὴ οὐχὶ τῆς θείας καὶ οὐρανίου*

προνοίας εἰς τὴν πλείστων ὠφέλειαν διὰ τῆς αὐτοῦ μητρὸς ἐμποδὼν αὐτῷ τῆς προθυμίας ἐνστάσης. 5. αὕτη γοῦν τὰ μὲν πρῶτα λόγοις ἱκετεύουσα τῆς περὶ αὐτὸν μητρικῆς διαθέσεως φειδὼ λαβεῖν παρεκάλει, σφοδρότερον δ' ἐπιτείναντα θεασαμένη, ὅτε γνοὺς ἁλόντα τὸν πατέρα δεσμωτηρίῳ φυλάττεσθαι, ὅλος ἐγίνετο τῆς περὶ τὸ μαρτύριον ὁρμῆς, τὴν πᾶσαν αὐτοῦ ἀποκρυψαμένη ἐσθῆτα οἴκοι μένειν ἀνάγκην ἐπῆγεν. 6. ὁ δέ, ὡς οὐδὲν ἄλλο πράττειν αὐτῷ παρῆν, τῆς προθυμίας ὑπὲρ τὴν ἡλικίαν ἐπιτεινομένης, οὐχ οἷός τε ὢν ἠρεμεῖν, διαπέμπεται τῷ πατρὶ προτρεπτικωτάτην περὶ μαρτυρίου συντάξας ἐπιστολήν, ἐν ᾗ κατὰ λέξιν αὐτῷ παραινεῖ "ἔπεχε, μὴ δι' ἡμᾶς ἄλλο τι φρονήσῃς". τοῦτο πρῶτον τῆς Ὠριγένους παιδικῆς ἀγχινοίας καὶ περὶ τὴν θεοσέβειαν γνησιωτάτης διαθέσεως ἀνάγραπτον ἔστω τεκμήριον. 7. καὶ γὰρ ἤδη καὶ τῶν τῆς πίστεως λόγων οὐ σμικρὰς ἀφορμὰς καταβέβλητο, ταῖς θείαις γραφαῖς ἐξέτι παιδὸς ἐνησκημένος. οὐ μετρίως γοῦν καὶ περὶ ταῦτα πεπόνητο, τοῦ πατρὸς αὐτῷ πρὸς τῇ τῶν ἐγκυκλίων παιδείᾳ καὶ τούτων οὐ κατὰ πάρεργον τὴν φροντίδα πεποιημένου. 8. ἐξ ἅπαντος γοῦν αὐτόν, πρὸ τῆς τῶν Ἑλληνικῶν μαθημάτων μελέτης, ἐνῆγε τοῖς ἱεροῖς ἐνασκεῖσθαι παιδεύμασιν, ἐκμαθήσεις καὶ ἀπαγγελίας ἡμέρας ἑκάστης αὐτὸν εἰσπραττόμενος. 9. οὐκ ἀπροαιρέτως δὲ ταῦτα ἐγίνετο τῷ παιδί, ἀλλὰ καὶ ἄγαν προθυμότατα περὶ ταῦτα πονοῦντι, ὡς μηδ' ἐξαρκεῖν αὐτῷ τὰς ἁπλᾶς καὶ προχείρους τῶν ἱερῶν λόγων ἐντεύξεις, ζητεῖν δέ τι πλέον καὶ βαθυτέρας ἤδη ἐξ ἐκείνου πολυπραγμονεῖν θεωρίας, ὥστε καὶ πράγματα παρέχειν τῷ πατρὶ τί ἄρα ἐθέλοι δηλοῦν τὸ τῆς θεοπνεύστου γραφῆς ἀναπυνθανόμενος βού-

λημα. 10. ἐκεῖνος δὲ τῷ μὲν δοκεῖν εἰς πρόσωπον ἐπέπληττεν αὐτῷ, μηδὲν ὑπὲρ ἡλικίαν μηδὲ τῆς προφανοῦς διανοίας περαιτέρω τι ζητεῖν παραινῶν, ἰδίως δὲ παρ' ἑαυτῷ τὰ μεγάλα γεγηθὼς τὴν μεγίστην ὡμολόγει τῷ πάντων ἀγαθῶν αἰτίῳ θεῷ χάριν, ὅτι δὴ αὐτὸν τοιούτου πατέρα γενέσθαι παιδὸς ἠξίωσεν. 11. ἐπιστάντα δὲ ἤδη πολλάκις καθεύδοντι τῷ παιδὶ γυμνῶσαι μὲν αὐτοῦ τὰ στέρνα φασίν, ὥσπερ δὲ θείου πνεύματος ἔνδον ἐν αὐτοῖς ἀφιερωμένου, φιλῆσαί τε σεβασμίως καὶ τῆς εὐτεκνίας μακάριον ἑαυτὸν ἡγήσασθαι. ταῦτα καὶ ἕτερα τούτοις συγγενῆ περὶ παῖδα ὄντα τὸν Ὠριγένην γενέσθαι μνημονεύουσιν. 12. ὡς δὲ ἤδη αὐτῷ ὁ πατὴρ μαρτυρίῳ τετελείωτο, ἔρημος ἅμα μητρὶ καὶ βραχυτέροις ἀδελφοῖς τὸν ἀριθμὸν ἕξ, ἑπτακαιδέκατον οὐ πλῆρες ἔτος ἄγων, καταλείπεται. 13. τῆς γε μὴν τοῦ πατρὸς περιουσίας τοῖς βασιλικοῖς ταμιείοις ἀναληφθείσης, ἐν σπάνει τῶν κατὰ τὸν βίον χρειῶν σὺν τοῖς προσήκουσι καταστάς, οἰκονομίας τῆς ἐκ θεοῦ καταξιοῦται, καὶ τυγχάνει δεξιώσεως ὁμοῦ καὶ ἀναπαύσεως παρά τινι πλουσιωτάτῃ μὲν τὸν βίον καὶ τὰ ἄλλα περιφανεστάτῃ γυναικί, διαβόητόν γε μὴν ἄνδρα περιεπούσῃ τῶν τότε ἐπὶ τῆς Ἀλεξανδρείας αἱρεσιωτῶν· τὸ γένος ἦν οὗτος Ἀντιοχεύς, θετὸν δὲ αὐτὸν υἱὸν εἶχέ τε σὺν ἑαυτῇ καὶ ἐν τοῖς μάλιστα περιεῖπεν ἡ δεδηλωμένη. 14. ἀλλὰ τούτῳ γε ἐπάναγκες ὁ Ὠριγένης συνὼν τῆς ἐξ ἐκείνου περὶ τὴν πίστιν ὀρθοδοξίας ἐναργῆ παρείχετο δείγματα, ὅτι δὴ μυρίου πλήθους διὰ τὸ δοκοῦν ἱκανὸν ἐν λόγῳ τοῦ Παύλου (τοῦτο γὰρ ἦν ὄνομα τῷ ἀνδρὶ) συναγομένου παρ' αὐτῷ οὐ μόνον αἱρετικῶν, ἀλλὰ καὶ ἡμετέρων, οὐδεπώποτε προυτράπη κατὰ τὴν εὐχὴν αὐτῷ συστῆναι, φυλάττων ἐξέτι παιδὸς

κανόνα ἐκκλησίας, βδελυττόμενός τε, ὡς αὐτῷ ῥήματι φησί που αὐτὸς, τὰς τῶν αἱρέσεων διδασκαλίας. 15. προαχθεὶς δὲ ὑπὸ τοῦ πατρὸς ἐν τοῖς Ἑλλήνων μαθήμασιν, ἐκθυμότερόν τε καὶ μετὰ τὴν ἐκείνου τελευτὴν τῇ περὶ τοὺς λόγους ἀσκήσει ὅλον ἐπιδοὺς ἑαυτὸν, ὡς καὶ παρασκευὴν ἐπὶ τὰ γραμματικὰ οὐ μετρίαν ἔχειν, μετ᾽ οὐ πολὺ τῆς τοῦ πατρὸς τελειώσεως τούτοις ἐπιδεδωκὼς ἑαυτὸν, ηὐπόρει τῶν ἀναγκαίων, ὡς ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, δαψιλῶς.

III. [Nic. H. E. IV, 4. 5.] Σχολάζοντι δὲ τῇ διατριβῇ, ὥς που καὶ αὐτὸς ἐγγράφως ἱστορεῖ, μηδενός τε ἐπὶ τῆς Ἀλεξανδρείας τῷ κατηχεῖν ἀνακειμένου, πάντων δὲ ἀπεληλαμένων ὑπὸ τῆς ἀπειλῆς τοῦ διωγμοῦ, προσῄεσαν αὐτῷ τινὲς ἀπὸ τῶν ἐθνῶν ἀκουσόμενοι τὸν λόγον τοῦ θεοῦ. 2. ὧν πρῶτον ἐπισημαίνεται γεγονέναι Πλούταρχον, ὃς μετὰ τὸ βιῶναι καλῶς καὶ μαρτυρίῳ θείῳ κατεκοσμήθη· δεύτερον Ἡρακλᾶν τοῦ Πλουτάρχου ἀδελφὸν, ὃς δὴ καὶ αὐτὸς παρ᾽ αὐτῷ πλείστην βίου φιλοσόφου καὶ ἀσκήσεως ἀπόδειξιν παρασχὼν τῆς Ἀλεξανδρέων μετὰ Δημήτριον ἐπισκοπῆς ἀξιοῦται. 3. ἔτος δ᾽ ἦγεν ὀκτωκαιδέκατον, καθ᾽ ὃ τοῦ τῆς κατηχήσεως προέστη διδασκαλείου. ἐν ᾧ καὶ προκόπτει ἐπὶ τῶν κατὰ Ἀκύλαν τῆς Ἀλεξανδρείας ἡγούμενον διωγμῶν, ὅτε καὶ μάλιστα διαβόητον ἐκτήσατο παρὰ πᾶσι τοῖς ἀπὸ τῆς πίστεως ὁρμωμένοις ὄνομα, δι᾽ ἣν ἐνεδείκνυτο πρὸς ἅπαντας τοὺς ἁγίους ἀγνῶτάς τε καὶ γνωρίμους μάρτυρας δεξίωσίν τε καὶ προθυμίαν. 4. οὐ μόνον γὰρ ἐν δεσμοῖς τυγχάνουσιν, οὐδὲ μέχρις ὑστάτης ἀποφάσεως ἀνακρινομένοις συνῆν, ἀλλὰ καὶ μετὰ ταύτην ἀπαγομένοις τὴν ἐπὶ θανάτῳ τοῖς ἁγίοις μάρτυσι πολλῇ τῇ παρρησίᾳ χρώμενος καὶ ὁμόσε τοῖς κινδύ-

νοις χωρῶν· ὥστε ἤδη αὐτὸν προσιόντα θαρσαλέως καὶ τοὺς μάρτυρας μετὰ πολλῆς παρρησίας φιλήματι προσαγορεύοντα πολλάκις ἐπιμανεὶς ὁ ἐν κύκλῳ τῶν ἐθνῶν δῆμος σμικροῦ δεῖν κατέλευσεν, εἰ μὴ τῆς θείας δεξιᾶς βοηθοῦ καθάπαξ τυγχάνων παραδόξως διεδίδρασκεν. 5. ἡ δ' αὐτὴ θεία καὶ οὐράνιος χάρις ἄλλοτε πάλιν καὶ πάλιν, καὶ οὐδ' ἔστιν ὁσάκις εἰπεῖν, τῆς ἄγαν περὶ τὸν Χριστοῦ λόγον προθυμίας τε καὶ παρρησίας ἕνεκεν τηνικαῦτα ἐπιβουλευόμενον αὐτὸν διεφύλαττε. τοσοῦτος δ' ἦν ἄρα τῶν ἀπίστων ὁ πρὸς αὐτὸν πόλεμος, ὡς καὶ συστροφὰς ποιησαμένους, στρατιώτας αὐτῷ περὶ τὸν οἶκον, ἔνθα κατέμενεν, ἐπιστῆσαι, διὰ τὸ πλῆθος τῶν τὰ τῆς ἱερᾶς πίστεως κατηχουμένων παρ' αὐτῷ. 6. οὕτω δὲ ὁσημέραι ὁ κατ' αὐτοῦ διωγμὸς ἐξεκάετο ὡς μηκέτι χωρεῖν αὐτὸν τὴν πᾶσαν πόλιν, οἴκους μὲν ἐξ οἴκων ἀμείβοντα, πανταχόθεν δὲ ἐλαυνόμενον, τῆς πληθύος ἕνεκεν τῶν δι' αὐτοῦ τῇ θείᾳ προσιόντων διδασκαλίᾳ· ἐπεὶ καὶ τὰ κατὰ πρᾶξιν ἔργα αὐτῷ γνησιωτάτης φιλοσοφίας κατορθώματα εὖ μάλα θαυμαστὰ περιεῖχεν. 7. οἷον γοῦν τὸν λόγον, τοιόνδε φασὶ τὸν τρόπον· καὶ οἷον τὸν τρόπον, τοιόνδε τὸν λόγον ἐπεδείκνυτο. διὸ δὴ μάλιστα συναιρομένης αὐτῷ δυνάμεως θείας μυρίους ἐνῆγεν ἐπὶ τὸν αὐτοῦ ζῆλον. 8. ἐπειδὴ δὲ ἑώρα φοιτητὰς ἤδη πλείους προσιόντας, αὐτῷ μόνῳ τῆς τοῦ κατηχεῖν διατριβῆς ὑπὸ Δημητρίου τοῦ τῆς ἐκκλησίας προεστῶτος ἐπιτετραμμένης, ἀσύμφωνον ἡγησάμενος τὴν τῶν γραμματικῶν λόγων διδασκαλίαν τῇ πρὸς τὰ θεῖα παιδεύματα ἀσκήσει, μὴ μελλήσας ἀπορρήγνυσιν ἅτε ἀνωφελῆ καὶ τοῖς ἱεροῖς μαθήμασιν ἐναντίαν τὴν τῶν γραμματικῶν λόγων διατριβήν. 9. εἶτα λογισμῷ καθήκοντι, ὡς ἂν μὴ

γένοιτο τῆς παρ' ἑτέρων ἐπικουρίας ἐνδεὴς, ὅσαπερ ἦν αὐτῷ πρότερον λόγων ἀρχαίων συγγράμματα φιλοκάλως ἐσπουδασμένα μεταδοὺς, τοῖς ὑπὸ τοῦ ταῦτα ἐωνημένου φερομένοις αὐτῷ τέτταρσιν ὀβολοῖς τῆς ἡμέρας ἠρκεῖτο, πλείστοις τε ἔτεσι τοῦτον φιλοσοφῶν διετέλει τὸν τρόπον, πάσας ὕλας νεωτερικῶν ἐπιθυμιῶν ἑαυτοῦ περιαιρούμενος, καὶ διὰ πάσης μὲν ἡμέρας οὐ σμικροὺς ἀσκήσεως καμάτους ἀνατλῶν, καὶ τῆς νυκτὸς δὲ τὸν πλείονα χρόνον ταῖς τῶν θείων γραφῶν ἑαυτὸν ἀνατιθεὶς μελέταις, βίῳ τε ὡς ἔνι μάλιστα ἐγκαρτερῶν φιλοσοφωτάτῳ, τοτὲ μὲν τοῖς ἐν ἀσιτίαις γυμνασίοις ἐνασκούμενος, τοτὲ δὲ μεμετρημένοις τοῖς κατὰ τὸν ὕπνον καιροῖς, οὐ μεταλαμβάνειν οὐδ' ὅλως ἐπὶ στρωμνῆς, ἀλλ' ἐπὶ τοὔδαφος διὰ σπουδῆς ἐποιεῖτο. 10. πάντων δὲ μάλιστα τὰς εὐαγγελικὰς τοῦ σωτῆρος φωνὰς φυλακτέας εἶναι ᾤετο δεῖν, τάς τε περὶ τοῦ μὴ δύο χιτῶνας μηδ' ὑποδήμασι χρῆσθαι παραινούσας, μηδὲ μὴν ταῖς περὶ τοῦ μέλλοντος χρόνου φροντίσι κατατρίβεσθαι. 11. ἀλλὰ καὶ μείζονι τῆς ἡλικίας προθυμίᾳ χρώμενος, ἐν ψύχει καὶ γυμνότητι διακαρτερῶν, εἰς ἄκρον τε [ὑπερβαλλούσης] ἀκτημοσύνης ἐλαύνων, τοὺς ἀμφ' αὐτὸν εἰς τὰ μάλιστα κατέπλησσε, μυρίους μὲν ὅσους λυπῶν εὐχομένους αὐτῷ κοινωνεῖν τῶν ὑπαρχόντων, δι' οὓς ἑώρων αὐτὸν εἰσφέροντα περὶ τὴν θείαν διδασκαλίαν καμάτους, οὐ μὴν αὐτός γε ἐνδιδοὺς ταῖς καρτερίαις. 12. λέγεται γοῦν καὶ πλειόνων ἐτῶν γῆν πεπατηκέναι, μηδενὶ μηδαμῶς κεχρημένος ὑποδήματι, ἀλλὰ καὶ οἴνου χρήσεως καὶ τῶν ἄλλων παρὰ τὴν ἀναγκαίαν τροφὴν πλείστοις ἔτεσιν ἀπεσχημένος,

---

17 Matth. 10, 10.

ὥστε ἤδη εἰς κίνδυνον ἀνατροπῆς καὶ διαφθορᾶς τοῦ θώρακος περιπεσεῖν. 13. *τοιαῦτα δὴ φιλοσόφου βίου τοῖς θεωμένοις παρέχων ὑποδείγματα εἰκότως ἐπὶ τὸν ὅμοιον αὐτῷ ζῆλον πλείους παρώρμα τῶν φοιτητῶν, ὥστε ἤδη καὶ τῶν ἀπίστων ἐθνῶν, τῶν τε ἀπὸ παιδείας καὶ φιλοσοφίας οὐ τοὺς τυχόντας ὑπάγεσθαι τῇ δι' αὐτοῦ διδασκαλίᾳ· οἷς καὶ αὐτοῖς γνησίως ἐν βάθει ψυχῆς τὴν εἰς τὸν θεῖον λόγον πίστιν δι' αὐτοῦ παραδεχομένοις διαπρέπειν συνέβαινε κατὰ τὸν τότε τοῦ διωγμοῦ καιρὸν, ὡς καί τινας αὐτῶν ἁλόντας μαρτυρίῳ τελειωθῆναι.*

IV. [Nic. H. E. V, 6. 7.] *Πρῶτος μὲν οὖν τούτων ὁ μικρῷ πρόσθεν δηλωθεὶς Πλούταρχος ἦν· οὗ τὴν ἐπὶ θανάτῳ ἀπαγομένου σμικροῦ δεῖν αὖθις ὁ περὶ οὗ ὁ λόγος συμπαρὼν αὐτῷ εἰς ὑστάτην τοῦ βίου τελευτὴν ὑπὸ τῶν αὐτοῦ πολιτῶν ἀνῄρητο, ὡς αἴτιος αὐτῷ πεφηνὼς τοῦ θανάτου· θεοῦ δὲ αὐτὸν ἐτήρει καὶ τότε βουλή.* 2. *μετὰ δὲ Πλούταρχον δεύτερος τῶν Ὠριγένους φοιτητῶν μάρτυς ἀναδείκνυται Σερῆνος, διὰ πυρὸς τὴν δοκιμὴν ἧς παρειλήφει πίστεως παρεσχημένος.* 3. *τῆς αὐτῆς διατριβῆς τρίτος καθίσταται μάρτυς Ἡρακλείδης, καὶ ἐπὶ τούτῳ τέταρτος Ἥρων, ὁ μὲν πρότερος ἔτι κατηχούμενος, ὁ δὲ νεοφώτιστος, τὴν κεφαλὴν ἀποτμηθέντες. ἔτι πρὸς τούτοις τῆς αὐτῆς σχολῆς πέμπτος ἀθλητὴς τῆς εὐσεβείας ἀνακηρύττεται ἕτερος τοῦ πρώτου Σερῆνος, ὃν μετὰ πλείστην βασάνων ὑπομονὴν κεφαλῆς ἀποτομῇ κολασθῆναι λόγος ἔχει. καὶ γυναικῶν δὲ Ἡραῒς ἔτι κατηχουμένη τὸ βάπτισμα, ὥς φησί που αὐτὸς, τὸ διὰ πυρὸς λαβοῦσα τὸν βίον ἐξελήλυθεν.*

V. [Nic. H. E. V, 7.] *Ἕβδομος δὲ ἐν τούτοις ἀριθμείσθω Βασιλείδης, τὴν περιβόητον Ποταμίαι-*

ναν ἀπαγαγών, περὶ ἧς πολὺς ὁ λόγος εἰσέτι νῦν παρὰ τοῖς ἐπιχωρίοις ᾄδεται, μυρία μὲν ὑπὲρ τῆς τοῦ σώματος ἁγνείας τε καὶ παρθενίας, ἐν ᾗ διέπρεψε, πρὸς ἐραστὰς ἀγωνισαμένης (καὶ γὰρ οὖν αὐτῇ ἀκμαῖον πρὸς τῇ ψυχῇ καὶ τὸ τοῦ σώματος ὡραῖον ἐπήνθει), μυρία δὲ ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ἀνατλησάσης, καὶ τέλος μετὰ δεινὰς καὶ φρικτὰς εἰπεῖν βασάνους ἅμα τῇ μητρὶ Μαρκέλλῃ διὰ πυρὸς τελειωθείσης. 2. φασί γέ τοι τὸν δικαστὴν (Ἀκύλας ἦν τούτῳ ὄνομα), χαλεπὰς ἐπιθέντα αὐτῇ κατὰ παντὸς τοῦ σώματος αἰκίας, τέλος ἐφ' ὕβρει τοῦ σώματος μονομάχοις αὐτὴν ἀπειλῆσαι παραδοῦναι· τὴν δὲ βραχύ τι εἰς ἑαυτὴν ἐπισκεψαμένην, ἐρωτηθεῖσαν ὅ κρίνειε, τοιαύτην δοῦναι ἀπόκρισιν, δι' ἧς ἐδόκει νενομισμένον τι αὐτοῖς ἀσεβὲς ἀποφθέγξασθαι. 3. ἅμα δὲ λόγῳ τὸν τῆς ἀποφάσεως ὅρον καταδεξαμένην ὁ Βασιλείδης, εἷς τις ὢν τῶν ἐν στρατείαις ἀναφερομένων, ἀπάγει παραλαβὼν τὴν ἐπὶ θανάτῳ. ὡς δὲ τὸ πλῆθος ἐνοχλεῖν αὐτῇ καὶ ἀκολάστοις ἐνυβρίζειν ῥήμασιν ἐπειρᾶτο, ὁ μὲν ἀνεῖργεν ἀποσοβῶν τοὺς ἐνυβρίζοντας, πλεῖστον ἔλεον καὶ φιλανθρωπίαν εἰς αὐτὴν ἐνδεικνύμενος, ἡ δὲ τῆς περὶ αὐτὴν συμπαθείας ἀποδεξαμένη τὸν ἄνδρα θαρρεῖν παρακελεύεται· ἐξαιτήσεσθαι γὰρ αὐτὸν ἀπελθοῦσαν παρὰ τοῦ ἑαυτῆς κυρίου, καὶ οὐκ εἰς μακρὸν τῶν εἰς αὐτὴν πεπραγμένων τὴν ἀμοιβὴν ἀποτίσειν αὐτῷ. 4. ταῦτα δὲ εἰποῦσαν γενναίως τὴν ἔξοδον ὑποστῆναι, πίττης ἐμπύρου κατὰ διάφορα μέρη τοῦ σώματος ἀπ' ἄκρων ποδῶν καὶ μέχρι κορυφῆς ἠρέμα καὶ κατὰ μικρὸν περιχυθείσης αὐτῇ. 5. καὶ ὁ μὲν τῆς ἀοιδίμου κόρης τοιοῦτος κατηγώνιστο ἆθλος. οὐ μακρὸν δὲ χρόνον διαλιπὼν

ὁ Βασιλείδης, ὅρκον διά τινα αἰτίαν πρὸς τῶν συστρατιωτῶν αἰτηθείς, μὴ ἐξεῖναι αὐτῷ τὸ παράπαν ὀμνύναι διεβεβαιοῦτο· Χριστιανὸν γὰρ ὑπάρχειν, καὶ τοῦτο ἐμφανῶς ὁμολογεῖν. παίζειν μὲν οὖν ἐνομίζετο τέως τὰ πρῶτα, ὡς δὲ ἐπιμόνως ἀπισχυρίζετο, ἄγεται ἐπὶ τὸν δικαστήν, ἐφ' οὗ τὴν ἔνστασιν ὁμολογήσας δεσμοῖς παραδίδοται. 6. τῶν δὲ κατὰ θεὸν ἀδελφῶν ὡς αὐτὸν ἀφικνουμένων, καὶ τὴν αἰτίαν τῆς ἀθρόας καὶ παραδόξου ταύτης ὁρμῆς πυνθανομένων, λέγεται εἰπεῖν ὡς ἄρα Ποταμίαινα τρισὶν ὕστερον ἡμέραις τοῦ μαρτυρίου νύκτωρ ἐπιστᾶσα στέφανον αὐτοῦ τῇ κεφαλῇ περιθεῖσα εἴη, φαίη τε παρακεκληκέναι χάριν αὐτοῦ τὸν κύριον, καὶ τῆς ἀξιώσεως τετυχηκέναι, οὐκ εἰς μακρόν τε αὐτὸν παραλήψεσθαι. ἐπὶ τούτοις τῶν ἀδελφῶν τῆς ἐν κυρίῳ σφραγῖδος μεταδόντων αὐτῷ, τῇ μετέπειτα ἡμέρᾳ τῷ τοῦ κυρίου διαπρέψας μαρτυρίῳ τὴν κεφαλὴν ἀποτέμνεται. 7. καὶ ἄλλοι δὲ πλείους τῶν κατ' Ἀλεξάνδρειαν ἀθρόως τῷ Χριστοῦ λόγῳ προσελθεῖν κατὰ τοὺς δεδηλωμένους ἱστοροῦνται, ὡς δὴ καθ' ὕπνους τῆς Ποταμιαίνης ἐπιφανείσης καὶ προσκεκλημένης αὐτούς. ἀλλὰ ταῦτα μὲν ὧδε ἐχέτω.

VI. [Nic. H. E. IV, 33.] Πάνταινον δὲ Κλήμης διαδεξάμενος τῆς κατ' Ἀλεξάνδρειαν κατηχήσεως εἰς ἐκεῖνο τοῦ καιροῦ καθηγεῖτο, ὡς καὶ τὸν Ὠριγένην τῶν φοιτητῶν γενέσθαι αὐτοῦ. τήν γέ τοι τῶν Στρωματέων αὐτοῦ πραγματείαν ὁ Κλήμης ὑπομνηματιζόμενος, κατὰ τὸ πρῶτον σύγγραμμα χρονικὴν ἐκθέμενος γραφήν, εἰς τὴν Κομόδου τελευτὴν περιγράφει τοὺς χρόνους, ὡς εἶναι σαφὲς ὅτι κατὰ Σεβῆρον αὐτῷ πεπόνηται τὰ σπουδάσματα, οὗ τοὺς χρόνους ὁ παρὼν ἱστορεῖ λόγος.

VII. [Nic. H. E. IV, 35.] Ἐν τούτῳ καὶ Ἰούδας συγγραφέων ἕτερος, εἰς τὰς παρὰ τῷ Δανιὴλ ἑβδομάδας ἐγγράφως διαλεχθείς, ἐπὶ τὸ δέκατον τῆς Σεβήρου βασιλείας ἵστησι τὴν χρονογραφίαν, ὃς καὶ τὴν θρυλουμένην τοῦ ἀντιχρίστου παρουσίαν ἤδη τότε πλησιάζειν ᾤετο· οὕτω σφοδρῶς ἡ τοῦ τότε καθ' ἡμῶν διωγμοῦ κίνησις τὰς τῶν πολλῶν ἀνατεταράχει διανοίας.

VIII. [Nic. H. E. V, 8.] Ἐν τούτῳ δὲ τῆς κατηχήσεως ἐπὶ τῆς Ἀλεξανδρείας τοὔργον ἐπιτελοῦντι τῷ Ὠριγένει πρᾶγμά τι διαπέπρακται, φρενὸς μὲν ἀτελοῦς καὶ νεανικῆς, πίστεως δὲ ὁμοῦ καὶ σωφροσύνης μέγιστον δεῖγμα περιέχον. 2. τὸ γὰρ "εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν" ἁπλούστερον καὶ νεανικώτερον ἐκλαβὼν ὁμοῦ μὲν σωτήριον φωνὴν ἀποπληροῦν οἰόμενος, ὁμοῦ δὲ καὶ διὰ τὸ νέον τὴν ἡλικίαν ὄντα μὴ ἀνδράσι μόνον, καὶ γυναιξὶ δὲ τὰ θεῖα προσομιλεῖν, ὡς ἂν πᾶσαν τὴν παρὰ τοῖς ἀπίστοις αἰσχρᾶς διαβολῆς ὑπόνοιαν ἀποκλείσειε, τὴν σωτήριον φωνὴν ἔργοις ἐπιτελέσαι ὡρμήθη, τοὺς πολλοὺς τῶν ἀμφ' αὐτὸν γνωρίμων διαλαθεῖν φροντίσας. 3. οὐκ ἦν δὲ ἄρα δυνατὸν αὐτῷ καίπερ βουλομένῳ τοσοῦτον ἔργον ἐπικρύψασθαι. γνοὺς δῆτα ὕστερον ὁ Δημήτριος, ἅτε τῆς αὐτόθι παροικίας προεστώς, εὖ μάλα μὲν αὐτὸν ἀποθαυμάζει τοῦ τολμήματος, τὴν δέ γε προθυμίαν καὶ τὸ γνήσιον αὐτοῦ τῆς πίστεως ἀποδεξάμενος θαρρεῖν αὐτίκα παρακελεύεται, καὶ νῦν μᾶλλον ἔχεσθαι αὐτὸν τοῦ τῆς κατηχήσεως ἔργου παρορμᾷ. 4. ἀλλὰ τότε μὲν οὗτος τοιοῦτός τις ἦν.

---

13 Matth. 19, 12.

οὐ μακροῖς δὲ χρόνοις ὕστερον ὁ αὐτὸς ὁρῶν εὖ πράττοντα, μέγαν τε καὶ λαμπρὸν καὶ παρὰ πᾶσιν ὄντα βεβοημένον, ἀνθρώπινόν τι πεπονθὼς τοῖς ἀνὰ τὴν οἰκουμένην ἐπισκόποις καταγράφειν ὡς ἀτοπωτάτου τοῦ πραχθέντος αὐτῷ ἐπειρᾶτο, ὅτε γε τῶν κατὰ Παλαιστίνην οἱ μάλιστα δόκιμοι καὶ διαπρέποντες Καισαρείας τε καὶ Ἱεροσολύμων ἐπίσκοποι πρεσβείων τὸν Ὠριγένην καὶ τῆς ἀνωτάτω τιμῆς ἄξιον εἶναι δοκιμάσαντες χεῖρας εἰς πρεσβυτέριον αὐτῷ τεθείκασι. 5. τηνικαῦτα δ' οὖν εἰς μέγα δόξης προελθόντος αὐτοῦ, ὄνομά τε παρὰ τοῖς πανταχῇ πᾶσιν ἀνθρώποις καὶ κλέος ἀρετῆς καὶ σοφίας οὐ σμικρὸν κτησαμένου, μηδεμιᾶς ἄλλης εὐπορῶν ὁ Δημήτριος κατηγορίας, τῆς πάλαι ἐν παιδὶ γεγονυίας αὐτῷ πράξεως δεινὴν ποιεῖται διαβολήν, συμπεριλαβεῖν τολμήσας ταῖς κατηγορίαις τοὺς ἐπὶ τὸ πρεσβυτέριον αὐτὸν προάξαντας. 6. ταῦτα μὲν οὖν μικρὸν ἐπράχθη ὕστερον. τότε γε μὴν ὁ Ὠριγένης ἐπὶ τῆς Ἀλεξανδρείας τὸ τῆς θείας διδασκαλίας ἔργον εἰς πάντας ἀφυλάκτως τοὺς προσιόντας νύκτωρ καὶ μεθ' ἡμέραν ἐπετέλει, τοῖς θείοις ἀόκνως μαθήμασι καὶ τοῖς ὡς αὐτὸν φοιτῶσι τὴν πᾶσαν ἀνατιθεὶς σχολήν. 7. ἐπὶ δέκα δὲ καὶ ὀκτὼ ἔτεσι τὴν ἀρχὴν ἐπικρατήσαντα Σεβῆρον Ἀντωνῖνος ὁ παῖς διαδέχεται. ἐν τούτῳ δὲ τῶν κατὰ τὸν διωγμὸν ἀνδρισαμένων καὶ μετὰ τοὺς ἐν ὁμολογίαις ἀγῶνας διὰ προνοίας θεοῦ πεφυλαγμένων εἷς τις ὢν ὁ Ἀλέξανδρος, ὃν ἀρτίως ἐπίσκοπον τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐδηλώσαμεν, οἷα ταῖς ὑπὲρ Χριστοῦ διαπρέψας ὁμολογίαις, τῆς δηλωθείσης ἐπισκοπῆς ἀξιοῦται, ἔτι Ναρκίσσου, ὃς ἦν αὐτοῦ πρότερος, περιόντος τῷ βίῳ.

IX. [Nic. H. E. V, 9.] *Πολλὰ μὲν οὖν καὶ ἄλλα παράδοξα οἱ τῆς παροικίας πολῖται ὡσὰν ἐκ παραδόσεως τῶν κατὰ διαδοχὴν ἀδελφῶν τοῦ Ναρκίσσου μνημονεύουσιν, ἐν οἷς καὶ τοιόνδε τι θαῦμα δι' αὐτοῦ γεγονὸς ἱστοροῦσι.* 2. *κατὰ τὴν μεγάλην ποτὲ τοῦ πάσχα διανυκτέρευσιν τοὔλαιόν φασι τοῖς διακόνοις ἐπιλιπεῖν. ἐφ' ᾧ τὸ πᾶν πλῆθος δεινῆς ἀθυμίας διαλαβούσης τὸν Νάρκισσον τοῖς τὰ φῶτα παρασκευάζουσιν ἐπιτάξαι ὕδωρ ἀνιμήσαντας ὡς αὐτὸν κομιεῖσθαι.* 3. *τούτου δὲ ἅμα λόγῳ πραχθέντος ἐπευξάμενον τῷ ὕδατι ἐγχέαι κατὰ τῶν λύχνων πίστει τῇ εἰς τὸν κύριον γνησίᾳ παρακελεύσασθαι. ποιησάντων δὲ καὶ τοῦτο παρὰ πάντα λόγον δυνάμει παραδόξῳ καὶ θείᾳ μεταβαλεῖν ἐξ ὕδατος εἰς ἐλαίου ποιότητα τὴν φύσιν, παρά τε πλείστοις τῶν αὐτόθι ἀδελφῶν ἐπὶ μήκιστον ἐξ ἐκείνου καὶ εἰς ἡμᾶς βραχύ τι δεῖγμα τοῦ τότε θαύματος φυλαχθῆναι.* 4. *ἄλλα τε πλεῖστα περὶ τοῦ βίου τοῦδε τοῦ ἀνδρὸς μνήμης ἄξια καταλέγουσιν, ἐν οἷς καὶ τοιόνδε τι. τὸ εὔτονον αὐτοῦ καὶ στερρὸν τοῦ βίου φαῦλοί τινες ἀνθρωπίσκοι μὴ οἷοί τε φέρειν, δέει τοῦ μὴ δίκην ὑποσχεῖν ἁλόντας, διὰ τὸ μυρία κακὰ ἑαυτοῖς συνειδέναι, συσκευὴν κατ' αὐτοῦ προλαβόντες συρράπτουσι, καί τινα δεινὴν καταχέουσιν αὐτοῦ διαβολήν.* 5. *εἶτα πιστούμενοι τοὺς ἀκροωμένους ὅρκοις ἐβεβαίουν τὰς κατηγορίας, καὶ ὁ μὲν ἦ μὴν ἀπόλοιτο πυρὶ ὤμνυεν, ὁ δὲ ἦ μὴν σκαιᾷ νόσῳ δαπανηθείη τὸ σῶμα, ὁ δὲ τρίτος ἦ μὴν τὰς ὁράσεις πηρωθείη. ἀλλ' οὐδ' οὕτως αὐτοῖς, καίπερ ὀμνύουσι, τῶν πιστῶν τις προσεῖχε τὸν νοῦν, διὰ τὴν εἰς πάντας λάμπουσαν ἐκ τοῦ παντὸς σωφροσύνην τε καὶ πανάρετον ἀγωγὴν τοῦ Ναρκίσσου.* 6. *αὐτός γε μὴν τὴν τῶν εἰρημένων μηδαμῶς*

ὑπομένων μοχθηρίαν, καὶ ἄλλως ἐκ μακροῦ τὸν φιλόσοφον ἀσπαζόμενος βίον, διαδρὰς πᾶν τὸ τῆς ἐκκλησίας πλῆθος, ἐν ἐρημίαις καὶ ἀφανέσιν ἀγροῖς λανθάνων, πλείστοις ἔτεσι διέτριβεν. 7. ἀλλ' οὐ καὶ ὁ τῆς δίκης μέγας ὀφθαλμὸς ἐπὶ τοῖς πεπραγμένοις ἠρέμει, μετῄει δὲ ὡς τάχιστα τοὺς ἀσεβεῖς αἷς καθ' ἑαυτῶν ἐπιορκοῦντες κατεδήσαντο ἀραῖς. ὁ μὲν οὖν πρῶτος, ἐκ μηδεμιᾶς προφάσεως ἁπλῶς οὕτω σμικροῦ διαπεσόντος ἐφ' ἧς κατέμενεν οἰκίας σπινθῆρος, νύκτωρ ὑφαφθείσης ἁπάσης, παγγενῇ καταφλέγεται. ὁ δὲ ἀθρόως τὸ σῶμα ἐξ ἄκρων ποδῶν ἐπὶ κεφαλὴν, ἧς αὐτὸς προσετίμησεν ἑαυτῷ, νόσου πίμπλαται. 8. ὁ δὲ τρίτος τὰς τῶν προτέρων συνιδὼν ἐκβάσεις, καὶ τοῦ πάντων ἐφόρου θεοῦ τρέσας τὴν ἀδιάδραστον δίκην, ὡμολόγει μὲν τοῖς πᾶσι τὰ κοινῇ σφίσιν αὐτοῖς ἐσκαιωρημένα, τοσαύταις δὲ κατετρύχετο μεταμελόμενος οἰμωγαῖς, δακρύων τε ἐς τοσοῦτον οὐκ ἀπέλιπεν, ἕως ἄμφω διεφθάρη τὰς ὄψεις. καὶ οἵδε μὲν τῆς ψευδολογίας τοιαύτας ἐπέσχον τιμωρίας.

X. [Nic. H. E. V, 10.] Τοῦ δὲ Ναρκίσσου ἀνακεχωρηκότος, καὶ μηδαμῶς ὅπῃ ὢν τυγχάνοι γινωσκομένου, δόξαν τοῖς τῶν ὁμόρων ἐκκλησιῶν προεστῶσιν ἐφ' ἑτέρου μετίασιν ἐπισκόπου χειροτονίαν. Δῖος τούτῳ ὄνομα ἦν· ὃν οὐ πολὺν προστάντα χρόνον Γερμανίων διαδέχεται καὶ τοῦτον Γόρδιος, καθ' ὃν ὥσπερ ἐξ ἀναβιώσεως ἀναφανείς ποθεν ὁ Νάρκισσος αὖθις ὑπὸ τῶν ἀδελφῶν ἐπὶ τὴν προστασίαν παρακλεῖται, μειζόνως ἔτι μᾶλλον τῶν πάντων ἀγασθέντων αὐτὸν, τῆς τε ἀναχωρήσεως ἕνεκα καὶ τῆς φιλοσοφίας, καὶ ἐφ' ἅπασι δι' ἣν παρὰ τοῦ θεοῦ κατηξίωτο ἐκδίκησιν.

XI. *Καὶ δὴ μηκέθ' οἵου τε ὄντος λειτουργεῖν διὰ λιπαρὸν γῆρας, τὸν εἰρημένον Ἀλέξανδρον, ἐπίσκοπον ἑτέρας ὑπάρχοντα παροικίας, οἰκονομία θεοῦ ἐπὶ τὴν ἅμα τῷ Ναρκίσσῳ λειτουργίαν ἐκάλει, κατὰ ἀποκάλυψιν νύκτωρ αὐτῷ δι' ὁράματος φανεῖσαν.* 2. *ταύτῃ δ' οὖν ὡς κατά τι θεοπρόπιον ἐκ τῆς Καππαδοκῶν γῆς, ἔνθα τὸ πρῶτον τῆς ἐπισκοπῆς ἠξίωτο, τὴν πορείαν ἐπὶ τὰ Ἱεροσόλυμα εὐχῆς καὶ τῶν τόπων ἱστορίας ἕνεκεν πεποιημένον φιλοφρονέστατα οἱ τῇδε ὑπολαβόντες οὐκέτ' οἴκαδε παλινοστεῖν αὐτῷ ἐπιτρέπουσι, καθ' ἑτέραν ἀποκάλυψιν καὶ αὐτοῖς νύκτωρ ὀφθεῖσαν, μίαν τε φωνὴν σαφεστάτην τοῖς μάλιστα αὐτῶν σπουδαίοις χρήσασαν· ἐδήλου γὰρ προελθόντας ἔξω πυλῶν τὸν ἐκ θεοῦ προωρισμένον αὐτοῖς ἐπίσκοπον ὑποδέξασθαι. τοῦτο δὲ πράξαντες μετὰ κοινῆς τῶν ἐπισκόπων, οἳ τὰς πέριξ διεῖπον ἐκκλησίας, γνώμης ἐπάναγκες αὐτὸν παραμένειν βιάζονται.* 3. *μνημονεύει γέ τοι καὶ αὐτὸς ὁ Ἀλέξανδρος ἐν ἰδίαις ἐπιστολαῖς ταῖς πρὸς Ἀντινοείτας εἰσέτι νῦν παρ' ἡμῖν σωζομέναις τῆς Ναρκίσσου σὺν αὐτῷ προεδρίας, ταῦτα κατὰ λέξιν ἐπὶ τέλει γράφων τῆς ἐπιστολῆς "ἀσπάζεται ὑμᾶς Νάρκισσος, ὁ πρὸ ἐμοῦ διέπων τὸν "τόπον τῆς ἐπισκοπῆς τὸν ἐνθάδε, καὶ νῦν συνεξετα"ζόμενός μοι διὰ τῶν εὐχῶν, ἑκατὸν δεκαὲξ ἔτη ἠνυ"κώς, παρακαλῶν ὑμᾶς ὁμοίως ἐμοὶ ὁμοφρονῆσαι."* 4. *καὶ ταῦτα μὲν οὕτως εἶχε. τῆς δὲ κατ' Ἀντιόχειαν ἐκκλησίας Σαραπίωνος ἀναπαυσαμένου τὴν ἐπισκοπὴν διαδέχεται Ἀσκληπιάδης, ἐν ταῖς κατὰ τὸν διωγμὸν ὁμολογίαις διαπρέψας καὶ αὐτός.* 5. *μέμνηται καὶ τῆς τούτου καταστάσεως Ἀλέξανδρος, Ἀντιοχεῦσι γράφων ὧδε "Ἀλέξανδρος, δοῦλος καὶ δέσμιος "Ἰησοῦ Χριστοῦ, τῇ μακαρίᾳ ἐκκλησίᾳ Ἀντιοχέων ἐν*

"κυρίῳ χαίρειν. ἐλαφρά μοι καὶ κοῦφα τὰ δεσμὰ ὁ "κύριος ἐποίησε κατὰ τὸν καιρὸν τῆς εἱρκτῆς, πυθομένῳ μοι τῆς ἁγίας ὑμῶν τῶν Ἀντιοχέων ἐκκλησίας "κατὰ τὴν θείαν πρόνοιαν Ἀσκληπιάδην τὸν ἐπιτηδειότατον κατ᾽ ἀξίαν τὴν πίστιν τῆς ἐπισκοπῆς ἐγκεχειρισμένον." 6. ταύτην δὲ τὴν ἐπιστολὴν σημαίνει διὰ Κλήμεντος ἀπεσταλκέναι, πρὸς τῷ τέλει τοῦτον γράφων τὸν τρόπον "ταῦτα δὲ ὑμῖν, κύριοί μου ἀδελφοί, τὰ γράμματα ἀπέστειλα διὰ Κλήμεντος τοῦ "μακαρίου πρεσβυτέρου, ἀνδρὸς ἐναρέτου καὶ δοκίμου, ὃν ἴστε καὶ ὑμεῖς καὶ ἐπιγνώσεσθε, ὃς καὶ ἐνθάδε παρὼν κατὰ τὴν πρόνοιαν καὶ ἐπισκοπὴν τοῦ "δεσπότου ἐπεστήριξέ τε καὶ ηὔξησε τὴν τοῦ κυρίου "ἐκκλησίαν."

XII. [Nic. H. E. V, 3.] Τοῦ δὲ Σαραπίωνος τῆς περὶ λόγους ἀσκήσεως καὶ ἄλλα μὲν εἰκὸς σώζεσθαι παρ᾽ ἑτέροις ὑπομνήματα, εἰς ἡμᾶς δὲ μόνα κατῆλθε τὰ πρὸς Δομνῖνον, ἐκπεπτωκότα τινὰ παρὰ τὸν τοῦ διωγμοῦ καιρὸν ἀπὸ τῆς εἰς Χριστὸν πίστεως ἐπὶ τὴν Ἰουδαϊκὴν ἐθελοθρησκείαν, καὶ τὰ πρὸς Πόντιον καὶ Καρικὸν, ἐκκλησιαστικοὺς ἄνδρας, καὶ ἄλλαι πρὸς ἑτέρους ἐπιστολαί· 2. ἕτερός τε συντεταγμένος αὐτῷ λόγος περὶ τοῦ λεγομένου κατὰ Πέτρον εὐαγγελίου, ὃν πεποίηται ἀπελέγχων τὰ ψευδῶς ἐν αὐτῷ εἰρημένα, διά τινας ἐν τῇ κατὰ Ῥωσσὸν παροικίᾳ προφάσει τῆς εἰρημένης γραφῆς εἰς ἑτεροδόξους διδασκαλίας ἀποκείλαντας. ἀφ᾽ ἧς εὔλογον βραχείας παραθέσθαι λέξεις, δι᾽ ὧν ἣν εἶχε περὶ τοῦ βιβλίου γνώμην προτίθησιν οὕτω γράφων 3. "ἡμεῖς γὰρ, ἀδελφοί, καὶ "Πέτρον καὶ τοὺς ἄλλους ἀποστόλους ἀποδεχόμεθα "ὡς Χριστόν, τὰ δὲ ὀνόματι αὐτῶν ψευδεπίγραφα ὡς "ἔμπειροι παραιτούμεθα, γινώσκοντες ὅτι τὰ τοιαῦτα

"οὐ παρελάβομεν. 4. ἐγὼ γὰρ γενόμενος παρ' ὑμῖν "ὑπενόουν τοὺς πάντας ὀρθῇ πίστει προσφέρεσθαι, "καὶ μὴ διελθὼν τὸ ὑπ' αὐτῶν προφερόμενον ὀνό-"ματι Πέτρου εὐαγγέλιον εἶπον ὅτι, εἰ τοῦτό ἐστι "μόνον τὸ δοκοῦν ὑμῖν παρέχειν μικροψυχίαν, ἀνα-"γινωσκέσθω. νῦν δὲ μαθὼν ὅτι αἱρέσει τινὶ ὁ νοῦς "αὐτῶν ἐνεφώλευεν ἐκ τῶν λεχθέντων μοι, σπου-"δάσω πάλιν γενέσθαι πρὸς ὑμᾶς, ὥστε, ἀδελφοί, "προσδοκᾶτέ με ἐν τάχει. 5. ὑμεῖς δὲ, ἀδελφοί, κατα-"λαβόμενοι ὁποίας ἦν αἱρέσεως ὁ Μαρκιανὸς, ὡς καὶ "ἑαυτῷ ἠναντιοῦτο μὴ νοῶν ἃ ἐλάλει μαθήσεσθε ἐξ "ὧν ὑμῖν ἐγράφη. 6. ἐδυνήθημεν γὰρ παρ' ἄλλων "τῶν ἀσκησάντων αὐτὸ τοῦτο τὸ εὐαγγέλιον, τουτέστι "παρὰ τῶν διαδόχων τῶν καταρξαμένων αὐτοῦ, οὓς "Δοκητὰς καλοῦμεν (τὰ γὰρ φρονήματα τὰ πλείονα "ἐκείνων ἐστὶ τῆς διδασκαλίας), χρησάμενοι παρ' "αὐτῶν, διελθεῖν, καὶ εὑρεῖν τὰ μὲν πλείονα τοῦ "ὀρθοῦ λόγου τοῦ σωτῆρος, τινὰ δὲ προσδιεσταλμένα, ἃ "καὶ ὑπετάξαμεν ὑμῖν." καὶ ταῦτα μὲν τὰ Σαραπίωνος.

XIII. [Nic. H. E. IV, 33.] Τοῦ δὲ Κλήμεντος Στρωματεῖς οἱ πάντες ὀκτὼ παρ' ἡμῖν σώζονται, οὓς καὶ τοιαύτης ἠξίωσε προγραφῆς "Τίτου Φλαυίου "Κλήμεντος τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν γνωστι-"κῶν ὑπομνημάτων στρωματεῖς." 2. ἰσάριθμοί τε τούτοις εἰσὶν οἱ ἐπιγεγραμμένοι Ὑποτυπώσεων αὐτοῦ λόγοι, ἐν οἷς ὀνομαστὶ ὡς διδασκάλου τοῦ Πανταίνου μνημονεύει, ἐκδοχάς τε αὐτοῦ γράφων καὶ παραδόσεις ἐκτιθέμενος. 3. ἔστι δὲ αὐτῷ καὶ πρὸς Ἕλληνας λόγος ὁ προτρεπτικὸς, τρεῖς τε οἱ τοῦ ἐπιγεγραμμένου Παιδαγωγοῦ, καὶ "τίς ὁ σωζόμενος πλούσιος" οὕτως ἐπιγραφεὶς ἕτερος αὐτοῦ λόγος· τό τε περὶ τοῦ πάσχα σύγγραμμα, καὶ διαλέξεις περὶ νηστείας,

καὶ περὶ καταλαλιᾶς, καὶ ὁ προτρεπτικὸς εἰς ὑπομονὴν ἢ πρὸς τοὺς νεωστὶ βεβαπτισμένους, καὶ ὁ ἐπιρεγραμμένος κανὼν ἐκκλησιαστικὸς, ἢ πρὸς τοὺς Ἰουδαΐζοντας, ὃν Ἀλεξάνδρῳ τῷ δεδηλωμένῳ ἐπισκόπῳ ἀνατέθεικεν. 4. ἐν μὲν οὖν τοῖς Στρωματεῦσιν οὐ μόνον τῆς θείας κατάστρωσιν πεποίηται γραφῆς, ἀλλὰ καὶ τῶν παρ' Ἕλλησιν, εἴ τι ἄρα ὠφέλιμον ἐδόκει καὶ αὐτοῖς εἰρῆσθαι, μνημονεύει, τῶν τε παρὰ τοῖς πολλοῖς δογμάτων, τὰ Ἑλλήνων ὁμοῦ καὶ τὰ βαρβάρων ἀναπτύσσων. 5. καὶ ἔτι τὰς τῶν αἱρεσιαρχῶν ψευδοδοξίας εὐθύνων ἱστορίαν τε πολλὴν ἐξαπλοῖ, ὑπόθεσιν ἡμῖν πολυμαθοῦς παρέχων παιδείας. τούτοις ἅπασι καταμίγνυσι καὶ τὰ φιλοσόφων δόγματα, ὅθεν εἰκότως κατάλληλον τῇ ὑποθέσει καὶ τὴν προγραφὴν τῶν Στρωματέων πεποίηται. 6. κέχρηται δ' ἐν αὐτοῖς καὶ ταῖς ἀπὸ τῶν ἀντιλεγομένων γραφῶν μαρτυρίαις, τῆς τε λεγομένης Σολομῶνος σοφίας, καὶ τῆς Ἰησοῦ τοῦ Σιρὰχ, καὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, τῆς τε Βαρνάβα καὶ Κλήμεντος καὶ Ἰούδα. 7. μνημονεύει τε τοῦ πρὸς Ἕλληνας Τατιανοῦ λόγου, καὶ Κασσιανοῦ ὡς καὶ αὐτοῦ χρονογραφίαν πεποιημένου· ἔτι μὴν Φίλωνος καὶ Ἀριστοβούλου, Ἰωσήπου τε καὶ Δημητρίου καὶ Εὐπολέμου, Ἰουδαίων συγγραφέων, ὡσὰν τούτων ἁπάντων ἐγγράφως πρεσβύτερον τῆς παρ' Ἕλλησιν ἀρχαιογονίας Μωυσέα τε καὶ τὸ τῶν Ἰουδαίων γένος ἀποδειξάντων. 8. καὶ ἄλλης δὲ πλείστης χρηστομαθείας ἔμπλεοι οἱ δηλούμενοι τυγχάνουσι τοῦ ἀνδρὸς λόγοι, ὧν ἐν τῷ πρώτῳ περὶ ἑαυτοῦ δηλοῖ ὡς ἔγγιστα τῆς τῶν ἀποστόλων γενομένου διαδοχῆς. ὑπισχνεῖται δ' ἐν αὐτοῖς καὶ εἰς τὴν Γένεσιν ὑπομνηματιεῖσθαι. 9. καὶ ἐν τῷ λόγῳ δὲ αὐτοῦ τῷ περὶ τοῦ πάσχα ἐκβιασθῆναι

ὁμολογεῖ πρὸς τῶν ἑταίρων, ἃς ἔτυχε παρὰ τῶν ἀρχαίων πρεσβυτέρων ἀκηκοὼς παραδόσεις, γραφῇ τοῖς μετὰ ταῦτα παραδοῦναι. μέμνηται δὲ ἐν αὐτῷ Μελίτωνος καὶ Εἰρηναίου καί τινων ἑτέρων, ὧν καὶ τὰς διηγήσεις τέθειται.

XIV. Ἐν δὲ ταῖς Ὑποτυπώσεσι, ξυνελόντα εἰπεῖν, πάσης τῆς ἐνδιαθήκου γραφῆς ἐπιτετμημένας πεποίηται διηγήσεις, μηδὲ τὰς ἀντιλεγομένας παρελθών, τὴν Ἰούδα λέγω καὶ τὰς λοιπὰς καθολικὰς ἐπιστολάς, τήν τε Βαρνάβα καὶ τὴν Πέτρου λεγομένην ἀποκάλυψιν. 2. καὶ τὴν πρὸς Ἑβραίους δὲ ἐπιστολὴν Παύλου μὲν εἶναί φησι, γεγράφθαι δὲ Ἑβραίοις Ἑβραϊκῇ φωνῇ, Λουκᾶν δὲ φιλοτίμως αὐτὴν μεθερμηνεύσαντα ἐκδοῦναι τοῖς Ἕλλησιν, ὅθεν τὸν αὐτὸν χρῶτα εὑρίσκεσθαι κατὰ τὴν ἑρμηνείαν ταύτης τε τῆς ἐπιστολῆς καὶ τῶν Πράξεων· 3. μὴ προγεγράφθαι δὲ τὸ "Παῦλος ἀπόστολος", εἰκότως· Ἑβραίοις γάρ, φησίν, ἐπιστέλλων, πρόληψιν εἰληφόσι κατ' αὐτοῦ καὶ ὑποπτεύουσιν αὐτόν, συνετῶς πάνυ οὐκ ἐν ἀρχῇ ἀπέτρεψεν αὐτοὺς τὸ ὄνομα θείς. 4. εἶτα ὑποβὰς ἐπιλέγει "ἤδη δὲ ὡς ὁ μακάριος ἔλεγε πρεσβύτερος, ἐπεὶ ὁ "κύριος ἀπόστολος ὢν τοῦ παντοκράτορος ἀπεστάλη "πρὸς Ἑβραίους, διὰ μετριότητα ὁ Παῦλος, ὡσὰν εἰς "τὰ ἔθνη ἀπεσταλμένος, οὐκ ἐγγράφει ἑαυτὸν Ἑβραίων "ἀπόστολον, διά τε τὴν πρὸς τὸν κύριον τιμήν, διά "τε τὸ ἐκ περιουσίας καὶ τοῖς Ἑβραίοις ἐπιστέλλειν, "ἐθνῶν κήρυκα ὄντα καὶ ἀπόστολον." 5. αὖθις δ' ἐν τοῖς αὐτοῖς ὁ Κλήμης βιβλίοις περὶ τῆς τάξεως τῶν εὐαγγελίων παράδοσιν τῶν ἀνέκαθεν πρεσβυτέρων τέθειται, τοῦτον ἔχουσαν τὸν τρόπον· προγε-

6 Clem. Alex. fragm. p. 1024 Pott.

γράφθαι [ἔλεγεν] τῶν εὐαγγελίων τὰ περιέχοντα τὰς γενεαλογίας, 6. τὸ δὲ κατὰ Μάρκον ταύτην ἐσχηκέναι τὴν οἰκονομίαν. τοῦ Πέτρου δημοσίᾳ ἐν Ῥώμῃ κηρύξαντος τὸν λόγον, καὶ πνεύματι τὸ εὐαγγέλιον ἐξειπόντος, τοὺς παρόντας πολλοὺς ὄντας παρακαλέσαι τὸν Μάρκον, ὡσὰν ἀκολουθήσαντα αὐτῷ πόρρωθεν καὶ μεμνημένον τῶν λεχθέντων, ἀναγράψαι τὰ εἰρημένα· ποιήσαντα δὲ τὸ εὐαγγέλιον μεταδοῦναι τοῖς δεομένοις αὐτοῦ. 7. ὅπερ ἐπιγνόντα τὸν Πέτρον προτρεπτικῶς μήτε κωλῦσαι μήτε προτρέψασθαι, τὸν μέντοι Ἰωάννην ἔσχατον συνιδόντα ὅτι τὰ σωματικὰ ἐν τοῖς εὐαγγελίοις δεδήλωται, προτραπέντα ὑπὸ τῶν γνωρίμων, πνεύματι θεοφορηθέντα, πνευματικὸν ποιῆσαι εὐαγγέλιον. τοσαῦτα ὁ Κλήμης. 8. πάλιν δ' ὁ δηλωθεὶς Ἀλέξανδρος τοῦ Κλήμεντος, ἅμα δὲ καὶ τοῦ Πανταίνου ἔν τινι πρὸς Ὠριγένην ἐπιστολῇ μνημονεύει, ὡς δὴ γνωρίμων αὐτῷ γενομένων τῶν ἀνδρῶν. γράφει δὲ οὕτως "τοῦτο γὰρ καὶ θέλημα "θεοῦ, ὡς οἶδας, γέγονεν, ἵνα ἡ ἀπὸ προγόνων ἡμῖν "φιλία μένῃ ἄσυλος, μᾶλλον δὲ θερμοτέρα ᾖ καὶ "βεβαιοτέρα. 9. πατέρας γὰρ ἴσμεν τοὺς μακαρίους "ἐκείνους τοὺς προοδεύσαντας, πρὸς οὓς μετ' ὀλίγον "ἐσόμεθα, Πάνταινον τὸν μακάριον ὡς ἀληθῶς καὶ "κύριον, καὶ τὸν ἱερὸν Κλήμεντα κύριόν μου γενό"μενον καὶ ὠφελήσαντά με, καὶ εἴ τις ἕτερος τοιοῦτος, "δι' ὧν σε ἐγνώρισα τὸν κατὰ πάντα ἄριστον καὶ "κύριόν μου καὶ ἀδελφόν." 10. καὶ ταῦτα μὲν τοιαῦτα. ὁ μέντοι Ἀδαμάντιος, καὶ τοῦτο γὰρ ἦν τῷ Ὠριγένει ὄνομα, Ζεφυρίνου κατὰ τούσδε τοὺς χρόνους τῆς Ῥωμαίων ἐκκλησίας ἡγουμένου ἐπιδημῆσαι τῇ Ῥώμῃ, καὶ αὐτός που γράφει λέγων "εὐξάμενος τὴν ἀρχαιοτάτην Ῥωμαίων ἐκκλησίαν ἰδεῖν", ἔνθα

οὐ πολὺ διατρίψας ἐπάνεισιν εἰς τὴν Ἀλεξάνδρειαν. 11. καὶ δὴ τὰ συνήθη τῆς κατηχήσεως ἐνταῦθα μετὰ πάσης ἐπλήρου σπουδῆς, Δημητρίου τῶν τῇδε ἐπισκόπου ἔτι τότε παρορμῶντος αὐτὸν καὶ μονονουχὶ ἀντιβολοῦντος ἀόκνως τὴν εἰς τοὺς ἀδελφοὺς ὠφέλειαν ποιεῖσθαι.

XV. [Nic. H. E. V, 11.] Ὁ δ' ὡς ἑαυτὸν ἑώρα μὴ ἐπαρκοῦντα τῇ τῶν θείων βαθυτέρᾳ σχολῇ, τῇ τε ἐξετάσει καὶ ἑρμηνείᾳ τῶν ἱερῶν γραμμάτων, καὶ προσέτι τῇ τῶν προσιόντων κατηχήσει, μηδ' ἀναπνεῦσαι συγχωρούντων αὐτῷ, ἑτέρων ἐφ' ἑτέροις ἐξ ἕω καὶ μέχρις ἑσπέρας ἐπὶ τὸ παρ' αὐτῷ διδασκαλεῖον φοιτώντων, διανείμας τὰ πλήθη, τὸν Ἡρακλᾶν τῶν γνωρίμων προκρίνας, ἔν τε τοῖς θείοις σπουδαῖον καὶ ἄλλως ὄντα λογιώτατον ἄνδρα καὶ φιλοσοφίας οὐκ ἄμοιρον, κοινωνὸν καθίστη τῆς κατηχήσεως, τῷ μὲν τὴν πρώτην τῶν ἄρτι στοιχειουμένων εἰσαγωγὴν ἐπιτρέψας, αὐτῷ δὲ τὴν τῶν ἐν ἕξει φυλάξας ἀκρόασιν.

XVI. [Nic. H. E. V, 11.] Τοσαύτη δὲ εἰσήγετο τῷ Ὠριγένει τῶν θείων λόγων ἀπηκριβωμένη ἐξέτασις ὡς καὶ τὴν Ἑβραΐδα γλῶτταν ἐκμαθεῖν, τάς τε παρὰ τοῖς Ἰουδαίοις φερομένας πρωτοτύπους αὐτοῖς Ἑβραίων στοιχείοις γραφὰς κτῆμα ἴδιον ποιήσασθαι, ἀνιχνεῦσαί τε τὰς τῶν ἑτέρων παρὰ τοὺς ἑβδομήκοντα τὰς ἱερὰς γραφὰς ἡρμηνευκότων ἐκδόσεις, καί τινας ἑτέρας παρὰ τὰς καθημαξευμένας ἑρμηνείας ἐναλλαττούσας, τὴν Ἀκύλου καὶ Συμμάχου καὶ Θεοδοτίωνος, ἐφευρεῖν, ἃς οὐκ οἶδ' ὁπόθεν ἔκ τινων μυχῶν τὸν πάλαι λανθανούσας χρόνον εἰς φῶς ἀνιχνεύσας προήγαγεν. 2. ἐφ' ὧν διὰ τὴν ἀδηλότητα, τίνος ἄρ' εἶεν οὐκ εἰδώς, αὐτὸ τοῦτο μόνον ἐπεσημήνατο, ὡς ἄρα τὴν μὲν εὕροι ἐν τῇ πρὸς Ἀκτίοις

Νικοπόλει, τὴν δὲ ἐν ἑτέρῳ τοιῷδε τόπῳ. 3. ἔν γε μὴν τοῖς ἑξαπλοῖς τῶν ψαλμῶν μετὰ τὰς ἐπισήμους τέσσαρας ἐκδόσεις οὐ μόνον πέμπτην, ἀλλὰ καὶ ἕκτην καὶ ἑβδόμην παραθεὶς ἑρμηνείαν, ἐπὶ μιᾶς αὖθις σεσημείωται ὡς ἐν Ἱεριχοῖ ηὑρημένης ἐν πίθῳ, κατὰ τοὺς χρόνους Ἀντωνίνου τοῦ υἱοῦ Σεβήρου. 4. ταύτας δὲ ἁπάσας ἐπὶ ταυτὸν συναγαγὼν, διελών τε πρὸς κῶλον, καὶ ἀντιπαραθεὶς ἀλλήλαις μετὰ καὶ αὐτῆς τῆς Ἑβραίων σημειώσεως, τὰ τῶν λεγομένων ἡμῖν ἑξαπλῶν ἀντίγραφα καταλέλοιπεν, ἰδίως τὴν Ἀκύλου καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἔκδοσιν ἅμα τῇ τῶν ἑβδομήκοντα ἐν τοῖς τετραπλοῖς ἐπικατασκευάσας.

XVII. [Nic. H. E. V, 12.] Τῶν γε μὴν ἑρμηνευτῶν αὐτῶν δὴ τούτων ἰστέον Ἐβιωναῖον τὸν Σύμμαχον γεγονέναι. αἵρεσις δέ ἐστιν ἡ τῶν Ἐβιωναίων οὕτω καλουμένη τῶν τὸν Χριστὸν ἐξ Ἰωσὴφ καὶ Μαρίας γεγονέναι φασκόντων, ψιλόν τε ἄνθρωπον ὑπειληφότων αὐτὸν, καὶ τὸν νόμον χρῆναι Ἰουδαϊκώτερον φυλάττειν ἀπισχυριζομένων, ὥς που καὶ ἐκ τῆς πρόσθεν ἱστορίας ἔγνωμεν. καὶ ὑπομνήματα δὲ τοῦ Συμμάχου εἰσέτι νῦν φέρεται ἐν οἷς δοκεῖ πρὸς τὸ κατὰ Ματθαῖον ἀποτεινόμενος εὐαγγέλιον τὴν δεδηλωμένην αἵρεσιν κρατύνειν. ταῦτα δὲ ὁ Ὠριγένης μετὰ καὶ ἄλλων εἰς τὰς γραφὰς ἑρμηνειῶν τοῦ Συμμάχου σημαίνει παρὰ Ἰουλιανῆς τινος εἰληφέναι, ἣν καί φησι παρ' αὐτοῦ Συμμάχου τὰς βίβλους διαδέξασθαι.

XVIII. [Nic. H. E. V, 12.] Ἐν τούτῳ καὶ Ἀμβρόσιος, τὰ τῆς Οὐαλεντίνου φρονῶν αἱρέσεως, πρὸς τῆς ὑπὸ Ὠριγένους πρεσβευομένης ἀληθείας ἐλεγχθεὶς, καὶ ὡσὰν ὑπὸ φωτὸς καταυγασθεὶς τὴν

διάνοιαν, τῷ τῆς ἐκκλησιαστικῆς ὀρθοδοξίας προστίθεται λόγῳ· 2. καὶ ἄλλοι δὲ πλείους τῶν ἀπὸ παιδείας, τῆς περὶ τὸν Ὠριγένην φήμης πανταχόσε βοωμένης, ἤεσαν ὡς αὐτὸν, πεῖραν τῆς ἐν τοῖς ἱεροῖς λόγοις ἱκανότητος τἀνδρὸς ληψόμενοι· μυρίοι δὲ τῶν αἱρετικῶν, φιλοσόφων τε τῶν μάλιστα ἐπιφανῶν οὐκ ὀλίγοι διὰ σπουδῆς αὐτῷ προσεῖχον, μονονουχὶ πρὸς τοῖς θείοις καὶ τὰ τῆς ἔξωθεν φιλοσοφίας πρὸς αὐτοῦ παιδευόμενοι. 3. εἰσῆγέ τε γὰρ ὅσους εὐφυῶς ἔχοντας ἑώρα καὶ ἐπὶ τὰ φιλόσοφα μαθήματα, γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τὰ ἄλλα προπαιδεύματα παραδιδοὺς, εἴς τε τὰς αἱρέσεις τὰς παρὰ τοῖς φιλοσόφοις προάγων, καὶ τὰ παρὰ τούτοις συγγράμματα διηγούμενος, ὑπομνηματιζόμενός τε καὶ θεωρῶν εἰς ἕκαστα, ὥστε μέγαν καὶ παρ' αὐτοῖς Ἕλλησι φιλόσοφον τὸν ἄνδρα κηρύττεσθαι. 4. πολλοὺς δὲ καὶ τῶν ἰδιωτικωτέρων ἐνῆγεν ἐπὶ τὰ ἐγκύκλια γράμματα, οὐ μικρὰν αὐτοῖς ἔσεσθαι φάσκων ἐξ ἐκείνων ἐπιτηδειότητα εἰς τὴν τῶν θείων γραφῶν θεωρίαν τε καὶ παρασκευήν. ὅθεν μάλιστα καὶ ἑαυτῷ ἀναγκαίαν ἡγήσατο τὴν περὶ τὰ κοσμικὰ καὶ φιλόσοφα μαθήματα ἄσκησιν.

XIX. [Nic. H. E. V, 12. 13.] Μάρτυρες δὲ καὶ τῆς περὶ ταῦτα αὐτοῦ κατορθώσεως αὐτῶν Ἑλλήνων οἱ κατ' αὐτὸν ἠκμακότες φιλόσοφοι, ὧν ἐν συγγράμμασι πολλὴν μνήμην ηὕρομεν τοῦ ἀνδρὸς, τοτὲ μὲν αὐτῷ προσφωνούντων τοὺς ἑαυτῶν λόγους, τοτὲ δὲ ὡς διδασκάλῳ εἰς ἐπίκρισιν τοὺς ἰδίους ἀναφερόντων πόνους. 2. τί δεῖ ταῦτα λέγειν, ὅτε καὶ ὁ καθ' ἡμᾶς ἐν Σικελίᾳ καταστὰς Πορφύριος, συγγράμματα καθ' ἡμῶν ἐνστησάμενος, καὶ δι' αὐτῶν τὰς θείας γραφὰς διαβάλλειν πεπειραμένος, τῶν τε εἰς αὐτὰς ἐξηγησα-

μένων μνημονεύσας, μηδὲν μηδαμῶς φαῦλον ἔγκλημα τοῖς δόγμασιν ἐπιβαλεῖν δυνηθεὶς, ἀπορίᾳ λόγων ἐπὶ τὸ λοιδορεῖν τρέπεται καὶ τοὺς ἐξηγητὰς ἐνδιαβάλλειν, ὧν μάλιστα τὸν Ὠριγένην· 3. ὃν κατὰ τὴν νέαν ἡλικίαν ἐγνωκέναι φήσας διαβάλλειν μὲν πειρᾶται, συνιστῶν δὲ ἄρα τὸν ἄνδρα ἐλάνθανε, τὰ μὲν ἐπαληθεύων, ἐν οἷς οὐδ' ἑτέρως αὐτῷ λέγειν ἦν δυνατὸν, τὰ δὲ καὶ ψευδόμενος, ἐν οἷς λήσεσθαι ἐνόμιζε, καὶ τοτὲ μὲν ὡς Χριστιανοῦ κατηγορῶν, τοτὲ δὲ τὴν περὶ τὰ φιλόσοφα μαθήματα ἐπίδοσιν αὐτοῦ διαγράφων. 4. ἄκουε δ' οὖν ἅ φησι κατὰ λέξιν "τῆς δὴ μοχθηρίας τῶν Ἰουδαϊκῶν γραφῶν οὐκ ἀπόστασιν, λύσιν δέ τινες εὑρεῖν προθυμηθέντες, ἐπ' ἐξηγήσεις ἐτράποντο ἀσυγκλώστους καὶ ἀναρμόστους τοῖς γεγραμμένοις, οὐκ ἀπολογίαν μᾶλλον ὑπὲρ τῶν ὀθνείων, παραδοχὴν δὲ καὶ ἔπαινον τοῖς οἰκείοις φερούσας. αἰνίγματα γὰρ τὰ φανερῶς παρὰ Μωυσεῖ λεγόμενα εἶναι κομπάσαντες, καὶ ἐπιθειάσαντες ὡς θεσπίσματα πλήρη κρυφίων μυστηρίων, διά τε τοῦ τύφου τὸ κριτικὸν τῆς ψυχῆς καταγοητεύσαντες, ἐπάγουσιν ἐξηγήσεις." 5. εἶτα μεθ' ἕτερά φησιν "ὁ δὲ τρόπος τῆς ἀτοπίας ἐξ ἀνδρὸς, ᾧ κἀγὼ κομιδῇ νέος ὢν ἔτι ἐντετύχηκα, σφόδρα εὐδοκιμήσαντος καὶ ἔτι δι' ὧν καταλέλοιπε συγγραμμάτων εὐδοκιμοῦντος, παρειλήφθω Ὠριγένους, οὗ κλέος παρὰ τοῖς διδασκάλοις τούτων τῶν λόγων μέγα διαδέδοται. 6. ἀκροατὴς γὰρ οὗτος Ἀμμωνίου τοῦ πλείστην ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἐπίδοσιν ἐν φιλοσοφίᾳ ἐσχηκότος γεγονὼς, εἰς μὲν τὴν τῶν λόγων ἐμπειρίαν πολλὴν παρὰ τοῦ διδασκάλου τὴν ὠφέλειαν ἐκτήσατο, εἰς δὲ τὴν ὀρθὴν τοῦ βίου προαίρεσιν τὴν ἐναντίαν ἐκείνῳ πορείαν ἐποιήσατο. 7. Ἀμμώνιος

μὲν γὰρ Χριστιανὸς ἐν Χριστιανοῖς ἀνατραφεὶς τοῖς γονεῦσιν, ὅτε τοῦ φρονεῖν καὶ τῆς φιλοσοφίας ἥψατο, εὐθὺς πρὸς τὴν κατὰ νόμους πολιτείαν μετεβάλετο, Ὠριγένης δὲ Ἕλλην ἐν Ἕλλησι παιδευθεὶς λόγοις πρὸς τὸ βάρβαρον ἐξώκειλε τόλμημα· ᾧ δὴ φέρων αὐτόν τε καὶ τὴν ἐν τοῖς λόγοις ἕξιν ἐκαπήλευσε, κατὰ μὲν τὸν βίον Χριστιανῶς ζῶν καὶ παρανόμως, κατὰ δὲ τὰς περὶ τῶν πραγμάτων καὶ τοῦ θείου δόξας ἑλληνίζων καὶ τὰ Ἑλλήνων τοῖς ὀθνείοις ὑποβαλλόμενος μύθοις. 8. συνῆν τε γὰρ ἀεὶ τῷ Πλάτωνι, τοῖς τε Νουμηνίου καὶ Κρονίου, Ἀπολλοφάνους τε καὶ Λογγίνου καὶ Μοδεράτου Νικομάχου τε καὶ τῶν ἐν τοῖς Πυθαγορείοις ἐλλογίμων ἀνδρῶν ὡμίλει συγγράμμασιν· ἐχρῆτο δὲ καὶ Χαιρήμονος τοῦ Στωϊκοῦ, Κορνούτου τε ταῖς βίβλοις, παρ' ὧν τὸν μεταληπτικὸν τῶν παρ' Ἕλλησι μυστηρίων γνοὺς τρόπον ταῖς Ἰουδαϊκαῖς προσῆψε γραφαῖς.” 9. ταῦτα τῷ Πορφυρίῳ κατὰ τὸ τρίτον σύγγραμμα τῶν γραφέντων αὐτῷ κατὰ Χριστιανῶν εἴρηται, ἐπαληθεύσαντι μὲν περὶ τῆς τἀνδρὸς ἀσκήσεως καὶ πολυμαθείας, ψευσαμένῳ δὲ σαφῶς (τί γὰρ οὐκ ἔμελλεν ὁ κατὰ Χριστιανῶν;) ἐν οἷς αὐτὸν μὲν ἐξ Ἑλλήνων φησὶν μετατεθεῖσθαι, τὸν δ' Ἀμμώνιον ἐκ βίου τοῦ κατὰ τὴν θεοσέβειαν ἐπὶ τὸν ἐθνικὸν τρόπον ἐκπεσεῖν. 10. τῷ τε γὰρ Ὠριγένει τὰ τῆς κατὰ Χριστὸν διδασκαλίας ἐκ προγόνων ἐσῴζετο, ὡς καὶ τὰ τῆς πρόσθεν ἱστορίας ἐδήλου, τῷ τε Ἀμμωνίῳ τὰ τῆς ἐνθέου φιλοσοφίας ἀκέραια καὶ ἀδιάπτωτα καὶ μέχρις ἐσχάτης τοῦ βίου διέμενε τελευτῆς, ὥς που καὶ οἱ τἀνδρὸς εἰσέτι νῦν μαρτυροῦσι πόνοι, δι' ὧν κατέλιπε συγγραμμάτων παρὰ τοῖς πλείστοις εὐδοκιμοῦντος· ὥσπερ οὖν καὶ ὁ ἐπιγεγραμμένος περὶ τῆς Μωυ-

σέως καὶ Ἰησοῦ συμφωνίας, καὶ ὅσοι ἄλλοι παρὰ τοῖς φιλοκάλοις ηὕρηνται. 11. ταῦτα μὲν οὖν εἰς παράστασιν κείσθω τῆς τε τοῦ ψευδηγόρου συκοφαντίας καὶ τῆς Ὠριγένους καὶ περὶ τὰ Ἑλλήνων μαθήματα πολυπειρίας, περὶ ἧς πρός τινας μεμψαμένους αὐτῷ διὰ τὴν περὶ ἐκεῖνα σπουδὴν ἀπολογούμενος ἐν ἐπιστολῇ τινι ταῦτα γράφει 12. "ἐπεὶ δὲ ἀνακειμένῳ μοι "τῷ λόγῳ, τῆς φήμης διατρεχούσης περὶ τῆς ἕξεως "ἡμῶν, προσῄεσαν ὁτὲ μὲν αἱρετικοί, ὁτὲ δὲ οἱ ἀπὸ "τῶν Ἑλληνικῶν μαθημάτων, καὶ μάλιστα τῶν ἐν "φιλοσοφίᾳ, ἔδοξεν ἐξετάσαι τά τε τῶν αἱρετικῶν "δόγματα καὶ τὰ τῶν φιλοσόφων περὶ ἀληθείας "λέγειν ἐπαγγελλόμενα. 13. τοῦτο δὲ πεποιήκαμεν "μιμησάμενοί τε τὸν πρὸ ἡμῶν πολλοὺς ὠφελήσαντα "Πάνταινον, οὐκ ὀλίγην ἐν ἐκείνοις ἐσχηκότα παρα"σκευήν, καὶ τὸν νῦν ἐν τῷ πρεσβυτερίῳ καθεζόμε"νον Ἀλεξανδρέων Ἡρακλᾶν, ὅντινα ηὗρον παρὰ τῷ "διδασκάλῳ τῶν φιλοσόφων μαθημάτων, ἤδη πέντε "ἔτεσιν αὐτῷ προσκαρτερήσαντα, πρὶν ἢ ἐμὲ ἄρξα"σθαι ἀκούειν ἐκείνων τῶν λόγων. 14. διὸ καὶ πρό"τερον κοινῇ ἐσθῆτι χρώμενος, ἀποδυσάμενος καὶ "φιλόσοφον ἀναλαβὼν σχῆμα, μέχρι τοῦ δεῦρο τηρεῖ, "βιβλία τε Ἑλλήνων κατὰ δύναμιν οὐ παύεται φιλο"λογῶν." καὶ ταῦτα μὲν αὐτῷ περὶ τῆς Ἑλληνικῆς ἀσκήσεως ἀπολογουμένῳ εἴρηται. 15. κατὰ τοῦτον δὲ τὸν χρόνον ἐπ' Ἀλεξανδρείας αὐτῷ τὰς διατριβὰς ποιουμένῳ ἐπιστάς τις τῶν στρατιωτικῶν ἀνεδίδου γράμματα, Δημητρίῳ τε τῷ τῆς παροικίας ἐπισκόπῳ καὶ τῷ τότε τῆς Αἰγύπτου ἐπάρχῳ παρὰ τοῦ τῆς Ἀραβίας ἡγουμένου, ὡς ἂν μετὰ σπουδῆς ἁπάσης τὸν Ὠριγένην πέμψοιεν κοινωνήσοντα λόγων αὐτῷ. τοιγαροῦν προπεμφθεὶς ὑπ' αὐτῶν ἀφικνεῖται ἐπὶ

τὴν Ἀραβίαν. οὐκ εἰς μακρὸν δὲ τὰ τῆς ἀφίξεως εἰς πέρας ἀγαγὼν αὖθις ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐπανῄει. 16. χρόνου δὲ μεταξὺ διαγενομένου, οὐ σμικροῦ κατὰ τὴν πόλιν ἀναρριπισθέντος πολέμου, ὑπεξελθὼν τῆς Ἀλεξανδρείας, καὶ μηδὲ τὰς κατ' Αἴγυπτον διατριβὰς ἀσφαλεῖς ἑαυτῷ ἡγούμενος, ἐλθὼν ἐπὶ Παλαιστίνης, ἐν Καισαρείᾳ τὰς διατριβὰς ἐποιεῖτο, ἔνθα καὶ διαλέγεσθαι τάς τε θείας ἑρμηνεύειν γραφὰς ἐπὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας οἱ τῇδε ἐπίσκοποι, καίτοι τῆς τοῦ πρεσβυτερίου χειροτονίας οὐδέπω τετυχηκότα αὐτὸν ἠξίουν. 17. ὃ καὶ αὐτὸ γένοιτ' ἂν ἔκδηλον ἀφ' ὧν περὶ τούτου Δημητρίῳ γράφοντες Ἀλέξανδρος ὁ Ἱεροσολύμων ἐπίσκοπος καὶ Θεόκτιστος ὁ Καισαρείας ὧδέ πως ἀπολογοῦνται. "προσέθηκε δὲ "τοῖς γράμμασιν ὅτι τοῦτο οὐδέποτε ἠκούσθη οὐδὲ "νῦν γεγένηται, τὸ παρόντων ἐπισκόπων λαϊκοὺς "ὁμιλεῖν, οὐκ οἶδ' ὅπως προφανῶς οὐκ ἀληθῆ λέγων. "18. ὅπου γοῦν εὑρίσκονται οἱ ἐπιτήδειοι πρὸς τὸ "ὠφελεῖν τοὺς ἀδελφούς, καὶ παρακαλοῦνται τῷ λαῷ "προσομιλεῖν ὑπὸ τῶν ἁγίων ἐπισκόπων, ὥσπερ ἐν "Λαράνδοις Εὔελπις ὑπὸ Νέωνος, καὶ ἐν Ἰκονίῳ "Παυλῖνος ὑπὸ Κέλσου, καὶ ἐν Συννάδοις Θεόδωρος "ὑπὸ Ἀττικοῦ τῶν μακαρίων ἀδελφῶν. εἰκὸς δὲ καὶ "ἐν ἄλλοις τόποις τοῦτο γίνεσθαι, ἡμᾶς δὲ μὴ εἰδέ"ναι." τοῦτον καὶ ἔτι νέος ὢν ὁ δηλούμενος ἀνὴρ οὐ πρὸς μόνων τῶν συνήθων, ἀλλὰ καὶ τῶν ἐπὶ ξένης ἐπισκόπων ἐτιμᾶτο τὸν τρόπον. 19. ἀλλὰ γὰρ αὖθις τοῦ Δημητρίου διὰ γραμμάτων αὐτὸν ἀνακαλέσαντος, δι' ἀνδρῶν τε διακόνων τῆς ἐκκλησίας ἐπισπεύσαντος ἐπανελθεῖν εἰς τὴν Ἀλεξάνδρειαν, ἀφικόμενος τὰς συνήθεις ἀπετέλει σπουδάς.

XX. [Nic. H. E. V, 15.] Ἤκμαζον δὲ κατὰ τοῦτο

πλείους λόγιοι καὶ ἐκκλησιαστικοὶ ἄνδρες, ὧν καὶ ἐπιστολὰς ἃς πρὸς ἀλλήλους διεχάραττον ἔτι νῦν σωζομένας εὑρεῖν εὔπορον, αἳ καὶ εἰς ἡμᾶς ἐφυλάχθησαν ἐν τῇ κατὰ Αἰλίαν βιβλιοθήκῃ, πρὸς τοῦ τηνικάδε τὴν αὐτόθι διέποντος ἐκκλησίαν Ἀλεξάνδρου ἐπισκευασθείσῃ, ἀφ' ἧς καὶ αὐτοὶ τὰς ὕλας τῆς μετὰ χεῖρας ὑποθέσεως ἐπὶ ταὐτὸ συναγαγεῖν δεδυνήμεθα. 2. τούτων Βήρυλλος σὺν ἐπιστολαῖς καὶ συγγράμμασι διαφόρους φιλοκαλίας καταλέλοιπεν. ἐπίσκοπος δ' οὗτος ἦν τῶν κατὰ Βόστραν Ἀράβων· ὡσαύτως δὲ καὶ Ἱππόλυτος, ἑτέρας που καὶ αὐτὸς προεστὼς ἐκκλησίας. 3. ἦλθε δὲ εἰς ἡμᾶς καὶ Γαΐου λογιωτάτου ἀνδρὸς διάλογος, ἐπὶ Ῥώμης κατὰ Ζεφυρῖνον πρὸς Πρόκλον τῆς κατὰ Φρύγας αἱρέσεως ὑπερμαχοῦντα κεκινημένος, ἐν ᾧ τῶν δι' ἐναντίας τὴν περὶ τὸ συντάττειν καινὰς γραφὰς προπέτειάν τε καὶ τόλμαν ἐπιστομίζων τῶν τοῦ ἱεροῦ ἀποστόλου δεκατριῶν μόνων ἐπιστολῶν μνημονεύει, τὴν πρὸς Ἑβραίους μὴ συναριθμήσας ταῖς λοιπαῖς, ἐπεὶ καὶ εἰς δεῦρο παρὰ Ῥωμαίων τισὶν οὐ νομίζεται τοῦ ἀποστόλου τυγχάνειν.

XXI. [Nic. H. E. V, 26.] Ἀλλὰ γὰρ Ἀντωνῖνον ἔτη βασιλεύσαντα ἑπτὰ καὶ μῆνας ἓξ Μακρῖνος διαδέχεται. τούτου δ' ἐπ' ἐνιαυτὸν διαγενομένου αὖθις ἕτερος Ἀντωνῖνος τὴν Ῥωμαίων ἡγεμονίαν παραλαμβάνει, οὗ κατὰ τὸ πρῶτον ἔτος ὁ Ῥωμαίων ἐπίσκοπος Ζεφυρῖνος μεταλλάττει τὸν βίον, ὅλοις ὀκτωκαίδεκα διακατασχὼν ἔτεσι τὴν λειτουργίαν. 2. μεθ' ὃν Κάλλιστος τὴν ἐπισκοπὴν ἐγχειρίζεται, ὃς ἐπιβιώσας ἔτεσιν πέντε Οὐρβανῷ τὴν λειτουργίαν καταλείπει. αὐτοκράτωρ Ἀλέξανδρος ἐπὶ τούτοις διαδέχεται τὴν Ῥωμαίων ἀρχήν, ἐπὶ τέτταρσι μόνοις ἔτεσιν

Ἀντωνίνου διαγενομένου. ἐν τούτῳ δὲ καὶ ἐπὶ τῆς Ἀντιοχέων ἐκκλησίας Ἀσκληπιάδην Φιλητὸς διαδέχεται. 3. τοῦ δὲ αὐτοκράτορος μήτηρ, Μαμμαία τοὔνομα, γυνὴ θεοσεβεστάτη εἴ καί τις ἄλλη γεγονυῖα καὶ εὐλαβὴς τὸν τρόπον, τῆς Ὠριγένους πανταχόσε βοωμένης φήμης, ὡς καὶ μέχρι τῶν αὐτῆς ἐλθεῖν ἀκοῶν, περὶ πολλοῦ ποιεῖται τῆς τοῦ ἀνδρὸς θέας ἀξιωθῆναι, καὶ τῆς ὑπὸ πάντων θαυμαζομένης περὶ τὰ θεῖα συνέσεως αὐτοῦ πεῖραν λαβεῖν. 4. ἐπ' Ἀντιοχείας δῆτα διατρίβουσα μετὰ στρατιωτικῆς δορυφορίας αὐτὸν ἀνακαλεῖται. παρ' ᾗ χρόνον διατρίψας, πλεῖστά τε ὅσα εἰς τὴν τοῦ κυρίου δόξαν καὶ τῆς τοῦ θείου διδασκαλείου ἀρετῆς ἐπιδειξάμενος, ἐπὶ τὰς συνήθεις ἔσπευδε διατριβάς.

XXII. [Nic. H. E. V, 15.] Τότε δῆτα καὶ Ἱππόλυτος συντάττων μετὰ πλείστων ἄλλων ὑπομνημάτων καὶ τὸ περὶ τοῦ πάσχα πεποίηται σύγγραμμα, ἐν ᾧ τῶν χρόνων ἀναγραφὴν ἐκθέμενος, καί τινα κανόνα ἑκκαιδεκαετηρίδος περὶ τοῦ πάσχα προθεὶς, ἐπὶ τὸ πρῶτον ἔτος Ἀλεξάνδρου αὐτοκράτορος τοὺς χρόνους περιγράφει. τῶν δὲ λοιπῶν αὐτοῦ συγγραμμάτων τὰ εἰς ἡμᾶς ἐλθόντα ἐστὶ τάδε· εἰς τὴν ἑξαήμερον, εἰς τὰ μετὰ τὴν ἑξαήμερον, πρὸς Μαρκίωνα, εἰς τὸ ᾆσμα, εἰς μέρη τοῦ Ἰεζεκιὴλ, περὶ τοῦ πάσχα, πρὸς ἁπάσας τὰς αἱρέσεις· πλεῖστά τε ἄλλα καὶ παρὰ πολλοῖς εὕροις ἂν σωζόμενα.

XXIII. [Nic. H. E. V, 18.] Ἐξ ἐκείνου δὲ καὶ Ὠριγένει τῶν εἰς τὰς θείας γραφὰς ὑπομνημάτων ἐγίνετο ἀρχὴ, Ἀμβροσίου εἰς τὰ μάλιστα παρορμῶντος αὐτὸν μυρίαις ὁσαισοῦν προτροπαῖς, οὐ ταῖς διὰ λόγων καὶ παρακλήσεσιν αὐτὸ μόνον, ἀλλὰ καὶ ἀφθονωτάταις τῶν ἐπιτηδείων χορηγίαις. 2. ταχυγράφοι

γὰρ αὐτῷ πλείους ἢ ἑπτὰ τὸν ἀριθμὸν παρῆσαν ὑπαγορεύοντι, χρόνοις τεταγμένοις ἀλλήλους ἀμείβοντες· βιβλιογράφοι τε οὐχ ἧττους, ἅμα καὶ κόραις ἐπὶ τὸ καλλιγραφεῖν ἠσκημέναις· ὧν ἁπάντων τὴν δέουσαν τῶν ἐπιτηδείων ἄφθονον περιουσίαν ὁ Ἀμβρόσιος παρεστήσατο, ναὶ μὴν καὶ ἐν τῇ περὶ τὰ θεῖα λόγια ἀσκήσει τε καὶ σπουδῇ προθυμίαν ἄφατον αὐτῷ συνεισέφερεν, ᾗ καὶ μάλιστα αὐτὸν προύτρεπεν ἐπὶ τὴν τῶν ὑπομνημάτων σύνταξιν. 3. τούτων δὲ οὕτως ἐχόντων Οὐρβανὸν ἐπισκοπεύσαντα τῆς Ῥωμαίων ἐκκλησίας ἔτεσιν ὀκτὼ διαδέχεται Ποντιανὸς, τῆς δ' Ἀντιοχέων μετὰ Φιλητὸν Ζεβῖνος. 4. καθ' οὓς Ὠριγένης ἐπειγούσης χρείας ἐκκλησιαστικῶν ἕνεκα πραγμάτων ἐπὶ τὴν Ἑλλάδα στειλάμενος τὴν διὰ Παλαιστίνης πρεσβυτερίου χειροθεσίαν ἐν Καισαρείᾳ πρὸς τῶν τῇδε ἐπισκόπων ἀναλαμβάνει. τὰ μὲν οὖν ἐπὶ τούτῳ περὶ αὐτοῦ κεκινημένα, τά τε ἐπὶ τοῖς κινηθεῖσι δεδογμένα τοῖς τῶν ἐκκλησιῶν προεστῶσιν, ὅσα τε ἄλλα ἀκμάζων περὶ τὸν θεῖον εἰσενήνεκται λόγον, ἰδίας δεόμενα συντάξεως, μετρίως ἐν τῷ δευτέρῳ ἧς ὑπὲρ αὐτοῦ πεποιήμεθα ἀπολογίας ἀνεγράψαμεν.

XXIV. [Nic. H. E. V, 15.] Ταῦτα δὲ ἐκείνοις δέοι ἂν προσεπιθεῖναι δηλοῦντας ὡς ἐν μὲν τῷ ἕκτῳ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν σημαίνει τὰ πρότερα πέντε ἐπ' Ἀλεξανδρείας ἔτ' ὄντα αὐτὸν συντάξαι, τῆς δ' εἰς τὸ πᾶν εὐαγγέλιον αὐτὸ δὴ τοῦτο πραγματείας μόνοι δύο καὶ εἴκοσιν εἰς ἡμᾶς περιῆλθον τόμοι. 2. κατὰ δὲ τὸ ἔνατον τῶν εἰς τὴν Γένεσιν (δώδεκα δέ ἐστι τὰ πάντα) οὐ μόνον τοὺς πρὸ τοῦ ἐνάτου δηλοῖ ἐπὶ τῆς Ἀλεξανδρείας ὑπεμνηματίσθαι, ἀλλὰ καὶ εἰς τοὺς πρώτους πέντε καὶ εἴκοσι ψαλμοὺς, ἔτι τε τὰ εἰς τοὺς θρήνους, ὧν εἰς

ἡμᾶς ἐληλύθασι τόμοι πέντε, ἐν οἷς μέμνηται καὶ τῶν περὶ ἀναστάσεως· δύο δ' ἐστὶ καὶ ταῦτα. 3. οὐ μὴν ἀλλὰ καὶ τὰ περὶ ἀρχῶν πρὸ τῆς ἀπ' Ἀλεξανδρείας μεταναστάσεως γράφει, καὶ τοὺς ἐπιγεγραμμένους Στρωματεῖς, ὄντας τὸν ἀριθμὸν δέκα, ἐπὶ τῆς αὐτῆς πόλεως κατὰ τὴν Ἀλεξάνδρου συντάττει βασιλείαν, ὡς καὶ τοῦτο ὁλόγραφοι δηλοῦσιν αὐτοῦ πρὸ τῶν τόμων ἐπισημειώσεις.

XXV. [Nic. H. E. V, 16.] *Τὸν μέντοι γε πρῶτον ἐξηγούμενος ψαλμὸν ἔκθεσιν πεποίηται τοῦ τῶν ἱερῶν γραφῶν τῆς παλαιᾶς διαθήκης καταλόγου, ὧδέ πως γράφων κατὰ λέξιν "οὐκ ἀγνοητέον δ' εἶναι τὰς ἐνδιαθήκους βίβλους, ὡς Ἑβραῖοι παραδιδόασιν, δύο καὶ εἴκοσι, ὅσος ἀριθμὸς τῶν παρ' αὐτοῖς στοιχείων ἐστίν."* 2. *εἶτα μετά τινα ἐπιφέρει λέγων "εἰσὶ δὲ αἱ εἴκοσι δύο βίβλοι καθ' Ἑβραίους αἵδε· ἡ παρ' ἡμῖν Γένεσις ἐπιγεγραμμένη, παρ' Ἑβραίοις δὲ ἀπὸ τῆς ἀρχῆς τῆς βίβλου Βρησὶθ, ὅπερ ἐστὶν, ἐν ἀρχῇ· Ἔξοδος, Οὐελεσμὼθ, ὅπερ ἐστὶ, ταῦτα τὰ ὀνόματα· Λευιτικὸν, Οὐϊκρὰ, καὶ ἐκάλεσεν· Ἀριθμοὶ, Ἀμμεσφεκωδείμ· Δευτερονόμιον, Ἐλεαδδεβαρεὶμ, οὗτοι οἱ λόγοι· Ἰησοῦς υἱὸς Ναυῆ, Ἰωσοῦε βὲν Νοῦν· Κριταὶ, Ῥοὺθ, παρ' αὐτοῖς ἐν ἑνὶ, Σαφατείμ· Βασιλειῶν πρώτη, δευτέρα, παρ' αὐτοῖς ἕν, Σαμουὴλ, ὁ θεόκλητος· Βασιλειῶν τρίτη, τετάρτη, ἐν ἑνὶ Οὐαμὲλχ Δαβὶδ, ὅπερ ἐστὶ βασιλεία Δαβίδ· Παραλειπομένων πρώτη, δευτέρα, ἐν ἑνὶ Δαβρηϊαμεὶν, ὅπερ ἐστὶ λόγοι ἡμερῶν· Ἔσδρας πρῶτος, δεύτερος, ἐν ἑνὶ Ἐζρᾶ, ὅ ἐστι βοηθός· βίβλος Ψαλμῶν, Σφαρθελλείμ· Σολομῶνος παροιμίαι, Μελὼθ· Ἐκκλη-*

---

12 Origenes vol. II p. 528 Del. (XI p. 377 Lomm.).

"σιαστής, Κωέλθ· Ἆισμα Ἀισμάτων, Σὶρ Ἀσσιρίμ· "Ἡσαΐας, Ἰεσσία· Ἱερεμίας σὺν Θρήνοις καὶ τῇ ἐπι- "στολῇ ἐν ἑνί, Ἱερεμία· Δανιήλ, Δανιήλ· Ἰεζεκιήλ, "Ἰεζεκιήλ· Ἰώβ, Ἰώβ· Ἐσθήρ, Ἐσθήρ. ἔξω δὲ τού- "των ἐστὶ τὰ Μακκαβαϊκά, ἅπερ ἐπιγέγραπται Σαρ- "βὴθ Σαβαναιέλ." 3. ταῦτα μὲν οὖν ἐν τῷ προειρη- μένῳ τίθησι συγγράμματι· ἐν δὲ τῷ πρώτῳ τῶν εἰς τὸ κατὰ Ματθαῖον, τὸν ἐκκλησιαστικὸν φυλάττων κανόνα, μόνα τέσσαρα εἰδέναι εὐαγγέλια μαρτύρεται, ὧδέ πως γράφων 4. "ὡς ἐν παραδόσει μαθὼν περὶ "τῶν τεσσάρων εὐαγγελίων, ἃ καὶ μόνα ἀναντίρρητά "ἐστιν ἐν τῇ ὑπὸ τὸν οὐρανὸν ἐκκλησίᾳ τοῦ θεοῦ, "ὅτι πρῶτον μὲν γέγραπται τὸ κατὰ τόν ποτε τελώ- "νην, ὕστερον δὲ ἀπόστολον Ἰησοῦ Χριστοῦ Ματ- "θαῖον, ἐκδεδωκότα αὐτὸ τοῖς ἀπὸ Ἰουδαϊσμοῦ πι- "στεύσασι, γράμμασιν Ἑβραϊκοῖς συντεταγμένον· "5. δεύτερον δὲ τὸ κατὰ Μάρκον, ὡς Πέτρος ὑφηγή- "σατο αὐτῷ, ποιήσαντα, ὃν καὶ υἱὸν ἐν τῇ καθολικῇ "ἐπιστολῇ διὰ τούτων ὡμολόγησε φάσκων 'ἀσπάζεται "ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός "μου'. 6. καὶ τρίτον τὸ κατὰ Λουκᾶν, τὸ ὑπὸ Παύλου "ἐπαινούμενον εὐαγγέλιον, τοῖς ἀπὸ τῶν ἐθνῶν πε- "ποιηκότα· ἐπὶ πᾶσι τὸ κατὰ Ἰωάννην." 7. καὶ ἐν τῷ πέμπτῳ δὲ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν ὁ αὐτὸς ταῦτα περὶ τῶν ἐπιστολῶν τῶν ἀποστόλων φησίν· "ὁ δὲ ἱκανωθεὶς διάκονος γεγενῆσθαι τῆς "καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος, "Παῦλος, ὁ πεπληρωκὼς τὸ εὐαγγέλιον ἀπὸ Ἱερου- "σαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ, οὐδὲ πάσαις

10 Origenes vol. III p. 440 Del. (III p. 1 Lomm.). 19 1 Petr. 5, 13. 26 Origenes Comm. ed. Huet. vol. II p. 88 (I p. 165 Lomm.). 27 2 Cor. 3, 6. 28 Rom. 15, 19.

"ἔγραψεν αἷς ἐδίδαξεν ἐκκλησίαις, ἀλλὰ καὶ αἷς ἔγραψεν, ὀλίγους στίχους ἐπέστειλε. 8. Πέτρος δέ, ἐφ' ᾧ οἰκοδομεῖται ἡ Χριστοῦ ἐκκλησία, ἧς πύλαι Ἅιδου οὐ κατισχύσουσι, μίαν ἐπιστολὴν ὁμολογουμένην καταλέλοιπεν, ἔστω δὲ καὶ δευτέραν· ἀμφιβάλλεται γάρ. 9. τί δεῖ περὶ τοῦ ἀναπεσόντος ἐπὶ τὸ στῆθος λέγειν τοῦ Ἰησοῦ, Ἰωάννου, ὃς εὐαγγέλιον ἓν καταλέλοιπεν, ὁμολογῶν δύνασθαι τοσαῦτα ποιήσειν ἃ οὐδὲ ὁ κόσμος χωρῆσαι ἐδύνατο; ἔγραψε δὲ καὶ τὴν Ἀποκάλυψιν, κελευσθεὶς σιωπῆσαι καὶ μὴ γράψαι τὰς τῶν ἑπτὰ βροντῶν φωνάς. 10. καταλέλοιπε καὶ ἐπιστολὴν πάνυ ὀλίγων στίχων, ἔστω δὲ καὶ δευτέραν καὶ τρίτην· ἐπεὶ οὐ πάντες φασὶ γνησίους εἶναι ταύτας· πλὴν οὐκ εἰσὶ στίχων ἀμφότεραι ἑκατόν." 11. ἔτι πρὸς τούτοις περὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς ἐν ταῖς εἰς αὐτὴν ὁμιλίαις ταῦτα διαλαμβάνει "ὅτι ὁ χαρακτὴρ τῆς λέξεως τῆς πρὸς Ἑβραίους ἐπιγεγραμμένης ἐπιστολῆς οὐκ ἔχει τὸ ἐν λόγῳ ἰδιωτικὸν τοῦ ἀποστόλου, ὁμολογήσαντος ἑαυτὸν ἰδιώτην εἶναι τῷ λόγῳ, τουτέστι τῇ φράσει, ἀλλά ἐστιν ἡ ἐπιστολὴ συνθέσει τῆς λέξεως Ἑλληνικωτέρα, πᾶς ὁ ἐπιστάμενος κρίνειν φράσεων διαφορὰς ὁμολογήσαι ἄν. 12. πάλιν τε αὖ ὅτι τὰ νοήματα τῆς ἐπιστολῆς θαυμάσιά ἐστι, καὶ οὐ δεύτερα τῶν ἀποστολικῶν ὁμολογουμένων γραμμάτων, καὶ τοῦτο ἂν συμφήσαι εἶναι ἀληθὲς πᾶς ὁ προσέχων τῇ ἀναγνώσει τῇ ἀποστολικῇ." 13. τούτοις μεθ' ἕτερα ἐπιφέρει λέγων "ἐγὼ δὲ ἀποφαινόμενος εἴποιμ' ἂν ὅτι τὰ μὲν νοήματα τοῦ ἀποστόλου ἐστίν, ἡ δὲ φράσις καὶ ἡ σύν-

3 Matth. 16, 18. 8 Ioann. 21, 25. 10 Apoc. 10, 4. 16 Origenes Comm. ed. Huet. vol. II p. 430 (V p. 301 Lomm.). 19 2 Cor. 11, 6.

"θεσις ἀπομνημονεύσαντός τινος τὰ ἀποστολικὰ, καὶ ὡσπερεὶ σχολιογραφήσαντός τινος τὰ εἰρημένα ὑπὸ τοῦ διδασκάλου. εἴ τις οὖν ἐκκλησία ἔχει ταύτην τὴν ἐπιστολὴν ὡς Παύλου, αὕτη εὐδοκιμείτω καὶ ἐπὶ τούτῳ. οὐ γὰρ εἰκῆ οἱ ἀρχαῖοι ἄνδρες ὡς Παύλου αὐτὴν παραδεδώκασι. 14. τίς δὲ ὁ γράψας τὴν ἐπιστολὴν, τὸ μὲν ἀληθὲς θεὸς οἶδεν, ἡ δὲ εἰς ἡμᾶς φθάσασα ἱστορία ὑπό τινων μὲν λεγόντων ὅτι Κλήμης ὁ γενόμενος ἐπίσκοπος Ῥωμαίων ἔγραψε τὴν ἐπιστολὴν, ὑπό τινων δὲ ὅτι Λουκᾶς ὁ γράψας τὸ εὐαγγέλιον καὶ τὰς πράξεις." ἀλλὰ ταῦτα μὲν ὧδε ἐχέτω.

XXVI. [Nic. H. E. V, 18.] Ἔτος δ' ἦν τοῦτο δέκατον τῆς δηλουμένης ἡγεμονίας, καθ' ὃ τὴν ἀπ' Ἀλεξανδρείας μετανάστασιν ἐπὶ τὴν Καισάρειαν ὁ Ὠριγένης ποιησάμενος, Ἡρακλᾷ τὸ τῆς κατηχήσεως τῶν αὐτόθι διδασκαλεῖον καταλείπει. οὐκ εἰς μακρὸν δὲ καὶ Δημήτριος ὁ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπίσκοπος τελευτᾷ, ἐφ' ὅλοις ἔτεσι τρισὶ καὶ τεσσαράκοντα τῇ λειτουργίᾳ διαρκέσας· διαδέχεται δ' αὐτὸν ὁ Ἡρακλᾶς. διέπρεπε δὲ ἐν τούτῳ Φιρμιλλιανὸς, Καισαρείας τῆς Καππαδοκῶν ἐπίσκοπος,

XXVII. τοσαύτην εἰσάγων περὶ τὸν Ὠριγένην σπουδὴν ὡς τοτὲ μὲν αὐτὸν ἀμφὶ τὰ κατ' αὐτὸν κλίματα εἰς τὴν τῶν ἐκκλησιῶν ὠφέλειαν ἐκκαλεῖσθαι, τοτὲ δὲ ὡς αὐτὸν ἐπὶ τὴν Ἰουδαίαν στέλλεσθαι, καί τινας αὐτῷ συνδιατρίβειν χρόνους, τῆς εἰς τὰ θεῖα βελτιώσεως ἕνεκα. οὐ μὴν ἀλλὰ καὶ ὁ τῆς Ἱεροσολύμων προεστὼς Ἀλέξανδρος, Θεόκτιστός τε ὁ κατὰ Καισάρειαν, τὸν πάντα χρόνον ὡς ἔπος εἰπεῖν προσανέχοντες αὐτῷ οἷα διδασκάλῳ μόνῳ, τὰ τῆς τῶν θείων γραφῶν ἑρμηνείας καὶ τὰ λοιπὰ τοῦ ἐκκλησιαστικοῦ λόγου πράττειν συνεχώρουν.

XXVIII. [Nic. H. E. V, 20.] *Τόν γε μὴν Ῥωμαίων αὐτοκράτορα Ἀλέξανδρον τρισὶν ἐπὶ δέκα ἔτεσι τὴν ἀρχὴν διανύσαντα Μαξιμῖνος Καῖσαρ διαδέχεται, ὃς δὴ κατὰ κότον τὸν πρὸς τὸν Ἀλεξάνδρου οἶκον, ἐκ πλειόνων πιστῶν συνεστῶτα, διωγμὸν ἐγείρας, τοὺς τῶν ἐκκλησιῶν ἄρχοντας μόνους ὡς αἰτίους τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας ἀναιρεῖσθαι προστάττει. τότε καὶ Ὠριγένης τὸν περὶ μαρτυρίου συντάττει, Ἀμβροσίῳ καὶ Πρωτοκτήτῳ πρεσβυτέρῳ τῆς ἐν Καισαρείᾳ παροικίας ἀναθεὶς τὸ σύγγραμμα, ὅτι δὴ ἄμφω περίστασις οὐχ ἡ τυχοῦσα ἐν τῷ διωγμῷ κατειλήφει, ἐν ᾗ καὶ διαπρέψαι κατέχει λόγος ἐν ὁμολογίᾳ τοὺς ἄνδρας, οὐ πλείονος ἢ τριετοῦς χρόνου τῷ Μαξιμίνῳ διαγενομένου. σεσημείωται δὲ τουτονὶ τοῦ διωγμοῦ τὸν καιρὸν ἔν τε τῷ δευτέρῳ καὶ εἰκοστῷ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν καὶ ἐν διαφόροις ἐπιστολαῖς Ὠριγένης.*

XXIX. [Nic. H. E. V, 26.] *Γορδιανοῦ δὲ μετὰ Μαξιμῖνον τὴν Ῥωμαίων ἡγεμονίαν διαδεξαμένου, τῆς κατὰ Ῥώμην ἐκκλησίας Ποντιανὸν ἔτεσιν ἓξ ἐπισκοπεύσαντα διαδέχεται Ἀντέρως, καὶ τοῦτον Φαβιανὸς ἐπὶ μῆνα τῇ λειτουργίᾳ διακονησάμενον.* 2. *ἐξ ἀγροῦ φασι τὸν Φαβιανὸν μετὰ τὴν Ἀντέρωτος τελευτὴν ἅμ' ἑτέροις συνελθόντα ἐπιχωριάζειν τῇ Ῥώμῃ, ἔνθα παραδοξότατα πρὸς τῆς θείας καὶ οὐρανίου χάριτος ἐπὶ τὸν κλῆρον παρεληλυθέναι.* 3. *τῶν γὰρ ἀδελφῶν ἁπάντων χειροτονίας ἕνεκεν τῆς τοῦ μέλλοντος διαδέξασθαι τὴν ἐπισκοπὴν ἐπὶ τῆς ἐκκλησίας συγκεκροτημένων, πλείστων τε ἐπιφανῶν καὶ ἐνδόξων ἀνδρῶν τοῖς πολλοῖς ἐν ὑπονοίᾳ ὑπαρχόντων, ὁ Φαβιανὸς παρὼν οὐδενὸς μὲν ἀνθρώπων εἰς διάνοιαν ᾔει, ὅμως δ' οὖν ἀθρόως ἐκ μετεώρου περι-*

στερὰν καταπτᾶσαν ἐπικαθεσθῆναι τῇ αὐτοῦ κεφαλῇ μνημονεύουσι, μίμημα ἐνδεικνυμένην τῆς ἐπὶ τὸν σωτῆρα τοῦ ἁγίου πνεύματος ἐν εἴδει περιστερᾶς καθόδου. 4. ἐφ᾽ ᾧ τὸν πάντα λαὸν ὥσπερ ὑφ᾽ ἑνὸς πνεύματος θείου κινηθέντα ὁμόσε προθυμίᾳ πάσῃ καὶ μιᾷ ψυχῇ ἄξιον ἐπιβοῆσαι, καὶ ἀμελλήτως ἐπὶ τὸν θρόνον τῆς ἐπισκοπῆς λαβόντας αὐτὸν ἐπιθεῖναι. τότε δὴ καὶ τοῦ κατ᾽ Ἀντιόχειαν ἐπισκόπου Ζεβίνου τὸν βίον μεταλλάξαντος Βαβύλας τὴν ἀρχὴν διαδέχεται, ἔν τε Ἀλεξανδρείᾳ μετὰ Δημήτριον Ἡρακλᾶ τὴν λειτουργίαν παρειληφότος τῆς τῶν αὐτόθι κατηχήσεως τὴν διατριβὴν διαδέχεται Διονύσιος, εἷς καὶ οὗτος τῶν Ὠριγένους γενόμενος φοιτητῶν.

XXX. [Nic. H. E. V, 20.] Τῷ δὲ Ὠριγένει ἐπὶ τῆς Καισαρείας τὰ συνήθη πράττοντι πολλοὶ προσῄεσαν οὐ μόνον τῶν ἐπιχωρίων, ἀλλὰ καὶ ἀπὸ τῆς ἀλλοδαπῆς μυρίοι φοιτηταὶ τὰς πατρίδας ἀπολιπόντες, ὧν ἐπισήμους μάλιστα ἔγνωμεν Θεόδωρον, ὃς ἦν αὐτὸς οὗτος ὁ καθ᾽ ἡμᾶς ἐπισκόπων διαβόητος Γρηγόριος, τόν τε τούτου ἀδελφὸν Ἀθηνόδωρον, οὓς ἀμφὶ τὰ Ἑλλήνων καὶ Ῥωμαίων μαθήματα δεινῶς ἐπτοημένους, φιλοσοφίας αὐτοῖς ἐνθεὶς ἔρωτα, τῆς προτέρας σπουδῆς τὴν θείαν ἄσκησιν ἀντικαταλλάξασθαι προυτρέψατο. πέντε δὲ ὅλοις ἔτεσιν αὐτῷ συγγενόμενοι τοσαύτην ἀπηνέγκαντο περὶ τὰ θεῖα βελτίωσιν ὡς ἔτι νέους ἄμφω ἐπισκοπῆς τῶν κατὰ Πόντον ἐκκλησιῶν ἀξιωθῆναι.

XXXI. [Nic. H. E. V, 21.] Ἐν τούτῳ καὶ Ἀφρικανὸς ὁ τῶν ἐπιγεγραμμένων Κεστῶν συγγραφεὺς ἐγνωρίζετο. ἐπιστολὴ τούτου Ὠριγένει γραφεῖσα φέρεται, ἀποροῦντος ὡσὰν νόθου καὶ πεπλασμένης οὔσης τῆς ἐν τῷ Δανιὴλ κατὰ Σουσάνναν ἱστορίας·

πρὸς ἣν Ὠριγένης ἀντιγράφει πληρέστατα. 2. τοῦ δ' αὐτοῦ Ἀφρικανοῦ καὶ ἄλλα τὸν ἀριθμὸν πέντε χρονογραφιῶν ἦλθεν εἰς ἡμᾶς ἐπ' ἀκριβὲς πεπονημένα σπουδάσματα, ἐν οἷς φησιν ἑαυτὸν πορείαν στείλασθαι ἐπὶ τὴν Ἀλεξάνδρειαν, διὰ πολλὴν τοῦ Ἡρακλᾶ φήμην, ὃν ἐπὶ λόγοις φιλοσόφοις καὶ τοῖς ἄλλοις Ἑλλήνων μαθήμασιν εὖ μάλα διαπρέψαντα τὴν ἐπισκοπὴν τῆς αὐτόθι ἐκκλησίας ἐγχειρισθῆναι ἐδηλώσαμεν. 3. καὶ ἑτέρα δὲ τοῦ αὐτοῦ Ἀφρικανοῦ φέρεται ἐπιστολὴ πρὸς Ἀριστείδην, περὶ τῆς νομιζομένης διαφωνίας τῶν παρὰ Ματθαίῳ τε καὶ Λουκᾷ τοῦ Χριστοῦ γενεαλογιῶν, ἐν ᾗ σαφέστατα τὴν τῶν εὐαγγελιστῶν συμφωνίαν παρίστησιν ἐξ ἱστορίας εἰς αὐτὸν κατελθούσης, ἣν κατὰ καιρὸν ἐν τῷ πρώτῳ τῆς μετὰ χεῖρας ὑποθέσεως προλαβὼν ἐξεθέμην.

XXXII. [Nic. H. E. V, 19.] Καὶ Ὠριγένει δὲ κατὰ τοῦτον τὸν χρόνον τὰ εἰς τὸν Ἡσαΐαν, ἐν ταὐτῷ δὲ καὶ τὰ εἰς τὸν Ἰεζεκιὴλ συνετάττετο· ὧν εἰς μὲν τὸ τρίτον μέρος τοῦ Ἡσαΐου, μέχρι τῆς ὁράσεως τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ, τριάκοντα εἰς ἡμᾶς περιῆλθον τόμοι, εἰς δὲ τὸν Ἰεζεκιὴλ πέντε καὶ εἴκοσιν, οὓς καὶ μόνους εἰς τὸν πάντα πεποίηται προφήτην. 2. γενόμενος δὲ τηνικάδε ἐν Ἀθήναις περαίνει μὲν τὰ εἰς τὸν Ἰεζεκιήλ, τῶν δὲ εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων ἄρχεται, καὶ πρόεισί γε αὐτόθι μέχρι πέμπτου συγγράμματος. ἐπανελθὼν δὲ ἐπὶ τὴν Καισάρειαν καὶ ταῦτα εἰς πέρας δέκα ὄντα τὸν ἀριθμὸν ἄγει. 3. τί δεῖ τῶν λόγων τἀνδρὸς ἐπὶ τοῦ παρόντος τὸν ἀκριβῆ κατάλογον ποιεῖσθαι, ἰδίας δεόμενον σχολῆς; ὃν καὶ ἀνεγράψαμεν ἐπὶ τῆς τοῦ Παμφίλου

---

15 προλαβὼν] Eus. H. E. I, 7.

βίου τοῦ καθ' ἡμᾶς ἱεροῦ μάρτυρος ἀναγραφῆς, ἐν ᾗ τὴν περὶ τὰ θεῖα σπουδὴν τοῦ Παμφίλου ὁπόση τις γεγόνει παριστῶντες, τῆς συναχθείσης αὐτῷ τῶν τε Ὠριγένους καὶ τῶν ἄλλων ἐκκλησιαστικῶν συγγραφέων βιβλιοθήκης τοὺς πίνακας παρεθέμην, ἐξ ὧν ὅτῳ φίλον πάρεστιν ἐντελέστατα τῶν Ὠριγένους πόνων τὰ εἰς ἡμᾶς ἐλθόντα διαγνῶναι. νυνὶ δὲ πορευτέον ἐπὶ τὴν τῆς ἱστορίας ἀκολουθίαν.

XXXIII. [Nic. H. E. V 22.] Βήρυλλος ὁ μικρῷ πρόσθεν δεδηλωμένος Βοστρῶν τῆς Ἀραβίας ἐπίσκοπος, τὸν ἐκκλησιαστικὸν παρεκτρέπων κανόνα, ξένα τινὰ τῆς πίστεως παρεισφέρειν ἐπειρᾶτο, τὸν σωτῆρα καὶ κύριον ἡμῶν λέγειν τολμῶν μὴ προϋφεστάναι κατ' ἰδίαν οὐσίας περιγραφὴν πρὸ τῆς εἰς ἀνθρώπους ἐπιδημίας, μηδὲ μὴν θεότητα ἰδίαν ἔχειν, ἀλλ' ἐμπολιτευομένην αὐτῷ μόνην τὴν πατρικήν. 2. ἐπὶ τούτῳ πλείστων ἐπισκόπων ζητήσεις καὶ διαλόγους πρὸς τὸν ἄνδρα πεποιημένων, μεθ' ἑτέρων παρακληθεὶς Ὠριγένης κάτεισι μὲν εἰς ὁμιλίαν τὰ πρῶτα τῷ ἀνδρὶ, τίνα νοῦν ἔχοι ἀποπειρώμενος, ὡς δ' ἔγνω ὅ τι καὶ λέγοι, εὐθύνας μὴ ὀρθοδοξοῦντα, λογισμῷ τε πείσας καὶ ἀποδείξει ἀναλαβὼν αὐτὸν, τῇ περὶ τοῦ δόγματος ἐφίστησιν ἀληθείᾳ, ἐπί τε τὴν προτέραν ὑγιῆ δόξαν ἀποκαθίστησι. 3. καὶ φέρεταί γε εἰσέτι νῦν ἔγγραφα τοῦ τε Βηρύλλου καὶ τῆς δι' αὐτὸν γενομένης συνόδου, ὁμοῦ τὰς Ὠριγένους πρὸς αὐτὸν ζητήσεις καὶ τὰς λεχθείσας ἐπὶ τῆς αὐτοῦ παροικίας διαλέξεις, ἕκαστά τε τῶν τότε πεπραγμένων περιέχοντα. 4. καὶ ἄλλα μὲν οὖν μυρία Ὠριγένους πέρι μνήμῃ παραδιδόασι τῶν καθ' ἡμᾶς οἱ πρεσβύτεροι, ἃ καὶ παρήσειν μοι δοκῶ, οὐ τῆς ἐνεστώσης ἐχόμενα πραγματείας· ὅσα δὲ ἀναγκαῖα τῶν περὶ αὐτὸν δια-

γνῶναι ἦν, ταῦτα καὶ ἐκ τῆς ὑπὲρ αὐτοῦ πεπονημένης ἡμῖν τε καὶ τῷ καθ' ἡμᾶς ἱερῷ μάρτυρι Παμφίλῳ ἀπολογίας πάρεστιν ἀναλέξασθαι, ἣν τῶν φιλαιτίων ἕνεκα συμπονήσαντες ἀλλήλοις διὰ σπουδῆς πεποιήμεθα.

XXXIV. [Nic. H. E. V, 25.] Ἔτεσι δὲ ὅλοις ἓξ Γορδιανοῦ τὴν Ῥωμαίων ἡγεμονίαν ἀνύσαντος Φίλιππος ἅμα παιδὶ Φιλίππῳ τὴν ἀρχὴν διαδέχεται. τοῦτον κατέχει λόγος Χριστιανὸν ὄντα ἐν ἡμέρᾳ τῆς ὑστάτης τοῦ πάσχα παννυχίδος τῶν ἐπὶ τῆς ἐκκλησίας εὐχῶν τῷ πλήθει μετασχεῖν ἐθελῆσαι, οὐ πρότερον δὲ ὑπὸ τοῦ τηνικάδε προεστῶτος ἐπιτραπῆναι εἰσβαλεῖν ἢ ἐξομολογήσασθαι, καὶ τοῖς ἐν παραπτώμασιν ἐξεταζομένοις μετανοίας τε χώραν ἴσχουσιν ἑαυτὸν καταλέξαι· ἄλλως γὰρ μὴ ἄν ποτε πρὸς αὐτοῦ, μὴ οὐχὶ τοῦτο ποιήσαντα, διὰ πολλὰς τῶν κατ' αὐτὸν αἰτίας παραδεχθῆναι. καὶ πειθαρχῆσαί γε προθύμως λέγεται, τὸ γνήσιον καὶ εὐλαβὲς τῆς περὶ τὸν θεῖον φόβον διαθέσεως ἔργοις ἐπιδεδειγμένον.

XXXV. [Nic. H. E. V, 26.] Τρίτον δὲ τούτῳ ἔτος ἦν, καθ' ὃ μεταλλάξαντος Ἡρακλᾶ τὸν βίον ἐπὶ δεκαὲξ ἔτεσι τῆς προστασίας τῶν κατ' Ἀλεξάνδρειαν ἐκκλησιῶν τὴν ἐπισκοπὴν Διονύσιος ὑπολαμβάνει.

XXXVI. [Nic. H. E. V, 19.] Τότε δῆτα, οἷα καὶ εἰκὸς ἦν, πληθυνούσης τῆς πίστεως, πεπαρρησιασμένου τε τοῦ καθ' ἡμᾶς παρὰ πᾶσι λόγου, ὑπὲρ τὰ ἑξήκοντά φασιν ἔτη τὸν Ὠριγένην γενόμενον, ἅτε δὴ μεγίστην ἤδη συλλεξάμενον ἐκ τῆς μακρᾶς παρασκευῆς ἕξιν, τὰς ἐπὶ τοῦ κοινοῦ λεγομένας αὐτῷ διαλέξεις ταχυγράφοις μεταλαβεῖν ἐπιτρέψαι, οὐ πρότερόν ποτε τοῦτο γενέσθαι συγκεχωρηκότα. 2. ἐν τούτῳ καὶ τὰ πρὸς τὸν ἐπιγεγραμμένον καθ' ἡμῶν

Κέλσου τοῦ Ἐπικουρείου ἀληθῆ λόγον ὀκτὼ τὸν ἀριθμὸν συγγράμματα συντάττει, καὶ τοὺς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον εἴκοσι πέντε τόμους, τούς τε εἰς τοὺς δώδεκα προφήτας, ἀφ' ὧν μόνους ηὕρομεν πέντε καὶ εἴκοσι. φέρεται δὲ αὐτοῦ καὶ πρὸς αὐτὸν βασιλέα Φίλιππον ἐπιστολή, καὶ ἄλλη πρὸς τὴν τούτου γαμετὴν Σεβήραν, διάφοροί τε ἄλλαι πρὸς διαφόρους, ὧν ὁπόσας σποράδην παρὰ διαφόροις σωθείσας συναγαγεῖν δεδυνήμεθα, ἐν ἰδίαις τόμων περιγραφαῖς, ὡς ἂν μηκέτι διαρρίπτοιντο, κατελέξαμεν, τὸν ἑκατὸν ἀριθμὸν ὑπερβαινούσας. 4. *γράφει δὲ καὶ Φαβιανῷ τῷ κατὰ Ῥώμην ἐπισκόπῳ, ἑτέροις τε πλείστοις ἄρχουσιν ἐκκλησιῶν, περὶ τῆς κατ' αὐτὸν ὀρθοδοξίας. ἔχεις καὶ τούτων τὰς ἀποδείξεις ἐν ἕκτῳ τῆς γραφείσης ἡμῖν περὶ τοῦ ἀνδρὸς ἀπολογίας.*

XXXVII. [Nic. H. E. V, 23.] *Ἄλλοι δ' αὖ πάλιν ἐπὶ τῆς Ἀραβίας κατὰ τὸν δηλούμενον ἐπιφύονται χρόνον δόγματος ἀλλοτρίου τῆς ἀληθείας εἰσηγηταί, οἳ ἔλεγον τὴν ἀνθρωπείαν ψυχὴν τέως μὲν κατὰ τὸν ἐνεστῶτα καιρὸν ἅμα τῇ τελευτῇ συναποθνήσκειν τοῖς σώμασι καὶ συνδιαφθείρεσθαι, αὖθις δέ ποτε κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν σὺν αὐτοῖς ἀναβιώσεσθαι. καὶ δὴ καὶ τότε συγκροτηθείσης οὐ σμικρᾶς συνόδου, πάλιν Ὠριγένης παρακληθεὶς καὶ ἐνταῦθα, κινήσας τε λόγους ἐπὶ τοῦ κοινοῦ περὶ τοῦ ζητουμένου οὕτως ἠνέχθη ὡς μετατεθῆναι τὰς τῶν πρότερον ἐσφαλμένων διανοίας.*

XXXVIII. [Nic. H. E. V, 24.] *Τότε δὲ καὶ ἄλλη διαστροφὴ κατάρχεται, ἡ τῶν Ἑλκεσαϊτῶν λεγομένη αἵρεσις, ἣ καὶ ἅμα τῷ ἄρξασθαι ἀπέσβη. μνημονεύει δ' αὐτῆς ὁμιλῶν ἐπὶ τοῦ κοινοῦ εἰς τὸν ὀγδοηκοστὸν*

δεύτερον ψαλμὸν ὁ Ὠριγένης, ὧδέ πως λέγων "ἐλήλυθέ τις ἐπὶ τοῦ παρόντος μέγα φρονῶν ἐπὶ τῷ δύνασθαι πρεσβεύειν γνώμης ἀθέου καὶ ἀσεβεστάτης, καλουμένης Ἑλκεσαϊτῶν, νεωστὶ ἐπανισταμένης ταῖς ἐκκλησίαις. ἐκείνη ἡ γνώμη οἷα λέγει κακά, παραθήσομαι ὑμῖν, ἵνα μὴ συναρπάζησθε. ἀθετεῖ τινα ἀπὸ πάσης γραφῆς, κέχρηται ῥητοῖς πάλιν ἀπὸ πάσης παλαιᾶς τε καὶ εὐαγγελικῆς, τὸν ἀπόστολον τέλεον ἀθετεῖ. φησὶ δὲ ὅτι τὸ ἀρνήσασθαι ἀδιάφορόν ἐστι, καὶ ὁ μὲν νοήσας τῷ στόματι ἐν ἀνάγκαις ἀρνήσεται, τῇ δὲ καρδίᾳ οὐχί. καὶ βίβλον τινὰ φέρουσιν, ἥν λέγουσιν ἐξ οὐρανοῦ καταπεπτωκέναι, καὶ τὸν ἀκηκοότα ἐκείνης καὶ πιστεύοντα ἄφεσιν λήψεσθαι τῶν ἁμαρτημάτων, ἄλλην ἄφεσιν παρ' ἥν Χριστὸς Ἰησοῦς ἀφῆκε." καὶ τὰ μὲν περὶ τούτων τάδε ἐστίν.

XXXIX. [Nic. H. E. V, 27. 32.] Ἀλλὰ γὰρ Φίλιππον ἔτεσιν ἑπτὰ βασιλεύσαντα διαδέχεται Δέκιος, ὃς δὴ τοῦ πρὸς Φίλιππον ἔχθους ἕνεκα διωγμὸν κατὰ τῶν ἐκκλησιῶν ἐγείρει, ἐν ᾧ Φαβιανοῦ ἐπὶ Ῥώμης μαρτυρίῳ τελειωθέντος Κορνήλιος τὴν ἐπισκοπὴν διαδέχεται. 2. ἐπὶ δὲ Παλαιστίνης Ἀλέξανδρος ὁ τῆς Ἱεροσολύμων ἐκκλησίας ἐπίσκοπος, αὖθις διὰ Χριστὸν ἐν τῇ Καισαρείᾳ ἡγεμονικοῖς παραστὰς δικαστηρίοις, καὶ ἐπὶ δευτέρᾳ διαπρέψας ὁμολογίᾳ, δεσμωτηρίου πειρᾶται, λιπαρῷ γήρει καὶ σεμνῇ πολιᾷ κατεστεμμένος. 3. τούτου δὲ μετὰ τὴν ἐν τοῖς ἡγεμονικοῖς δικαστηρίοις λαμπρὰν καὶ περιφανῆ μαρτυρίαν ἐπὶ τῆς εἱρκτῆς κοιμηθέντος, Μαζαβάνης διάδοχος τῆς ἐν Ἱεροσολύμοις ἐπισκοπῆς ἀναδείκνυται.

---

1 Orig. Comment. in sacr. script p. 51 ed. Huet.

4. τῷ δ' Ἀλεξάνδρῳ παραπλησίως ἐν Ἀντιοχείᾳ τοῦ Βαβύλα μετὰ τὴν ὁμολογίαν ἐν δεσμωτηρίῳ μεταλλάξαντος Φάβιος τῆς αὐτόθι προΐσταται ἐκκλησίας. 5. τὰ μὲν οὖν Ὠριγένει κατὰ τὸν διωγμὸν συμβάντα οἷα καὶ ὅσα, καὶ ὁποίας ἔτυχε τελευτῆς, τοῦ πονηροῦ δαίμονος ἐφαμίλλως τῷ ἀνδρὶ πανστρατιᾷ παραταξαμένου, πάσῃ τε μηχανῇ καὶ δυνάμει κατ' αὐτοῦ στρατηγήσαντος, παρὰ πάντας τε τοὺς τηνικάδε πολεμηθέντας διαφερόντως ἐπισκήψαντος αὐτῷ, οἷά τε καὶ ὅσα διὰ τὸν Χριστοῦ λόγον ὁ ἀνὴρ ὑπέμεινε δεσμὰ καὶ βασάνους τὰς κατὰ τοῦ σώματος, τάς τε ὑπὸ σιδηρῷ κλοιῷ καὶ μυχοῖς εἱρκτῆς τιμωρίας, καὶ ὡς ἐπὶ πλείσταις ἡμέραις τοὺς πόδας ὑπὸ τέσσαρα τοῦ κολαστηρίου ξύλου παραταθεὶς διαστήματα κατασπώμενος πυρός τε ἀπειλὰς καὶ ὅσα ἄλλα πρὸς τῶν ἐχθρῶν ἐπενεχθέντα καρτερῶς ἤνεγκεν, οἷου τε τὰ κατ' αὐτὸν ἔτυχε τέλους, μηδαμῶς αὐτὸν ἀνελεῖν παντὶ σθένει τοῦ δικαστοῦ φιλονείκως ἐνστάντος, ὁποίας τε μετὰ ταῦτα καταλείπει φωνάς, καὶ αὐτὰς πλήρεις τοῖς ἀναλήψεως δεομένοις ὠφελείας, πλεῖσται ὅσαι τἀνδρὸς ἐπιστολαὶ τἀληθὲς ὁμοῦ καὶ ἀκριβὲς περιέχουσι.

XL. [Nic. H. E. V, 28.] Τά γέ τοι κατὰ Διονύσιον ἐκ τῆς πρὸς Γερμανὸν ἐπιστολῆς αὐτοῦ παραθήσομαι, ἔνθα τοῦτον περὶ ἑαυτοῦ λέγων ἱστορεῖ τὸν τρόπον "ἐγὼ δὲ καὶ ἐνώπιον τοῦ θεοῦ λαλῶ, καὶ αὐτὸς οἶδεν ὅτι οὐ ψεύδομαι· οὐδὲ μίαν ἐπ' ἐμαυτοῦ βαλλόμενος οὐδὲ ἀθεεὶ πεποίημαι τὴν φυγήν. 2. ἀλλὰ καὶ πρότερον τοῦ κατὰ Δέκιον προτεθέντος διωγμοῦ Σαβῖνος αὐτῆς ὥρας φρουμεντάριον ἔπεμψεν εἰς ἀναζήτησίν μου, κἀγὼ μὲν τεσσάρων ἡμερῶν ἐπὶ τῆς οἰκίας ἔμεινα, τὴν ἄφιξιν τοῦ φρου-

"μενταρίου προσδοκῶν. ὁ δὲ πάντα μὲν περιῆλθεν "ἀνερευνῶν, τοὺς ποταμούς, τὰς ὁδούς, τοὺς ἀγρούς, "ἔνθα κρύπτεσθαί με ἢ βαδίζειν ὑπενόησεν, ἀορασίᾳ "δὲ εἴχετο, μὴ εὑρίσκων τὴν οἰκίαν· οὐ γὰρ ἐπίστευ- "σεν οἴκοι με διωκόμενον ἔχειν. 3. καὶ μόλις μετὰ "τὴν τετάρτην ἡμέραν κελεύσαντός μοι μεταστῆναι "τοῦ θεοῦ καὶ παραδόξως ὁδοποιήσαντος ἐγώ τε καὶ "οἱ παῖδες καὶ πολλοὶ τῶν ἀδελφῶν ἅμα συνεξήλ- "θομεν. καὶ ὅτι τῆς τοῦ θεοῦ προνοίας ἔργον ἐκεῖνο "γέγονε τὰ ἑξῆς ἐδήλωσεν, ἐν οἷς τάχα τισὶ γεγό- "ναμεν χρήσιμοι." 4. εἶτά τινα μεταξὺ εἰπὼν τὰ μετὰ τὴν φυγὴν αὐτῷ συμβεβηκότα δηλοῖ, ταῦτα ἐπιφέρων "ἐγὼ μὲν γὰρ περὶ ἡλίου δυσμὰς ἅμα τοῖς "σὺν ἐμοὶ γενόμενος ὑπὸ τοῖς στρατιώταις εἰς Ταπό- "σιριν ἤχθην, ὁ δὲ Τιμόθεος κατὰ τὴν τοῦ θεοῦ "πρόνοιαν ἔτυχε μὴ παρὼν μηδὲ καταληφθείς. ἐλθὼν "δὲ ὕστερον ηὗρε τὸν οἶκον ἔρημον, καὶ φρουροῦν- "τας αὐτὸν ὑπηρέτας, ἡμᾶς δὲ ἐξηνδραποδισμένους." 5. καὶ μεθ' ἕτερά φησι "καὶ τίς ὁ τῆς θαυμασίας "οἰκονομίας αὐτοῦ τρόπος; τὰ γὰρ ἀληθῆ λεχθήσεται. "ἀπηντᾶτό τις τῶν χωρικῶν ὑποφεύγοντι τῷ Τιμο- "θέῳ καὶ τεταραγμένῳ, καὶ τὴν αἰτίαν τῆς ἐπείξεως "ἐπύθετο. 6. ὁ δὲ τἀληθὲς ἐξεῖπε, κἀκεῖνος ἀκούσας "(ἀπῄει δὲ εὐωχησόμενος γάμους· διαπαννυχίζειν "γὰρ αὐτοῖς ἐν ταῖς τοιαύταις συνόδοις ἔθος) εἰσελ- "θὼν ἀπήγγειλε τοῖς κατακειμένοις· οἱ δὲ ὁρμῇ μιᾷ "καθάπερ ἀπὸ συνθήματος πάντες ἐξανέστησαν, καὶ "δρόμῳ φερόμενοι τάχιστα ἧκον, ἐπεισπεσόντες τε "ἡμῖν ἠλάλαξαν, καὶ φυγῆς εὐθέως τῶν φρουρούν- "των ἡμᾶς στρατιωτῶν γενομένης ἐπέστησαν ἡμῖν, "ὡς εἴχομεν ἐπὶ τῶν ἀστρώτων σκιμπόδων κατακεί- "μενοι. 7. κἀγὼ μέν, οἶδεν ὁ θεός, ὡς λῃστὰς εἶναι

“πρότερον ἡγούμενος ἐπὶ σύλησιν καὶ ἁρπαγὴν ἀφι-“κομένους, μένων ἐπὶ τῆς εὐνῆς, ἧς ἤμην γυμνὸς ἐν “τῷ λινῷ ἐσθήματι, τὴν δὲ λοιπὴν ἐσθῆτα παρακει-“μένην αὐτοῖς ὤρεγον, οἱ δὲ ἐξανίστασθαί τε ἐκέ-“λευον καὶ τὴν ταχίστην ἐξιέναι. 8. καὶ τότε συνεὶς “ἐφ᾽ ᾧ παρῆσαν ἀνέκραγον δεόμενος αὐτῶν καὶ “ἱκετεύων ἀπιέναι καὶ ἡμᾶς ἐᾶν, εἰ δὲ βούλονταί τι “χρηστὸν ἐργάσασθαι, τοὺς ἀπάγοντάς με φθάσαι, “καὶ τὴν κεφαλὴν αὐτοὺς τὴν ἐμὴν ἀποτεμεῖν ἠξίουν. “καὶ τοιαῦτα βοῶντος, ὡς ἴσασιν οἱ κοινωνοί μου καὶ “μέτοχοι πάντων γενόμενοι, ἀνίστασαν πρὸς βίαν, “κἀγὼ μὲν παρῆκα ἐμαυτὸν ὕπτιον εἰς τοὔδαφος, οἱ “δὲ διαλαβόντες χειρῶν καὶ ποδῶν σύροντες ἐξή-“γαγον. 9. ἐπηκολούθουν δέ μοι οἱ τούτων πάντων “γενόμενοι μάρτυρες, Γάϊος, Φαῦστος, Πέτρος, Παῦ-“λος, οἳ καὶ ὑπολαβόντες με φοράδην ἐξήγαγον τοῦ “πολιχνίου, καὶ ὄνῳ γυμνῷ ἐπιβιβάσαντες ἀπήγαγον.” ταῦτα περὶ ἑαυτοῦ ὁ *Διονύσιος*.

XLI. [Nic. H. E. V, 29–31.] Ὁ δ᾽ αὐτὸς ἐν ἐπιστολῇ τῇ πρὸς Φαβιανὸν Ἀντιοχέων ἐπίσκοπον τῶν κατὰ *Δέκιον* μαρτυρησάντων ἐν Ἀλεξανδρείᾳ τοὺς ἀγῶνας τοῦτον ἱστορεῖ τὸν τρόπον “οὐκ ἀπὸ τοῦ “βασιλικοῦ προστάγματος ὁ διωγμὸς παρ᾽ ἡμῖν ἤρξατο, “ἀλλὰ γὰρ ὅλον ἐνιαυτὸν προὔλαβε, καὶ φθάσας ὁ “κακῶν τῇ πόλει ταύτῃ μάντις καὶ ποιητής, ὅστις “ἐκεῖνος ἦν, ἐκίνησε καὶ παρώρμησε καθ᾽ ἡμῶν τὰ “πλήθη τῶν ἐθνῶν, εἰς τὴν ἐπιχώριον αὐτοὺς δεισι-“δαιμονίαν ἀναρριπίσας. 2. οἱ δὲ ἐρεθισθέντες ὑπ᾽ “αὐτοῦ, καὶ πάσης ἐξουσίας εἰς ἀνοσιουργίαν λαβό-“μενοι, μόνην εὐσέβειαν τὴν θρησκείαν τῶν δαι-“μόνων ταύτην ὑπέλαβον, τὸ καθ᾽ ἡμῶν φονᾶν. “3. πρῶτον μὲν οὖν πρεσβύτην *Μητρᾶν* ὀνόματι

"συναρπάσαντες, καὶ κελεύσαντες ἄθεα λέγειν ῥήματα, μὴ πειθόμενον, ξύλοις τε παίοντες τὸ σῶμα, καὶ καλάμοις ὀξέσι τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς κεντοῦντες, ἀγαγόντες εἰς τὸ προάστειον κατελιθοβόλησαν. 4. ἔπειτα πιστὴν γυναῖκα Κοΐνταν καλουμένην ἐπὶ τὸ εἰδωλεῖον ἀγαγόντες ἠνάγκαζον προσκυνεῖν· ἀποστρεφομένην δὲ καὶ βδελυττομένην ἐκδήσαντες τῶν ποδῶν, διὰ πάσης τῆς πόλεως κατὰ τοῦ τραχέος λιθοστρώτου σύροντες, προσαρασσομένην τοῖς μυλιαίοις λίθοις ἅμα καὶ μαστιγοῦντες, ἐπὶ τὸν αὐτὸν ἀγαγόντες κατέλευσαν τόπον. 5. εἶθ' ὁμοθυμαδὸν ἅπαντες ὥρμησαν ἐπὶ τὰς τῶν θεοσεβῶν οἰκίας, καὶ οὓς ἐγνώριζον ἕκαστοι γειτνιῶντας ἐπισπεύδοντες ἦγον, ἐσύλων τε καὶ διήρπαζον, τὰ μὲν τιμιώτερα τῶν κειμηλίων νοσφιζόμενοι, τὰ δὲ εὐτελέστερα καὶ ὅσα ἐκ ξύλων πεποίητο, διαρριπτοῦντες καὶ κατακαίοντες ἐν ταῖς ὁδοῖς ἑαλωκυίας ὑπὸ πολεμίων πόλεως παρεῖχον θέαν. 6. ἐξέκλινον δὲ καὶ ὑπανεχώρουν οἱ ἀδελφοί, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων, ὁμοίως ἐκείνοις οἷς καὶ Παῦλος ἐμαρτύρησε, μετὰ χαρᾶς προσεδέξαντο. καὶ οὐκ οἶδ' εἴ τις, πλὴν εἰ μή πού τις εἷς ἐμπεσών, μέχρι γε τούτου τὸν κύριον ἠρνήσατο. 7. ἀλλὰ καὶ τὴν θαυμασιωτάτην τότε παρθένον πρεσβῦτιν Ἀπολλωνίαν διαλαβόντες, τοὺς μὲν ὀδόντας ἅπαντας, κόπτοντες τὰς σιαγόνας, ἐξήλασαν, πυρὰν δὲ νήσαντες πρὸ τῆς πόλεως ζῶσαν ἠπείλουν κατακαύσειν, εἰ μὴ συνεκφωνήσειεν αὐτοῖς τὰ τῆς ἀσεβείας κηρύγματα. ἡ δὲ ὑποπαραιτησαμένη βραχὺ καὶ ἀνεθεῖσα συντόνως ἐπεπήδησεν εἰς τὸ πῦρ καὶ

20 Hebr. 10, 34.

"καταπέφλεκται. 8. Σαραπίωνά τε καταλαβόντες ἐφέστιον, σκληραῖς βασάνοις αἰκισάμενοι, καὶ πάντα τὰ ἄρθρα διακλάσαντες, ἀπὸ τοῦ ὑπερῴου πρηνῆ κατέρριψαν. οὐδεμία δὲ ὁδὸς, οὐ λεωφόρος, οὐ στενωπὸς ἡμῖν βάσιμος ἦν, οὐ νύκτωρ, οὐ μεθ' ἡμέραν, ἀεὶ καὶ πανταχοῦ πάντων κεκραγότων, εἰ μὴ τὰ δύσφημά τις ἀνυμνοίη ῥήματα, τοῦτον εὐθέως δεῖν σύρεσθαί τε καὶ πίμπρασθαι. 9. καὶ ταῦτα ἐπὶ πολὺ μὲν ἤκμασε τοῦτον τὸν τρόπον, διαδεξαμένη δὲ τοὺς ἀθλίους ἡ στάσις καὶ ὁ πόλεμος ὁ ἐμφύλιος τὴν καθ' ἡμῶν ὠμότητα πρὸς ἀλλήλους αὐτῶν ἔτρεψε. καὶ σμικρὸν μὲν προσανεπνεύσαμεν, ἀσχολίαν τοῦ πρὸς ἡμᾶς θυμοῦ λαβόντων, εὐθέως δὲ ἡ τῆς βασιλείας ἐκείνης τῆς εὐμενεστέρας ἡμῖν μεταβολὴ διήγγελται, καὶ πολὺς ὁ τῆς ἐφ' ἡμᾶς ἀπειλῆς φόβος ἀνετείνετο. 10. καὶ δὴ καὶ παρῆν τὸ πρόσταγμα, αὐτὸ σχεδὸν ἐκεῖνο οἷον τὸ προρρηθὲν ὑπὸ τοῦ κυρίου ἀποφαῖνον τὸ φοβερώτατον, ὡς, εἰ δυνατὸν, σκανδαλίσαι καὶ τοὺς ἐκλεκτούς. 11. πλὴν πάντες γε κατεπτήχεσαν, καὶ πολλοὶ μὲν εὐθέως τῶν περιφανεστέρων οἱ μὲν ἀπήντων δεδιότες, οἱ δὲ δημοσιεύοντες ὑπὸ τῶν πράξεων ἤγοντο, οἱ δὲ ὑπὸ τῶν ἀμφ' αὐτοῖς ἐφείλκοντο· ὀνομαστί τε καλούμενοι ταῖς ἀνάγνοις καὶ ἀνιέροις θυσίαις προσήεσαν, οἱ μὲν ὠχριῶντες καὶ τρέμοντες, ὥσπερ οὐ θύσοντες, ἀλλ' αὐτοὶ θύματα καὶ σφάγια τοῖς εἰδώλοις ἐσόμενοι, ὡς ὑπὸ πολλοῦ τοῦ περιεστῶτος δήμου χλεύην αὐτοῖς ἐπιφέρεσθαι, καὶ δήλους μὲν εἶναι πρὸς πάντα δειλοὺς ὑπάρχοντας, καὶ πρὸς τὸ τεθνάναι καὶ πρὸς τὸ θῦσαι· 12. οἱ δέ τινες ἑτοιμότερον τοῖς βωμοῖς προσέτρεχον, ἰσχυριζόμενοι τῇ θρασύτητι τὸ μηδὲ πρότερον Χριστιανοὶ γεγονέναι,

"περὶ ὧν ἡ τοῦ κυρίου πρόρρησις ἀληθεστάτη, ὅτι δυσκόλως σωθήσονται· τῶν δὲ λοιπῶν οἱ μὲν εἵποντο τούτοις ἑκατέροις, οἱ δὲ ἔφευγον, οἱ δὲ ἡλίσκοντο. 13. καὶ τούτων οἱ μὲν ἄχρι δεσμῶν καὶ φυλακῆς χωρήσαντες, καί τινες καὶ πλείονας ἡμέρας καθειρχθέντες, εἶτα καὶ πρὶν ἐπὶ δικαστήριον ἐλθεῖν, ἐξωμόσαντο, οἱ δὲ καὶ βασάνοις ἐπὶ ποσὸν ἐγκαρτερήσαντες πρὸς τὸ ἑξῆς ἀπεῖπον. 14. οἱ δὲ στερροὶ καὶ μακάριοι στῦλοι τοῦ κυρίου, κραταιωθέντες ὑπ' αὐτοῦ, καὶ τῆς ἰσχυρᾶς ἐν ἑαυτοῖς πίστεως ἀξίαν καὶ ἀνάλογον δύναμιν καὶ καρτερίαν λαβόντες, θαυμαστοὶ γεγόνασιν αὐτοῦ τῆς βασιλείας μάρτυρες. 15. ὧν πρῶτος Ἰουλιανὸς, ἄνθρωπος ποδαγρὸς, μὴ στῆναι, μὴ βαδίσαι δυνάμενος, σὺν ἑτέροις δύο τοῖς φέρουσιν αὐτὸν προσήχθη, ὧν ὁ μὲν ἕτερος εὐθὺς ἠρνήσατο, ὁ δ' ἕτερος, Κρονίων ὀνόματι, ἐπίκλην δὲ Εὔνους, καὶ αὐτὸς ὁ πρεσβύτης Ἰουλιανὸς, ὁμολογήσαντες τὸν κύριον, διὰ πάσης τῆς πόλεως μεγίστης οὔσης, ὡς ἴστε, καμήλοις ἐποχούμενοι καὶ μετέωροι μαστιγούμενοι, τέλος ἀσβέστῳ πυρὶ, περικεχυμένου τοῦ δήμου παντὸς, κατεκάησαν. 16. στρατιώτης τε αὐτοῖς ἀπαγομένοις παραστὰς καὶ τοῖς ἐφυβρίζουσιν ἐναντιωθεὶς, ἐκβοησάντων ἐκείνων προσαχθεὶς ὁ ἀνδρειότατος ὁπλομάχος τοῦ θεοῦ Βησᾶς, κἀν τῷ μεγάλῳ πολέμῳ τῷ περὶ τῆς εὐσεβείας ἀριστεύσας, ἀπετμήθη τὴν κεφαλήν. 17. καί τις ἕτερος, τὸ μὲν γένος Λίβυς, τὴν δὲ προσηγορίαν ἅμα καὶ τὴν εὐλογίαν ἀληθὴς Μάκαρ, προτροπῆς αὐτῷ πολλῆς ὑπὸ τοῦ δικαστοῦ πρὸς ἄρνησιν γενομένης, οὐχ ὑπαχθεὶς ζῶν καταπέφλεκται. Ἐπίμαχός τε μετ' αὐτοὺς καὶ Ἀλέξανδρος μετὰ πολὺν ὃν ἔμειναν δεσμῶται χρόνον, μυρίας διενεγκόντες ἀλγη-

δόνας, ξυστῆρας, μάστιγας, πυρὶ ἀσβέστῳ καὶ οὗτοι διεχύθησαν. 18. καὶ σὺν αὐτοῖς γυναῖκες τέσσαρες· Ἀμμωνάριόν τε ἁγία παρθένος, πάνυ φιλονείκως αὐτὴν ἐπὶ πλεῖστον τοῦ δικαστοῦ βασανίσαντος, ἅτε προαποφηναμένην ὅτι μηδὲν ὧν ἐκεῖνος κελεύοι φθέγξαιτο, ἀληθεύσασα τὴν ἐπαγγελίαν ἀπήχθη· αἱ δὲ λοιπαί, ἡ σεμνοτάτη πρεσβῦτις Μερκουρία, καὶ ἡ πολύπαις μέν, οὐχ ὑπὲρ τὸν κύριον δὲ ἀγαπήσασα ἑαυτῆς τὰ τέκνα Διονυσία, καταιδεσθέντος εἰς ἀνήνυτον ἔτι βασανίζειν καὶ ὑπὸ γυναικῶν ἡττᾶσθαι τοῦ ἡγεμόνος, σιδήρῳ τεθνᾶσι, μηκέτι βασάνων πεῖραν λαβοῦσαι· τὰς γὰρ ὑπὲρ πασῶν ἡ πρόμαχος Ἀμμωνάριον ἀναδέδεκτο βασάνους. 19. Ἥρων δὲ καὶ Ἀτὴρ καὶ Ἰσίδωρος Αἰγύπτιοι καὶ σὺν αὐτοῖς παιδάριον ὡς πεντεκαιδεκαέτης ὁ Διόσκορος παρεδόθησαν· καὶ πρῶτον τὸ μειράκιον λόγοις τε ἀπατᾶν ὡς εὐπαράγωγον, καὶ βασάνοις καταναγκάζειν ὡς εὐένδοτον πειρωμένου, οὔτε ἐπείσθη οὔτε εἶξεν ὁ Διόσκορος. 20. τοὺς δὲ λοιποὺς ἀγριώτατα καταξήνας, ἐγκαρτερήσαντας πυρὶ καὶ τούτους παραδέδωκε, τὸν δὲ Διόσκορον ἐλλαμπρυνάμενόν τε δημοσίᾳ, καὶ σοφώτατα πρὸς τὰς ἰδίας πεύσεις ἀποκρινάμενον θαυμάσας παρῆκεν, ὑπέρθεσιν φήσας εἰς μετάνοιαν αὐτῷ διὰ τὴν ἡλικίαν ἐπιμετρεῖν. καὶ νῦν ὁ θεοπρεπέστατος σὺν ἡμῖν ἐστι Διόσκορος, εἰς μακρότερον τὸν ἀγῶνα καὶ διαρκέστερον μείνας τὸν ἆθλον. 21. Νεμεσίων δέ τις, κἀκεῖνος Αἰγύπτιος, ἐσυκοφαντήθη μὲν ὡς δὴ σύνοικος λῃστῶν, ἀπολυσάμενος δὲ ταύτην παρὰ τῷ ἑκατοντάρχῳ τὴν ἀλλοτριωτάτην κατ' αὐτοῦ διαβολήν, καταμηνυθεὶς ὡς Χριστιανὸς ἧκε δεσμώτης ἐπὶ τὸν ἡγούμενον. ὁ δὲ ἀδικώτατος διπλαῖς αὐτὸν

"ἢ τοὺς λῃστὰς ταῖς τε βασάνοις καὶ ταῖς μάστιξι λυμηνάμενος, μεταξὺ τῶν λῃστῶν κατέφλεξε, τιμηθέντα τὸν μακάριον τῷ τοῦ Χριστοῦ παραδείγματι. 22. ἀθρόον δέ τι σύνταγμα στρατιωτικὸν, Ἄμμων καὶ Ζήνων καὶ Πτολεμαῖος καὶ Ἰγγένης, καὶ σὺν αὐτοῖς πρεσβύτης Θεόφιλος, εἱστήκεισαν πρὸ τοῦ δικαστηρίου· κρινομένου δή τινος ὡς Χριστιανοῦ καὶ πρὸς ἄρνησιν ἤδη ῥέποντος ἐπρίοντο οὗτοι παρεστηκότες, καὶ τοῖς τε προσώποις ἐνένευον, καὶ τὰς χεῖρας ἀνέτεινον, καὶ συνεσχηματίζοντο τοῖς σώμασιν. 23. ἐπιστροφῆς δὲ πάντων πρὸς αὐτοὺς γενομένης, πρίν τινας αὐτῶν ἄλλους λαβέσθαι, φθάσαντες ἐπὶ τὸ βάθρον ἀνέδραμον, εἶναι Χριστιανοὶ λέγοντες, ὡς τόν τε ἡγεμόνα καὶ τοὺς συνέδρους ἐμφόβους γενέσθαι, καὶ τοὺς μὲν κρινομένους εὐθαρσεστάτους ἐφ' οἷς πείσονται φαίνεσθαι, τοὺς δὲ δικάζοντας ἀποδειλιᾶν. καὶ οὗτοι μὲν ἐκ δικαστηρίων ἐνεπόμπευσαν καὶ ἠγαλλιάσαντο τῇ μαρτυρίᾳ, θριαμβεύοντος αὐτοὺς ἐνδόξως τοῦ θεοῦ."

XLII. [Nic. H. E. V, 31.] "Ἄλλοι δὲ πλεῖστοι κατὰ πόλεις καὶ κώμας ὑπὸ τῶν ἐθνῶν διεσπάσθησαν, ὧν ἑνὸς παραδείγματος ἕνεκεν ἐπιμνησθήσομαι. Ἰσχυρίων ἐπετρόπευέ τινι τῶν ἀρχόντων ἐπὶ μισθῷ. τοῦτον ὁ μισθοδότης ἐκέλευσε θῦσαι, μὴ πειθόμενον ὕβριζεν, ἐμμένοντα προεπηλάκιζεν· ὑφισταμένου, βακτηρίαν μεγίστην λαβὼν, διὰ τῶν ἐντέρων καὶ τῶν σπλάγχνων διώσας ἀπέκτεινε. 2. τί δεῖ λέγειν τὸ πλῆθος τῶν ἐν ἐρημίαις καὶ ὄρεσι πλανηθέντων, ὑπὸ λιμοῦ καὶ δίψης καὶ κρύους καὶ νόσων καὶ λῃστῶν καὶ θηρίων διεφθαρμένων; ὧν οἱ περιγενόμενοι τῆς ἐκείνων εἰσὶν ἐκλογῆς καὶ νίκης μάρτυρες. ἓν δὲ καὶ τούτων εἰς δήλωσιν

ἔργον παραθήσομαι. 3. Χαιρήμων ἦν ὑπεργήρως τῆς Νείλου καλουμένης ἐπίσκοπος πόλεως. οὗτος εἰς τὸ Ἀράβιον ὄρος ἅμα τῇ συμβίῳ ἑαυτοῦ φυγὼν οὐκ ἐπανελήλυθεν, οὐδὲ ἐδυνήθησαν ἰδεῖν οὐκέτι καίτοι πολλὰ διερευνησάμενοι οἱ ἀδελφοὶ οὔτε αὐτοὺς οὔτε τὰ σώματα. 4. πολλοὶ δὲ οἱ κατ' αὐτὸ τὸ Ἀραβικὸν ὄρος ἐξανδραποδισθέντες ὑπὸ βαρβάρων Σαρακηνῶν, οἱ μὲν μόλις ἐπὶ πολλοῖς χρήμασιν ἐλυτρώθησαν, οἱ δὲ μέχρι καὶ νῦν οὐδέπω. καὶ ταῦτα διεξῆλθον οὐ μάτην, ἀδελφέ, ἀλλ' ἵνα εἰδῇς ὅσα καὶ ἡλίκα δεινὰ παρ' ἡμῖν συνέβη· ὧν οἱ μᾶλλον πεπειραμένοι πλείονα ἂν εἰδεῖεν." 5. εἶτα τούτοις ἐπιφέρει μετὰ βραχέα λέγων "αὐτοὶ τοίνυν οἱ θεῖοι μάρτυρες παρ' ἡμῖν, οἱ νῦν τοῦ Χριστοῦ πάρεδροι καὶ τῆς βασιλείας αὐτοῦ κοινωνοὶ καὶ μέτοχοι τῆς κρίσεως αὐτοῦ καὶ συνδικάζοντες αὐτῷ, τῶν παραπεπτωκότων ἀδελφῶν τινὰς ὑπευθύνους τοῖς τῶν θυσιῶν ἐγκλήμασι γενομένους προσελάβοντο, καὶ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν αὐτῶν ἰδόντες, δεκτήν τε γενέσθαι δυναμένην τῷ μὴ βουλομένῳ καθόλου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν δοκιμάσαντες, εἰσεδέξαντο καὶ συνήγαγον καὶ συνέστησαν, καὶ προσευχῶν αὐτοῖς καὶ ἑστιάσεων ἐκοινώνησαν. 6. τί οὖν ἡμῖν, ἀδελφοί, περὶ τούτων συμβουλεύετε; τί ἡμῖν πρακτέον; σύμψηφοι καὶ ὁμογνώμονες αὐτοῖς καταστῶμεν, καὶ τὴν κρίσιν αὐτῶν καὶ τὴν χάριν φυλάξωμεν, καὶ τοῖς ἐλεηθεῖσιν ὑπ' αὐτῶν χρηστευσώμεθα, ἢ τὴν κρίσιν αὐτῶν ἄδικον ποιησώμεθα, καὶ δοκιμαστὰς αὐτοὺς τῆς ἐκείνων γνώμης ἐπιστήσωμεν, καὶ τὴν χρηστότητα λυπήσωμεν, καὶ τὴν τάξιν ἀνασκευάσωμεν;" ταῦτα δὲ εἰκότως ὁ Διονύσιος παρατέθειται, τὸν περὶ

τῶν ἐξησθενηκότων κατὰ τὸν τοῦ διωγμοῦ καιρὸν ἀνακινῶν λόγον.

XLIII. [Nic. H. E. VI, 5.] Ἐπειδήπερ τῇ κατὰ τούτων ἀρθεὶς ὑπερηφανίᾳ Νοουάτος, τῆς Ῥωμαίων ἐκκλησίας πρεσβύτερος, ὡς μηκέτ' οὔσης αὐτοῖς σωτηρίας ἐλπίδος, μηδ' εἰ πάντα τὰ εἰς ἐπιστροφὴν γνησίαν καὶ καθαρὰν ἐξομολόγησιν ἐπιτελοῖεν, ἰδίας αἱρέσεως τῶν κατὰ λογισμοῦ φυσίωσιν Καθαροὺς ἑαυτοὺς ἀποφηνάντων ἀρχηγὸς καθίσταται. 2. ἐφ' ᾧ συνόδου μεγίστης ἐπὶ Ῥώμης συγκροτηθείσης, ἑξήκοντα μὲν τὸν ἀριθμὸν ἐπισκόπων, πλειόνων δ' ἔτι μᾶλλον πρεσβυτέρων τε καὶ διακόνων, ἰδίως τε κατὰ τὰς λοιπὰς ἐπαρχίας τῶν κατὰ χώραν ποιμένων περὶ τοῦ πρακτέου διασκεψαμένων, δόγμα παρίσταται τοῖς πᾶσι τὸν μὲν Νοαυάτον ἅμα τοῖς αὐτῷ συνεπαρθεῖσι τούς τε συνευδοκεῖν τῇ μισαδέλφῳ καὶ ἀπανθρωποτάτῃ γνώμῃ τἀνδρὸς προαιρουμένους ἐν ἀλλοτρίοις τῆς ἐκκλησίας ἡγεῖσθαι, τοὺς δὲ τῇ συμφορᾷ περιπεπτωκότας τῶν ἀδελφῶν ἰᾶσθαι καὶ θεραπεύειν τοῖς τῆς μετανοίας φαρμάκοις. 3. ἦλθον δ' οὖν εἰς ἡμᾶς ἐπιστολαὶ Κορνηλίου Ῥωμαίων ἐπισκόπου πρὸς τὸν τῆς Ἀντιοχέων ἐκκλησίας Φάβιον, δηλοῦσαι τὰ περὶ τῆς Ῥωμαίων συνόδου καὶ τὰ δόξαντα πᾶσι τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Ἀφρικὴν καὶ τὰς αὐτόθι χώρας· καὶ ἄλλαι πάλιν Ῥωμαϊκῇ φωνῇ συντεταγμέναι Κυπριανοῦ καὶ τῶν ἅμ' αὐτῷ κατὰ τὴν Ἀφρικήν, δι' ὧν τὸ καὶ αὐτοὺς συνευδοκεῖν τῷ δεῖν τυγχάνειν ἐπικουρίας τοὺς πεπειρασμένους ἐφαίνετο, καὶ τῷ χρῆναι εὐλόγως τῆς καθολικῆς ἐκκλησίας ἐκκήρυκτον ποιήσασθαι τὸν τῆς αἱρέσεως ἀρχηγόν, πάντας τε ὁμοίως τοὺς συναπαγομένους αὐτῷ. 4. ταύταις ἄλλη τις ἐπιστολὴ συνῆπτο τοῦ Κορνηλίου περὶ

τῶν κατὰ τὴν σύνοδον ἀρεσάντων, καὶ πάλιν ἑτέρα περὶ τῶν κατὰ Νοουάτον πραχθέντων, ἀφ' ἧς καὶ μέρη παραθέσθαι οὐδὲν ἂν κωλύοι, ὅπως εἰδεῖεν τὰ κατ' αὐτὸν οἱ τῇδε ἐντυγχάνοντες τῇ γραφῇ. 5. τὸν δὴ οὖν Φάβιον ἀναδιδάσκων ὁποῖός τις ὁ Νοουάτος ἐγεγόνει τὸν τρόπον αὐτὰ δὴ ταῦτα γράφει ὁ Κορνήλιος "ἵνα δὲ γνῷς ὅτι πρόπαλαι ὀρεγόμενος τῆς "ἐπισκοπῆς ὁ θαυμάσιος οὗτος καὶ κρύπτων ἐν "ἑαυτῷ τὴν προπετῆ ταύτην αὐτοῦ ἐπιθυμίαν ἐλάν"θανεν, ἐπικαλύμματι τῆς αὐτοῦ ἀπονοίας τῷ κατ' "ἀρχὰς σὺν αὐτῷ τοὺς ὁμολογητὰς ἐσχηκέναι χρώ"μενος, εἰπεῖν βούλομαι. 6. Μάξιμος, πρεσβύτερος "τῶν παρ' ἡμῖν, καὶ Οὐρβανός, δὶς τὴν ἐξ ὁμολογίας "δόξαν ἀρίστην καρπωσάμενοι, Σιδώνιός τε καὶ Κε"λερῖνος, ἀνὴρ ὃς πάσας βασάνους διὰ τὸν τοῦ θεοῦ "ἔλεον καρτερικώτατα διενέγκας, καὶ τῇ ῥώμῃ τῆς "αὐτοῦ πίστεως τὸ ἀσθενὲς τῆς σαρκὸς ἐπιρρώσας, "κατὰ κράτος νενίκηκε τὸν ἀντικείμενον — οὗτοι δὴ "οὖν οἱ ἄνδρες κατανοήσαντες αὐτόν, καὶ καταφω"ράσαντες τὴν ἐν αὐτῷ πανουργίαν τε καὶ παλιμβο"λίαν, τάς τε ἐπιορκίας καὶ ψευδολογίας, καὶ τὴν "ἀκοινωνησίαν αὐτοῦ καὶ λυκοφιλίαν, ἐπανῆλθον εἰς "τὴν ἁγίαν ἐκκλησίαν, καὶ ἅπαντα αὐτοῦ τὰ τεχνά"σματα καὶ πονηρεύματα, ἃ ἐκ πολλοῦ ἔχων ἐν ἑαυτῷ "ὑπεστέλλετο, παρόντων ἱκανῶν τοῦτο μὲν ἐπισκό"πων, τοῦτο δὲ πρεσβυτέρων καὶ λαϊκῶν ἀνδρῶν "παμπόλλων, ἐξήγγειλαν ἀποδυρόμενοι καὶ μεταγι"νώσκοντες ἐφ' οἷς πεισθέντες τῷ δολερῷ καὶ κα"κοήθει θηρίῳ πρὸς ὀλίγον χρόνον τῆς ἐκκλησίας "ἀπελείφθησαν." 7. εἶτα μετὰ βραχέα φησίν "ἀμή"χανον ὅσην, ἀγαπητὲ ἀδελφέ, τροπὴν καὶ μεταβολὴν "ἐν βραχεῖ καιρῷ ἐθεασάμεθα ἐπ' αὐτοῦ γεγενημένην.

"ὁ γάρ τοι λαμπρότατος καὶ δι' ὅρκων φοβερῶν τινῶν πιστούμενος τὸ μηδ' ὅλως ἐπισκοπῆς ὀρέγεσθαι, αἰφνίδιον ἐπίσκοπος ὥσπερ ἐκ μαγγάνου τινὸς εἰς τὸ μέσον ῥιφεὶς ἀναφαίνεται. 8. οὗτος γάρ τοι ὁ δογματιστής, ὁ τῆς ἐκκλησιαστικῆς ἐπιστήμης ὑπερασπιστής, ὁπηνίκα παρασπᾶσθαί τε καὶ ὑφαρπάζειν τὴν μὴ δοθεῖσαν αὐτῷ ἄνωθεν ἐπισκοπὴν ἐπεχείρει, δύο ἑαυτῷ κοινωνοὺς ἀπεγνωκότας τῆς ἑαυτῶν σωτηρίας ἐπελέξατο, ὡς ἂν εἰς βραχύ τι μέρος καὶ ἐλάχιστον τῆς Ἰταλίας ἀποστείλῃ, κἀκεῖθεν ἐπισκόπους τρεῖς, ἀνθρώπους ἀγροίκους καὶ ἁπλουστάτους, πλαστῇ τινι ἐπιχειρήσει ἐξαπατήσῃ, διαβεβαιούμενος καὶ διισχυριζόμενος δεῖν αὐτοὺς ἐν τάχει παραγενέσθαι εἰς Ῥώμην, ὡς δῆθεν πᾶσα ἡτισδηποτοῦν διχοστασία γεγονυῖα σὺν καὶ ἑτέροις ἐπισκόποις καὶ αὐτῶν μεσιτευόντων διαλυθῇ. 9. οὓς παραγενομένους, ἅτε δή, ὡς ἔφθημεν λέγοντες, ἀνθρώπους ἁπλουστέρους περὶ τὰς τῶν πονηρῶν μηχανάς τε καὶ ῥᾳδιουργίας, συγκλεισθέντας ὑπό τινων ὁμοίων αὐτῷ τεταγμένων ἀνθρώπων, ὥρᾳ δεκάτῃ μεθύοντας καὶ κραιπαλῶντας μετὰ βίας ἠνάγκασεν εἰκονικῇ τινι καὶ ματαίᾳ χειρεπιθεσίᾳ ἐπισκοπὴν αὐτῷ δοῦναι, ἣν ἐνέδρᾳ καὶ πανουργίᾳ, μὴ ἐπιβάλλουσαν αὐτῷ, ἐκδικεῖ. 10. ἐξ ὧν εἷς μετ' οὐ πολὺ ἐπανῆλθεν εἰς τὴν ἐκκλησίαν, ἀποδυρόμενος καὶ ἐξομολογούμενος τὸ ἑαυτοῦ ἁμάρτημα, ᾧ καὶ ἐκοινωνήσαμεν ὡς λαϊκῷ, ὑπὲρ αὐτοῦ δεηθέντος παντὸς τοῦ παρόντος λαοῦ. καὶ τῶν λοιπῶν δὲ ἐπισκόπων διαδόχους εἰς τοὺς τόπους, ἐν οἷς ἦσαν, χειροτονήσαντες ἀπεστάλκαμεν. 11. ὁ ἐκδικητὴς οὖν τοῦ εὐαγγελίου οὐκ ἠπίστατο ἕνα ἐπίσκοπον δεῖν εἶναι ἐν καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ οὐκ ἠγνόει (πῶς γάρ;)

"πρεσβυτέρους εἶναι τεσσαράκοντα ἕξ, διακόνους "ἑπτά, ὑποδιακόνους ἑπτά, ἀκολούθους δύο καὶ "τεσσαράκοντα, ἐξορκιστὰς δὲ καὶ ἀναγνώστας ἅμα "πυλωροῖς δύο καὶ πεντήκοντα, χήρας σὺν θλιβομέ-"νοις ὑπὲρ τὰς χιλίας πεντακοσίας, οὓς πάντας ἡ "τοῦ δεσπότου χάρις καὶ φιλανθρωπία διατρέφει. "12. ὃν οὐδὲ τοσοῦτο πλῆθος καὶ οὕτως ἀναγκαῖον ἐν "τῇ ἐκκλησίᾳ, διὰ τῆς τοῦ θεοῦ προνοίας πλούσιός "τε καὶ πληθύων ἀριθμὸς μετὰ μεγίστου καὶ ἀνα-"ριθμήτου λαοῦ, ἀπὸ τῆς τοιαύτης ἀπογνώσεώς τε "καὶ ἀπαγορεύσεως ἐνέτρεψέ τε καὶ ἀνεκαλέσατο εἰς "τὴν ἐκκλησίαν." 13. καὶ αὖθις μεθ' ἕτερα τούτοις προστίθησι ταῦτα· "φέρε δὴ ἑξῆς εἴπωμεν τίσιν "ἔργοις ἢ τίσι πολιτείαις τεθαρρηκὼς ἀντεποιήθη "τῆς ἐπισκοπῆς. ἆρά γε διὰ τὸ ἐξ ἀρχῆς ἐν τῇ ἐκ-"κλησίᾳ ἀνεστράφθαι, καὶ πολλοὺς ἀγῶνας ὑπὲρ "αὐτῆς ἠγωνίσθαι, καὶ ἐν κινδύνοις πολλοῖς τε καὶ "μεγάλοις ἕνεκα τῆς θεοσεβείας γεγονέναι; ἀλλ' οὐκ "ἔστιν· 14. ᾧ γε ἀφορμὴ τοῦ πιστεῦσαι γέγονεν ὁ "σατανᾶς, φοιτήσας εἰς αὐτὸν καὶ οἰκήσας ἐν αὐτῷ "χρόνον ἱκανόν. ὃς βοηθούμενος ὑπὸ τῶν ἐπορ-"κιστῶν, νόσῳ περιπεσὼν χαλεπῇ, καὶ ἀποθανεῖσθαι "ὅσον οὐδέπω νομιζόμενος, ἐν αὐτῇ τῇ κλίνῃ, ᾗ "ἔκειτο, περιχυθεὶς ἔλαβεν· εἴ γε χρὴ λέγειν τὸν "τοιοῦτον εἰληφέναι. 15. οὐ μὴν οὐδὲ τῶν λοιπῶν "ἔτυχε διαφυγὼν τὴν νόσον, ὧν χρὴ μεταλαμβάνειν "κατὰ τὸν τῆς ἐκκλησίας κανόνα, τοῦ τε σφραγισθῆναι "ὑπὸ τοῦ ἐπισκόπου. τούτων δὲ μὴ τυχὼν πῶς ἂν "τοῦ ἁγίου πνεύματος ἔτυχε;" 16. καὶ πάλιν μετὰ βραχέα φησίν "ὁ διὰ δειλίαν καὶ φιλοζωΐαν ἐν τῷ "καιρῷ τῆς διώξεως πρεσβύτερον εἶναι ἑαυτὸν ἀρνη-"σάμενος. ἀξιούμενος γὰρ καὶ παρακαλούμενος ὑπὸ

"τῶν διακόνων, ἵν' ἐξελθὼν τοῦ οἰκίσκου, ἐν ᾧ καθεῖρξεν ἑαυτὸν, βοηθήσῃ τοῖς ἀδελφοῖς ὅσα θέμις καὶ ὅσα δυνατὸν πρεσβυτέρῳ κινδυνεύουσιν ἀδελφοῖς καὶ ἐπικουρίας δεομένοις βοηθεῖν, τοσοῦτον ἀπέσχε τοῦ πειθαρχῆσαι παρακαλοῦσι τοῖς διακόνοις ὡς καὶ χαλεπαίνοντα ἀπιέναι καὶ ἀπαλλάττεσθαι· μὴ γὰρ ἔτι βούλεσθαι πρεσβύτερος εἶναι ἔφη· ἑτέρας γὰρ εἶναι φιλοσοφίας ἐραστής." 17. ὑπερβὰς δ' ὀλίγα τούτοις πάλιν ἐπιφέρει λέγων "καταλιπὼν γὰρ ὁ λαμπρὸς οὗτος τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐν ᾗ πιστεύσας κατηξιώθη τοῦ πρεσβυτερίου κατὰ χάριν τοῦ ἐπισκόπου τοῦ ἐπιθέντος αὐτῷ χεῖρα εἰς πρεσβυτερίου κλῆρον, ὃς διακωλυόμενος ὑπὸ παντὸς τοῦ κλήρου, ἀλλὰ καὶ λαϊκῶν πολλῶν, ἐπεὶ μὴ ἐξὸν ἦν τὸν ἐπὶ κλίνης διὰ νόσον περιχυθέντα, ὥσπερ καὶ οὗτος, εἰς κλῆρόν τινα γενέσθαι, ἠξίωσε συγχωρηθῆναι αὐτῷ τοῦτον μόνον χειροτονῆσαι." 18. εἶτ' ἄλλο τι χείριστον τούτοις προστίθησι τῶν τοῦ ἀνδρὸς ἀτοπημάτων, λέγων οὕτως "ποιήσας γὰρ τὰς προσφορὰς, καὶ διανέμων ἑκάστῳ τὸ μέρος καὶ ἐπιδιδοὺς τοῦτο, ὀμνύειν ἀντὶ τοῦ εὐλογεῖν τοὺς ταλαιπώρους ἀνθρώπους ἀναγκάζει, κατέχων ἀμφοτέραις ταῖς χερσὶ τὰς τοῦ λαβόντος, καὶ μὴ ἀφεὶς ἔστ' ἂν ὀμνύοντες εἴπωσι ταῦτα (τοῖς γὰρ ἐκείνου χρήσομαι λόγοις)· ὄμοσόν μοι κατὰ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μηδέποτέ με καταλιπεῖν καὶ ἐπιστρέψαι πρὸς Κορνήλιον. 19. καὶ ὁ ἄθλιος ἄνθρωπος οὐ πρότερον γεύεται, εἰ μὴ πρότερον αὐτῷ καταράσαιτο. καὶ ἀντὶ τοῦ εἰπεῖν λαμβάνοντα τὸν ἄρτον ἐκεῖνον τὸ ἀμήν 'οὐκέτι ἀνήξω πρὸς Κορνήλιον' λέγει." 20. καὶ μεθ' ἕτερα πάλιν ταῦτά φησιν "ἤδη δὲ ἴσθι γεγυμνῶσθαι

“καὶ ἔρημον γεγονέναι, καταλιμπανόντων αὐτὸν καθ’ “ἡμέραν ἑκάστην τῶν ἀδελφῶν, καὶ εἰς τὴν ἐκκλη- “σίαν ἐπανερχομένων. ὃν καὶ Μωυσῆς ὁ μακάριος “μάρτυς, ὁ παρ’ ἡμῖν ἔναγχος μαρτυρήσας καλήν “τινα καὶ θαυμαστὴν μαρτυρίαν, ἔτι ὢν ἐν κόσμῳ, “κατιδὼν αὐτοῦ τὴν θρασύτητα καὶ τὴν ἀπόνοιαν, “ἀκοινώνητον ἐποίησε σὺν τοῖς πέντε πρεσβυτέροις “τοῖς ἅμα αὐτῷ ἀποσχίσασιν ἑαυτοὺς τῆς ἐκκλησίας.” 21. καὶ ἐπὶ τέλει δὲ τῆς ἐπιστολῆς τῶν ἐπὶ Ῥώμης παραγενομένων ἐπισκόπων τῆς τε τοῦ Νοουάτου κατεγνωκότων ἀβελτερίας κατάλογον πεποίηται, ὁμοῦ τά τε ὀνόματα καὶ ἧς ὁ καθεῖς αὐτῶν προηγεῖτο παροικίας ἐπισημαινόμενος. 22. τῶν τε μὴ παραγενομένων μὲν ἐπὶ τῆς Ῥώμης, συνευδοκησάντων δὲ διὰ γραμμάτων τῇ τῶν προειρημένων ψήφῳ, τὰς προσηγορίας ὁμοῦ καὶ τὰς πόλεις ὅθεν ἕκαστος ὁρμώμενος ἐπέστελλε μνημονεύει. ταῦτα μὲν ὁ Κορνήλιος Φαβίῳ Ἀντιοχείας ἐπισκόπῳ δηλῶν ἔγραφε.

XLIV. [Nic. H. E. VI, 6.] Τῷ δ’ αὐτῷ τούτῳ Φαβίῳ ὑποκατακλινομένῳ πως τῷ σχίσματι καὶ Διονύσιος ὁ κατ’ Ἀλεξάνδρειαν ἐπιστείλας, πολλά τε καὶ ἄλλα περὶ μετανοίας ἐν τοῖς πρὸς αὐτὸν γράμμασι διελθών, τῶν τε κατ’ Ἀλεξάνδρειαν ἔναγχος τότε μαρτυρησάντων τοὺς ἀγῶνας διιών, μετὰ τῆς ἄλλης ἱστορίας πρᾶγμά τι μεστὸν θαύματος διηγεῖται, ὃ καὶ αὐτὸ ἀναγκαῖον τῇδε παραδοῦναι τῇ γραφῇ, οὕτως ἔχον 2. “ἓν δέ σοι τοῦτο παράδειγμα παρ’ “ἡμῖν συμβεβηκὸς ἐκθήσομαι. Σαραπίων τις ἦν “παρ’ ἡμῖν πιστὸς γέρων, ἀμέμπτως μὲν τὸν πολὺν “διαβιώσας χρόνον, ἐν δὲ τῷ πειρασμῷ πεσών. οὗτος “πολλάκις ἐδεῖτο, καὶ οὐδεὶς προσεῖχεν αὐτῷ, καὶ “γὰρ ἐτεθύκει· ἐν νόσῳ δὲ γενόμενος τριῶν ἑξῆς

"ἡμερῶν ἄφωνος καὶ ἀναίσθητος διετέλεσε. 3. βραχὺ "δὲ ἀνασφήλας τῇ τετάρτῃ προσεκαλέσατο τὸν θυγα- "τριδοῦν, καὶ "μέχρι τίνος, φησὶν, ὦ τέκνον, με "κατέχετε; δέομαι, σπεύσατε, καί με θᾶττον ἀπολύ- "σατε, τῶν πρεσβυτέρων μοί τινα κάλεσον." καὶ "ταῦτα εἰπὼν πάλιν ἦν ἄφωνος. 4. ἔδραμεν ὁ παῖς "ἐπὶ τὸν πρεσβύτερον· νὺξ δὲ ἦν, κἀκεῖνος ἠσθένει. "ἀφικέσθαι μὲν οὖν οὐκ ἐδυνήθη, ἐντολῆς δὲ ὑπ' "ἐμοῦ δεδομένης, τοὺς ἀπαλλαττομένους τοῦ βίου, "εἰ δέοιντο, καὶ μάλιστα εἰ καὶ πρότερον ἱκετεύσαντες "τύχοιεν, ἀφίεσθαι, ἵν' εὐέλπιδες ἀπαλλάττωνται, "βραχὺ τῆς εὐχαριστίας ἔδωκεν τῷ παιδαρίῳ, ἀπο- "βρέξαι κελεύσας καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος "ἐπιστάξαι. 5. ἐπανῆκεν ὁ παῖς φέρων· ἐγγύς τε γενο- "μένου, πρὶν εἰσελθεῖν, ἀνενέγκας πάλιν ὁ Σαρα- "πίων, ἧκες, ἔφη, τέκνον; καὶ ὁ μὲν πρεσβύτερος "ἐλθεῖν οὐκ ἠδυνήθη, σὺ δὲ ποίησον ταχέως τὸ "προσταχθὲν, καὶ ἀπάλλαττέ με. ἀπέβρεξεν ὁ παῖς "καὶ ἅμα τε ἐνέχεε τῷ στόματι καὶ μικρὸν ἐκεῖνος "καταβροχθίσας εὐθέως ἀπέδωκε τὸ πνεῦμα. 6. ἆρ' "οὐκ ἐναργῶς διετηρήθη καὶ παρέμεινεν, ἕως λυθῇ, "καὶ τῆς ἁμαρτίας ἐξαλειφθείσης ἐπὶ πολλοῖς οἷς "ἔπραξε καλοῖς ὁμολογηθῆναι δυνηθῇ;" ταῦτα ὁ Διονύσιος.

XLV. [Nic. H. E. VI, 4.] Ἴδωμεν δὲ ὁ αὐτὸς ὁποῖα καὶ τῷ Νοουάτῳ διεχάραξε, ταράττοντι τηνικάδε τὴν Ῥωμαίων ἀδελφότητα. ἐπειδὴ οὖν τῆς ἀποστασίας καὶ τοῦ σχίσματος πρόφασιν ἐποιεῖτο τῶν ἀδελφῶν τινας, ὡς δὴ πρὸς αὐτῶν ἐπὶ τοῦτ' ἐλθεῖν ἐκβεβιασμένος, ὅρα τίνα τρόπον αὐτῷ γράφει· "Διονύσιος "Νοουάτῳ τῷ ἀδελφῷ χαίρειν. εἰ ἄκων, ὡς φὴς, "ἤχθης, δείξεις, ἐὰν ἀναχωρήσῃς ἑκών. ἔδει μὲν γὰρ

"καὶ πᾶν ὁτιοῦν παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι τὴν ἐκ"κλησίαν τοῦ θεοῦ, καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν "τοῦ μὴ εἰδωλολατρῆσαι γινομένης ἡ ἕνεκεν τοῦ μὴ "σχίσαι μαρτυρία, κατ' ἐμὲ δὲ καὶ μείζων. ἐκεῖ μὲν "γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ "ὑπὲρ ὅλης τῆς ἐκκλησίας μαρτυρεῖ. καὶ νῦν δὲ εἰ "πείσαις ἢ βιάσαιο τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλ"θεῖν, μεῖζον ἔσται σοι τοῦ σφάλματος τὸ κατόρθωμα, "καὶ τὸ μὲν οὐ λογισθήσεται, τὸ δὲ ἐπαινεθήσεται. "εἰ δὲ ἀπειθούντων ἀδυνατοίης, σώζων σῶζε τὴν "σεαυτοῦ ψυχήν. ἐρρῶσθαί σε ἐχόμενον τῆς εἰρήνης "ἐν κυρίῳ εὔχομαι." ταῦτα καὶ πρὸς τὸν Νοουάτον.

XLVI. [Nic. H. E. VI, 6.] Γράφει δὲ καὶ τοῖς κατ' Αἴγυπτον ἐπιστολὴν περὶ μετανοίας, ἐν ᾗ τὰ δόξαντα αὐτῷ περὶ τῶν ὑποπεπτωκότων παρατέθειται, τάξεις παραπτωμάτων διαγράψας. 2. καὶ πρὸς Κόνωνα (τῆς Ἑρμουπολιτῶν δὲ παροικίας ἐπίσκοπος ἦν οὗτος) ἰδία τις περὶ μετανοίας αὐτοῦ φέρεται γραφή, καὶ ἄλλη ἐπιστρεπτικὴ πρὸς τὸ κατ' Ἀλεξάνδρειαν ποίμνιον αὐτοῦ. ἐν τούτοις ἐστὶ καὶ ἡ περὶ μαρτυρίου πρὸς τὸν Ὠριγένην γραφεῖσα, καὶ τοῖς κατὰ Λαοδίκειαν ἀδελφοῖς, ὧν προΐστατο Θηλυμίδρης ἐπίσκοπος· καὶ τοῖς κατὰ Ἀρμενίαν ὡσαύτως περὶ μετανοίας ἐπιστέλλει, ὧν ἐπεσκόπευε Μερουζάνης. 3. πρὸς ἅπασι τούτοις καὶ Κορνηλίῳ τῷ κατὰ Ῥώμην γράφει, δεξάμενος αὐτοῦ τὴν κατὰ τοῦ Νοουάτου ἐπιστολήν, ᾧ καὶ σημαίνει δηλῶν ἑαυτὸν παρακεκλῆσθαι ὑπό τε Ἑλένου τοῦ ἐν Ταρσῷ τῆς Κιλικίας ἐπισκόπου καὶ τῶν λοιπῶν τῶν σὺν αὐτῷ, Φιρμιλλιανοῦ τε τοῦ ἐν Καππαδοκίᾳ καὶ τοῦ κατὰ Παλαιστίνην Θεοκτίστου, ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀπαντήσοι τὴν κατὰ Ἀντιόχειαν, ἔνθα τοῦ Νοουάτου κρατύνειν τινὲς

ἐπεχείρουν τὸ σχίσμα. 4. πρὸς τούτοις ἐπιστέλλει μηνυθῆναι αὐτῷ Φάβιον μὲν κεκοιμῆσθαι, Δημητριανὸν δὲ διάδοχον ἐκείνου τῆς κατ' Ἀντιόχειαν ἐπισκοπῆς καθεστάναι. γράφει δὲ καὶ περὶ τοῦ ἐν Ἱεροσολύμοις αὐτοῖς ῥήμασι φάσκων "ὁ μὲν γὰρ "μακάριος Ἀλέξανδρος ἐν φρουρᾷ γενόμενος μακα-"ρίως ἀνεπαύσατο." 5. ἑξῆς ταύτῃ καὶ ἑτέρα τις ἐπιστολὴ τοῖς ἐν Ῥώμῃ τοῦ Διονυσίου φέρεται διακονικὴ διὰ Ἱππολύτου. τοῖς αὐτοῖς ἄλλην περὶ εἰρήνης διατυποῦται, καὶ ὡσαύτως περὶ μετανοίας, καὶ αὖ πάλιν ἄλλην τοῖς ἐκεῖσε ὁμολογηταῖς, ἔτι τῇ τοῦ Νοουάτου συμφερομένοις γνώμῃ. τοῖς δὲ αὐτοῖς τούτοις ἑτέρας δύο μεταθεμένοις ἐπὶ τὴν ἐκκλησίαν ἐπιστέλλει. καὶ ἄλλοις δὲ πλείοσιν ὁμοίως διὰ γραμμάτων ὁμιλήσας ποικίλας τοῖς ἔτι νῦν σπουδὴν περὶ τοὺς λόγους αὐτοῦ ποιουμένοις καταλέλοιπεν ὠφελείας.

ΛΟΓΟΣ Ζ.

[*Προοίμιον.*] Τὸν ἕβδομον τῆς ἐκκλησιαστικῆς ἱστορίας αὖθις ὁ μέγας ἡμῖν Ἀλεξανδρέων ἐπίσκοπος Διονύσιος ἰδίαις φωναῖς συνεκπονήσει, τῶν καθ' ἑαυτὸν πεπραγμένων ἕκαστα ἐν μέρει δι' ὧν καταλέλοιπεν ἐπιστολῶν ὑφηγούμενος. ἐμοὶ δὲ ὁ λόγος ἐντεῦθεν ποιήσεται τὴν ἀρχήν.

I. [Nic. H. E. V, 43.] Δέκιον οὐδ' ὅλον ἐπικρατήσαντα δυοῖν ἐτοῖν χρόνον, αὐτίκα τε ἅμα παισὶ κατασφαγέντα Γάλλος διαδέχεται. Ὠριγένης ἐν τούτῳ ἑνὸς δέοντα τῆς ζωῆς ἑβδομήκοντα ἀποπλήσας ἔτη τελευτᾷ. γράφων γέ τοι ὁ Διονύσιος Ἑρμάμμωνι περὶ τοῦ Γάλλου ταῦτα φάσκει "ἀλλ' οὐδὲ Γάλλος "ἔγνω τὸ Δεκίου κακόν, οὐδὲ προεσκόπησε τί ποτ'

"ἐκεῖνον ἔσφηλεν, ἀλλὰ πρὸς τὸν αὐτὸν πρὸ τῶν "ὀφθαλμῶν αὐτοῦ γενόμενον ἔπταισε λίθον. ὅς εὖ "φερομένης αὐτῷ τῆς βασιλείας, καὶ κατὰ νοῦν "χωρούντων τῶν πραγμάτων, τοὺς ἱεροὺς ἄνδρας "τοὺς περὶ τῆς εἰρήνης αὐτοῦ καὶ τῆς ὑγιείας πρεσ"βεύοντας πρὸς τὸν θεὸν ἤλασεν. οὐκοῦν σὺν "ἐκείνοις ἐδίωξε καὶ τὰς ὑπὲρ ἑαυτοῦ προσευχάς." ταῦτα μὲν οὖν περὶ τοῦδε.

II. [Nic. H. E. VI, 7.] Κατὰ δὲ τὴν Ῥωμαίων πόλιν Κορνηλίου ἔτεσιν ἀμφὶ τὰ τρία τὴν ἐπισκοπὴν διανύσαντος Λούκιος κατέστη διάδοχος, μησὶ δ' οὐδ' ὅλοις οὗτος ὀκτὼ τῇ λειτουργίᾳ διακονησάμενος Στεφάνῳ τελευτῶν μεταδίδωσι τὸν κλῆρον. τούτῳ τὴν πρώτην ὁ Διονύσιος τῶν περὶ βαπτίσματος ἐπιστολῶν διατυποῦται, ζητήματος οὐ μικροῦ τηνικάδε ἀνακινηθέντος, εἰ δέοι τοὺς ἐξ οἵας δ' οὖν αἱρέσεως ἐπιστρέφοντας διὰ λουτροῦ καθαίρειν, παλαιοῦ γέ τοι κεκρατηκότος ἔθους ἐπὶ τῶν τοιούτων μόνῃ χρῆσθαι τῇ διὰ χειρῶν ἐπιθέσεως εὐχῇ.

III. [Nic. H. E. VI, 7.] Πρῶτος τῶν τότε Κυπριανὸς τῆς κατὰ Καρχηδόνα παροικίας ποιμὴν οὐδ' ἄλλως ἢ διὰ λουτροῦ πρότερον τῆς πλάνης ἀποκαθηραμένους προσίεσθαι δεῖν ἡγεῖτο. ἀλλ' ὅ γε Στέφανος, μὴ δεῖν τι νεώτερον παρὰ τὴν κρατήσασαν ἀρχῆθεν παράδοσιν ἐπικαινοτομεῖν οἰόμενος, ἐπὶ τούτῳ διηγανάκτει.

IV. [Nic. H. E. VI, 7.] Πλεῖστα δὴ οὖν αὐτῷ περὶ τούτου διὰ γραμμάτων ὁ Διονύσιος ὁμιλήσας τελευτῶν δηλοῖ ὡς ἄρα τοῦ διωγμοῦ λελωφηκότος αἱ πανταχόσε ἐκκλησίαι τὴν κατὰ Νοουάτον ἀποστραφεῖσαι νεωτεροποιίαν εἰρήνην πρὸς ἑαυτὰς ἀνειλήφεσαν. γράφει δὲ ὧδε·

V. "Ἴσθι δὲ νῦν, ἀδελφέ, ὅτι ἥνωνται πᾶσαι "αἱ πρότερον διεσχισμέναι κατά τε τὴν ἀνατολὴν "ἐκκλησίαι καὶ ἔτι προσωτέρω. καὶ πάντες εἰσὶν "ὁμόφρονες οἱ πανταχοῦ προεστῶτες, χαίροντες καθ' "ὑπερβολὴν ἐπὶ τῇ παρὰ προσδοκίαν εἰρήνῃ γενο-"μένῃ, Δημητριανὸς ἐν Ἀντιοχείᾳ, Θεόκτιστος ἐν "Καισαρείᾳ, Μαζαβάνης ἐν Αἰλίᾳ, Μαρῖνος ἐν Τύρῳ "κοιμηθέντος Ἀλεξάνδρου, Ἡλιόδωρος ἐν Λαοδικείᾳ "ἀναπαυσαμένου Θηλυμίδρου, Ἕλενος ἐν Ταρσῷ καὶ "πᾶσαι αἱ τῆς Κιλικίας ἐκκλησίαι, Φιρμιλλιανὸς καὶ "πᾶσα Καππαδοκία. τοὺς γὰρ περιφανεστέρους μό-"νους τῶν ἐπισκόπων ὠνόμασα, ἵνα μήτε μῆκος τῇ "ἐπιστολῇ μήτε βάρος προσάψω τῷ λόγῳ. 2. αἱ "μέντοι Συρίαι ὅλαι καὶ ἡ Ἀραβία, οἷς ἐπαρκεῖτε "ἑκάστοτε καὶ οἷς νῦν ἐπεστείλατε, ἥ τε Μεσοποταμία, "Πόντος τε καὶ Βιθυνία καὶ συνελόντι εἰπεῖν ἀγαλ-"λιῶνται πάντες πανταχοῦ τῇ ὁμονοίᾳ καὶ φιλαδελ-"φίᾳ, δοξάζοντες τὸν θεόν." 3. ταῦτα μὲν ὁ Διονύσιος. Στέφανον δ' ἐπὶ δυσὶν ἀποπλήσαντα τὴν λειτουργίαν ἔτεσι Ξύστος διαδέχεται. τούτῳ δευτέραν ὁ Διονύσιος περὶ βαπτίσματος ἐγχαράξας ἐπιστολὴν ὁμοῦ τὴν Στεφάνου καὶ τῶν λοιπῶν ἐπισκόπων γνώμην τε καὶ κρίσιν δηλοῖ, περὶ τοῦ Στεφάνου λέγων ταῦτα· 4. "ἐπεστάλκει μὲν οὖν πρότερον καὶ "περὶ Ἑλένου καὶ περὶ Φιρμιλλιανοῦ καὶ πάντων "τῶν τε ἀπὸ Κιλικίας καὶ Γαλατίας καὶ πάντων τῶν "ἑξῆς ὁμορούντων ἐθνῶν, ὡς οὐδὲ ἐκείνοις κοινωνή-"σων διὰ τὴν αὐτὴν ταύτην αἰτίαν, ἐπειδὴ τοὺς "αἱρετικούς, φησίν, ἀναβαπτίζουσι. 5. καὶ σκόπει "τὸ μέγεθος τοῦ πράγματος. ὄντως γὰρ δόγματα "περὶ τούτου γέγονεν ἐν ταῖς μεγίσταις τῶν ἐπισκό-"πων συνόδοις, ὡς πυνθάνομαι, ὥστε τοὺς προσιόντας

"ἀπὸ αἱρέσεως, προκατηχηθέντας, εἶτα ἀπολούσασθαι καὶ ἀνακαθαίρεσθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης ῥύπον. καὶ περὶ τούτων αὐτοῦ πάντων δεόμενος ἐπέστειλα." 6. καὶ μεθ' ἕτερά φησι "καὶ τοῖς ἀγαπητοῖς δὲ ἡμῶν καὶ συμπρεσβυτέροις Διονυσίῳ καὶ Φιλήμονι, συμψήφοις πρότερον Στεφάνῳ γενομένοις, καὶ περὶ τῶν αὐτῶν μοι γράφουσι, πρότερον μὲν ὀλίγα, καὶ νῦν δὲ διὰ πλειόνων ἐπέστειλα." ἀλλὰ ταῦτα μὲν περὶ τοῦ δηλουμένου ζητήματος.

VI. [Nic. H. E. VI, 7.] Σημαίνων δὲ ἐν ταὐτῷ καὶ περὶ τῶν κατὰ Σαβέλλιον αἱρετικῶν ὡς κατ' αὐτὸν ἐπιπολαζόντων ταῦτά φησι "περὶ γὰρ τοῦ νῦν κινηθέντος ἐν τῇ Πτολεμαΐδι τῆς Πενταπόλεως δόγματος, ὄντος ἀσεβοῦς καὶ βλασφημίαν πολλὴν ἔχοντος περὶ τοῦ παντοκράτορος θεοῦ, πατρὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπιστίαν τε πολλὴν περὶ τοῦ μονογενοῦς παιδὸς αὐτοῦ καὶ πρωτοτόκου πάσης κτίσεως, τοῦ ἐνανθρωπήσαντος λόγου, ἀναισθησίαν δὲ τοῦ ἁγίου πνεύματος, ἐλθόντων ἑκατέρωθεν πρὸς ἐμὲ καὶ προγραμμάτων καὶ τῶν διαλεξομένων ἀδελφῶν, ἐπέστειλά τινα ὡς ἐδυνήθην, παρασχόντος τοῦ θεοῦ, διδασκαλικώτερον ὑφηγούμενος, ὧν τὰ ἀντίγραφα ἔπεμψά σοι."

VII. [Nic. H. E. VI, 8.] Καὶ ἐν τῇ τρίτῃ δὲ τῶν περὶ βαπτίσματος, ἣν Φιλήμονι τῷ κατὰ Ῥώμην πρεσβυτέρῳ ὁ αὐτὸς γράφει Διονύσιος, ταῦτα παρατίθεται "ἐγὼ δὲ καὶ τοῖς συντάγμασι καὶ ταῖς παραδόσεσι τῶν αἱρετικῶν ἐνέτυχον, χραίνων μέν μου πρὸς ὀλίγον τὴν ψυχὴν ταῖς παμμιάροις αὐτῶν ἐνθυμήσεσιν, ὄνησιν δ' οὖν ἀπ' αὐτῶν ταύτην λαμβάνων, τὸ ἐξελέγχειν αὐτοὺς παρ' ἐμαυτῷ, καὶ πολὺ πλέον βδελύττεσθαι. 2. καὶ δή τινος ἀδελφοῦ

"τῶν πρεσβυτέρων με ἀπείργοντος καὶ δεδιττομένου συμφύρεσθαι τῷ τῆς πονηρίας αὐτῶν βορβόρῳ· λυμανεῖσθαι γὰρ τὴν ψυχὴν τὴν ἐμαυτοῦ, καὶ ἀληθῆ γε λέγοντος, ὡς ᾐσθόμην· ὅραμα θεόπεμπτον προσελθὸν ἐπέρρωσέ με. 3. καὶ λόγος πρός με γενόμενος προσέταξε διαρρήδην λέγων, πᾶσιν ἐντύγχανε οἷς ἂν εἰς χεῖρας λάβοις· διευθύνειν γὰρ ἕκαστα καὶ δοκιμάζειν ἱκανὸς εἶ, καί σοι γέγονε τοῦτο ἐξ ἀρχῆς καὶ τῆς πίστεως αἴτιον. ἀπεδεξάμην τὸ ὅραμα, ὡς ἀποστολικῇ φωνῇ συντρέχον τῇ λεγούσῃ πρὸς τοὺς δυνατωτέρους, γίνεσθε δόκιμοι τραπεζῖται." 4. εἶτά τινα περὶ πασῶν εἰπὼν τῶν αἱρέσεων ἐπιφέρει λέγων "τοῦτον ἐγὼ τὸν κανόνα καὶ τὸν τύπον παρὰ τοῦ μακαρίου πάπα ἡμῶν Ἡρακλᾶ παρέλαβον. τοὺς γὰρ προσιόντας ἀπὸ τῶν αἱρέσεων, καίτοι τῆς ἐκκλησίας ἀποστάντας, μᾶλλον δὲ οὐδὲ ἀποστάντας, ἀλλὰ συνάγεσθαι μὲν δοκοῦντας, καταμηνυθέντας δὲ ὡς προσφοιτῶντάς τινι τῶν ἑτεροδιδασκαλούντων, ἀπελάσας τῆς ἐκκλησίας, δεομένους οὐ προσήκατο, ἕως δημοσίᾳ πάντα ὅσα ἠκηκόεσαν παρὰ τοῖς ἀντιδιατιθεμένοις ἐξέφρασαν, καὶ τότε συνήγαγεν αὐτούς, οὐ δεηθεὶς ἐπ' αὐτῶν ἑτέρου βαπτίσματος· τοῦ γὰρ ἁγίου πρότερον παρ' αὐτοῦ τετυχήκεσαν." 5. πάλιν δὲ ἐπὶ πολὺ γυμνάσας τὸ πρόβλημα ταῦτα ἐπιλέγει "μεμάθηκα καὶ τοῦτο, ὅτι μὴ νῦν οἱ ἐν Ἀφρικῇ μόνον τοῦτο παρεισήγαγον, ἀλλὰ καὶ πρὸ πολλοῦ κατὰ τοὺς πρὸ ἡμῶν ἐπισκόπους ἐν ταῖς πολυανθρωποτάταις ἐκκλησίαις καὶ ταῖς συνόδοις τῶν ἀδελφῶν, ἐν Ἰκονίῳ καὶ Συννάδοις καὶ παρὰ πολλοῖς τοῦτο ἔδοξεν· ὧν τὰς βουλὰς ἀνατρέπων εἰς ἔριν αὐτοὺς καὶ φιλονεικίαν ἐμβαλεῖν οὐχ ὑπομένω. οὐ γὰρ μετακινήσεις,

31 Deut. 19, 14.

"φησὶν, ὅρια τοῦ πλησίον σου, ἃ ἔθεντο οἱ πατέρες "σου." 6. ἡ τετάρτη αὐτοῦ τῶν περὶ βαπτίσματος ἐπιστολῶν πρὸς τὸν κατὰ Ῥώμην ἐγράφη Διονύσιον, τότε μὲν πρεσβείου ἠξιωμένον, οὐκ εἰς μακρὸν δὲ καὶ τὴν ἐπισκοπὴν τῶν ἐκεῖσε παρειληφότα· ἐξ ἧς γνῶναι πάρεστιν ὅπως καὶ αὐτὸς οὗτος λόγιός τε καὶ θαυμάσιος πρὸς τοῦ κατ' Ἀλεξάνδρειαν Διονυσίου μεμαρτύρηται. γράφει δὲ αὐτῷ μεθ' ἕτερα τῶν κατὰ τὸν Νοουάτον μνημονεύων ἐν τούτοις.

VIII. [Nic. H. E. VI, 9.] "Νοουατιανῷ μὲν γὰρ "εὐλόγως ἀπεχθανόμεθα διακόψαντι τὴν ἐκκλησίαν, "καί τινας τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ βλασφημίας "ἑλκύσαντι, καὶ περὶ τοῦ θεοῦ διδασκαλίαν ἀνοσιω-"τάτην ἐπεισκυκλήσαντι, καὶ τὸν χρηστότατον κύριον "ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἀνηλεῆ συκοφαντοῦντι, "ἐπὶ πᾶσι δὲ τούτοις τὸ λουτρὸν ἀθετοῦντι τὸ ἅγιον, "καὶ τήν τε πρὸ αὐτοῦ πίστιν καὶ ὁμολογίαν ἀνατρέ-"ποντι, τό τε πνεῦμα τὸ ἅγιον ἐξ αὐτῶν, εἰ καί τις "ἦν ἐλπὶς τοῦ παραμεῖναι ἢ καὶ ἐπανελθεῖν πρὸς "αὐτοὺς, παντελῶς φυγαδεύοντι."

IX. [Nic. H. E. VI, 9.] Καὶ ἡ πέμπτη δὲ αὐτῷ πρὸς τὸν Ῥωμαίων ἐπίσκοπον Ξύστον ἐγέγραπτο, ἐν ᾗ πολλὰ κατὰ τῶν αἱρετικῶν εἰπὼν τοιοῦτόν τι γεγονὸς κατ' αὐτὸν ἐκτίθεται λέγων· "καὶ γὰρ ὄντως, "ἀδελφὲ, καὶ συμβουλῆς δέομαι, καὶ γνώμην αἰτῶ "παρὰ σοῦ, τοιούτου τινός μοι προσελθόντος πρά-"γματος, δεδιὼς μὴ ἄρα σφάλλωμαι. 2. τῶν γὰρ "συναγομένων ἀδελφῶν πιστὸς νομιζόμενος ἀρχαῖος "καὶ πρὸ τῆς ἐμῆς χειροτονίας, οἶμαι δὲ καὶ πρὸ τῆς "τοῦ μακαρίου Ἡρακλᾶ καταστάσεως τῆς συναγωγῆς "μετασχὼν, τοῖς ὑπόγυιον βαπτιζομένοις παρατυχὼν, "καὶ τῶν ἐπερωτήσεων καὶ ἀποκρίσεων ἐπακούσας,

"προσῆλθέ μοι κλαίων καὶ καταθρηνῶν ἑαυτὸν καὶ "πίπτων πρὸ τῶν ποδῶν μου, ἐξομολογούμενος μὲν "καὶ ἐξομνύμενος τὸ βάπτισμα, ὃ παρὰ τοῖς αἱρετι- "κοῖς βεβάπτιστο, μὴ τοιοῦτον εἶναι, μηδὲ ὅλως ἔχειν "τινὰ πρὸς τοῦτο κοινωνίαν· ἀσεβείας γὰρ ἐκεῖνο καὶ "βλασφημιῶν πεπληρῶσθαι. 3. λέγων δὲ πάνυ τι "τὴν ψυχὴν νῦν κατανενύχθαι, καὶ μηδὲ παρρησίαν "ἔχειν ἐπᾶραι τοὺς ὀφθαλμοὺς πρὸς τὸν θεόν, ἀπὸ "τῶν ἀνοσίων ἐκείνων ῥημάτων καὶ πραγμάτων ὁρ- "μώμενος· καὶ διὰ τοῦτο δεόμενος τῆς εἰλικρινεστάτης "ταύτης καθάρσεως καὶ παραδοχῆς καὶ χάριτος τυχεῖν. "4. ὅπερ ἐγὼ μὲν οὐκ ἐτόλμησα ποιῆσαι, φήσας "αὐτάρκη τὴν πολυχρόνιον αὐτῷ κοινωνίαν εἰς τοῦτο "γεγονέναι. εὐχαριστίας γὰρ ἐπακούσαντα, καὶ συν- "επιφθεγξάμενον τὸ ἀμήν, καὶ τραπέζῃ παραστάντα, "καὶ χεῖρας εἰς ὑποδοχὴν τῆς ἁγίας τροφῆς προτεί- "ναντα, καὶ ταύτην καταδεξάμενον, καὶ τοῦ σώματος "καὶ τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ "μετασχόντα ἱκανῷ χρόνῳ, οὐκ ἂν ἐξ ὑπαρχῆς ἀνα- "σκευάζειν ἔτι τολμήσαιμι· θαρσεῖν δὲ ἐκέλευον, καὶ "μετὰ βεβαίας πίστεως καὶ ἀγαθῆς συνειδήσεως τῇ "μετοχῇ τῶν ἁγίων προσιέναι. 5. ὁ δὲ οὔτε πενθῶν "παύεται, πέφρικέ τε τῇ τραπέζῃ προσιέναι, καὶ "μόλις παρακαλούμενος συνεστάναι ταῖς προσευχαῖς "ἀνέχεται." 6. ἐπὶ ταῖς προειρημέναις φέρεταί τις καὶ ἄλλη τοῦ αὐτοῦ περὶ βαπτίσματος ἐπιστολή, ἐξ αὐτοῦ καὶ ἧς ἡγεῖτο παροικίας Ξύστῳ καὶ τῇ κατὰ Ῥώμην ἐκκλησίᾳ προσπεφωνημένη, ἐν ᾗ διὰ μακρᾶς ἀποδείξεως τὸν περὶ τοῦ ὑποκειμένου ζητήματος παρατείνει λόγον. καὶ ἄλλη δέ τις αὐτοῦ μετὰ ταύτας φέρεται πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον, ἡ περὶ Λουκιανοῦ. καὶ περὶ μὲν τούτων τοσαῦτα.

X. [Nic. H. E. VI, 10.] *Οἵ γε μὴν ἀμφὶ τὸν Γάλλον οὐδ' ὅλοις ἔτεσι δύο τὴν ἀρχὴν ἐπικατασχόντες ἐκποδὼν μεθίστανται, Οὐαλεριανὸς δὲ ἅμα Γαλλιηνῷ παιδὶ διαδέχεται τὴν ἡγεμονίαν. 2. αὖθις δὴ οὖν ὁ Διονύσιος οἷα καὶ περὶ τούτου διέξεισιν, ἐκ τῆς πρὸς Ἑρμάμμωνα ἐπιστολῆς μαθεῖν ἔστιν, ἐν ᾗ τοῦτον ἱστορεῖ τὸν τρόπον “καὶ τῷ Ἰωάννῃ δὲ ὁμοίως ἀποκαλύπτεται. καὶ ἐδόθη γὰρ αὐτῷ, φησί, στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν, καὶ ἐδόθη αὐτῷ ἐξουσία καὶ μῆνες τεσσαράκοντα δύο. 3. ἀμφότερα δὲ ἔστιν ἐπὶ Οὐαλεριανοῦ θαυμάσαι, καὶ τούτων μάλιστα τὰ πρὸ αὐτοῦ ὡς οὕτως ἔσχε συννοεῖν, ὡς μὲν ἤπιος καὶ φιλόφρων ἦν πρὸς τοὺς ἀνθρώπους τοῦ θεοῦ. οὐδὲ γὰρ ἄλλος τις οὕτω τῶν πρὸ αὐτοῦ βασιλέων εὐμενῶς καὶ δεξιῶς πρὸς αὐτοὺς διετέθη, οὐδ' οἱ λεχθέντες ἀναφανδὸν Χριστιανοὶ γεγονέναι, ὡς ἐκεῖνος οἰκειότατα ἐν ἀρχῇ καὶ προσφιλέστατα φανερὸς ἦν αὐτοὺς ἀποδεχόμενος. καὶ πᾶς τε ὁ οἶκος αὐτοῦ θεοσεβῶν πεπλήρωτο καὶ ἦν ἐκκλησία θεοῦ. 4. ἀποσκευάσασθαι δὲ παρέπεισεν αὐτὸν ὁ διδάσκαλος καὶ τῶν ἀπ' Αἰγύπτου μάγων ἀρχισυνάγωγος, τοὺς μὲν καθαροὺς καὶ ὁσίους ἄνδρας κτίννυσθαι καὶ διώκεσθαι κελεύων, ὡς ἀντιπάλους καὶ κωλυτὰς τῶν παμμιάρων καὶ βδελυκτῶν ἐπαοιδῶν ὑπάρχοντας, (καὶ γὰρ εἰσὶ καὶ ἦσαν ἱκανοί, παρόντες καὶ ὁρώμενοι, καὶ μόνον ἐμπνέοντες καὶ φθεγγόμενοι, διασκεδάσαι τὰς τῶν ἀλιτηρίων δαιμόνων ἐπιβουλάς), τελετὰς δὲ ἀνάγνους καὶ μαγγανείας ἐξαγίστους καὶ ἱερουργίας ἀκαλλιερήτους ἐπιτελεῖν ὑποτιθέμενος, παῖδας ἀθλίους ἀποσφάττειν, καὶ τέκνα δυστήνων πατέρων καταθύειν, καὶ σπλάγχνα νεογενῆ διαιρεῖν, καὶ τὰ*

τοῦ θεοῦ διακόπτειν καὶ καταχορδεύειν πλάσματα, ὡς ἐκ τούτων εὐδαιμονήσοντας." 5. καὶ τούτοις γε ἐπιφέρει λέγων "καλὰ γοῦν αὐτοῖς Μακριανὸς τῆς ἐλπιζομένης βασιλείας προσήνεγκε χαριστήρια, ὃς πρότερον μὲν ἐπὶ τῶν καθόλου λόγων λεγόμενος εἶναι βασιλέως οὐδὲν εὔλογον οὐδὲ καθολικὸν ἐφρόνησεν, ἀλλ' ὑποπέπτωκεν ἀρᾷ προφητικῇ τῇ λεγούσῃ 'οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσιν.' 6. οὐ γὰρ συνῆκε τὴν καθόλου πρόνοιαν, οὐδὲ τὴν κρίσιν ὑπείδετο τοῦ πρὸ πάντων καὶ διὰ πάντων καὶ ἐπὶ πᾶσι. διὸ καὶ τῆς μὲν καθολικῆς αὐτοῦ ἐκκλησίας γέγονε πολέμιος, ἠλλοτρίωσε δὲ καὶ ἀπεξένωσεν ἑαυτὸν τοῦ ἐλέους τοῦ θεοῦ, καὶ ὡς πορρωτάτω τῆς ἑαυτοῦ σωτηρίας ἐφυγάδευσεν, ἐν τούτῳ τὸ ἴδιον ἐπαληθεύων ὄνομα." 7. καὶ πάλιν μεθ' ἕτερά φησιν "ὁ μὲν γὰρ Οὐαλεριανὸς εἰς ταῦτα ὑπὸ τούτου προαχθείς, εἰς ὕβρεις καὶ ὀνειδισμοὺς ἐκδοθεὶς κατὰ τὸ ῥηθὲν πρὸς Ἡσαΐαν· 'καὶ οὗτοι ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν, ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε, καὶ ἐγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας ἀνταποδώσω αὐτοῖς.' 8. οὗτος δὲ τῇ βασιλείᾳ παρὰ τὴν ἀξίαν ἐπιμανείς, καὶ τὸν βασίλειον ὑποδῦναι κόσμον ἀδυνατῶν ἀναπήρῳ τῷ σώματι, τοὺς δύο παῖδας τὰς πατρῴας ἀναδεξαμένους ἁμαρτίας προεστήσατο. ἐναργὴς γὰρ ἐπὶ τούτων ἡ πρόρρησις ἣν εἶπεν ὁ θεός 'ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με.' 9. τὰς γὰρ ἰδίας πονηρὰς ἐπιθυμίας, ὧν ἠτύχει, ταῖς τῶν υἱῶν κεφαλαῖς ἐπιβαλών, εἰς ἐκείνους

8 Ezech. 13, 3. 19 Ies. 66, 3. 4. 28 Exod. 20, 5.

τὴν ἑαυτοῦ κακίαν καὶ τὸ πρὸς τὸν θεὸν μῖσος ἐξωμόρξατο." καὶ περὶ μὲν τοῦ Οὐαλεριανοῦ τοσαῦτα ὁ Διονύσιος.

XI. [Nic. H. E. VI, 10.] Περὶ δὲ τοῦ κατ' αὐτὸν διωγμοῦ σφοδρότατα πνεύσαντος οἷα σὺν ἑτέροις ὁ αὐτὸς διὰ τὴν εἰς τὸν τῶν ὅλων θεὸν εὐσέβειαν ὑπέστη, δηλώσουσιν αἱ αὐτοῦ φωναί, ἃς πρὸς Γερμανὸν τῶν κατ' αὐτὸν ἐπισκόπων κακῶς ἀγορεύειν αὐτὸν πειρώμενον ἀποτεινόμενος τοῦτον παρατίθεται τὸν τρόπον 2. "εἰς ἀφροσύνην δὲ κινδυνεύω πολλὴν καὶ ἀναισθησίαν ὄντως ἐμπεσεῖν, εἰς ἀνάγκην συμβιβαζόμενος τοῦ διηγεῖσθαι τὴν θαυμαστὴν περὶ ἡμᾶς οἰκονομίαν τοῦ θεοῦ. ἀλλ' ἐπειδὴ μυστήριον, φησί, βασιλέως κρύψαι καλόν, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἔνδοξον, ὁμόσε χωρήσω τῇ Γερμανοῦ βίᾳ. 3. ἧκον πρὸς Αἰμιλιανὸν οὐ μόνος· ἠκολούθησαν δέ μοι συμπρεσβύτερός τέ μου Μάξιμος καὶ διάκονοι Φαῦστος καὶ Εὐσέβιος καὶ Χαιρήμων· καί τις τῶν ἀπὸ Ῥώμης παρόντων ἀδελφῶν ἡμῖν συνεισῆλθεν. 4. Αἰμιλιανὸς δὲ οὐκ εἶπέ μοι προηγουμένως 'μὴ σύναγε.' περιττὸν γὰρ ἦν αὐτῷ τοῦτο καὶ τὸ τελευταῖον ἐπὶ τὸ πρῶτον ἀνατρέχοντι. οὐ γὰρ περὶ τοῦ μὴ συνάγειν ἑτέρους ὁ λόγος ἦν αὐτῷ, ἀλλὰ περὶ τοῦ μηδ' αὐτοὺς ἡμᾶς εἶναι Χριστιανούς, καὶ τούτου προσέταττε πεπαῦσθαι, εἰ μεταβαλοίμην ἔγωγε, καὶ τοὺς ἄλλους ἕψεσθαί μοι νομίζων. 5. ἀπεκρινάμην δὲ οὐκ ἀπεοικότως οὐδὲ μακρὰν 'πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις.' ἀλλ' ἄντικρυς διεμαρτυράμην ὅτι τὸν θεὸν τὸν ὄντα μόνον καὶ οὐδένα ἕτερον σέβω, οὐδ' ἂν μεταθείμην οὐδὲ παυσαίμην ποτὲ Χριστιανὸς ὤν. ἐπὶ

10 2 Cor. 11, 1. 17. 23. 13 Tob. 12, 7. 28 Act. 5, 29.

"τούτοις ἐκέλευσεν ἡμᾶς ἀπελθεῖν εἰς κώμην πλησίον τῆς ἐρήμου καλουμένην Κεφρώ. 6. αὐτῶν δὲ ἐπακούσατε τῶν ὑπ' ἀμφοτέρων λεχθέντων ὡς ὑπεμνηματίσθη. εἰσαχθέντων Διονυσίου καὶ Φαύστου καὶ Μαξίμου καὶ Μαρκέλλου καὶ Χαιρήμονος Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν εἶπε· καὶ ἀγράφως ὑμῖν διελέχθην περὶ τῆς φιλανθρωπίας τῶν κυρίων ἡμῶν ἢ περὶ ὑμᾶς κέχρηνται. 7. δεδώκασι γὰρ ἐξουσίαν ὑμῖν σωτηρίας, εἰ βούλοισθε ἐπὶ τὸ κατὰ φύσιν τρέπεσθαι, καὶ θεοὺς τοὺς σώζοντας αὐτῶν τὴν βασιλείαν προσκυνεῖν, ἐπιλαθέσθαι τε τῶν παρὰ φύσιν. τί οὖν φατὲ πρὸς ταῦτα; οὐδὲ γὰρ ἀχαρίστους ὑμᾶς ἔσεσθαι περὶ τὴν φιλανθρωπίαν αὐτῶν προσδοκῶ, ἐπειδήπερ ἐπὶ τὰ βελτίω ὑμᾶς προτρέπονται. 8. Διονύσιος ἀπεκρίνατο· οὐ πάντες πάντας προσκυνοῦσι θεούς, ἀλλ' ἕκαστοι τινάς, οὓς νομίζουσιν. ἡμεῖς τοίνυν τὸν ἕνα θεόν, τὸν δημιουργὸν τῶν ἁπάντων, τὸν καὶ τὴν βασιλείαν ἐγχειρίσαντα τοῖς θεοφιλεστάτοις Οὐαλεριανῷ καὶ Γαλλιηνῷ σεβαστοῖς, τοῦτον καὶ σέβομεν καὶ προσκυνοῦμεν, καὶ τούτῳ διηνεκῶς ὑπὲρ τῆς βασιλείας αὐτῶν, ὅπως ἀσάλευτος διαμένῃ, προσευχόμεθα. 9. Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπε· τίς γὰρ ὑμᾶς κωλύει καὶ τοῦτον, εἴπερ ἐστὶ θεός, μετὰ τῶν κατὰ φύσιν θεῶν προσκυνεῖν; θεοὺς γὰρ σέβειν ἐκελεύσθητε, καὶ θεοὺς οὓς πάντες ἴσασι. Διονύσιος ἀπεκρίνατο 'ἡμεῖς οὐδένα ἕτερον προσκυνοῦμεν.' 10. Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπεν· ὁρῶ ὑμᾶς ὁμοῦ καὶ ἀχαρίστους ὄντας καὶ ἀναισθήτους τῆς πραότητος τῶν σεβαστῶν ἡμῶν. διόπερ οὐκ ἔσεσθε ἐν τῇ πόλει ταύτῃ, ἀλλὰ ἀποσταλήσεσθε εἰς τὰ μέρη τῆς Λιβύης, καὶ ἐν τόπῳ

"λεγομένῳ Κεφρώ· τοῦτον γὰρ τὸν τόπον ἐξελεξάμην "ἐκ τῆς κελεύσεως τῶν σεβαστῶν ἡμῶν. οὐδαμῶς "δὲ ἐξέσται οὔτε ὑμῖν οὔτε ἄλλοις τισὶν ἢ συνόδους "ποιεῖσθαι, ἢ εἰς τὰ καλούμενα κοιμητήρια εἰσιέναι. "11. εἰ δέ τις φανείη ἢ μὴ γενόμενος εἰς τὸν τόπον "τοῦτον ὃν ἐκέλευσα, ἢ ἐν συναγωγῇ τινι εὑρεθείη, "ἑαυτῷ τὸν κίνδυνον ἐπαρτήσει. οὐ γὰρ ἐπιλείψει "ἡ δέουσα ἐπιστρέφεια. ἀπόστητε οὖν ὅπου ἐκελεύ-"σθητε. καὶ νοσοῦντα δέ με κατήπειξεν, οὐδὲ μιᾶς "ὑπέρθεσιν δοὺς ἡμέρας. ποίαν οὖν ἔτι τοῦ συνα-"γαγεῖν ἢ μὴ συναγαγεῖν εἶχον σχολήν;" εἶτα μεθ' ἕτερά φησιν 12. "ἀλλ' οὐδὲ τῆς αἰσθητῆς ἡμεῖς "μετὰ τοῦ κυρίου συναγωγῆς ἀπέστημεν, ἀλλὰ τοὺς "μὲν ἐν τῇ πόλει σπουδαιότερον συνεκρότουν ὡς "συνών, ἀπὼν μὲν τῷ σώματι, ὡς εἰπεῖν, παρὼν δὲ "τῷ πνεύματι, ἐν δὲ τῇ Κεφροῖ καὶ πολλὴ συνεπε-"δήμησεν ἡμῖν ἐκκλησία, τῶν μὲν ἀπὸ τῆς πόλεως "ἀδελφῶν ἑπομένων, τῶν δὲ συνόντων ἀπ' Αἰγύπτου. "13. κἀκεῖ θύραν ἡμῖν ὁ θεὸς ἀνέῳξε τοῦ λόγου. καὶ "τὸ μὲν πρῶτον ἐδιώχθημεν, ἐλιθοβολήθημεν, ὕστε-"ρον δέ τινες οὐκ ὀλίγοι τῶν ἐθνῶν τὰ εἴδωλα κατα-"λιπόντες ἐπέστρεψαν ἐπὶ τὸν θεόν. οὐ πρότερον "γὰρ παραδεξαμένοις αὐτοῖς τότε πρῶτον δι' ἡμῶν "ὁ λόγος ἐπεσπάρη. 14. καὶ ὥσπερ τούτου ἕνεκεν "ἀπαγαγὼν ἡμᾶς πρὸς αὐτοὺς ὁ θεός, ἐπεὶ τὴν "διακονίαν ταύτην ἐπληρώσαμεν, πάλιν ἀπαγήοχεν. "ὁ γὰρ Αἰμιλιανὸς εἰς τραχυτέρους μέν, ὡς ἐδόκει, "καὶ λιβυκωτέρους ἡμᾶς μεταστῆσαι τόπους ἐβου-"λήθη, καὶ τοὺς πανταχόσε εἰς τὸν Μαρεώτην ἐκέ-"λευσε συρρεῖν, κώμας ἑκάστοις τῶν κατὰ χώραν "ἀφορίσας, ἡμᾶς δὲ μᾶλλον ἐν ὁδῷ καὶ πρώτους "καταληφθησομένους ἔταξεν. ᾠκονόμει γὰρ δηλονότι

"καὶ παρεσκεύαζεν, ἵνα ὁπόταν βουληθείη συλλαβεῖν, πάντας εὐαλώτους ἔχοι. 15. ἐγὼ δὲ ὅτε μὲν εἰς Κεφρὼν κεκελεύσμην ἀπελθεῖν, καὶ τὸν τόπον ἠγνόουν ὅποι ποτὲ οὗτός ἐστιν, οὐδὲ τὸ ὄνομα σχεδὸν πρότερον ἀκηκοώς· καὶ ὅμως εὐθύμως καὶ ἀταράχως ἀπῄειν. ἐπεὶ δὲ μετασκηνώσειν εἰς τὰ Κολλουθίωνος ἀπηγγέλη μοι, ἴσασιν οἱ παρόντες ὅπως διετέθην· ἐνταῦθα γὰρ ἐμαυτοῦ κατηγορήσω. 16. τὸ μὲν πρῶτον ἠχθέσθην καὶ λίαν ἐχαλέπηνα· καὶ γὰρ εἰ γνωριμώτεροι καὶ συνηθέστεροι ἐτύγχανον ἡμῖν οἱ τόποι, ἀλλ' ἔρημον μὲν ἀδελφῶν καὶ σπουδαίων ἀνθρώπων ἔφασκον εἶναι τὸ χωρίον, ταῖς δὲ τῶν ὁδοιπορούντων ἐνοχλήσεσι καὶ λῃστῶν καταδρομαῖς ἐγκείμενον. 17. ἔτυχον δὲ παραμυθίας, ὑπομνησάντων με τῶν ἀδελφῶν, ὅτι γειτνιᾷ μᾶλλον τῇ πόλει, καὶ ἡ μὲν Κεφρὼν πολλὴν ἡμῖν ἦγεν ἀδελφῶν τῶν ἀπ' Αἰγύπτου τὴν ἐπιμιξίαν, ὡς πλατύτερον ἐκκλησιάζειν δύνασθαι, ἐκεῖ δὲ πλησιαίτερον οὔσης τῆς πόλεως συνεχέστερον τῆς τῶν ὄντως ἀγαπητῶν καὶ οἰκειοτάτων καὶ φιλτάτων ὄψεως ἀπολαύσομεν. ἀφίξονται γὰρ καὶ ἀναπαύσονται, καὶ ὡς ἐν προαστείοις πορρωτέρω κειμένοις κατὰ μέρος ἔσονται συναγωγαί. καὶ οὕτως ἐγένετο." 18. καὶ μεθ' ἕτερα περὶ τῶν συμβεβηκότων αὐτῷ αὖθις ταῦτα γράφει "πολλαῖς γε ταῖς ὁμολογίαις Γερμανὸς σεμνύνεται. πολλά γε εἰπεῖν ἔχει καθ' ἑαυτοῦ γενόμενα. ὅσας ἀριθμῆσαι δύναται περὶ ἡμῶν ἀποφάσεις, δημεύσεις, προγραφάς, ὑπαρχόντων ἁρπαγάς, ἀξιωμάτων ἀποθέσεις, δόξης κοσμικῆς ὀλιγωρίας, ἐπαίνων ἡγεμονικῶν καὶ βουλευτικῶν καταφρονήσεις, καὶ τῶν ἐναντίων ἀπειλῶν καὶ καταβοήσεων καὶ κινδύνων καὶ διωγμῶν καὶ πλάνης

"καὶ στενοχωρίας καὶ ποικίλης θλίψεως ὑπομονήν, οἷα τὰ ἐπὶ Δεκίου καὶ Σαβίνου συμβάντα μοι, οἷα μέχρι νῦν Αἰμιλιανοῦ. 19. ποῦ δὲ Γερμανὸς ἐφάνη; τίς δὲ περὶ αὐτοῦ λόγος; ἀλλὰ τῆς πολλῆς ἀφροσύνης, εἰς ἣν ἐμπίπτω διὰ Γερμανόν, ὑφίεμαι, διὸ καὶ τὴν καθ' ἕκαστον τῶν γενομένων διήγησιν παρίημι τοῖς εἰδόσιν ἀδελφοῖς λέγειν." 20. ὁ δ' αὐτὸς καὶ ἐν τῇ πρὸς Δομέτιον καὶ Δίδυμον ἐπιστολῇ τῶν ἀμφὶ τὸν διωγμὸν αὖθις μνημονεύει ἐν τούτοις "τοὺς δὲ ἡμετέρους πολλούς τε ὄντας καὶ ἀγνῶτας ὑμῖν περισσὸν ὀνομαστὶ καταλέγειν· πλὴν ἴστε ὅτι ἄνδρες καὶ γυναῖκες, καὶ νέοι καὶ γέροντες, καὶ κόραι καὶ πρεσβύτιδες, καὶ στρατιῶται καὶ ἰδιῶται, καὶ πᾶν γένος καὶ πᾶσα ἡλικία, οἱ μὲν διὰ μαστίγων καὶ πυρός, οἱ δὲ διὰ σιδήρου τὸν ἀγῶνα νικήσαντες τοὺς στεφάνους ἀπειλήφασι· 21. τοῖς δὲ οὐ πάμπολυς αὐτάρκης ἀπέβη χρόνος εἰς τὸ φανῆναι δεκτοὺς τῷ κυρίῳ, ὥσπερ οὖν ἔοικε μηδὲ ἐμοὶ ὁ μέχρι νῦν. διόπερ εἰς ὃν οἶδεν αὐτὸς ἐπιτήδειον καιρὸν ὑπερέθετό με ὁ λέγων 'καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.' 22. τὰ γὰρ καθ' ἡμᾶς ἐπειδὴ πυνθάνεσθε καὶ βούλεσθε δηλωθῆναι ὑμῖν ὅπως διάγομεν, ἠκούσατε μὲν πάντως ὅπως ἡμᾶς δεσμώτας ἀπαγομένους ὑπὸ ἑκατοντάρχου καὶ στρατηγῶν καὶ τῶν σὺν αὐτοῖς στρατιωτῶν καὶ ὑπηρετῶν, ἐμέ τε καὶ Γάϊον καὶ Φαῦστον καὶ Πέτρον καὶ Παῦλον, ἐπελθόντες τινὲς τῶν Μαρεωτῶν ἄκοντας καὶ μηδὲ ἑπομένους, βίᾳ τε σύροντες ἀφήρπασαν. 23. ἐγὼ δὲ νῦν καὶ Γάϊος καὶ Πέτρος, μόνοι τῶν ἄλλων ἀδελφῶν ἀπορφανισθέντες, ἐν ἐρήμῳ καὶ αὐχμηρῷ τῆς Λιβύης τόπῳ

---

20 Ies. 49, 8.

“κατακεκλείσμεθα, τριῶν ἡμερῶν ὁδὸν τοῦ Παραιτονίου διεστηκότες.” 24. καὶ ὑποκαταβάς φησιν “ἐν δὲ τῇ πόλει καταδεδύκασιν ἀφανῶς ἐπισκεπτόμενοι τοὺς ἀδελφούς — πρεσβύτεροι μὲν Μάξιμος, Διόσκορος, Δημήτριος, Λούκιος· οἱ γὰρ ἐν τῷ κόσμῳ προφανέστεροι Φαυστῖνος καὶ Ἀκύλας ἐν Αἰγύπτῳ πλανῶνται· διάκονοι δὲ οἱ μετὰ τοὺς ἐν τῇ νόσῳ τελευτήσαντας ὑπολειφθέντες Φαῦστος, Εὐσέβιος, Χαιρήμων· Εὐσέβιος, ὃν ἐξ ἀρχῆς ὁ θεὸς ἐνεδυνάμωσε καὶ παρεσκεύασε, τὰς ὑπηρεσίας τῶν ἐν ταῖς φυλακαῖς γενομένων ὁμολογητῶν ἐναγωνίως ἀποπληροῦν, καὶ τὰς τῶν σωμάτων περιστολὰς τῶν τελείων καὶ μακαρίων μαρτύρων οὐκ ἀκινδύνως ἐκτελεῖν. 25. καὶ γὰρ μέχρι νῦν οὐκ ἀνίησιν ὁ ἡγούμενος, τοὺς μὲν ἀναιρῶν, ὡς προεῖπον, ὠμῶς τῶν προσαγομένων, τοὺς δὲ βασάνοις καταξαίνων, τοὺς δὲ φυλακαῖς καὶ δεσμοῖς ἐκτήκων, προστάσσων τε μηδένα τούτοις προσιέναι, καὶ ἀνερευνῶν μή τις φανείη. καὶ ὅμως ὁ θεὸς τῇ προθυμίᾳ καὶ λιπαρείᾳ τῶν ἀδελφῶν διαναπαύει τοὺς πεπιεσμένους.” καὶ τοσαῦτα μὲν ὁ Διονύσιος. 26. ἰστέον δὲ ὡς ὁ μὲν Εὐσέβιος, ὃν διάκονον προσεῖπεν, σμικρὸν ὕστερον ἐπίσκοπος ἐκκλησίας τῆς κατὰ Συρίαν Λαοδικείας καθίσταται, ὁ δὲ Μάξιμος, ὃν τότε πρεσβύτερον εἴρηκε, μετὰ τὸν Διονύσιον τὴν λειτουργίαν τῶν κατʼ Ἀλεξάνδρειαν ἀδελφῶν διαδέχεται, Φαῦστος δὲ ὁ σὺν αὐτῷ τηνικάδε διαπρέψας ἐν τῇ ὁμολογίᾳ, μέχρι τοῦ καθʼ ἡμᾶς διωγμοῦ φυλαχθείς, γηραιὸς κομιδῇ καὶ πλήρης ἡμερῶν καθʼ ἡμᾶς αὐτοὺς μαρτυρίῳ τὴν κεφαλὴν ἀποτμηθεὶς τελειοῦται. ἀλλὰ τὰ μὲν κατʼ ἐκεῖνο καιροῦ τῷ Διονυσίῳ συμβάντα τοιαῦτα.

XII. [Nic. H. E. VI, 11.] Κατὰ δὲ τὸν δηλούμενον

Οὐαλεριανοῦ διωγμὸν τρεῖς ἐν Καισαρείᾳ τῆς Παλαιστίνης τῇ κατὰ Χριστὸν διαλάμψαντες ὁμολογίᾳ θείῳ κατεκοσμήθησαν μαρτυρίῳ, θηρίων γενόμενοι βορά. τούτων ὁ μὲν Πρίσκος ἐκαλεῖτο, ὁ δὲ Μάλχος, τῷ δὲ τρίτῳ Ἀλέξανδρος ὄνομα ἦν. τούτους φασὶ κατ' ἀγρὸν οἰκοῦντας πρότερον μὲν ἑαυτοὺς ὡς ἀμελεῖς καὶ ῥαθύμους κακίσαι, ὅτι δὴ βραβείων, τοῦ καιροῦ τοῖς πόθου γλιχομένοις οὐρανίου διανέμοντος, ὀλιγωροῖεν αὐτοὶ μὴ οὐχὶ προαρπάζοντες τὸν τοῦ μαρτυρίου στέφανον· ταῦτα δὲ βουλευσαμένους ὁρμῆσαι ἐπὶ τὴν Καισάρειαν, ὁμόσε τε χωρῆσαι ἐπὶ τὸν δικαστὴν, καὶ τυχεῖν τοῦ προδεδηλωμένου τέλους. ἔτι πρὸς τούτοις γύναιόν τι κατὰ τὸν αὐτὸν διωγμὸν ἐν τῇ αὐτῇ πόλει τὸν ὅμοιον ἱστοροῦσιν ἀγῶνα διηθληκέναι. τῆς δὲ Μαρκίωνος αὐτὴν αἱρέσεως γενέσθαι κατέχει λόγος.

XIII. [Nic. H. E. VI, 12.] *Ἀλλ' οὐκ εἰς μακρὸν δουλείαν τὴν παρὰ βαρβάροις ὑπομείναντος Οὐαλεριανοῦ, μοναρχήσας ὁ παῖς σωφρονέστερον περὶ τὴν ἀρχὴν διατίθεται, ἀνίησί τε αὐτίκα διὰ προγραμμάτων τὸν καθ' ἡμῶν διωγμὸν, ἐπ' ἐλευθερίας τοῖς τοῦ λόγου προεστῶσι τὰ ἐξ ἔθους ἐπιτελεῖν δι' ἀντιγραφῆς προστάξας, ἥτις τοῦτον ἔχει τὸν τρόπον "Αὐτοκράτωρ Καῖσαρ Πούπλιος Λικίννιος Γαλλιηνὸς, "εὐσεβὴς, εὐτυχὴς, σεβαστὸς, Διονυσίῳ καὶ Πίννᾳ καὶ "Δημητρίῳ καὶ τοῖς λοιποῖς ἐπισκόποις. τὴν εὐεργεσίαν "τῆς ἐμῆς δωρεᾶς διὰ παντὸς τοῦ κόσμου ἐκβιβα-"σθῆναι προσέταξα, ὅπως ἀπὸ τόπων τῶν θρησκευ-"σίμων ἀποχωρήσωσι. καὶ διὰ τοῦτο καὶ ὑμεῖς τῆς "ἀντιγραφῆς τῆς ἐμῆς τῷ τύπῳ χρῆσθαι δύνασθε, "ὥστε μηδένα ὑμῖν ἐνοχλεῖν. καὶ τοῦτο ὅπερ κατὰ "τὸ ἐξὸν δύναται ὑφ' ὑμῶν ἀναπληροῦσθαι ἤδη*

"πρὸ πολλοῦ ὑπ' ἐμοῦ συγκεχώρηται. καὶ διὰ τοῦτο "Αὐρήλιος Κυρήνιος, ὁ τοῦ μεγίστου πράγματος "προστατεύων, τὸν τύπον τοῦτον τὸν ὑπ' ἐμοῦ "δοθέντα διαφυλάξει." ταῦτα ἐπὶ τὸ σαφέστερον ἐκ τῆς Ῥωμαίων ἑρμηνευθέντα γλώττης ἐγκείσθω. καὶ ἄλλη δὲ τοῦ αὐτοῦ διάταξις φέρεται, ἣν πρὸς ἑτέρους ἐπισκόπους πεποίηται, τὰ τῶν καλουμένων κοιμητηρίων ἀπολαμβάνειν ἐπιτρέπων χωρία.

XIV. [Nic. H. E. VI, 34.] Ἐν τούτῳ δὲ τῆς μὲν Ῥωμαίων ἐκκλησίας εἰσέτι τότε καθηγεῖτο Ξύστος, τῆς δὲ ἐπ' Ἀντιοχείας μετὰ Φάβιον Δημητριανὸς, Φιρμιλλιανὸς δὲ Καισαρείας τῆς Καππαδοκῶν, καὶ ἐπὶ τούτοις τῶν κατὰ Πόντον ἐκκλησιῶν Γρηγόριος καὶ ὁ τούτου ἀδελφὸς Ἀθηνόδωρος, Ὠριγένους γνώριμοι. τῆς δ' ἐπὶ Παλαιστίνης Καισαρείας Θεοκτίστου μεταλλάξαντος διαδέχεται τὴν ἐπισκοπὴν Δόμνος, βραχεῖ δὲ χρόνῳ τούτου διαγενομένου Θεότεκνος, ὁ καθ' ἡμᾶς, διάδοχος καθίσταται. τῆς δ' Ὠριγένους διατριβῆς καὶ οὗτος ἦν. ἀλλὰ καὶ ἐν Ἱεροσολύμοις ἀναπαυσαμένου Μαζαβάνου τὸν θρόνον Ὑμέναιος, ὁ καὶ αὐτὸς ἐπὶ πλείστοις τοῖς καθ' ἡμᾶς διαπρέψας ἔτεσι, διεδέξατο.

XV. [Nic. H. E. VI, 13.] Κατὰ τούτους εἰρήνης ἁπανταχοῦ τῶν ἐκκλησιῶν οὔσης, ἐν Καισαρείᾳ τῆς Παλαιστίνης Μαρῖνος τῶν ἐν στρατείαις ἀξιώμασι τετιμημένων, γένει τε καὶ πλούτῳ περιφανὴς ἀνὴρ, διὰ τὴν Χριστοῦ μαρτυρίαν τὴν κεφαλὴν ἀποτέμνεται, τοιᾶσδε ἕνεκεν αἰτίας. 2. τιμή τίς ἐστι παρὰ Ῥωμαίοις τὸ κλῆμα, οὗ τοὺς τυχόντας φασὶν ἑκατοντάρχους γίνεσθαι. τόπου σχολάζοντος, ἐπὶ τοῦτο προκοπῆς τὸν Μαρῖνον ἡ τοῦ βαθμοῦ τάξις ἐκάλει. ἤδη τε μέλλοντα τῆς τιμῆς ἔχεσθαι, παρελθὼν ἄλλος

πρὸ τοῦ βήματος, μὴ ἐξεῖναι μὲν ἐκείνῳ τῆς Ῥωμαίων μετέχειν ἀξίας κατὰ τοὺς παλαιοὺς νόμους, Χριστιανῷ γε ὄντι καὶ τοῖς βασιλεῦσι μὴ θύοντι, κατηγόρει· αὐτῷ δὲ ἐπιβάλλειν τὸν κλῆρον. 3. ἐφ' ᾧ κινηθέντα τὸν δικαστὴν (Ἀχαιὸς οὗτος ἦν) πρῶτον μὲν ἐρέσθαι ποίας ὁ Μαρῖνος εἴη γνώμης. ὡς δ' ὁμολογοῦντα Χριστιανὸν ἐπιμόνως ἑώρα, τριῶν ὡρῶν ἐπιδοῦναι αὐτῷ εἰς ἐπίσκεψιν διάστημα. 4. ἐκτὸς δῆτα γενόμενον αὐτὸν τοῦ δικαστηρίου Θεότεκνος ὁ τῇδε ἐπίσκοπος ἀφέλκει προσελθὼν δι' ὁμιλίας, καὶ τῆς χειρὸς λαβὼν ἐπὶ τὴν ἐκκλησίαν προάγει, εἴσω τε πρὸς αὐτῷ στήσας τῷ ἁγιάσματι, μικρόν τι παραναστείλας αὐτοῦ τῆς χλαμύδος καὶ τὸ προσηρτημένον αὐτῷ ξίφος ἐπιδείξας, ἅμα τε ἀντιπαρατίθησι προσαγαγὼν αὐτῷ τὴν τῶν θείων εὐαγγελίων γραφήν, κελεύσας τῶν δυεῖν ἑλέσθαι τὸ κατὰ γνώμην. ὡς δ' ἀμελλητὶ τὴν δεξιὰν προτείνας ἐδέξατο τὴν θείαν γραφήν, "ἔχου τοίνυν, ἔχου," φησὶ πρὸς αὐτὸν ὁ Θεότεκνος, "τοῦ θεοῦ, καὶ τύχοις ὧν εἵλου, πρὸς αὐτοῦ δυναμούμενος, καὶ βάδιζε μετ' εἰρήνης." 5. εὐθὺς ἐκεῖθεν ἐπανελθόντα αὐτὸν κῆρυξ ἐβόα καλῶν πρὸ τοῦ δικαστηρίου· καὶ γὰρ ἤδη τὰ τῆς προθεσμίας τοῦ χρόνου πεπλήρωτο. καὶ δὴ παραστὰς τῷ δικαστηρίῳ, καὶ μείζονα τῆς πίστεως τὴν προθυμίαν ἐπιδείξας, εὐθύς, ὡς εἶχεν, ἀπαχθεὶς τὴν ἐπὶ θανάτῳ τελειοῦται.

XVI. [Nic· H. E. VI, 14.] Ἔνθα καὶ Ἀστύριος ἐπὶ τῇ θεοφιλεῖ παρρησίᾳ μνημονεύεται, ἀνὴρ τῶν ἐπὶ Ῥώμης συγκλητικῶν γενόμενος, βασιλεῦσί τε προσφιλής, καὶ πᾶσι γνώριμος εὐγενείας τε ἕνεκα καὶ περιουσίας· ὃς παρὼν τηνικάδε τελειουμένῳ τῷ μάρτυρι, τὸν ὦμον ὑποθείς, ἐπὶ λαμπρᾶς καὶ πολυ-

τελοῦς ἐσθῆτος ἄρας τὸ σκήνωμα ἐπιφέρεται, περιστείλας τε εὖ μάλα πλουσίως τῇ προσηκούσῃ ταφῇ παραδίδωσι. τούτου μυρία μὲν καὶ ἄλλα μνημονεύουσιν οἱ τἀνδρὸς καὶ εἰς ἡμᾶς διαμείναντες γνώριμοι,

XVII. ἀτὰρ καὶ παραδόξου τοιούτου. ἐπὶ τῆς Φιλίππου Καισαρείας, ἣν Πανεάδα Φοίνικες προσαγορεύουσι, φασὶ παρὰ ταῖς αὐτόθι δεικνυμέναις ἐν ταῖς ὑπωρείαις τοῦ καλουμένου Πανίου ὄρους πηγαῖς, ἐξ ὧν καὶ τὸν Ἰορδάνην προχεῖσθαι, κατά τινα ἑορτῆς ἡμέραν σφάγιόν τι καταβάλλεσθαι, καὶ τοῦτο τῇ τοῦ δαίμονος δυνάμει ἀφανὲς γίνεσθαι παραδόξως, θαῦμά τε εἶναι περιβόητον τοῖς παροῦσι τὸ γινόμενον. παρόντα δ' οὖν ποτὲ τοῖς πραττομένοις τὸν Ἀστύριον, καὶ τὸ πρᾶγμα καταπεπληγμένους ἰδόντα τοὺς πολλούς, οἰκτεῖραι τῆς πλάνης, κἄπειτα ἀνανεύσαντα εἰς οὐρανὸν ἱκετεῦσαι διὰ Χριστοῦ τὸν ἐπὶ πάντων θεόν, τὸ λαοπλάνον δαιμόνιον ἐλέγξαι καὶ παῦσαι τῆς τῶν ἀνθρώπων ἀπάτης. ταῦτα δέ φασιν εὐξαμένου ἀθρόως τὸ ἱερεῖον ἐπιπολάσαι ταῖς πηγαῖς, οὕτω τε αὐτοῖς τὸ παράδοξον οἴχεσθαι, μηδενὸς μηκέτι θαύματος περὶ τὸν τόπον γενομένου.

XVIII. [Nic. H. E. VI, 15.] Ἀλλ' ἐπειδὴ τῆσδε τῆς πόλεως εἰς μνήμην ἐλήλυθα, οὐκ ἄξιον ἡγοῦμαι παρελθεῖν διήγησιν καὶ τοῖς μεθ' ἡμᾶς μνημονεύεσθαι ἀξίαν. τὴν γὰρ αἱμορροοῦσαν, ἣν ἐκ τῶν ἱερῶν εὐαγγελίων πρὸς τοῦ σωτῆρος ἡμῶν τοῦ πάθους ἀπαλλαγὴν εὑρέσθαι μεμαθήκαμεν, ἐνθένδε ἔλεγον ὁρμᾶσθαι, τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι, καὶ τῆς ὑπὸ τοῦ σωτῆρος εἰς αὐτὴν εὐεργεσίας θαυμαστὰ τρόπαια παραμένειν. 2. ἑστάναι γὰρ ἐφ' ὑψηλοῦ λίθου πρὸς μὲν ταῖς πύλαις τοῦ

αὐτῆς οἴκου γυναικὸς ἐκτύπωμα χάλκεον ἐπὶ γόνυ κεκλιμένον καὶ τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερσὶν, ἱκετευούσῃ ἐοικὸς, τούτου δὲ ἄντικρυς ἄλλο τῆς αὐτῆς ὕλης ἀνδρὸς ὄρθιον σχῆμα, διπλοΐδα κοσμίως περιβεβλημένον, καὶ τὴν χεῖρα τῇ γυναικὶ προτεῖνον, οὗ παρὰ τοῖς ποσὶν ἐπὶ τῆς στήλης αὐτῆς ξένον τι βοτάνης εἶδος φύειν, ὃ μέχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος ἀνιὸν, ἀλεξιφάρμακόν τι παντοίων νοσημάτων τυγχάνειν. 3. τοῦτον τὸν ἀνδριάντα τοῦ Ἰησοῦ εἰκόνα φέρειν ἔλεγον. ἔμεινε δὲ καὶ εἰς ἡμᾶς, ὡς καὶ ὄψει παραλαβεῖν ἐπιδημήσαντας αὐτοὺς τῇ πόλει. 4. καὶ θαυμαστὸν οὐδὲν τοὺς πάλαι ἐξ ἐθνῶν εὐεργετηθέντας πρὸς τοῦ σωτῆρος ἡμῶν ταῦτα πεποιηκέναι, ὅτε καὶ τῶν ἀποστόλων αὐτοῦ τὰς εἰκόνας, Παύλου καὶ Πέτρου καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ, διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστορήσαμεν, ὡς εἰκὸς τῶν παλαιῶν ἀπαραφυλάκτως οἷα σωτῆρας ἐθνικῇ συνηθείᾳ παρ' ἑαυτοῖς τοῦτον τιμᾶν εἰωθότων τὸν τρόπον.

XIX. [Nic. H. E. VI, 16.] Τὸν γὰρ Ἰακώβου θρόνον, τοῦ πρώτου τῆς Ἱεροσολύμων ἐκκλησίας τὴν ἐπισκοπὴν πρὸς αὐτοῦ τοῦ σωτῆρος καὶ τῶν ἀποστόλων ὑποδεξαμένου, ὃν καὶ ἀδελφὸν τοῦ Χριστοῦ χρηματίσαι οἱ θεῖοι λόγοι περιέχουσιν, εἰς δεῦρο πεφυλαγμένον οἱ τῇδε κατὰ διαδοχὴν περιέποντες ἀδελφοὶ σαφῶς τοῖς πᾶσιν ἐπιδείκνυνται οἷον περὶ τοὺς ἁγίους ἄνδρας τοῦ θεοφιλοῦς ἕνεκεν οἵ τε πάλαι καὶ οἱ εἰς ἡμᾶς ἔσωζόν τε καὶ ἀποσώζουσι σέβας. καὶ ταῦτα μὲν ταύτῃ.

XX. [Nic. H. E. VI, 4.] Ὅ γε μὴν Διονύσιος πρὸς ταῖς δηλωθείσαις ἐπιστολαῖς αὐτοῦ ἔτι καὶ τὰς φερομένας ἑορταστικὰς τὸ τηνικαῦτα συντάττει,

πανηγυρικωτέρους ἐν αὐταῖς περὶ τῆς τοῦ πάσχα ἑορτῆς ἀνακινῶν λόγους. τούτων τὴν μὲν Φλαουΐῳ προσφωνεῖ, τὴν δὲ Δομετίῳ καὶ Διδύμῳ, ἐν ᾗ καὶ κανόνα ἐκτίθεται ὀκταετηρίδος, ὅτι μὴ ἄλλοτε ἢ μετὰ τὴν ἐαρινὴν ἰσημερίαν προσήκοι τὴν τοῦ πάσχα ἑορτὴν ἐπιτελεῖν παριστάμενος. πρὸς ταύταις καὶ ἄλλην τοῖς κατ' Ἀλεξάνδρειαν συμπρεσβυτέροις ἐπιστολὴν διαχαράττει, ἑτέροις τε ὁμοῦ διαφόρως, καὶ ταύτας ἔτι τοῦ διωγμοῦ συνεστῶτος.

XXI. [Nic. H. E. VI, 19.] Ἐπιλαβούσης δὲ ὅσον οὔπω τῆς εἰρήνης ἐπάνεισι μὲν εἰς τὴν Ἀλεξάνδρειαν, πάλιν δ' ἐνταῦθα στάσεως καὶ πολέμου συστάντος, ὡς οὐχ οἷόν τε ἦν αὐτῷ τοὺς κατὰ τὴν πόλιν ἅπαντας ἀδελφοὺς εἰς ἑκάτερον τῆς στάσεως μέρος διῃρημένους ἐπισκοπεῖν, αὖθις ἐν τῇ τοῦ πάσχα ἑορτῇ ὥσπερ τις ὑπερόριος ἐξ αὐτῆς τῆς Ἀλεξανδρείας διὰ γραμμάτων αὐτοῖς ὡμίλει. 2. καὶ Ἱέρακι δὲ μετὰ ταῦτα τῶν κατ' Αἴγυπτον ἐπισκόπῳ ἑτέραν ἑορταστικὴν ἐπιστολὴν γράφων, τῆς κατ' αὐτὸν τῶν Ἀλεξανδρέων στάσεως μνημονεύει διὰ τούτων "ἐμοὶ δὲ τί θαυμαστὸν εἰ πρὸς τοὺς πορρωτέρω παροικοῦντας χαλεπὸν τὸ κἂν δι' ἐπιστολῶν ὁμιλεῖν, ὅτε καὶ τὸ πρὸς ἐμαυτὸν αὐτῷ μοι διαλέγεσθαι καὶ τῇ ἰδίᾳ ψυχῇ συμβουλεύεσθαι καθέστηκεν ἄπορον; 3. πρὸς γοῦν τὰ ἐμαυτοῦ σπλάγχνα, τοὺς ὁμοσκήνους καὶ συμψύχους ἀδελφοὺς καὶ τῆς αὐτῆς πολίτας ἐκκλησίας ἐπιστολιμαίων δέομαι γραμμάτων, καὶ ταῦθ' ὅπως διαπεμψαίμην, ἀμήχανον φαίνεται. ῥᾷον γὰρ ἄν τις οὐχ ὅπως εἰς τὴν ὑπερόριον, ἀλλὰ καὶ ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς περαιωθείη, ἢ τὴν Ἀλεξάνδρειαν ἀπ' αὐτῆς τῆς Ἀλεξανδρείας ἐπέλθοι. 4. τῆς γὰρ ἐρήμου τῆς πολλῆς

"ἀτριβοῦς ἐκείνης, ἣν ἐν δυσὶ γενεαῖς διώδευσεν ὁ Ἰσραήλ, ἄπειρος μᾶλλον καὶ ἄβατός ἐστιν ἡ μεσαιτάτη τῆς πόλεως ὁδός· καὶ τῆς θαλάσσης, ἣν ἐκεῖνοι ῥαγεῖσαν καὶ διατειχισθεῖσαν ἔσχον ἱππήλατον, καὶ ὧν ἐν τῇ λεωφόρῳ κατεποντίσθησαν Αἰγύπτιοι, οἱ γαληνοὶ καὶ ἀκύμαντοι λιμένες γεγόνασιν εἰκών, πολλάκις φανέντες ἀπὸ τῶν ἐν αὐτοῖς φόνων οἷον ἐρυθρὰ θάλασσα. 5. ὁ δ' ἐπιρρέων ποταμὸς τὴν πόλιν ποτὲ μὲν ἐρήμου τῆς ἀνύδρου ξηρότερος ὤφθη, καὶ μᾶλλον αὐχμώδης ἐκείνης, ἣν διαπορευόμενος ὁ Ἰσραὴλ οὕτως ἐδίψησεν, ὡς Μωυσοῦ μὲν καταβοᾶν, ῥυῆναι δ' αὐτοῖς παρὰ τοῦ θαυμάσια ποιοῦντος μόνου ἐκ πέτρας ἀκροτόμου ποτόν· 6. ποτὲ δὲ τοσοῦτον ἐπλήμμυρεν ὡς πᾶσαν τὴν περίχωρον τάς τε ὁδοὺς καὶ τοὺς ἀγροὺς ἐπικλύσαντα, τῆς ἐπὶ Νῶε γενομένης τοῦ ὕδατος φορᾶς ἐπαγαγεῖν ἀπειλήν· ἀεὶ δὲ αἵματι καὶ φόνοις καὶ καταποντισμοῖς κάτεισι μεμιασμένος, οἷος ὑπὸ Μωυσεῖ γέγονε τῷ Φαραώ, μεταβαλὼν εἰς αἷμα καὶ ἐποζέσας. 7. καὶ ποῖον γένοιτ' ἂν τοῦ πάντα καθαίροντος ὕδατος ὕδωρ καθάρσιον ἄλλο; πῶς ἂν ὁ πολὺς καὶ ἀπέραντος ἀνθρώποις ὠκεανὸς ἐπιχυθεὶς τὴν πικρὰν ταύτην ἀποσμῆξαι θάλασσαν; ἢ πῶς ἂν ὁ μέγας ποταμὸς ὁ ἐκπορευόμενος ἐξ Ἐδέμ, τὰς τέσσαρας ἀρχὰς εἰς ἃς ἀφορίζεται μετοχετεύσας εἰς μίαν τοῦ Γηών, ἀποπλῦναι τὸ λύθρον; 8. ἢ πότε ὁ τεθολωμένος ὑπὸ τῶν πονηρῶν πανταχόθεν ἀναθυμιάσεων ἀὴρ εἰλικρινὴς γένοιτο; τοιοῦτοι γὰρ ἀπὸ τῆς γῆς ἀτμοί, καὶ ἀπὸ θαλάσσης ἄνεμοι, ποταμῶν τε αὖραι καὶ λιμένων ἀνιμήσεις ἀποπνέουσιν, ὡς σηπομένων ἐν πᾶσι τοῖς ὑποκειμένοις στοιχείοις νεκρῶν ἰχῶρας εἶναι τὰς δρόσους. 9. εἶτα θαυμάζουσι καὶ διαπο-

"ροῦσι πόθεν οἱ συνεχεῖς λοιμοὶ, πόθεν αἱ χαλεπαὶ "νόσοι, πόθεν αἱ παντοδαπαὶ φθοραὶ, πόθεν ὁ ποι"κίλος καὶ πολὺς τῶν ἀνθρώπων ὄλεθρος, διὰ τί "μηκέτι τοσοῦτο πλῆθος οἰκητόρων ἡ μεγίστη πόλις "ἐν αὐτῇ φέρει, ἀπὸ νηπίων ἀρξαμένη παίδων μέχρι "τῶν εἰς ἄκρον γεγηρακότων, ὅσους ὠμογέροντας οὓς "ἐκάλει πρότερον ὄντας ἔτρεφεν, ἀλλ' οἱ τεσσαρα"κοντοῦται καὶ μέχρι τῶν ἑβδομήκοντα ἐτῶν τοσοῦτο "πλείονες τότε ὥστε μὴ συμπληροῦσθαι νῦν τὸν "ἀριθμὸν αὐτῶν, προσεγγραφέντων καὶ συγκαταλε"γέντων εἰς τὸ δημόσιον σιτηρέσιον τῶν ἀπὸ τεσσα"ρεσκαίδεκα ἐτῶν μέχρι τῶν ὀγδοήκοντα, καὶ γεγό"νασιν οἷον ἡλικιῶται τῶν πάλαι γεραιτάτων οἱ ὄψει "νεώτατοι. 10. καὶ οὕτω μειούμενον ἀεὶ καὶ δαπα"νώμενον ὁρῶντες τὸ ἐπὶ γῆς ἀνθρώπων γένος οὐ "τρέμουσιν, αὐξομένου καὶ προκόπτοντος τοῦ παντε"λοῦς αὐτῶν ἀφανισμοῦ."

XXII. [Nic. H. E. VI, 20.] *Μετὰ ταῦτα λοιμικῆς* τὸν πόλεμον διαλαβούσης νόσου, τῆς τε ἑορτῆς πλησιαζούσης, αὖθις διὰ γραφῆς τοῖς ἀδελφοῖς ὁμιλεῖ, τὰ τῆς συμφορᾶς ἐπισημαινόμενος πάθη διὰ τούτων 2. "τοῖς μὲν ἄλλοις ἀνθρώποις οὐκ ἂν δόξειε "καιρὸς ἑορτῆς εἶναι τὰ παρόντα. οὐδ' ἔστιν αὐτοῖς "οὔτε οὗτος οὔτε τις ἕτερος, οὐχ ὅπως τῶν ἐπιλύπων, "ἀλλ' οὐδ' εἴ τις περιχαρὴς, ὃν οἰηθεῖεν μάλιστα. "νῦν μέν γε θρῆνοι πάντα, καὶ πενθοῦσι πάντες, "καὶ περιηχοῦσιν οἰμωγαὶ τὴν πόλιν διὰ τὸ πλῆθος "τῶν τεθνηκότων καὶ τῶν ἀποθνησκόντων ὁσημέραι. "3. ὡς γὰρ ἐπὶ τῶν πρωτοτόκων τῶν *Αἰγυπτίων* "γέγραπται, οὕτως καὶ νῦν ἐγενήθη κραυγὴ μεγάλη. "οὐ γάρ ἐστιν οἰκία, ἐν ᾗ οὐκ ἔστιν ἐν αὐτῇ τεθνη"κώς· καὶ ὤφελόν γε· πολλὰ μὲν γὰρ καὶ δεινὰ καὶ

"τὰ πρὸ τούτου συμβεβηκότα. 4. πρῶτον μὲν ἡμᾶς ἤλασαν, καὶ μόνοι πρὸς ἁπάντων διωκόμενοι καὶ θανατούμενοι ἑωρτάσαμεν καὶ τότε, καὶ πᾶς ὁ τῆς καθ' ἕκαστον θλίψεως τόπος πανηγυρικὸν ἡμῖν γέγονε χωρίον, ἀγρὸς, ἐρημία, ναῦς, πανδοχεῖον, δεσμωτήριον· φαιδροτάτην δὲ πασῶν ἤγαγον ἑορτὴν οἱ τέλειοι μάρτυρες εὐωχηθέντες ἐν οὐρανῷ. 5. μετὰ δὲ ταῦτα πόλεμος καὶ λιμὸς ἐπέλαβεν, ἃ τοῖς ἔθνεσι συνδιηνέγκαμεν, μόνοι μὲν ὑποστάντες ὅσα ἡμῖν ἐλυμήναντο, παραπολαύσαντες δὲ καὶ ὧν ἀλλήλους εἰργάσαντό τε καὶ πεπόνθασι· καὶ τῇ Χριστοῦ πάλιν ἐνηυφράνθημεν εἰρήνῃ, ἣν μόνοις ἡμῖν δέδωκε. 6. βραχυτάτης δὲ ἡμῶν τε καὶ αὐτῶν τυχόντων ἀναπνοῆς, ἐπικατέσκηψεν ἡ νόσος αὕτη, πρᾶγμα φόβου τε παντὸς φοβερώτερον ἐκείνοις, καὶ συμφορᾶς ἡστινοσοῦν σχετλιώτερον, καὶ ὥς ἴδιός τις αὐτῶν ἀπήγγειλε συγγραφεὺς, πρᾶγμα μόνον δὴ τῆς πάντων ἐλπίδος κρεῖσσον γενόμενον· ἡμῖν δὲ οὐ τοιοῦτο μὲν, γυμνάσιον δὲ καὶ δοκίμιον οὐδενὸς τῶν ἄλλων ἔλαττον. ἀπέσχετο μὲν γὰρ οὐδὲ ἡμῶν, πολλὴ δὲ ἐξῆλθεν εἰς τὰ ἔθνη." 7. τούτοις ἑξῆς ἐπιφέρει λέγων "οἱ γοῦν πλεῖστοι τῶν ἀδελφῶν ἡμῶν δι' ὑπερβάλλουσαν ἀγάπην καὶ φιλαδελφίαν ἀφειδοῦντες ἑαυτῶν καὶ ἀλλήλων ἐχόμενοι, ἐπισκοποῦντες ἀφυλάκτως τοὺς νοσοῦντας, λιπαρῶς ὑπηρετούμενοι, θεραπεύοντες ἐν Χριστῷ, συναπηλλάττοντο ἐκείνοις ἀσμενέστατα, τοῦ παρ' ἑτέρων ἀναπιμπλάμενοι πάθους, καὶ τὴν νόσον ἐφ' ἑαυτοὺς ἕλκοντες ἀπὸ τῶν πλησίον, καὶ ἑκόντες ἀναμασσόμενοι τὰς ἀλγηδόνας. καὶ πολλοὶ νοσοκομήσαντες καὶ ῥώσαντες ἑτέρους ἐτελεύτησαν αὐτοὶ, τὸν ἐκείνων θάνατον εἰς ἑαυτοὺς μεταστησάμενοι, καὶ τὸ

δημῶδες ῥῆμα, μόνης ἀεὶ δοκεῖν φιλοφροσύνης ἔχεσθαι, ἔργῳ δὴ τότε πληροῦντες, ἀπιόντες αὐτῶν περίψημα. 8. οἱ γοῦν ἄριστοι τῶν παρ' ἡμῖν ἀδελφῶν τοῦτον τὸν τρόπον ἐξεχώρησαν τοῦ βίου, πρεσβύτεροί τέ τινες καὶ διάκονοι καὶ τῶν ἀπὸ τοῦ λαοῦ λίαν ἐπαινούμενοι, ὡς καὶ τοῦ θανάτου τοῦτο τὸ εἶδος διὰ πολλὴν εὐσέβειαν καὶ πίστιν ἰσχυρὰν γενόμενον μηδὲν ἀποδεῖν μαρτυρίου δοκεῖν. 9. καὶ τὰ σώματα δὲ τῶν ἁγίων ὑπτίαις χερσὶ καὶ κόλποις ὑπολαμβάνοντες, καθαιροῦντές τε ὀφθαλμοὺς, καὶ στόματα συγκλείοντες, ὠμοφοροῦντές τε καὶ διατιθέντες, προσκολλώμενοι, συμπλεκόμενοι, λουτροῖς τε καὶ περιστολαῖς κατακοσμοῦντες, μετὰ μικρὸν ἐτύγχανον τῶν ἴσων, ἀεὶ τῶν ὑπολειπομένων ἐφεπομένων τοῖς πρὸ αὐτῶν. 10. τὰ δέ γε ἔθνη πᾶν τοὐναντίον· καὶ νοσεῖν τε ἀρχομένους ἀπωθοῦντο, καὶ ἀπέφευγον τοὺς φιλτάτους, κἂν ταῖς ὁδοῖς ἐρρίπτουν ἡμιθνῆτας, καὶ νεκροὺς ἀτάφους ἀπεσκυβαλίζοντο, τὴν τοῦ θανάτου διάδοσιν καὶ κοινωνίαν ἐκτρεπόμενοι, ἣν οὐκ ἦν καὶ πολλὰ μηχανωμένοις ἐκκλῖναι ῥᾴδιον." 11. μετὰ δὲ καὶ ταύτην τὴν ἐπιστολὴν, εἰρηνευσάντων τῶν κατὰ τὴν πόλιν, τοῖς κατ' Αἴγυπτον ἀδελφοῖς ἑορταστικὴν αὖθις ἐπιστέλλει γραφὴν, καὶ ἐπὶ ταύτῃ ἄλλας διαφόρους πάλιν διατυποῦται. φέρεται δέ τις αὐτοῦ καὶ περὶ σαββάτου, καὶ ἄλλη περὶ γυμνασίου. 12. Ἑρμάμμωνι δὲ πάλιν καὶ τοῖς κατ' Αἴγυπτον ἀδελφοῖς δι' ἐπιστολῆς ὁμιλῶν, πολλά τε ἄλλα περὶ τῆς Δεκίου καὶ τῶν μετ' αὐτὸν διεξελθὼν κακοτροπίας, τῆς κατὰ τὸν Γαλλιηνὸν εἰρήνης ἐπιμιμνήσκεται.

XXIII. [Nic. H. E. VI, 21.] Οὐδὲν δὲ οἷον τὸ

3 1 Cor. 4, 13.

καὶ τούτων ὧδέ πως ἐχόντων ἀκοῦσαι· "ἐκεῖνος μὲν οὖν τῶν πρὸ αὐτοῦ βασιλέων τὸν μὲν προέμενος, τῷ δὲ ἐπιθέμενος, παγγενῇ ταχέως καὶ πρόρριζος ἐξηφανίσθη· ἀνεδείχθη δὲ καὶ συνανωμολογήθη παρὰ πάντων ὁ Γαλλιηνός, παλαιὸς ἅμα βασιλεὺς καὶ νέος, πρῶτος ὢν καὶ μετ' ἐκείνους παρών. 2. κατὰ γὰρ τὸ ῥηθὲν πρὸς τὸν προφήτην Ἡσαΐαν "τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινὰ ἃ νῦν ἀνατελεῖ." ὥσπερ γὰρ νέφος τὰς ἡλιακὰς ἀκτῖνας ὑποδραμὸν καὶ πρὸς ὀλίγον ἐπηλυγάσαν ἐσκίασεν αὐτὸν καὶ ἀντ' αὐτοῦ προεφάνη, εἶτα παρελθόντος ἢ διατακέντος τοῦ νέφους ἐξεφάνη πάλιν ἐπανατείλας ὁ ἥλιος ὁ προανατείλας, οὕτω προστὰς καὶ προσπελάσας ἑαυτὸν ὁ Μακριανὸς τῆς ἐφεστώσης Γαλλιηνοῦ βασιλείας, ὁ μὲν οὐκ ἔστιν, ἐπεὶ μηδὲ ἦν, ὁ δ' ἔστιν ὁμοίως ὥσπερ ἦν. 3. καὶ οἷον ἀποθεμένη τὸ γῆρας ἡ βασιλεία, καὶ τὴν προοῦσαν ἀνακαθηραμένη κακίαν, ἀκμαιότερον νῦν ἐπανθεῖ, καὶ πορρώτερον ὁρᾶται καὶ ἀκούεται καὶ διαφοιτᾷ πανταχοῦ." 4. εἶθ' ἑξῆς καὶ τὸν χρόνον, καθ' ὃν ταῦτ' ἔγραφε, διὰ τούτων σημαίνει "καί μοι πάλιν τὰς ἡμέρας τῶν βασιλικῶν ἐτῶν ἔπεισι σκοπεῖν. ὁρῶ γάρ, ὡς ὀνομασθέντες μὲν οἱ ἀσεβέστατοι μετ' οὐ πολὺ γεγόνασιν ἀνώνυμοι, ὁ δὲ ὁσιώτερος καὶ φιλοθεώτερος ὑπερβὰς τὴν ἑπταετηρίδα νῦν ἐνιαυτὸν ἔνατον διανύει, ἐν ᾧ ἡμεῖς ἑορτάσωμεν."

XXIV. [Nic. H. E. VI, 21.] Ἐπὶ τούτοις πᾶσι σπουδάζεται αὐτῷ καὶ τὰ περὶ ἐπαγγελιῶν δύο συγγράμματα. ἡ δ' ὑπόθεσις αὐτῷ Νέπως ἦν, ἐπίσκοπος τῶν κατ' Αἴγυπτον, Ἰουδαϊκώτερον τὰς ἐπηγγελμένας τοῖς ἁγίοις ἐν ταῖς θείαις γραφαῖς ἐπαγγε-

---

6 Ies. 43, 19.

λίας ἀποδυθήσεσθαι διδάσκων, καί τινα χιλιάδα ἐτῶν τρυφῆς σωματικῆς ἐπὶ τῆς ξηρᾶς ταύτης ἔσεσθαι ὑποτιθέμενος. 2. δόξας γοῦν οὗτος ἐκ τῆς Ἀποκαλύψεως Ἰωάννου τὴν ἰδίαν κρατύνειν ὑπόληψιν, "ἔλεγχον ἀλληγοριστῶν" λόγον τινὰ περὶ τούτου συντάξας ἐπέγραψε. 3. πρὸς ὃν ὁ Διονύσιος ἐν τοῖς περὶ ἐπαγγελιῶν ἐνίσταται, διὰ μὲν τοῦ προτέρου τὴν αὑτοῦ γνώμην ἣν εἶχε περὶ τοῦ δόγματος παρατιθέμενος, διὰ δὲ τοῦ δευτέρου περὶ τῆς Ἀποκαλύψεως Ἰωάννου διαλαμβάνων, ἔνθα τοῦ Νέπωτος κατὰ τὴν ἀρχὴν μνημονεύσας ταῦτα περὶ αὐτοῦ γράφει 4. "ἐπεὶ "δὲ σύνταγμά τι προκομίζουσι Νέπωτος, ᾧ λίαν ἐπε-"ρείδονται ὡς ἀναντιρρήτως ἀποδεικνύντι τὴν τοῦ "Χριστοῦ βασιλείαν ἐπὶ γῆς ἔσεσθαι, ἐν ἄλλοις μὲν "πολλοῖς ἀποδέχομαι καὶ ἀγαπῶ Νέπωτα, τῆς τε πί-"στεως καὶ τῆς φιλοπονίας καὶ τῆς ἐν ταῖς γραφαῖς "διατριβῆς καὶ τῆς πολλῆς ψαλμῳδίας, ᾗ μέχρι νῦν "πολλοὶ τῶν ἀδελφῶν εὐθυμοῦνται, καὶ πάνυ δι' "αἰδοῦς ἄγω τὸν ἄνθρωπον ταύτῃ μᾶλλον, ᾗ προα-"νεπαύσατο, ἀλλὰ (φίλη γὰρ καὶ προτιμοτάτη πάν-"των ἡ ἀλήθεια) ἐπαινεῖν τε χρὴ καὶ συναινεῖν "ἀφθόνως, εἴ τι ὀρθῶς λέγοιτο, ἐξετάζειν δὲ καὶ "διευθύνειν, εἴ τι μὴ φαίνοιτο ὑγιῶς ἀναγεγραμμέ-"νον. 5. καὶ πρὸς μὲν παρόντα καὶ ψιλῷ λόγῳ "δογματίζοντα αὐτάρκης ἦν ἂν ἡ ἄγραφος ὁμιλία, δι' "ἐρωτήσεως καὶ ἀποκρίσεως πείθουσα καὶ συμβιβά-"ζουσα τοὺς ἀντιδιατιθεμένους· γραφῆς δὲ ἐκκειμέ-"νης, ὡς δοκεῖ τισι, πιθανωτάτης, καί τινων διδα-"σκάλων τὸν μὲν νόμον καὶ τοὺς προφήτας τὸ μηδὲν "ἡγουμένων, καὶ τὸ τοῖς εὐαγγελίοις ἕπεσθαι παρέν-"των, καὶ τὰς τῶν ἀποστόλων ἐπιστολὰς ἐκφαυλισάν-"των, τὴν δὲ τοῦ συγγράμματος τούτου διδασκαλίαν

"ὡς μέγα δή τι καὶ κεκρυμμένον μυστήριον κατεπαγ-"γελλομένων, καὶ τοὺς ἁπλουστέρους ἀδελφοὺς ἡμῶν "οὐδὲν ἐώντων ὑψηλὸν καὶ μεγαλεῖον φρονεῖν οὔτε "περὶ τῆς ἐνδόξου καὶ ἀληθῶς ἐνθέου τοῦ κυρίου "ἡμῶν ἐπιφανείας, οὔτε τῆς ἡμετέρας ἐκ νεκρῶν "ἀναστάσεως καὶ τῆς πρὸς αὐτὸν ἐπισυναγωγῆς καὶ "ὁμοιώσεως, ἀλλὰ μικρὰ καὶ θνητὰ καὶ οἷα τὰ νῦν ἐλπί-"ζειν ἀναπειθόντων ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ἀναγκαῖον "καὶ ἡμᾶς ὡς πρὸς παρόντα τὸν ἀδελφὸν ἡμῶν δια-"λεχθῆναι Νέπωτα." 6. τούτοις μεθ' ἕτερα ἐπιφέρει λέγων "ἐν μὲν οὖν τῷ Ἀρσινοΐτῃ γενόμενος, ἔνθα, "ὡς οἶδας, πρὸ πολλοῦ τοῦτο ἐπεπόλαζε τὸ δόγμα, "ὡς καὶ σχίσματα καὶ ἀποστασίας ὅλων ἐκκλησιῶν "γεγονέναι, συγκαλέσας τοὺς πρεσβυτέρους καὶ δι-"δασκάλους τῶν ἐν ταῖς κώμαις ἀδελφῶν, παρόντων "καὶ τῶν βουλομένων ἀδελφῶν, δημοσίᾳ τὴν ἐξέτα-"σιν ποιήσασθαι τοῦ λόγου προετρεψάμην. 7. καὶ "τοῦτό μοι προσαγόντων τὸ βιβλίον ὥς τι ὅπλον καὶ "τεῖχος ἀκαταμάχητον, συγκαθεσθεὶς αὐτοῖς τριῶν "ἑξῆς ἡμερῶν ἐξ ἕω μέχρις ἑσπέρας, διευθύνειν ἐπει-"ράθην τὰ γεγραμμένα. 8. ἔνθα καὶ τὸ εὐσταθὲς "καὶ τὸ φιλάληθες καὶ τὸ εὐπαρακολούθητον καὶ "συνετὸν ὑπερηγάσθην τῶν ἀδελφῶν, ὡς ἐν τάξει "καὶ μετ' ἐπιεικείας τὰς ἐρωτήσεις καὶ τὰς ἐπαπορή-"σεις καὶ τὰς συγκαταθέσεις ἐποιούμεθα, τὸ μὲν ἐκ "παντὸς τρόπου φιλονείκως τῶν ἅπαξ δοξάντων πε-"ριέχεσθαι, εἰ καὶ μὴ φαίνοιντο ὀρθῶς ἔχοντα, παρ-"αιτησάμενοι, μήτε δὲ τὰς ἀντιλογίας ὑποστελλόμενοι, "ἀλλ' εἰς ὅσον οἷόν τε τῶν προκειμένων ἐπιβατεύειν "καὶ κρατύνειν αὐτὰ πειρώμενοι, μήτε, εἰ λόγος αἱ-"ρεῖ, μεταπείθεσθαι καὶ συνομολογεῖν αἰδούμενοι, "ἀλλ' εὐσυνειδήτως καὶ ἀνυποκρίτως καὶ ταῖς καρ-

"δίαις πρὸς τὸν θεὸν ἡπλωμέναις τὰ ταῖς ἀποδείξεσι καὶ διδασκαλίαις τῶν ἁγίων γραφῶν συνιστανόμενα καταδεχόμενοι. 9. καὶ τέλος ὅ τε τῆς διδαχῆς ταύτης ἀρχηγὸς καὶ εἰσηγητὴς, ὁ καλούμενος Κορακίων, ἐν ἐπηκόῳ πάντων τῶν παρόντων ἀδελφῶν ὡμολόγησε καὶ διεμαρτύρατο ἡμῖν μηκέτι τούτῳ προσέξειν, μηδὲ διαλέξεσθαι περὶ τούτου, μηδὲ μεμνῆσθαι, μηδὲ διδάξειν, ὡς ἱκανῶς ὑπὸ τῶν ἀντιλεχθέντων ᾑρημένος· τῶν τε ἄλλων ἀδελφῶν οἱ παρόντες ἔχαιρον ἐπὶ τῇ κοινολογίᾳ καὶ τῇ πρὸς πάντας συγκαταβάσει καὶ συνδιαθέσει."

XXV. [Nic. H. E. VI, 22. 23.] *Εἶθ' ἑξῆς ὑποβὰς περὶ τῆς Ἀποκαλύψεως Ἰωάννου ταῦτά φησι·* "τινὲς μὲν οὖν τῶν πρὸ ἡμῶν ἠθέτησαν καὶ ἀνεσκεύασαν πάντῃ τὸ βιβλίον, καθ' ἕκαστον κεφάλαιον διευθύνοντες ἄγνωστόν τε καὶ ἀσυλλόγιστον ἀποφαίνοντες, ψεύδεσθαί τε τὴν ἐπιγραφήν. 2. Ἰωάννου γὰρ οὐκ εἶναι λέγουσιν· ἀλλ' οὐδ' ἀποκάλυψιν εἶναι, τὴν σφοδρῷ καὶ παχεῖ κεκαλυμμένην τῷ τῆς ἀγνοίας παραπετάσματι· καὶ οὐχ ὅπως τῶν ἀποστόλων τινὰ, ἀλλ' οὐδ' ὅλως τῶν ἁγίων ἢ τῶν ἀπὸ τῆς ἐκκλησίας τούτου γεγονέναι ποιητὴν τοῦ συγγράμματος, Κήρινθον δὲ τὸν καὶ τὴν ἀπ' ἐκείνου κληθεῖσαν Κηρινθιανὴν συστησάμενον αἵρεσιν, ἀξιόπιστον ἐπιφημίσαι θελήσαντα τῷ ἑαυτοῦ πλάσματι ὄνομα. 3. τοῦτο γὰρ εἶναι τῆς διδασκαλίας αὐτοῦ τὸ δόγμα, ἐπίγειον ἔσεσθαι τὴν τοῦ Χριστοῦ βασιλείαν, καὶ ὧν αὐτὸς ὠρέγετο φιλοσώματος ὢν καὶ πάνυ σαρκικὸς, ἐν τούτοις ὀνειροπολεῖν ἔσεσθαι, γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα πλησμοναῖς, τουτέστι σιτίοις καὶ ποτοῖς καὶ γάμοις, καὶ δι' ὧν εὐφημότερον ταῦτα ᾠήθη ποριεῖσθαι,

"ἑορταῖς καὶ θυσίαις καὶ ἱερείων σφαγαῖς. 4. ἐγὼ δὲ ἀθετῆσαι μὲν οὐκ ἂν τολμήσαιμι τὸ βιβλίον, πολλῶν αὐτὸ διὰ σπουδῆς ἐχόντων ἀδελφῶν, μείζονα δὲ τῆς ἐμαυτοῦ φρονήσεως τὴν ὑπόληψιν τὴν περὶ αὐτοῦ λαμβάνων, κεκρυμμένην εἶναί τινα καὶ θαυμασιωτέραν τὴν καθ' ἕκαστον ἐκδοχὴν ὑπολαμβάνω. καὶ γὰρ εἰ μὴ συνίημι, ἀλλ' ὑπονοῶ γε νοῦν τινὰ βαθύτερον ἐγκεῖσθαι τοῖς ῥήμασιν. 5. οὐκ ἰδίῳ ταῦτα μετρῶν καὶ κρίνων λογισμῷ, πίστει δὲ τὸ πλέον νέμων, ὑψηλότερα ἢ ὑπ' ἐμοῦ καταληφθῆναι νενόμικα, καὶ οὐκ ἀποδοκιμάζω ταῦτα, ἃ μὴ συνεώρακα, θαυμάζω δὲ μᾶλλον ὅτι μὴ καὶ εἶδον."

6. ἐπὶ τούτοις τὴν ὅλην τῆς Ἀποκαλύψεως βασανίσας γραφήν, ἀδύνατον δὲ αὐτὴν κατὰ τὴν πρόχειρον ἀποδείξας νοεῖσθαι διάνοιαν, ἐπιφέρει λέγων "συντελέσας δὴ πᾶσαν ὡς εἰπεῖν τὴν προφητείαν, μακαρίζει ὁ προφήτης τούς τε φυλάσσοντας αὐτὴν καὶ δὴ καὶ ἑαυτόν. μακάριος γάρ, φησίν, ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου, κἀγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα. 7. καλεῖσθαι μὲν οὖν αὐτὸν Ἰωάννην, καὶ εἶναι τὴν γραφὴν Ἰωάννου ταύτην, οὐκ ἀντερῶ. ἁγίου μὲν γὰρ εἶναί τινος καὶ θεοπνεύστου συναινῶ, οὐ μὴν ῥᾳδίως ἂν συνθείμην τοῦτον εἶναι τὸν ἀπόστολον, τὸν υἱὸν Ζεβεδαίου, τὸν ἀδελφὸν Ἰακώβου, οὗ τὸ εὐαγγέλιον τὸ κατὰ Ἰωάννην ἐπιγεγραμμένον καὶ ἡ ἐπιστολὴ ἡ καθολική. 8. τεκμαίρομαι γὰρ ἔκ τε τοῦ ἤθους ἑκατέρων καὶ τοῦ τῶν λόγων εἴδους, καὶ τῆς τοῦ βιβλίου διεξαγωγῆς λεγομένης, μὴ τὸν αὐτὸν εἶναι. ὁ μὲν γὰρ εὐαγγελιστὴς οὐδαμοῦ τὸ

18 Apoc. 22, 7. 8.

"ὄνομα αὐτοῦ παρεγγράφει, οὐδὲ κηρύσσει ἑαυτὸν, οὔτε διὰ τοῦ εὐαγγελίου οὔτε διὰ τῆς ἐπιστολῆς." 9. εἶθ' ὑποβὰς ταῦτα λέγει πάλιν "Ἰωάννης δὲ οὐδαμοῦ οὐδὲ ὡς περὶ ἑαυτοῦ οὐδὲ ὡς περὶ ἑτέρου· ὁ δὲ τὴν Ἀποκάλυψιν γράψας εὐθύς τε ἐν ἀρχῇ ἑαυτὸν προτάσσει· Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἐν τάχει, καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν αὐτοῦ, ὅσα εἶδεν. 10. εἶτα καὶ ἐπιστολὴν γράφει· 'Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ, χάρις ὑμῖν καὶ εἰρήνη.' ὁ δέ γε εὐαγγελιστὴς οὐδὲ τῆς καθολικῆς ἐπιστολῆς προέγραψεν ἑαυτοῦ τὸ ὄνομα, ἀλλὰ ἀπερίττως ἀπ' αὐτοῦ τοῦ μυστηρίου τῆς θείας ἀποκαλύψεως ἤρξατο 'ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν.' ἐπὶ ταύτῃ γὰρ τῇ ἀποκαλύψει καὶ ὁ κύριος τὸν Πέτρον ἐμακάρισεν εἰπών 'μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ οὐράνιος.' 11. ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ φερομένῃ Ἰωάννου καὶ τρίτῃ, καίτοι βραχείαις οὔσαις ἐπιστολαῖς, ὁ Ἰωάννης ὀνομαστὶ πρόκειται, ἀλλὰ ἀνωνύμως ὁ πρεσβύτερος γέγραπται. οὗτος δέ γε οὐδὲ αὔταρκες ἐνόμισεν, ἅπαξ ἑαυτὸν ὀνομάσας διηγεῖσθαι τὰ ἑξῆς, ἀλλὰ πάλιν ἀναλαμβάνει 'ἐγὼ Ἰωάννης, ὁ ἀδελφὸς ὑμῶν καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ βασιλείᾳ καὶ ἐν ὑπομονῇ Ἰησοῦ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ, διὰ τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ.' καὶ δὴ καὶ πρὸς τῷ τέλει ταῦτα εἶπε 'μακάριος ὁ

---

6 Apoc. 1, 1. 2. 11 Apoc. 1, 4. 15 1 Ioann. 1, 1. 18 Matth. 16, 17. 26 Apoc. 1, 9. 30 Apoc. 22, 7.

τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· κἀγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα.’ 12. ὅτι μὲν οὖν Ἰωάννης ἐστὶν ὁ ταῦτα γράφων αὐτῷ λέγοντι πιστευτέον· ποῖος δὲ οὗτος ἄδηλον. οὐ γὰρ εἶπεν ἑαυτὸν εἶναι, ὡς ἐν τῷ εὐαγγελίῳ πολλαχοῦ, τὸν ἠγαπημένον ὑπὸ τοῦ κυρίου μαθητὴν, οὐδὲ τὸν ἀναπεσόντα ἐπὶ τὸ στῆθος αὐτοῦ, οὐδὲ τὸν ἀδελφὸν Ἰακώβου, οὐδὲ τὸν αὐτόπτην καὶ αὐτήκοον τοῦ κυρίου γενόμενον. 13. εἶπε γὰρ ἄν τι τούτων τῶν προδεδηλωμένων, σαφῶς ἑαυτὸν ἐμφανίσαι βουλόμενος. ἀλλὰ τούτων μὲν οὐδὲν, ἀδελφὸν δὲ ἡμῶν καὶ συγκοινωνὸν εἶπε καὶ μάρτυρα Ἰησοῦ καὶ μακάριον ἐπὶ τῇ θέᾳ καὶ ἀκοῇ τῶν ἀποκαλύψεων. 14. πολλοὺς δὲ ὁμωνύμους Ἰωάννῃ τῷ ἀποστόλῳ νομίζω γεγονέναι, οἳ διὰ τὴν πρὸς ἐκεῖνον ἀγάπην, καὶ τὸ θαυμάζειν καὶ ζηλοῦν, ἀγαπηθῆναί τε ὁμοίως αὐτῷ βούλεσθαι ὑπὸ τοῦ κυρίου, καὶ τὴν ἐπωνυμίαν τὴν αὐτὴν ἠσπάσαντο, ὥσπερ καὶ ὁ Παῦλος πολὺς καὶ δὴ ὁ Πέτρος ἐν τοῖς τῶν πιστῶν παισὶν ὀνομάζεται. 15. ἔστι μὲν οὖν καὶ ἕτερος Ἰωάννης ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ὁ ἐπικληθεὶς Μάρκος, ὃν Βαρνάβας καὶ Παῦλος ἑαυτοῖς συμπαρέλαβον, περὶ οὗ καὶ πάλιν λέγει ‘εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.’ εἰ δὲ οὗτος ὁ γράψας ἐστὶν οὐκ ἂν φαίην· οὐδὲ γὰρ ἀφῖχθαι σὺν αὐτοῖς εἰς τὴν Ἀσίαν γέγραπται, ‘ἀλλὰ ἀναχθέντες μὲν, φησὶν, ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας, Ἰωάννης δὲ ἀποχωρήσας ἀπ’ αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. 16. ἄλλον δέ τινα οἶμαι τῶν ἐν Ἀσίᾳ γενομένων, ἐπεὶ καὶ δύο φασὶν ἐν Ἐφέσῳ γενέσθαι μνήματα, καὶ ἑκάτερον Ἰωάννου

23 Act. 13, 5. 26 Act. 13, 13.

"λέγεσθαι. 17. καὶ ἀπὸ τῶν νοημάτων δὲ καὶ ἀπὸ "τῶν ῥημάτων καὶ τῆς συντάξεως αὐτῶν εἰκότως "ἕτερος οὗτος παρ' ἐκεῖνον ὑπονοηθήσεται. 18. συν- "ᾴδουσι μὲν γὰρ ἀλλήλοις τὸ εὐαγγέλιον καὶ ἡ ἐπι- "στολή, ὁμοίως τε ἄρχονται. τὸ μέν φησιν· ἐν ἀρχῇ "ἦν ὁ λόγος, ἡ δέ, ὃ ἦν ἀπ' ἀρχῆς. τὸ μέν φησι· καὶ "ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ "ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς "παρὰ πατρός· ἡ δὲ τὰ αὐτὰ σμικρῷ παρηλλαγμένα· "ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ "ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ "τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη. 19. ταῦτα "γὰρ προανακρούεται διατεινόμενος, ὡς ἐν τοῖς ἑξῆς "ἐδήλωσε, πρὸς τοὺς οὐκ ἐν σαρκὶ φάσκοντας ἐληλυ- "θέναι τὸν κύριον· διὸ καὶ συνῆψεν ἐπιμελῶς· καὶ "ἑωράκαμεν καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν "ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πα- "τέρα, καὶ ἐφανερώθη ἡμῖν· ὃ ἑωράκαμεν καὶ ἀκη- "κόαμεν ἀπαγγέλλομεν καὶ ὑμῖν. 20. ἔχεται αὐτοῦ "καὶ τῶν προθέσεων οὐκ ἀφίσταται, διὰ δὲ τῶν αὐ- "τῶν κεφαλαίων καὶ ὀνομάτων πάντα διεξέρχεται, "ὧν τινα μὲν ἡμεῖς συντόμως ὑπεμνήσαμεν. 21. ὁ δὲ "προσεχῶς ἐντυγχάνων εὑρήσει ἐν ἑκατέρῳ πολλὴν "τὴν ζωήν, πολὺ τὸ φῶς, ἀποτροπὴν τοῦ σκότους, "συνεχῆ τὴν ἀλήθειαν, τὴν χάριν, τὴν χαράν, τὴν "σάρκα καὶ τὸ αἷμα τοῦ κυρίου, τὴν κρίσιν, τὴν "ἄφεσιν τῶν ἁμαρτιῶν, τὴν πρὸς ἡμᾶς ἀγάπην τοῦ "θεοῦ, τὴν πρὸς ἀλλήλους ἡμᾶς ἀγάπης ἐντολήν, ὡς "πάσας δεῖ φυλάσσειν τὰς ἐντολάς· ὁ ἔλεγχος τοῦ "κόσμου, τοῦ διαβόλου, τοῦ ἀντιχρίστου, ἡ ἐπαγγε-

---

7 Ev. Ioann. 1, 1. 14. Ep. Ioann. 1, 1. et 2.

λία τοῦ ἁγίου πνεύματος, ἡ υἱοθεσία τοῦ θεοῦ, ἡ διόλου πίστις ἡμῶν ἀπαιτουμένη, ὁ πατὴρ καὶ ὁ υἱὸς πανταχοῦ· καὶ ὅλως διὰ πάντων χαρακτηρίζοντας ἕνα καὶ τὸν αὐτὸν συνορᾶν τοῦ τε εὐαγγελίου καὶ τῆς ἐπιστολῆς χρῶτα πρόκειται. 22. ἀλλοιοτάτη δὲ καὶ ξένη παρὰ ταῦτα ἡ Ἀποκάλυψις, μήτε ἐφαπτομένη μήτε γειτνιῶσα τούτων μηδενί, σχεδὸν ὡς εἰπεῖν μηδὲ συλλαβὴν πρὸς αὐτὰ κοινὴν ἔχουσα. 23. ἀλλ᾽ οὐδὲ μνήμην τινὰ οὐδὲ ἔννοιαν οὔτε ἡ ἐπιστολὴ τῆς Ἀποκαλύψεως ἔχει (ἐῶ γὰρ τὸ εὐαγγέλιον), οὔτε τῆς ἐπιστολῆς ἡ Ἀποκάλυψις, Παύλου διὰ τῶν ἐπιστολῶν ὑποφήναντός τι καὶ περὶ τῶν ἀποκαλύψεων αὐτοῦ, ἃς οὐκ ἐνέγραψε καθ᾽ αὑτάς. 24. ἔτι δὲ καὶ τῆς φράσεως τὴν διαφορὰν ἔστι τεκμήρασθαι τοῦ εὐαγγελίου καὶ τῆς ἐπιστολῆς πρὸς τὴν Ἀποκάλυψιν. 25. τὰ μὲν γὰρ οὐ μόνον ἀπταίστως κατὰ τὴν τῶν Ἑλλήνων φωνήν, ἀλλὰ καὶ λογιώτατα ταῖς λέξεσι, τοῖς συλλογισμοῖς, ταῖς συντάξεσι τῆς ἑρμηνείας γέγραπται. πολλοῦ γε δεῖ βάρβαρόν τινα φθόγγον ἢ σολοικισμὸν ἢ ὅλως ἰδιωτισμὸν ἐν αὐτοῖς εὑρεθῆναι. ἑκάτερον γὰρ εἶχεν, ὡς ἔοικε, τὸν λόγον, ἀμφοτέρους αὐτῷ χαρισαμένου τοῦ κυρίου, τόν τε τῆς γνώσεως, τόν τε τῆς φράσεως. 26. τούτον δὲ ἀποκάλυψιν μὲν ἑωρακέναι, καὶ γνῶσιν εἰληφέναι καὶ προφητείαν, οὐκ ἀντερῶ, διάλεκτον μέντοι καὶ γλῶτταν οὐκ ἀκριβῶς ἑλληνίζουσαν αὐτοῦ βλέπω, ἀλλ᾽ ἰδιώμασί τε βαρβαρικοῖς χρώμενον, καί που καὶ σολοικίζοντα. 27. ἅπερ οὐκ ἀναγκαῖον νῦν ἐκλέγειν· οὐδὲ γὰρ ἐπισκώπτων, μή τις νομίσῃ, ταῦτα εἶπον, ἀλλὰ μόνον τὴν ἀνομοιότητα διευθύνων τῶν γραφῶν."

XXVI. [Nic. H. E. VI, 24.] Ἐπὶ ταύταις τοῦ Διονυσίου φέρονται καὶ ἄλλαι πλείους ἐπιστολαί, ὥσπερ αἱ κατὰ Σαβελλίου πρὸς Ἄμμωνα τῆς κατὰ Βερνίκην ἐκκλησίας ἐπίσκοπον, καὶ ἡ πρὸς Τελεσφόρον, καὶ ἡ πρὸς Εὐφράνορα, καὶ πάλιν Ἄμμωνα καὶ Εὔπορον. συντάττει δὲ περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ ἄλλα τέσσαρα συγγράμματα, ἃ τῷ κατὰ Ῥώμην ὁμωνύμῳ Διονυσίῳ προσφωνεῖ. 2. καὶ πλείους δὲ παρὰ ταύτας εἰσὶν αὐτοῦ παρ' ἡμῖν ἐπιστολαί, καὶ δὴ καὶ πολυεπεῖς λόγοι ἐν ἐπιστολῆς χαρακτῆρι γραφέντες, ὡς οἱ περὶ φύσεως, Τιμοθέῳ τῷ παιδὶ προσπεφωνημένοι, καὶ ὁ περὶ πειρασμῶν, ὃν καὶ αὐτὸν Εὐφράνορι ἀνατέθεικεν. 3. ἐπὶ τούτοις καὶ Βασιλείδῃ τῶν κατὰ τὴν Πεντάπολιν παροικιῶν ἐπισκόπῳ γράφων φησὶν ἑαυτὸν εἰς τὴν ἀρχὴν ἐξήγησιν πεποιῆσθαι τοῦ Ἐκκλησιαστοῦ. διαφόρους δ' ἡμῖν καὶ τὰς πρὸς τοῦτον καταλέλοιπεν ἐπιστολάς. τοσαῦτα ὁ Διονύσιος. ἀλλὰ γὰρ ἤδη μετὰ τὴν τούτων ἱστορίαν φέρε καὶ τὴν καθ' ἡμᾶς τοῖς μετέπειτα γνωρίζειν γενεάν, ὁποία τις ἦν, παραδῶμεν.

XXVII. [Nic. H. E. VI, 27.] Ξύστον τῆς Ῥωμαίων ἐκκλησίας ἔτεσιν ἕνδεκα προστάντα διαδέχεται τῷ κατ' Ἀλεξάνδρειαν ὁμώνυμος Διονύσιος. ἐν τούτῳ δὲ καὶ Δημητριανοῦ κατ' Ἀντιόχειαν τὸν βίον μεταλλάξαντος τὴν ἐπισκοπὴν Παῦλος ὁ ἐκ Σαμοσάτων παραλαμβάνει. 2. τούτου δὲ ταπεινὰ καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν φρονήσαντος, ὡς κοινοῦ τὴν φύσιν ἀνθρώπου γενομένου, ὁ μὲν κατ' Ἀλεξάνδρειαν Διονύσιος, παρακληθεὶς ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀφίκοιτο, γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος, ἀνατίθεται τὴν παρουσίαν, δι' ἐπιστολῆς τὴν αὐτοῦ

γνώμην, ἣν ἔχοι περὶ τοῦ ζητουμένου, παραστήσας, οἱ δὲ λοιποὶ τῶν ἐκκλησιῶν ποιμένες ἄλλος ἄλλοθεν ὡς ἐπὶ λυμεῶνα τῆς Χριστοῦ ποίμνης συνῄεσαν, οἱ πάντες ἐπὶ τὴν Ἀντιόχειαν σπεύδοντες.

XXVIII. Τούτων οἳ μάλιστα διέπρεπον, Φιρμιλλιανὸς μὲν τῆς Καππαδοκῶν Καισαρείας ἐπίσκοπος ἦν, Γρηγόριος δὲ καὶ Ἀθηνόδωρος ἀδελφοί, τῶν κατὰ Πόντον παροικιῶν ποιμένες, καὶ ἐπὶ τούτοις Ἕλενος τῆς ἐν Ταρσῷ παροικίας, καὶ Νικομᾶς τῆς ἐν Ἰκονίῳ· οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας Ὑμέναιος, τῆς τε ὁμόρου ταύτης Καισαρείας Θεότεκνος, Μάξιμος ἔτι πρὸς τούτοις· τῶν κατὰ Βόστραν δὲ καὶ οὗτος ἀδελφῶν διαπρεπῶς ἡγεῖτο· μυρίους τε ἄλλους οὐκ ἂν ἀπορήσαι τις ἅμα πρεσβυτέροις καὶ διακόνοις τῆς αὐτῆς ἕνεκεν αἰτίας ἐν τῇ προειρημένῃ πόλει τηνικάδε συγκροτηθέντας ἀπαριθμούμενος, ἀλλὰ τούτων γε οἱ μάλιστα ἐπιφανεῖς οἵδε ἦσαν. 2. πάντων οὖν κατὰ καιροὺς διαφόρως καὶ πολλάκις ἐπὶ ταὐτὸ συνιόντων, λόγοι καὶ ζητήσεις καθ' ἑκάστην ἀνεκινοῦντο σύνοδον, τῶν μὲν ἀμφὶ τὸν Σαμοσατέα τὰ τῆς ἑτεροδοξίας ἐπικρύπτειν ἔτι καὶ παρακαλύπτεσθαι πειρωμένων, τῶν δὲ ἀπογυμνοῦν καὶ εἰς φανερὸν ἄγειν τὴν αἵρεσιν καὶ τὴν εἰς Χριστὸν βλασφημίαν αὐτοῦ διὰ σπουδῆς ποιουμένων. 3. ἐν τούτῳ δὲ Διονύσιος τελευτᾷ, κατὰ τὸ δωδέκατον ἔτος τῆς Γαλλιηνοῦ βασιλείας, προστὰς τῆς κατ' Ἀλεξάνδρειαν ἐπισκοπῆς ἔτεσιν ἑπτακαίδεκα· διαδέχεται δὲ αὐτὸν Μάξιμος. 4. Γαλλιηνοῦ δὲ ἐφ' ὅλοις ἐνιαυτοῖς πεντεκαίδεκα τὴν ἀρχὴν κεκρατηκότος Κλαύδιος κατέστη διάδοχος. δεύτερον δὲ οὗτος διελθὼν ἔτος Αὐρηλιανῷ μεταδίδωσι τὴν ἡγεμονίαν,

XXIX. καθ' ὃν τελευταίας συγκροτηθείσης πλεί-

στων ὅσων ἐπισκόπων συνόδου φωραθεὶς καὶ πρὸς ἁπάντων ἤδη σαφῶς καταγνωσθεὶς ἑτεροδοξίαν ὁ τῆς κατὰ Ἀντιόχειαν αἱρέσεως ἀρχηγὸς τῆς ὑπὸ τὸν οὐρανὸν καθολικῆς ἐκκλησίας ἀποκηρύττεται. 2. μάλιστα δ' αὐτὸν εὐθύνας ἐπικρυπτόμενον διήλεγξε Μαλχίων, ἀνὴρ τά τε ἄλλα λόγιος καὶ σοφὸς, τῆς τῶν ἐπ' Ἀντιοχείας Ἑλληνικῶν παιδευτηρίων διατριβῆς προεστὼς, οὐ μὴν ἀλλὰ καὶ δι' ὑπερβάλλουσαν τῆς εἰς Χριστὸν πίστεως γνησιότητα πρεσβυτερίου τῆς αὐτόθι παροικίας ἠξιωμένος· οὗτός γέ τοι ἐπισημειουμένων ταχυγράφων ζήτησιν πρὸς αὐτὸν ἐνστησάμενος, ἣν καὶ εἰς δεῦρο φερομένην ἴσμεν, μόνος ἴσχυσε τῶν ἄλλων κρυψίνουν ὄντα καὶ ἀπατηλὸν φωρᾶσαι τὸν ἄνθρωπον.

XXX. [Nic. H. E. VI, 29. 30.] Μίαν δὴ οὖν ἐκ κοινῆς γνώμης οἱ ἐπὶ ταὐτὸ συγκεκροτημένοι ποιμένες διαχαράξαντες ἐπιστολὴν εἰς πρόσωπον τοῦ τε Ῥωμαίων ἐπισκόπου Διονυσίου καὶ Μαξίμου τοῦ κατ' Ἀλεξάνδρειαν ἐπὶ πάσας διαπέμπονται τὰς ἐπαρχίας, τὴν αὐτῶν τε σπουδὴν τοῖς πᾶσι φανερὰν καθιστάντες, καὶ τοῦ Παύλου τὴν διάστροφον ἑτεροδοξίαν, ἐλέγχους τε καὶ ἐρωτήσεις ἃς πρὸς αὐτὸν ἀνακεκινήκασι, καὶ ἔτι τὸν πάντα βίον τε καὶ τρόπον τοῦ ἀνδρὸς διηγούμενοι· ἐξ ὧν μνήμης ἕνεκεν καλῶς ἂν ἔχοι ταύτας αὐτῶν ἐπὶ τοῦ παρόντος διελθεῖν τὰς φωνάς 2. "Διονυσίῳ καὶ Μαξίμῳ καὶ τοῖς κατὰ τὴν "οἰκουμένην πᾶσι συλλειτουργοῖς ἡμῶν ἐπισκόποις "καὶ πρεσβυτέροις καὶ διακόνοις, καὶ πάσῃ τῇ ὑπὸ "τὸν οὐρανὸν καθολικῇ ἐκκλησίᾳ, Ἕλενος καὶ Ὑμέ"ναιος καὶ Θεόφιλος καὶ Θεότεκνος καὶ Μάξιμος, "Πρόκλος, Νικομᾶς καὶ Αἰλιανὸς καὶ Παῦλος καὶ "Βωλανὸς καὶ Πρωτογένης καὶ Ἱέραξ καὶ Εὐτύχιος

"καὶ Θεόδωρος καὶ Μαλχίων καὶ Λούκιος, καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἡμῖν παροικοῦντες τὰς ἐγγὺς πόλεις καὶ ἔθνη ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ αἱ ἐκκλησίαι τοῦ θεοῦ ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν." 3. τούτοις μετὰ βραχέα ἐπιλέγουσι ταῦτα "ἐπεστέλλομεν δὲ ἅμα καὶ παρεκαλοῦμεν πολλοὺς καὶ τῶν μακρὰν ἐπισκόπων ἐπὶ τὴν θεραπείαν τῆς θανατηφόρου διδασκαλίας, ὥσπερ καὶ Διονύσιον τὸν ἐπὶ τῆς Ἀλεξανδρείας, καὶ Φιρμιλλιανὸν τὸν ἀπὸ τῆς Καππαδοκίας, τοὺς μακαρίτας, ὧν ὁ μὲν καὶ ἐπέστειλεν εἰς τὴν Ἀντιόχειαν, τὸν ἡγεμόνα τῆς πλάνης οὐδὲ προσρήσεως ἀξιώσας, οὐδὲ πρὸς πρόσωπον γράψας αὐτῷ, ἀλλὰ τῇ παροικίᾳ πάσῃ, ἧς καὶ τὸ ἀντίγραφον ὑπετάξαμεν· 4. ὁ δὲ Φιρμιλλιανὸς καὶ δὶς ἀφικόμενος κατέγνω μὲν τῶν ὑπ' ἐκείνου καινοτομουμένων, ὡς ἴσμεν καὶ μαρτυροῦμεν οἱ παραγενόμενοι, καὶ ἄλλοι πολλοὶ συνίσασιν, ἐπαγγειλαμένου δὲ μεταθήσεσθαι, πιστεύσας καὶ ἐλπίσας ἄνευ τινὸς περὶ τὸν λογον λοιδορίας τὸ πρᾶγμα εἰς δέον καταστήσεσθαι, ἀνεβάλετο, παρακρουσθεὶς ὑπ' αὐτοῦ τοῦ καὶ τὸν θεὸν τὸν ἑαυτοῦ ἀρνουμένου, καὶ τὴν πίστιν, ἣν καὶ αὐτὸς πρότερον εἶχε, μὴ φυλάξαντος. 5. ἔμελλε δὲ καὶ νῦν ὁ Φιρμιλλιανὸς εἰς Ἀντιόχειαν διαβήσεσθαι, καὶ μέχρι γε Ταρσῶν ἧκεν, ἅτε τῆς ἀρνησιθέου κακίας αὐτοῦ πεῖραν εἰληφώς· ἀλλὰ γὰρ μεταξὺ συνεληλυθότων ἡμῶν καὶ καλούντων καὶ ἀναμενόντων, ἄχρις ἂν ἔλθῃ, τέλος ἔσχε τοῦ βίου." 6. μεθ' ἕτερα δ' αὖθις τὸν βίον τοῦ αὐτοῦ, οἵας ἐτύγχανεν ἀγωγῆς, διαγράφουσιν ἐν τούτοις "ὅπου γε ἀποστὰς τοῦ κανόνος ἐπὶ κίβδηλα καὶ νόθα διδάγματα μετελήλυθεν, οὐδὲν δεῖ τοῦ ἔξω ὄντος τὰς πράξεις

"κρίνειν· 7. οὐδ' ὅτι πρότερον πένης ὢν καὶ πτωχὸς, καὶ μήτε παρὰ πατέρων παραλαβὼν μηδεμίαν εὐπορίαν, μήτε ἐκ τέχνης ἤ τινος ἐπιτηδεύματος κτησάμενος, νῦν εἰς ὑπερβάλλοντα πλοῦτον ἐλήλακεν, ἐξ ἀνομιῶν καὶ ἱεροσυλιῶν καὶ ὧν αἰτεῖ καὶ σείει τοὺς ἀδελφοὺς, καταβραβεύων τοὺς ἀδικουμένους, καὶ ὑπισχνούμενος βοηθήσειν μισθοῦ, ψευδόμενος δὲ καὶ τούτους, καὶ μάτην καρπούμενος τὴν τῶν ἐν πράγμασιν ὄντων ἑτοιμότητα πρὸς τὸ διδόναι ὑπὲρ ἀπαλλαγῆς τῶν ἐνοχλούντων, πορισμὸν ἡγούμενος τὴν θεοσέβειαν· 8. οὔτε ὡς ὑψηλοφρονεῖ καὶ ὑπερῆρται κοσμικὰ ἀξιώματα ὑποδυόμενος, καὶ δουκηνάριος μᾶλλον ἢ ἐπίσκοπος θέλων καλεῖσθαι, καὶ σοβῶν κατὰ τὰς ἀγορὰς, καὶ ἐπιστολὰς ἀναγινώσκων καὶ ὑπαγορεύων, ἅμα βαδίζων δημοσίᾳ καὶ δορυφορούμενος, τῶν μὲν προπορευομένων, τῶν δὲ ἐφεπομένων πολλῶν τὸν ἀριθμὸν, ὡς καὶ τὴν πίστιν φθονεῖσθαι καὶ μισεῖσθαι διὰ τὸν ὄγκον αὐτοῦ καὶ τὴν ὑπερηφανίαν τῆς καρδίας· 9. οὔτε τὴν ἐν ταῖς ἐκκλησιαστικαῖς συνόδοις τερατείαν, ἣν μηχανᾶται δοξοκοπῶν καὶ φαντασιοκοπῶν, καὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις ἐκπλήττων, βῆμα μὲν καὶ θρόνον ὑψηλὸν ἑαυτῷ κατασκευασάμενος, οὐχ ὡς Χριστοῦ μαθητὴς, σήκρητον δὲ, ὥσπερ οἱ τοῦ κόσμου ἄρχοντες, ἔχων τε καὶ ὀνομάζων, παίων τε τῇ χειρὶ τὸν μηρὸν, καὶ τὸ βῆμα ἀράττων τοῖς ποσὶ, καὶ τοῖς μὴ ἐπαινοῦσι μηδὲ ὥσπερ ἐν τοῖς θεάτροις κατασείουσι ταῖς ὀθόναις μηδ' ἐκβοῶσί τε καὶ ἀναπηδῶσι κατὰ τὰ αὐτὰ τοῖς ἀμφ' αὐτὸν στασιώταις ἀνδράσι τε καὶ γυναίοις, ἀκόσμως οὕτως ἀκροωμένοις, τοῖς δ' οὖν ὡς ἐν οἴκῳ θεοῦ σεμνοπρεπῶς καὶ εὐτάκτως ἀκούουσιν

ἐπιτιμῶν καὶ ἐνυβρίζων, καὶ εἰς τοὺς ἀπελθόντας ἐκ τοῦ βίου τούτου παροινῶν ἐξηγητὰς τοῦ λόγου φορτικῶς ἐν τῷ κοινῷ, καὶ μεγαλορρημονῶν περὶ ἑαυτοῦ, καθάπερ οὐκ ἐπίσκοπος, ἀλλὰ σοφιστὴς καὶ γόης· 10. ψαλμοὺς δὲ τοὺς μὲν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παύσας, ὡς δὴ νεωτέρους καὶ νεωτέρων ἀνδρῶν συγγράμματα, εἰς ἑαυτὸν δὲ ἐν μέσῃ τῇ ἐκκλησίᾳ τῇ μεγάλῃ τοῦ πάσχα ἡμέρᾳ ψαλμῳδεῖν γυναῖκας παρασκευάζων, ὧν καὶ ἀκούσας ἄν τις φρίξειεν, οἷα καὶ τοὺς θωπεύοντας αὐτὸν ἐπισκόπους τῶν ὁμόρων ἀγρῶν τε καὶ πόλεων καὶ πρεσβυτέρους ἐν ταῖς πρὸς τὸν λαὸν ὁμιλίαις καθίησι διαλέγεσθαι. 11. τὸν μὲν γὰρ υἱὸν τοῦ θεοῦ οὐ βούλεται συνομολογεῖν ἐξ οὐρανοῦ κατεληλυθέναι, (ἵνα τι προλαβόντες τῶν μελλόντων γραφήσεσθαι θῶμεν· καὶ τοῦτο οὐ λόγῳ ψιλῷ ῥηθήσεται, ἀλλ᾽ ἐξ ὧν ἐπέμψαμεν ὑπομνημάτων δείκνυται πολλαχόθεν, οὐχ ἥκιστα δὲ ὅπου λέγει Ἰησοῦν Χριστὸν κάτωθεν), οἱ δὲ εἰς αὐτὸν ψάλλοντες καὶ ἐγκωμιάζοντες ἐν τῷ λαῷ ἄγγελον τὸν ἀσεβῆ διδάσκαλον ἑαυτῶν ἐξ οὐρανοῦ κατεληλυθέναι λέγουσι, καὶ ταῦτα οὐ κωλύει, ἀλλὰ καὶ λεγομένοις πάρεστιν ὁ ὑπερήφανος. 12. τὰς δὲ συνεισάκτους αὐτοῦ γυναῖκας, ὡς Ἀντιοχεῖς ὀνομάζουσι, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει, συνειδὼς καὶ ἐλέγξας, ὅπως αὐτοὺς ὑπόχρεως ἔχῃ, περὶ ὧν λόγοις καὶ ἔργοις ἀδικεῖ, μὴ τολμῶντας κατηγορεῖν τῷ καθ᾽ ἑαυτοὺς φόβῳ — ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν, ἐφ᾽ ᾧ πρὸς τῶν τὰ τοιαῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται — τί ἂν ταῦτα γράφοιμεν; 13. ἐπιστάμεθα δὲ, ἀγαπητοὶ, ὅτι τὸν ἐπί-

"σκοπον καὶ τὸ ἱερατεῖον ἅπαν παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων καλῶν ἔργον, καὶ οὐδὲ ἐκεῖνο ἀγνοοῦμεν, ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δ' ὑπωπτεύθησαν· ὥστ' εἰ καὶ δοίη τις αὐτῷ τὸ μηδὲν ἀσελγὲς ποιεῖν, ἀλλὰ τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ τοιούτου πράγματος φυομένην ἐχρῆν εὐλαβηθῆναι, μή τινα σκανδαλίσῃ, τοὺς δὲ καὶ μιμεῖσθαι προτρέψηται. 14. πῶς γὰρ ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον μὴ συγκαταβαίνειν ἐπὶ πλέον εἰς ταυτὸν γυναικί, μὴ ὀλίσθῃ φυλαττόμενον, ὡς γέγραπται, ὅστις μίαν μὲν ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ' ἑαυτοῦ, κἂν ἀπίῃ που, συμπεριφέρει, καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιμπλάμενος; 15. ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται πάντες καθ' ἑαυτούς, οὕτω δὲ τὴν τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται ὥστε κατηγορεῖν μὴ τολμᾶν. 16. ἀλλὰ ταῦτα μέν, ὡς προειρήκαμεν, ηὔθυνεν ἄν τις τὸν ἄνδρα, τὸ γοῦν φρόνημα καθολικὸν ἔχοντα καὶ συγκαταριθμούμενον ἡμῖν, τὸν δὲ ἐξορχησάμενον τὸ μυστήριον καὶ ἐμπομπεύοντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾶ (τί γὰρ οὐ χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι;) οὐδὲν δεῖν ἡγούμεθα τούτων τοὺς λογισμοὺς ἀπαιτεῖν.“ 17. εἶτ' ἐπὶ τέλει τῆς ἐπιστολῆς ταῦτ' ἐπιλέγουσιν· ἠναγκάσθημεν οὖν, ἀντιτασσόμενον αὐτὸν τῷ θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον ἀντ' αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι ἐπίσκοπον, θεοῦ προνοίᾳ, ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον, ἅπασι τοῖς πρέπουσιν ἐπισκόπῳ καλοῖς κεκοσμημένον· ἐδηλώσαμέν τε ὑμῖν

"ὅπως τούτῳ γράφητε, καὶ τὰ παρὰ τούτου κοινω-"νικὰ δέχησθε γράμματα. τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπι-"στελλέτω, καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ "κοινωνείτωσαν." 18. τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῇ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς ἐπισκοπῆς ἐκπεπτωκότος Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο. 19. ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θέλοντος, βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφε, τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς ἂν οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν ἐπίσκοποι τοῦ δόγματος ἐπιστείλαιεν. οὕτω δῆτα ὁ προδηλωθεὶς ἀνὴρ μετὰ τῆς ἐσχάτης αἰσχύνης ὑπὸ τῆς κοσμικῆς ἀρχῆς ἐξελαύνεται τῆς ἐκκλησίας. 20. τοιοῦτος μέν γέ τις ἦν τὸ τηνικάδε περὶ ἡμᾶς ὁ Αὐρηλιανὸς, προϊούσης δ' αὐτῷ τῆς ἀρχῆς ἀλλοῖόν τι περὶ ἡμῶν φρονήσας ἤδη τισὶ βουλαῖς, ὡς ἂν διωγμὸν καθ' ἡμῶν ἐγείρειεν, ἀνεκινεῖτο, πολύς τε ἦν ὁ παρὰ πᾶσι περὶ τούτου λόγος. 21. μέλλοντα δὲ ἤδη καὶ σχεδὸν εἰπεῖν τοῖς καθ' ἡμῶν γράμμασιν ὑποσημειούμενον θεία μέτεισιν δίκη, μονονουχὶ ἐξ ἀγκώνων τῆς ἐγχειρήσεως αὐτὸν ἀποδεσμοῦσα, λαμπρῶς τε τοῖς πᾶσι συνορᾶν παριστῶσα, ὡς οὔποτε γένοιτ' ἂν ῥᾳστώνη τοῖς τοῦ βίου ἄρχουσι κατὰ τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν, μὴ οὐχὶ τῆς ὑπερμάχου χειρὸς θείᾳ καὶ οὐρανίῳ κρίσει, παιδείας ἕνεκα καὶ ἐπιστροφῆς, καθ' οὓς ἂν αὐτὴ δοκιμάζοι καιροὺς, τοῦτ' ἐπιτελεῖσθαι συγχωρούσης. 22. ἔτεσι γοῦν ἓξ κρατήσαντα τὸν Αὐρηλιανὸν διαδέχεται Πρόβος, καὶ τοῦτον δέ που τοῖς ἴσοις ἐπικατασχόντα Κᾶρος ἅμα παισὶ Καρίνῳ καὶ Νουμεριανῷ· πάλιν τ' αὖ καὶ τούτων οὐδ' ὅλοις τρισὶν

ἐνιαυτοῖς διαγενομένων μέτεισι τὰ τῆς ἡγεμονίας εἰς Διοκλητιανὸν καὶ τοὺς μετ' αὐτὸν εἰσποιηθέντας, ἐφ' ὧν ὁ καθ' ἡμᾶς συντελεῖται διωγμὸς καὶ ἡ κατ' αὐτὸν τῶν ἐκκλησιῶν καθαίρεσις. 23. ἀλλὰ γὰρ μικρῷ τούτου πρότερον τὸν ἐπὶ Ῥώμης ἐπίσκοπον Διονύσιον ἔτεσιν ἐννέα διελθόντα τὴν λειτουργίαν διαδέχεται Φῆλιξ.

XXXI. [Nic. H. E. VI, 31. 32.] Ἐν τούτῳ καὶ ὁ Μανεὶς τὰς φρένας, ἐπώνυμός τε τῆς δαιμονώσης αἱρέσεως, τὴν τοῦ λογισμοῦ παρατροπὴν καθωπλίζετο, τοῦ δαίμονος, αὐτοῦ δήπου τοῦ θεομάχου σατανᾶ, ἐπὶ λύμῃ πολλῶν τὸν ἄνδρα προβεβλημένου. βάρβαρος δῆτα τὸν βίον αὐτῷ λόγῳ καὶ τρόπῳ, τήν τε φύσιν δαιμονικός τις ὢν καὶ μανιώδης, ἀκόλουθα τούτοις ἐγχειρῶν, Χριστὸν αὐτὸν μορφάζεσθαι ἐπειρᾶτο, τοτὲ μὲν τὸν παράκλητον καὶ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον αὐτὸς ἑαυτὸν ἀνακηρύττων, καὶ τυφούμενός γε ἐπὶ τῇ μανίᾳ, τοτὲ δέ, οἷα Χριστὸς, μαθητὰς δώδεκα κοινωνοὺς τῆς καινοτομίας αἱρούμενος. 2. δόγματά γε μὴν ψευδῆ καὶ ἄθεα ἐκ μυρίων τῶν πρόπαλαι ἀπεσβηκότων ἀθέων συμπεφορημένα καττύσας, ἐκ τῆς Περσῶν ἐπὶ τὴν καθ' ἡμᾶς οἰκουμένην ὥσπερ τινὰ θανατηφόρον ἰὸν ἐξωμόρξατο, ἀφ' οὗ δὴ τὸ Μανιχαίων δυσσεβὲς ὄνομα τοῖς πολλοῖς εἰσέτι νῦν ἐπιπολάζει. τοιαύτη μὲν οὖν ἡ καὶ τῆσδε τῆς ψευδωνύμου γνώσεως ὑπόθεσις, κατὰ τοὺς δεδηλωμένους ὑποφυείσης χρόνους,

XXXII. [Nic. H. E. VI, 34—37.] καθ' οὓς Φήλικα τῆς Ῥωμαίων προστάντα ἐκκλησίας ἔτεσι πέντε Εὐτυχιανὸς διαδέχεται· οὐδ' ὅλοις δὲ μησὶν οὗτος δέκα διαγενόμενος Γαΐῳ τῷ καθ' ἡμᾶς καταλείπει τὸν κλῆρον. καὶ τούτου δὲ ἀμφὶ τὰ πεντεκαίδεκα

ἔτη προστάντος Μαρκελλῖνος κατέστη διάδοχος, ὃν καὶ αὐτὸν ὁ διωγμὸς κατείληφε. 2. κατὰ τούσδε τῆς Ἀντιοχέων ἐπισκοπῆς μετὰ Δόμνον ἡγήσατο Τίμαιος, ὃν ὁ καθ' ἡμᾶς διεδέξατο Κύριλλος, καθ' ὃν Δωρόθεον πρεσβείου τοῦ κατὰ Ἀντιόχειαν ἠξιωμένον τῶν τηνικάδε λόγιον ἄνδρα ἔγνωμεν. φιλόκαλος δ' οὗτος περὶ τὰ θεῖα γεγονὼς καὶ τῆς Ἑβραίων ἐπεμελήθη γλώττης, ὡς καὶ αὐταῖς ταῖς Ἑβραϊκαῖς γραφαῖς ἐπιστημόνως ἐντυγχάνειν. 3. ἦν δ' οὗτος τῶν μάλιστα ἐλευθερίων, προπαιδείας τε τῆς καθ' Ἕλληνας οὐκ ἄμοιρος, τὴν φύσιν δὲ ἄλλως εὐνοῦχος, οὕτω πεφυκὼς ἐξ αὐτῆς γενέσεως ὡς καὶ βασιλέα διὰ τοῦτο οἷόν τι παράδοξον αὐτὸν οἰκειώσασθαι, καὶ τιμῆσαί γε ἐπιτροπῇ τῆς κατὰ Τύρον ἁλουργοῦ βαφῆς. 4. τούτου μετρίως τὰς γραφὰς ἐπὶ τῆς ἐκκλησίας διηγουμένου κατηκούσαμεν. μετὰ δὲ Κύριλλον Τύραννος τῆς Ἀντιοχέων παροικίας τὴν ἐπισκοπὴν διεδέξατο, καθ' ὃν ἤκμασεν ἡ τῶν ἐκκλησιῶν πολιορκία. 5. τῆς δ' ἐν Λαοδικείᾳ παροικίας ἡγήσατο μετὰ Σωκράτην Εὐσέβιος, ἀπὸ τῆς Ἀλεξανδρέων ὁρμηθεὶς πόλεως. αἰτία δ' αὐτῷ τῆς μεταναστάσεως ὑπῆρξεν ἡ κατὰ τὸν Παῦλον ὑπόθεσις, δι' ὃν τῆς Συρίας ἐπιβὰς πρὸς τῶν τῇδε περὶ τὰ θεῖα ἐσπουδακότων τῆς οἴκαδε πορείας εἴργεται, ἐπέραστόν τι θεοσεβείας χρῆμα τῶν καθ' ἡμᾶς γενόμενος, ὡς καὶ ἀπὸ τῶν παρατεθεισῶν Διονυσίου φωνῶν διαγνῶναι ῥᾴδιον. 6. Ἀνατόλιος αὐτῷ διάδοχος, ἀγαθός φασιν ἀγαθοῦ, καθίσταται, γένος μὲν καὶ αὐτὸς Ἀλεξανδρεύς, λόγων δ' ἕνεκα καὶ παιδείας τῆς Ἑλλήνων φιλοσοφίας τε τὰ πρῶτα τῶν μάλιστα καθ' ἡμᾶς δοκιμωτάτων ἀπενηνεγμένος, ἅτε ἀριθμητικῆς καὶ γεωμετρίας ἀστρονομίας

τε καὶ τῆς ἄλλης διαλεκτικῆς, ἔτι τε φυσικῆς θεωρίας, ῥητορικῶν τε αὖ μαθημάτων ἐληλακὼς εἰς ἄκρον· ὧν ἕνεκα καὶ τῆς ἐπ' Ἀλεξανδρείας Ἀριστοτέλους διαδοχῆς τὴν διατριβὴν λόγος ἔχει πρὸς τῶν τῇδε πολιτῶν συστήσασθαι αὐτὸν ἀξιωθῆναι. 7. μυρίας μὲν οὖν τοῦδε καὶ ἄλλας ἀριστείας ἐν τῇ κατ' Ἀλεξάνδρειαν τοῦ Προυχείου πολιορκίᾳ μνημονεύουσιν, ἅτε τῶν ἐν τέλει προνομίας ἐξαιρέτου πρὸς ἁπάντων ἠξιωμένου, δείγματος δὲ ἕνεκα μόνου τοῦδε ἐπιμνησθήσομαι. 8. τοῦ πυροῦ, φασί, τοῖς πολιορκουμένοις ἐπιλελοιπότος, ὡς ἤδη τῶν ἔξωθεν πολεμίων μᾶλλον αὐτοῖς τὸν λιμὸν ἀφόρητον καθεστάναι, παρὼν ὁ δηλούμενος οἰκονομεῖταί τι τοιοῦτον. θατέρου μέρους τῆς πόλεως τῷ Ῥωμαϊκῷ συμμαχοῦντος στρατῷ, ταύτῃ τε τυγχάνοντος ἀπολιορκήτου, τὸν Εὐσέβιον (ἔτι γὰρ εἶναι τότε αὐτόθι πρὸ τῆς ἐπὶ Συρίαν μεταναστάσεως) ἐν τοῖς ἀπολιορκήτοις ὄντα, μέγα τε κλέος καὶ διαβόητον ὄνομα μέχρι καὶ τοῦ Ῥωμαίων στρατηλάτου κεκτημένον, περὶ τῶν λιμῷ διαφθειρομένων κατὰ τὴν πολιορκίαν πέμψας ὁ Ἀνατόλιος ἐκδιδάσκει. 9. ὁ δὲ μαθὼν σωτηρίαν τοῖς ἀπὸ τῶν πολεμίων αὐτομόλοις παρασχεῖν ὡς ἐν μεγίστῃ χάριτι δωρεᾶς τὸν Ῥωμαίων στρατηγὸν αἰτεῖται, καὶ τῆς ἀξιώσεώς γε τυχὼν ἐμφανὲς τῷ Ἀνατολίῳ καθίστησιν. ὁ δὲ αὐτίκα τὴν ἐπαγγελίαν δεξάμενος, βουλὴν τῶν Ἀλεξανδρέων συναγαγών, τὰ μὲν πρῶτα πάντας ἠξίου φιλικὴν δοῦναι Ῥωμαίοις δεξιάν, ὡς δ' ἀγριαίνοντας ἐπὶ τῷ λόγῳ συνεῖδεν, ἀλλ' οὐ τούτῳ γε, φησίν, ἀντιλέξειν ποθ' ὑμᾶς οἴομαι, εἰ τοὺς περιττοὺς καὶ ἡμῖν αὐτοῖς οὐδαμῇ χρησίμους, γραΐδας καὶ νήπια καὶ πρεσβύτας, ἐκδοῦναι πυλῶν ἔξω βαδίζειν ὅποι καὶ

βούλοιντο συμβουλεύσαιμι. τί γὰρ δὴ τούτους εἰς μάτην ὅσον οὔπω τεθνηξομένους παρ' ἑαυτοῖς ἔχοιμεν; τί δὲ τοὺς ἀναπήρους καὶ τὰ σώματα λελωβημένους τῷ λιμῷ κατατρύχομεν, τρέφειν δέον μόνους ἄνδρας καὶ νεανίας, καὶ τὸν ἀναγκαῖον πυρὸν τοῖς ἐπὶ φυλακῇ τῆς πόλεως ἐπιτηδείοις ταμιεύεσθαι; 10. τοιούτοις τισὶ λογισμοῖς πείσας τὸ συνέδριον, ψῆφον πρῶτος ἀναστὰς ἐκφέρει, πᾶν τὸ τῇ στρατείᾳ μὴ ἐπιτήδειον εἴτε ἀνδρῶν εἴτε γυναικῶν γένος ἀπολύειν τῆς πόλεως, ὅτι μηδὲ καταμένουσιν αὐτοῖς καὶ εἰς τὸ ἄχρηστον ἐν τῇ πόλει διατρίβουσιν ἐλπὶς ἂν γένοιτο σωτηρίας, πρὸς τοῦ λιμοῦ διαφθαρησομένοις. 11. ταύτῃ δὲ τῶν λοιπῶν ἁπάντων τῇ βουλῇ συγκατατεθειμένων μικροῦ δεῖν τοὺς πάντας τῶν πολιορκουμένων διεσώσατο, ἐν πρώτοις μὲν τοὺς ἀπὸ τῆς ἐκκλησίας, ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν κατὰ τὴν πόλιν πᾶσαν ἡλικίαν διαδιδράσκειν προμηθούμενος, οὐ μόνον τῶν κατὰ τὴν ψῆφον δεδογμένων, τῇ δὲ τούτων προφάσει καὶ μυρίους ἄλλους λεληθότως γυναικείαν στολὴν ἀμπισχομένους, νύκτωρ τε τῇ ἐκείνου φροντίδι τῶν πυλῶν ἐξιόντας καὶ ἐπὶ τὴν Ῥωμαίων στρατιὰν ὁρμῶντας. ἔνθα τοὺς πάντας ὑποδεχόμενος ὁ Εὐσέβιος πατρὸς καὶ ἰατροῦ δίκην κεκακωμένους ἐκ τῆς μακρᾶς πολιορκίας διὰ πάσης προνοίας καὶ θεραπείας ἀνεκτᾶτο. 12. τοιούτων ἡ κατὰ Λαοδίκειαν ἐκκλησία δύο ἐφεξῆς κατὰ διαδοχὴν ἠξιώθη ποιμένων, σὺν θείᾳ προμηθείᾳ μετὰ τὸν δηλωθέντα πόλεμον ἐκ τῆς Ἀλεξανδρέων πόλεως ἐπὶ τὰ τῇδε μετεληλυθότων. 13. οὐ μὲν οὖν ἐσπουδάσθη πλεῖστα τῷ Ἀνατολίῳ συγγράμματα, τοσαῦτα δ' εἰς ἡμᾶς ἐλήλυθε, δι' ὧν αὐτοῦ καταμαθεῖν δυνατὸν ὁμοῦ τό τε λόγιον καὶ

πολυμαθὲς, ἐν οἷς μάλιστα τὰ περὶ τοῦ πάσχα δόξαντα παρίστησιν, ἀφ᾽ ὧν ἀναγκαῖον ἂν εἴη τούτων ἐπὶ τοῦ παρόντος μνημονεῦσαι.

[*Ἐκ τῶν περὶ τοῦ πάσχα Ἀνατολίου κανόνων.*]

14. "*Ἔχει τοίνυν ἐν τῷ πρώτῳ ἔτει τὴν νουμηνίαν τοῦ πρώτου μηνὸς, ἥτις ἁπάσης ἐστὶν ἀρχὴ τῆς ἐννεακαιδεκαετηρίδος, τῇ κατ᾽ Αἰγυπτίους μὲν Φαμενὼθ ἕκτῃ καὶ εἰκάδι, κατὰ δὲ τοὺς Μακεδόνων μῆνας Δύστρου δευτέρᾳ καὶ εἰκάδι, ὡς δ᾽ ἂν εἴποιεν Ῥωμαῖοι, πρὸ ἕνδεκα Καλανδῶν Ἀπριλλίων.* 15. *εὑρίσκεται δὲ ὁ ἥλιος ἐν τῇ προκειμένῃ Φαμενὼθ ἕκτῃ καὶ εἰκάδι οὐ μόνον ἐπιβὰς τοῦ πρώτου τμήματος, ἀλλ᾽ ἤδη καὶ τετάρτην ἡμέραν ἐν αὐτῷ διαπορευόμενος. τοῦτο δὲ τὸ τμῆμα πρῶτον δωδεκατημόριον καὶ ἰσημερινὸν καὶ μηνῶν ἀρχὴν καὶ κεφαλὴν τοῦ κύκλου καὶ ἄφεσιν τοῦ τῶν πλανητῶν δρόμου καλεῖν εἰώθασι, τὸ δὲ πρὸ τούτου μηνῶν ἔσχατον καὶ τμῆμα δωδέκατον καὶ τελευταῖον δωδεκατημόριον καὶ τέλος τῆς τῶν πλανητῶν περιόδου. διὸ καὶ τοὺς ἐν αὐτῷ τιθεμένους τὸν πρῶτον μῆνα καὶ τὴν τεσσαρεσκαιδεκάτην τοῦ πάσχα κατ᾽ αὐτὴν λαμβάνοντας οὐ μικρῶς οὐδ᾽ ὡς ἔτυχεν ἁμαρτάνειν φαμέν.* 16. *ἔστι δ᾽ οὐχ ἡμέτερος οὗτος ὁ λόγος, Ἰουδαίοις δὲ ἐγινώσκετο τοῖς πάλαι καὶ πρὸ Χριστοῦ, ἐφυλάττετό τε πρὸς αὐτῶν μάλιστα. μαθεῖν δ᾽ ἔστιν ἐκ τῶν ὑπὸ Φίλωνος, Ἰωσήπου, Μουσαίου λεγομένων, καὶ οὐ μόνων τούτων, ἀλλὰ καὶ τῶν ἔτι παλαιοτέρων, ἀμφοτέρων Ἀγαθοβούλων τῶν ἐπίκλην διδασκάλων, Ἀριστοβούλου τοῦ πάνυ, ὃς ἐν τοῖς ἑβδομήκοντα κατειλεγμένος τοῖς τὰς ἱερὰς καὶ θείας Ἑβραίων ἑρμηνεύσασι γραφὰς Πτολεμαίῳ τῷ Φιλα-*

δέλφῳ καὶ τῷ τούτου πατρὶ, καὶ βίβλους ἐξηγητικὰς τοῦ Μωυσέως νόμου τοῖς αὐτοῖς προσεφώνησε βασιλεῦσιν. 17. οὗτοι τὰ ζητούμενα κατὰ τὴν Ἔξοδον ἐπιλύοντές φασι δεῖν τὰ διαβατήρια θύειν ἐπ' ἴσης ἅπαντας μετὰ ἰσημερίαν ἐαρινὴν, μεσοῦντος τοῦ πρώτου μηνός· τοῦτο δὲ εὑρίσκεσθαι, τὸ πρῶτον τμῆμα τοῦ ἡλιακοῦ, ἢ ὥς τινες αὐτῶν ὠνόμασαν, ζωοφόρου κύκλου διεξιόντος ἡλίου. ὁ δὲ Ἀριστόβουλος προστίθησιν ὡς εἴη ἐξ ἀνάγκης τῇ τῶν διαβατηρίων ἑορτῇ, μὴ μόνον τὸν ἥλιον τὸ ἰσημερινὸν διαπορεύεσθαι τμῆμα, καὶ τὴν σελήνην δέ. 18. τῶν γὰρ ἰσημερινῶν τμημάτων ὄντων δύο, τοῦ μὲν ἐαρινοῦ, τοῦ δὲ μετοπωρινοῦ, καὶ διαμετρούντων ἄλληλα, δοθείσης τε τῆς τῶν διαβατηρίων ἡμέρας τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς μεθ' ἑσπέραν, ἑστήξεται μὲν ἡ σελήνη τὴν ἐναντίαν καὶ διάμετρον τῷ ἡλίῳ στάσιν, ὥσπερ οὖν ἔξεστιν ἐν ταῖς πανσελήνοις ὁρᾶν, ἔσονται δὲ ὁ μὲν κατὰ τὸ ἐαρινὸν ἰσημερινὸν, ὁ ἥλιος, τμῆμα, ἡ δὲ ἐξ ἀνάγκης κατὰ τὸ φθινοπωρινὸν ἰσημερινὸν, ἡ σελήνη. 19. οἶδα πλεῖστα καὶ ἄλλα πρὸς αὐτῶν λεγόμενα, τοῦτο μὲν πιθανὰ, τοῦτο δὲ κατὰ τὰς κυριακὰς ἀποδείξεις προϊόντα, δι' ὧν παριστάνειν πειρῶνται, τὴν τοῦ πάσχα καὶ τῶν ἀζύμων ἑορτὴν δεῖν πάντως μετ' ἰσημερίαν ἄγεσθαι· παρίημι δὲ τὰς τοιαύτας τῶν ἀποδείξεων ὕλας ἀπαιτῶν, ὧν περιῄρηται μὲν τὸ ἐπὶ τοῦ Μωυσέως νόμῳ κάλυμμα, ἀνακεκαλυμμένῳ δὲ τῷ προσώπῳ λοιπὸν ἤδη Χριστὸν καὶ τὰ Χριστοῦ ἀεὶ κατοπτρίζεσθαι μαθήματά τε καὶ παθήματα. τοῦ δὲ τὸν πρῶτον παρ' Ἑβραίοις μῆνα περὶ ἰσημερίαν εἶναι παραστατικὰ καὶ τὰ ἐν τῷ Ἐνὼχ μαθήματα.“ 20. καὶ ἀριθμητικὰς δὲ

καταλέλοιπεν ὁ αὐτὸς ἐν ὅλοις δέκα συγγράμμασιν εἰσαγωγάς, καὶ ἄλλα δείγματα τῆς περὶ τὰ θεῖα σχολῆς τε αὐτοῦ καὶ πολυπειρίας. 21. τούτῳ πρῶτος ὁ τῆς Παλαιστινῶν Καισαρείας ἐπίσκοπος Θεότεκνος χεῖρας εἰς ἐπισκοπὴν ἐπιτέθεικε, διάδοχον ἑαυτοῦ μετὰ τελευτὴν ποριεῖσθαι τῇ ἰδίᾳ παροικίᾳ προμνώμενος. καὶ δὴ ἐπὶ σμικρόν τινα χρόνον ἄμφω τῆς αὐτῆς προύστησαν ἐκκλησίας, ἀλλὰ γὰρ ἐπὶ τὴν Ἀντιόχειαν τῆς κατὰ Παῦλον συνόδου καλούσης, τὴν Λαοδικέων πόλιν παριὼν πρὸς τῶν ἀδελφῶν αὐτόθι κοιμηθέντος Εὐσεβίου κεκράτηται· 22. καὶ τοῦ Ἀνατολίου δὲ τὸν βίον μεταλλάξαντος τῆς ἐκεῖσε παροικίας ὕστατος τῶν πρὸ τοῦ διωγμοῦ καθίσταται Στέφανος, λόγων μὲν φιλοσόφων καὶ τῆς ἄλλης παρ' Ἕλλησι παιδείας παρὰ τοῖς πολλοῖς θαυμασθείς, οὐχ ὁμοίως γε μὴν περὶ τὴν θείαν πίστιν διατεθειμένος, ὡς προϊὼν ὁ τοῦ διωγμοῦ καιρὸς ἀπήλεγξεν, εἴρωνα μᾶλλον δειλόν τε καὶ ἄνανδρον ἤπερ ἀληθῆ φιλόσοφον ἀποδείξας τὸν ἄνδρα. 23. οὐ μὴν ἐπὶ τούτῳ γε καταστρέφειν ἤμελλε τὰ τῆς ἐκκλησίας, ἀνορθοῦται δ' αὐτὰ πρὸς αὐτοῦ θεοῦ τοῦ πάντων σωτῆρος αὐτίκα τῆς αὐτόθι παροικίας ἐπίσκοπος ἀναδειχθεὶς Θεόδοτος, πράγμασιν αὐτοῖς ἀνὴρ καὶ τὸ κύριον ὄνομα καὶ τὸν ἐπίσκοπον ἐπαληθεύσας. ἰατρικῆς μὲν γὰρ σωμάτων ἀπεφέρετο τὰ πρῶτα τῆς ἐπιστήμης, ψυχῶν δὲ θεραπευτικῆς οἷος οὐδὲ ἄλλος ἀνθρώπων ἐτύγχανε, φιλανθρωπίας, γνησιότητος, συμπαθείας, σπουδῆς τῆς τῶν παρ' αὐτοῦ δεομένων ὠφελείας ἕνεκεν. πολὺ δὲ ἦν αὐτῷ καὶ τὸ περὶ τὰ θεῖα μαθήματα συνησκημένον. οὗτος μὲν δὴ τοιοῦτος ἦν. 24. ἐν Καισαρείᾳ δὲ τῆς Παλαιστίνης Θεότεκνον σπουδαιότατα τὴν ἐπισκοπὴν διελ-

θόντα Ἀγάπιος διαδέχεται, ὃν καὶ πολλὰ καμεῖν, γνησιωτάτην τε πρόνοιαν τῆς τοῦ λαοῦ προστασίας ἴσμεν πεποιημένον, πλουσίᾳ τε χειρὶ πάντων μάλιστα πενήτων ἐπιμεμελημένον. 25. κατὰ τοῦτον ἐλλογιμώτατον αὐτῷ τε βίῳ φιλόσοφον ἀληθῆ, πρεσβείου τῆς αὐτόθι παροικίας ἠξιωμένον, Πάμφιλον ἔγνωμεν, ὃν ὁποῖός τις ἦν καὶ ὁπόθεν ὁρμώμενος, οὐ σμικρᾶς ἂν γένοιτο δηλοῦν ὑποθέσεως· ἕκαστα δὲ τοῦ κατ' αὐτὸν βίου καὶ ἧς συνεστήσατο διατριβῆς, τούς τε κατὰ τὸν διωγμὸν ἐν διαφόροις ὁμολογίαις ἀγῶνας αὐτοῦ, καὶ ὃν ἐπὶ πᾶσιν ἀνεδήσατο τοῦ μαρτυρίου στέφανον, ἐν ἰδίᾳ τῇ περὶ αὐτοῦ διειλήφαμεν ὑποθέσει. 26. ἀλλ' οὗτος μὲν τῶν τῇδε θαυμασιώτατος, ἐν δὲ τοῖς μάλιστα καθ' ἡμᾶς σπανιωτάτους γενομένους ἴσμεν τῶν μὲν ἐπ' Ἀλεξανδρείας πρεσβυτέρων Πιέριον, Μελέτιον δὲ τῶν κατὰ Πόντον ἐκκλησιῶν ἐπίσκοπον. 27. ἀλλ' ὁ μὲν ἄκρως ἀκτήμονι βίῳ καὶ μαθήμασι φιλοσόφοις δεδοκίμαστο, ταῖς περὶ τὰ θεῖα θεωρίαις καὶ ἐξηγήσεσι, καὶ ταῖς ἐπὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας διαλέξεσιν ὑπερφυῶς ἐξησκημένος, ὁ δὲ Μελέτιος (τὸ μέλι τῆς Ἀττικῆς ἐκάλουν αὐτὸν οἱ ἀπὸ παιδείας) τοιοῦτος ἦν, οἷον ἂν γράψειέ τις τῶν κατὰ πάντα λόγων ἕνεκα τελεώτατον· ῥητορικῆς μέν γε τὴν ἀρετὴν οὐδὲ οἷόν τε θαυμάζειν ἐπαξίως, ἀλλὰ τοῦτο μὲν εἶναι αὐτῷ φαίη ἄν τις τὸ κατὰ φύσιν· τῆς δ' ἄλλης πολυπειρίας τε καὶ πολυμαθείας τίς ἂν τὴν ἀρετὴν ὑπερβάλοιτο; 28. ὅτι δὴ ἐπὶ πάσαις λογικαῖς ἐπιστήμαις τὸν τεχνικώτατον καὶ λογιώτατον καὶ μόνον πεῖραν αὐτοῦ λαβὼν ἂν εἶπες. ἐφάμιλλα δὲ αὐτῷ καὶ τὰ τῆς ἀρετῆς παρῆν τοῦ βίου. τοῦτον κατὰ τὸν τοῦ διωγμοῦ καιρὸν τοῖς κατὰ Παλαιστίνην κλίμασι διαδιδράσκοντα ἐφ' ὅλοις

ἔτεσιν ἑπτὰ κατενοήσαμεν. 29. τῆς δ᾽ ἐν Ἱεροσολύμοις ἐκκλησίας μετὰ τὸν σμικρῷ πρόσθεν δεδηλωμένον ἐπίσκοπον Ὑμέναιον Ζάμβδας τὴν λειτουργίαν παραλαμβάνει. μετ᾽ οὐ πολὺ δὲ τούτου κεκοιμημένου Ἕρμων ὕστατος τῶν μέχρι τοῦ καθ᾽ ἡμᾶς διωγμοῦ τὸν εἰσέτι νῦν ἐκεῖσε πεφυλαγμένον ἀποστολικὸν διαδέχεται θρόνον. 30. καὶ ἐπ᾽ Ἀλεξανδρείας δὲ Μάξιμον ὀκτωκαίδεκα ἔτεσι μετὰ τὴν Διονυσίου τελευτὴν ἐπισκοπεύσαντα Θεωνᾶς διαδέχεται· καθ᾽ ὃν ἐπὶ τῆς Ἀλεξανδρείας ἐπὶ ταυτὸν τῷ Πιερίῳ πρεσβυτερίου ἠξιωμένος Ἀχιλλᾶς ἐγνωρίζετο, τῆς ἱερᾶς πίστεως τὸ διδασκαλεῖον ἐγκεχειρισμένος, οὐδενὸς ἧττον σπανιώτατον φιλοσοφίας ἔργον καὶ πολιτείας εὐαγγελικῆς τρόπον γνήσιον ἐπιδεδειγμένος. 31. μετὰ δὲ Θεωνᾶν ἐννεακαίδεκα ἔτεσιν ἐξυπηρετησάμενον διαδέχεται τὴν ἐπισκοπὴν τῶν ἐπ᾽ Ἀλεξανδρείας Πέτρος, ἐν τοῖς μάλιστα καὶ αὐτὸς διαπρέψας ἐφ᾽ ὅλοις δυοκαίδεκα ἐνιαυτοῖς, ὧν πρὸ τοῦ διωγμοῦ τρισὶν οὐδ᾽ ὅλοις ἔτεσιν ἡγησάμενος τῆς ἐκκλησίας, τὸν λοιπὸν τοῦ βίου χρόνον εὐτονωτέρᾳ τῇ συνασκήσει ἑαυτόν τε ἦγε, καὶ τῆς κοινῆς τῶν ἐκκλησιῶν ὠφελείας οὐκ ἀφανῶς ἐπεμέλετο. ταύτῃ δ᾽ οὖν ἐνάτῳ ἔτει τοῦ διωγμοῦ τὴν κεφαλὴν ἀποτμηθεὶς τῷ τοῦ μαρτυρίου κατεκοσμήθη στεφάνῳ.

32. Ἐν τούτοις τὴν τῶν διαδοχῶν περιγράψαντες ὑπόθεσιν, ἀπὸ τῆς τοῦ σωτῆρος ἡμῶν γενέσεως ἐπὶ τὴν τῶν προσευκτηρίων καθαίρεσιν εἰς ἔτη συντείνουσαν πέντε καὶ τριακόσια, φέρε ἑξῆς τοὺς καθ᾽ ἡμᾶς τῶν ὑπὲρ εὐσεβείας ἀνδρισαμένων ἀγῶνας, ὅσοι τε καὶ πηλίκοι γεγόνασι, καὶ τοῖς μεθ᾽ ἡμᾶς εἰδέναι διὰ γραφῆς καταλείψωμεν.

ΛΟΓΟΣ Η.

Προοίμιον. *Τὴν τῶν ἀποστόλων διαδοχὴν ἐν ὅλοις ἑπτὰ περιγράψαντες βιβλίοις ἐν ὀγδόῳ τούτῳ συγγράμματι τὰ καθ' ἡμᾶς αὐτούς, οὐ τῆς τυχούσης ἄξια ὄντα γραφῆς, ἕν τι τῶν ἀναγκαιοτάτων ἡγούμεθα δεῖν εἰς γνῶσιν καὶ τῶν μεθ' ἡμᾶς παραδοῦναι, καὶ ἄρξεταί γε ὁ λόγος ἐντεῦθεν ἡμῖν.*

I. [Nic. H. E. VII, 2.] *Ὅσης μὲν καὶ ὁποίας πρὸ τοῦ καθ' ἡμᾶς διωγμοῦ δόξης ὁμοῦ καὶ παρρησίας ὁ διὰ Χριστοῦ τῷ βίῳ κατηγγελμένος τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας λόγος παρὰ πᾶσιν ἀνθρώποις, Ἕλλησί τε καὶ βαρβάροις, ἠξίωτο, μεῖζον ἢ καθ' ἡμᾶς ἐπαξίως διηγήσασθαι.* 2. *τεκμήρια δ' ἂν γένοιτο τῶν κρατούντων αἱ περὶ τοὺς ἡμετέρους δεξιώσεις, οἷς καὶ τὰς τῶν ἐθνῶν ἐνεχείριζον ἡγεμονίας, τῆς περὶ τὸ θύειν ἀγωνίας κατὰ πολλὴν, ἣν ἀπέσωζον περὶ τὸ δόγμα, φιλίαν αὐτοὺς ἀπαλλάττοντες.* 3. *τί δεῖ περὶ τῶν κατὰ τοὺς βασιλικοὺς λέγειν οἴκους, καὶ τῶν ἐπὶ πᾶσιν ἀρχόντων; οἳ τοῖς οἰκείοις εἰς πρόσωπον ἐπὶ τῷ θείῳ παρρησιαζομένοις λόγῳ τε καὶ βίῳ συνεχώρουν, γαμεταῖς καὶ παισὶ καὶ οἰκέταις, μονονουχὶ καὶ ἐγκαυχᾶσθαι ἐπὶ τῇ παρρησίᾳ τῆς πίστεως ἐπιτρέποντες· οὓς ἐξόχως καὶ μᾶλλον τῶν συνθεραπόντων ἀποδεκτοὺς ἡγοῦντο.* 4. *οἷος ἐκεῖνος ἦν Δωρόθεος, πάντων αὐτοῖς εὐνούστατος καὶ πιστότατος, καὶ τούτων ἕνεκα διαφερόντως παρὰ τοὺς ἐν ἀρχαῖς καὶ ἡγεμονίαις αὐτοῖς τιμιωτάταις ἐντιμότατος, ὅ τε σὺν αὐτῷ περιβόητος Γοργόνιος, καὶ ὅσοι τῆς αὐτῆς ὁμοίως τούτοις ἠξίωντο διὰ τὸν τοῦ θεοῦ λόγον τιμῆς.* 5. *οἵας τε καὶ τοὺς καθ' ἑκάστην ἐκκλησίαν ἄρχοντας παρὰ*

πᾶσιν ἐπιτρόποις καὶ ἡγεμόσιν ἀποδοχῆς ἦν ὁρᾶν ἀξιουμένους. πῶς δ' ἄν τις διαγράψειε τὰς μυριάνδρους ἐκείνας ἐπισυναγωγὰς καὶ τὰ πλήθη τῶν κατὰ πᾶσαν πόλιν ἀθροισμάτων, τάς τε ἐπισήμους ἐν τοῖς προσευκτηρίοις συνδρομὰς, ὧν δὴ ἕνεκα μηδαμῶς ἔτι τοῖς παλαιοῖς οἰκοδομήμασιν ἀρκούμενοι εὐρείας εἰς πλάτος ἀνὰ πάσας τὰς πόλεις ἐκ θεμελίων ἀνίστων ἐκκλησίας. 6. ταῦτα δὲ τοῖς χρόνοις προϊόντα, ὁσημέραι τε εἰς αὔξησιν καὶ μέγεθος ἐπιδιδόντα οὐδεὶς ἀνεῖργε φθόνος, οὐδέ τις δαίμων πονηρὸς οἷός τε ἦν βασκαίνειν οὐδ' ἀνθρώπων ἐπιβουλαῖς κωλύειν, εἰς ὅσον ἡ θεία καὶ οὐράνιος χεὶρ ἔσκεπέ τε καὶ ἐφρούρει οἷα δὴ ἄξιον ὄντα τὸν ἑαυτῆς λαόν. 7. ὡς δὲ ἐκ τῆς ἐπὶ πλέον ἐλευθερίας ἐπὶ χαυνότητα καὶ νωθρίαν τὰ καθ' ἡμᾶς μετηλλάττετο, ἄλλων ἄλλοις διαφθονουμένων καὶ διαλοιδορουμένων, καὶ μονονουχὶ ἡμῶν αὐτῶν ἑαυτοῖς προσπολεμούντων ὅπλοις, εἰ οὕτω τύχοι, καὶ δόρασι τοῖς διὰ λόγων, ἀρχόντων τε ἄρχουσι προσρηγνύντων, καὶ λαῶν ἐπὶ λαοὺς καταστασιαζόντων, τῆς τε ὑποκρίσεως ἀφάτου καὶ τῆς εἰρωνείας ἐπὶ πλεῖστον ὅσον κακίας προϊούσης, ἡ μὲν δὴ θεία κρίσις, οἷα φίλον αὐτῇ, πεφεισμένως, τῶν ἀθροισμάτων ἔτι συγκροτουμένων, ἠρέμα καὶ μετρίως τὴν αὐτῆς ἐπισκοπὴν ἀνεκίνει, ἐκ τῶν ἐν στρατείαις ἀδελφῶν καταρχομένου τοῦ διωγμοῦ. 8. ὡς δ' ἀνεπαισθήτως ἔχοντες οὐχ ὅπως εὐμενὲς καὶ ἵλεω καταστήσεσθαι τὸ θεῖον προυθυμούμεθα, οἷα δέ τινες ἄθεοι ἀφρόντιστα καὶ ἀνεπίσκοπα τὰ καθ' ἡμᾶς ἡγούμενοι ἄλλας ἐπ' ἄλλαις προσετίθεμεν κακίας, οἵ τε δοκοῦντες ἡμῶν ποιμένες τὸν τῆς θεοσεβείας θεσμὸν παρωσάμενοι ταῖς πρὸς ἀλλήλους ἀνεφλέγοντο φιλονεικίαις, αὐτὰ

δὴ ταῦτα μόνα, τὰς ἔρεις καὶ τὰς ἀπειλὰς τόν τε ζῆλον καὶ τὸ πρὸς ἀλλήλους ἔχθος τε καὶ μῖσος ἐπαύξοντες, οἷά τε τυραννίδας τὰς φιλαρχίας ἐκθύμως διεκδικοῦντες, τότε δή, τότε κατὰ τὴν φάσκουσαν τοῦ Ἱερεμίου φωνὴν „ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ κύριος τὴν θυγατέρα Σιών, καὶ κατέρριψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα Ἰσραήλ, οὐκ ἐμνήσθη τε ὑποποδίου ποδῶν αὐτοῦ ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ· ἀλλὰ καὶ κατεπόντισε κύριος πάντα τὰ ὡραῖα Ἰσραήλ, καὶ καθεῖλε πάντας τοὺς φραγμοὺς αὐτοῦ,“ 9. *κατά τε τὰ ἐν ψαλμοῖς προθεσπισθέντα κατέστρεψε τὴν διαθήκην τοῦ δούλου αὐτοῦ, καὶ ἐβεβήλωσεν εἰς γῆν διὰ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως τὸ ἁγίασμα αὐτοῦ, καὶ καθεῖλε πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθετο τὰ ὀχυρώματα αὐτοῦ δειλίαν· διήρπασάν τε τὰ πλήθη τοῦ λαοῦ πάντες οἱ διοδεύοντες ὁδόν, καὶ δὴ ἐπὶ τούτοις ὄνειδος ἐγενήθη τοῖς γείτοσιν αὐτοῦ. ὕψωσε γὰρ τὴν δεξιὰν τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἀπέστρεψε τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβετο αὐτοῦ ἐν τῷ πολέμῳ· ἀλλὰ καὶ κατέλυσεν ἀπὸ καθαρισμοῦ αὐτὸν καὶ τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξεν· ἐσμίκρυνέ τε τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, καὶ ἐπὶ πᾶσι κατέχεεν αὐτοῦ αἰσχύνην.*

II. [Nic. H. E. VII, 3.] *Συντετέλεσται δῆτα καθ' ἡμᾶς πάντα, ὁπηνίκα τῶν μὲν προσευκτηρίων τοὺς οἴκους ἐξ ὕψους εἰς ἔδαφος αὐτοῖς θεμελίοις καταρριπτουμένους, τὰς δὲ ἐνθέους καὶ ἱερὰς γραφὰς κατὰ μέσας ἀγορὰς πυρὶ παραδιδομένας αὐτοῖς ἐπείδομεν ὀφθαλμοῖς, τούς τε τῶν ἐκκλησιῶν ποιμένας*

---

5 Jerem. 2, 1. 2. 12 Psalm. 88 (89), 40.

αἰσχρῶς ὧδε κἀκεῖσε κρυπταζομένους, τοὺς δὲ ἀσχημόνως ἁλισκομένους, καὶ πρὸς τῶν ἐχθρῶν καταπαιζομένους, ὅτε καὶ κατ' ἄλλον προφητικὸν λόγον „ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ." 2. ἀλλὰ τούτων μὲν οὐχ ἡμέτερον διαγράφειν τὰς ἐπὶ τέλει σκυθρωπὰς συμφοράς, ἐπεὶ καὶ τὰς πρόσθεν τοῦ διωγμοῦ διαστάσεις τε αὐτῶν εἰς ἀλλήλους καὶ ἀτοπίας οὐχ ἡμῖν οἰκεῖον μνήμῃ παραδιδόναι. διὸ καὶ πλέον οὐδὲν ἱστορῆσαι περὶ αὐτῶν διέγνωμεν ἢ δι' ὧν ἂν τὴν θείαν δικαιώσαιμεν κρίσιν. 3. οὐκοῦν οὐδὲ τῶν πρὸς τοῦ διωγμοῦ πεπειραμένων, ἢ τῶν εἰς ἅπαν τῆς σωτηρίας νεναυαγηκότων, αὐτῇ τε γνώμῃ τοῖς τοῦ κλύδωνος ἐναπορριφέντων βυθοῖς, μνήμην ποιήσασθαι προήχθημεν, μόνα δὲ ἐκεῖνα τῇ καθόλου προσθήσομεν ἱστορίᾳ, ἃ πρώτοις μὲν ἡμῖν αὐτοῖς, ἔπειτα δὲ καὶ τοῖς μεθ' ἡμᾶς γένοιτ' ἂν πρὸς ὠφελείας. ἴωμεν οὖν ἐντεῦθεν ἤδη, τοὺς ἱεροὺς ἀγῶνας τῶν τοῦ θεοῦ λόγου μαρτύρων ἐν ἐπιτομῇ διαγράψοντες. 4. ἔτος τοῦτο ἦν ἐννεακαιδέκατον τῆς Διοκλητιανοῦ βασιλείας, Δύστρος μὲν, (λέγοιτο δ' ἂν οὗτος Μάρτιος κατὰ Ῥωμαίους), ἐν ᾧ τῆς τοῦ σωτηρίου πάθους ἑορτῆς ἐπελαυνούσης ἥπλωτο πανταχόσε βασιλικὰ γράμματα, τὰς μὲν ἐκκλησίας εἰς ἔδαφος φέρειν, τὰς δὲ γραφὰς ἀφανεῖς πυρὶ γενέσθαι προστάττοντα, καὶ τοὺς μὲν τιμῆς ἐπειλημμένους ἀτίμους, τοὺς δὲ ἐν οἰκετίαις, εἰ ἐπιμένοιεν τῇ τοῦ Χριστιανισμοῦ προθέσει, ἐλευθερίας στερεῖσθαι προαγορεύοντα. 5. καὶ ἡ μὲν πρώτη καθ' ἡμῶν γραφὴ τοιαύτη τις ἦν· μετ' οὐ πολὺ δὲ ἑτέρων

---

3 Psalm. 106 (107), 40.

ἐπιφοιτησάντων γραμμάτων προσετάττετο τοὺς τῶν ἐκκλησιῶν προέδρους πάντας τοὺς κατὰ πάντα τόπον πρῶτα μὲν δεσμοῖς παραδίδοσθαι, εἶθ' ὕστερον πάσῃ μηχανῇ θύειν ἐξαναγκάζεσθαι.

III. [Nic. H. E. VII, 4.] Τότε δὴ οὖν, τότε πλεῖστοι μὲν ὅσοι τῶν ἐκκλησιῶν ἄρχοντες, δειναῖς αἰκίαις προθύμως ἐναθλήσαντες, μεγάλων ἀγώνων ἱστορίας ἐπεδείξαντο, μυρίοι δ' ἄλλοι τὴν ψυχὴν ὑπὸ δειλίας προναρκήσαντες προχείρως οὕτως ἀπὸ πρώτης ἐξησθένησαν προσβολῆς, τῶν δὲ λοιπῶν ἕκαστος εἴδη διάφορα βασάνων ἐνήλλαττεν, ὁ μὲν μάστιξιν αἰκιζόμενος τὸ σῶμα, ὁ δὲ στρεβλώσεσι καὶ ξεσμοῖς ἀνυπομονήτοις τιμωρούμενος, ἐφ' οἷς ἤδη τινὲς οὐκ αἴσιον ἀπηνέγκαντο τοῦ βίου τέλος. 2. ἄλλοι δ' αὖ πάλιν ἄλλως τὸν ἀγῶνα διεξῄεσαν· ὁ μὲν γάρ τις ἑτέρων βίᾳ συνωθούντων καὶ ταῖς παμμιάροις καὶ ἀνάγνοις προσαγόντων θυσίαις ὡς τεθυκὼς ἀπηλλάττετο, καὶ εἰ μὴ τεθυκὼς ἦν, ὁ δὲ μηδ' ὅλως προσπελάσας, μηδέ τινος ἐναγοῦς ἐφαψάμενος, εἰρηκότων δ' ἑτέρων ὅτι τεθύκοι, σιωπῇ φέρων τὴν συκοφαντίαν ἀπῄει, ἄλλος ἡμιθανὴς αἰρόμενος ὡσὰν ἤδη νεκρὸς ἐρρίπτετο. 3. καί τις αὖ πάλιν ἐπ' ἐδάφους κείμενος μακρὰν ἐσύρετο τοῖν ποδοῖν, ἐν τεθυκόσιν αὐτοῖς λελογισμένος· ὁ δέ τις ἐβόα, καὶ μεγάλῃ διεμαρτύρετο φωνῇ τῆς θυσίας τὴν ἄρνησιν· καὶ ἄλλος Χριστιανὸς εἶναι ἐκεκράγει, τῇ τοῦ σωτηρίου προσρήματος ὁμολογίᾳ λαμπρυνόμενος· ἕτερος τὸ μὴ τεθυκέναι μήτε θύσειν ποτὲ διετείνετο. 4. ὅμως δ' οὖν καὶ οἵδε πολυχειρίᾳ τῆς ἐπὶ τοῦτο τεταγμένης στρατιωτικῆς παρατάξεως κατὰ στόματος παιόμενοι καὶ κατασιγαζόμενοι, κατά τε προσώπου καὶ παρειῶν τυπτόμενοι μετὰ βίας ἐξω-

θοῦντο. οὕτως ἐξ ἅπαντος οἱ τῆς θεοσεβείας ἐχθροὶ τὸ δοκεῖν ἠνυκέναι περὶ πολλοῦ ἐτίθεντο. ἀλλ' οὐ καὶ κατὰ τῶν ἁγίων αὐτοῖς μαρτύρων ταῦτα προυχώρει, ὧν εἰς ἀκριβῆ διήγησιν τίς ἂν ἡμῖν ἐξαρκέσειε λόγος;

IV. [Nic. H. E. VII, 3.] Μυρίους μὲν γὰρ ἱστορῆσαι ἄν τις θαυμαστὴν ὑπὲρ εὐσεβείας τοῦ θεοῦ τῶν ὅλων ἐνδεδειγμένους προθυμίαν, οὐκ ἐξότουπερ μόνον ὁ κατὰ πάντων ἀνεκινήθη διωγμὸς, πολὺ πρότερον δὲ, καθ' ὃν ἔτι τὰ τῆς εἰρήνης συνεκροτεῖτο. 2. ἄρτι γὰρ ἄρτι πρῶτον ὥσπερ ἀπὸ κάρου βαθέος ὑποκινουμένου τοῦ τὴν ἐξουσίαν εἰληφότος, κρύβδην τε ἔτι καὶ ἀφανῶς μετὰ τὸν ἀπὸ Δεκίου καὶ Οὐαλεριανοῦ μεταξὺ χρόνον ταῖς ἐκκλησίαις ἐπιχειροῦντος, οὐκ ἀθρόως τε τῷ καθ' ἡμῶν ἐπαποδυομένου πολέμῳ, ἀλλ' ἔτι τῶν κατὰ τὰ στρατόπεδα μόνων ἀποπειρωμένου — ταύτῃ γὰρ καὶ τοὺς λοιποὺς ἁλῶναι ῥᾳδίως ᾤετο, εἰ πρότερον ἐκείνων καταγωνισάμενος περιγένοιτο —, πλείστους παρῆν τῶν ἐν στρατείαις ὁρᾶν ἀσμενέστατα τὸν ἰδιωτικὸν προασπαζομένους βίον, ὡς ἂν μὴ ἔξαρνοι γένοιντο τῆς περὶ τὸν τῶν ὅλων δημιουργὸν εὐσεβείας. 3. ὡς γὰρ ὁ στρατοπεδάρχης, ὅστις ποτὲ ἦν ἐκεῖνος, ἄρτι πρῶτον ἐνεχείρει τῷ κατὰ τῶν στρατευμάτων διωγμῷ, φυλοκρινῶν καὶ διακαθαίρων τοὺς ἐν τοῖς στρατοπέδοις ἀναφερομένους, αἵρεσίν τε διδοὺς ἢ πειθαρχοῦσιν ἧς μετῆν αὐτοῖς ἀπολαύειν τιμῆς, ἢ τοὐναντίον στέρεσθαι ταύτης, εἰ ἀντιτάττοιντο τῷ προστάγματι, πλεῖστοι ὅσοι τῆς Χριστοῦ βασιλείας στρατιῶται τὴν εἰς αὐτὸν ὁμολογίαν, μὴ μελλήσαντες, τῆς δοκούσης δόξης καὶ εὐπραγίας ἧς εἶχον ἀναμφιλόγως προυτίμησαν. 4. ἤδη δὲ σπανίως τού-

των εἷς που καὶ δεύτερος οὐ μόνον τῆς ἀξίας τὴν ἀποβολὴν, ἀλλὰ καὶ θάνατον τῆς εὐσεβοῦς ἐνστάσεως ἀντικατηλλάττοντο, μετρίως πως ἤδη τότε τοῦ τὴν ἐπιβολὴν ἐνεργοῦντος καὶ μέχρις αἵματος ἐπ' ἐνίων φθάνειν ἐπιτολμῶντος, τοῦ πλήθους, ὡς ἔοικε, τῶν πιστῶν δεδιττομένου τε αὐτὸν ἔτι καὶ ἀποκναίοντος ἐπὶ τὸν κατὰ πάντων ἀθρόως ἐφορμῆσαι πόλεμον. 5. ὡς δὲ καὶ γυμνότερον ἐπαπεδύετο οὐδ' ἔστι λόγῳ δυνατὸν ἀφηγήσασθαι, ὅσους καὶ ὁποίους τοῦ θεοῦ μάρτυρας ὀφθαλμοῖς παρῆν ὁρᾶν τοῖς ἀνὰ πάσας τάς τε πόλεις καὶ τὰς χώρας οἰκοῦσιν.

V. [Nic. H. E. VII, 5.] *Αὐτίκα γοῦν τῶν οὐκ ἀσήμων τις, ἀλλὰ καὶ ἄγαν κατὰ τὰς ἐν τῷ βίῳ νενομισμένας ὑπεροχὰς ἐνδοξοτάτων, ἅμα τῷ τὴν κατὰ τῶν ἐκκλησιῶν ἐν τῇ Νικομηδείᾳ προτεθῆναι γραφὴν, ζήλῳ τῷ κατὰ θεὸν ὑποκινηθεὶς, διαπύρῳ τε ἐφορμήσας τῇ πίστει, ἐν προφανεῖ καὶ δημοσίῳ κειμένην ὡς ἀνοσίαν καὶ ἀσεβεστάτην ἀνελὼν σπαράττει, δυοῖν ἐπιπαρόντων κατὰ τὴν αὐτὴν πόλιν βασιλέων, τοῦ τε πρεσβυτάτου τῶν ἄλλων καὶ τοῦ τὸν τέταρτον ἀπὸ τούτου τῆς ἀρχῆς ἐπικρατοῦντος βαθμόν. ἀλλ' οὗτος μὲν τῶν τηνικάδε πρῶτος τοῦτον διαπρέψας τὸν τρόπον, ἅμα τε τοιαῦτα, οἷα καὶ εἰκὸς ἦν, ὑπομείνας ὡσὰν ἐπὶ τοιούτῳ τολμήματι, τὸ ἄλυπον καὶ ἀτάραχον εἰς αὐτὴν τελευταίαν διετήρησεν ἀναπνοήν.*

VI. [Nic. H. E. VII, 5.] *Πάντων δὲ, ὅσοι τῶν πώποτε ἀνυμνοῦνται θαυμάσιοι καὶ ἐπ' ἀνδρείᾳ βεβοημένοι, εἴτε παρ' Ἕλλησιν εἴτε παρὰ βαρβάροις, θείους ἤνεγκεν ὁ καιρὸς καὶ διαπρεπεῖς μάρτυρας τοὺς ἀμφὶ τὸν Δωρόθεον βασιλικοὺς παῖδας, οἳ καὶ τῆς ἀνωτάτω παρὰ τοῖς δεσπόταις ἠξιωμένοι τιμῆς,*

γνησίων τε αὐτοῖς διαθέσει τέκνων οὐ λειπόμενοι, μείζονα πλοῦτον ὡς ἀληθῶς ἥγηνται τῆς τοῦ βίου δόξης καὶ τρυφῆς τοὺς ὑπὲρ εὐσεβείας ὀνειδισμούς τε καὶ πόνους, καὶ τοὺς κεκαινουργημένους ἐπ' αὐτοῖς πολυτρόπους θανάτους, ὧν ἑνός τινος οἵῳ κέχρηται μνησθέντες τῷ τοῦ βίου τέλει, σκοπεῖν ἐξ αὐτοῦ καὶ τὰ τοῖς ἄλλοις συμβεβηκότα τοῖς ἐντυγχάνουσι καταλείψομεν. 2. ἤγετό τις εἰς μέσον κατὰ τὴν προειρημένην πόλιν ἐφ' ὧν δεδηλώκαμεν ἀρχόντων. θύειν δὴ οὖν προσταχθεὶς, ὡς ἐνίστατο, γυμνὸς μετάρσιος ἀρθῆναι κελεύεται, μάστιξί τε τὸ πᾶν σῶμα καταξαίνεσθαι, εἰσότε ἡττηθεὶς κἂν ἄκων τὸ προσταττόμενον ποιήσειεν. 3. ὡς δὲ καὶ ταῦτα πάσχων ἀδιάτρεπτος ἦν, ὄξος λοιπὸν ἤδη τῶν ὀστέων ὑποφαινομένων αὐτοῦ σὺν καὶ ἅλατι φύραντες κατὰ τῶν διασαπέντων τοῦ σώματος μερῶν ἐνέχεον· ὡς δὲ καὶ ταύτας ἐπάτει τὰς ἀλγηδόνας, ἐσχάρα τοὐντεῦθεν καὶ πῦρ εἰς μέσον εἵλκετο, καὶ κρεῶν ἐδωδίμων δίκην τὰ λείψανα αὐτῷ τοῦ σώματος ὑπὸ τοῦ πυρὸς οὐκ εἰς ἄθρουν, ὡς ἂν μὴ συντόμως ἀπαλλαγείη, κατὰ βραχὺ δὲ ἀνηλίσκετο, οὐ πρότερον ἀνεῖναι τῶν ἐπιτιθέντων αὐτὸν τῇ πυρᾷ συγχωρουμένων, πρὶν ἂν καὶ μετὰ τοσαῦτα τοῖς προστασσομένοις ἐπινεύσειεν. 4. ὁ δ' ἀπρὶξ ἐχόμενος τῆς προθέσεως νικηφόρος ἐν αὐταῖς παρέδωκε τὴν ψυχὴν ταῖς βασάνοις. τοιοῦτον τῶν βασιλικῶν ἑνὸς τὸ μαρτύριον παίδων, ἄξιον ὡς ὄντως καὶ τῆς προσηγορίας· Πέτρος γὰρ ἐκαλεῖτο. 5. οὐ χείρονα δὲ καὶ τὰ κατὰ τοὺς λοιποὺς ὄντα, λόγου φειδόμενοι συμμετρίας, παραλείψομεν, τοσοῦτον ἱστορήσαντες, ὡς ὅ τε Δωρόθεος καὶ ὁ Γοργόνιος, ἑτέροις ἅμα πλείοσι τῆς βασιλικῆς οἰκετίας, μετὰ

τοὺς πολυτρόπους ἀγῶνας βρόχῳ τὴν ζωὴν μεταλλάξαντες, τῆς ἐνθέου νίκης ἀπηνέγκαντο βραβεῖα. 6. ἐν τούτῳ τῆς κατὰ Νικομήδειαν ἐκκλησίας ὁ τηνικαῦτα προεστὼς Ἄνθιμος διὰ τὴν εἰς Χριστὸν μαρτυρίαν τὴν κεφαλὴν ἀποτέμνεται· τούτῳ δὲ πλῆθος ἄθρουν μαρτύρων προστίθεται, οὐκ οἶδ᾽ ὅπως ἐν τοῖς κατὰ τὴν Νικομήδειαν βασιλείοις πυρκαϊᾶς ἐν αὐταῖς δὴ ταῖς ἡμέραις ἀφθείσης, ἣν καθ᾽ ὑπόνοιαν ψευδῆ πρὸς τῶν ἡμετέρων ἐπιχειρηθῆναι λόγου διαδοθέντος, παγγενῆ σωρηδὸν βασιλικῷ νεύματι τῶν τῇδε θεοσεβῶν οἳ μὲν ξίφει κατεσφάττοντο, οἳ δὲ διὰ πυρὸς ἐτελειοῦντο. ὅ τε λόγος ἔχει προθυμίᾳ τινὶ ἀρρήτῳ ἄνδρας ἅμα γυναιξὶν ἐπὶ τὴν πυρὰν καθάλλεσθαι· δήσαντες δὲ οἱ δήμιοι ἄλλο τι πλῆθος ἐπὶ σκάφαις τοῖς θαλαττίοις ἐναπέρριπτον βυθοῖς. 7. τοὺς δέ γε βασιλικοὺς μετὰ θάνατον παῖδας, γῇ μετὰ τῆς προσηκούσης κηδείας παραδοθέντας, αὖθις ἐξ ὑπαρχῆς ἀνορύξαντες ἐναπορρῖψαι θαλάσσῃ καὶ αὐτοὺς ᾤοντο δεῖν οἱ νενομισμένοι δεσπόται, ὡς ἂν μὴ ἐν μνήμασιν ἀποκειμένους προσκυνοῖέν τινες, θεοὺς δὴ αὐτούς, ὥς γε ᾤοντο, λογιζόμενοι. καὶ τὰ μὲν ἐπὶ τῆς Νικομηδείας κατὰ τὴν ἀρχὴν ἀποτελεσθέντα τοῦ διωγμοῦ τοιαῦτα. 8. οὐκ εἰς μακρὸν δὲ ἑτέρων κατὰ τὴν Μελιτηνὴν οὕτω καλουμένην χώραν, καὶ αὖ πάλιν ἄλλων ἀμφὶ τὴν Συρίαν ἐπιφυῆναι τῇ βασιλείᾳ πεπειραμένων, τοὺς πανταχόσε τῶν ἐκκλησιῶν προεστῶτας εἱρκταῖς καὶ δεσμοῖς ἐνεῖραι πρόσταγμα ἐφοίτα βασιλικόν. 9. καὶ ἦν ἡ θέα τῶν ἐπὶ τούτοις γινομένων πᾶσαν διήγησιν ὑπεραίρουσα, μυρίου πλήθους ἐν παντὶ τόπῳ καθειργνυμένου, καὶ τὰ πανταχῇ δεσμωτήρια, ἀνδροφόνοις καὶ τυμβωρύχοις πάλαι πρότερον ἐπεσκευασμένα, τότε πλη-

ρούντων ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων, ἀναγνωστῶν τε καὶ ἐπορκιστῶν, ὡς μηδὲ χώραν ἔτι τοῖς ἐπὶ κακουργίαις κατακρίτοις αὐτόθι λείπεσθαι. 10. αὖθις δ' ἑτέρων τὰ πρῶτα γράμματα ἐπικατειληφότων, ἐν οἷς τοὺς κατακλείστους θύσαντας μὲν ἐᾶν βαδίζειν ἐπ' ἐλευθερίας, ἐνισταμένους δὲ μυρίαις καταξαίνειν προστέτακτο βασάνοις, πῶς ἂν πάλιν ἐνταῦθα τῶν καθ' ἑκάστην ἐπαρχίαν μαρτύρων ἀριθμήσειέ τις τὸ πλῆθος, καὶ μάλιστα τῶν κατὰ τὴν Ἀφρικὴν καὶ τὸ Μαύρων ἔθνος, Θηβαΐδα τε καὶ κατ' Αἴγυπτον, ἐξ ἧς καὶ εἰς ἑτέρας ἤδη προελθόντες πόλεις τε καὶ ἐπαρχίας διέπρεψαν τοῖς μαρτυρίοις.

VII. [Nic. H. E. VII, 7.] Ἴσμεν γοῦν τοὺς ἐξ αὐτῶν διαλάμψαντας ἐν Παλαιστίνῃ, ἴσμεν δὲ καὶ τοὺς ἐν Τύρῳ τῆς Φοινίκης, οὓς τίς ἰδὼν οὐ κατεπλάγη τὰς ἀναριθμήτους μάστιγας, καὶ τὰς ἐν τούτοις τῶν ὡς ἀληθῶς παραδόξων τῆς θεοσεβείας ἀθλητῶν ἐνστάσεις, τόν τε παραχρῆμα μετὰ τὰς μάστιγας ἐν θηρσὶν αἱμοβόροις ἀγῶνα, καὶ τὰς ἐν τούτῳ παρδάλεων καὶ διαφόρων ἄρκτων, συῶν τε ἀγρίων καὶ πυρὶ καὶ σιδήρῳ κεκαυτηριασμένων βοῶν προσβολάς, καὶ τὰς πρὸς ἕκαστον τῶν θηρίων θαυμασίους τῶν γενναίων ὑπομονάς; 2. οἷς γινομένοις καὶ αὐτοὶ παρῆμεν, ὁπηνίκα τοῦ μαρτυρουμένου σωτῆρος ἡμῶν αὐτοῦ δὴ Ἰησοῦ Χριστοῦ τὴν θείαν δύναμιν ἐπιπαροῦσαν, ἐναργῶς τε αὐτὴν τοῖς μάρτυσιν ἐπιδεικνῦσαν ἱστορήσαμεν, τῶν ἀνθρωποβόρων ἐπὶ πλείονα χρόνον μὴ προσψαύειν μηδὲ πλησιάζειν τοῖς τῶν θεοφιλῶν σώμασιν ἐπιτολμώντων, ἀλλ' ἐπὶ μὲν τοὺς ἄλλους, ὅσοι δήπουθεν ἔξωθεν ἐρεθισμοῖς παρώρμων αὐτά, φερομένων, μόνων δὲ τῶν ἱερῶν

ἀθλητῶν γυμνῶν ἑστώτων καὶ ταῖς χερσὶ κατασειόντων, ἐπί τε σφᾶς αὐτοὺς ἐπισπωμένων (τοῦτο γὰρ αὐτοῖς ἐκελεύετο πράττειν) μηδ' ὅλως ἐφαπτομένων, ἀλλ' ἔσθ' ὅπη μὲν καὶ ἐπ' αὐτοὺς ὁρμώντων, οἷα δὲ πρός τινος θειοτέρας δυνάμεως ἀνακρουομένων καὶ αὖ πάλιν εἰς τοὐπίσω χωρούντων. 3. ὃ καὶ εἰς μακρὸν γινόμενον θαῦμα παρεῖχεν οὐ σμικρὸν τοῖς θεωμένοις, ὥστε ἤδη διὰ τὸ ἄπρακτον τοῦ πρώτου δεύτερον καὶ τρίτον προσαφίεσθαι ἑνὶ καὶ τῷ αὐτῷ μάρτυρι θηρίον. 4. καταπλαγῆναι δ' ἦν τὴν ἐπὶ τούτοις ἀπτόητον τῶν ἱερῶν ἐκείνων καρτερίαν, καὶ τὴν ἐν σώμασι νέοις βεβηκυῖαν καὶ ἀδιάτρεπτον ἔνστασιν. ἑώρας γοῦν ἡλικίαν οὐδ' ὅλων ἐτῶν εἴκοσι δίχα δεσμῶν ἑστῶτος νέου, καὶ τὰς μὲν χεῖρας ἐφαπλοῦντος εἰς σταυροῦ τύπον, ἀκαταπλήκτῳ δὲ καὶ ἀτρεμεῖ διανοίᾳ ταῖς πρὸς τὸ θεῖον σχολαίτατα τεταμένου λιταῖς, μηδ' ὅλως τε μεθισταμένου μηδ' ἀποκλίνοντός ποι τοῦ ἔνθα εἱστήκει τόπου, ἄρκτων καὶ παρδάλεων θυμοῦ καὶ θανάτου πνεόντων σχεδὸν αὐτῆς καθαπτομένων αὐτοῦ τῆς σαρκός, ἀλλ' οὐκ οἶδ' ὅπως θείᾳ καὶ ἀπορρήτῳ δυνάμει μονονουχὶ φραττομένων τὸ στόμα, καὶ αὖθις παλινδρομούντων εἰς τοὐπίσω. καὶ οὗτος μὲν οὖν τοιοῦτός τις ἦν. 5. πάλιν δ' ἂν ἑτέρους εἶδες, πέντε γὰρ οἱ πάντες ἐτύγχανον, ἠγριωμένῳ ταύρῳ παραβληθέντας, ὃς τοὺς μὲν ἄλλους τῶν ἔξωθεν προσιόντων τοῖς κέρασιν εἰς τὸν ἀέρα ῥίπτων διεσπάραττεν, ἡμιθνῆτας αἴρεσθαι καταλιπών, ἐπὶ μόνους δὲ θυμῷ καὶ ἀπειλῇ τοὺς ἱεροὺς ὁρμῶν μάρτυρας οὐδὲ πλησιάζειν αὐτοῖς οἷός τε ἦν, κυρίττων δὲ τοῖς ποσὶ καὶ τοῖς κέρασι τῇδε κἀκεῖσε χρώμενος καὶ διὰ τοὺς ἀπὸ τῶν καυτήρων ἐρεθισμοὺς θυμοῦ καὶ ἀπειλῆς πνέων εἰς

τοὐπίσω πρὸς τῆς ἱερᾶς ἀνθείλκετο προνοίας, ὡς μηδὲ τούτου μηδὲν μηδαμῶς αὐτοὺς ἀδικήσαντος, ἕτερα ἄττα αὐτοῖς ἐπαφίεσθαι θηρία. 6. τέλος δὴ οὖν μετὰ τὰς δεινὰς καὶ ποικίλας τούτων προσβολὰς ξίφει κατασφαγέντες οἱ πάντες, ἀντὶ γῆς καὶ τάφων τοῖς θαλαττίοις παραδίδονται κύμασι.

VIII. [Nic. H. E. VII, 8.] *Καὶ τοιοῦτος μὲν ὁ ἀγὼν τῶν κατὰ Τύρον τοὺς ὑπὲρ εὐσεβείας ἄθλους ἐνδειξαμένων Αἰγυπτίων.* θαυμάσειε δ' ἄν τις αὐτῶν καὶ τοὺς ἐπὶ τῆς οἰκείας γῆς μαρτυρήσαντας, ἔνθα μυρίοι τὸν ἀριθμὸν ἄνδρες ἅμα γυναιξὶ καὶ παισὶν, ὑπὲρ τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας τοῦ προσκαίρου ζῆν καταφρονήσαντες, διαφόρους ὑπέμειναν θανάτους, οἱ μὲν αὐτῶν μετὰ ξεσμοὺς καὶ στρεβλώσεις μάστιγάς τε χαλεπωτάτας καὶ μυρίας ἄλλας ποικίλας καὶ φρικτὰς ἀκοῦσαι βασάνους πυρὶ παραδοθέντες, οἱ δὲ πελάγει καταβροχισθέντες, ἄλλοι δὲ εὐθαρσῶς τοῖς ἀποτέμνουσι τὰς ἑαυτῶν προτείναντες κεφαλὰς, οἱ δὲ καὶ ἐναποθανόντες ταῖς βασάνοις, ἕτεροι δὲ λιμῷ διαφθαρέντες, καὶ ἄλλοι πάλιν ἀνασκολοπισθέντες, οἱ μὲν κατὰ τὸ σύνηθες τοῖς κακούργοις, οἱ δὲ καὶ χειρόνως ἀνάπαλιν κατωκάρα προσηλωθέντες, τηρούμενοί τε ζῶντες, εἰσότε καὶ ἐπ' αὐτῶν ἰκρίων λιμῷ διαφθαρεῖεν.

IX. [Nic. H. E. VII, 8.] *Πάντα δ' ὑπεραίρει λόγον καὶ ἃς ὑπέμειναν αἰκίας καὶ ἀλγηδόνας οἱ κατὰ Θηβαΐδα μάρτυρες,* ὀστράκοις ἀντὶ ὀνύχων ὅλον τὸ σῶμα μέχρις ἀπαλλαγῆς τοῦ βίου καταξαινόμενοι, γύναιά τε τοῖν ποδοῖν ἐξ ἑνὸς ἀποδεσμούμενα, μετέωρά τε καὶ διαέρια κάτω κεφαλὴν μαγγάνοις τισὶν εἰς ὕψος ἀνελκόμενα, γυμνοῖς τε παντελῶς καὶ μηδ' ἐπικεκαλυμμένοις τοῖς σώμασι θέαν

ταύτην αἰσχίστην καὶ πάντων ὠμοτάτην καὶ ἀπανθρωποτάτην τοῖς ὁρῶσιν ἅπασι παρεσχημένα. 2. ἄλλοι δ' αὖ πάλιν δένδρεσι καὶ πρέμνοις ἐναπέθνησκον δεσμούμενοι· τοὺς γὰρ μάλιστα στερροτάτους τῶν κλάδων μηχαναῖς τισιν ἐπὶ ταυτὸν συνέλκοντες, εἰς ἑκάτερά τε τούτων τὰ τῶν μαρτύρων ἀποτείνοντες σκέλη, εἰς τὴν ἑαυτῶν ἠφίεσαν τοὺς κλάδους φέρεσθαι φύσιν, ἄθρουν τῶν μελῶν διασπασμὸν καθ' ὧν ταῦτ' ἐνεχείρουν ἐπινοοῦντες. 3. καὶ ταῦτά γε πάντα ἐνηργεῖτο οὐκ ἐπ' ὀλίγας ἡμέρας ἢ χρόνον τινὰ βραχὺν, ἀλλ' ἐπὶ μακρὸν ὅλων ἐτῶν διάστημα, ὁτὲ μὲν πλειόνων ἢ δέκα, ὁτὲ δὲ ὑπὲρ τοὺς εἴκοσι τὸν ἀριθμὸν ἀναιρουμένων· ἄλλοτε δὲ οὐχ ἧττον καὶ τριάκοντα, ἤδη δὲ ἐγγύς που καὶ ἑξήκοντα, καὶ πάλιν ἄλλοτε ἑκατὸν ἐν ἡμέρᾳ μιᾷ ἄνδρες ἅμα κομιδῇ νηπίοις καὶ γυναιξὶν ἐκτείνοντο, ποικίλαις καὶ ἐναλλαττούσαις τιμωρίαις καταδικαζόμενοι. 4. ἱστορήσαμεν δὲ καὶ αὐτοὶ ἐπὶ τῶν τόπων γενόμενοι πλείους ἀθρόως κατὰ μίαν ἡμέραν τοὺς μὲν τῆς κεφαλῆς ἀποτομὴν ὑπομείναντας, τοὺς δὲ τὴν διὰ πυρὸς τιμωρίαν, ὡς ἀμβλύνεσθαι φονεύοντα τὸν σίδηρον, ἀτονοῦντά τε διαθλᾶσθαι, αὐτοὺς δὲ τοὺς ἀναιροῦντας ἀποκάμνοντας ἀμοιβαδὸν ἀλλήλους διαδέχεσθαι. 5. ὅτε καὶ θαυμασιωτάτην ὁρμὴν θείαν τε ὡς ἀληθῶς δύναμιν καὶ προθυμίαν τῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ πεπιστευκότων συνεωρῶμεν. ἅμα γοῦν τῇ κατὰ τῶν προτέρων ἀποφάσει ἐπεπήδων ἄλλοθεν ἄλλοι τῷ πρὸ τοῦ δικαστοῦ βήματι, Χριστιανοὺς σφᾶς ὁμολογοῦντες, ἀφροντίστως μὲν πρὸς τὰ δεινὰ καὶ τοὺς τῶν πολυειδῶν βασάνων τρόπους διακείμενοι, ἀκαταπλήκτως δὲ παρρησιαζόμενοι ἐπὶ τῇ εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείᾳ, μετά τε χαρᾶς

καὶ γέλωτος καὶ εὐφροσύνης τὴν ὑστάτην ἀπόφασιν τοῦ θανάτου καταδεχόμενοι, ὥστε ψάλλειν καὶ ὕμνους καὶ εὐχαριστίας εἰς τὸν τῶν ὅλων θεὸν μέχρις αὐτῆς ἐσχάτης ἀναπέμπειν ἀναπνοῆς. 6. θαυμάσιοι μὲν οὖν καὶ οὗτοι, ἐξαιρέτως δὲ ἐκεῖνοι θαυμασιώτεροι, οἱ πλούτῳ μὲν καὶ εὐγενείᾳ καὶ δόξῃ, λόγῳ τε καὶ φιλοσοφίᾳ διαπρέψαντες, πάντα γε μὴν δεύτερα θέμενοι τῆς ἀληθοῦς εὐσεβείας καὶ τῆς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστεως· 7. οἷος Φιλόρωμος ἦν, ἀρχήν τινα οὐ τὴν τυχοῦσαν τῆς κατ' Ἀλεξάνδρειαν βασιλικῆς διοικήσεως ἐγκεχειρισμένος, ὃς μετὰ τοῦ ἀξιώματος καὶ τῆς Ῥωμαϊκῆς τιμῆς ὑπὸ στρατιώταις δορυφορούμενος ἑκάστης ἀνεκρίνετο ἡμέρας· Φιλέας τε τῆς Θμουϊτῶν ἐκκλησίας ἐπίσκοπος, διαπρέψας ἀνὴρ ταῖς κατὰ τὴν πατρίδα πολιτείαις τε καὶ λειτουργίαις, ἔν τε τοῖς κατὰ φιλοσοφίαν λόγοις· 8. οἳ καὶ μυρίων ὅσων πρὸς αἵματός τε καὶ τῶν ἄλλων φίλων ἀντιβολούντων, ἔτι μὴν τῶν ἐπ' ἀξίας ἀρχόντων, πρὸς δὲ καὶ αὐτοῦ τοῦ δικαστοῦ παρακαλοῦντος, ὡς ἂν αὐτῶν οἶκτον λάβοιεν, φειδώ τε παίδων καὶ γυναικῶν ποιήσαιντο, οὐδαμῶς πρὸς τῶν τοσούτων ἐπὶ τὸ φιλοζωῆσαι μὲν ἑλέσθαι, καταφρονῆσαι δὲ τῶν περὶ ὁμολογίας καὶ ἀρνήσεως τοῦ σωτῆρος ἡμῶν θεσμῶν ὑπήχθησαν, ἀνδρείῳ δὲ λογισμῷ καὶ φιλοσόφῳ, μᾶλλον δὲ εὐσεβεῖ καὶ φιλοθέῳ ψυχῇ, πρὸς πάσας τοῦ δικαστοῦ τάς τε ἀπειλὰς καὶ τὰς ὕβρεις ἐνστάντες, ἄμφω τὰς κεφαλὰς ἀπετμήθησαν.

X. [Nic. H. E. VII, 9] Ἐπεὶ δὲ καὶ τῶν ἔξωθεν μαθημάτων ἕνεκα πολλοῦ λόγου ἄξιον γενέσθαι τὸν Φιλέαν ἔφαμεν, αὐτὸς ἑαυτοῦ παρίτω μάρτυς, ἅμα μὲν ἑαυτὸν ὅστις ποτ' ἦν ἐπιδείξων, ἅμα δὲ

καὶ τὰ κατ᾽ αὐτὸν ἐν τῇ Ἀλεξανδρείᾳ συμβεβηκότα μαρτύρια ἀκριβέστερον μᾶλλον ἢ ἡμεῖς ἱστορήσων διὰ τούτων τῶν λέξεων 2. "τούτων ἁπάντων ὑπο- "δειγμάτων ἡμῖν καὶ ὑπογραμμῶν καὶ καλῶν γνωρι- "σμάτων ἐν ταῖς θείαις καὶ ἱεραῖς γραφαῖς κειμένων, "οὐδὲν μελλήσαντες οἱ μακάριοι σὺν ἡμῖν μάρτυρες, "τὸ τῆς ψυχῆς ὄμμα πρὸς τὸν ἐπὶ πάντων θεὸν κα- "θαρῶς τείναντες, καὶ τὸν ἐπ᾽ εὐσεβείᾳ θάνατον ἐν "νῷ λαβόντες, ἀπρὶξ τῆς κλήσεως εἴχοντο, τὸν μὲν "κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εὑρόντες ἐνανθρω- "πήσαντα δι᾽ ἡμᾶς, ἵνα πᾶσαν μὲν ἁμαρτίαν ἐκκόψῃ, "ἐφόδια δὲ τῆς εἰς τὴν αἰώνιον ζωὴν εἰσόδου ἡμῖν "κατάθηται· οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα "θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, "καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἑαυτὸν ἐταπεί- "νωσεν ἕως θανάτου, θανάτου δὲ σταυροῦ. 3. διὸ καὶ "ζηλώσαντες τὰ μείζονα χαρίσματα οἱ χριστοφόροι "μάρτυρες πάντα μὲν πόνον καὶ παντοίας ἐπινοίας "αἰκισμῶν οὐκ εἰσάπαξ, ἀλλ᾽ ἤδη καὶ δεύτερόν τινες "ὑπέμειναν, πάσας δὲ ἀπειλὰς οὐ λόγοις μόνον, "ἀλλὰ καὶ ἔργοις τῶν δορυφόρων κατ᾽ αὐτῶν φιλο- "τιμουμένων, οὐκ ἐνεδίδουν τὴν γνώμην, διὰ τὸ "τὴν τελείαν ἀγάπην ἔξω βάλλειν τὸν φόβον. 4. ὧν "καταλέγειν τὴν ἀρετὴν καὶ τὴν ἐφ᾽ ἑκάστῃ βασάνῳ "ἀνδρείαν, τίς ἂν ἀρκέσειε λόγος; ἀνέσεως γὰρ οὔ- "σης ἅπασι τοῖς βουλομένοις ἐνυβρίζειν, οἱ μὲν "ξύλοις ἔπαιον, ἕτεροι δὲ ῥάβδοις, ἄλλοι δὲ μάστιξιν, "ἕτεροι δὲ πάλιν ἱμᾶσιν, ἄλλοι δὲ σχοινίοις. 5. καὶ "ἦν ἡ θέα τῶν αἰκισμῶν ἐνηλλαγμένη, καὶ πολλὴν "τὴν ἐν αὐτῇ κακίαν ἔχουσα. οἱ μὲν γὰρ ὀπίσω τὼ "χεῖρε δεθέντες περὶ τὸ ξύλον ἐξηρτῶντο, καὶ μαγ- "γάνοις τισὶ διετείνοντο πᾶν μέλος, εἶθ᾽ οὕτως διὰ

"παντὸς τοῦ σώματος ἐπῆγον ἐκ κελεύσεως οἱ βασα-
"νισταί, οὐ καθάπερ τοῖς φονεῦσιν ἐπὶ τῶν πλευρῶν
"μόνον, ἀλλὰ καὶ τῆς γαστρὸς καὶ κνημῶν καὶ πα-
"ρειῶν τοῖς ἀμυντηρίοις ἐκόλαζον· ἕτεροι δὲ ἀπὸ τῆς
"στοᾶς μιᾶς χειρὸς ἐξηρτημένοι ᾐωροῦντο, πάσης
"ἀληδόνος δεινοτέραν τὴν ἀπὸ τῶν ἄρθρων καὶ με-
"λῶν τάσιν ἔχοντες· ἄλλοι δὲ πρὸς τοῖς κίοσιν ἀντι-
"πρόσωποι ἐδοῦντο, οὐ βεβηκόσι τοῖς ποσί, τῷ δὲ
"βάρει τοῦ σώματος βιαζομένων μετὰ τάσεως ἀνελ-
"κομένων τῶν δεσμῶν. 6. καὶ τοῦθ᾽ ὑπέμενον, οὐκ
"ἐφ᾽ ὅσον προσδιελέγετο οὐδ᾽ αὐτοῖς ἐσχόλαζεν ὁ
"ἡγεμών, ἀλλὰ μονονουχὶ δι᾽ ὅλης τῆς ἡμέρας. ὅτε
"γὰρ καὶ ἐφ᾽ ἑτέρους μετέβαινε, τοῖς προτέροις κα-
"τελίμπανεν ἐφεδρεύειν τοὺς τῇ ἐξουσίᾳ αὐτοῦ ὑπη-
"ρετουμένους, εἴ πού τις ἡττηθεὶς τῶν βασάνων
"ἐνδιδόναι ἐδόκει, ἀφειδῶς δὲ κελεύων καὶ τοῖς
"δεσμοῖς προσιέναι, καὶ μετὰ ταῦτα ψυχορραγοῦν-
"τας αὐτοὺς κατατιθεμένους εἰς τὴν γῆν ἕλκεσθαι·
"7. οὐ γὰρ εἶναι κἂν μέρος φροντίδος αὐτοῖς περὶ
"ἡμῶν, ἀλλ᾽ οὕτω καὶ διανοεῖσθαι καὶ πράττειν,
"ὡς μηκέτ᾽ ὄντων, ταύτην δευτέραν ἐπὶ ταῖς πλη-
"γαῖς τῶν ὑπεναντίων ἐφευρόντων. 8. ἦσαν δὲ οἱ
"καὶ μετὰ τοὺς αἰκισμοὺς ἐπὶ τοῦ ξύλου κείμενοι διὰ
"τῶν τεσσάρων ὀπῶν διατεταμένοι ἄμφω τὼ πόδε,
"ὡς καὶ κατ᾽ ἀνάγκην αὐτοὺς ἐπὶ τοῦ ξύλου ὑπτίους
"εἶναι, μὴ δυναμένους διὰ τὸ ἔναυλα τὰ τραύματα
"ἀπὸ τῶν πληγῶν καθ᾽ ὅλου τοῦ σώματος ἔχειν·
"ἕτεροι δὲ εἰς τοὔδαφος ῥιφέντες ἔκειντο ὑπὸ τῆς
"τῶν βασάνων ἀθρόας προσβολῆς, δεινοτέραν τὴν
"ὄψιν τῆς ἐνεργείας τοῖς ὁρῶσι παρέχοντες, ποικίλας
"καὶ διαφόρους ἐν τοῖς σώμασι φέροντες τῶν βασά-
"νων τὰς ἐπινοίας. 9. τούτων οὕτως ἐχόντων οἱ

"μὲν ἐναπέθνησκον ταῖς βασάνοις, τῇ καρτερίᾳ καταισχύναντες τὸν ἀντίπαλον, οἱ δὲ ἡμιθνῆτες ἐν τῷ δεσμωτηρίῳ συγκλειόμενοι μετ' οὐ πολλὰς ἡμέρας ταῖς ἀλγηδόσι συνεχόμενοι ἐτελειοῦντο, οἱ δὲ λοιποὶ τῆς ἀπὸ τῆς θεραπείας ἀνακτήσεως τυχόντες τῷ χρόνῳ καὶ τῇ τῆς φυλακῆς διατριβῇ θαρσαλεώτεροι ἐγίνοντο. 10. οὕτω γοῦν ἡνίκα προστέτακτο αἱρέσεως κειμένης, ἢ ἐφαψάμενον τῆς ἐναγοῦς θυσίας ἀνενόχλητον εἶναι, τῆς ἐπαράτου ἐλευθερίας παρ' αὐτῶν τυχόντα, ἢ μὴ θύοντα τὴν ἐπὶ θανάτῳ δίκην ἐκδέχεσθαι, οὐδὲν μελλήσαντες ἀσμένως ἐπὶ τὸν θάνατον ἐχώρουν· ᾔδεσαν γὰρ τὰ ὑπὸ τῶν ἱερῶν γραφῶν ἡμῖν προορισθέντα. ὁ γὰρ θυσιάζων, φησὶ θεοῖς ἑτέροις ἐξολοθρευθήσεται, καί· ὅτι οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ." 11. τοιαῦται τοῦ ὡς ἀληθῶς φιλοσόφου τε ὁμοῦ καὶ φιλοθέου μάρτυρος αἱ φωναί, ἃς πρὸ τῆς τελευταίας ἀποφάσεως ὑπὸ τὴν δεσμωτικὴν ἔθ' ὑπάρχων τάξιν τοῖς κατὰ τὴν αὐτοῦ παροικίαν ἀδελφοῖς ἐπεστάλκει, ἅμα μὲν τὰ ἐν οἷς ἦν ἀνατιθέμενος, ἅμα δὲ καὶ παρορμῶν αὐτοὺς ἐπὶ τὸ ἀπρὶξ ἔχεσθαι καὶ μετ' αὐτὸν ὅσον οὔπω τελειωθησόμενον τῆς ἐν Χριστῷ θεοσεβείας. 12. ἀλλὰ τί χρὴ πολλὰ λέγειν, καὶ καινοτέρας ἐπὶ καινοτέραις τῶν ἀνὰ τὴν οἰκουμένην θεοπρεπῶν μαρτύρων ἀθλήσεις παρατίθεσθαι, καὶ μάλιστα τῶν οὐκέτι μὲν κοινῷ νόμῳ, πολέμου δὲ τρόπῳ πεπολιορκημένων;

XI. [Nic. H. E. VII, 10.] Ἤδη γοῦν ὅλην Χριστιανῶν πολίχνην αὔτανδρον ἀμφὶ τὴν Φρυγίαν ἐν κύκλῳ περιβαλόντες ὁπλῖται, πῦρ τε ὑφάψαντες,

---

14 Exod. 22, 20. Exod. 20, 3.

κατέφλεξαν αὐτοὺς ἅμα νηπίοις καὶ γυναιξὶ, τὸν ἐπὶ πάντων θεὸν ἐπιβοωμένους· ὅτι δὴ πανδημεὶ πάντες οἱ τὴν πόλιν οἰκοῦντες, λογιστής τε αὐτὸς καὶ στρατηγὸς σὺν τοῖς ἐν τέλει πᾶσι καὶ ὅλῳ δήμῳ, Χριστιανοὺς σφᾶς ὁμολογοῦντες, οὐδ' ὁπωστιοῦν τοῖς προστάττουσιν εἰδωλολατρεῖν ἐπειθάρχουν. 2. καί τις ἕτερος Ῥωμαϊκῆς ἀξίας ἐπειλημμένος, Ἄδαυκτος ὄνομα, γένος τῶν παρ' Ἰταλοῖς ἐπισήμων, διὰ πάσης διελθὼν ἀνὴρ τῆς παρὰ βασιλεῦσι τιμῆς, ὡς καὶ τὰς καθόλου διοικήσεις τῆς παρ' αὐτοῖς καλουμένης μαγιστρότητός τε καὶ καθολικότητος ἀμέμπτως διελθεῖν, ἐπὶ πᾶσι τούτοις διαπρέψας τοῖς ἐν θεοσεβείᾳ κατορθώμασι καὶ ταῖς εἰς τὸν Χριστὸν τοῦ θεοῦ ὁμολογίαις, τῷ τοῦ μαρτυρίου διαδήματι κατεκοσμήθη, ἐπ' αὐτῆς τῆς τοῦ καθολικοῦ πράξεως τὸν ὑπὲρ εὐσεβείας ὑπομείνας ἀγῶνα.

XII. [Nic. H. E. VII, 11.] Τί με χρὴ νῦν ἐπ' ὀνόματος τῶν λοιπῶν μνημονεύειν, ἢ τὸ πλῆθος τῶν ἀνδρῶν ἀριθμεῖν, ἢ τὰς πολυτρόπους αἰκίας ἀναζωγραφεῖν τῶν θαυμασίων Χριστοῦ μαρτύρων, τοτὲ μὲν πέλυξιν ἀναιρουμένων, οἷα γέγονε τοῖς ἐπ' Ἀραβίας, τοτὲ δὲ τὰ σκέλη καταγνυμένων, οἷα τοῖς ἐν Καππαδοκίᾳ συμβέβηκε, καὶ ποτὲ μὲν κατὰ κεφαλῆς ἐκ τοῖν ποδοῖν εἰς ὕψος ἀναρτωμένων, καὶ μαλθακοῦ πυρὸς ὑποκαιομένου τῷ παραπεμπομένῳ καπνῷ τῆς φλεγομένης ὕλης ἀποπνιγομένων, οἷα τοῖς ἐν Μέσῃ τῶν ποταμῶν ἐπήχθη, ποτὲ δὲ ῥῖνας καὶ ὦτα καὶ χεῖρας ἀκρωτηριαζομένων, τά τε λοιπὰ τοῦ σώματος μέλη καὶ μέρη κρεουργουμένων, οἷα τὰ ἐπ' Ἀλεξανδρείας ἦν; 2. τί δεῖ τῶν ἐπ' Ἀντιοχείας ἀναζωπυρεῖν τὴν μνήμην, ἐσχάραις πυρὸς οὐκ εἰς θάνατον, ἀλλ' ἐπὶ μακρᾷ τιμωρίᾳ κατοπτω-

μένων, ἑτέρων τε θᾶττον τὴν δεξιὰν αὐτῶν πυρὶ καθιέντων ἢ τῆς ἐναγοῦς θυσίας ἐφαπτομένων; ὧν τινὲς τὴν πεῖραν φεύγοντες, πρὶν ἁλῶναι καὶ εἰς χεῖρας τῶν ἐπιβούλων ἐλθεῖν, ἄνωθεν ἐξ ὑψηλῶν δωμάτων ἑαυτοὺς κατεκρήμνισαν, τὸν θάνατον ἅρπαγμα θέμενοι τῆς τῶν δυσσεβῶν μοχθηρίας. 3. καί τις ἱερὰ καὶ θαυμασία τὴν τῆς ψυχῆς ἀρετὴν, τὸ δὲ σῶμα γυνὴ, καὶ τὰ ἄλλα τῶν ἐπ' Ἀντιοχείας πλούτῳ καὶ γένει καὶ εὐδοξίᾳ παρὰ πᾶσι βεβοημένη, παίδων ξυνωρίδα παρθένων, τῇ τοῦ σώματος ὥρᾳ καὶ ἀκμῇ διαπρεπουσῶν, θεσμοῖς εὐσεβείας ἀναθρεψαμένη, ἐπειδὴ πολὺς ὁ περὶ αὐτὰς κινούμενος φθόνος πάντα τρόπον ἀνιχνεύων λανθανούσας περιειργάζετο, εἶτα ἐπ' ἀλλοδαπῆς αὐτὰς διατρίβειν μαθὼν πεφροντισμένως ἐπὶ τὴν Ἀντιόχειαν ἐκάλει, δικτύων δὲ ἤδη στρατιωτικῶν εἴσω περιβέβληντο, ἐν ἀμηχάνοις ἑαυτήν τε καὶ τὰς παῖδας θεασαμένη, καὶ τὰ μέλλοντα ἐξ ἀνθρώπων δεινὰ τῷ λόγῳ παραθεῖσα, τό τε πάντων δεινῶν ἀφορητότερον, πορνείας ἀπειλὴν, μηδὲ ἄκροις ὠσὶν ὑπομεῖναι δεῖν ἀκοῦσαι, ἑαυτῇ τε καὶ ταῖς κόραις παρακελευσαμένη, ἀλλὰ καὶ τὸ προδοῦναι τὰς ψυχὰς τῇ τῶν δαιμόνων δουλείᾳ πάντων ὑπάρχειν θανάτων καὶ πάσης χεῖρον ἀπωλείας φήσασα, μίαν τούτων ἁπάντων εἶναι λύσιν ὑπετίθετο, τὴν ἐπὶ τὸν κύριον καταφυγήν· 4. κἄπειτα ὁμοῦ τὴν γνώμην συνθέμεναι, τά τε σώματα περιστείλασαι κοσμίως τοῖς περιβλήμασιν, ἐπ' αὐτῆς μέσης γενόμεναι τῆς ὁδοῦ, βραχύ τι τοὺς φύλακας εἰς ἀναχώρησιν ὑποπαραιτησάμεναι, ἐπὶ παραρρέοντα ποταμὸν ἑαυτὰς ἠκόντισαν. 5. αἵδε μὲν οὖν ἑαυτάς· ἄλλην δ' ἐπ' αὐτῆς Ἀντιοχείας ξυνωρίδα παρθένων τὰ πάντα θεοπρεπῶν καὶ ἀληθῶς ἀδελφῶν, ἐπιδόξων

μὲν τὸ γένος, λαμπρῶν δὲ τὸν βίον, νέων τοὺς χρόνους, ὡραίων τὸ σῶμα, σεμνῶν τὴν ψυχὴν, εὐσεβῶν τὸν τρόπον, θαυμαστῶν τὴν σπουδὴν, ὡς ἂν μὴ φερούσης τῆς γῆς τὰ τοιαῦτα βαστάζειν, θαλάττῃ ῥίπτειν ἐκέλευον οἱ τῶν δαιμόνων θεραπευταί. ταῦτα μὲν οὖν παρὰ τοῖσδε. 6. τὰ φρικτὰ δὲ ἀκοαῖς κατὰ τὸν Πόντον ἔπασχον ἕτεροι, καλάμοις ὀξέσι τοῖν χεροῖν ἐξ ἄκρων ὀνύχων τοὺς δακτύλους διαπειρόμενοι, καὶ ἄλλοι πυρὶ μολίβδου διατακέντος βρασσούσῃ καὶ πεπυρακτωμένῃ τῇ ὕλῃ τὰ νῶτα καταχεόμενοι, καὶ τὰ μάλιστα ἀναγκαιότατα τοῦ σώματος κατοπτώμενοι· 7. διά τε τῶν ἀπορρήτων ἕτεροι μελῶν τε καὶ σπλάγχνων αἰσχρὰς καὶ ἀσυμπαθεῖς καὶ οὐδὲ λόγῳ ῥητὰς ὑπέμενον πάθας, ἃς οἱ γενναῖοι καὶ νόμιμοι δικασταὶ, τὴν σφῶν ἐπιδεικνύμενοι δεινότητα, ὥσπερ τινὰ σοφίας ἀρετὴν φιλοτιμότερον ἐπενόουν, ἀεὶ ταῖς καινότερον ἐφευρισκομέναις αἰκίαις, ὡσπερεὶ ἐν ἀγῶνος βραβείοις, ἀλλήλους ὑπερεξάγειν διαμιλλώμενοι. 8. τὰ δ' οὖν τῶν συμφορῶν ἔσχατα, ὅτε δὴ λοιπὸν ἀπειρηκότες ἐπὶ τῇ τῶν κακῶν ὑπερβολῇ καὶ πρὸς τὸ κτείνειν ἀποκαμόντες, πλησμονήν τε καὶ κόρον τῆς τῶν αἱμάτων ἐκχύσεως ἐσχηκότες, ἐπὶ τὸ νομιζόμενον αὐτοῖς χρηστὸν καὶ φιλάνθρωπον ἐτρέποντο, ὡς μηδὲν μὲν ἔτι δοκεῖν δεινὸν καθ' ἡμῶν περιεργάζεσθαι· 9. μὴ γὰρ καθήκειν φασὶν αἵμασιν ἐμφυλίοις μιαίνειν τὰς πόλεις, μηδ' ἐπ' ὠμότητι τῇ ἀνωτάτω διαβάλλειν τὴν τῶν κρατούντων ἀρχὴν, εὐμενῆ τοῖς πᾶσιν ὑπάρχουσαν καὶ πραεῖαν, δεῖν δὲ μᾶλλον τῆς φιλανθρώπου καὶ βασιλικῆς ἐξουσίας εἰς πάντας ἐκτείνεσθαι τὴν εὐεργεσίαν, μηκέτι θανάτῳ κολαζομένους· λελύσθαι γὰρ αὐτῶν καθ' ἡμῶν ταύτην τὴν

τιμωρίαν, διὰ τὴν τῶν κρατούντων φιλανθρωπίαν. 10. τηνικαῦτα ὀφθαλμοὺς ἐξορύττεσθαι καὶ τοῖν σκελοῖν πηροῦσθαι θάτερον προσετάττετο. ταῦτα γὰρ ἦν αὐτοῖς τὰ φιλάνθρωπα, καὶ τῶν καθ' ἡμῶν τιμωριῶν τὰ κουφότατα, ὥστε ἤδη ταύτης ἕνεκα τῆς τῶν ἀσεβῶν φιλανθρωπίας οὐκέτ' εἶναι δυνατὸν ἐξειπεῖν τὸ πλῆθος τῶν ὑπὲρ πάντα λόγον τοὺς μὲν δεξιοὺς ὀφθαλμοὺς ξίφει πρότερον ἐκκοπτομένων, καὶ μετὰ τὴν ἐκκέντησιν τούτους πυρὶ καυτηριαζομένων, τοὺς δὲ λαιοὺς πόδας κατὰ τῶν ἀγκυλῶν αὖθις καυτῆρσιν ἀχρειουμένων, μετά τε ταῦτα τοῖς κατ' ἐπαρχίαν χαλκοῦ μετάλλοις οὐχ ὑπηρεσίας τοσοῦτον, ὅσον κακώσεως καὶ ταλαιπωρίας ἕνεκεν καταδικαζομένων, πρὸς ἅπασί τε τούτοις ἄλλων ἄλλοις ἀγῶσιν, οὓς μηδὲ καταλέγειν δυνατόν, (νικᾷ γὰρ πάντα λόγον τὰ κατ' αὐτοὺς ἀνδραγαθήματα), περιπεπτωκότων. 11. ἐν δὴ τούτοις ἐφ' ὅλης τῆς οἰκουμένης διαλάμψαντες οἱ μεγαλοπρεπεῖς τοῦ Χριστοῦ μάρτυρες τοὺς μὲν ἁπανταχοῦ τῆς ἀνδρείας αὐτῶν ἐπόπτας εἰκότως κατεπλήξαντο, τῆς δὲ τοῦ σωτῆρος ἡμῶν θείας ὡς ἀληθῶς καὶ ἀπορρήτου δυνάμεως ἐμφανῆ δι' ἑαυτῶν τὰ τεκμήρια παρεστήσαντο. ἑκάστου μὲν οὖν ἐπ' ὀνόματος μνημονεύειν μακρὸν ἂν εἴη, μή τί γε τῶν ἀδυνάτων,

XIII. [Nic. H. E. VII, 16.] τῶν δὲ κατὰ τὰς ἐπισήμους πόλεις μαρτυρησάντων ἐκκλησιαστικῶν ἀρχόντων πρῶτος ἡμῖν ἐν εὐσεβῶν στήλαις τῆς Χριστοῦ βασιλείας ἀναγορευέσθω μάρτυς ἐπίσκοπος τῆς Νικομηδέων πόλεως, τὴν κεφαλὴν ἀποτμηθείς, Ἄνθιμος. 2. τῶν δ' ἐπ' Ἀντιοχείας μαρτύρων τὸν πάντα βίον ἄριστος πρεσβύτερος τῆς αὐτόθι παροικίας Λουκιανός, ἐν τῇ Νικομηδείᾳ καὶ αὐτός, βασιλέως ἐπι-

παρόντος, τὴν οὐράνιον τοῦ Χριστοῦ βασιλείαν λόγῳ πρότερον δι' ἀπολογίας, εἶτα δὲ καὶ ἔργοις ἀνακηρύξας. 3. τῶν δ' ἐπὶ Φοινίκης μαρτύρων γένοιντ' ἂν ἐπισημότατοι τὰ πάντα θεοφιλεῖς τῶν λογικῶν Χριστοῦ θρεμμάτων ποιμένες, Τυραννίων ἐπίσκοπος τῆς κατὰ Τύρον ἐκκλησίας, πρεσβύτερός τε τῆς κατὰ Σιδῶνα Ζηνόβιος, καὶ ἔτι Σιλβανὸς τῶν ἀμφὶ τὴν Ἔμισαν ἐκκλησιῶν ἐπίσκοπος. 4. ἀλλ' οὗτος μὲν θηρίων βορὰ μεθ' ἑτέρων ἐπ' αὐτῆς Ἐμίσης γενόμενος χοροῖς ἀνελήφθη μαρτύρων, τῶν δ' ἐπ' Ἀντιοχείας ἄμφω τὸν τοῦ θεοῦ λόγον διὰ τῆς εἰς θάνατον ὑπομονῆς ἐδοξασάτην, ὁ μὲν θαλαττίοις παραδοθεὶς βυθοῖς, ὁ ἐπίσκοπος, ὁ δὲ ἰατρῶν ἄριστος Ζηνόβιος ταῖς κατὰ τῶν πλευρῶν ἐπιτεθείσαις αὐτῷ καρτερῶς ἐναποθανὼν βασάνοις. 5. τῶν δ' ἐπὶ Παλαιστίνης μαρτύρων Σιλβανὸς, ἐπίσκοπος τῶν ἀμφὶ τὴν Γάζαν ἐκκλησιῶν, κατὰ τὰ ἐν Φαινοῖ χαλκοῦ μέταλλα σὺν ἑτέροις ἑνὸς δέουσι τὸν ἀριθμὸν τεσσαράκοντα τὴν κεφαλὴν ἀποτέμνεται, Αἰγύπτιοί τε αὐτόθι Πηλεὺς καὶ Νεῖλος ἐπίσκοποι μεθ' ἑτέρων τὴν διὰ πυρὸς ὑπέμειναν τελευτήν. 6. καὶ τὸ μέγα δὲ κλέος τῆς Καισαρέων παροικίας ἐν τούτοις ἡμῖν μνημονευέσθω Πάμφιλος πρεσβύτερος, τῶν καθ' ἡμᾶς θαυμασιώτατος, οὗ τῶν ἀνδραγαθημάτων τὴν ἀρετὴν κατὰ τὸν δέοντα καιρὸν ἀνεγράψαμεν. 7. τῶν δ' ἐπ' Ἀλεξανδρείας καθ' ὅλης τε Αἰγύπτου καὶ Θηβαΐδος διαπρεπῶς τελειωθέντων πρῶτος Πέτρος, αὐτῆς Ἀλεξανδρείας ἐπίσκοπος, θεῖόν τι χρῆμα διδασκάλων τῆς ἐν Χριστῷ θεοσεβείας, ἀναγεγράφθω, καὶ τῶν σὺν αὐτῷ πρεσβυτέρων Φαῦστος καὶ Δῖος

---

25 ἀνεγράψαμεν] VI, 32. VII, 32. De mart. Palaest. c. 11.

καὶ Ἀμμώνιος, τέλειοι Χριστοῦ μάρτυρες, Φιλέας τε καὶ Ἡσύχιος καὶ Παχύμιος καὶ Θεόδωρος, τῶν ἀμφὶ τὴν Αἴγυπτον ἐκκλησιῶν ἐπίσκοποι, μυρίοι τε ἐπὶ τούτοις ἄλλοι διαφανεῖς, οἳ πρὸς τῶν κατὰ χώραν καὶ τόπον παροικιῶν μνημονεύονται, ὧν ἀνὰ τὴν πᾶσαν οἰκουμένην ὑπὲρ τῆς εἰς τὸ θεῖον εὐσεβείας ἠγωνισμένων γραφῇ παραδιδόναι τοὺς ἄθλους, ἐπ' ἀκριβές τε ἕκαστα τῶν περὶ αὐτοὺς συμβεβηκότων ἱστορεῖν, οὐχ ἡμέτερον, τῶν δ' ὄψει τὰ πράγματα παρειληφότων ἴδιον ἂν γένοιτο. οἷς γε μὴν αὐτὸς παρεγενόμην, τούτους καὶ τοῖς μεθ' ἡμᾶς γνωρίμους δι' ἑτέρας ποιήσομαι γραφῆς. 8. κατά γε μὴν τὸν παρόντα λόγον τὴν παλινῳδίαν τῶν περὶ ἡμᾶς εἰργασμένων τοῖς εἰρημένοις ἐπισυνάψω, τά τε ἐξ ἀρχῆς τοῦ διωγμοῦ συμβεβηκότα, χρησιμώτατα τυγχάνοντα τοῖς ἐντευξομένοις. 9. τὰ μὲν οὖν πρὸ τοῦ καθ' ἡμῶν πολέμου τῆς Ῥωμαίων ἡγεμονίας, ἐν ὅσοις δὴ χρόνοις τὰ τῶν ἀρχόντων φίλιά τε ἡμῖν ἦν καὶ εἰρηναῖα, ὁπόσης ἀγαθῶν εὐφορίας καὶ εὐετηρίας ἠξίωτο, τίς ἂν ἐξαρκέσειε λόγος διηγήσασθαι; ὁπότε καὶ οἱ μάλιστα τῆς καθόλου κρατοῦντες ἀρχῆς, δεκαετηρίδας καὶ εἰκοσαετηρίδας τῆς βασιλείας ἐκπλήσαντες, ἐν ἑορταῖς καὶ πανηγύρεσι, φαιδροτάταις τε θαλίαις καὶ εὐφροσύναις μετὰ πάσης εὐσταθοῦς διετέλουν εἰρήνης. 10. οὕτω δ' αὐτοῖς ἀπαραποδίστως αὐξούσης καὶ ἐπὶ μέγα ὁσημέραι προϊούσης τῆς ἐξουσίας, ἀθρόως τῆς πρὸς ἡμᾶς εἰρήνης μεταθέμενοι, πόλεμον ἄσπονδον ἐγείρουσιν, οὔπω δ' αὐτοῖς τῆς τοιασδὶ κινήσεως δεύτερον ἔτος πεπλήρωτο, καί τι περὶ τὴν ὅλην ἀρχὴν νεώτερον γεγονὸς τὰ πάντα πράγματα ἀνατρέπει. 11. νόσου γὰρ οὐκ αἰσίας τῷ πρωτοστάτῃ τῶν εἰρημένων ἐπισκηψάσης,

ὑφ' ἧς δὴ καὶ τὰ τῆς διανοίας εἰς ἔκστασιν αὐτῷ παρήγετο, σὺν τῷ μετ' αὐτὸν δευτερείοις τετιμημένῳ τὸν δημώδη καὶ ἰδιωτικὸν ἀπολαμβάνει βίον· οὔπω δὲ ταῦτ' αὐτῷ οὕτω πέπρακτο, καὶ διχῇ τὰ πάντα τῆς ἀρχῆς διαιρεῖται, πρᾶγμα μηδ' ἄλλοτέ πω πάλαι γεγονὸς μνήμῃ παραδεδομένον. 12. χρόνου δ' οὐ πλείστου μεταξὺ γενομένου βασιλεὺς Κωνστάντιος, τὸν πάντα βίον πραότατα καὶ τοῖς ὑπηκόοις εὐνοϊκώτατα, τῷ τε θείῳ λόγῳ προσφιλέστατα διαθέμενος, παῖδα γνήσιον Κωνσταντῖνον αὐτοκράτορα καὶ σεβαστὸν ἀνθ' ἑαυτοῦ καταλιπὼν, κοινῷ φύσεως νόμῳ τελευτᾷ τὸν βίον, πρῶτός τε ἐν θεοῖς ἀνηγορεύετο παρ' αὐτοῖς, ἁπάσης μετὰ θάνατον, ὅση βασιλεῖ τις ἂν ὠφείλετο, τιμῆς ἠξιωμένος, χρηστότατος καὶ ἠπιώτατος βασιλέων, 13. ὃς δὴ καὶ μόνος τῶν καθ' ἡμᾶς ἐπαξίως τῆς ἡγεμονίας τὸν πάντα τῆς ἀρχῆς διατελέσας χρόνον, καὶ τἄλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον παρασχὼν ἑαυτὸν, τοῦ δὲ καθ' ἡμῶν πολέμου μηδαμῶς ἐπικοινωνήσας, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς ἀβλαβεῖς καὶ ἀνεπηρεάστους φυλάξας, καὶ μήτε τῶν ἐκκλησιῶν τοὺς οἴκους καθελὼν, μήθ' ἕτερόν τι καθ' ἡμῶν καινουργήσας, τέλος εὐδόκιμον καὶ τρισμακάριον ἀπείληφε τοῦ βίου, μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐμενῶς καὶ ἐπιδόξως ἐπὶ διαδόχῳ γνησίῳ παιδὶ, πάντα σωφρονεστάτῳ τε καὶ εὐσεβεστάτῳ, τελευτήσας. 14. τούτου παῖς Κωνσταντῖνος εὐθὺς ἀρχόμενος, βασιλεὺς τελεώτατος καὶ σεβαστὸς πρὸς τῶν στρατοπέδων, καὶ ἔτι πολὺ τούτων πρότερον πρὸς αὐτοῦ τοῦ παμβασιλέως θεοῦ ἀναγορευθεὶς, ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. καὶ οὗτος μὲν τοι-

οὗτος. *Λικίννιος δὲ ἐπὶ τούτοις ὑπὸ κοινῆς ψήφου τῶν κρατούντων αὐτοκράτωρ καὶ σεβαστὸς ἀναπέφηνε.* 15. *ταῦτα Μαξιμῖνον δεινῶς ἐλύπει, μόνον καίσαρα παρὰ πάντας εἰσέτι τότε χρηματίζοντα, ὃς δὴ οὖν τὰ μάλιστα τυραννικὸς ὢν, παραρπάσας ἑαυτῷ τὴν ἀξίαν, σεβαστὸς ἦν, αὐτὸς ὑφ᾽ ἑαυτοῦ γεγονώς· ἐν τούτῳ δὲ Κωνσταντίνῳ μηχανὴν θανάτου συρράπτων ἁλοὺς ὁ μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι δεδηλωμένος, αἰσχίστῳ καταστρέφει θανάτῳ. πρώτου δὲ τούτου τὰς ἐπὶ τιμῇ γραφὰς, ἀνδριάντας τε καὶ ὅσα τοιαῦτα ἐπ᾽ ἀναθέσει νενόμισται, ὡς ἀνοσίου καὶ δυσσεβεστάτου καθῄρουν.*

XIV. [Nic. H. E. VII, 21.] *Τούτου παῖς Μαξέντιος, ὁ τὴν ἐπὶ Ῥώμης τυραννίδα συστησάμενος, ἀρχόμενος μὲν τὴν καθ᾽ ἡμᾶς πίστιν ἐπ᾽ ἀρεσκείᾳ καὶ κολακείᾳ τοῦ δήμου Ῥωμαίων καθυπεκρίνατο, ταύτῃ τε τοῖς ὑπηκόοις τὸν κατὰ Χριστιανῶν ἀνεῖναι προστάττει διωγμὸν, εὐσέβειαν ἐπιμορφάζων, καὶ ὡς ἂν δεξιὸς καὶ πολὺ πρᾶος παρὰ τοὺς προτέρους φανείη·* 2. *οὐ μὴν οἷος ἔσεσθαι ἠλπίσθη, τοιοῦτος ἔργοις ἀναπέφηνεν, εἰς πάσας δ᾽ ἀνοσιουργίας ὀκείλας οὐδὲν ὅ τι μιαρίας ἔργον καὶ ἀκολασίας παραλέλοιπε, μοιχείας τε καὶ παντοίας ἐπιτελῶν φθοράς· διαζευγνύς γέ τοι τῶν ἀνδρῶν τὰς κατὰ νόμον γαμετὰς, ταύτας ἐνυβρίζων, ἀτιμότατα τοῖς ἀνδράσιν αὖθις ἀπέπεμπε, καὶ ταῦτ᾽ οὐκ ἀσήμοις οὐδ᾽ ἀφανέσιν ἐγχειρῶν ἐπετήδευεν, ἀλλ᾽ αὐτῶν δὴ μάλιστα τῶν τὰ πρῶτα τῆς Ῥωμαίων συγκλήτου βουλῆς ἀπενηνεγμένων ἐμπαροινῶν τοῖς ἐξοχωτάτοις.* 3. *οἱ πάντες δ᾽ αὐτὸν ὑποπεπτηχότες δῆμοι καὶ ἄρχοντες,*

---

30 *οἱ πάντες* — Conf. Eusebii Vit. Const. 1, 35.

ἔνδοξοί τε καὶ ἄδοξοι, δεινῇ κατετρύχοντο τυραννίδι. καὶ οὐδ' ἠρεμούντων καὶ τὴν πικρὰν φερόντων δουλείαν, ἀπαλλαγή τις ὅμως ἦν τῆς τοῦ τυράννου φονώσης ὠμότητος· ἐπὶ σμικρᾷ γοῦν ἤδη ποτὲ προφάσει τὸν δῆμον εἰς φόνον τοῖς ἀμφ' αὐτὸν δορυφόροις ἐκδίδωσι, καὶ ἐκτείνετο μυρία τοῦ δήμου Ῥωμαίων πλήθη ἐπὶ μέσης τῆς πόλεως, οὐ Σκυθῶν οὐδὲ βαρβάρων, ἀλλ' αὐτῶν τῶν οἰκείων δόρασι καὶ πανοπλίαις. 4. συγκλητικῶν γε μὴν φόνος ὁπόσος δι' ἐπιβουλὴν ἐνηργεῖτο τῆς οὐσίας οὐδ' ἐξαριθμήσασθαι δυνατὸν ἄλλοτε ἄλλαις πεπλασμέναις αἰτίαις μυρίων ἀναιρουμένων. 5. ἡ δὲ τῶν κακῶν τῷ τυράννῳ κορωνὶς ἐπὶ γοητείαν ἤλαυνε, μαγικαῖς ἐπινοίαις τοτὲ μὲν γυναῖκας ἐγκύμονας ἀνασχίζοντος, τοτὲ δὲ νεογνῶν σπλάγχνα βρεφῶν διερευνωμένου, λέοντάς τε κατασφάττοντος, καί τινας ἀρρητοποιίας ἐπὶ δαιμόνων προκλήσεις καὶ ἀποτροπιασμὸν τοῦ πολέμου συνισταμένου· διὰ τούτων γὰρ αὐτῷ τὰ τῆς νίκης κατορθωθήσεσθαι ἡ πᾶσα ἐτύγχανεν ἐλπίς. 6. οὗτος μὲν οὖν ἐπὶ Ῥώμης τυραννῶν οὐδ' ἔστιν εἰπεῖν οἷα δρῶν τοὺς ὑπηκόους κατεδουλοῦτο, ὡς ἤδη καὶ τῶν ἀναγκαίων τροφῶν ἐν ἐσχάτῃ σπάνει καὶ ἀπορίᾳ καταστῆναι, ὅσην ἐπὶ Ῥώμης οὐδ' ἄλλοτε οἱ καθ' ἡμᾶς γενέσθαι μνημονεύουσιν. 7. ὁ δ' ἐπ' ἀνατολῆς τύραννος Μαξιμῖνος, ὡσὰν πρὸς ἀδελφὸν τὴν κακίαν πρὸς τὸν ἐπὶ Ῥώμης φιλίαν κρύβδην σπενδόμενος, ἐπὶ πλεῖστον χρόνον λανθάνειν ἐφρόντιζε, φωραθείς γέ τοι ὕστερον δίκην τίννυσι τὴν ἀξίαν. 8. ἦν δὲ θαυμάσαι ὅπως καὶ οὗτος τὰ συγγενῆ καὶ ἀδελφά, μᾶλλον δὲ κακίας τὰ πρῶτα καὶ τὰ νικητήρια τῆς τοῦ κατὰ Ῥώμην τυράννου κακοτροπίας ἀπενηνεγμένος. γοήτων τε γὰρ καὶ μάγων οἱ πρῶτοι

τῆς ἀνωτάτω παρ' αὐτῷ τιμῆς ἠξίωντο, ψοφοδεοῦς εἰς τὰ μάλιστα καὶ δεισιδαιμονεστάτου καθεστῶτος, τήν τε περὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας περὶ πολλοῦ τιθεμένου πλάνην. μαντειῶν γοῦν δίχα καὶ χρησμῶν οὐδὲ μέχρις ὄνυχος, ὡς εἰπεῖν, τολμᾶν τι κινεῖν οἷός τε ἦν. 9. οὗ χάριν καὶ τῷ καθ' ἡμῶν σφοδρότερον ἢ οἱ πρόσθεν καὶ πυκνότερον ἐπετίθετο διωγμῷ, νεὼς κατὰ πᾶσαν πόλιν ἐγείρειν, καὶ τὰ χρόνου μήκει καθῃρημένα τεμένη διὰ σπουδῆς ἀνανεοῦσθαι προστάττων, ἱερέας τε εἰδώλων κατὰ πάντα τόπον καὶ πόλιν· καὶ ἐπὶ τούτων ἑκάστης ἐπαρχίας ἀρχιερέα, τῶν ἐν πολιτείαις ἕνα γέ τινα τὸν μάλιστα ἐμφανῶς διὰ πάσης ἐμπρέψαντα λειτουργίας, μετὰ στρατιωτικοῦ στίφους καὶ δορυφορίας ἐκτάσσων, ἀνέδην τε πᾶσι γόησιν, ὡσὰν εὐσεβέσι καὶ θεῶν προσφιλέσιν, ἡγεμονίας καὶ τὰς μεγίστας προνομίας δωρούμενος. 10. ἐκ δὴ τούτων ὁρμώμενος πόλιν μὲν οὐ μίαν οὐδὲ χώραν, ὅλας δὲ ἄρδην τὰς ὑπ' αὐτὸν ἐπαρχίας χρυσοῦ καὶ ἀργύρου καὶ χρημάτων ἀμυθήτων εἰσπράξεσιν, ἐπισκήψεσί τε βαρυτάταις καὶ ἄλλοτε ἄλλαις καταδίκαις ἠνία καὶ κατεπίεζε. τῶν γε μὴν εὐπόρων τὰς ἐκ προγόνων περιποιηθείσας οὐσίας ἀφαιρούμενος, πλούτους ἀθρόως καὶ σωροὺς χρημάτων τοῖς ἀμφ' αὐτὸν κόλαξιν ἐδωρεῖτο. 11. παροινίας γε μὴν καὶ μέθης εἰς τοσαύτην ἠνέχθη φορὰν ὡς ἐν τοῖς πότοις παρακόπτειν καὶ τῶν φρενῶν παρεξίστασθαι, τοιαῦτά τε μεθύοντα προστάττειν οἷα ἀνανήψαντα αὐτὸν τῇ ὑστεραίᾳ εἰς μετάμελον ἄγειν· κραιπάλης δὲ καὶ ἀσωτίας μηδενὶ καταλιπὼν ὑπερβολήν, κακίας διδάσκαλον τοῖς ἀμφ' αὐτὸν ἄρχουσί τε καὶ ἀρχομένοις ἑαυτὸν καθίστη, θρύπτεσθαι μὲν τὸ στρατιωτικὸν διὰ πάσης τρυφῆς

τε καὶ ἀκολασίας ἐνάγων, ἡγεμόνας δὲ καὶ στρατοπεδάρχας δι' ἁρπαγῶν καὶ πλεονεξίας χωρεῖν κατὰ τῶν ὑπηκόων, μονονουχὶ συντυραννοῦντας αὐτῷ, προκαλούμενος. 12. τί δεῖ τὰς ἐμπαθεῖς τἀνδρὸς αἰσχρουργίας μνημονεύειν; ἢ τῶν πρὸς αὐτοῦ μεμοιχευμένων ἀπαριθμεῖσθαι τὴν πληθύν; οὐκ ἦν γέ τοι πόλιν αὐτὸν παρελθεῖν, μὴ οὐχὶ ἐκ παντὸς φθορὰς γυναικῶν παρθένων τε ἁρπαγὰς εἰργασμένον. 13. κατὰ πάντων γέ τοι αὐτῷ ταῦτα προυχώρει, μὴ ὅτι μόνων Χριστιανῶν, οἳ θανάτου καταφρονήσαντες παρ' οὐδὲν αὐτοῦ τὴν τοσαύτην ἔθεντο τυραννίδα. οἱ μὲν γὰρ ἄνδρες ἀνατλάντες πῦρ καὶ σίδηρον καὶ προσηλώσεις, θῆράς τε ἀγρίους καὶ θαλάττης βυθούς, ἀποτομάς τε μελῶν καὶ καυτῆρας, καὶ ὀφθαλμῶν κεντήσεις τε καὶ ἐξορύξεις, καὶ τοῦ παντὸς σώματος ἀκρωτηριασμούς, λιμόν τε ἐπὶ τούτοις καὶ μέταλλα καὶ δεσμά, ἐπὶ πάντων μᾶλλον ὑπομονὴν τὴν ὑπὲρ εὐσεβείας ἐνεδείξαντο ἢ τὸ σέβας τὸ εἰς θεὸν εἰδώλοις ἀντικατηλλάξαντο. 14. αἱ δ' αὖ γυναῖκες οὐχ ἧττον τῶν ἀνδρῶν ὑπὸ τῆς τοῦ θείου λόγου διδασκαλίας ἠρρενωμέναι, αἱ μὲν τοὺς αὐτοὺς τοῖς ἀνδράσιν ἀγῶνας ὑποστᾶσαι ἴσα τῆς ἀρετῆς ἀπηνέγκαντο βραβεῖα, αἱ δὲ ἐπὶ φθορὰν ἑλκόμεναι θᾶττον τὴν ψυχὴν θανάτῳ ἢ τὸ σῶμα τῇ φθορᾷ παραδεδώκασι. 15. μόνη γοῦν τῶν ἄλλων ὑπὸ τοῦ τυράννου μεμοιχευμένων Χριστιανὴ τῶν ἐπ' Ἀλεξανδρείας ἐπισημοτάτη τε καὶ λαμπροτάτη τὴν ἐμπαθῆ καὶ ἀκόλαστον Μαξιμίνου ψυχὴν δι' ἀνδρειοτάτου παραστήματος ὑπερεξενίκησεν, ἔνδο-

---

12 Euseb. Laud. Const. c. 7.

ξος μὲν τἄλλα πλούτῳ τε καὶ γένει καὶ παιδείᾳ, πάντα γε μὴν δεύτερα σωφροσύνης τεθειμένη, ἣν καὶ πολλὰ λιπαρήσας κτεῖναι μὲν ἑτοίμως θνήσκειν ἔχουσαν οὐχ οἷός τε ἦν, τῆς ἐπιθυμίας μᾶλλον τοῦ θυμοῦ κατακρατούσης αὐτοῦ, φυγῇ δὲ ζημιώσας πάσης ἀφείλετο τῆς οὐσίας. 16. μυρίαι δ' ἄλλαι πρὸς τῶν κατ' ἔθνος ἀρχόντων πορνείας ἀπειλὴν μηδ' ἀκοῦσαι δεδυνημέναι πᾶν εἶδος βασάνων καὶ στρεβλώσεων καὶ θανατηφόρου κολάσεως ὑπέστησαν. θαυμασταὶ μὲν οὖν καὶ αὗται, ὑπερφυῶς γε μὴν θαυμασιωτάτη ἡ ἐπὶ Ῥώμης εὐγενεστάτη τῷ ὄντι καὶ σωφρονεστάτη γυνὴ πασῶν, αἷς ἐμπαροινεῖν ὁ ἐκεῖσε τύραννος Μαξέντιος τὰ ὅμοια Μαξιμίνῳ δρῶν ἐπειρᾶτο. 17. ὡς γὰρ ἐπιστάντας τῷ οἴκῳ τοὺς τὰ τοιαῦτα τῷ τυράννῳ διακονουμένους ἐπύθετο, (Χριστιανὴ δὲ καὶ αὕτη ἦν), τόν τε ἄνδρα τὸν αὐτῆς, καὶ ταῦτα Ῥωμαίων ὄντα ἔπαρχον, τοῦ δέους ἕνεκα λαβόντας ἄγειν αὐτὴν ἐπιτρέψαντα, εἰς βραχὺν ὑποπαραιτησαμένη, ὡς ἂν δὴ κατακοσμηθείη τὸ σῶμα, εἴσεισιν ἐπὶ τοῦ ταμιείου, καὶ μονωθεῖσα ξίφος καθ' ἑαυτῆς πήγνυσι, θανοῦσά τε παραχρῆμα τὸν μὲν νεκρὸν τοῖς προαγωγοῖς καταλιμπάνει, ἔργοις δ' αὐτοῖς ἁπάσης φωνῆς γεγωνοτέροις, ὅτι μόνον χρημάτων ἀήττητόν τε καὶ ἀνώλεθρον ἡ παρὰ Χριστιανοῖς ἀρετὴ πέφυκεν, εἰς πάντας ἀνθρώπους τούς τε νῦν ὄντας καὶ τοὺς μετὰ ταῦτα γενησομένους ἐξέφηνε. 18. τοσαύτη δῆτα κακίας φορὰ ὑφ' ἕνα καὶ τὸν αὐτὸν συνηνέχθη καιρὸν, πρὸς τῶν δύο τυράννων ἀνατολὴν καὶ δύσιν διειληφότων κατεργασθεῖσα. τίς δ' ἂν τὴν τῶν τοσούτων διερευνώμενος αἰτίαν διστάξαι μὴ οὐχὶ τὸν καθ' ἡμῶν διωγμὸν ἀποφήνασθαι; ὅτε γε ἄλιστα οὐ πρότερον τὰ

τῆς τοσῆσδε πέπαυτο συγχύσεως ἢ Χριστιανοὺς τὰ τῆς παρρησίας ἀπολαβεῖν.

XV. [Nic. H. E. VII, 22.] *Διὰ παντός γέ τοι τοῦ κατὰ τὸν διωγμὸν δεκαέτους χρόνου τῶν εἰς ἐπιβουλὴν καὶ πόλεμον τὸν κατ' ἀλλήλων οὐδὲν αὐτοὺς διαλέλοιπεν. ἄπλωτα μὲν γὰρ τὰ κατὰ θάλατταν ἦν, οὐδ' ἐξῆν ποθὲν καταπλεύσαντας μὴ οὐχὶ πάσαις αἰκίαις ὑπάγεσθαι, στρεβλουμένους καὶ τὰς πλευρὰς καταξαινομένους, βασάνοις τε παντοίαις, μὴ ἄρα παρὰ τῶν δι' ἐναντίας ἐχθρῶν ἥκοιεν, ἀνακρινομένους, καὶ τέλος σταυροῖς ἢ τῇ διὰ πυρὸς ὑπαγομένους κολάσει. 2. ἀσπίδων ἐπὶ τούτοις καὶ θωράκων παρασκευαὶ, βελῶν τε καὶ δοράτων καὶ τῆς ἄλλης πολεμικῆς παρατάξεως ἑτοιμασίαι, τριήρων τε καὶ τῶν πατὰ ναυμαχίαν ὅπλων, κατὰ πάντα συνεκροτοῦντο τόπον, οὐδ' ἦν ἄλλο τι παντί τῳ προσδοκᾶν ἢ πολεμίων κατὰ πᾶσαν ἔφοδον ἡμέραν. τούτοις καὶ ὁ μετὰ ταῦτα λιμός τε καὶ λοιμὸς ἐγκατασκήπτει, περὶ ὧν κατὰ καιρὸν ἱστορήσομεν τὰ δέοντα.*

XVI. [Nic. H. E. VII, 22.] *Τοιαῦτ' ἦν τὰ διὰ παντὸς τοῦ διωγμοῦ παρατετακότα, δεκάτῳ μὲν ἔτει σὺν θεοῦ χάριτι παντελῶς πεπαυμένου, λωφᾶν γε μὴν μετ' ὄγδοον ἔτος ἐναρξαμένου. ὡς γὰρ τὴν εἰς ἡμᾶς ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεων ἡ θεία καὶ οὐράνιος χάρις ἐνεδείκνυτο, τότε δὴ καὶ οἱ καθ' ἡμᾶς ἄρχοντες, αὐτοὶ δὴ ἐκεῖνοι δι' ὧν πάλαι τὰ τῶν καθ' ἡμᾶς ἐνηργεῖτο πολέμων, παραδοξότατα μεταθέμενοι τὴν γνώμην παλινῳδίαν ᾖδον, χρηστοῖς περὶ ἡμῶν προγράμμασι καὶ διατάγμασιν ἡμερωτάτοις τὴν ἐπὶ μέγα ἀφθεῖσαν τοῦ διωγμοῦ πυρκαϊὰν σβεννύντες. 2. οὐκ ἀνθρώπινον δέ τι τούτου κατέ-*

στη αἴτιον, οὐδ' οἶκτος, ὡς ἂν φαίη τις, ἢ φιλανθρωπία τῶν ἀρχόντων· πολλοῦ δεῖ· πλείω γὰρ ὁσημέραι καὶ χαλεπώτερα ἀρχῆθεν εἰς ἐκεῖνο τοῦ καιροῦ τὰ καθ' ἡμῶν αὐτοῖς ἐπενοεῖτο, ποικιλωτέραις μηχαναῖς ἄλλοτε ἄλλως τὰς καθ' ἡμῶν αἰκίας ἐπικαινουργούντων· ἀλλ' αὐτῆς γε τῆς θείας προνοίας ἐμφανὴς ἡ ἐπίσκεψις, τῷ μὲν αὐτῆς καταλλαττομένης λαῷ, τῷ δ' αὐθέντῃ τῶν κακῶν ἐπεξιούσης καὶ πρωτοστάτῃ τῆς τοῦ παντὸς διωγμοῦ κακίας ἐπιχολουμένης. 3. καὶ γὰρ εἴ τι ταῦτ' ἐχρῆν κατὰ θείαν γενέσθαι κρίσιν, ἀλλὰ οὐαὶ, φησὶν ὁ λόγος, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. μέτεισι γοῦν αὐτὸν θεήλατος κόλασις, ἐξ αὐτῆς αὐτοῦ καταρξαμένη σαρκὸς, καὶ μέχρι τῆς ψυχῆς προελθοῦσα. 4. ἀθρόα μὲν γὰρ περὶ τὰ μέσα τῶν ἀπορρήτων τοῦ σώματος ἀπόστασις γίνεται αὐτῷ, εἶθ' ἕλκος ἐν βάθει συριγγῶδες, καὶ τούτων ἀνίατος νομὴ κατὰ τῶν ἐνδοτάτω σπλάγχνων, ἀφ' ὧν ἄλεκτόν τι πλῆθος σκωλήκων βρύειν, θανατώδη τε ὀδμὴν ἀποπνέειν, τοῦ παντὸς ὄγκου τῶν σωμάτων ἐκ πολυτροφίας αὐτῷ καὶ πρὸ τῆς νόσου εἰς ὑπερβολὴν πλήθους πιμελῆς μεταβεβληκότος, ἣν τότε κατασαπεῖσαν ἀφόρητον καὶ φρικτοτάτην τοῖς πλησιάζουσι παρέχειν τὴν θέαν. 5. ἰατρῶν δ' οὖν οἱ μὲν οὐδ' ὅλως ὑπομεῖναι τὴν τοῦ δυσώδους ὑπερβάλλουσαν ἀτοπίαν οἷοί τε κατεσφάττοντο, οἱ δὲ διῳδηκότος τοῦ παντὸς ὄγκου καὶ εἰς ἀνέλπιστον σωτηρίας ἀποπεπτωκότος μηδὲν ἐπικουρεῖν δυνάμενοι ἀνηλεῶς ἐκτείνοντο.

XVII. [Nic. H. E. VII, 22. 23.] Καὶ δὴ τοσούτοις παλαίων κακοῖς συναίσθησιν τῶν κατὰ τῶν

---

11 Matth. 18, 7. 17 Euseb. Vita Constant. 1, 57.

θεοσεβῶν αὐτῷ τετολμημένων ἴσχει. συναγαγὼν δ' οὖν εἰς ἑαυτὸν τὴν διάνοιαν πρῶτα μὲν ἀνθωμολογεῖτο τῷ τῶν ὅλων θεῷ, εἶτα τοὺς ἀμφ' αὐτὸν ἀνακαλέσας, μηδὲν ὑπερθεμένους τὸν κατὰ Χριστιανῶν ἀποπαῦσαι διωγμὸν, νόμῳ τε καὶ δόγματι βασιλικῷ τὰς ἐκκλησίας αὐτῶν οἰκοδομεῖν ἐπισπέρχειν τε καὶ τὰ συνήθη διαπράττεσθαι, εὐχὰς ὑπὲρ τοῦ βασιλείου ποιουμένους, προστάττει. 2. αὐτίκα γοῦν ἔργου τῷ λόγῳ παρηκολουθηκότος ἥπλωτο κατὰ πόλεις βασιλικὰ διατάγματα, τὴν παλινῳδίαν τῶν καθ' ἡμᾶς τοῦτον περιέχοντα τὸν τρόπον·

"3. Αὐτοκράτωρ Καῖσαρ Γαλέριος Οὐαλέριος Μαξιμῖνος, ἀνίκητος, σεβαστὸς, ἀρχιερεὺς μέγιστος, Γερμανικὸς μέγιστος, Αἰγυπτιακὸς μέγιστος, Αἰγυπτιακὸς μέγιστος, Θηβαϊκὸς μέγιστος, Σαρματικὸς μέγιστος πεντάκις, Περσῶν μέγιστος δὶς, Καρπῶν μέγιστος ἑξάκις, Ἀρμενίων μέγιστος, Μήδων μέγιστος, Ἀδιαβηνῶν μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ εἰκοστὸν, αὐτοκράτωρ τὸ ἐννεακαιδέκατον, ὕπατος τὸ ὄγδοον, πατὴρ πατρίδος, ἀνθύπατος· 4. καὶ αὐτοκράτωρ Καῖσαρ Φλάουιος Οὐαλέριος Κωνσταντῖνος, εὐσεβὴς, εὐτυχὴς, ἀνίκητος, σεβαστὸς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ πέμπτον, αὐτοκράτωρ τὸ πέμπτον, ὕπατος, πατὴρ πατρίδος, ἀνθύπατος· 5. καὶ αὐτοκράτωρ Καῖσαρ Οὐαλέριος Λικιννιανὸς, εὐσεβὴς, εὐτυχὴς, ἀνίκητος, σεβαστὸς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ τέταρτον, αὐτοκράτωρ τὸ τρίτον, ὕπατος, πατὴρ πατρίδος, ἀνθύπατος, ἐπαρχιώταις ἰδίοις χαίρειν. 6. μεταξὺ τῶν λοιπῶν, ἅπερ ὑπὲρ τοῦ χρησίμου καὶ λυσιτελοῦς τοῖς δημοσίοις διατυπούμεθα, ἡμεῖς μὲν βεβουλήμεθα πρότερον κατὰ τοὺς

"ἀρχαίους νόμους καὶ τὴν δημοσίαν ἐπιστήμην τὴν τῶν Ῥωμαίων ἅπαντα ἐπανορθώσασθαι, καὶ τούτου πρόνοιαν ποιήσασθαι, ἵνα καὶ οἱ Χριστιανοί, οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοίπασι τὴν αἵρεσιν, εἰς ἀγαθὴν πρόθεσιν ἐπανέλθοιεν· 7. ἐπείπερ τινὶ λογισμῷ τοσαύτη αὐτοὺς πλεονεξία κατεσχήκει καὶ ἄνοια κατειλήφει ὡς μὴ ἕπεσθαι τοῖς ὑπὸ τῶν πάλαι καταδειχθεῖσιν, ἅπερ ἴσως πρότερον καὶ οἱ γονεῖς αὐτῶν ἦσαν καταστήσαντες, ἀλλὰ κατὰ τὴν αὐτῶν πρόθεσιν καὶ ὡς ἕκαστος ἐβούλετο, οὕτως ἑαυτοῖς καὶ νόμους ποιῆσαι, καὶ τούτους παραφυλάττειν, καὶ ἐν διαφόροις διάφορα πλήθη συνάγειν. 8. τοιγαροῦν τοιούτου ὑφ' ἡμῶν προστάγματος παρακολουθήσαντος, ὥστε ἐπὶ τὰ ὑπὸ τῶν ἀρχαίων κατασταθέντα ἑαυτοὺς μεταστήσαιεν, πλεῖστοι μὲν κινδύνῳ ὑποβληθέντες, πλεῖστοι δὲ ταραχθέντες παντοίους θανάτους ὑπέφερον· 9. καὶ ἐπειδὴ τῶν πολλῶν τῇ αὐτῇ ἀπονοίᾳ διαμενόντων ἑωρῶμεν μήτε τοῖς θεοῖς τοῖς ἐπουρανίοις τὴν ὀφειλομένην θρησκείαν προσάγειν αὐτούς, μήτε τῷ τῶν Χριστιανῶν προσέχειν, ἀφορῶντες εἰς τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν διηνεκῆ συνήθειαν, δι' ἧς εἰώθαμεν ἅπασιν ἀνθρώποις συγγνώμην ἀπονέμειν, προθυμότατα καὶ ἐν τούτῳ τὴν συγχώρησιν τὴν ἡμετέραν ἐπεκτεῖναι δεῖν ἐνομίσαμεν, ἵνα αὖθις ὦσι Χριστιανοί, καὶ τοὺς οἴκους, ἐν οἷς συνήγοντο, συνθῶσιν οὕτως ὥστε μηδὲν ὑπεναντίον τῆς ἐπιστήμης αὐτοὺς πράττειν· δι' ἑτέρας δὲ ἐπιστολῆς τοῖς δικασταῖς δηλώσομεν τί αὐτοὺς παραφυλάξασθαι δεήσει. 10. ὅθεν κατὰ ταύτην τὴν συγχώρησιν τὴν ἡμετέραν ὀφείλουσι τὸν ἑαυτῶν θεὸν ἱκετεύειν περὶ τῆς σωτηρίας τῆς ἡμετέρας καὶ

"τῶν δημοσίων καὶ τῆς ἑαυτῶν, ἵνα κατὰ πάντα "τρόπον καὶ τὰ δημόσια παρασχεθῇ ὑγιῆ, καὶ ἀμέ"ριμνοι ζῆν ἐν τῇ ἑαυτῶν ἑστίᾳ δυνηθῶσι." 11. ταῦτα κατὰ τὴν τῶν Ῥωμαίων φωνὴν ἐπὶ τὴν Ἑλλάδα γλῶτταν κατὰ τὸ δυνατὸν μεταληφθέντα τοῦτον ἔχει τὸν τρόπον. τί δὴ οὖν ἐπὶ τούτοις γίνεται ἐπιθεωρῆσαι καιρός.

APPENDIX.

[Τὸ ὡς λεῖπον ἔν τισιν ἀντιγράφοις ἐν τῷ ὀγδόῳ λόγῳ.]

1. Ἀλλ' ὁ μὲν τῆς γραφῆς αἴτιος μετὰ τὴν τοιάνδε ὁμολογίαν αὐτίκα καὶ οὐκ εἰς μακρὸν τῶν ἀλγηδόνων ἀπαλλαγεὶς μεταλλάττει τὸν βίον. τοῦτον δὴ λόγος ἔχει πρῶτον αἴτιον τῆς τοῦ διωγμοῦ καταστῆναι συμφορᾶς, ἔτι πάλαι πρὸ τῆς τῶν λοιπῶν βασιλέων κινήσεως τοὺς ἐν στρατείαις Χριστιανοὺς καὶ πρώτους γε ἁπάντων τοὺς ἐπὶ τοῦ ἰδίου οἴκου παρατρέπειν ἐκβεβιασμένον, καὶ τοὺς μὲν ἐκ τῆς στρατιωτικῆς ἀξίας ἀποκινοῦντα, τοὺς δὲ ἀτιμότατα καθυβρίζοντα, ἤδη δὲ καὶ θάνατον ἑτέροις ἐπαρτῶντα, καὶ τοὔσχατόν γε τοὺς τῆς βασιλείας κοινωνοὺς ἐπὶ τὸν κατὰ πάντων ἀνακεκινηκότα διωγμόν· ὧν καὶ αὐτῶν οὐκ ἄξιον τὸ τοῦ βίου τέλος παραδοῦναι σιωπῇ. 2. τεττάρων οὖν τὴν κατὰ πάντων διειληχότων ἀρχὴν οἱ μὲν χρόνῳ καὶ τιμῇ προηγούμενοι, οὐδ' ὅλοις δυοῖν ἔτεσιν ἐπιγενόμενοι τῷ διωγμῷ, μεθίστανται τῆς βασιλείας, ᾗ καὶ πρόσθεν ἡμῖν δεδήλωται, καὶ δὴ τὸν ἐπίλοιπον τοῦ βίου χρόνον δημώδει καὶ ἰδιωτικῷ τρόπῳ διαγενόμενοι τέλος τοιόνδε τῆς ζωῆς εἰλήχασιν· 3. ὁ μὲν

τιμῇ τε καὶ χρόνῳ τῶν πρωτείων ἠξιωμένος μακρᾷ καὶ ἐπιλυποτάτῃ τῇ τοῦ σώματος ἀσθενείᾳ διεργασθείς, ὁ δὲ τὰ δεύτερα αὐτοῦ φέρων ἀγχόνῃ τὴν ζωὴν ἀπορρήξας, κατά τινα δαιμονίαν προσημείωσιν τοῦτο παθὼν διὰ πλείστας αὐτῷ τετολμημένας ῥᾳδιουργίας. 4. τῶν δὲ μετὰ τούτους ὁ μὲν ὕστατος, ὃν δὴ καὶ ἀρχηγὸν τοῦ παντὸς ἔφαμεν γεγονέναι διωγμοῦ, τοιαῦτα οἷα καὶ προδεδηλώκαμεν πέπονθεν, ὁ δὲ τοῦτον προάγων χρηστότατος καὶ ἠπιώτατος βασιλεὺς Κωνστάντιος, ἐπαξίως τῆς ἡγεμονίας τὸν ἅπαντα τῆς ἀρχῆς διατελέσας χρόνον, ἀλλὰ καὶ τἆλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον παρασχὼν ἑαυτὸν, ἀτὰρ καὶ τοῦ καθ' ἡμῶν πολέμου ἔξω γενόμενος, καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς ἀβλαβεῖς καὶ ἀνεπηρεάστους διαφυλάξας, καὶ μήτε τοὺς οἴκους τῶν ἐκκλησιῶν καθελὼν μήθ' ἕτερόν τι μηδ' ὅλως καθ' ἡμῶν ἐπικαινουργήσας, τέλος εὔδαιμον καὶ τρισμακάριον ὄντως κατείληφε τοῦ βίου, μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐμενῶς καὶ ἐπιδόξως, ἐπὶ διαδόχῳ τῆς βασιλείας γνησίῳ παιδὶ τὰ πάντα σωφρονεστάτῳ καὶ εὐσεβεστάτῳ, τελευτήσας· 5. ὃς εὐθὺς ἀρχόμενος βασιλεὺς τελεώτατος καὶ σεβαστὸς πρὸς τῶν στρατοπέδων ἀναγορευθεὶς ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. τοιαύτη τῶν προαναγεγραμμένων τεττάρων ἡ τοῦ βίου ἔκβασις, κατὰ παρηλλαγμένους χρόνους γεγενημένη. 6. τούτων δὴ μόνος ἔτι λιπὼν ὁ μικρῷ πρόσθεν ἡμῖν εἰρημένος σὺν τοῖς μετὰ ταῦτα εἰς τὴν ἀρχὴν εἰσποιηθεῖσι τὴν προδεδηλωμένην ἐξομολόγησιν διὰ τοῦ προεκτεθέντος ἐγγράφου λόγου τοῖς πᾶσι φανερὰν κατεστήσατο.

EUSEBII
LIBER DE MARTYRIBUS PALAESTINAE.

[*Καὶ ταῦτα ἐν τινι ἀντιγράφῳ ἐν τῷ ὀγδόῳ τόμῳ εὕρομεν.*]

[*Προοίμιον.*] 1. *Ἔτος τοῦτο ἦν ἐννεακαιδέκατον τῆς Διοκλητιανοῦ βασιλείας, Ξανθικὸς μὴν, ὃς λέγοιτ' ἂν Ἀπρίλλιος κατὰ Ῥωμαίους, ἐν ᾧ τῆς τοῦ σωτηρίου πάθους ἑορτῆς ἐπιλαμβανούσης ἡγεῖτο μὲν Φλαβιανὸς τοῦ τῶν Παλαιστινῶν ἔθνους, ἥπλωτο δ' ἀθρόως πανταχοῦ γράμματα, τὰς μὲν ἐκκλησίας εἰς ἔδαφος φέρειν, τὰς δὲ γραφὰς ἀφανεῖς πυρὶ γενέσθαι προστάττοντα, καὶ τοὺς μὲν τιμῆς ἐπειλημμένους ἀτίμους, τοὺς δὲ ἐν οἰκετίαις, εἰ ἐπιμένοιεν τῇ τοῦ Χριστιανισμοῦ προθέσει, ἐλευθερίας στερίσκεσθαι προαγορεύοντα.* 2. *καὶ ἡ μὲν τῆς πρώτης καθ' ἡμῶν γραφῆς τοιαύτη τις ἦν δύναμις. μετ' οὐ πολὺ δὲ ἑτέρων ἐπιφοιτησάντων γραμμάτων προσετάττετο τοὺς τῶν ἐκκλησιῶν προέδρους πάντας πανταχῇ πρῶτον μὲν δεσμοῖς παραδίδοσθαι, εἶθ' ὕστερον πάσῃ μηχανῇ θύειν ἐξαναγκάζεσθαι.*

1. *Πρῶτος τοιγαροῦν τῶν ἐπὶ Παλαιστίνης μαρτύρων Προκόπιος, πρὶν ἢ φυλακῆς πεῖραν λαβεῖν, εὐθὺς ἀπὸ πρώτης εἰσόδου τοῖς ἡγεμονικοῖς παρα-*

στὰς δικαστηρίοις, θύειν τε τοῖς λεγομένοις προσταχθεὶς θεοῖς, ἕνα μόνον ἔφησεν εἰδέναι, ᾧ καθῆκεν ὡς αὐτὸς βούλεται θύειν· ὡς δὲ κἂν τοῖς βασιλεῦσι τέσσαρσι σπένδειν ἐκελεύετο, ῥῆμά τι φθεγξάμενος τῶν οὐ προσηνῶν αὐτοῖς αὐτίκα τὴν κεφαλὴν ἀποτέμνεται, τὸ ποιητικὸν εἰπὼν ἐκεῖνο "οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς." 2. Δεσίου μηνὸς ἑβδόμῃ, πρὸ ἑπτὰ εἰδῶν Ἰουνίων λέγοιτ' ἂν παρὰ Ῥωμαίοις, ἡμέρᾳ τετράδι σαββάτου τοῦτο πρῶτον ἐπὶ Καισαρείας τῆς Παλαιστίνης ἀπετελέσθη σημεῖον. 3. μετὰ δὲ τοῦτο ἐπὶ τῆς αὐτῆς πόλεως πλεῖστοι ὅσοι τῶν ἐπιχωρίων ἐκκλησιῶν ἄρχοντες, δειναῖς αἰκίαις προθύμως διαθλήσαντες, μεγάλων ἀγώνων ἱστορίαν τοῖς ἐνορῶσιν ἐνεδείξαντο, ἄλλοι δὲ ὑπὸ δειλίας τὴν ψυχὴν προναρκήσαντες προχείρως οὕτως ἀπὸ πρώτης ἐξησθένησαν προσβολῆς, τῶν δὲ λοιπῶν ἕκαστος εἴδη διάφορα βασάνων διήλλαττον, τοτὲ μὲν μάστιξιν ἀνηρίθμοις, τοτὲ δὲ στρεβλώσεσι καὶ καταξάνσεσι τῶν πλευρῶν δεσμοῖς τε ἀνυπομονήτοις, ὑφ' ὧν τισὶ καὶ παρεθῆναι συνέβη τὰς χεῖρας. 4. ὅμως δ' οὖν ἔφερον τὸ ἀποβὰν ἀκολούθως ταῖς ἀπορρήτοις κρίσεσι τοῦ θεοῦ τέλος. ὁ μὲν γὰρ ἑτέρων κατεχόντων αὐτοῦ τὼ χεῖρε καὶ τῷ βωμῷ προσαγόντων, τήν τε μιαρὰν καὶ ἐναγῆ θυσίαν κατὰ τῆς δεξιᾶς ἐπιρριπτούντων, ὡς ἂν τεθυκὼς ἀπηλλάττετο, ὁ δὲ μηδ' ὅλως ἐφαψάμενος, εἰρηκότων δ' ἑτέρων ὅτι τεθύκοι, σιωπήσας ἀπῄει, ἄλλος ἡμιθανὴς αἰρόμενος ὡσὰν ἤδη νεκρὸς ἐρρίπτετο καὶ ἀνίετό γε τῶν δεσμῶν, ἐν τεθυκόσιν αὐτοῖς λελογισμένος, ὁ δὲ βοῶν καὶ μαρτυρόμενος, ὅτι μὴ

---

6 Hom. Il. 2, 204.

πείθοιτο, κατὰ στόματος παιόμενος, πολυχειρίᾳ τε τῶν ἐπὶ τούτῳ τεταγμένων κατασιγαζόμενος, μετὰ βίας ἐξωθεῖτο, καὶ εἰ μὴ τεθυκὼς ἦν. 5. οὕτως ἐκ παντὸς τὸ δοκεῖν ἠνυκέναι αὐτοῖς περὶ πολλοῦ ὑπῆρχεν. ἐκ δὴ οὖν τῶν τοσούτων μόνοι τοῦ τῶν ἁγίων μαρτύρων κατηξιώθησαν στεφάνου Ἀλφειὸς καὶ Ζακχαῖος, οἳ μετὰ μάστιγας καὶ ξεσμοὺς, δεσμά τε χαλεπὰ καὶ τὰς ἐπὶ τούτοις ἀλγηδόνας, ἑτέρας τε διαφόρους ἐξετάσεις, νυχθήμερον ὑπὸ τέσσαρα τοῦ κολαστηρίου ξύλου κεντήματα τοὺς πόδας παραταθέντες, Δίου μηνὸς ἑπτακαιδεκάτῃ (αὕτη παρὰ Ῥωμαίοις ἡ πρὸ δεκαπέντε Καλανδῶν Δεκεμβρίων) μόνον ἕνα θεὸν καὶ Χριστὸν βασιλέα Ἰησοῦν ὁμολογήσαντες, ὥς τι βλάσφημον φθεγξάμενοι, ὁμοίως τῷ προτέρῳ μάρτυρι τὰς κεφαλὰς ἀπετμήθησαν.

II. *Μνήμης δ' ἄξια τυγχάνει καὶ τὰ περὶ Ῥωμανὸν ἐν Ἀντιοχείᾳ ἐπὶ τῆς αὐτῆς ἡμέρας ἀποτελεσθέντα.* Παλαιστινὸς γὰρ οὗτος ὢν, διάκονός τε καὶ ἐπορκιστὴς τῆς ἐν Καισαρείᾳ παροικίας, ὁμοῦ τῇ τῶν ἐκκλησιῶν καθαιρέσει γενόμενος ἐκεῖσε, πλείους ἄνδρας ἅμα γυναιξὶ καὶ τέκνοις σωρηδὸν τοῖς εἰδώλοις προσιόντας τε καὶ θύοντας ἐνιδὼν, ἀνύποιστον ἡγησάμενος τὴν θέαν, ζήλῳ θεοσεβείας πρόσεισι, κἀκείνοις μεγάλῃ φωνῇ κεκραγὼς ἐπιπλήττει. 2. αὐτὸς δὲ τῆς τόλμης ἕνεκεν συλληφθεὶς, γενναιότατος εἰ καί τις ἄλλος ἀποδέδεικται μάρτυς τῆς ἀληθείας. ἀποφηναμένου γὰρ κατ' αὐτοῦ τὸν διὰ πυρὸς θάνατον τοῦ δικαστοῦ, φαιδρῷ προσώπῳ καὶ διαθέσει εὖ μάλα προθυμοτάτῃ τὴν ἀπόφασιν ἀσπαστῶς καταδεξάμενος ἀπάγεται· εἶτα τῷ ἰκρίῳ προσδεῖται, τῆς τε ὕλης συμπεφορημένης ἐπ' αὐτῷ, καὶ τῶν μελλόντων ὑφάπτειν τὴν πυρὰν τὴν βασιλέως ἐπιπαρόντος

ἐπίκρισιν ἐκδεχομένων, "ποῦ μοι τὸ πῦρ" ἐβόα· 3. καὶ ταῦτα λέγων ἀνάκλητος πρὸς βασιλέα γίνεται, καινοτέρᾳ ὑποβληθησόμενος κολάσει τῆς γλώττης, ἧς ἀποκοπὴν ἀνδρειότατα ὑπομείνας ἔργοις ἅπασιν ὑπέδειξεν ὅτι δὴ θεία δύναμις τοῖς ὁτιποτοῦν χαλεπὸν ὑπὲρ εὐσεβείας ὑπομένουσιν ἐπελαφρίζουσα τοὺς πόνους καὶ τὴν προθυμίαν ἐπιρρωννῦσα παρίσταται. μαθὼν γοῦν τὴν καινουργίαν τῆς κολάσεως, καὶ μὴ καταπλαγεὶς ὁ γεννάδας, ἀσμένως προυβάλετο τὴν γλῶτταν, προθυμότατα εὐτρεπῆ παρέχων αὐτὴν τοῖς ἀποτέμνουσι. 4. μεθ' ἣν τιμωρίαν εἰς δεσμὰ βληθείς, πλεῖστόν τε αὐτόθι πονηθεὶς χρόνον, τέλος τῆς ἀρχικῆς εἰκοσαετηρίδος ἐπιστάσης, κατὰ νομιζομένην δωρεὰν τῶν ἐν τοῖς δεσμοῖς πανταχῆ πάντων ἐλευθερίας ἀνακηρυχθείσης, μόνος ὑπὸ πέντε κεντήματα ἄμφω τὼ πόδε διαταθείς, ἐν αὐτῷ κείμενος τῷ ξύλῳ βρόχῳ περιβληθείς, ὡς καὶ ἐπεπόθει, μαρτυρίῳ κατεκοσμήθη. 5. ἀλλ' οὗτός γε, εἰ καὶ ὑπερόριος, ὅμως Παλαιστινὸς ὤν, ἐν Παλαιστινοῖς ἄξιος ἂν εἴη μάρτυσιν ἀριθμεῖσθαι. ταῦτα μὲν ἔτει πρώτῳ τοῦτον ἀπετελέσθη τὸν τρόπον, κατὰ μόνων τῶν τῆς ἐκκλησίας προέδρων ἐπηρτημένου τοῦ διωγμοῦ.

III. Δευτέρου δ' ἔτους διαλαβόντος, καὶ δὴ σφοδρότερον ἐπιταθέντος τοῦ καθ' ἡμῶν πολέμου, τῆς ἐπαρχίας ἡγουμένου τηνικάδε Οὐρβανοῦ, γραμμάτων τούτῳ πρῶτον βασιλικῶν πεφοιτηκότων, ἐν οἷς καθολικῷ προστάγματι πάντας πανδημεὶ τοὺς κατὰ πόλιν θύειν τε καὶ σπένδειν τοῖς εἰδώλοις ἐκελεύετο, Τιμόθεος ἐν Γάζῃ πόλει τῆς Παλαιστίνης μυρίας ἀνατλὰς βασάνους, ἐπὶ πάσαις λεπτῷ καὶ μαλθακῷ πυρὶ παραδοθείς, δοκιμὴν γνησιωτάτην

τῆς περὶ τὸ θεῖον γνησιωτάτης εὐσεβείας διὰ τῆς πρὸς πάντα ὑπομονῆς παρασχὼν, τὸν τῶν ἱερονικῶν τῆς θεοσεβείας ἀθλητῶν στέφανον ἀπηνέγκατο. τούτῳ δ' ἅμα γενναιοτάτην ἔνστασιν ἐπιδειξάμενοι Ἀγάπιος καὶ ἡ καθ' ἡμᾶς Θέκλα θηρίοις εἰς βορὰν κατεδικάσθησαν. 2. τὰ ἐπὶ τούτοις τίς ἰδὼν οὐκ ἐθαύμασεν, ἢ καὶ ἀκοῇ μαθὼν οὐκ ἐξεπλάγη; πάνδημον γάρ τοι τῶν ἐθνῶν ἑορτὴν καὶ συνήθεις θέας ἀγόντων, μετὰ τῶν ἄλλως αὐτοῖς σπουδαζομένων καὶ τοὺς ἀρτίως θηρίοις κατακριθέντας πολὺς ἦν ὁ λόγος ἐπιδείξεσθαι τὸν ἀγῶνα. 3. αὐξούσης δῆτα καὶ πλεοναζούσης παρὰ πᾶσι τῆς φήμης νεανίαι τὸν ἀριθμὸν ἕξ, ὧν ὁ μὲν Ποντικὸς τὸ γένος ἦν, ὄνομα Τιμόλαος, ὁ δ' ἐκ Τριπόλεως τῆς Φοινίκης, Διονύσιος ἐκαλεῖτο, ἕτερος δ' αὐτῶν τῆς ἐν Διοσπόλει παροικίας ὑποδιάκονος, Ῥωμύλος ἦν καὶ τούτῳ προσηγορία, δύο τε ἐπὶ τούτοις Αἰγύπτιοι, Πάησις καὶ Ἀλέξανδρος, καὶ ἄλλος τούτῳ συνώνυμος Ἀλέξανδρος τῶν ἀπὸ Γάζης, ἐπὶ τὸ κυνηγέσιον ἀνιέναι μέλλοντι τῷ Οὐρβανῷ, ἐνδήσαντες πρότερον τὰς αὐτῶν χεῖρας, ὡς ἂν τὴν ἄγαν σημήνειαν περὶ τὸ μαρτύριον προθυμίαν, δρομαῖοι προσίασι, Χριστιανοὺς σφᾶς ὁμολογοῦντες, διά τε τῆς πρὸς πάντα τὰ δεινὰ παρατάξεως, ὅτι μηδὲ τὰς τῶν θηρίων ἐπιβολὰς οἱ τὴν εἰς τὸν τῶν ὅλων θεὸν εὐσέβειαν αὐχοῦντες κατεπτήχασιν, ἐπιδεικνύμενοι. 4. αὐτίκα μὲν εἰς οὐ τὴν τυχοῦσαν κατάπληξιν αὐτόν τε τὸν ἄρχοντα καὶ τοὺς ἀμφ' αὐτὸν καταστήσαντες δεσμωτηρίῳ καθείργνυνται, μετ' οὐ πολλὰς δὲ ἡμέρας δυοῖν αὐτοῖς ἄλλων καταλεγέντων, τοῦ μὲν καὶ πρὸ αὐτῶν δειναῖς καὶ ποικίλαις ἤδη πρότερον καθ' ἑτέρας ὁμολογίας ἐναθλήσαντος βασάνοις, Ἀγάπιος

καὶ αὐτῷ ὄνομα ἦν, τοῦ δὲ τὰς τοῦ σώματος αὐτοῖς χρείας διακονουμένου, ὄνομα δὲ καὶ τούτῳ Διονύσιος, οἱ πάντες ὀκτὼ γενόμενοι τὸν ἀριθμὸν ἐν ἡμέρᾳ μιᾷ τὰς κεφαλὰς αὖθις ἐπ' αὐτῆς Καισαρείας ἀποτέμνονται, Δύστρου μηνὸς ἡμέρᾳ τετράδι καὶ εἰκάδι, ἢ πρὸ ἐννέα Καλανδῶν Ἀπριλλίων καὶ αὐτὴ οὖσα ἐτύγχανεν. 5. ἐν τούτῳ μεταβολή τις τῶν κρατούντων, αὐτοῦ δὴ τοῦ πάντων ἀνωτάτω καὶ τοῦ μετ' αὐτὸν δευτέρου, ἐπὶ τὸ ἰδιωτικὸν σχῆμα γίνεται, νοσεῖν τε αὐτοῖς ἄρχεται τὰ κοινά. 6. μικρὸν δ' ὕστερον διαστάσης εἰς ἑαυτὴν τῆς Ῥωμαίων ἀρχῆς πόλεμος ἄσπονδος εἰς αὐτοὺς ἐπεγείρεται, οὐ πρότερόν τε τὰ τῆς διαστάσεως καὶ τῶν ἐπὶ ταύτῃ θορύβων κατάστασιν εἴληφεν ἢ τὴν καθ' ἡμᾶς εἰρήνην καθ' ὅλης πρυτανευθῆναι τῆς ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν οἰκουμένης. 7. ἅμα τε γὰρ αὕτη τοῖς πᾶσι δίκην φωτὸς ὡσὰν ἐκ ζοφερᾶς καὶ σκοτεινοτάτης νυκτὸς ἀνατέταλκε, καὶ αὖ πάλιν τὰ κοινὰ τῆς Ῥωμαίων ἡγεμονίας αὖθις εὐσταθῆ καὶ φίλια καὶ εἰρηναῖα ἦν, τὴν ἐκ προγόνων εἰς ἀλλήλους εὔνοιαν ἀπολαμβάνοντα. ἀλλὰ τούτων μὲν κατὰ τὸν προσήκοντα καιρὸν ἐντελέστερον ἀποδώσομεν τὸν λόγον, νυνὶ δὲ ἐπὶ τὴν τῶν ἑξῆς ἀπίωμεν ἀκολουθίαν.

IV. Μαξιμῖνος Καῖσαρ αὐτόθεν ἐπὶ τὴν ἀρχὴν παρελθὼν ὥσπερ τῆς ἐμφύτου θεοεχθρίας αὐτοῦ καὶ δυσσεβείας τὰ σύμβολα τοῖς πᾶσιν ἐνδεικνύμενος, γεννικώτερον ἢ οἱ πρόσθεν τῷ καθ' ἡμῶν ἐπαπεδύετο διωγμῷ. 2. πᾶσι δῆτα συγχύσεως οὐ μικρᾶς ἐπηωρημένης, καὶ ἄλλων ἄλλοσε διασπειρομένων, διαδρᾶναί τε τὸ δεινὸν ἐπιμελὲς ποιουμένων, χαλεπῆς τε τὸ πᾶν ἐπεχούσης κινήσεως, τίς ἂν ἐξαρκέσειεν ἡμῖν λόγος εἰς τὴν ἐπαξίαν διήγησιν τοῦ θείου

ἔρωτος καὶ παρρησίας τῆς εἰς θεὸν ὁμολογίας τοῦ μακαρίου καὶ ὡς ἀληθῶς ἀμνοῦ ἀκάκου, μάρτυρος Ἀπφιανοῦ φημὶ, τοῦ πρὸ πυλῶν ἐπὶ θεωρίαν ἅπασι τοῖς κατὰ Καισάρειαν θαυμαστὸν παράδειγμα τῆς εἰς τὸν μόνον θεὸν εὐσεβείας προβεβλημένου; 3. εἰκοστὸν ἔτος οὐδέπω τοῦτο τῆς τοῦ σώματος ἡλικίας ἦν αὐτῷ. πρῶτον μὲν οὖν τῆς Ἑλλήνων παιδείας ἕνεκα κοσμικῆς (ἐτύγχανε γὰρ καὶ τῶν κατὰ κόσμον εὖ μάλα πλούτῳ περιρρεομένων) τὸν πλείονα κατὰ τὴν Βηρυτὸν διατρίψας χρόνον, παράδοξον καὶ εἰπεῖν, ὡς ἐν τοιαύτῃ πόλει τῶν νεωτερικῶν ἐπιθυμιῶν ὑπεράνω γενόμενος, καὶ μήθ' ὑπὸ ἀκμῆς τοῦ σώματος μήθ' ὑπὸ τῆς τῶν νέων ἑταιρίας διαφθαρεὶς τὸν τρόπον σωφροσύνην ἠσπάζετο, κοσμίως καὶ σεμνῶς καὶ εὐσεβῶς κατὰ τὸν αἱροῦντα Χριστιανισμῷ λόγον διεξάγων καὶ τὸν ἑαυτοῦ παιδαγωγῶν βίον. 4. εἰ δὲ χρὴ μνήμην ποιησαμένους καὶ τῆς πατρίδος αὐτοῦ κοσμῆσαι καὶ ταύτην διὰ τοῦ προαχθέντος ἐξ αὐτῆς γενναίου τῆς θεοσεβείας ἀθλητοῦ, εὐλόγως αὖ καὶ τοῦτο ποιήσομεν. 5. εἴ τις ἄρα Παγὰς ἐπίσταται τῆς Λυκίας οὐκ ἄσημον πόλιν, ἐντεῦθεν ὁρμώμενος ὁ νεανίας, μετὰ τὴν ἐπάνοδον τῆς κατὰ τὴν Βηρυτὸν παιδείας, τοῦ πατρὸς αὐτῷ τὰ πρωτεῖα τῆς πατρίδος ἀποφερομένου, μὴ οἷός τε φέρειν τὴν ἅμα τῷ πατρὶ καὶ τοῖς τῷ γένει προσήκουσι συνουσίαν, ὅτι μηδὲ ζῆν αὐτοῖς ἐδόκει κατὰ τοὺς τῆς θεοσεβείας θεσμοὺς, πνεύματι δ' ὥσπερ θείῳ κατεσχημένος, καὶ κατά τινα φυσικὴν, μᾶλλον δ' ἔνθεον καὶ ἀληθῆ φιλοσοφίαν μεῖζον φρονήσας τῆς νενομισμένης τοῦ βίου δόξης, τῆς τε τῶν σωμάτων καταπτύσας ἡδυπαθείας, κρύβδην τοὺς οἰκείους ἀποδρὰς, καὶ μηδὲ τῶν ἐφημέρων δαπανῶν

ἐπιστραφεὶς ἐλπίδι καὶ πίστει τῇ εἰς θεόν, ἤγετο πρὸς τοῦ θείου πνεύματος χειραγωγούμενος ἐπὶ τὴν Καισαρέων πόλιν, ἔνθα ἡτοίμαστο αὐτῷ ὁ τοῦ μαρτυρίου τῆς θεοσεβείας στέφανος. 6. γενόμενος δὲ ἡμῖν αὐτοῖς ἅμα, καὶ ὡς ἔνι μάλιστα τοῖς θείοις λόγοις ἐπ᾿ ὀλίγον συλλεξάμενος, ἀσκήσεσί τε προσηκούσαις ἐκθυμότατα παρασκευασάμενος, τέλος οἷον ἐπιδέδεικται, τίς μὲν πάλιν ἰδὼν οὐ κατεπλάγη; 7. τίς δ᾿ αὖθις ἀκοῇ παραλαβὼν οὐκ ἂν ἐνδίκως θαυμάσειε τὸ θάρσος, τὴν παρρησίαν, τὴν ἔνστασιν, καὶ πρό γε τούτων τὴν τόλμαν καὶ αὐτὸ τὸ ἐγχείρημα, ζήλου θεοσεβείας καὶ πνεύματος ὡς ἀληθῶς ὑπὲρ ἄνθρωπον παρέχοντα τεκμήρια; 8. δευτέρας γάρ τοι καθ᾿ ἡμῶν γενομένης ἐπαναστάσεως ὑπὸ Μαξιμίνου, τρίτῳ τοῦ καθ᾿ ἡμᾶς ἔτει διωγμοῦ, γραμμάτων τε τοῦ τυράννου τοῦτο πρῶτον διαπεφοιτηκότων, ὡς ἂν πανδημεὶ πάντες ἀπαξαπλῶς μετ᾿ ἐπιμελείας καὶ σπουδῆς τῶν κατὰ πόλεις ἀρχόντων θύοιεν, κηρύκων τε καθ᾿ ὅλης τῆς Καισαρέων πόλεως ἄνδρας ἅμα γυναιξὶ καὶ τέκνοις ἐπὶ τοὺς τῶν εἰδώλων οἴκους ἐξ ἡγεμονικοῦ κελεύσματος ἀναβοωμένων, καὶ πρὸς τούτοις ὀνομαστὶ χιλιάρχων ἀπὸ γραφῆς ἕκαστον ἀνακαλουμένων, ἀφάτῳ τε κλύδωνι κακῶν τῶν πανταχόσε συγκεχυμένων, ἀφόβως ὁ δεδηλωμένος, μηδενὸς ἐπὶ τῷ πραχθησομένῳ συνειδότος αὐτῷ, ἡμᾶς τε, οἳ κατ᾿ οἶκον αὐτῷ συνῆμεν, καὶ ἔτι πᾶν τὸ περὶ τὸν ἡγεμόνα στρατιωτικὸν στῖφος ὑποκλέψας, σπένδοντι τῷ Οὐρβανῷ πρόσεισι, καὶ τῆς δεξιᾶς ἀκαταπλήκτως αὐτὸν λαβόμενος κατέπαυσε μὲν παραχρῆμα τοῦ θύειν, εὖ μάλα δὲ συμβουλευτικῶς μετά τινος θείου παραστήματος παρῄνει παύσασθαι τῆς πλάνης· μὴ γὰρ καλῶς

ἔχειν καταλιπόντας τὸν ἕνα καὶ μόνον ἀληθῆ θεὸν εἰδώλοις καὶ δαίμοσι θύειν. 9. τοῦτο δ', ὡς ἔοικεν, ἐνεχειρεῖτο τῷ μειρακίῳ, τῆς ἐπὶ τοῦτ' αὐτὸν προαγούσης ἐνθέου δυνάμεως μονονουχὶ διὰ τοῦ γενομένου βοώσης ὡς ἄρα τοσοῦτον ἀποδέοιεν Χριστιανοί, οἵ γε ὄντως τοιοῦτοι, ἧς ἅπαξ ἠξιώθησαν εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας μεταβάλλεσθαι ὡς μὴ μόνον ὑπεράνω καθίστασθαι τῶν ἀπειλῶν καὶ τῶν ἐπὶ ταύταις κολαστηρίων, παρρησιάζεσθαι δ' εἰσέτι μᾶλλον, εὐγενεῖ τε καὶ ἀτρόμῳ γλώττῃ ἐλευθεροστομεῖν, καί, εἰ οἷόν τε, καὶ τοὺς διώκοντας αὐτοὺς μεταθεμένους τῆς ἀγνωσίας τὸν μόνον ὄντα θεὸν ἐπιγνῶναι παρακαλεῖν. 10. ἐπὶ τούτοις ὁ περὶ οὗ ὁ λόγος, παραχρῆμα μέν, ὅσα εἰκὸς αὐτόν, ὡσὰν ἐπὶ τοιούτῳ τολμήματι θηρῶν δίκην ἀγρίων πρὸς τῶν ἀμφὶ τὸν ἡγεμόνα διασπαραχθείς, καὶ μυρίας καθ' ὅλου τοῦ σώματος πληγὰς ἀνδρειότατα ὑπομείνας, τέως μὲν αὐτίκα δεσμωτηρίῳ παραδίδοται. 11. ἔνθα νυχθήμερον ἄμφω τὼ πόδε ἐπὶ τοῦ βασανιστικοῦ διαταθεὶς ξύλου τῇ ἐπιούσῃ προσάγεται τῷ δικαστῇ· εἶτα θύειν ἐκβιαζομένου πᾶσαν ἐνδείκνυται πρὸς πόνους καὶ φρικτὰς ἀλγηδόνας καρτερίαν, τὰς πλευρὰς οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ καὶ πλεονάκις ἄχρις ὀστέων καὶ αὐτῶν σπλάγχνων καταξανθείς, πληγάς τε κατὰ προσώπου καὶ αὐχένος τοσαύτας δεξάμενος, ὡς μηδ' ὑπὸ τῶν εὖ καὶ ἀκριβῶς αὐτὸν πάλαι εἰδότων, διοιδήσαντα τὸ πρόσωπον, ἔτι γινώσκεσθαι. 12. ἀλλὰ γὰρ μηδὲ πρὸς τὰ τοσαῦτα ἐνδιδόντος, λίνοις ἐλαίῳ δεδευμένοις τὼ πόδε αὐτοῦ καλύψαντες πῦρ ὑφῆπτον ἐκ προστάξεως οἱ βασανισταί, ἐφ' οἷς ὁποίας ἤνεγκεν ὁ μακάριος ἀλγηδόνας πάντα λόγον ὑπεραίρειν μοι δοκῶ. κα-

θίκετο γοῦν αὐτοῦ διατῆξαν τὰς σάρκας καὶ τῶν ὀστέων τὸ πῦρ, ὡς κηροῦ δίκην λείβεσθαι καὶ ἀποστάζειν ἐκτηκομένην τὴν ἰκμάδα τοῦ σώματος. 13. ἀλλὰ γὰρ οὐδὲ πρὸς ταῦτα ἐνδοὺς, ἡττημένων ἤδη καὶ μόνον οὐκ ἀπειρηκότων πρὸς τὴν ὑπὲρ ἄνθρωπον καρτερίαν αὐτοῦ τῶν ἀντιπάλων, αὖθις δεσμοῖς εἴργνυται, τριταῖός τε αὖ προσαχθεὶς τῷ δικαστῇ καὶ τὴν αὐτὴν ὁμολογήσας πρόθεσιν, καίτοιγε λοιπὸν ἡμιθνὴς ὑπάρχων, ὑποβρύχιος θαλάττῃ παραδίδοται. 14. τὰ δ' ἐπὶ τούτοις παραχρῆμα γενόμενα ῥηθέντα μὲν οὐκ ἀπεικὸς παρὰ τοῖς μὴ ὄψει παρειληφόσιν ἀπιστηθήσεσθαι, ἡμᾶς δ' οὖν καίπερ τοῦτ' ἀκριβῶς εἰδότας οὐχ αἱρεῖ λόγος μὴ οὐχὶ ἐκ παντὸς παραδοῦναι τῷ λόγῳ τὴν ἱστορίαν, τῷ καὶ μάρτυρας εἶναι τοῦ γεγενημένου ἁπλῶς εἰπεῖν ἅπαντας τοὺς τὴν Καισάρειαν οἰκοῦντας. οὐδεμία γοῦν ἡλικία τῆς παραδόξου ταύτης ἀπελείφθη θέας. 15. αὐτίκα γοῦν ὡς ἐδόκει μάλιστα κατὰ μέσου πελάγους ἐν ἀπείροις βυθοῖς τὸν ἱερὸν ὄντως ἐκεῖνον καὶ τρισμακάριον ἐμβαλεῖν, κλόνος ἀθρόως οὐχ ὁ τυχὼν καὶ βρασμὸς αὐτήν τε τὴν θάλασσαν καὶ τὸ περιέχον ἅπαν διαχεῖ, ὡς καὶ τὴν γῆν καὶ τὴν πόλιν ἅπασαν πρὸς τοῦ γενομένου σεισθῆναι. ἅμα δὲ τῷ παραδόξῳ τούτῳ καὶ ἀθρόῳ σεισμῷ τοῦ θείου μάρτυρος τὸν νεκρὸν ἡ θάλαττα, ὥσπερ μὴ οἵα τε οὖσα φέρειν αὐτὸν, πρὸ τῶν τῆς πόλεως ἐκβράσσει πυλῶν. καὶ τοιαῦτα μὲν ἦν τὰ κατὰ τὸν θεσπέσιον Ἀπφιανὸν, Ξανθικοῦ μηνὸς δευτέρᾳ, ἥτις ἂν εἴη πρὸ τεσσάρων Νώνων Ἀπριλλίων, ἡμέρᾳ παρασκευῆς τελειωθέντα.

V. Ὑπὸ δὴ τὸν αὐτὸν καιρὸν αὐταῖς τε ἡμέραις, ἐπὶ τῆς Τυρίων πόλεως νεανίας Οὐλπιανὸς ὄνομα,

μετὰ δεινὰς καὶ αὐτὸς αἰκίας, μάστιγάς τε χαλεπωτάτας, ἅμα κυνὶ καὶ ἀσπίδι, τῷ ἰοβόλῳ ἑρπετῷ, ὠμοβοΐνῃ περιβληθεὶς δορᾷ, θαλάττῃ παραδίδοται. διό μοι δοκεῖ ἐν τοῖς Ἀπφιανοῦ μαρτυρίοις εὐλόγως ἂν ἡμῖν μνημονεύεσθαι καὶ οὗτος. 2. ἀδελφὰ δὲ τῷ Ἀπφιανῷ σμικρὸν τῷ χρόνῳ ὕστερον ὑπομείνας ὁ μὴ μόνον αὐτοῦ κατὰ θεόν, καὶ σώματι δὲ ὁμοπάτριος ἀδελφὸς Αἰδέσιος, μετὰ μυρίας ὅσας ὁμολογίας καὶ πολυχρονίους δεσμῶν κακώσεις ἡγεμονικάς τε ἀποφάσεις, ἐν αἷς τοῖς κατὰ Παλαιστίνην δέδοται μετάλλοις, καὶ μετὰ τὴν ἐν πᾶσι τούτοις φιλόσοφον ἐν τρίβωνος σχήματι ἀγωγήν, (καὶ γὰρ οὖν αὐτὸς πλέον τῆς τοῦ ἀδελφοῦ παιδείας κεκτημένος καὶ ἀπὸ μαθημάτων φιλοσόφων ὡρμᾶτο), 3. τελευτῶν δῆτα ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως τὸν αὐτόθι συνιδὼν δικαστὴν Χριστιανοῖς δικάζοντα, πέρα τε τῶν προσηκόντων ἐμπαροινοῦντα, καὶ τοτὲ μὲν σεμνοῖς ἀνδράσι ποικίλως ἐνυβρίζοντα, τοτὲ δὲ γυναῖκας σωφροσύνης τῆς ἀνωτάτω καὶ αὐτοπαρθένους ἀσκητρίας εἰς αἰσχρὰς ὕβρεις πορνοτρόφοις παραδιδόντα, ταυτὸν ἐγχειρήσας τῷ ἀδελφῷ, ὅτι δὴ ἀφόρητα εἶναι αὐτῷ τὰ γινόμενα ἐδόκει, παραστήματι θαρσαλέῳ πρόσεισι, λόγοις τε καὶ ἔργοις τὸν δικαστὴν αἰσχύνῃ καὶ ἀτιμίᾳ περιβαλών, κἀπὶ τούτοις καρτερῶς εὖ μάλα βασάνων πολυτρόπους ὑπομείνας αἰκίας, τὴν ἀδελφικὴν ἀπηνέγκατο θαλάττῃ παραδοθεὶς τελευτήν. ἀλλὰ τὰ μὲν κατὰ τοῦτον, ὡς δ' οὖν ἔφην, σμικρὸν τοῦ χρόνου ὕστερον τοῦτον ἐγενήθη τὸν τρόπον.

VI. Τετάρτῳ γε μὴν τοῦ καθ' ἡμῶν ἔτει διωγμοῦ, πρὸ δώδεκα Καλανδῶν Δεκεμβρίων, ἣ γένοιτ' ἂν μηνὸς Δίου εἰκάδι, προσαββάτου ἡμέρᾳ, κατὰ

τὴν αὐτὴν Καισάρειαν, γραφῆς ὡς ἀληθῶς ἄξιον, αὐτοῦ δὴ τοῦ τυράννου Μαξιμίνου παρόντος καὶ θέας τοῖς πλήθεσι φιλοτιμουμένου κατὰ τὴν λεγομένην αὐτοῦ γενέθλιον ἡμέραν, ἀπετελέσθη τοιοῦτον. 2. ἔθους τὸ πρὶν ὄντος ἐπὶ βασιλέων, εἰ καὶ ἄλλοτε, τὰς φιλοτίμους θέας πλείους τοῖς θεαταῖς ἐμπαρέχειν, θυμηδίας καινῶν καὶ ξένων τά τε συνήθη παραλλαττόντων τῶν θεαμάτων, ζῴων ἔσθ' ὅπη τῶν ἐξ Ἰνδίας ἢ Αἰθιοπίας ἢ καὶ ἄλλοθεν εἰσκομιζομένων, ἢ καὶ ἀνδρῶν ἐντέχνοις τισὶ σωμασκίαις παραδόξους ψυχαγωγίας τοῖς ὁρῶσιν ἐνδεικνυμένων, πάντως που καὶ τότε, οἷα βασιλέως τὰς θέας παρέχοντος, πλέον τι καὶ παράδοξον χρῆν ὑπάρξαι ταῖς φιλοτιμίαις. 3. τί τοίνυν τοῦτο ἦν; μάρτυς τοῦ καθ' ἡμᾶς δόγματος παρήγετο εἰς μέσον, τῆς μόνης καὶ ἀληθοῦς εὐσεβείας ὑπεραγωνιζόμενος. Ἀγάπιος οὗτος ἦν, ὁ δεύτερος ἅμα τῇ Θέκλᾳ θηρσὶν ἐπὶ βορᾷ δεδόσθαι μικρῷ πρότερον δεδηλωμένος, ὃς δὴ καὶ ἄλλοτε δεσμωτηρίου τρίτον καὶ πολλάκις ἅμα κακούργοις ἐμπομπεύσας τῷ σταδίῳ, ἀεί γε μὴν κατὰ χρόνους τοῦ δικαστοῦ μετὰ τὰς ἀπειλάς, ἤτοι κατ' οἶκτον ἢ κατ' ἐλπίδα τοῦ μεταθήσεσθαι τῆς προθέσεως, εἰς ἑτέρους αὐτὸν ἀγῶνας ὑπερτιθεμένου, τότε δὴ βασιλέως ἐπιπαρόντος ἤγετο, ὥσπερ ἐπίτηδες εἰς ἐκεῖνο τοῦ καιροῦ πεφυλαγμένος, ὥστ' ἂν κἀκεῖνο τὸ σωτήριον ῥῆμα, ὃ τοῖς μαθηταῖς θείᾳ γνώσει προηγόρευεν, ὡς ἄρα καὶ ἐπὶ βασιλέων ἀχθήσονται ἕνεκεν τῆς εἰς αὐτὸν μαρτυρίας, καὶ ἐπ' αὐτοῦ πληρωθείη. 4. φέρεται δὴ εἰς μέσον τὸ στάδιον σὺν καί τινι κακούργῳ. φόνῳ δὲ τοῦ δεσπότου

27 Matth. 10, 18.

τοῦτον ἐνέχεσθαι ἔλεγον. 5. εἶθ' ὁ μὲν τοῦ δεσπότου φονεὺς τοῖς θηρσὶ παραβληθεὶς ἐλέου καὶ φιλανθρωπίας ἠξίωτο, μονονουχὶ κατ' αὐτὸν ἐκεῖνον τὸν ἐπὶ τοῦ σωτῆρος Βαραββᾶν. βοαῖς δ' ἐπὶ τούτῳ καὶ εὐφημίαις τὸ πᾶν ἐξηχεῖτο θέατρον, ὡσὰν τοῦ μιαιφόνου φιλανθρώπως πρὸς τοῦ βασιλέως σεσωσμένου, τιμῆς τε καὶ ἐλευθερίας ἠξιωμένου. 6. ὁ δὲ τῆς θεοσεβείας ἀθλητὴς ἀνακαλεῖται μὲν πρότερον ὑπὸ τοῦ τυράννου, εἶτα ἄρνησιν τῆς προθέσεως αἰτηθεὶς ἐπ' ἐλευθερίας ἐπαγγελίᾳ, μεγάλῃ φωνῇ διαμαρτύρεται, μὴ φαύλης μὲν ἕνεκεν αἰτίας, εὐσεβείας δὲ τοῦ τῶν ὅλων δημιουργοῦ προθύμως καὶ μεθ' ἡδονῆς, ὅσα δ' ἂν ἐπάγοιτο αὐτῷ, γενναίως ὑποστήσεσθαι. 7. καὶ τοῦτ' εἰπὼν ἅμα λόγῳ τοὔργον ἐπάγει, δρομαῖος ἄντικρυς ἀπολυθείσῃ κατ' αὐτοῦ ἄρκτῳ ὑπαντιάσας, ταύτῃ τε ἑαυτὸν ἀσμενέστατα ἐπιδεδωκὼς εἰς βοράν, μεθ' ἣν ἔμπνους εἰς τὸ δεσμωτήριον αἴρεται. μίαν τε ἐνταῦθα ἐπιβιώσας ἡμέραν τῇ ἑξῆς λίθων αὐτοῦ προσαρτηθέντων τοῖς ποσὶ μέσῳ πελάγει καταποντοῦται. τοιοῦτο καὶ τὸ τοῦ Ἀγαπίου μαρτύριον.

VII. Ἤδη δὲ καὶ εἰς πέμπτον ἔτος τοῦ διωγμοῦ παραταθέντος, μηνὸς δευτέρᾳ Ξανθικοῦ, ἥτις ἐστὶ πρὸ τεσσάρων Νώνων Ἀπριλλίων, ἐν αὐτῇ κυριακῇ ἡμέρᾳ τῆς τοῦ σωτῆρος ἡμῶν ἀναστάσεως, αὖθις ἐπὶ τῆς Καισαρείας Θεοδοσία τῶν ἀπὸ Τύρου παρθένος, πιστὸν καὶ σεμνότατον κόριον, οὐδ' ὅλως ἐτῶν ὀκτωκαίδεκα, δεσμίοις τισὶ καὶ αὐτοῖς τὴν Χριστοῦ βασιλείαν ὁμολογοῦσι, πρό τε τοῦ δικαστηρίου καθεζομένοις, πρόσεισιν ὁμοῦ φιλοφρονουμένη, καὶ οἷα εἰκὸς ὑπὲρ τοῦ μνημονεύειν αὐτῆς πρὸς τὸν κύριον γενομένους παρακαλοῦσα. 2. τοῦτο δὲ πράξα-

σαν ὥσπερ ἀνόσιόν τι καὶ ἀσεβὲς εἰργασμένην ἀφαρπάσαντες στρατιῶται ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα. αὐτίκα δ' οὗτος ἅτε τις ἐμμανὴς καὶ τὸν θυμὸν θηριωδέστατος δειναῖς καὶ φρικτοτάταις βασάνοις κατὰ πλευρῶν καὶ μαζῶν μέχρι καὶ αὐτῶν ὀστέων αἰκισάμενος, ἔμπνουν ἔτ' αὐτὴν, ὅμως δ' οὖν πρὸς ἅπαντα γεγηθότι καὶ φαιδρῷ ἱσταμένην προσώπῳ, τοῖς θαλαττίοις κύμασιν ἐμβληθῆναι προστάττει. εἶτ' ἐξ αὐτῆς ἐπὶ τοὺς λοιποὺς μεταβὰς ὁμολογητὰς τοῖς κατὰ Φαινὼ τῆς Παλαιστίνης χαλκοῦ μετάλλοις τοὺς πάντας παραδίδωσιν. 3. ἐπὶ τούτοις, Δίου μηνὸς πέμπτῃ, κατὰ δὲ Ῥωμαίους Νώναις Νοεμβρίαις, ἐπὶ τῆς αὐτῆς πόλεως τοὺς ἀμφὶ Σιλβανὸν, ἔτι δὴ τότε ὄντα πρεσβύτερον ὁμολογήσαντα, ὃν οὐκ εἰς μακρὸν ὕστερον ἐπισκοπῇ τιμηθῆναί τε καὶ μαρτυρίῳ συνέβη τελειωθῆναι, γενναιοτάτην ἔνστασιν τὴν ὑπὲρ εὐσεβείας ἐπιδειξαμένους τοῖς εἰς τὸ αὐτὸ χαλκοῦ μέταλλον πόνοις ὁ αὐτὸς ἐγκρίνει, καυτῆρσι πρότερον τῶν ποδῶν τὰς ἀγκύλας αὐτοῖς ἀχρειωθῆναι προστάξας. 4. ἅμα δὲ τῇ κατὰ τούτων ἀποφάσει ἄνδρα μυρίαις ἄλλαις ὁμολογίαις διαπρέψαντα, Δομνῖνος ἦν οὗτος, ὁ διὰ περιττὴν ἐλευθερίαν τοῖς κατὰ Παλαιστίνην ἅπασι γνωριμώτατος, τῇ διὰ πυρὸς ἐκδίδωσι κολάσει· μεθ' ὃν ὁ αὐτὸς δικαστὴς, δεινὸς ἐπινοητής τις ὢν κακίας, καὶ τῶν κατὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐπιχειρημάτων καινουργὸς, τὰς μηδ' ἀκουσθείσας πώποτε κατὰ τῶν θεοσεβῶν ἐπενόει τιμωρίας, καὶ τρεῖς μὲν εἰς τὸ μονομαχεῖν ἐπὶ πυγμῇ καταδικάζει, Αὐξέντιον δὲ, σεμνὸν καὶ ἱερὸν πρεσβύτην, θηρίοις βορὰν παραδίδωσιν, ἄλλους δ' αὖ πάλιν τελείων ἀνδρῶν φέροντας ἡλικίαν εἰς εὐνούχους ἐκτεμὼν τοῖς αὐτοῖς

κατακρίνει μετάλλοις, ἑτέρους δ' αὖ πάλιν μετὰ χαλεπὰς βασάνους δεσμωτηρίῳ καθείργνυσιν, ἐν οἷς καὶ ὁ πάντων ἐμοὶ γοῦν ποθεινότατος ἑταίρων Πάμφιλος ἦν, τῶν καθ' ἡμᾶς μαρτύρων ἀνὴρ πάσης ἕνεκεν ἀρετῆς ἐπιδοξότατος. 5. τούτου τὴν ἐν ῥητορικοῖς λόγοις φιλοσόφοις τε μαθήμασιν ἀπόπειραν πρότερον ὁ Οὐρβανὸς λαβών, εἶθ' ὕστερον θύειν καταναγκάσας, ὡς ἀνανεύοντα καὶ μηδ' ὅλως ἐν λόγῳ τὰς ἀπειλὰς ἑώρα τιθέμενον, τὸ πανύστατον ἀγριάνας, σφοδροτέραις αὐτὸν αἰκίζεσθαι προστάττει βασάνοις. 6. καὶ δὴ ταῖς κατὰ τῶν πλευρῶν αὐτοῦ δι' ἐπιμόνων καὶ φιλονείκων ξυστήρων ὁ θηριωδέστατος μονονουχὶ ἐμφορηθείς, αἰσχύνην γε μὴν ἐπὶ πᾶσι καταχεάμενος, τοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ αὐτὸν ὁμολογηταῖς καταλέγει. 7. ἐπὶ δὲ τῇ κατὰ τῶν ἁγίων ὠμότητι ὁποίας ἀμοιβῆς παρὰ τῇ θείᾳ δίκῃ τεύξεται, τοσαῦτα κατὰ τῶν Χριστοῦ μαρτύρων ἐμπαροινήσας, διαγνῶναι ῥᾴδιον ἐκ τῶν τῇδε προοιμίων, δι' ὧν εὐθὺς καὶ οὐκ εἰς μακρὸν τοῖς κατὰ τοῦ Παμφίλου τετολμημένοις αὐτὸν ἔτι τῆς ἡγεμονίας ἐχόμενον ἡ θεία μετῆλθεν δίκη, ἀθρόως οὕτως τὸν χθὲς ἄνω που ἐφ' ὑψηλοῦ βήματος δικάζοντα, καὶ πρὸς τοῦ στρατιωτικοῦ δορυφορούμενον στίφους, ὅλου τε τοῦ Παλαιστινῶν ἔθνους ἐπάρχοντα, ὁμοδίαιτόν τε οἷα φίλτατον καὶ ὁμοτράπεζον αὐτῷ τῷ τυράννῳ καθεστῶτα, διὰ μιᾶς γυμνώσασα νυκτός, καὶ τῶν τοσούτων ἀξιωμάτων ἔρημον καταστήσασα, ἀτιμίαν τε καὶ αἰσχύνην ἐπὶ τῶν πρότερον ὡσὰν ἄρχοντα αὐτὸν τεθηπότων καταχέασα, δειλόν τε καὶ ἄνανδρον, γυναικώδεις τε προϊέμενον φωνὰς καὶ ἱκεσίας ὅλῳ τῷ ἔθνει, οὗ δὴ καὶ ἦρχεν, ἐπιδείξασα, αὐτόν τε τὸν Μαξιμῖνον, ἐφ' ᾧ τὸ πρὶν γαυριῶν

ἐφρυάττετο, ὡσὰν διαφερόντως αὐτὸν τῶν δρωμένων αὐτῷ καθ' ἡμῶν ἕνεκα στέργοντι, δικαστὴν ἀπηνῆ καὶ ὠμότατον ἐπ' αὐτῆς τῆς Καισαρείας καταστήσασα, ὡς καὶ τὴν ἐπὶ θανάτῳ κατ' αὐτοῦ ψῆφον ἐξενεγκεῖν, μετὰ πολλὴν τὴν ἐφ' οἷς ἐξηλέγχετο ἀτοπήμασιν αἰσχύνην. 8. ἀλλὰ τοῦτο μὲν ὁδοῦ πάρεργον ἡμῖν εἰρήσθω· γένοιτο δ' ἂν προσήκων καιρὸς, ἐν ᾧ τῶν δυσσεβῶν, οἳ μάλιστα καθ' ἡμῶν ἐστρατεύσαντο, αὐτοῦ τε τοῦ Μαξιμίνου καὶ τῶν ἀμφ' αὐτὸν τὰ τέλη καὶ τῶν βίων τὰς καταστροφὰς ὁ λόγος ἡμῖν ἐπὶ σχολῆς περιλήψεται.

VIII. Καὶ εἰς ἕκτον δὲ ἔτος πνεύσαντος ἐπιμόνως τοῦ καθ' ἡμῶν χειμῶνος εἶχε μὲν πρὸ τούτου τὸ καλούμενον ἐν Θηβαΐδι φερωνύμως οὗ γεννᾶται πορφυρίτου λίθου μέταλλον πλείστην ὅσην πληθὺν τῶν τῆς θεοσεβείας ὁμολογητῶν, ἐξ ὧν, τρισὶ δέουσι τὸν ἀριθμὸν, ἑκατὸν ἄνδρες ἅμα γυναιξὶ καὶ κομιδῇ νηπίοις πρὸς τὸν τῆς Παλαιστίνης ἡγούμενον διαπέμπονται, οὓς τὸν τῶν ὅλων θεὸν καὶ τὸν Χριστὸν ὁμολογήσαντας, τῶν σκαιῶν ποδῶν τὰς ἀγκύλας αὐτοῖς νεύροις καυτῆρσιν ἀποτμηθῆναι, καὶ αὖ πάλιν τῶν ὀφθαλμῶν τοὺς δεξιοὺς πρῶτον μὲν ξίφεσιν αὐτοῖς ὑμέσι καὶ κόραις ἐκκοπῆναι, εἶτα δὲ πυρὶ διὰ καυτήρων πάμπαν εἰς ῥίζας αὐτὰς ἀχρειωθῆναι, Φιρμιλλιανὸς, ὁ τῇδε διάδοχος Οὐρβανῷ πεμφθεὶς ἡγούμενος, ὡς ἂν ἐκ βασιλικοῦ νεύματος προστάττει· κἄπειτα αὐτοὺς τοῖς κατὰ τὴν ἐπάρχιον μετάλλοις μόχθου καὶ κακοπαθείας ἕνεκεν ταλαιπωρεῖσθαι παραδίδωσιν. 2. οὐ τούτους δὲ ἄρα μόνον τὰ τηλικαῦτα παθόντας ἤρκει παραλαβεῖν ὀφθαλμοῖς, ἀλλὰ καὶ Παλαιστινῶν τοὺς ἐπὶ πυγμῇ εἰς μονομαχίας κατακεκρίσθαι μικρῷ πρόσθεν δεδηλω-

μένους, ἐπεὶ μήτε τὰς ἐκ τοῦ βασιλικοῦ ταμιείου τροφὰς μήτε μὴν τὰς ἐπιτηδείους τῇ πυγμῇ μελέτας ὑπέμενον. 3. ἤδη δὲ οὐκ ἐπιτρόποις αὐτὸ μόνον οἱ δηλούμενοι, ἀλλὰ καὶ αὐτῷ Μαξιμίνῳ τούτου γε ἕνεκεν παραστάντες γενναιοτάτην ἔνστασιν ὁμολογίας διὰ λιμοῦ καρτερίας καὶ μαστίγων ὑπομονῆς ἐνδειξάμενοι, τὰ ὅμοια τοῖς δηλωθεῖσι πεπόνθασι, μεθ' ἑτέρων προστεθέντων αὐτοῖς ὁμολογητῶν ἐπ' αὐτῆς τῆς Καισαρείας. 4. ὧν κατὰ πόδας ἐπὶ τῇ τῶν θείων ἀναγνωσμάτων συγκροτήσει κατὰ τὴν Γαζαίων πόλιν ἁλόντες ἕτεροι, οἱ μὲν τὰς αὐτὰς τούτοις ὑπέμειναν κατά τε τῶν ποδῶν καὶ τῶν ὀφθαλμῶν πάθας, οἱ δὲ καὶ ἔτι μείζους, φοβερωτάτων κατὰ τῶν πλευρῶν ἐπειράθησαν βασάνων. 5. ἐξ ὧν μία τις, τὸ μὲν σῶμα γυνή, τὸν δὲ λογισμὸν ἄρρην, πορνείας ἀπειλὴν μὴ ἐνεγκοῦσα, εἰποῦσά τι ῥῆμα κατὰ τοῦ τυράννου, ὡσὰν οὕτως ὠμοῖς δικασταῖς τὴν ἀρχὴν ἐπιτετραφότος, πρῶτον μὲν μαστίζεται, εἶτα δὲ μετέωρος ἐπὶ τοῦ ξύλου γενομένη τὰς πλευρὰς αἰκίζεται. 6. ὡς δ' ἐπιμόνως καὶ σφοδρῶς ἐκ προστάξεως τοῦ δικαστοῦ τὰς βασάνους ἐπῆγον οἱ ταύτῃ τεταγμένοι, ὑπὲρ τοὺς παρ' Ἕλλησιν ἐκείνους μαχητὰς ἐπ' ἐλευθερίᾳ τεθρυλημένους, μὴ βαστάσασα τὸ ἀνηλεὲς καὶ ὠμὸν καὶ ἀπάνθρωπον τῶν πραττομένων, ἄλλη τις ὁμοίως τῇ προτέρᾳ τὸν τῆς παρθενίας ἐπανῃρημένη σκοπόν, τὸ μὲν σῶμα πάνυ γε τὸ δοκεῖν εὐτελὴς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, ῥωμαλέα δὲ ἄλλως τὴν ψυχὴν καὶ μείζονα τοῦ σώματος τὸν λογισμὸν ἐνεστερνισμένη "καὶ μέχρι τίνος", ἐκ μέσου τοῦ ὄχλου, "τὴν ἐμὴν ὠμῶς οὕτως βασανίζεις ἀδελφήν"; ἀνέκραγε πρὸς τὸν δικαστήν· ὁ δὲ πικρότερον ὑποκινηθεὶς αὐτίκα συλληφθῆναι κελεύει

τὴν ἄνθρωπον. 7. εἶτα σύρεται εἰς μέσον, καὶ τὸ σεβάσμιον τοῦ σωτῆρος ἐπιγραψαμένη ὄνομα πρῶτον μὲν λόγοις θύειν ἀνεπείθετο, ὡς δ' ἠπείθει, βίᾳ πρὸς τὸν βωμὸν εἵλκετο. ἡ δὲ ἀδελφὰ ἑαυτῇ πράττουσα καὶ τῆς προτέρας ἐχομένη προθυμίας ἀτρεμεῖ, καὶ θαρσαλέῳ ποδὶ λὰξ ἐντείνει τῷ βωμῷ, καὶ τὰ εἰς αὐτὸν ἅμα τῇ ἐπικειμένῃ ἀνατρέπει πυρᾷ. 8. ἐφ' ᾧ θηρὸς ἀγρίου δίκην ὁ δικαστὴς ὀξυνθεὶς τὸν θυμὸν, τοσαύτας μὲν αὐτῇ πρότερον αἰκίας κατὰ τῶν πλευρῶν ἐπιτίθησιν, ὅσας οὐδενὶ τῶν πώποτε, μονονουχὶ καὶ ὠμῶν τῶν σαρκῶν αὐτῆς ἐμφορηθῆναι γλιχόμενος· ὡς δὲ κόρον αὐτῷ ἤδη τὰ τῆς μανίας ἐλάμβανεν, ἄμφω ζεύξας, αὐτήν τε ταύτην ἅμα τῇ πρὸς αὐτῆς ἀδελφῇ προσαγορευθείσῃ, τὸν διὰ πυρὸς αὐτῶν καταψηφίζεται θάνατον. τούτων ἡ μὲν προτέρα τῆς Γαζαίων χώρας ἐλέγετο, τὴν δ' ἑτέραν ἰστέον ἀπὸ τῆς Καισαρέων ὡρμῆσθαι, τὴν πολλοῖς γνώριμον Οὐαλεντῖναν τοὔνομα. 9. τὸ ἐπὶ τούτῳ μαρτύριον πῶς ἂν κατ' ἀξίαν διέλθοιμι, οὗ κατηξίωται ὁ τρισμακάριος Παῦλος, κατὰ μὲν τὴν αὐτὴν ταύταις ὥραν ὑπὸ μίαν ἀπόφασιν τὴν ἐπὶ θανάτῳ κριθεὶς, πρὸς αὐτῇ δὲ τῇ τελειώσει τὸν ἀποτέμνειν αὐτὸν ὅσον οὔπω μέλλοντα βραχύ τι ὥρας ἐνδοῦναι αὐτῷ ἀντιβολήσας· 10. οὗ τυχὼν λαμπρᾷ καὶ γεγωνῷ φωνῇ πρῶτον μὲν τὰς ὑπὲρ τῶν ὁμοεθνῶν ἐπρυτάνευε τῷ θεῷ δι' εὐχῶν καταλλαγὰς, ἢ τάχος ἐλευθερίαν αὐτοῖς ἐνδοθῆναι ποτνιώμενος, εἶθ' ὑπὲρ τῆς Ἰουδαίων πρὸς τὸν θεὸν διὰ Χριστοῦ προσαγωγῆς ἠξίου, εἶθ' ἑξῆς κατέβαινε τῷ λόγῳ, τὰ αὐτὰ καὶ Σαμαρείταις ἐπευχόμενος, καὶ τοὺς ἐν πλάνῃ δὲ καὶ ἀγνωσίᾳ θεοῦ τῶν ἐθνῶν ὄντας, εἰς ἐπίγνωσιν ἐλθεῖν αὐτοὺς, καὶ τὴν ἀληθῶς εὐσέβειαν

ἀναλαβεῖν παρεκάλει, μηδὲ τοὺς τότε παμμιγῆ περιεστῶτας ἀτημελήτους καταλιπών· 11. μεθ' οὓς πάντας, ὢ τῆς πολλῆς καὶ ἀφάτου ἀνεξικακίας, καὶ ὑπὲρ τοῦ τὸν θάνατον αὐτῷ προστιμήσαντος δικαστοῦ, τῶν τε ἐπὶ πᾶσιν ἀρχόντων, ἔτι τε καὶ τοῦ ὅσον οὔπω τῆς κεφαλῆς αὐτὸν ἀποτεμοῦντος, εἰς ἐπήκοον αὐτοῦ τ' ἐκείνου καὶ τῶν παρόντων ἁπάντων, τοῦ τῶν ὅλων ἐδεῖτο θεοῦ, μηδαμῶς αὐτοῖς ἐν ἀριθμῷ γενέσθαι τὴν εἰς αὐτὸν ἁμαρτάδα παρακαλῶν. 12. ταῦτα καὶ τὰ τοιαῦτα μεγάλῃ φωνῇ κατευξάμενος, καὶ μονονουχὶ τοὺς πάντας ὡσὰν ἀδίκως ἀναιρούμενος, εἰς οἶκτον ἑλκύσας καὶ δάκρυα, ᾗ νόμος αὐτὸς ἑαυτὸν σχηματίσας καὶ τὸν αὐχένα γυμνὸν τῇ τοῦ ξίφους ἀποτομῇ παραδοὺς, θείῳ κατεκοσμήθη μαρτυρίῳ, μηνὸς Πανέμου πέμπτῃ καὶ εἰκάδι, ἣ λέγοιτ' ἂν πρὸ ὀκτὼ Καλανδῶν Αὐγούστων. καὶ τὰ μὲν κατὰ τούσδε τοιοῦτο τέλος εἶχεν. 13. οὐ μακροῦ δὲ διαδραμόντος χρόνου αὖθις ἐκ τῆς Αἰγυπτίων γῆς οἱ θαυμάσιοι τῆς εἰς Χριστὸν ὁμολογίας ἀθληταὶ τριάκοντα πρὸς ἑκατὸν, ἐκ προστάξεως Μαξιμίνου τὰς αὐτὰς τοῖς προτέροις ἐπ' αὐτῆς Αἰγύπτου εἴς τε τοὺς ὀφθαλμοὺς καὶ τοὺς πόδας συμφορὰς ὑποστάντες, τοῖς δεδηλωμένοις ἐν Παλαιστίνῃ μετάλλοις, οἱ δὲ τοῖς κατὰ Κιλικίαν κατάκριτοι παραπέμπονται.

IX. Ἐπὶ δὴ τοῖς τοσούτοις τῶν μεγαλοπρεπῶν Χριστοῦ μαρτύρων ἀνδραγαθήμασι λωφησάσης καὶ ὡσανεὶ τοῖς ἱεροῖς αὐτῶν αἵμασι τῆς τοῦ διωγμοῦ πυρκαϊᾶς ἀποσβεννυμένης, ἀνέσεώς τε ἤδη καὶ ἐλευθερίας τοῖς ἐπὶ Θηβαΐδος εἰς τὰ αὐτόθι μέταλλα διὰ Χριστὸν καταπονουμένοις συγκεχωρημένης, μικρόν τε ἐκ καθαροῦ μελλόντων ἡμῶν ὑπαναπνεῖν ἀέρος,

οὐκ οἶδ᾽ ὅπως ἔκ τινος ἀνακινήσεως πάλιν ἐξ ὑπαρχῆς ὁ τοῦ διώκειν τὴν ἐξουσίαν εἰληχὼς κατὰ Χριστιανῶν ἀνεκάετο. 2. ἀθρόως δ᾽ οὖν αὖθις Μαξιμίνου διαφοιτᾷ καθ᾽ ἡμῶν πανταχοῦ γράμματα κατ᾽ ἐπαρχίαν, ἡγεμόνες τε καὶ προσέτι ὁ τῶν στρατοπέδων ἄρχειν ἐπιτεταγμένος προγράμμασι καὶ ἐπιστολαῖς καὶ δημοσίοις διατάγμασι τοὺς ἐν ἁπάσαις πόλεσι λογιστὰς ἅμα στρατηγοῖς καὶ ταβουλαρίοις ἐπέσπερχον τὸ βασιλικὸν εἰς πέρας ἄγειν πρόσταγμα, κελεῦον ὡς ἂν μετὰ σπουδῆς πάσης τῶν μὲν εἰδώλων ἀνοικοδομοῖεν τὰ πεπτωκότα, πανδημεὶ δὲ πάντας ἄνδρας ἅμα γυναιξὶ καὶ οἰκέταις καὶ αὐτοῖς ὑπομαζίοις παισὶ θύειν καὶ σπένδειν, αὐτῶν τε ἀκριβῶς τῶν ἐναγῶν ἀπογεύεσθαι θυσιῶν ἐπιμελὲς ποιοῖντο, καὶ τὰ μὲν κατ᾽ ἀγορὰν ὤνια ταῖς ἀπὸ τῶν θυσιῶν σπονδαῖς καταμολύνοιτο, πρόσθεν δὲ τῶν λουτρῶν ἔφεδροι κατατάσσοιντο, ὡς ἂν τοὺς ἐν τούτοις ἀποκαθαιρομένους ταῖς παμμιάροις μολύνοιεν θυσίαις. 3. τούτων δῆτα οὕτως ἐπιτελουμένων, ἐξ ὑπαρχῆς τε τῶν ἡμετέρων πλείστῃ, οἷα δὴ εἰκὸς ἦν, φροντίδι συνεχομένων, τῶν τε ἀπίστων ἐθνῶν βαρεῖαν τῶν γινομένων καὶ ὡσὰν περιττὴν ἤδη τὴν ἀτοπίαν καταμεμφομένων, (προσκορῆ γὰρ καὶ φορτικὰ ταῦτα καὶ αὐτοῖς εἶναι κατεφαίνετο), μεγίστου τε χειμῶνος τοῖς πανταχῆ πᾶσιν ἐπηρτημένου, τοὔμπαλιν ἡ θεία τοῦ σωτῆρος ἡμῶν δύναμις τοῖς αὐτῆς ἀθληταῖς θάρσος τοσοῦτον ἐνέπνει ὡς μηδ᾽ ἐπισπωμένου τινὸς μηδ᾽ ἕλκοντος τὴν τῶν τοσούτων καταπατεῖν ἀπειλήν. 4. ὁμόσε δὴ οὖν τρεῖς συνταξάμενοι τῶν πιστῶν ἐπιπηδῶσιν εἰδώλοις θύοντι τῷ ἄρχοντι, παύσασθαι τῆς πλάνης ἐμβοώμενοι· μὴ γὰρ δὴ ἄλλον ὑπάρχειν πλὴν τοῦ τῶν ὅλων ποιητοῦ τε καὶ

δημιουργοῦ θεόν. ἀνερωτώμενοι δῆτα τίνες εἶεν Χριστιανοὺς σφᾶς θαρσαλέως ὡμολόγουν. 5. ἐφ' οἷς ὀξύτερον παρακινηθεὶς ὁ Φιρμιλλιανὸς, μηδὲ βασάνοις αὐτοὺς αἰκισάμενος κεφαλικῇ παραδίδωσι κολάσει. τούτων ὁ μὲν πρεσβύτερος ἦν, Ἀντωνῖνος ὄνομα, ὁ δὲ Ζεβινᾶς ἐκαλεῖτο, τῆς Ἐλευθεροπολιτῶν ὁρμώμενος, Γερμανὸς δὲ καὶ τῷ τρίτῳ ἦν ἡ προσηγορία. Δίου μηνὸς τρισκαιδεκάτῃ, Εἰδοῖς Νοεμβρίαις καὶ τὰ κατὰ τούτους ἐπράχθη. 6. γίνεται δ' οὖν αὐτοῖς συναπόδημος ἐπ' αὐτῆς ἡμέρας Ἐνναθὰς τῶν ἀπὸ Σκυθοπόλεώς τις γυνὴ, παρθενίας στέμματι καὶ αὐτὴ κεκοσμημένη, οὐ ταυτὸν μὲν αὐτοῖς διαπραξαμένη, ἑλχθεῖσα δὲ βίᾳ καὶ προσαχθεῖσα τῷ δικαστῇ. 7. μετὰ μάστιγας οὖν καὶ δεινὰς ὕβρεις, ἃς ἐπήγαγεν αὐτῇ, οὐδὲ μετὰ γνώμης τῆς μείζονος ἐξουσίας, τῶν κατὰ γειτνίαν ἐφεστώτων τις χιλιάρχων ἐτόλμα, Μάξυς ὄνομα, χείρων τῆς προσηγορίας ἄνθρωπος, μιαρὸς μὲν τὰ ἄλλα, ἰσχυρὸς δ' ὑπερβαλλόντως τὸ ἦθος, καὶ τὸν πάντα τρόπον δεινός τις ὄντως καὶ παρὰ πᾶσι τοῖς γνωρίμοις διαβεβλημένος, οὗτος μέν γε ἐσθῆτος ἁπάσης τὴν μακαρίαν ἀποδύσας, ὡς τὴν ἐξ ὀσφύος αὐτὸ μόνον καὶ ἐπὶ πόδας καλύπτεσθαι, τὸ δ' ἄλλο σῶμα γυμνὸν ἔχειν, τήν τε πᾶσαν Καισαρέων πόλιν κύκλῳ περιαγαγὼν, ἱμᾶσιν ἀνὰ πάσας ἑλκομένην τὰς ἀγορὰς τύπτεσθαι περὶ πολλοῦ ποιεῖται. 8. καὶ δὴ μετὰ τοσαῦτα θαρσαλεωτάτην ἔνστασιν καὶ ἐπ' αὐτῶν τῶν ἡγεμονικῶν βημάτων ἐνδειξαμένην ζῶσαν πυρὶ παραδίδωσιν ὁ δικαστὴς, ὃς καὶ τὸ ἀπάνθρωπον ἐπιτείνας τὴν κατὰ τῶν θεοσεβῶν λύτταν πέρα τῶν τῆς φύσεως προῄει θεσμῶν, οὐδὲ ταφῆς αἰδούμενος ἀψύχοις φθονῆσαι τοῖς τῶν ἱερῶν ἀνδρῶν σώμασι.

9. νύκτωρ δ' οὖν ἐπιμελῶς καὶ μεθ' ἡμέραν ὑπαίθρους θηρσὶν εἰς βορὰν τοὺς νεκροὺς φυλάττεσθαι προστάττει. καὶ παρῆν ὁρᾶν ἐπὶ πλείοσιν ἡμέραις οὐκ ὀλίγον ἀνδρῶν ἀριθμὸν τῇ θηριώδει ταύτῃ καὶ βαρβάρῳ βουλῇ διακονουμένων. ἀλλ' οἱ μὲν ἐξ ἀπόπτου, οἷόν τι σπουδῆς ἄξιον, ὡς μὴ οἱ νεκροὶ κλαπεῖεν, ἐπεσκόπουν, θῆρες δὲ ἄγριοι καὶ κύνες, οἰωνῶν τε τὰ σαρκοβόρα τὰ βρότεια μέλη ὧδε κἀκεῖσε ἐσπάραττον. 10. καὶ ἡ πᾶσά γε μὴν ἐν κύκλῳ πόλις σπλάγχνων καὶ ὀστέων ἀνθρωπείων διεστόρνυτο, ὡς μηδέ τι πώποτε δεινότερον μηδ' αὐτοῖς, ὅσοι πρότερον ἀπεχθῶς εἶχον πρὸς ἡμᾶς, φανῆναι φρικωδέστερον, οὐχ οὕτω τὴν συμφορὰν εἰς οὓς ἐπράττετο ταῦτα, ὡς ἐπὶ τῇ σφῶν αὐτῶν καὶ τῆς κοινῆς ἁπάντων ὕβρει φύσεως ἀπολοφυρομένων. 11. προύκειτο γὰρ ἄγχιστα πυλῶν, θέαμα παντὸς λόγου καὶ τραγικῆς ἀκοῆς μεῖζον, οὐκ ἐφ' ἑνὶ χώρῳ κατεσθιομένων τῶν ἀνθρωπείων σαρκῶν, ἀλλὰ κατὰ πάντα τόπον διαρριπτουμένων. μέλη γοῦν καὶ σάρκας ὅλας, μέρη τέ τινα σπλάγχνων καὶ πυλῶν εἴσω τινὲς κατιδεῖν εἰρήκασιν. 12. ἐφ' οἷς πλείσταις ἡμέραις ἐπιτελουμένοις τοιοῦτόν τι παράδοξον συμβαίνει. αἰθρία ἦν καὶ λαμπρὸς ἀὴρ καὶ τοῦ περιέχοντος κατάστασις εὐδιεινοτάτη. εἶτα ἀθρόως τῶν ἀνὰ τὴν πόλιν κιόνων, οἳ τὰς δημοσίας ὑπήρειδον στοάς, δακρύων τινὰ τρόπον οἱ πλείους σταλαγμοὺς ἀπέσταζον, ἀγοραί τε καὶ πλατεῖαι, μηδεμιᾶς ψεκάδος ἐξ ἀέρος γεγενημένης, οὐκ οἶδ' ὁπόθεν ὕδατι ῥανθεῖσαι καθυγραίνοντο, ὡς αὐτίκα διαθρυληθῆναι εἰς πάντας δακρῦσαι τὴν γῆν ἀρρήτῳ λόγῳ, τὴν τῶν τότε πραχθέντων ἀνοσιουργίαν μὴ φέρουσαν, εἰς ἔλεγχόν τε φύσεως ἀτέγκτου καὶ ἀσυμπαθοῦς ἀνθρώπων λίθους

καὶ τὴν ἄψυχον ὕλην ἐπικλαῦσαι τοῖς γεγενημένοις. 13. λῆρος ἴσως καὶ μῦθος εὖ οἶδ' ὅτι δόξειεν εἶναι τὸ ῥῆμα τοῖς μεθ' ἡμᾶς, ἀλλ' οὐχ οἷσπερ ὁ καιρὸς τὴν ἀλήθειαν ἐπιστώσατο.

X. Τοῦ δ' ἐπιόντος μηνὸς Ἀπελλαίου τεσσαρεσκαιδεκάτῃ, πρὸ δεκαεννέα Καλανδῶν Ἰαννουαρίων λέγοιτ' ἄν, πάλιν αὖ τῶν ἀπ' Αἰγύπτου τινὲς πρὸς τῶν ἐπὶ ταῖς πύλαις τοὺς παριόντας διερευνωμένων συλληφθέντες (ἐτύγχανον δ' οὗτοι θεραπείας ἕνεκα τῶν κατὰ Κιλικίαν ὁμολογητῶν στειλάμενοι) οἱ μὲν τὴν αὐτὴν οἷς ἔτυχον ἐξυπηρετησόμενοι κατεδέξαντο ψῆφον, ὀφθαλμοὺς καὶ πόδας ἀχρειωθέντες, τρεῖς δ' αὐτῶν ἐν Ἀσκάλωνι, ἔνθα καὶ ἐνέσχηντο, θαυμασίαν τε παράστασιν ἀνδρείας παρεσχημένοι διάφορον ἀπηνέγκαντο μαρτυρίου τέλος, ὁ μέν τις αὐτῶν πυρὶ παραδοθείς, Ἄρης ὄνομα, οἱ δὲ τὰς κεφαλὰς ἀποτμηθέντες, Πρόμος καὶ Ἠλίας τούτοις ἦν ἡ προσηγορία. 2. Αὐδυναίου δὲ μηνὸς ἡμέρᾳ μιᾷ καὶ δεκάτῃ, εἴη δ' ἂν ἡ πρὸ τριῶν Εἰδῶν Ἰαννουαρίων, ἐπὶ τῆς αὐτῆς Καισαρείας Πέτρος ἀσκητής, ὁ καὶ Ἀψέλαμος, ἀπὸ Ἀνέας κώμης τῶν ὅρων Ἐλευθεροπόλεως, διὰ πυρός, οἷα χρυσὸς ἀκραιφνέστατος, τῆς εἰς τὸν Χριστὸν τοῦ θεοῦ πίστεως εὐγενεῖ λογισμῷ τὴν δοκιμὴν ἀποδέδωκε, μυρία μὲν λιπαροῦντας τόν τε δικαστὴν καὶ τοὺς ἀμφ' αὐτόν, ὡς ἂν ἐλεήσειέ τε αὐτὸν καὶ τῆς ἰδίας φείσαιτο νεότητός τε καὶ ἀκμῆς, ὑπεριδών, προτιμήσας δ' ἁπάντων καὶ ζωῆς αὐτῆς τὴν ἐπὶ τὸν τῶν ὅλων θεὸν ἐλπίδα. 3. τούτῳ δὲ τῆς κατὰ Μαρκίωνα πλάνης ἐπίσκοπός τις εἶναι δοκῶν Ἀσκληπιός, ζήλῳ μέν, ὡς ᾤετο, εὐσεβείας, ἀλλ' οὔτι γε τῆς κατ' ἐπίγνωσιν, ὅμως δ' οὖν μιᾷ καὶ τῇ αὐτῇ

πυρᾷ τὸν βίον συνεξελήλυθεν. ἀλλὰ ταῦτα μὲν ταύτῃ.

XI. Καιρὸς δῆτα καλεῖ τὸ μέγα καὶ περιβόητον ἀνιστορῆσαι θέατρον τῶν ἀμφὶ τὸ τριπόθητον ἔμοιγε ὄνομα Παμφίλου τελειωθέντων· δώδεκα δ' ἦσαν οἱ πάντες, προφητικοῦ τινος ἢ καὶ ἀποστολικοῦ χαρίσματος καὶ ἀριθμοῦ κατηξιωμένοι. 2. ὧν ὁ κορυφαῖος καὶ τῇ τοῦ κατὰ Καισάρειαν πρεσβείου τιμῇ κεκοσμημένος μόνος ἐτύγχανεν ὁ Πάμφιλος, ἀνὴρ καὶ παρ' ὅλον αὐτοῦ τὸν βίον πάσῃ διαπρέψας ἀρετῇ, ἀποτάξει καὶ καταφρονήσει βίου, τῇ τῆς οὐσίας εἰς ἐνδεεῖς κοινωνίᾳ, κοσμικῶν ἐλπίδων ὀλιγωρίᾳ, φιλοσόφῳ πολιτείᾳ καὶ ἀσκήσει· μάλιστα δὲ παρὰ τοὺς καθ' ἡμᾶς πάντας διέπρεπε τῇ περὶ τὰ θεῖα λόγια γνησιωτάτῃ σπουδῇ, ἀτρύτῳ τε περὶ ἃ προύθετο φιλοπονίᾳ, καὶ τῇ περὶ τοὺς προσήκοντας καὶ πάντας τοὺς αὐτῷ πλησιάζοντας ὠφελείᾳ· 3. οὗ τὰ λοιπὰ τῆς ἀρετῆς κατορθώματα, μακροτέρας ὄντα διηγήσεως, ἐπ' ἰδίας τῆς τοῦ κατ' αὐτὸν ὑποθέσεως βίου γραφῆς ἐν τρισὶν ἤδη πρότερον ὑπομνήμασι παραδεδώκαμεν. ἀλλὰ γὰρ ἐπ' ἐκεῖνα τοὺς φιλοτίμως καὶ ταῦτα εἰδέναι ἔχοντας ἀναπέμψαντες τὰ νῦν ἐχώμεθα τῆς κατὰ τοὺς μάρτυρας ἀκολουθίας. 4. δεύτερος μετὰ Πάμφιλον ἐπὶ τὸν ἀγῶνα παρῄει ἱεροπρεπεῖ πολιᾷ τετιμημένος Οὐάλης, τῶν ἀπὸ Αἰλίας διάκονος, αὐτῇ προσόψει σεμνότατος πρεσβύτης, τῶν θείων γραφῶν εἴ καί τις ἄλλος ἐπιστήμων· τοσαύτας γέ τοι μνήμας αὐτῶν ἐνεστέρνιστο ὡς μὴ ἐνδεῖν τῆς ἀπὸ γραμμάτων ἐντεύξεως, τῆς εἴ ποτε λάβοι γραφῆς οἵασδ' οὖν ἀπομνημονεῦσαι διεξόδους. 5. τρίτος ὁ θερμουργότατος καὶ τῷ πνεύματι ζέων ἀπὸ τῆς Ἰαμνιτῶν πόλεως ἐν αὐτοῖς ἐγνω-

ρίζετο Παῦλος, πρὸ τοῦ μαρτυρίου διὰ καυτήρων ὑπομονῆς τὸν τῆς ὁμολογίας διαθλήσας ἀγῶνα. τούτοις ἐπὶ τῆς εἱρκτῆς ἐτῶν δυεῖν ὅλων χρόνον κατατρίψασιν ὑπόθεσις τοῦ μαρτυρίου γίνεται Αἰγυπτίων αὖθις ἀδελφῶν ἔφοδος, τῶν καὶ σὺν αὐτοῖς τελειωθέντων. 6. τοὺς κατὰ Κιλικίαν οὗτοι μέχρι τῶν αὐτόθι μετάλλων ὁμολογητὰς προπέμψαντες ἐπαλινόστουν ἐπὶ τὰ οἰκεῖα· ὁμοίως δῆτα καὶ αὐτοὶ πρὸς αὐταῖς εἰσόδοις τῶν κατὰ Καισάρειαν πυλῶν, τίνες τε εἶεν καὶ ὁπόθεν ἀφικνούμενοι πρὸς τῶν φυλάκων (βάρβαροι δέ τινες ὑπῆρχον οὗτοι τὸν τρόπον) ἀνερωτηθέντες, καὶ μηδὲν τῆς ἀληθείας ἀποκρυψάμενοι, οἷα κακοῦργοι ἐπ' αὐτοφώρῳ ληφθέντες συνείχοντο· πέντε δ' ἦσαν οὗτοι τὸν ἀριθμόν. 7. οἳ καὶ προσαχθέντες τῷ τυράννῳ, κἀπὶ τούτου παρρησιασάμενοι, αὐτίκα μὲν καθείργνυνται δεσμωτηρίῳ· τῇ δ' ἑξῆς Περιτίου μηνὸς ἡμέρᾳ ἑκκαιδεκάτῃ (Μαρτίου κατὰ Ῥωμαίους ἡ πρὸ δεκατεσσάρων Καλανδῶν) ἐκ προστάγματος τούτους δὴ αὐτοὺς ἅμα τοῖς ἀμφὶ τὸν Πάμφιλον δεδηλωμένοις τῷ δικαστῇ προσάγουσιν. 8. ὃς καὶ πρῶτον τῆς τῶν Αἰγυπτίων ἀκαταμαχήτου ἐνστάσεως παντοίοις βασάνων εἴδεσι, μηχανῶν τε ξένων καὶ ποικίλων ἐπινοίαις πεῖραν λαμβάνει. τὸν μὲν προήγορον ἁπάντων τούτοις ἐγγυμνάσας τοῖς ἄθλοις τίς εἴη πρῶτον ἠρώτα, εἶτ' ἀντὶ τοῦ κυρίου ὀνόματος προφητικόν τι ἐπακούσας — τοῦτο δὲ πρὸς αὐτῶν ἐγίνετο, ἀντὶ τῶν πατρόθεν αὐτοῖς ἐπιπεφημισμένων εἰδωλικῶν ὄντων, εἰ τύχοι, μετατεθεικότων ἑαυτοῖς τὰς προσηγορίας· Ἠλίαν γοῦν καὶ Ἱερεμίαν καὶ Ἠσαΐαν τε καὶ Σαμουὴλ καὶ Δανιὴλ ἤκουες ἂν αὐτῶν ἐπιγραφομένων, καὶ τὸν ἐν κρυπτῷ Ἰουδαῖον γνήσιόν

τε καὶ εἰλικρινῶς Ἰσραὴλ τοῦ θεοῦ οὐ μόνον ἔργοις, ἀλλὰ φωναῖς κυρίως ἐκφερομέναις ἐπιδεικνυμένων — τοιοῦτόν τι οὖν πρὸς τοῦ μάρτυρος ὄνομα ἐπακούσας ὁ Φιρμιλλιανὸς, οὐ μὴν ἐπιστήσας τῇ τοῦ ῥήματος δυνάμει, δεύτερον ἥτις αὐτοῦ πατρὶς γένοιτο ἠρώτα. 9. ὁ δὲ συνῳδὸν τῇ προτέρᾳ δευτέραν ἀφίησι φωνὴν, Ἱερουσαλὴμ εἶναι λέγων τὴν ἑαυτοῦ πατρίδα, ἐκείνην δῆτα νοῶν περὶ ἧς εἴρηται τῷ Παύλῳ "ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶν μήτηρ ἡμῶν." καί "προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ." 10. καὶ ὁ μὲν ταύτην ἐνόει, ὁ δ' ἐπὶ χθόνα καὶ χαμαὶ ῥίψας τὴν διάνοιαν, ἥτις εἴη αὕτη καὶ ποῖ γῆς κειμένη, ἀκριβῶς ἐπολυπραγμόνει, εἶτα καὶ βασάνους ἐπῆγεν, ὡς ἂν τἀληθὲς ὁμολογοίη· ὁ δὲ στρεβλούμενος κατόπιν τὼ χεῖρε, καὶ τοῖν ποδοῖν μαγγάνοις τισὶ ξένοις διακλώμενος, τἀληθὲς εἰπεῖν ἀπισχυρίζετο. 11. εἶτα πάλιν πολλάκις ἐρομένου τίς εἴη καὶ ποῖ κειμένη ἣν δὴ φράζει πόλιν, μόνων εἶναι τῶν θεοσεβῶν ταύτην ἔλεγε πατρίδα· μὴ γὰρ ἑτέροις ἢ τούτοις μόνοις αὐτῆς μετεῖναι, κεῖσθαι δὲ πρὸς αὐταῖς ἀνατολαῖς καὶ πρὸς ἀνίσχοντι ἡλίῳ. 12. ὁ μὲν πάλιν διὰ τούτων κατὰ τὸν ἴδιον νοῦν ἐφιλοσόφει, μηδαμῶς τῶν ἐν κύκλῳ βασάνοις αὐτὸν αἰκιζομένων ἐπιστροφὴν ποιούμενος, ἄσαρκος δ' ὥσπερ καὶ ἀσώματος οὐδ' ἐπαΐειν δοκῶν τῶν ἀλγηδόνων· ὁ δ' ἀπορούμενος ἐσφάδαζεν, ἐχθρὰν καὶ Ῥωμαίοις πολεμίαν πάντως που συστήσεσθαι πόλιν Χριστιανοὺς οἰόμενος, πολύς τε ἦν ταύτην ἀνερευνῶν, καὶ τὴν δηλωθεῖσαν χώραν κατ' ἀνατολὰς

---

9 Gal. 4, 25. 10 Hebr. 12, 22.

ἐξετάζων. 13. ὡς δ' ἐπὶ πλέον μάστιξι τὸν νεανίαν καταξήνας παντοίαις τε τιμωρησάμενος βασάνοις ἀπαράλλακτον τὴν ἔνστασιν τῶν πρότερον αὐτῷ ῥηθέντων ἐγίνωσκε, τὴν ἐπὶ θανάτῳ κατ' αὐτοῦ κεφαλικὴν ἐκφέρει ψῆφον. τοσαύτην μὲν οὖν τὰ κατὰ τοῦτον δραματουργίαν εἰλήχει. καὶ τοὺς λοιποὺς δὲ τοῖς παραπλησίοις ἄθλοις ἐγγυμνάσας τὸν ὅμοιον ἀπαλλάττει τρόπον. 14. εἶτ' ἀποκαμὼν, διαγνούς τε εἰς μάτην τιμωρεῖσθαι τοὺς ἄνδρας, ἐπιθυμίας κόρον λαβὼν ἐπὶ τοὺς ἀμφὶ τὸν Πάμφιλον μέτεισιν, ἀναδιδαχθείς τε ὡς ἤδη καὶ πρότερον διὰ βασάνων ἀμετάθετον ἐνεδείξαντο τὴν ὑπὲρ τῆς πίστεως προθυμίαν, ἀνερωτήσας εἰ ἄρα εἰσέτι κἂν νῦν πειθαρχοῖεν, δεξάμενός τε αὐτὸ μόνον παρ' ἑνὸς ἑκάστου τὴν τελευταίαν αὐτῶν τῆς κατὰ τὸ μαρτύριον ὁμολογίας φωνὴν, τὴν αὐτὴν τοῖς προτέροις ἐπάγει τιμωρίαν. 15. τούτων ἐπὶ πέρας ἀχθέντων μειράκιον τῆς οἰκετικῆς ὑπάρχον τοῦ Παμφίλου θεραπείας, οἷα γνησίᾳ ἀνατροφῇ καὶ παιδείᾳ τοῦ τηλικούτου συνησκημένον ἀνδρὸς, ὡς ἔγνω τὴν κατὰ τοῦ δεσπότου ψῆφον, ἀπὸ μέσης τῆς πληθύος ἀναβοᾷ, γῇ τὰ σώματα παραδοθῆναι ἀξιῶν. 16. ὁ δ' οὐκ ἄνθρωπος, ἀλλὰ θὴρ καὶ εἴ τι θηρὸς ἀγριώτερον, μήτε τῷ τῆς ἡλικίας ἀπονείμας νέῳ συγγνώμην, αὐτὸ μόνον ὡς ἐρωτήσας ὁμολογοῦντα Χριστιανὸν ἔμαθεν, ὥσπερ ὑπό τινος τρωθεὶς βέλους, οἰδήσας τὸν θυμὸν, ὅλῃ δυνάμει τοῖς βασανισταῖς χρῆσθαι κατ' αὐτοῦ προστάττει. 15. ὡς δ' ἐπικελευομένου θύειν ἀνανεύοντα ἑώρα, οὐκέθ' ὡς σάρκας ἀνθρώπου, ἀλλ' ἢ λίθους ἢ ξύλα ἤ τι τῶν ἄλλων ἀψύχων, ἄχρις αὐτῶν ὀστέων καὶ τῶν ἐν βάθει καὶ ἐν μυχοῖς σπλάγχνων παραμόνως καταξαίνεσθαι κελεύει.

εἰς μακρὸν δὲ τούτου γινομένου μάτην ἐγχειρεῖν διέγνω, ἀφώνου καὶ ἀνεπαισθήτου, μικροῦ δὲ δεῖν καὶ πάντη ἀψύχου τοῦ σώματος αὐτῷ ταῖς βασάνοις κατατριβομένου. 18. παράμονον δὲ τὸ ἀνηλεὲς καὶ ἀπάνθρωπον κεκτημένος, εὐθὺς ὡς εἶχε μακρῷ πυρὶ παραδοθῆναι αὐτὸν ἀποφαίνεται. καὶ οὗτος μὲν, πρὸ τῆς τοῦ κατὰ σάρκα δεσπότου τελειώσεως, ὕστατος ἐπὶ τὸν ἀγῶνα παρελθὼν, τὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγὴν προύλαβεν, ἔτι διαμελλόντων τῶν περὶ τοὺς προτέρους ἐσπουδακότων. 19. ἦν δὲ ἄρα τὸν Πορφύριον ἰδεῖν, ἱερονίκου διαθέσει πάμμαχον νενικηκότος, κεκονισμένον μὲν τὸ σῶμα, φαιδρὸν δὲ τὸ πρόσωπον, θαρσαλέῳ φρονήματι καὶ γαύρῳ μετὰ τοσαῦτα τὴν ἐπὶ θανάτῳ βαδίζοντα, καὶ θείου πνεύματος ὡς ἀληθῶς ἔμπλεων, αὐτοῦ τε φιλοσόφῳ σχήματι μόνῳ τῷ περὶ αὐτὸν ἀναβολαίῳ ἐξωμίδος τρόπον ἠμφιεσμένον, νηφαλέῳ τε λογισμῷ περὶ ὧν ἐβούλετο τοῖς γνωρίμοις ἐντελλόμενον καὶ διανεύοντα, ἐπ' αὐτῷ τε ἰκρίῳ τὸ πρόσωπον ἔτι φαιδρὸν διατηροῦντα, ἀλλὰ καὶ ἀφθείσης ἔξω ἀπὸ μακροῦ ἀποστήματος κύκλῳ περὶ αὐτὸν τῆς πυρᾶς, ἐνθένδε κἀκεῖθεν ἀφαρπάζοντα τῷ στόματι τὴν φλόγα, γενναιότατά τε εἰς ἐσχάτην ἀναπνοὴν ἐγκαρτεροῦντα τῇ σιωπῇ, μετὰ μίαν τε, ἣν ἅμα καθαψαμένης αὐτοῦ τῆς φλογὸς ἀπέρρηξε, φωνὴν, τὸν υἱὸν τοῦ θεοῦ Ἰησοῦν βοηθὸν ἐπιβοώμενος. τοιοῦτος καὶ ὁ Πορφυρίου ἆθλος. 20. τῆς δὲ κατ' αὐτὸν τελειώσεως ἄγγελος τῷ Παμφίλῳ γενόμενος Σέλευκος, τῶν ἀπὸ στρατείας τις ὁμολογητὴς, οἷα τηλικαύτης ἀγγελίας διάκονος, τοῦ σὺν αὐτοῖς παραχρῆμα κλήρου καταξιοῦται. αὐτίκα γάρ τοι αὐτὸν διαγγείλαντα τὸ τοῦ Πορφυρίου τέλος, τῶν τε μαρτύρων

ἕνα δή τινα φιλήματι προσειπόντα, ἐπιλαβόμενοι στρατιῶταί τινες ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα. ὁ δὲ ὥσπερ ἐπισπέρχων αὐτὸν τῷ προτέρῳ συναπόδημον τῆς εἰς οὐρανοὺς γενέσθαι πορείας, αὐτίκα κεφαλικῇ τιμωρίᾳ κολασθῆναι προστάττει. 21. οὗτος ἦν μὲν ἀπὸ τῆς Καππαδοκῶν γῆς, τῆς δ' ἐν στρατείαις ἐπιλέκτου νεολαίας, καὶ τῶν ἐν Ῥωμαϊκοῖς ἀξιώμασιν οὐ μικρᾶς τιμῆς ἐπειλημμένος· ἡλικίᾳ τε γὰρ καὶ ῥώμῃ σώματος, μεγέθει τε καὶ ἰσχύϊ παρὰ πλεῖστον ὅσον τοὺς συστρατιώτας ἐπλεονέκτει, ὡς καὶ τὴν πρόσοψιν αὐτῷ περιβόητον τοῖς πᾶσιν εἶναι, καὶ τὸ πᾶν εἶδος ἀξιάγαστον, μεγέθους ἕνεκα καὶ εὐμορφίας. 22. κατ' ἀρχὰς μὲν οὖν τοῦ διωγμοῦ διὰ μαστίγων ὑπομονῆς τοῖς κατὰ τὴν ὁμολογίαν διαπρέψας ἀγῶσι, μετὰ δὲ τὴν τῆς στρατείας ἀπαλλαγὴν ζηλωτὴν ἑαυτὸν καταστήσας τῶν τῆς θεοσεβείας ἀσκητῶν, ὀρφανῶν ἐρήμων καὶ χηρῶν ἀπεριστάτων, τῶν τε ἐν πενίαις καὶ ἀσθενείαις ἀπερριμμένων ἐπίσκοπος ὥσπερ καὶ ἐπίκουρος, πατρὸς καὶ κηδεμόνος δίκην, ἀναπέφανται, ὅθεν δὴ εἰκότως πρὸς τοῦ τοῖς τοιοῖσδε μᾶλλον τῶν διὰ καπνοῦ καὶ αἵματος θυσιῶν χαίροντος θεοῦ τῆς κατὰ τὸ μαρτύριον παραδόξου κλήσεως ἠξιώθη. 23. δέκατος οὗτος ἀθλητὴς ἐπὶ τοῖς δεδηλωμένοις ἐν μιᾷ καὶ τῇ αὐτῇ τετελείωτο ἡμέρᾳ, καθ' ἣν, ὡς ἔοικε, μεγίστης τῷ Παμφίλου μαρτυρίῳ ἐπαξίως τοῦ ἀνδρὸς διανοιχθείσης πύλης εὐμαρὴς ἅμ' αὐτῷ καὶ ἑτέροις ἡ πάροδος τῆς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσόδου γεγένηται. 24. κατ' ἴχνη δῆτα τῷ Σελεύκῳ Θεόδουλος, σεμνός τις καὶ θεοσεβὴς πρεσβύτης, τῆς ἡγεμονικῆς τυγχάνων οἰκετίας, τετιμημένος τε παρὰ τῷ Φιρμιλλιανῷ πλέον τῶν κατὰ τὸν οἶκον ἁπάντων, τοῦτο

μὲν τῆς ἡλικίας ἕνεκεν, καὶ τῷ τριγενείας πατέρα καθεστάναι, τοῦτο δὲ δι' ἣν ἔσωζε περὶ αὐτοὺς εὔνοιαν καὶ πιστοτάτην συνείδησιν, τὸ παραπλήσιον τῷ Σελεύκῳ διαπραξάμενος, προσαχθεὶς τῷ δεσπότῃ καὶ μᾶλλον αὐτὸν τῶν πρότερον ὀξύνας, ταὐτὸ τοῦ σωτηρίου μαρτύριον πάθους σταυρῷ παραδοθεὶς κατεδέξατο. 25. *ἐπὶ τούτοις ἑνὸς ἔτι λείποντος, ὃς τὸν δωδέκατον ἀποπλήσοι τοῖς δηλουμένοις μάρτυσιν ἀριθμόν, Ἰουλιανὸς παρῆν τοῦτον ἀποπληρώσων· ἐξ ἀποδημίας γέ τοι ἀφικόμενος αὐτίκα, καὶ μηδ' εἰσβαλών πω τῇ πόλει, εὐθὺς ὡς εἶχεν ἀπὸ τῆς ὁδοῦ μαθὼν καὶ ὁρμήσας ἐπὶ τὴν μαρτύρων θέαν, ὡς ἐπὶ γῆς χαμαὶ τὰ τῶν ἁγίων εἶδε σκηνώματα, χαρᾶς ἔμπλεως γεγονώς, ἑκάστῳ περιπλακείς, τοὺς πάντας ἠσπάζετο.* 26. *τοῦτο ποιοῦντα συλλαβόντες αὖθις οἱ τῶν φόνων διάκονοι προσάγουσι τῷ Φιρμιλλιανῷ. ἀκόλουθα δ' αὐτῷ ἐπιτελῶν μακρῷ καὶ τοῦτον πυρὶ παραδίδωσιν. οὕτω δῆτα καὶ Ἰουλιανὸς σκιρτῶν καὶ ὑπεραλλόμενος, μεγάλῃ τε φωνῇ τῷ τηλικούτων αὐτὸν ἀξιώσαντι κυρίῳ ὑπερευχαριστῶν, τοῦ τῶν μαρτύρων κατηξιώθη στεφάνου.* 27. *ἦν δὲ οὗτος τὸ μὲν κατὰ σάρκα γένος Καππαδοκῶν, τὸν δὲ τρόπον εὐλαβέστατος καὶ πιστότατος καὶ γνησιώτατος, σπουδαῖός τε τὰ ἄλλα πάντα, καὶ πνέων αὐτοῦ ἁγίου πνεύματος. τοιοῦτο τῆς συνοδίας τὸ στῖφος τῶν ἅμα Παμφίλῳ συνεισελθεῖν ἐπὶ τὸ μαρτύριον ἀξιωθέντων.* 28. *τούτων ἐπὶ τέσσαρας ἡμέρας τοσαύτας τε νύκτας ἐκ προστάξεως τοῦ δυσσεβοῦς ἡγουμένου τὰ ἱερὰ καὶ ὄντως ἅγια σώματα εἰς βορὰν τοῖς σαρκοβόροις ἐτηρεῖτο. ὡς δ' οὐδὲν αὐτοῖς παραδόξως, οὐ θηρίον, οὐ πτηνόν, οὐ κύων προσεπέλαξεν, αὖθις ἐξ οἰκονομίας τῆς τοῦ θεοῦ*

προνοίας ἀβλαβῆ ληφθέντα, τῆς τε προσηκούσης κηδείας λαχόντα, τῇ συνήθει παρεδόθη ταφῇ. 29. ἔτι δὲ τῆς κατὰ τούτους κινήσεως ἀνὰ στόμα τοῖς πᾶσι λαλουμένης Ἀδριανὸς καὶ Εὔβουλος, ἀπὸ Μαγγαναίας οὕτω καλουμένης χώρας ὡς τοὺς λοιποὺς ὁμολογητὰς εἰς τὴν Καισάρειαν ἀφικόμενοι, πρὸς τῇ πύλῃ καὶ αὐτοὶ δι᾽ ἣν ἐληλύθασιν ἀνεκρίνοντο αἰτίαν· εἶτα ὁμολογήσαντες τἀληθὲς τῷ Φιρμιλλιανῷ προσάγονται. ὁ δ᾽ ὡς εἶχε, πάλιν μηδὲν ὑπερθέμενος, μετὰ πλείστας βασάνους ἃς κατὰ τῶν πλευρῶν αὐτοῖς ἐπιτέθεικε, θηρίων αὐτοὺς βορᾷ κατακρίνει. 30. δυεῖν δὴ οὖν μεταξὺ διελθουσῶν ἡμερῶν ὁ μὲν Ἀδριανὸς Δύστρου πέμπτῃ μηνός, πρὸ τριῶν Νώνων Μαρτίων, γενεθλίων τῆς κατὰ Καισαρέων νομιζομένης Τύχης ἡμέρᾳ, λέοντι παραβληθεὶς καὶ μετὰ τοῦτον ξίφει κατασφαγεὶς ἐτελειώθη, ὁ δὲ Εὔβουλος μεθ᾽ ἑτέραν μέσην, Νώναις αὐταῖς Μαρτίαις, ᾗ γένοιτ᾽ ἂν ἑβδόμῃ Δύστρου, πολλὰ λιπαρήσαντος αὐτὸν τοῦ δικαστοῦ, ὡς ἂν θύσας τῆς νομιζομένης παρ᾽ αὐτῶν ἐλευθερίας τύχοι, τῆς προσκαίρου ζωῆς τὸν ὑπὲρ εὐσεβείας εὐκλεῆ προτιμήσας θάνατον, μετὰ τοὺς θῆρας ὁμοίως τῷ προτέρῳ θῦμα γενόμενος, ὕστατος τῶν ἐπὶ τῆς Καισαρείας μαρτύρων τοὺς ἄθλους ἐπεσφραγίσατο. 31. μνημονεῦσαι δ᾽ ἔτι ἄξιον ἐνταῦθα τοῦ λόγου ὡς ἄρα οὐκ εἰς μακρὸν τῆς οὐρανίου προνοίας τοὺς δυσσεβεῖς ἄρχοντας αὐτοῖς τυράννοις μετελθούσης. ὁ γὰρ τὰ τοσαῦτα κατὰ τῶν τοῦ Χριστοῦ μαρτύρων παροινήσας, αὐτὸς δὴ ὁ Φιρμιλλιανός, μετὰ τῶν ἄλλων ἐσχάτην ὑπομείνας τιμωρίαν ξίφει τὴν ζωὴν καταστρέφει. καὶ τὰ μὲν κατὰ Καισάρειαν ἐφ᾽ ὅλοις τοῖς τοῦ διωγμοῦ χρόνοις ἐπιτελεσθέντα μαρτύρια τοιαῦτα.

XII. Ὅσα δ' ἐπὶ τούτοις κατὰ τὸν ἐν μέσῳ χρόνον ἐπιτελεσθῆναι συμβέβηκε κατὰ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ὡς ἀντὶ ποιμένων τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων, ὧν οὐκ ἐνθέσμως προύστησαν, καμήλων ἀλόγου καὶ τῇ τοῦ σώματος φύσει σκολιωτάτου ζῴου φροντιστὰς αὐτοὺς ὡσπερεὶ τούτων ἀξίους ἡ θεία κατακρίνασα δίκη προεστήσατο, ὅπως τε βασιλικῶν ἵππων ἐνόχους παραστάσει κατεδίκασεν, ὅσα τε τῶν ἱερῶν σκευῶν, τῶν ἐκκλησιαστικῶν ἕνεκα κειμηλίων, οἱ αὐτοὶ πρὸς τῶν κατὰ καιροὺς βασιλικῶν ἐπιτρόπων τε καὶ ἀρχόντων ἐν ὕβρεσι καὶ ἀτιμίαις καὶ βασάνοις ἀνηντλήκασι, τάς τε ἐπὶ τούτοις τῶν πολλῶν φιλαρχίας, ἀκρίτους τε καὶ ἐκθέσμους χειροτονίας, καὶ τὰ ἐν αὐτοῖς ὁμολογηταῖς σχίσματα, ὅσα τε οἱ νέοι στασιώδεις κατὰ τῶν τῆς ἐκκλησίας λειψάνων διὰ σπουδῆς ἐμηχανήσαντο, καινότερα καινοῖς ἐπινεωτερίζοντες, καὶ ἀφειδῶς ταῖς τοῦ διωγμοῦ συμφοραῖς ἐπεντρίβοντες καὶ κακὰ κακοῖς ἐπιτειχίζοντες, ταῦτα πάντα παρήσειν μοι δοκῶ, ἀνοίκειον ἐμαυτῷ κρίνας, παραιτουμένῳ τε καὶ ἀποφεύγοντι, ὡς δ' οὖν καὶ ἀρχομένῳ μοι εἴρηται, τὴν περὶ τούτων διήγησιν, ἀλλὰ γὰρ ὅσα σεμνὰ καὶ εὔφημα κατὰ τὸν ἱερὸν λόγον, καὶ εἴ τις ἀρετὴ καὶ ἔπαινος, ταῦτα λέγειν τε καὶ γράφειν καὶ πισταῖς ἀκοαῖς παρέχεσθαι οἰκειότατον ἡγούμενος τῇ τῶν θαυμαστῶν μαρτύρων ἱστορίᾳ. καὶ τῇ μετὰ ταύτην οὐρανόθεν ἡμῖν ἐπιφανείσῃ εἰρήνῃ κοσμήσειν μοι δοκῶ τοῦ παντὸς λόγου τὴν περιγραφήν.

XIII. Ἕβδομον ἔτος τοῦ καθ' ἡμῶν ἀγῶνος ἠνύετο, καί πως ἠρέμα τῶν καθ' ἡμᾶς ἡσυχῇ τὸ ἀπερίεργον εἰληφότων, εἰς ὄγδοόν τε διαγενομένων ἔτος, ἀμφὶ τὰ ἐν Παλαιστίνῃ χαλκοῦ μέταλλα οὐκ

ὀλίγης ὁμολογητῶν συγκεκροτημένης πληθύος, πολλῇ τε τῇ παρρησίᾳ χρωμένων, ὡς καὶ οἴκους εἰς ἐκκλησίας δείμασθαι, ὁ τῆς ἐπαρχίας ἄρχων δεινός τις ὢν καὶ πονηρὸς, καὶ οἷον αὐτὸν τὰ κατὰ τῶν μαρτύρων δρασθέντα συνέστησεν, ἐπιδημήσας αὐτόθι καὶ τὴν τῶν ἐκεῖσε διαγωγὴν πυθόμενος βασιλεῖ κοινοῦται, ὅσα δοκεῖν, εἰς διαβολὴν καταγράφων. 2. εἶτ' ἐπιστὰς ὁ τοῖς μετάλλοις ἐπιτεταγμένος, ὡσὰν ἐκ βασιλικοῦ νεύματος διελὼν τὴν τῶν ὁμολογητῶν πληθὺν, τοῖς μὲν Κύπρον, τοῖς δὲ τὸν Λίβανον οἰκεῖν ἔνειμεν, ἄλλους τε ἄλλαις κατὰ Παλαιστίνην χώραις κατασπείρας, τοὺς πάντας διαφόροις πονεῖσθαί τισιν ἔργοις ἐπικελεύεται. 3. εἶτα τέσσαρας τοὺς μάλιστα δοκοῦντας αὐτῶν κορυφαίους ἐπιλεξάμενος ἐπὶ τὸν ἐφεστῶτα τοῖς αὐτόθι στρατεύμασι παραπέμπεται· Πηλεὺς ἦν καὶ Νεῖλος, ἐπίσκοποι Αἰγυπτίων, καὶ πρεσβύτερος ἄλλος, καὶ ἐπὶ τούτοις ὁ τοῖς πᾶσι διὰ τὴν περὶ πάντας σπουδὴν γνωριμώτατος Πατερμούθιος· οὓς ὁ στρατοπεδάρχης, ἄρνησιν τῆς θεοσεβείας αἰτήσας καὶ μὴ τυχὼν, τῇ διὰ πυρὸς τελειώσει παραδίδωσιν. 4. ἄλλοι δ' αὖ πάλιν ἐτύγχανον ἐκεῖσε ἐφ' ἑαυτοῖς ἰδίαν χώραν οἰκεῖν λαχόντες, ὅσοι τῶν ὁμολογητῶν ἤτοι διὰ γῆρας ἢ διὰ πηρώσεις, ἢ ἄλλας σωμάτων ἀσθενείας, τῆς ἐν τοῖς ἔργοις ἀπολέλυντο λειτουργίας, ὧν ἡγεῖτο ἐκ τῆς Γαζαίων ἐπίσκοπος ὁρμώμενος Σιλβανὸς, εὐλαβές τι χρῆμα καὶ γνήσιον ὑπόδειγμα Χριστιανισμοῦ φέρων. 5. οὗτος δὴ, ὡς εἰπεῖν, ἀπὸ τῆς πρώτης ἡμέρας τοῦ διωγμοῦ καὶ διὰ παντὸς τοῦ χρόνου παντοίοις ἀγῶσιν ὁμολογιῶν διαπρέψας, εἰς ἐκεῖνο τοῦ καιροῦ τετήρητο, ὡς ἂν ὕστατον γένοιτο παντὸς τοῦ κατὰ Παλαιστίνην

ἀγῶνος ἐπισφράγισμα. 6. τούτῳ δὲ καὶ τῶν ἀπ' Αἰγύπτου συνῆσαν πλείους, ἐν οἷς ἦν καὶ Ἰωάννης, ὃς τῇ περὶ μνήμας ἀρετῇ τοὺς καθ' ἡμᾶς ὑπερεβάλετο πάντας. τῶν μὲν οὖν ὄψεων καὶ πρότερον οὗτος ἐστέρητο, ὅμως δὲ καὶ ἐφ' αἷς διέπρεψεν ὁμολογίαις ὁμοίως τοῖς ἄλλοις καυτῆρσιν ἀφανισθεὶς τὸν πόδα, κατὰ τῆς μὴ ἐνεργούσης ὁράσεως τὸν αὐτὸν τοῦ πυρὸς καυτῆρα εἰλήφει, τῶν δημίων ἐπὶ τὸ ἀνηλεὲς καὶ ἀσυμπαθὲς τὸ τοῦ τρόπου ὠμὸν καὶ ἀπάνθρωπον ἐπιτεινόντων. 7. τοιοῦτον δὴ ὄντα ἤθους μὲν καὶ βίου φιλοσόφου τί ἄν τις ἀποθαυμάσειεν, οὐχ οὕτως ἀναφανέντος παραδόξου, ὅσον τῆς ἐν μνήμαις ἀρετῆς, ὅλας βίβλους τῶν θείων γραφῶν οὐκ ἐν πλαξὶ λιθίναις, ᾗ φησιν ὁ θεῖος ἀπόστολος, ἀλλ' οὐδὲ ἐν ζῴων δοραῖς ἢ χάρταις, ὑπὸ σητῶν καὶ χρόνου διαφθειρομένοις, ἀλλ' ἐν πλαξὶν ὡς ἀληθῶς καρδίας σαρκίναις, ψυχῇ τε διαυγεῖ καὶ καθαρωτάτῳ διανοίας ὄμματι καταγεγραμμένου, ὡς προφέρειν γε, ὅτε καὶ βούλοιτο, διὰ στόματος ὥσπερ ἀπό τινος λόγων θησαυροῦ τοτὲ μὲν νομικὴν καὶ προφητικὴν γραφὴν, τοτὲ δὲ ἱστορικὴν εὐαγγελικήν τε ἄλλοτε καὶ ἀποστολικήν. 8. καταπλαγῆναί ποτε αὐτὸς ὁμολογῶ, πρῶτον τὸν ἄνδρα θεασάμενος μέσον ἱκανοῦ πλήθους ἐκκλησίας ἑστῶτα καί τινα μέρη θείας γραφῆς διεξιόντα. ἕως μὲν γὰρ φωνῆς αὐτὸ μόνον ἐπακροᾶσθαί μοι παρῆν, ἀναγινώσκειν, οἷα δὴ ἔθος ἐν ταῖς συνόδοις, τινὰ ἡγούμην, ὡς δὲ ἄγχιστα γενόμενος τὸ πραττόμενον συνεῖδον, τοὺς μὲν ἄλλους ἅπαντας ὑγιέσιν ὀφθαλμοῖς ἐν κύκλῳ περιεστῶτας, τοῦτον δὲ μόνοις τοῖς τῆς διανοίας

---

15 2 Cor. 3, 3.

χρώμενον, καὶ ἀτεχνῶς οἷά τινα προφήτην ἀποφθεγγόμενον, παρὰ πολύ τε πλεονεκτοῦντα τοὺς τὸ σῶμα ἐρρωμένους, οὐδ' ὁπωσοῦν δοξάζειν τὸν θεὸν καὶ ἀποθαυμάζειν οἷός τε ἦν, σαφές τε πεῖσμα καὶ βέβαιον αὐτοῖς ἔργοις ἐδόκουν μοι ὁρᾶν, ὅτι δὴ μόνος κατ' ἀλήθειαν οὐχ ὁ ἐν τῷ προφανεῖ σώματι νενομισμένος πέφυκεν ἄνθρωπος, ἀλλ' ὁ κατὰ ψυχὴν καὶ διάνοιαν, ὃς καὶ τοῦ σώματος λελωβημένου μείζονα τὴν ἀρετὴν τῆς καθ' αὐτὸν δυνάμεως ἐπεδείκνυτο. 9. ἀλλὰ γὰρ τοὺς δεδηλωμένους κατὰ τὸν ἀποκριθέντα τόπον διατρίβοντας, τά τε συνήθη ἐν ἀσιτίαις καὶ προσευχαῖς καὶ ταῖς λοιπαῖς ἀποτελοῦντας ἀσκήσεσι, θεὸς μὲν αὐτὸς τῆς σωτηρίου τελειώσεως τυχεῖν ἠξίου, δεξιὰν αὐτοῖς ἐπήκοον παρέχων, ὁ δὲ πολέμιος ἐχθρὸς, ἅτε σχολαίτατα κατ' αὐτοῦ διὰ τῶν πρὸς θεὸν εὐχῶν ὁπλιζομένους μηκέθ' οἷός τε φέρειν, κτείνειν καὶ μεταίρειν ἀπὸ γῆς ὡσὰν ἐνόμιζεν ἐνοχλοῦντας· 10. θεὸς δὲ αὐτῷ καὶ τοῦτο πράττειν ἐγχειροῦντι συνεχώρει, ὡς ὁμοῦ τε αὐτὸς τῆς αὐτοῦ κατὰ προαίρεσιν μὴ εἴργοιτο πονηρίας ἐκεῖνοί τε τῶν πολυτρόπων ἀγώνων ἤδη ποτὲ ἀπολάβοιεν τὰ βραβεῖα. ταύτῃ οὖν ἑνὸς δέοντες τὸν ἀριθμὸν τεσσαράκοντα νεύματι τοῦ παναγεστάτου Μαξιμίνου ἐν ἡμέρᾳ μιᾷ τὰς κεφαλὰς ἀποτέμνονται. 11. ταῦτα μὲν οὖν τὰ κατὰ Παλαιστίνην ἐν ὅλοις ἔτεσιν ὀκτὼ συμπερανθέντα μαρτύρια, καὶ τοιοῦτος ὁ καθ' ἡμᾶς διωγμὸς, ἀρξάμενος μὲν ἀπὸ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως, εἰς μέγα δὲ προκόψας ἐν ταῖς κατὰ χρόνους τῶν ἀρχόντων ἐπαναστάσεσιν, ἐν αἷς πολύτροποι καὶ πολυειδεῖς τῶν ὑπὲρ εὐσεβείας ἠθληκότων ἀγῶνες ἀνήριθμόν τι πλῆθος μαρτύρων κατὰ πᾶσαν ἐπάρχιον συνεστή-

σαντο, ἐν τοῖς ἀπὸ Λιβύης καὶ δι' ὅλης Αἰγύπτου, Συρίας τε καὶ τῶν ἀπ' ἀνατολῆς καὶ κύκλῳ μέχρι τῶν κατὰ τὸ Ἰλλυρικὸν κλίμα παρατείνουσι. 12. τὰ γάρ τοι ἐπέκεινα τῶν δεδηλωμένων, Ἰταλία πᾶσα καὶ Σικελία, Γαλλία τε καὶ ὅσα κατὰ δυόμενον ἥλιον ἐπὶ Σπανίαν Μαυριτανίαν τε καὶ Ἀφρικὴν, οὐδ' ὅλοις ἔτεσιν δυσὶ τοῖς πρώτοις τοῦ διωγμοῦ τὸν πόλεμον ὑπομείναντα, ταχίστης ἠξιώθησαν ἐπισκοπῆς τε θεοῦ καὶ εἰρήνης, τῆς οὐρανίου προνοίας φειδὼ τῆς τῶν ἀνδρῶν ἁπλότητος καὶ πίστεως ποιουμένης. 13. ὃ γοῦν μηδὲ ἱστόρηται ἐν τοῖς ἀνέκαθεν τῆς Ῥωμαίων ἀρχῆς, τοῦτο νῦν πρῶτον καθ' ἡμᾶς παρὰ πᾶσαν γέγονεν ἐλπίδα· διαιρεῖται μὲν γὰρ ἐπὶ τῷ καθ' ἡμᾶς διωγμῷ διχῇ τὰ τῆς βασιλείας. εἰρήνης δ' ἀπολαύουσιν οἱ ἐν θατέρῳ μέρει τῷ προδεδηλωμένῳ κατοικοῦντες ἀδελφοὶ, τῶν ἀνὰ τὴν ἄλλην οἰκουμένην μυρίους ἐπὶ μυρίοις ἀγῶνας ὑπομεινάντων. 14. ἀλλὰ γὰρ ὅτε καὶ τὴν καθ' ἡμᾶς ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεων ἡ θεία χάρις ἐνεδείκνυτο, τότε δῆτα καὶ οἱ καθ' ἡμᾶς ἄρχοντες αὐτοὶ δὴ ἐκεῖνοι, δι' ὧν πάλαι τὰ τῶν καθ' ἡμᾶς ἐνηργεῖτο πολέμων, παραδοξοτάτῳ γνώμῃ μεταβαλλόμενοι παλινῳδίαν ᾖδον, χρηστοῖς περὶ ἡμῶν προγράμμασιν καὶ ἡμέροις διατάγμασι τὴν καθ' ἡμῶν πυρκαϊὰν ἀποσβεννύντες· ἀναγραπτέα δὴ καὶ ἡ παλινῳδία.

ΛΟΓΟΣ Θ.

I. [Nic. H. E. VII, 24.] *Τὰ μὲν δὴ τῆς παλινῳδίας τοῦ προτεθέντος βασιλικοῦ νεύματος ἥπλωτο τῆς Ἀσίας πάντῃ καὶ πανταχοῦ, κατά τε τὰς ἀμφὶ ταύτην ἐπαρχίας· ὧν τοῦτον ἐπιτελεσθέντων τὸν τρόπον Μαξιμῖνος ὁ ἐπ᾽ ἀνατολῆς τύραννος, δυσσεβέστατος εἰ καί τις ἄλλος, καὶ τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας πολεμιώτατος γεγονώς, οὐδαμῶς τοῖς γραφεῖσιν ἀρεσθεὶς, ἀντὶ τοῦ προτεθέντος γράμματος λόγῳ προστάττει τοῖς ὑπ᾽ αὐτὸν ἄρχουσι τὸν καθ᾽ ἡμῶν ἀνεῖναι πόλεμον. ἐπεὶ γὰρ αὐτῷ μὴ ἐξῆν ἄλλως τῇ τῶν κρειττόνων ἀντιλέγειν κρίσει, τὸν προεκτεθέντα νόμον ἐν παραβύστῳ θεὶς, καὶ ὅπως ἐν τοῖς ὑπ᾽ αὐτὸν μέρεσι μὴ εἰς προῦπτον ἀχθείη φροντίσας, ἀγράφῳ προστάγματι τοῖς ὑπ᾽ αὐτὸν ἄρχουσι τὸν καθ᾽ ἡμῶν διωγμὸν ἀνεῖναι προστάττει. οἱ δὲ τὰ τῆς παρακελεύσεως ἀλλήλοις διὰ γραφῆς ὑποσημαίνουσιν. 2. ὁ γοῦν παρ᾽ αὐτοῖς τῷ τῶν ἐξοχωτάτων ἐπάρχων ἀξιώματι τετιμημένος Σαβῖνος πρὸς τοὺς κατ᾽ ἔθνος ἡγουμένους τὴν βασιλέως ἐμφαίνει γνώμην διὰ Ῥωμαϊκῆς ἐπιστολῆς, ἧς καὶ αὐτῆς ἡ ἑρμηνεία τοῦτον περιέχει τὸν τρόπον 3. "Λιπαρωτάτῃ καὶ καθωσιωμένῃ σπουδῇ ἡ θειότης "τῶν δεσποτῶν ἡμῶν θειοτάτων αὐτοκρατόρων πάν"των τῶν ἀνθρώπων τὰς διανοίας πρὸς τὴν ὁσίαν "καὶ ὀρθὴν τοῦ ζῆν ὁδὸν περιαγαγεῖν ἔτι πάλαι "ὥρισεν, ὅπως καὶ οἱ ἀλλοτρίᾳ Ῥωμαίων συνηθείᾳ "ἀκολουθεῖν δοκοῦντες τὰς ὀφειλομένας θρησκείας "τοῖς ἀθανάτοις θεοῖς ἐπιτελοῖεν. 4. ἀλλ᾽ ἡ τινῶν "ἔνστασις καὶ τραχυτάτη βουλὴ εἰς τοσοῦτον περιέ"στη ὡς μήτε λογισμῷ δικαίῳ τῆς κελεύσεως δύνα-*

"σθαι ἐκ τῆς ἰδίας προθέσεως ἀναχωρεῖν, μήτε τὴν "ἐπικειμένην τιμωρίαν αὐτοὺς ἐκφοβεῖν. 5. ἐπειδὴ "τοίνυν συνέβαινεν ἐκ τοῦ τοιούτου τρόπου πολλοὺς "εἰς κίνδυνον ἑαυτοὺς περιβάλλειν, κατὰ τὴν προσ-"οῦσαν εὐγένειαν τῆς εὐσεβείας ἡ θειότης τῶν δε-"σποτῶν ἡμῶν τῶν δυνατωτάτων αὐτοκρατόρων, "ἀλλότριον εἶναι τῆς προθέσεως τῆς θειοτάτης τῆς "ἰδίας δοκιμάζουσα τὸ ἐκ τῆς τοιαύτης αἰτίας εἰς "τοσοῦτον κίνδυνον τοὺς ἀνθρώπους περιβάλλειν, "ἐκέλευσε διὰ τῆς ἐμῆς καθοσιώσεως τῇ σῇ ἀγχινοίᾳ "διαχαράξαι, ἵν' εἴ τις τῶν Χριστιανῶν τοῦ ἰδίου "ἔθνους τὴν θρησκείαν μετιὼν εὑρεθείη, τῆς κατ' "αὐτοῦ ἐνοχλήσεως καὶ τοῦ κινδύνου αὐτὸν ἀποστή-"σειας, καὶ μή τινα ἐκ ταύτης τῆς προφάσεως τιμω-"ρίᾳ κολαστέον νομίσειας, ὁπότε τῇ τοσούτου χρόνου "συνελεύσει συνέστη, αὐτοὺς μηδενὶ τρόπῳ πεπεῖσθαι "δεδυνῆσθαι, ὅπως ἀπὸ τῶν τοιούτων ἐνστάσεων "ἀναχωρήσαιεν. 6. ἐγγράψαι τοιγαροῦν πρὸς τοὺς "λογιστὰς καὶ τοὺς στρατηγοὺς καὶ τοὺς πραιπωσί-"τους τοῦ πάγου ἑκάστης πόλεως ἡ σὴ ἐπιστρέφεια "ὀφείλει, ἵνα γνοῖεν περαιτέρω αὐτοῖς τούτου τοῦ "γράμματος φροντίδα ποιεῖσθαι μὴ προσήκειν." 7. ἐπὶ τούτοις οἱ κατ' ἐπαρχίαν, τὴν τῶν γραφέντων αὐτοῖς ἐπαληθεύειν προαίρεσιν νενομικότες, λογισταῖς καὶ στρατηγοῖς καὶ τοῖς κατ' ἀγροὺς ἐπιτεταγμένοις τὴν βασιλικὴν διὰ γραμμάτων ἐμφανῆ καθιστῶσι γνώμην· οὐ μόνον δ' αὐτοῖς διὰ γραφῆς ταῦτα προυχώρει, καὶ ἔργοις δὲ πολὺ πρότερον, ὡσὰν νεῦμα βασιλικὸν εἰς πέρας ἄγοντες, οὓς εἶχον ἐν δεσμωτηρίοις καθειργμένους διὰ τὴν εἰς τὸ θεῖον ὁμολογίαν, εἰς φανερὸν προάγοντες ἠλευθέρουν, ἀνιέντες τούτων δὴ αὐτῶν τοὺς ἐν μετάλλοις ἐπὶ τιμωρίᾳ

δεδομένους· τοῦτο γὰρ ἐπ' ἀληθείας βασιλεῖ δοκεῖν ὑπειλήφασιν ἠπατημένοι. 8. καὶ δὴ τούτων οὕτως ἐπιτελεσθέντων, ἀθρόως οἷόν τι φῶς ἐκ ζοφερᾶς νυκτὸς ἐκλάμψαν κατὰ πᾶσαν πόλιν συγκροτουμένας παρῆν ὁρᾶν ἐκκλησίας, συνόδους τε παμπληθεῖς, καὶ τὰς ἐπὶ τούτων ἐξ ἔθους ἐπιτελουμένας συναγωγάς, καταπέπληκτο δ' ἐπὶ τούτοις οὐ σμικρῶς πᾶς τις τῶν ἀπίστων ἐθνῶν, τῆς τοσαύτης μεταβολῆς τὸ παράδοξον ἀποθαυμάζων, μέγαν τε καὶ μόνον ἀληθῆ τὸν Χριστιανῶν θεὸν ἐπιβοώμενος. 9. τῶν δ' ἡμετέρων οἱ μὲν τὸν τῶν διωγμῶν ἀγῶνα πιστῶς καὶ ἀνδρείως διηθληκότες τὴν πρὸς ἅπαντας αὖθις ἀπελάμβανον παρρησίαν, ὅσοι δὲ τὰ τῆς πίστεως νενοσηκότες τὰς ψυχὰς ἐτύγχανον κεχειμασμένοι, ἀσμένως περὶ τὴν σφῶν θεραπείαν ἔσπευδον, ἀντιβολοῦντες καὶ σωτηρίας δεξιὰν τοὺς ἐρρωμένους αἰτούμενοι, τόν τε θεὸν ἵλεων αὐτοῖς γενέσθαι καθικετεύοντες. 10. εἶτα δὲ καὶ οἱ γενναῖοι τῆς θεοσεβείας ἀθληταί, τῆς εἰς τὰ μέταλλα κακοπαθείας ἐλευθερούμενοι, ἐπὶ τὰς ἑαυτῶν ἐστέλλοντο, γαῦροι καὶ φαιδροὶ διὰ πάσης ἰόντες πόλεως, εὐφροσύνης τε ἀλέκτου καὶ ἣν οὐδὲ λόγῳ δυνατὸν ἑρμηνεῦσαι παρρησίας ἔμπλεοι. 11. στίφη δ' οὖν πολυάνθρωπα κατὰ μέσας λεωφόρους καὶ ἀγορὰς, ᾠδαῖς καὶ ψαλμοῖς τὸν θεὸν ἀνυμνοῦντα, τὰ τῆς πορείας ἤνυε. καὶ τοὺς μετὰ τιμωρίας ἀπηνεστάτης μικρῷ πρόσθεν δεσμίους τῶν πατρίδων ἀπεληλαμένους εἶδες ἂν ἱλαροῖς καὶ γεγηθόσι προσώποις τὰς αὐτῶν ἑστίας ἀπολαμβάνοντας, ὡς καὶ τοὺς πρότερον καθ' ἡμῶν φονῶντας, τὸ θαῦμα παρὰ πᾶσαν ὁρῶντας ἐλπίδα, συγχαίρειν τοῖς γεγενημένοις.

II. [Nic. H. E. VII, 25.] *Ταῦτα δ' οὐκέτι οἷός*

τε φέρειν ὁ τύραννος, μισόκαλος ἐς τὰ μάλιστα καὶ πάντων ἀγαθῶν ἐπίβουλος ὑπάρχων, ὃν ἔφαμεν τῶν ἐπ' ἀνατολῆς ἄρχειν μερῶν, οὐδ' ὅλους ἐπὶ μῆνας ἓξ τοῦτον ἐπιτελεῖσθαι τὸν τρόπον ἠνέσχετο· ὅσα δ' οὖν πρὸς ἀνατροπὴν τῆς εἰρήνης μηχανώμενος πρῶτον μὲν εἴργειν ἡμᾶς τῆς ἐν τοῖς κοιμητηρίοις συνόδου διὰ προφάσεως πειρᾶται, εἶτα διά τινων πονηρῶν ἀνδρῶν αὐτὸς ἑαυτῷ καθ' ἡμῶν πρεσβεύεται, τοὺς Ἀντιοχέων πολίτας παρορμήσας ἐπὶ τὸ μηδαμῶς τινα Χριστιανῶν τὴν αὐτῶν οἰκεῖν ἐπιτρέπεσθαι πατρίδα ὡς ἐν μεγίστῃ δωρεᾷ παρ' αὐτοῦ τυχεῖν ἀξιῶσαι, καὶ ἑτέρους δὲ ταὐτὸ ὑποβαλεῖν διαπράξασθαι· ὧν πάντων ἀρχηγὸς ἐπ' αὐτῆς Ἀντιοχείας ἐπιφύεται Θεότεκνος, δεινὸς καὶ γόης καὶ πονηρὸς ἀνὴρ, καὶ τῆς προσωνυμίας ἀλλότριος· ἐδόκει δὲ λογιστεύειν τὰ κατὰ τὴν πόλιν.

III. Πλεῖστα δ' οὗτος καθ' ἡμῶν στρατευσάμενος, καὶ πάντα τρόπον τοὺς ἡμετέρους, ὥσπερ τινὰς φῶρας ἀνοσίους, ἐκ μυχῶν θηρεῦσαι διὰ σπουδῆς πεποιημένος, πάντα τε ἐπὶ διαβολῇ καὶ κατηγορίᾳ τῇ καθ' ἡμῶν μεμηχανημένος, καὶ θανάτου αἴτιος μυρίοις ὅσοις γεγονὼς τελευτῶν εἴδωλόν τι Διὸς φιλίου μαγγανείαις τισὶ καὶ γοητείαις ἱδρύεται, τελετάς τε ἀνάγνους αὐτῷ καὶ μυήσεις ἀκαλλιερήτους, ἐξαγίστους τε καθαρμοὺς ἐπινοήσας, μέχρι καὶ βασιλέως τὴν τερατείαν δι' ὧν ἐδόκει χρησμῶν ἐκτελεῖν ἐπεδείκνυτο· καὶ δὴ καὶ οὗτος κολακείᾳ τῇ καθ' ἡδονὴν τοῦ κρατοῦντος ἐπεγείρει κατὰ Χριστιανῶν τὸν δαίμονα, καὶ τὸν θεὸν δὴ κελεῦσαί φησιν, ὑπερορίους τῆς πόλεως καὶ τῶν ἀμφὶ τὴν πόλιν ἀγρῶν ὡσὰν ἐχθροὺς αὐτῷ Χριστιανοὺς ἀπελάσαι.

IV. [Nic. H. E. VII, 25.] *Τούτῳ δὲ πρώτῳ κατὰ γνώμην πράξαντι πάντες οἱ λοιποὶ τῶν ἐν τέλει τὰς ὑπὸ τὴν αὐτὴν ἀρχὴν πόλεις οἰκοῦντες τὴν ὁμοίαν ὡρμῶντο ψῆφον ποιήσασθαι, προσφιλὲς δ' εἶναι τοῦτο βασιλεῖ τῶν κατ' ἐπαρχίαν ἡγεμόνων συνεωρακότων, καὶ τοῦτ' αὐτὸ διαπράξασθαι τοῖς ὑπηκόοις ὑποβεβληκότων.* 2. *ὧν δὴ καὶ αὐτῶν τοῖς ψηφίσμασι δι' ἀντιγραφῆς ἀσμενέστατα ἐπινεύσαντος τοῦ τυράννου, αὖθις ἐξ ὑπαρχῆς ὁ καθ' ἡμῶν ἀνεφλέγετο διωγμός. ἱερεῖς δῆτα κατὰ πόλιν τῶν ξοάνων, καὶ ἐπὶ τούτοις ἀρχιερεῖς πρὸς αὐτοῦ Μαξιμίνου οἱ μάλιστα ταῖς πολιτείαις διαπρέψαντες καὶ διὰ πασῶν ἔνδοξοι γενόμενοι καθίσταντο, οἷς καὶ πολλή τις εἰσήγετο σπουδὴ περὶ τὴν τῶν θεραπευομένων πρὸς αὐτῶν θρησκείαν.* 3. *ἡ γοῦν ἔκτοπος τοῦ κρατοῦντος δεισιδαιμονία, συνελόντι φάναι, πάντας τοὺς ὑπ' αὐτὸν ἄρχοντάς τε καὶ ἀρχομένους εἰς τὴν αὐτοῦ χάριν πάντα πράττειν καθ' ἡμῶν ἐνῆγε, ταύτην αὐτῷ χάριν μεγίστην ἀνθ' ὧν ἐνόμιζον πρὸς αὐτοῦ τεύξεσθαι εὐεργεσιῶν ἀντιδωρουμένων, τὸ καθ' ἡμῶν φονᾶν καί τινας εἰς ἡμᾶς καινοτέρας κακοηθείας ἐνδείκνυσθαι.*

V. [Nic. H. E. VII, 28.] *Πλασάμενοι δῆτα Πιλάτου καὶ τοῦ σωτῆρος ἡμῶν ὑπομνήματα, πάσης ἔμπλεα κατὰ τοῦ Χριστοῦ βλασφημίας, γνώμῃ τοῦ μείζονος ἐπὶ πᾶσαν διαπέμπονται τὴν ὑπ' αὐτὸν ἀρχήν, διὰ γραμμάτων παρακελευόμενοι, κατὰ πάντα τόπον, ἀγρούς τε καὶ πόλεις, ἐν ἐκφανεῖ ταῦτα τοῖς πᾶσιν ἐκθεῖναι, τοῖς τε παισὶ τοὺς γραμματοδιδασκάλους ἀντὶ μαθημάτων ταῦτα μελετᾶν καὶ διὰ μνήμης κατέχειν παραδιδόναι.* 2. *ὧν τοῦτον ἐπιτελουμένων τὸν τρόπον ἕτερος στρατοπεδάρχης, ὃν*

δοῦκα Ῥωμαῖοι προσαγορεύουσιν, ἀνὰ τὴν Δαμασκὸν τῆς Φοινίκης ἐπίρρητά τινα γυναικάρια ἐξ ἀγορᾶς ἀνάρπαστα ποιήσας, βασάνους αὐταῖς ἐπιθήσειν ἠπείλει, λέγειν ἐγγράφως ἐπαναγκάζων, ὡς δὴ εἴησάν ποτε Χριστιαναὶ, συνειδεῖέν τε αὐτοῖς ἀθεμιτουργίας, ἐν αὐτοῖς τε τοῖς κυριακοῖς πράττειν αὐτοὺς τὰ ἀκόλαστα, καὶ ὅσα ἄλλα λέγειν αὐτὰς ἐπὶ διαβολῇ τοῦ δόγματος ἤθελεν· ὧν καὶ οὗτος ἐν ὑπομνήμασι τὰς φωνὰς ἐντεθείσας βασιλεῖ κοινοῦται. καὶ δὴ προστάξαντος εἰς πάντα τόπον καὶ πόλιν καὶ ταῦτα δημοσιοῦται τὰ γράμματα.

VI. [Nic. H. E. VII, 27.] Ἀλλ' ὁ μὲν οὐκ εἰς μακρὸν αὐτόχειρ ἑαυτοῦ γεγονὼς ὁ στρατοπεδάρχης δίκην τίννυσι τῆς κακοτροπίας. ἡμῶν δ' αὖ φυγαὶ πάλιν ἀνεκινοῦντο καὶ διωγμοὶ χαλεποὶ, τῶν τε κατὰ πάσας ἐπαρχίας ἡγουμένων αὖθις δειναὶ καθ' ἡμῶν ἐπαναστάσεις, ὡς καί τινας ἁλόντας τῶν περὶ τὸν θεῖον λόγον ἐπιφανῶν ἀπαραίτητον τὴν ἐπὶ θανάτῳ ψῆφον καταδέξασθαι, ὧν τρεῖς ἐν Ἐμίσῃ τῇ πόλει τῆς Φοινίκης, Χριστιανοὺς σφας ὁμολογήσαντες, θηρίων βορᾷ παραδίδονται· ἐπίσκοπος ἦν ἐν τούτοις Σιλβανὸς, τὴν ἡλικίαν ὑπέργηρως, ἐν ὅλοις ἔτεσι τεσσαράκοντα τὴν λειτουργίαν διηνυκώς. 2. κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Πέτρος τῶν κατ' Ἀλεξάνδρειαν παροικιῶν προστὰς ἐπιφανέστατα, θεῖον ἐπισκόπων χρῆμα, βίου τε ἀρετῆς ἕνεκα καὶ τῆς τῶν ἱερῶν λόγων συνασκήσεως, ἐξ οὐδεμιᾶς ἀνάρπαστος γεγονὼς αἰτίας, μηδεμιᾶς προλαβούσης προσδοκίας, ἀθρόως οὕτω καὶ ἀλόγως, ὡσὰν Μαξιμίνου προστάξαντος, τὴν κεφαλὴν ἀποτέμνεται, σὺν αὐτῷ δὲ αἱ τῶν κατ' Αἴγυπτον ἐπισκόπων ἄλλοι πλείους ταυτὸν ὑπομένουσι· 3. Λουκιανός τε, ἀνὴρ τὰ

πάντα ἄριστος, βίῳ τε ἐγκρατὴς καὶ τοῖς ἱεροῖς μαθήμασι συγκεκροτημένος, τῆς κατ' Ἀντιόχειαν παροικίας πρεσβύτερος, ἀχθεὶς ἐπὶ τῆς Νικομηδέων πόλεως, ἔνθα τηνικαῦτα βασιλεὺς διατρίβων ἐτύγχανε, παρασχών τε ἐπὶ τοῦ ἄρχοντος τὴν ὑπὲρ ἧς προΐστατο διδασκαλίας ἀπολογίαν, δεσμωτηρίῳ παραδοθεὶς κτίννυται. 4. τοσαῦτα δῆτα ἐν βραχεῖ τῷ μισοκάλῳ Μαξιμίνῳ καθ' ἡμῶν συνεσκεύαστο, ὡς τοῦ προτέρου δοκεῖν πολλῷ χαλεπώτερον τοῦτον ἡμῖν ἐπεγηγέρθαι διωγμόν.

VII. [Nic. H. E. VII, 9.] Ἀνὰ μέσας γέ τοι τὰς πόλεις, ὃ μηδὲ ἄλλοτέ ποτε, ψηφίσματα πόλεων καθ' ἡμῶν καὶ βασιλικῶν πρὸς ταῦτα διατάξεων ἀντιγραφαὶ στήλαις ἐντετυπωμένα χαλκαῖς ἀνωρθοῦντο, οἵ τε παῖδες ἀνὰ τὰ διδασκαλεῖα Ἰησοῦν καὶ Πιλάτον καὶ τὰ ἐφ' ὕβρει πλασθέντα ὑπομνήματα διὰ στόματος κατὰ πᾶσαν ἔφερον ἡμέραν. 2. ἐνταῦθά μοι ἀναγκαῖον εἶναι φαίνεται αὐτὴν δὴ ταύτην τὴν ἐν στήλαις ἀνατεθεῖσαν τοῦ Μαξιμίνου γραφὴν ἐντάξαι (ἵν' ὁμοῦ τῆς τε τοῦ ἀνδρὸς θεομισείας ἡ ἀλαζὼν καὶ ὑπερήφανος αὐθάδεια φανερὰ καταστaίη, καὶ τῆς παρὰ πόδας αὐτὸν μετελθούσης ἱερᾶς δίκης ἡ ἄϋπνος κατὰ τῶν ἀσεβῶν μισοπονηρία, πρὸς ἧς ἐλαθεὶς οὐκ εἰς μακρὸν τἀναντία περὶ ἡμῶν ἐβουλεύσατό τε καὶ δι' ἐγγράφων νόμων ἐδογμάτισε), τοῦτον ἐπ' αὐτῶν λέξεων ἔχουσαν τὸν τρόπον·

Ἀντίγραφον ἑρμηνείας τῆς Μαξιμίνου πρὸς τὰ καθ' ἡμῶν ψηφίσματα ἀντιγραφῆς, ἀπὸ τῆς ἐν Τύρῳ στήλης μεταληφθείσης.

2. "Ἤδη ποτὲ ἡ ἀσθενὴς θρασύτης τῆς ἀνθρω"πίνης διανοίας ἴσχυσε, πᾶσαν πλάνης ἀμαυρότητα "καὶ ὁμίχλην ἀποσεισαμένη καὶ ἀνασκεδάσασα, ἥτις

"πρὸ τούτου οὐ τοσοῦτον τῶν ἀσεβῶν ὅσον τῶν ἀθλίων ἀνθρώπων τὰς αἰσθήσεις ὀλεθρίῳ ἀγνοίας σκότῳ ἐνειληθείσας ἐπολιόρκει, ἐπιγνῶναι ὡς τῇ τῶν ἀθανάτων θεῶν φιλαγάθῳ προνοίᾳ διοικεῖται καὶ σταθεροποιεῖται· 4. ὅπερ πρᾶγμα ἄπιστόν ἐστιν εἰπεῖν, ὅπως κεχαρισμένον, ὅπως τε ἥδιστον καὶ προσφιλὲς ἡμῖν γέγονεν, ὡς μέγιστον δεῖγμα τῆς θεοφιλοῦς ὑμῶν προαιρέσεως δεδωκέναι· ὁπότε καὶ πρὸ τούτου οὐδενὶ ἄγνωστον ἦν, ὁποίας παρατηρήσεως καὶ θεοσεβείας πρὸς τοὺς ἀθανάτους θεοὺς ἐτυγχάνετε ὄντες, οἷς οὐ ψιλῶν καὶ ὑποκένων ῥημάτων πίστις, ἀλλὰ συνεχῆ καὶ παράδοξα ἔργων ἐπισήμων γνωρίζεται. 5. διόπερ ἐπαξίως ἡ ὑμετέρα πόλις θεῶν ἀθανάτων ἵδρυμά τε καὶ οἰκητήριον ἂν ἐπικαλοῖτο· πολλοῖς γοῦν παραδείγμασι καταφαίνεται τῇ τῶν οὐρανίων θεῶν αὐτὴν ἐπιδημίᾳ ἀνθεῖν. 6. ἰδοὺ τοίνυν ἡ ὑμετέρα πόλις, πάντων τῶν ἰδίᾳ διαφερόντων αὐτῆς ἀμελήσασα, καὶ τὰς πρότερον τῶν ὑπὲρ αὐτῆς πραγμάτων δεήσεις παριδοῦσα, ὅτε πάλιν ᾔσθετο τοὺς τῆς ἐπαράτου ματαιότητος γεγονότας ἕρπειν ἄρχεσθαι, καὶ ὥσπερ ἀμεληθεῖσαν καὶ κεκοιμημένην πυρὰν ἀναζωπυρουμένων τῶν πυρσῶν μεγίστας πυρκαϊὰς ἀναπληροῦσαν, εὐθέως πρὸς τὴν ἡμετέραν εὐσέβειαν, ὥσπερ πρὸς μητρόπολιν πασῶν θεοσεβειῶν, χωρίς τινος μελλήσεως κατέφυγεν, ἴασίν τινα καὶ βοήθειαν ἀπαιτοῦσα· 7. ἥντινα διάνοιαν σωτηριώδη διὰ τὴν πίστιν τῆς ὑμετέρας θεοσεβείας τοὺς θεοὺς ὑμῖν ἐμβεβληκέναι δῆλόν ἐστιν· ἐκεῖνος τοιγαροῦν ἐκεῖνος ὁ ὕψιστος καὶ μέγιστος Ζεὺς, ὁ προκαθήμενος τῆς λαμπροτάτης ὑμῶν πόλεως, ὁ τοὺς πατρῴους ὑμῶν θεοὺς καὶ γυναῖκας καὶ τέκνα καὶ ἑστίαν καὶ οἴκους ἀπὸ

"πάσης ὀλεθρίου φθορᾶς ῥυόμενος, ταῖς ὑμετέραις "ψυχαῖς τὸ σωτήριον ἐνέπνευσε βούλημα, ἐπιδεικνὺς "καὶ ἐμφαίνων ὅπως ἐξαίρετόν ἐστι καὶ λαμπρὸν "καὶ σωτηριῶδες μετὰ τοῦ ὀφειλομένου σεβάσματος "τῇ θρησκείᾳ καὶ ταῖς ἱεροθρησκείαις τῶν ἀθανά-"των θεῶν προσιέναι. 8. τίς γὰρ οὕτως ἀνόητος ἢ "νοῦ παντὸς ἀλλότριος εὑρεθῆναι δύναται ὃς οὐκ "αἴσθεται τῇ φιλαγάθῳ τῶν θεῶν σπουδῇ συμβαί-"νειν μήτε τὴν γῆν τὰ παραδιδόμενα αὐτῇ σπέρ-"ματα ἀρνεῖσθαι, τὴν τῶν γεωργῶν ἐλπίδα κενῇ "προσδοκίᾳ σφάλλουσαν, μηδ' αὖ ἀσεβοῦς πολέμου "πρόσοψιν ἀνεπικωλύτως ἐπὶ γῆς στηρίζεσθαι, καὶ "φθαρείσης τῆς τοῦ οὐρανοῦ εὐκρασίας αὐχμῶντα "τὰ σώματα εἰς θάνατον κατασύρεσθαι, μηδὲ μὴν "ἀμέτρων ἀνέμων πνεύμασι τὴν θάλασσαν κυμαίνου-"σαν κορυφοῦσθαι, μηδέ γε καταιγίδας ἀπροσδοκή-"τους καταρρηγνυμένας ὀλέθριον χειμῶνα ἐπεγεί-"ρειν, ἔτι τοίνυν μήτε τὴν τροφὸν ἁπάντων καὶ "μητέρα γῆν, ἀπὸ τῶν κατωτάτω λαγόνων ἑαυτῆς "ἐν φοβερῷ τρόμῳ καταδυομένην, μηδέ γε τὰ ἐπι-"κείμενα ὄρη χασμάτων γινομένων καταδύεσθαι, "ἅπερ πάντα καὶ τούτων ἔτι χαλεπώτερα κακὰ πρὸ "τούτου πολλάκις γεγονέναι οὐδεὶς ἀγνοεῖ. 9. καὶ "ταῦτα σύμπαντα διὰ τὴν ὀλέθριον πλάνην τῆς ὑπο-"κένου ματαιότητος τῶν ἀθεμίτων ἐκείνων ἀνθρώ-"πων ἐγίνετο, ἡνίκα κατὰ τὰς ψυχὰς αὐτῶν ἐπεπό-"λαζε καὶ σχεδὸν εἰπεῖν τὰ πανταχοῦ τῆς οἰκουμένης "αἰσχύναις ἐπίεζε." 10. τούτοις μεθ' ἕτερα ἐπιλέγει "ἐφοράτωσαν ἐν τοῖς πλατέσιν ἤδη πεδίοις ἀνθοῦντα "τὰ λήϊα καὶ τοῖς ἀστάχυσιν ἐπικυμαίνοντα, καὶ τοὺς "λειμῶνας δι' εὐομβρίαν φυτοῖς καὶ ἄνθεσι λαμπο-"μένους, καὶ τὴν τοῦ ἀέρος κατάστασιν εὔκρατον

"καὶ πρᾳοτάτην ἀποδοθεῖσαν· 11. χαιρέτωσαν λοιπὸν ἅπαντες διὰ τῆς ἡμετέρας εὐσεβείας, ἱερουργίας τε καὶ τιμῆς τῆς τοῦ δυνατωτάτου καὶ στερροτάτου Ἄρεως δυνάμεως ἐξευμενισθείσης, καὶ διὰ τοῦτο τῆς εὐδιεινοτάτης εἰρήνης βεβαίως μεθ᾽ ἡσυχίας ἀπολαύοντες ἡδυνέσθωσαν· καὶ ὅσοι τῆς τυφλῆς ἐκείνης πλάνης καὶ περιόδου παντάπασιν ἀποστάντες εἰς ὀρθὴν καὶ καλλίστην διάνοιαν ἐπανῆλθον, μειζόνως μὲν οὖν χαιρέτωσαν, ὡσὰν ἐκ χειμῶνος ἀπροσδοκήτου ἢ νόσου βαρείας ἀποσπασθέντες, καὶ ἡδεῖαν εἰς τοὐπιὸν ζωῆς ἀπόλαυσιν καρπωσάμενοι. 12. εἰ δὲ τῇ ἐπαράτῳ αὐτῶν ματαιότητι ἐπιμένοιεν, ἐν πολλῷ πόρρωθεν τῆς ὑμετέρας πόλεως καὶ περιχώρου, καθὼς ἠξιώσατε, ἀποχωρισθέντες ἐξελαθήτωσαν, ἵν᾽ οὕτως, κατ᾽ ἀκολουθίαν τῆς ἀξιεπαίνου ὑμῶν περὶ τοῦτο σπουδῆς, παντὸς μιάσματος καὶ ἀσεβείας ἀποχωρισθεῖσα ἡ ὑμετέρα πόλις κατὰ τὴν ἔμφυτον αὐτῇ πρόθεσιν μετὰ τοῦ ὀφειλομένου σεβάσματος ταῖς τῶν ἀθανάτων θεῶν ἱερουργίαις ὑπακούοι. 13. ἵνα δὲ εἰδῆτε ὅσῳ προσφιλὴς ἡμῖν γέγονεν ἡ περὶ τούτου ἀξίωσις ὑμῶν, καὶ χωρὶς ψηφισμάτων καὶ χωρὶς δεήσεως αὐθαιρέτῳ βουλήσει ἡ ἡμετέρα προθυμοτάτη φιλαγαθίαις ψυχή, ἐπιτρέπομεν τῇ ὑμετέρᾳ καθοσιώσει, ὁποίαν δ᾽ ἂν βουληθῆτε μεγαλοδωρεὰν, ἀντὶ ταύτης ὑμῶν τῆς φιλοθέου προθέσεως αἰτῆσαι. 14 καὶ ἤδη μὲν τοῦτο ποιεῖν καὶ λαβεῖν ἀξιώσατε· τεύξεσθε γὰρ αὐτῆς χωρίς τινος ὑπερθέσεως· ἥτις παρασχεθεῖσα τῇ ὑμετέρᾳ πόλει εἰς ἅπαντα τὸν αἰῶνα τῆς περὶ τοὺς ἀθανάτους θεοὺς φιλοθέου εὐσεβείας παρέξει μαρτυρίαν, τοῦ δὲ ὑμᾶς ἀξίων ἐπάθλων τετυχηκέναι παρὰ τῆς ἡμετέρας φιλαγα-

"θίας, ταύτης ὑμῶν ἕνεκεν τῆς τοῦ βίου προαιρέ"σεως, υἱοῖς τε καὶ ἐκγόνοις ὑμετέροις ἐπιδειχθήσε"ται." 15. ταῦτα δὴ καθ' ἡμῶν κατὰ πᾶσαν ἐπαρχίαν ἀνεστηλίτευτο, πάσης ἐλπίδος, τὸ γοῦν ἐπ' ἀνθρώποις, ἀγαθῆς τὰ καθ' ἡμᾶς ἀποκλείοντα· ὡς, κατ' αὐτὸ δὴ τὸ θεῖον ἐκεῖνο λόγιον, εἰ δυνατὸν, ἐπὶ τούτοις καὶ τοὺς ἐκλεκτοὺς αὐτοὺς σκανδαλίζεσθαι. 16. ἤδη γέ τοι σχεδὸν τῆς παρὰ τοῖς πλείστοις ἀποψυχούσης προσδοκίας, ἀθρόως καθ' ὁδὸν ἔτι σχεδὸν τὴν πορείαν ἔν τισι χώραις διαννύντων τῶν τὴν προκειμένην γραφὴν καθ' ἡμῶν διακονουμένων, ὁ τῆς ἰδίας ἐκκλησίας ὑπέρμαχος θεὸς, μονονουχὶ τὴν τοῦ τυράννου καθ' ἡμῶν ἐπιστομίζων μεγαλαυχίαν, τὴν ὑπὲρ ἡμῶν οὐράνιον αὐτοῦ συμμαχίαν ἐπεδείκνυτο.

VIII. Οἱ μὲν οὖν ἐξ ἔθους ὄμβροι τε καὶ ὑετοὶ χειμαδίου τῆς ὥρας ὑπαρχούσης τὴν ἐπὶ γῆς ἀνεῖχον συνήθη φορὰν, λιμὸς δ' ἀδόκητος ἐπισκήπτει, καὶ λοιμὸς ἐπὶ τούτῳ, καί τινος ἑτέρου νοσήματος — ἕλκος δὲ ἦν φερωνύμως τοῦ πυρώδους ἕνεκεν ἄνθραξ προσαγορευόμενον — ἐπιφορὰ, ὃ καθ' ὅλων μὲν ἕρπον τῶν σωμάτων σφαλεροὺς ἐνεποίει τοῖς πεπονθόσι κινδύνους, οὐ μὴν ἀλλὰ καὶ κατὰ τῶν ὀφθαλμῶν διαφερόντως ἐπὶ πλεῖστον γινόμενον μυρίους ὅσους ἄνδρας ἅμα γυναιξὶ καὶ παισὶ πηροὺς ἀπειργάζετο. 2. τούτοις προσεπανίσταται τῷ τυράννῳ ὁ πρὸς Ἀρμενίους πόλεμος, ἄνδρας ἐξ ἀρχαίου φίλους τε καὶ συμμάχους Ῥωμαίων, οὓς καὶ αὐτοὺς Χριστιανοὺς ὄντας τὴν εἰς τὸ θεῖον εὐσέ-

6 Matth. 24, 24.

βειαν διὰ σπουδῆς ποιουμένους ὁ θεομισὴς εἰδώλοις θύειν καὶ δαίμοσιν ἐπαναγκάσαι πεπειραμένος ἐχθροὺς ἀντὶ φίλων καὶ πολεμίους ἀντὶ συμμάχων κατεστήσατο. 3. ἀθρόως δὴ ταῦτα πάντα ὑφ' ἕνα καὶ τὸν αὐτὸν συρρεύσαντα καιρὸν τῆς τοῦ τυράννου θρασύτητος τὴν κατὰ τοῦ θείου μεγαλαυχίαν διήλεγξεν, ὅτι δὴ τῆς περὶ τὰ εἴδωλα αὐτοῦ σπουδῆς καὶ τῆς καθ' ἡμῶν ἕνεκα πολιορκίας μὴ λιμὸν μηδὲ λοιμὸν μηδὲ μὴν πόλεμον ἐπὶ τῶν αὐτοῦ συμβῆναι καιρῶν ἐθρασύνετο. ταῦτα δ' οὖν ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἐπελθόντα καὶ τῆς αὐτοῦ καταστροφῆς περιειλήφει τὰ προοίμια. 4. αὐτὸς μὲν οὖν περὶ τὸν πρὸς Ἀρμενίους πόλεμον ἅμα τοῖς αὐτοῦ στρατοπέδοις κατεπονεῖτο, τοὺς δὲ λοιποὺς τῶν τὰς ὑπ' αὐτὸν πόλεις οἰκούντων δεινῶς ὁ λιμός τε ἅμα καὶ λοιμὸς κατετρυχέτην, ὡς ἑνὸς μέτρου πυρῶν δισχιλίας καὶ πεντακοσίας Ἀττικὰς ἀντικαταλλάττεσθαι. 5. μυρίοι μὲν οὖν ἐτύγχανον οἱ κατὰ πόλεις θνήσκοντες, πλείους δὲ τούτων οἱ κατ' ἀγρούς τε καὶ κώμας, ὡς ἤδη καὶ τὰς πάλαι τῶν ἀγροίκων πολυάνδρους ἀπογραφὰς μικροῦ δεῖν παντελῆ παθεῖν ἐξάλειψιν, ἀθρόως σχεδὸν ἁπάντων ἐνδείᾳ τροφῆς καὶ λοιμώδει νόσῳ διεφθαρμένων. 6. τινὲς μὲν οὖν τὰ ἑαυτῶν φίλτατα βραχυτάτης τροφῆς τοῖς εὐπορωτέροις ἀπεμπολᾶν ἠξίουν, ἄλλοι δὲ τὰς κτήσεις κατὰ βραχὺ διαπιπράσκοντες εἰς ἐσχάτην ἐνδείας ἀπορίαν ἤλαυνον· ἤδη δέ τινες σμικρὰ χόρτου διαμασώμενοι σπαράγματα, καί τινας ἀνέδην φθοροποιοὺς ἐσθίοντες πόας, τὴν τῶν σωμάτων ἕξιν λυμαινόμενοι διώλλυντο. 7. καὶ γυναίων δὲ τῶν κατὰ πόλεις εὐγενίδων τινὲς, εἰς ἀναίσχυντον ἀνάγκην πρὸς τῆς ἀπορίας ἐλαθεῖσαι, μεταιτεῖν ἐπὶ τῶν ἀγο-

ρῶν προεληλύθεσαν, τῆς πάλαι ἐλευθερίου τροφῆς ὑπόδειγμα διὰ τῆς περὶ τὸ πρόσωπον αἰδοῦς καὶ τῆς ἀμφὶ τὴν περιβολὴν κοσμιότητος ὑποφαίνουσαι. 8. καὶ οἱ μὲν ἀπεσκληκότες ὥσπερ εἴδωλα νεκρὰ ὧδε κἀκεῖσε ψυχορραγοῦντες, ἐνσειόμενοί τε καὶ περιολισθαίνοντες ὑπ' ἀδυναμίας τοῦ στῆναι, κατέπιπτον ἐν μέσαις ταῖς πλατείαις, πρηνεῖς δ' ἡπλωμένοι ὀρέξαι σφίσι μικρὸν τρύφος ἄρτου κατηντιβόλουν, καὶ τὴν ψυχὴν πρὸς ἐσχάταις ἔχοντες ἀναπνοαῖς πεινῆν ἐπεβόων, πρὸς μόνην ταύτην τὴν ὀδυνηροτάτην φωνὴν εὐσθενεῖς καθιστάμενοι· 9. οἱ δὲ τὴν πληθὺν τῶν αἰτούντων καταπληττόμενοι, ὅσοι τῶν εὐπορωτέρων ἐδόκουν εἶναι, μετὰ τὸ μυρία παρασχεῖν εἰς ἀπηνῆ λοιπὸν καὶ ἄτεγκτον ἐχώρουν διάθεσιν, τὰ αὐτὰ τοῖς αἰτοῦσιν ὅσον οὔπω καὶ αὐτοὶ πείσεσθαι προσδοκῶντες, ὥστ' ἤδη κατὰ μέσας ἀγορὰς καὶ στενωποὺς νεκρὰ καὶ γυμνὰ σώματα ἐφ' ἡμέραις πλείοσιν ἄταφα διερριμμένα θέαν τοῖς ὁρῶσιν οἰκτροτάτην παρέχεσθαι. 10. ἤδη γέ τοι καὶ κυνῶν τινὲς ἐγίνοντο βορά, δι' ἣν μάλιστα αἰτίαν οἱ ζῶντες ἐπὶ τὴν κυνοκτονίαν ἐτράποντο, δέει τοῦ μὴ λυσσήσαντας ἀνθρωποφαγίαν ἐργάσασθαι. 11. οὐχ ἥκιστα δὲ καὶ ὁ λοιμὸς πάντας οἴκους καὶ γενεὰς ἐπεβόσκετο, μάλιστα δ' οὓς ὁ λιμὸς διὰ τὸ εὐπορεῖν τροφῶν οὐχ οἷός τε ἦν ἐκτρῖψαι. οἱ γοῦν ἐν περιουσίαις, ἄρχοντες καὶ ἡγεμόνες καὶ μυρίοι τῶν ἐν τέλει, ὥσπερ ἐπίτηδες τῇ λοιμώδει νόσῳ πρὸς τοῦ λιμοῦ καταλελειμμένοι, ὀξεῖαν καὶ ὠκυτάτην ὑπέμενον τελευτήν· πάντα δ' οὖν οἰμωγῶν ἦν ἀνάπλεα, κατὰ πάντας τε στενωποὺς, ἀγοράς τε καὶ πλατείας οὐδ' ἦν ἄλλο τι θεωρεῖν ἢ θρήνους μετὰ τῶν συνήθων αὐτοῖς αὐλῶν τε καὶ κτύπων. 12. τοῦτον

δὴ τὸν τρόπον δυσὶν ὅπλοις τοῖς προδεδηλωμένοις λοιμοῦ τε ὁμοῦ καὶ λιμοῦ στρατεύσας ὁ θάνατος ὅλας ἐν ὀλίγῳ γενεὰς ἐνεμήθη, ὡς ὁρᾶν ἤδη δυεῖν καὶ τριῶν σώματα νεκρῶν ὑπὸ μίαν ἐκφορὰν προκομιζόμενα. 13. τοιαῦτα τῆς Μαξιμίνου μεγαλαυχίας καὶ τῶν κατὰ πόλεις καθ᾽ ἡμῶν ψηφισμάτων τἀπίχειρα ἦν, ὅτε καὶ τῆς Χριστιανῶν περὶ πάντα σπουδῆς τε καὶ εὐσεβείας πᾶσιν ἔθνεσιν διάδηλα κατέστη τὰ τεκμήρια. 14. μόνοι γοῦν ἐν τηλικαύτῃ κακῶν περιστάσει τὸ συμπαθὲς καὶ φιλάνθρωπον ἔργοις αὐτοῖς ἐπιδεικνύμενοι, διὰ πάσης ἡμέρας οἱ μὲν τῇ τῶν θνησκόντων (μυριάδες δ᾽ ἦσαν οἷς οὔτις ἦν ὁ ἐπιμελησόμενος) κηδείᾳ τε καὶ ταφῇ προσεκαρτέρουν, οἱ δὲ τῶν ἀνὰ πᾶσαν τὴν πόλιν πρὸς τοῦ λιμοῦ κατατρυχομένων τὴν πληθὺν ὑπὸ μίαν σύνοψιν ἀθροίζοντες ἄρτους διένεμον τοῖς πᾶσιν, ὡς περιβόητον εἰς πάντας ἀνθρώπους καταστῆναι τὸ πρᾶγμα, θεόν τε τῶν Χριστιανῶν δοξάζειν, εὐσεβεῖς τε καὶ μόνους θεοσεβεῖς τούτους ἀληθῶς, πρὸς αὐτῶν ἐλεγχθέντας τῶν πραγμάτων, ὁμολογεῖν. 15. ἐφ᾽ οἷς τοῦτον ἐπιτελουμένοις τὸν τρόπον ὁ μέγας καὶ οὐράνιος Χριστιανῶν ὑπέρμαχος θεὸς τὴν κατὰ πάντων ἀνθρώπων διὰ τῶν δεδηλωμένων ἐπιδειξάμενος ἀπειλὴν καὶ ἀγανάκτησιν ἀνθ᾽ ὧν εἰς ἡμᾶς ὑπερβαλλόντως ἐνεδείξαντο, τὴν εὐμενῆ καὶ φαιδρὰν τῆς αὐτοῦ περὶ ἡμᾶς προνοίας αὖθις ἡμῖν αὐγὴν ἀπεδίδου, ὡς ἐν βαθεῖ σκότῳ παραδοξότατα φῶς ἡμῖν ἐξ αὐτοῦ καταλάμπων εἰρήνης, ἐκφανές τε τοῖς πᾶσι καθιστάς, θεὸν αὐτὸν τῶν καθ᾽ ἡμᾶς ἐπίσκοπον διὰ παντὸς γεγονέναι πραγμάτων, μαστίζοντα μὲν καὶ διὰ τῶν περιστάσεων κατὰ καιρὸν ἐπιστρέφοντα τὸν αὐτοῦ λαόν,

πάλιν δ' αὖ μετὰ τὴν αὐτάρκη παιδείαν ἵλεων καὶ εὐμενῆ τοῖς εἰς αὐτὸν τὰς ἐλπίδας ἔχουσιν ἀναφαινόμενον.

IX. [Nic. H. E. VII, 29—31.] Οὕτω δὴ Κωνσταντίνου, ὃν βασιλέα ἐκ βασιλέως, εὐσεβῆ τε ἐξ εὐσεβεστάτου καὶ πάντα σωφρονεστάτου γεγονέναι προειρήκαμεν, Λικιννίου τε τοῦ μετ' αὐτόν, συνέσει καὶ εὐσεβείᾳ τετιμημένων, πρὸς τοῦ παμβασιλέως θεοῦ τε τῶν ὅλων καὶ σωτῆρος δύο θεοφιλῶν κατὰ τῶν δύο δυσσεβεστάτων τυράννων ἀνεγηγερμένων, πολέμου τε νόμῳ παραταξαμένων, θεοῦ συμμαχοῦντος αὐτοῖς, παραδοξότατα πίπτει μὲν ἐπὶ Ῥώμης ὑπὸ Κωνσταντίνου Μαξέντιος, ὁ δ' ἐπ' ἀνατολῆς οὐ πολὺν ἐπιζήσας ἐκείνῳ χρόνον αἰσχίστῳ καὶ αὐτὸς ὑπὸ Λικιννίου, οὔπω μανέντος τότε, καταστρέφει θανάτῳ. 2. πρότερός γε μὴν ὁ καὶ τιμῇ καὶ τάξει τῆς βασιλείας πρῶτος Κωνσταντῖνος, τῶν ἐπὶ Ῥώμης κατατυραννουμένων φειδὼ λαβών, θεὸν τὸν οὐράνιον, τόν τε τούτου λόγον, αὐτὸν δὴ τὸν πάντων σωτῆρα Ἰησοῦν Χριστὸν σύμμαχον δι' εὐχῶν ἐπικαλεσάμενος, πρόεισι πανστρατιᾷ, Ῥωμαίοις τὰ τῆς ἐκ προγόνων ἐλευθερίας προμνώμενος. 3. Μαξεντίου δῆτα μᾶλλον ταῖς κατὰ γοητείαν μηχαναῖς ἢ τῇ τῶν ὑπηκόων ἐπιθαρσοῦντος εὐνοίᾳ, προελθεῖν γε μὴν οὐδ' ὅσον πυλῶν τοῦ ἄστεος ἐπιτολμῶντος, ὁπλιτῶν δ' ἀνηρίθμῳ πλήθει καὶ στρατοπέδων λόχοις μυρίοις πάντα τόπον καὶ χώραν καὶ πόλιν, ὅση τις ἐν κύκλῳ τῆς Ῥωμαίων καὶ Ἰταλίας ἁπάσης ὑπ' αὐτῷ δεδούλωτο, φραξαμένου, ὁ τῆς ἐκ θεοῦ συμμαχίας ἀνημμένος βασιλεὺς ἐπιὼν πρώτῃ καὶ δευτέρᾳ καὶ τρίτῃ τοῦ τυράννου παρατάξει, εὖ μάλα τε πάσας ἑλών, πρόεισιν ἐπὶ πλεῖστον ὅσον τῆς Ἰταλίας,

ἤδη τε αὐτῆς Ῥώμης ἄγχιστα ἦν· 4. εἶθ' ὡς μὴ τοῦ τυράννου χάριν Ῥωμαίοις πολεμεῖν ἀναγκάζοιτο, θεὸς αὐτὸς δεσμοῖς τισιν ὥσπερ τὸν τύραννον πορρωτάτω πυλῶν ἐξέλκει, καὶ τὰ πάλαι δὴ κατὰ ἀσεβῶν ὡς ἐν μύθου λόγῳ παρὰ τοῖς πλείστοις ἀπιστούμενα, πιστά γε μὴν πιστοῖς ἐν ἱεραῖς βίβλοις ἐστηλιτευμένα, αὐτῇ ἐναργείᾳ πᾶσιν ἁπλῶς εἰπεῖν πιστοῖς καὶ ἀπίστοις, ὀφθαλμοῖς τὰ παράδοξα παρειληφόσιν ἐπιστώσατο. 5. ὥσπερ οὖν ἐπ' αὐτοῦ Μωυσέως καὶ τοῦ πάλαι θεοσεβοῦς Ἑβραίων γένους "ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν θαλάσσῃ ἐρυθρᾷ, πόντῳ ἐκάλυψεν αὐτούς", κατὰ τὰ αὐτὰ δὴ καὶ Μαξέντιος οἵ τε ἀμφ' αὐτὸν ὁπλῖται καὶ δορυφόροι "ἔδυσαν εἰς βυθὸν ὡσεὶ λίθος", ὁπηνίκα νῶτα δοὺς τῇ ἐκ θεοῦ μετὰ Κωνσταντίνου δυνάμει τὸν πρὸ τῆς πορείας διῄει ποταμόν, ὃν αὐτὸς σκάφεσι ζεύξας καὶ εὖ μάλα γεφυρώσας μηχανὴν ὀλέθρου καθ' ἑαυτοῦ συνεστήσατο. 6. ἐφ' ᾧ ἦν ἂν εἰπεῖν "λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται." 7. ταύτῃ δῆτα τοῦ ἐπὶ τοῦ ποταμοῦ ζεύγματος διαλυθέντος ὑφιζάνει μὲν ἡ διάβασις, χωρεῖ δ' ἀθρόως αὔτανδρα κατὰ τοῦ βυθοῦ τὰ σκάφη, καὶ αὐτός γε πρῶτος ὁ δυσσεβέστατος, εἶτα δὲ καὶ οἱ ἀμφ' αὐτὸν ὑπασπισταί, ᾗ τὰ θεῖα προαναφωνεῖ λόγια "ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ·" 8. ὥστε εἰκότως εἰ μὴ λόγοις, ἔργοις δ' οὖν ὁμοίως τοῖς ἀμφὶ τὸν

---

11 Exod. 15, 4. 20 Psalm. 7, 16. 28 Exod. 15, 10.

μέγαν θεράποντα Μωυσέα, τοὺς παρὰ θεοῦ τὴν νίκην ἀραμένους αὐτὰ δὴ τὰ κατὰ τοῦ πάλαι δυσσεβοῦς τυράννου ὧδέ πως ἀνυμνεῖν καὶ λέγειν "ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν· βοηθὸς καὶ σκεπαστής μου κύριος ἐγένετό μοι εἰς σωτηρίαν·" καὶ "τίς ὅμοιός σοι ἐν θεοῖς, κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα." 9. ταῦτά τε καὶ ὅσα τούτοις ἀδελφά τε καὶ ἐμφερῆ Κωνσταντῖνος τῷ πανηγεμόνι καὶ τῆς νίκης αἰτίῳ θεῷ αὐτοῖς ἔργοις ἀνυμνήσας, ἐπὶ Ῥώμης μετ' ἐπινικίων εἰσήλαυνε, πάντων ἀθρόως αὐτὸν ἅμα κομιδῇ νηπίοις καὶ γυναιξὶ, τῶν τε ἀπὸ τῆς συγκλήτου βουλῆς καὶ τῶν ἄλλων διασημοτάτων σὺν παντὶ δήμῳ Ῥωμαίων φαιδροῖς ὄμμασιν, αὐταῖς ψυχαῖς, οἷα λυτρωτὴν, σωτῆρά τε καὶ εὐεργέτην μετ' εὐφημιῶν καὶ ἀπλήστου χαρᾶς ὑποδεχομένων. 10. ὁ δ' ὥσπερ ἔμφυτον τὴν εἰς θεὸν εὐσέβειαν κεκτημένος, μηδ' ὅλως ἐπὶ ταῖς βοαῖς ὑποσαλευόμενος, μηδ' ἐπαιρόμενος τοῖς ἐπαίνοις, εὖ μάλα τῆς ἐκ θεοῦ συναισθόμενος βοηθείας, αὐτίκα τοῦ σωτηρίου τρόπαιον πάθους ὑπὸ χεῖρα ἰδίας εἰκόνος ἀνατεθῆναι προστάττει· καὶ δὴ τὸ σωτήριον τοῦ σταυροῦ σημεῖον ἐπὶ τῇ δεξιᾷ κατέχοντα αὐτὸν ἐν τῷ μάλιστα τῶν ἐπὶ Ῥώμης δεδημοσιευμένῳ τόπῳ στήσαντες, αὐτὴν δὴ ταύτην ὑπογραφὴν ἐντάξαι ῥήμασιν αὐτοῖς τῇ Ῥωμαίων ἐγκελεύεται φωνῇ· 11. "τούτῳ τῷ σωτηριώδει σημείῳ, τῷ ἀληθινῷ ἐλέγχῳ τῆς ἀνδρείας, τὴν πόλιν ὑμῶν ἀπὸ ζυγοῦ τοῦ τυράννου διασωθεῖσαν ἠλευθέρωσα· ἔτι μὴν,

3 Exod. 15, 1.

καὶ τὴν σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων τῇ ἀρχαίᾳ ἐπιφανείᾳ καὶ τῇ λαμπρότητι ἐλευθερώσας ἀποκατέστησα." 12. καὶ δὴ ἐπὶ τούτοις αὐτός τε Κωνσταντῖνος καὶ σὺν αὐτῷ βασιλεὺς Λικίννιος (οὔπω τότε ἐφ' ἣν ὕστερον ἐκπέπτωκε μανίαν τὴν διάνοιαν ἐκτραπείς) θεὸν τὸν τῶν ἀγαθῶν ἁπάντων αὐτοῖς αἴτιον εὐμενίσαντες ἄμφω μιᾷ βουλῇ καὶ γνώμῃ νόμον ὑπὲρ Χριστιανῶν τελεώτατον πληρέστατα διατυποῦνται, καὶ τῶν πεπραγμένων εἰς αὐτοὺς ἐκ θεοῦ τὰ παράδοξα, τά τε τῆς κατὰ τοῦ τυράννου νίκης, καὶ τὸν νόμον αὐτὸν Μαξιμίνῳ τῶν ἐπ' ἀνατολῆς ἐθνῶν ἔτι δυναστεύοντι, φιλίαν τε πρὸς αὐτοὺς ὑποκοριζομένῳ, διαπέμπονται. 13. ὁ δ' οἷα τύραννος περιαλγὴς ἐφ' οἷς ἔγνω γεγενημένος, εἶτα μὴ δοκεῖν ἑτέροις εἶξαι βουλόμενος, μηδ' αὖ παρεκθέσθαι τὸ κελευσθὲν δέει τῶν προστεταχότων, ὡσὰν ἐξ ἰδίας αὐθεντίας τοῖς ὑπ' αὐτὸν ἡγεμόσι τοῦτο πρῶτον ὑπὲρ Χριστιανῶν ἐπάναγκες διαχαράττει τὸ γράμμα, τὰ μηδέπω ποτὲ πρὸς αὐτοῦ πεπραγμένα ἐπιπλάστως αὐτὸς καθ' ἑαυτοῦ ψευδόμενος.

Ἀντίγραφον ἑρμηνείας ἐπιστολῆς τοῦ τυράννου Μαξιμίνου.

"1. Ἰόβιος Μαξιμῖνος σεβαστὸς Σαβίνῳ. καὶ "παρὰ τῇ σῇ στιβαρότητι καὶ παρὰ πᾶσιν ἀνθρώ-"ποις φανερὸν εἶναι πέποιθα τοὺς δεσπότας ἡμῶν "Διοκλητιανὸν καὶ Μαξιμιανὸν, τοὺς ἡμετέρους πα-"τέρας, ἡνίκα συνεῖδον σχεδὸν ἅπαντας ἀνθρώπους, "καταλειφθείσης τῆς τῶν θεῶν θρησκείας, τῷ ἔθνει "τῶν Χριστιανῶν ἑαυτοὺς συμμεμιχότας, ὀρθῶς "διατεταχέναι, πάντας ἀνθρώπους τοὺς ἀπὸ τῆς "τῶν αὐτῶν θεῶν τῶν ἀθανάτων θρησκείας ἀνα-"χωρήσαντας προδήλῳ κολάσει καὶ τιμωρίᾳ εἰς τὴν

“θρησκείαν τῶν θεῶν ἀνακληθῆναι. 2. ἀλλ' ὅτε ἐγὼ εὐτυχῶς τὸ πρῶτον εἰς τὴν ἀνατολὴν παρεγενόμην, καὶ ἔγνων εἴς τινας τόπους πλείστους τῶν ἀνθρώπων τὰ δημόσια ὠφελεῖν δυναμένους ὑπὸ τῶν δικαστῶν διὰ τὴν προειρημένην αἰτίαν ἐξορίζεσθαι, ἑκάστῳ τῶν δικαστῶν ἐντολὰς δέδωκα, ὥστε μηδένα τούτων τοῦ λοιποῦ προσφέρεσθαι τοῖς ἐπαρχιώταις ἀπηνῶς, ἀλλὰ μᾶλλον κολακείᾳ καὶ προτροπαῖς πρὸς τὴν τῶν θεῶν θρησκείαν αὐτοὺς ἀνακαλεῖν. 3. τηνικαῦτα οὖν ὅτε ἀκολούθως τῇ κελεύσει τῇ ἐμῇ ὑπὸ τῶν δικαστῶν ἐφυλάττετο τὰ προστεταγμένα, συνέβαινε μηδένα ἐκ τῶν τῆς ἀνατολῆς μερῶν μήτε ἐξόριστον μήτε ἐνύβριστον γενέσθαι, ἀλλὰ μᾶλλον ἐκ τοῦ μὴ βαρέως κατ' αὐτῶν τι γίνεσθαι εἰς τὴν τῶν θεῶν θρησκείαν ἀνακεκλῆσθαι. 4. μετὰ δὲ ταῦτα, ὅτε τῷ παρελθόντι ἐνιαυτῷ εὐτυχῶς ἐπέβην εἰς τὴν Νικομήδειαν κἀκεῖ διετέλουν, παρεγένοντο πολῖται τῆς αὐτῆς πόλεως πρός με ἅμα μετὰ τῶν ξοάνων τῶν θεῶν, μειζόνως δεόμενοι, ἵνα παντὶ τρόπῳ τὸ τοιοῦτον ἔθνος μηδαμῶς ἐπιτρέποιτο ἐν τῇ αὐτῶν πατρίδι οἰκεῖν. 5. ἀλλ' ὅτε ἔγνων πλείστους τῆς αὐτῆς θρησκείας ἄνδρας ἐν αὐτοῖς τοῖς μέρεσιν οἰκεῖν, οὕτως αὐτοῖς τὰς ἀποκρίσεις ἀπένεμον, ὅτι τῇ μὲν αἰτήσει αὐτῶν ἀσμένως χάριν ἔσχηκα, ἀλλ' οὐ παρὰ πάντων τοῦτο αἰτηθὲν κατεῖδον· εἰ μὲν οὖν τινὲς εἶεν τῇ αὐτῇ δεισιδαιμονίᾳ διαμένοντες, οὕτως ἕνα ἕκαστον ἐν τῇ ἰδίᾳ προαιρέσει τὴν βούλησιν ἔχειν, καὶ εἰ βούλοιντο τὴν τῶν θεῶν θρησκείαν ἐπιγινώσκειν. 6. ὅμως καὶ τοῖς τῆς αὐτῆς πόλεως Νικομηδεῦσι, καὶ ταῖς λοιπαῖς πόλεσιν, αἳ καὶ αὐταὶ εἰς τοσοῦτον τὴν ὁμοίαν αἴτησιν περισπουδάστως πρός με

"πεποιήκασιν, δηλονότι ἵνα μηδὲ εἷς τῶν Χριστιανῶν ταῖς πόλεσιν ἐνοικοίη, ἀνάγκην ἔσχον προσφιλῶς ἀποκρίνασθαι, ὅτι δὴ αὐτὸ τοῦτο καὶ οἱ ἀρχαῖοι αὐτοκράτορες πάντες διεφύλαξαν, καὶ αὐτοῖς τοῖς θεοῖς, δι' οὓς πάντες ἄνθρωποι καὶ αὐτὴ ἡ τῶν δημοσίων διοίκησις συνίσταται, ἤρεσεν οὖν, ὥστε τὴν τοσαύτην αἴτησιν, ἣν ὑπὲρ τῆς θρησκείας τοῦ θείου αὐτῶν ἀναφέρουσι, βεβαιώσαιμι. 7. τοιγαροῦν εἰ καὶ τὰ μάλιστα καὶ τῇ σῇ καθοσιώσει πρὸ τούτου τοῦ χρόνου διὰ γραμμάτων ἐπέσταλται, καὶ δι' ἐντολῶν ὁμοίως κεκέλευσται, ἵνα μὴ κατὰ τῶν ἐπαρχιωτῶν τὸ τοιοῦτον ἔθνος διαφυλάξαι ἐπιμεληθέντων μηδὲν τραχέως, ἀλλὰ ἀνεξικάκως καὶ συμμέτρως συμπεριφέροιντο αὐτοῖς, ὅμως ἵνα μήτε ὑπὸ τῶν βενεφικιαλίων μήτε ὑπ' ἄλλων τῶν τυχόντων ὕβρεις μηδὲ σεισμοὺς ὑπομένοιεν, ἀκόλουθον ἐνόμισα καὶ τούτοις τοῖς γράμμασι τὴν σὴν στιβαρότητα ὑπομνῆσαι, ὅπως ταῖς κολακείαις καὶ ταῖς προτροπαῖς μᾶλλον τὴν τῶν θεῶν ἐπιμέλειαν τοὺς ἡμετέρους ἐπαρχιώτας ποιήσειας ἐπιγινώσκειν. 8. ὅθεν εἴ τις τῇ αὐτοῦ προαιρέσει τὴν θρησκείαν τῶν θεῶν ἐπιγνωστέον προσλάβοι, τούτους ὑποδέξασθαι προσήκει, εἰ δέ τινες τῇ ἰδίᾳ θρησκείᾳ ἀκολουθεῖν βούλοιντο, ἐν τῇ αὐτῶν ἐξουσίᾳ καταλίποις. 9. διόπερ ἡ σὴ καθοσίωσις τὸ ἐπιτραπὲν σοι διαφυλάττειν ὀφείλει, καὶ μηδενὶ ἐξουσία δοθῇ ὥστε τοὺς ἡμετέρους ἐπαρχιώτας ὕβρεσι καὶ σεισμοῖς ἐπιτρῖψαι, ὁπότε, ὥσπερ προγέγραπται, ταῖς προτροπαῖς μᾶλλον καὶ ταῖς κολακείαις πρὸς τὴν τῶν θεῶν θρησκείαν τοὺς ἡμετέρους ἐπαρχιώτας προσήκει ἀνακαλεῖν. ἵνα δὲ αὕτη ἡμῶν ἡ κέλευσις εἰς γνῶσιν πάντων τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων

"ἔλθῃ, διατάγματι ὑπὸ σοῦ προτεθέντι τὸ κεκελευσμένον ὀφείλεις δηλῶσαι." 10. ταῦθ' ὑπὸ τῆς ἀνάγκης ἐκβεβιασμένος, ἀλλ' οὐ κατὰ γνώμην τὴν αὑτοῦ διακελευσάμενος, οὐκέτ' ἀληθὴς οὐδ' ἀξιόπιστος παρὰ τοῖς πᾶσιν ἦν, τῆς πρόσθεν ἤδη μετὰ τὴν ὁμοίαν συγχώρησιν παλιμβόλου καὶ διεψευσμένης αὐτοῦ γνώμης ἕνεκα. 11. οὔκουν ἐτόλμα τις τῶν ἡμετέρων σύνοδον συγκροτεῖν, οὐδ' ἑαυτὸν ἐν φανερῷ καταστήσασθαι, ὅτι μηδὲ τοῦτ' ἤθελεν αὐτῷ τὸ γράμμα, αὐτὸ μόνον τὸ ἀνεπηρέαστον ἡμῖν ἐπιτρέπον φυλάττεσθαι, οὐ μὴν συνόδους ἐπικελεῦον ποιεῖσθαι, οὐδ' οἴκους ἐκκλησιῶν οἰκοδομεῖν, οὐδ' ἄλλο τι τῶν συνήθων ἡμῖν διαπράττεσθαι. 12. καίτοι γε ταῦθ' οἱ τῆς εἰρήνης καὶ εὐσεβείας προήγοροι Κωνσταντῖνος καὶ Λικίννιος αὐτῷ τε ἐπιτρέπειν ἐπεστάλκεσαν καὶ τοῖς ὑπ' αὐτοὺς ἅπασι διὰ προγραμμάτων καὶ νόμων συγκεχωρήκεσαν. οὐ μὴν ὁ δυσσεβέστατος ταύτῃ ἐνδοῦναι προῄρητο, εἰ μὴ ὅτε πρὸς τῆς θείας συνελαθεὶς δίκης ὕστατόν γε ἄκων ἐπὶ τοῦτ' ἤχθη.

X. [Nic. H. E. VII, 37. 38.] Ἐκπεριῆλθε δ' αὐτὸν τοιαύτη τις αἰτία· τὸ μέγεθος τῆς οὐ κατ' ἀξίαν ἐπιτραπείσης ἡγεμονίας αὐτῷ μηκέθ' οἷός τε φέρειν, ἀλλὰ δι' ἀπειρίαν σώφρονος καὶ βασιλικοῦ λογισμοῦ ἀπειροκάλως τοῖς πράγμασιν ἐγχειρῶν, ἐπὶ πᾶσί τε ὑπερηφανίας μεγαλαυχίᾳ τὴν ψυχὴν ἀλόγως ἀρθείς, ἤδη καὶ κατὰ τῶν τῆς βασιλείας κοινωνῶν, τὰ πάντα αὐτοῦ διαφερόντων γένει καὶ τροφῇ καὶ παιδείᾳ, ἀξιώματί τε καὶ συνέσει, καὶ τῷ γε πάντων κορυφαιοτάτῳ, σωφροσύνῃ καὶ τῇ περὶ τὸν ἀληθῆ θεὸν εὐσεβείᾳ, τολμᾶν ὥρμητο θρασύνεσθαι, καὶ πρῶτον ἑαυτὸν ταῖς τιμαῖς ἀναγορεύειν. 2. ἐπι-

τείνας δὲ εἰς ἀπόνοιαν τὰ τῆς μανίας, συνθήκας ἃς πρὸς Λικίννιον πεποίητο παρασπονδήσας, πόλεμον ἄσπονδον αἱρεται· εἶτ᾽ ἐν βραχεῖ τὰ πάντα κυκήσας, πᾶσάν τε πόλιν ἐκταράξας, καὶ πᾶν στρατόπεδον μυριάδων τὸ πλῆθος ἀνηρίθμων συναγαγὼν, ἔξεισιν εἰς μάχην αὐτῷ παραταξάμενος, δαιμόνων ἐλπίσιν ὧν δὴ ᾤετο θεῶν καὶ ταῖς τῶν ὁπλιτῶν μυριάσι τὴν ψυχὴν ἐπηρμένος. 3. καὶ δὴ συμβαλὼν εἰς χεῖρας ἔρημος τῆς ἐκ θεοῦ καθίσταται ἐπισκοπῆς, Λικιννίῳ τῆς νίκης ἐξ αὐτοῦ τοῦ πάντων ἑνὸς καὶ μόνου θεοῦ πρυτανευθείσης. 4. ἀπόλλυσι δὴ πρῶτον τὸ ἐφ᾽ ᾧ πεποίθει ὁπλιτικὸν, τῶν τε ἀμφ᾽ αὐτὸν δορυφόρων γυμνὸν καὶ πάντων ἔρημον αὐτὸν καταλελοιπότων, καὶ τῷ τότε κρατοῦντι προσπεφευγότων, ὑπεκδὺς ὁ δείλαιος ὡς τάχιστα τὸν οὐ πρέποντα αὐτῷ βασιλικὸν κόσμον, δειλῶς καὶ δυσγενῶς καὶ ἀνάνδρως ὑποδύνει τὸ πλῆθος, κἄπειτα διαδιδράσκει, κρυπταζόμενός τε ἀνὰ τοὺς ἀγροὺς καὶ τὰς κώμας μόλις τῶν πολεμίων τὰς χεῖρας, τὰ τῆς σωτηρίας αὐτῷ προνοούμενος, διέξεισιν, ἔργοις αὐτοῖς εὖ μάλα πιστοὺς καὶ ἀληθεῖς τοὺς θείους ἀποφήνας χρησμοὺς, ἐν οἷς εἴρηται· 5 "οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν." 6. οὕτω δῆτα αἰσχύνης ἔμπλεως ὁ τύραννος ἐπὶ τὰ καθ᾽ ἑαυτὸν ἐλθὼν μέρη, πρῶτον μὲν ἐμμανεῖ θυμῷ πολλοὺς ἱερεῖς καὶ προφήτας τῶν πάλαι

---

22 Psalm. 32 (33), 16.

θαυμαζομένων αὐτῷ θεῶν, ὧν δὴ τοῖς χρησμοῖς ἀναρριπισθεὶς τὸν πόλεμον ἤρατο, ὡσὰν γόητας καὶ ἀπατεῶνας καὶ ἐπὶ πᾶσι προδότας τῆς αὐτοῦ γενομένους σωτηρίας ἀναιρεῖ, εἶτα δὴ δοὺς δόξαν τῷ τῶν Χριστιανῶν θεῷ, νόμον τε τὸν ὑπὲρ ἐλευθερίας αὐτῶν τελεώτατα καὶ πληρέστατα διαταξάμενος, δυσθανατήσας αὐτίκα, μηδεμιᾶς αὐτῷ χρόνου δοθείσης προθεσμίας τελευτᾷ τὸν βίον. ὁ δὲ καταπεμφθεὶς ὑπ' αὐτοῦ νόμος τοιοῦτος ἦν·

Ἀντίγραφον ἑρμηνείας τῆς τοῦ τυράννου ὑπὲρ Χριστιανῶν διατάξεως, ἐκ Ῥωμαϊκῆς γλώττης εἰς τὴν ἑλλάδα μεταληφθείσης.

7. "Αὐτοκράτωρ Καῖσαρ Γάϊος Οὐαλέριος Μα-"ξιμῖνος, Γερμανικὸς, Σαρματικὸς, εὐσεβὴς, εὐτυ-"χὴς, ἀνίκητος, σεβαστός. κατὰ πάντα τρόπον ἡμᾶς "διηνεκῶς τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων τοῦ χρη-"σίμου προνοεῖσθαι, καὶ ταῦτα αὐτοῖς βούλεσθαι "παρέχειν, οἷς τὰ λυσιτελῆ πάντων μάλιστα κατορ-"θοῦται, καὶ ὅσα τῆς λυσιτελείας καὶ τῆς χρησιμό-"τητός ἐστι τῆς κοινῆς αὐτῶν, καὶ ὁποῖα πρὸς τὴν "δημοσίαν λυσιτέλειαν ἁρμόζει, καὶ ταῖς ἑκάστων "διανοίαις προσφιλῆ τυγχάνει, οὐδένα ἀγνοεῖν, ἀλλ' "ἕκαστον ἀνατρέχειν ἐπ' αὐτῷ τὸ γινόμενον, γινώ-"σκειν τε ἕκαστον τῶν ἀνθρώπων καὶ ἔχειν ἐν ἑαυτῷ, "δῆλον εἶναι πιστεύομεν. 8. ὁπότε τοίνυν πρὸ τού-"του δῆλον γέγονε τῇ γνώσει τῇ ἡμετέρᾳ ἐκ ταύτης "τῆς προφάσεως, ἐξ ἧς κεκελευσμένον ἦν ὑπὸ τῶν "θειοτάτων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν γο-"νέων τῶν ἡμετέρων τὰς συνόδους τῶν Χριστιανῶν "ἐξηρῆσθαι, πολλοὺς σεισμοὺς καὶ ἀποστερήσεις "ὑπὸ τῶν ὀφφικιαλίων γεγενῆσθαι, καὶ εἰς τοὐπιὸν "δὲ τοῦτο προχωρεῖν κατὰ τῶν ἐπαρχιωτῶν τῶν

"ἡμετέρων, ὧν μάλιστα πρόνοιαν τὴν προσήκουσαν γίνεσθαι σπουδάζομεν, τῶν οὐσιῶν τῶν ἰδίων αὐτῶν κατατριβομένων, δοθέντων γραμμάτων πρὸς τοὺς ἡγεμόνας ἑκάστης ἐπαρχίας τῷ παρελθόντι ἐνιαυτῷ ἐνομοθετήσαμεν, ἵν' ἐάν τις βούλοιτο τῷ τοιούτῳ ἔθει ἢ τῇ αὐτῇ φυλακῇ τῆς αὐτῆς θρησκείας ἕπεσθαι, τοῦτον ἀνεμποδίστως ἔχεσθαι τῆς προθέσεως τῆς ἑαυτοῦ, καὶ ὑπὸ μηδενὸς ἐμποδίζεσθαι μηδὲ κωλύεσθαι, καὶ εἶναι αὐτοῖς εὐχέρειαν, ἄνευ τινὸς φόβου καὶ ὑποψίας τοῦθ' ὅπερ ἑκάστῳ ἀρέσκει ποιεῖν. 9. πλὴν οὐδὲ νῦν λαθεῖν ἡμᾶς ἐδυνήθη, ὅτι τινὲς τῶν δικαστῶν παρενεθυμοῦντο τὰς ἡμετέρας κελεύσεις, καὶ διστάζειν τοὺς ἡμετέρους ἀνθρώπους περὶ τὰ προστάγματα τὰ ἡμέτερα παρεσκεύασαν, καὶ ὀκνηρότερον προσιέναι ταύταις ταῖς θρησκείαις, αἷς ἦν ἀρεστὸν αὐτοῖς, ἐποίησαν. 10. ἵνα τοίνυν εἰς τὸ ἑξῆς πᾶσα ὑποψία ἀμφιβολίας τοῦ φόβου περιαιρεθῇ, τοῦτο τὸ διάταγμα προτεθῆναι ἐνομοθετήσαμεν, ἵνα πᾶσι δῆλον γένηται ἐξεῖναι τούτοις, οἵτινες ταύτην τὴν αἵρεσιν καὶ τὴν θρησκείαν μετιέναι βούλονται, ἐκ ταύτης τῆς δωρεᾶς τῆς ἡμετέρας, καθὼς ἕκαστος βούλεται ἢ ἡδέα αὐτῷ ἐστιν, οὕτως προσιέναι τῇ θρησκείᾳ ταύτῃ, ἣν ἐξ ἔθους θρησκεύειν εἵλετο· καὶ τὰ κυριακὰ δὲ τὰ οἰκεῖα ὅπως κατασκευάζοιεν, συγχωρεῖται. 11. ἵνα μέντοι καὶ μείζων γένηται ἡ ἡμετέρα δωρεά, καὶ τοῦτο νομοθετῆσαι κατηξιώσαμεν, ἵν' εἴ τινες οἰκίαι καὶ χωρία τοῦ δικαίου τῶν Χριστιανῶν πρὸ τούτου ἐτύγχανον ὄντα, ἐκ τῆς κελεύσεως τῶν γονέων τῶν ἡμετέρων εἰς τὸ δίκαιον μετέπεσε τοῦ φίσκου, ἢ ὑπό τινος κατελήφθη πόλεως, εἴτε διάπρασις τούτων γεγένηται, εἴτε εἰς χάρισμα δέδοταί τινι, ταῦτα πάντα εἰς

"τὸ ἀρχαῖον δίκαιον τῶν Χριστιανῶν ἀνακληθῆναι "ἐκελεύσαμεν, ἵνα καὶ ἐν τούτῳ τῆς ἡμετέρας εὐσε-"βείας καὶ τῆς προνοίας αἴσθησιν πάντες λάβωσιν." 12. αὗται τοῦ τυράννου φωναί, οὐδ' ὅλον ἐνιαυτὸν τῶν κατὰ Χριστιανῶν ἐν στήλαις ἀνατεθειμένων αὐτῷ διαταγμάτων ὑστερίσασαι. καὶ παρ' ᾧ γε μικρῷ πρόσθεν δυσσεβεῖς ἐδοκοῦμεν καὶ ἄθεοι καὶ παντὸς ὄλεθροι τοῦ βίου, ὡς μὴ ὅτι γε πόλιν, ἀλλ' οὐδὲ χώραν οὐδ' ἐρημίαν οἰκεῖν ἐπιτρέπεσθαι, παρὰ τούτῳ διατάξεις ὑπὲρ Χριστιανῶν καὶ νομοθεσίαι συνετάττοντο, καὶ οἱ πρὸ βραχέος πυρὶ καὶ σιδήρῳ, θηρίων τε καὶ οἰωνῶν βορᾷ πρὸ ὀφθαλμῶν αὐτοῦ τοῦ τυράννου διαφθειρόμενοι, καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας, ἀπαλλαγῆς τε βίου οἰκτρότατα ὡσὰν ἄθεοι καὶ δυσσεβεῖς ὑπομένοντες, οὗτοι νῦν πρὸς αὐτοῦ καὶ θρησκεύειν ὁμολογοῦνται θρησκείαν, καὶ ἐπισκευάζειν κυριακὰ ἐπιτρέπονται, καὶ δικαίων τινῶν αὐτοῖς μετεῖναι αὐτὸς ὁ τύραννος μαρτυρεῖ καὶ ὁμολογεῖ. 13. καὶ δὴ τοιαῦτα ἐξομολογησάμενος, ὥσπερ τινὸς τυχὼν εὐεργεσίας, τούτων δὴ αὐτῶν ἕνεκα ἧττον ἢ παθεῖν αὐτὸν ἐχρῆν δήπου παθών, ἀθρόᾳ θεοῦ πληγεὶς μάστιγι ἐν δευτέρᾳ τοῦ πολέμου συμβολῇ καταστρέφει. 14. γίνεται δ' αὐτῷ τὰ τῆς καταστροφῆς οὐχ οἷα στρατηγοῖς πολεμάρχαις, ὑπὲρ ἀρετῆς καὶ γνωρίμων πολλάκις ἀνδριζομένοις ἐν πολέμῳ, τὴν εὐκλεῆ τελευτὴν εὐθαρσῶς ὑπομεῖναι συνέβη, ἀλλὰ γὰρ ἅτε τις δυσσεβὴς καὶ θεομάχος, τῆς παρατάξεως ἔτ' αὐτῷ πρὸ τοῦ πεδίου συνεστώσης, οἴκοι μένων αὐτὸς καὶ κρυπταζόμενος τὴν προσήκουσαν τιμωρίαν ὑπέχει, ἀθρόᾳ θεοῦ πληγεὶς καθ' ὅλου τοῦ σώματος μάστιγι, ὡς ἀλγηδόσι δειναῖς καὶ περιωδυνίαις ἐλαυνόμενον πρηνῆ κατα-

πεσεῖν λιμῷ φθειρόμενον, τάς τε σάρκας ὅλας ἀοράτῳ καὶ θεηλάτῳ πυρὶ τηκόμενον ὡς διαρρεύσαντα τὸ μὲν πᾶν εἶδος τῆς παλαιᾶς μορφῆς ἀφανισθῆναι, ξηρῶν δ' αὐτὸ μόνον ὀστέων οἷόν τι μακρῷ χρόνῳ κατεσκελετευμένον εἴδωλον ὑπολειφθῆναι· ὡς μηδ' ἄλλο τι νομίζειν τοὺς παρόντας ἢ τάφον αὐτῷ τῆς ψυχῆς γεγονέναι τὸ σῶμα, ἐν ἤδη νεκρῷ καὶ παντελῶς ἀπορρεύσαντι κατορωρυγμένης. 15. σφοδρότερον δ' ἔτι μᾶλλον τῆς θέρμης αὐτὸν ἐκ βάθους μυελῶν καταφλεγούσης προπηδῶσι μὲν αὐτῷ τὰ ὄμματα, καὶ τῆς ἰδίας λήξεως ἀποπεσόντα πηρὸν αὐτὸν ἀφίησιν. 16. ὁ δ' ἐπὶ τούτοις ἔτι ἐμπνέων, ἀνθομολογούμενος τῷ κυρίῳ, θάνατον ἐπεκαλεῖτο, καὶ τὸ πανύστατον ἐνδίκως ταῦτα τῆς κατὰ τοῦ Χριστοῦ παροινίας χάριν ὁμολογήσας παθεῖν τὴν ψυχὴν ἀφίησιν.

XI. [Nic. H. E. VII, 39.] Οὕτω δῆτα Μαξιμίνου ἐκποδὼν γενομένου, ὃς μόνος ἔτι λείπων τῶν τῆς θεοσεβείας ἐχθρῶν, ἁπάντων χείριστος ἀναπέφηνε, τὰ μὲν τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως ἐκ θεμελίων χάριτι θεοῦ τοῦ παντοκράτορος ἠγείρετο, ὅ τε Χριστοῦ λόγος εἰς δόξαν τοῦ τῶν ὅλων θεοῦ διαλάμπων, μείζονα τῆς πρόσθεν ἀπελάμβανε παρρησίαν, τὰ δὲ τῆς δυσσεβείας τῶν τῆς θεοσεβείας ἐχθρῶν αἰσχύνης ἐσχάτης καὶ ἀτιμίας ἐνεπίμπλατο. 2. πρῶτός τε γὰρ αὐτὸς ἐκεῖνος Μαξιμῖνος, ἁπάντων πολεμιώτατος ὑπὸ τῶν κρατούντων ἀναγορευθεὶς, δυσσεβέστατος καὶ δυσωνυμώτατος καὶ θεομισέστατος τύραννος διὰ προγραμμάτων δημοσίων ἀνεστηλίτευτο, γραφαί τε ὅσαι εἰς τιμὴν αὐτοῦ καὶ τῶν αὐτοῦ παίδων κατὰ πᾶσαν ἀνέκειντο πόλιν, αἱ μὲν ἐξ ὕψους εἰς ἔδαφος ῥιπτούμεναι συνετρίβοντο, αἱ δὲ τὰς προσόψεις ἠχρειοῦντο,

σκοτεινῷ χρώματι καταμελανούμεναι, ἀνδριάντων τε ὁμοίως ὁπόσοι εἰς τὴν αὐτοῦ τιμὴν διανεστήκεσαν, ὡσαύτως ῥιπτούμενοι συνετρίβοντο, γέλως καὶ παιδιὰ τοῖς ἐνυβρίζειν καὶ ἐμπαροινεῖν ἐθέλουσιν ἐκκείμενοι. 3. εἶτα δὲ καὶ τῶν ἄλλων τῆς θεοσεβείας ἐχθρῶν πᾶσαι αἱ τιμαὶ περιῃροῦντο, ἐκτείνοντο δὲ καὶ πάντες οἱ τὰ Μαξιμίνου φρονοῦντες, ὅσοι μάλιστα τῶν ἐν ἀρχικοῖς ἀξιώμασιν ὑπ' αὐτοῦ τετιμημένοι τῇ πρὸς αὐτὸν κολακείᾳ σοβαρῶς ἐνεπαρῴνησαν τῷ καθ' ἡμᾶς λόγῳ· 4. οἷος ἦν ὁ παρὰ πάντας αὐτῷ τιμιώτατος καὶ αἰδεσιμώτατος, ἑταίρων τε γνησιώτατος Πευκέτιος, δισύπατος καὶ τρισύπατος, καὶ τῶν καθόλου λόγων ἔπαρχος πρὸς αὐτοῦ καθεσταμένος, Κουλκιανός τε ὡσαύτως διὰ πάσης ἀρχικῆς προελθὼν ἐξουσίας, ὁ καὶ αὐτὸς μυρίοις τοῖς κατ' Αἴγυπτον Χριστιανῶν ἐλλαμπρυνόμενος αἵμασιν, ἄλλοι τε ἐπὶ τούτοις οὐκ ὀλίγοι, δι' ὧν μάλιστα τὰ τῆς Μαξιμίνου τυραννίδος ἐκραταιοῦτό τε καὶ ηὔξετο. 5. ἐκάλει δὲ ἄρα καὶ Θεότεκνον ἡ δίκη, οὐδαμῶς τὰ κατὰ Χριστιανῶν αὐτῷ πεπραγμένα λήθῃ παραδιδοῦσα. ἐπὶ μὲν γὰρ τῷ κατ' Ἀντιόχειαν ἱδρυθέντι πρὸς αὐτοῦ ξοάνῳ δόξας εὐημερεῖν, ἤδη καὶ ἡγεμονίας ἠξίωτο παρὰ Μαξιμίνου. 6. Λικίννιος δ' ἐπιβὰς τῆς Ἀντιοχέων πόλεως, φοράν τε γοήτων ποιησάμενος, τοὺς τοῦ νεοπαγοῦς ξοάνου προφήτας καὶ ἱερεῖς βασάνοις ᾐκίζετο, τίνι λόγῳ τὴν ἀπάτην καθυπεκρίνοντο πυνθανόμενος. ὡς δ' ἐπικρύπτεσθαι αὐτοῖς πρὸς τῶν βασάνων συνελαυνομένοις ἀδύνατον ἦν, ἐδήλουν δὲ τὸ πᾶν μυστήριον ἀπάτην τυγχάνειν τέχνῃ τῇ Θεοτέκνου μεμηχανημένην, τοῖς πᾶσι τὴν ἀξίαν ἐπιθεὶς δίκην, πρῶτον αὐτὸν Θεότεκνον, εἶτα δὲ καὶ τοὺς τῆς γοητείας

κοινωνοὺς μετὰ πλείστας ὅσας αἰκίας θανάτῳ παραδίδωσι. 7. *τούτοις ἅπασι προσετίθεντο καὶ οἱ Μαξιμίνου παῖδες, οὓς ἤδη καὶ τῆς βασιλικῆς τιμῆς, τῆς τε ἐν πίναξι καὶ γραφαῖς ἀναθέσεως πεποίητο κοινωνούς· καὶ οἱ συγγενεῖς δὲ τοῦ τυράννου, τὸ πρὶν αὐχοῦντες καὶ πάντας ἀνθρώπους καταδυναστεύειν ἐπηρμένοι, τὰ αὐτὰ τοῖς προδεδηλωμένοις μετὰ τῆς ἐσχάτης ἀτιμίας ἔπασχον, ἐπεὶ μὴ ἐδέξαντο παιδείαν, μηδὲ ἔγνωσαν μηδὲ συνῆκαν τὴν φάσκουσαν ἐν ἱεροῖς λόγοις παρακέλευσιν* 8. *"μὴ πεποίθετε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία· ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἀποστρέψει εἰς τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν."* 9. *οὕτω δῆτα τῶν δυσσεβῶν ἐκκαθαρθέντων, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ Λικιννίῳ· οἳ τὸ πρόσθεν ἁπάντων ἐκκαθάραντες τοῦ βίου τὴν θεοεχθρίαν, τῶν ἐκ θεοῦ πρυτανευθέντων ἀγαθῶν αὐτοῖς ᾐσθημένοι, τὸ φιλάρετον καὶ θεοφιλές, τό τε πρὸς τὸ θεῖον εὐσεβὲς καὶ εὐχάριστον διὰ τῆς ὑπὲρ Χριστιανῶν ἐνεδείξαντο νομοθεσίας.*

ΛΟΓΟΣ I.

I. [Nic. H. E. VII, 40.] *Θεῷ δὴ χάρις ἐπὶ πᾶσι τῷ παντοκράτορι καὶ βασιλεῖ τῶν ὅλων, πλείστη δὲ καὶ τῷ σωτῆρι καὶ λυτρωτῇ τῶν ψυχῶν*

---

10 Psalm. 145 (146), 3.

ἡμῶν Ἰησοῦ Χριστῷ, δι' οὗ τὰ τῆς εἰρήνης ἔκ τε τῶν ἔξωθεν ὀχληρῶν καὶ τῶν κατὰ διάνοιαν βέβαια καὶ ἀσάλευτα φυλάττεσθαι ἡμῖν διὰ παντὸς εὐχόμεθα. 2. *ἅμα δὲ σαῖς εὐχαῖς καὶ τὸν δέκατον ἐν τούτῳ τοῖς προδιεξοδευθεῖσι τῆς ἐκκλησιαστικῆς ἱστορίας ἐπιθέντες τόμον, σοὶ τοῦτον ἐπιγράψωμεν, ἱερώτατέ μοι Παυλῖνε, ὥσπερ ἐπισφράγισμά σε τῆς ὅλης ὑποθέσεως ἀναβοώμενοι.* 3. *εἰκότως δ' ἐν ἀριθμῷ τελείῳ τὸν τέλειον ἐνταῦθα καὶ πανηγυρικὸν τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως λόγον κατατάξομεν, θείῳ πνεύματι πειθαρχοῦντες, ὧδέ πως ἐγκελευομένῳ "ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν. ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ· ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ·"* 4. *καὶ δὴ τῷ λογίῳ προστάττοντι τὸ καινὸν ᾆσμα διὰ τοῦδε νῦν ἀκολούθως ἐπιφωνῶμεν, ὅτι δὴ μετὰ τὰς δεινὰς καὶ σκοτεινὰς ἐκείνας ὄψεις τε καὶ διηγήσεις τοιαῦτα νῦν ὁρᾶν καὶ τοιαῦτα πανηγυρίζειν ἠξιώθημεν οἷα τῶν πρὸ ἡμῶν πολλοὶ τῷ ὄντι δίκαιοι καὶ θεοῦ μάρτυρες ἐπεθύμησαν ἐπὶ γῆς ἰδεῖν, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, καὶ οὐκ ἤκουσαν.* 5. *ἀλλ' οἱ μὲν ᾗ τάχος σπεύσαντες τῶν πολὺ κρειττόνων ἔτυχον, ἔν τ' αὐτοῖς οὐρανοῖς καὶ παραδείσῳ τῆς ἐνθέου τρυφῆς ἀναρπασθέντες, ἡμεῖς δὲ καὶ τάδε μείζονα ἢ καθ' ἡμᾶς ὑπάρχειν ὁμολογοῦντες ὑπερεκπεπλήγμεθα μὲν τῆς τοῦ αἰτίου μεγαλοδωρεᾶς τὴν χάριν, θαυμάζομεν δὲ εἰκότως ὅλης ψυχῆς δυνάμει σέβοντες, καὶ ταῖς ἀναγράπτοις προρρήσεσιν ἀλήθειαν ἐπιμαρτυροῦντες, δι' ὧν*

---

12 Psalm. 97 (98), 1. 20 Matth. 13, 7.

εἴρηται 6. "δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ κυρίου, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς οἰκουμένης· τόξον συντρίψει καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί·" ἐφ' οἷς εἰς ἡμᾶς ἐναργῶς πεπληρωμένοις χαίροντες τὸν ἐφεξῆς συνείρωμεν λόγον. 7. ἠφάνιστο μὲν δὴ καθ' ὃν δεδήλωται τρόπον πᾶν τὸ τῶν θεομισῶν γένος, καὶ τῆς ἀνθρώπων ἀθρόως ὄψεως οὕτως ἐξαλήλειπτο ὡς πάλιν ῥῆμα θεῖον τέλος ἔχειν τὸ λέγον "εἶδον ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα τὸν τόπον αὐτοῦ, καὶ οὐχ εὑρέθη·" 8. ἡμέρα δὲ λοιπὸν ἤδη φαιδρὰ καὶ διαυγής, μηδενὸς νέφους αὐτὴν ἐπισκιάζοντος, φωτὸς οὐρανίου βολαῖς ἀνὰ τὴν οἰκουμένην ἅπασαν ταῖς ἐκκλησίαις τοῦ Χριστοῦ κατηύγαζεν, οὐδέ τις ἦν καὶ τοῖς ἔξωθεν τοῦ καθ' ἡμᾶς θιάσου φθόνος συναπολαύειν εἰ μὴ τῶν ἴσων, ἀπορροῆς δ' οὖν ὅμως καὶ μετουσίας τῶν θεόθεν ἡμῖν πρυτανευθέντων.

II. [Nic. H. E. VII, 40.] Πᾶσι μὲν οὖν ἀνθρώποις τὰ ἐκ τῆς τῶν τυράννων καταδυναστείας ἐλεύθερα ἦν, καὶ τῶν προτέρων ἀπηλλαγμένοι κακῶν ἄλλος ἄλλως μόνον ἀληθῆ θεὸν τὸν τῶν εὐσεβῶν ὑπέρμαχον ὡμολόγει, μάλιστα δ' ἡμῖν τοῖς ἐπὶ τὸν Χριστὸν τοῦ θεοῦ τὰς ἐλπίδας ἀνηρτημένοις ἄλεκτος παρῆν εὐφροσύνη, καί τις ἔνθεος ἅπασιν ἐπήνθει χαρά, πάντα τόπον τὸν πρὸ μικροῦ ταῖς τῶν τυράννων δυσσεβείαις ἠρειπωμένον ὥσπερ ἐκ μακρᾶς καὶ θανατηφόρου λύμης ἀναβιώσκοντα θεω-

---

1 Psalm. 45 (46), 9. 10 Psalm. 36 (37), 35.

μένοις, νεώς τε αὖθις ἐκ βάθρων εἰς ὕψος ἄπειρον ἐγειρομένους, καὶ πολὺ κρείττονα τὴν ἀγλαΐαν τῶν πάλαι πεπολιορκημένων ἀπολαμβάνοντας. 2. ἀλλὰ καὶ βασιλεῖς οἱ ἀνωτάτω συνεχέσι ταῖς ὑπὲρ Χριστιανῶν νομεθεσίαις τὰ τῆς ἐκ θεοῦ μεγαλοδωρεᾶς ἡμῖν εἰς μακρὸν ἔτι καὶ μεῖζον ἐκράτυνον, ἐφοίτα δὲ καὶ εἰς πρόσωπον ἐπισκόποις βασιλέως γράμματα, καὶ τιμαὶ καὶ χρημάτων δόσεις· ὧν οὐκ ἀπὸ τρόπου γένοιτ' ἂν κατὰ τὸν προσήκοντα καιρὸν τοῦ λόγου, ὥσπερ ἐν ἱερᾷ στήλῃ, τῇδε τῇ βίβλῳ τὰς φωνὰς ἐκ τῆς Ῥωμαίων ἐπὶ τὴν Ἑλλάδα γλῶσσαν μεταληφθείσας ἐγχαράξαι, ὡς ἂν καὶ τοῖς μεθ' ἡμᾶς ἅπασι φέροιντο διὰ μνήμης.

III. [Nic. H. E. VII, 40.] Ἐπὶ δὲ τούτοις τὸ πᾶσιν εὐκταῖον ἡμῖν καὶ ποθούμενον συνεκροτεῖτο θέαμα, ἐγκαινίων ἑορταὶ κατὰ πόλεις, καὶ τῶν ἄρτι νεοπαγῶν προσευκτηρίων ἀφιερώσεις ἐπισκόπων τε ἐπὶ ταὐτὸ συνηλύσεις, τῶν πόρρωθεν ἐξ ἀλλοδαπῆς συνδρομαί, λαῶν εἰς λαοὺς φιλοφρονήσεις, τῶν Χριστοῦ σώματος μελῶν εἰς μίαν συνιόντων ἁρμονίαν ἕνωσις. 2. συνήγετο δ' οὖν ἀκολούθως προρρήσει προφητικῇ μυστικῶς τὸ μέλλον προσημαινούσῃ "ὀστέον πρὸς ὀστέον καὶ ἁρμονία πρὸς ἁρμονίαν," καὶ ὅσα θεσπίζων ὁ λόγος δι' αἰνιγμάτων ἀψευδῶς προανετείνετο. 3. μία τε ἦν θείου πνεύματος διὰ πάντων τῶν μελῶν χωροῦσα δύναμις, καὶ ψυχὴ τῶν πάντων μία, καὶ προθυμία πίστεως ἡ αὐτή, καὶ εἷς ἐξ ἁπάντων θεολογίας ὕμνος· ναὶ μὴν καὶ τῶν προηγουμένων ἐντελεῖς θρησκεῖαι, ἱερουργίαι τε τῶν ἱερωμένων, καὶ θεοπρεπεῖς ἐκκλησίας θεσμοί, ὧδε

23 Ezech. 37, 7.

μὲν ψαλμῳδίαις καὶ ταῖς λοιπαῖς τῶν θεόθεν ἡμῖν παραδοθεισῶν φωνῶν ἀκροάσεσιν, ὧδε δὲ θείαις καὶ μυστικαῖς ἐπιτελουμέναις διακονίαις· σωτηρίου τε ἦν πάθους ἀπόρρητα σύμβολα. 4. *ὁμοῦ δὲ πᾶν γένος ἡλικίας ἄρρενός τε καὶ θήλεος φύσεως ὅλῃ διανοίας ἰσχύϊ δι' εὐχῶν καὶ εὐχαριστίας γεγηθότι νῷ καὶ ψυχῇ τὸν τῶν ἀγαθῶν παραίτιον θεὸν ἐγέραιρον. ἐκίνει δὲ καὶ λόγους ἅπας τῶν παρόντων ἀρχόντων πανηγυρικούς, ὡς ἑκάστῳ παρῆν δυνάμεως, θειάζων τὴν πανήγυριν.*

IV. [Nic. H. E. VII, 40.] *Καί τις ἐν μέσῳ παρελθὼν τῶν μετρίως ἐπιεικῶν, λόγου σύνταξιν πεποιημένος, ὡς ἐν ἐκκλησίας ἀθροίσματι πλείστων ἐπιπαρόντων ποιμένων, ἐν ἡσυχίᾳ καὶ κόσμῳ τὴν ἀκρόασιν παρεχομένων, ἑνὸς εἰς πρόσωπον τὰ πάντα ἀρίστου καὶ θεοφιλοῦς ἐπισκόπου, οὗ διὰ σπουδῆς ὁ μάλιστα τῶν ἀμφὶ τὸ Φοινίκων ἔθνος διαπρέπων ἐν Τύρῳ νεὼς φιλοτίμως ἐπεσκεύαστο, τοιόνδε παρέσχε λόγον.*

Πανηγυρικὸς ἐπὶ τῇ τῶν ἐκκλησιῶν οἰκοδομῇ, Παυλίνῳ Τυρίων ἐπισκόπῳ προσπεφωνημένος.

2. *Ὦ φίλοι θεοῦ καὶ ἱερεῖς, οἱ τὸν ἅγιον ποδήρη καὶ τὸν οὐράνιον τῆς δόξης στέφανον τό τε χρῖσμα τὸ ἔνθεον καὶ τὴν ἱερατικὴν τοῦ ἁγίου πνεύματος στολὴν περιβεβλημένοι, σύ τε, ὦ νέον ἁγίου νεὼ θεοῦ σεμνολόγημα, γεραρᾷ μὲν φρονήσει παρὰ θεοῦ τετιμημένε, νέας δὲ καὶ ἀκμαζούσης ἀρετῆς ἔργα πολυτελῆ καὶ πράξεις ἐπιδεδειγμένε, ᾧ τὸν ἐπὶ γῆς οἶκον αὐτὸς ὁ τὸν σύμπαντα κόσμον περιέχων θεὸς δείμασθαι καὶ ἀνανεοῦν Χριστῷ τῷ μονογενεῖ καὶ πρωτογενεῖ αὐτοῦ λόγῳ, τῇ τε ἁγίᾳ καὶ θεοπρεπεῖ*

τούτου νύμφη, γέρας ἐξαίρετον δεδώρηται· 3. εἴτε τις νέον σε Βεσελεὴλ, θείας ἀρχιτέκτονα σκηνῆς ἐθέλοι καλεῖν, εἴτε Σολομῶνα, καινῆς καὶ πολὺ κρείττονος Ἱερουσαλὴμ βασιλέα, εἴτε καὶ νέον Ζοροβάβελ, τὴν πολὺ κρείττονα δόξαν τῆς προτέρας τῷ νεῷ τοῦ θεοῦ περιτιθέντα· 4. ἀλλὰ καὶ ὑμεῖς, ὦ τῆς ἱερᾶς ἀγέλης Χριστοῦ θρέμματα, λόγων ἀγαθῶν ἑστία, σωφροσύνης παιδευτήριον, καὶ θεοσεβείας σεμνὸν καὶ θεοφιλὲς ἀκροατήριον· 5. πάλαι μὲν ἡμῖν τὰς παραδόξους θεοσημίας καὶ τῶν τοῦ κυρίου θαυμάτων τὰς εἰς ἀνθρώπους εὐεργεσίας διὰ θείων ἀναγνωσμάτων ἀκοῇ παραδεχομένοις ὕμνους εἰς θεὸν καὶ ᾠδὰς ἀναπέμπειν ἐξῆν, λέγειν παιδευομένοις "ὁ θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις." 6. ἀλλὰ νῦν γε οὐκέτ' ἀκοαῖς οὐδὲ λόγων φήμαις τὸν βραχίονα τὸν ὑψηλὸν, τήν τε οὐράνιον δεξιὰν τοῦ παναγάθου καὶ παμβασιλέως ἡμῶν θεοῦ παραλαμβάνουσιν, ἔργοις δ' ὡς ἔπος εἰπεῖν καὶ αὐτοῖς ὀφθαλμοῖς τὰ πάλαι μνήμῃ παραδεδομένα πιστὰ καὶ ἀληθῆ καθορωμένοις, δεύτερον ὕμνον ἐπινίκιον πάρεστιν ἀναμέλπειν, ἐναργῶς τε ἀναφωνεῖν καὶ λέγειν "καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν, ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν." 7. ποίᾳ δὲ πόλει; ἢ τῇδε τῇ νεοπαγεῖ καὶ θεοτεύκτῳ; ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, περὶ ἧς καὶ ἄλλο τι θεῖον λόγιον ὧδέ πως εὐαγγελίζεται "δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ," ἐφ' ἣν τοῦ παναγάθου συγκροτή-

13 Psalm. 43 (44), 2. 23 Psalm. 47 (48), 9.
29 Psalm. 86 (87), 3.

σαντος ἡμᾶς θεοῦ διὰ τῆς τοῦ μονογενοῦς αὐτοῦ χάριτος, τῶν ἀνακεκλημένων ἕκαστος ὑμνείτω μονονουχὶ βοῶν καὶ λέγων "εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον κυρίου πορευσόμεθα," καὶ "κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου." 8. καὶ μὴ μόνον γε ὁ καθεῖς, ἀλλὰ καὶ οἱ πάντες ἀθρόως ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ γεραίροντες ἀνευφημῶμεν, "μέγας κύριος," ἐπιλέγοντες, "καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. καὶ γὰρ οὖν μέγας ὡς ἀληθῶς, καὶ μέγας ὁ οἶκος αὐτοῦ, ὑψηλὸς καὶ ἐπιμήκης, καὶ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· μέγας ὁ κύριος ὁ ποιῶν θαυμάσια μόνος· μέγας ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· μέγας ὁ ἀλλοιῶν καιροὺς καὶ χρόνους, μεθιστῶν βασιλεῖς καὶ καθιστῶν, ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνιστῶν πένητα. καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινοὺς ἀπὸ γῆς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ βραχίονας ὑπερηφάνων συνέτριψεν." 9. οὐ πιστοῖς μόνον, ἀλλὰ καὶ ἀπίστοις τῶν παλαιῶν διηγημάτων τὴν μνήμην πιστωσάμενος, ὁ θαυματουργὸς, ὁ μεγαλουργὸς, ὁ τῶν ὅλων δεσπότης, ὁ τοῦ σύμπαντος κόσμου δημιουργὸς, ὁ παντοκράτωρ, ὁ πανάγαθος, ὁ εἷς καὶ μόνος θεὸς, ᾧ τὸ καινὸν ᾆσμα μέλπωμεν, προσυπακούοντες τῷ ποιοῦντι θαυμάσια μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, τῷ πατάξαντι βασιλεῖς μεγάλους καὶ ἀποκτείναντι βασιλεῖς κραταιοὺς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν

3 Psalm. 121 (122), 1. 4 Psalm. 25 (26), 8. 8 Psalm. 47 (48), 2. 13 Iob. 9, 10. 16 Psalm. 112 (113), 7. 18 Luc. 1, 52. 26 Psalm. 135 (136), 4. 17. 23.

ἐμνήσθη ἡμῶν ὁ κύριος, καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. 10. καὶ τὸν μὲν τῶν ὅλων πατέρα τούτοις ἀνευφημοῦντες μή ποτε διαλίποιμεν· τὸν δὲ τῶν ἀγαθῶν ἡμῖν δεύτερον αἴτιον, τὸν τῆς θεογνωσίας εἰσηγητὴν, τὸν τῆς ἀληθοῦς θεοσεβείας διδάσκαλον, τὸν τῶν ἀσεβῶν ὀλετῆρα, τὸν τυραννοκτόνον, τὸν τοῦ βίου διορθωτὴν, τὸν ἡμῶν τῶν ἀπεγνωσμένων σωτῆρα Ἰησοῦν ἀνὰ στόμα φέροντες γεραίρωμεν, 11. ὅτι δὴ μόνος οἷα παναγάθου πατρὸς μονώτατος ὑπάρχων πανάγαθος παῖς, γνώμῃ τῆς πατρικῆς φιλανθρωπίας τῶν ἐν φθορᾷ κάτω που κειμένων ἡμῶν εὖ μάλα προθύμως ὑποδὺς τὴν φύσιν, οἷά τις ἰατρῶν ἄριστος τῆς τῶν καμνόντων ἕνεκεν σωτηρίας ὁρῇ μὲν δεινὰ, θιγγάνει δ' ἀηδέων, ἐπ' ἀλλοτρίῃσί τε ξυμφορῇσιν ἰδίας καρποῦται λύπας, οὐ νοσοῦντας αὐτὸ μόνον, οὐδ' ἕλκεσι δεινοῖς καὶ σεσηπόσιν ἤδη τραύμασι πιεζομένους, ἀλλὰ καὶ ἐν νεκροῖς κειμένους ἡμᾶς ἐξ αὐτῶν τῶν μυχῶν τοῦ θανάτου αὐτὸς ἑαυτῷ διεσώσατο, ὅτι μηδὲ ἄλλῳ τῳ τῶν κατ' οὐρανὸν τοσοῦτον παρῆν ἰσχύος, ὡς τῇ τῶν τοσούτων ἀβλαβῶς διακονήσασθαι σωτηρίᾳ. 12. μόνος δ' οὖν καὶ τῆς ἡμῶν αὐτῶν βαρυπαθοῦς φθορᾶς ἐφαψάμενος, μόνος τοὺς ἡμετέρους ἀνατλὰς πόνους, μόνος τὰ πρόστιμα τῶν ἡμετέρων ἀσεβημάτων περιθέμενος, οὐχ ἡμιθνῆτας, ἀλλὰ καὶ πάμπαν ἐν μνήμασι καὶ τάφοις μυσαροὺς ἤδη καὶ ὀδωδότας ἀναλαβὼν, πάλαι τε καὶ νῦν σπουδῇ τῇ φιλανθρώπῳ, παρὰ πᾶσαν τὴν οὑτινοσοῦν ἡμῶν τε αὐτῶν ἐλπίδα, σώζει τε καὶ τῶν τοῦ πατρὸς ἀγαθῶν ἀφθονίαν μεταδίδωσιν, ὁ ζωοποιὸς, ὁ φωταγωγὸς, ὁ μέγας ἡμῶν

---

14 Hippocrates p. 78 ed. Foes.

ἰατρὸς καὶ βασιλεὺς καὶ κύριος, ὁ Χριστὸς τοῦ θεοῦ. 13. ἀλλὰ τότε μὲν ἅπαξ ἐν νυκτὶ ζοφερᾷ καὶ σκότῳ βαθεῖ, δαιμόνων ἀλιτηρίων πλάναις καὶ θεομισῶν πνευμάτων ἐνεργείαις πᾶν τὸ τῶν ἀνθρώπων γένος κατορωρυγμένον, αὐτὸ μόνον ἐπιφανείς, ὡσὰν κηροῦ διατακέντος ταῖς αὐτοῦ βολαῖς τοῦ φωτὸς τὰς πολυδέτους τῶν ἀσεβημάτων ἡμῶν σειρὰς διελύσατο. 14. νῦν δ' ἐπὶ τῇ τοσαύτῃ χάριτι καὶ εὐεργεσίᾳ τοῦ μισοκάλου φθόνου καὶ φιλοπονήρου δαίμονος μονονουχὶ διαρρηγνυμένου, καὶ πάσας αὐτοῦ τὰς θανατοποιοὺς καθ' ἡμῶν ἐπιστρατεύοντος δυνάμεις, καὶ τὰ μὲν πρῶτα κυνὸς δίκην λυττῶντος, τοὺς ὀδόντας ἐπὶ τοὺς ἀφιεμένους κατ' αὐτοῦ λίθους προσαράττοντος, καὶ τὸν κατὰ τῶν ἀμυνομένων θυμὸν ἐπὶ τὰ ἄψυχα βλήματα καθιέντος, τοῖς τῶν προσευκτηρίων λίθοις καὶ ταῖς τῶν οἴκων ἀψύχοις ὕλαις τὴν θηριώδη μανίαν ἐπερείσαντος, ἐρημίαν τε, ὥς γε δὴ αὐτὸς ἑαυτῷ ᾤετο, τῶν ἐκκλησιῶν ἀπεργασαμένου, εἶτα δὲ δεινὰ συρίγματα καὶ τὰς ὀφιώδεις αὐτοῦ φωνάς, τοτὲ μὲν ἀσεβῶν τυράννων ἀπειλαῖς, τοτὲ δὲ βλασφήμοις δυσσεβῶν ἀρχόντων διατάξεσιν ἀφιέντος, καὶ προσέτι τὸν αὐτοῦ θάνατον ἐξερευγομένου, καὶ τοῖς ἰώδεσι καὶ ψυχοφθόροις δηλητηρίοις τὰς ἁλισκομένας πρὸς αὐτοῦ ψυχὰς φαρμάττοντος, καὶ μονονουχὶ νεκροῦντος ταῖς τῶν νεκρῶν εἰδώλων νεκροποιοῖς θυσίαις, πάντα τε ἀνθρωπόμορφον θῆρα καὶ πάντα τρόπον ἄγριον καθ' ἡμῶν ὑποσαλεύοντος, 15. αὖθις ἐξ ὑπαρχῆς ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ μέγας ἀρχιστράτηγος τοῦ θεοῦ, μετὰ τὴν αὐτάρκη διαγυμνασίαν, ἣν οἱ μέγιστοι τῆς αὐτοῦ βασιλείας στρατιῶται διὰ τῆς πρὸς ἅπαντα ὑπομονῆς καὶ καρτερίας ἐνεδείξαντο, ἀθρόως οὕτως φανεὶς τὰ

μὲν ἐχθρὰ καὶ πολέμια εἰς ἀφανὲς καὶ τὸ μηδὲν κατεστήσατο, ὡς μηδὲ πώποτε ὠνομάσθαι δοκεῖν, τὰ δ' αὐτῷ φίλα καὶ οἰκεῖα δόξης ἐπέκεινα παρὰ πᾶσιν οὐκ ἀνθρώποις μόνον, ἀλλ' ἤδη καὶ δυνάμεσιν οὐρανίοις, ἡλίῳ τε καὶ σελήνῃ καὶ ἄστροις καὶ τῷ σύμπαντι οὐρανῷ τε καὶ κόσμῳ προήγαγεν, 16. ὥστε ἤδη, ὃ μηδὲ ἄλλοτέ πω, τοὺς πάντων ἀνωτάτω βασιλέας, ἧς λελόγχασι παρ' αὐτοῦ τιμῆς συνῃσθημένους, νεκρῶν μὲν εἰδώλων καταπτύειν προσώποις, πατεῖν δ' ἄθεσμα δαιμόνων θέσμια, καὶ παλαιᾶς ἀπάτης πατροπαραδότου καταγελᾶν, ἕνα δὲ αὐτὸν μόνον θεὸν τὸν κοινὸν ἁπάντων καὶ ἑαυτῶν εὐεργέτην γνωρίζειν, Χριστόν τε τοῦ θεοῦ παῖδα παμβασιλέα τῶν ὅλων ὁμολογεῖν, σωτῆρά τε αὐτὸν ἐν στήλαις ἀναγορεύειν, ἀνεξαλείπτῳ μνήμῃ τὰ κατορθώματα καὶ τὰς κατὰ τῶν ἀσεβῶν αὐτοῦ νίκας μέσῃ τῇ βασιλευούσῃ τῶν ἐπὶ γῆς πόλει βασιλικοῖς χαρακτῆρσι προσεγγράφοντας, ὥστε μόνον τῶν ἐξ αἰῶνος Ἰησοῦν Χριστὸν τὸν ἡμῶν σωτῆρα καὶ πρὸς αὐτῶν τῶν ἐπὶ γῆς ἀνωτάτω οὐχ οἷα κοινὸν ἐξ ἀνθρώπων βασιλέα γενόμενον ὁμολογεῖσθαι, ἀλλ' οἷα τοῦ καθόλου θεοῦ παῖδα γνήσιον καὶ αὐτόθεον προσκυνεῖσθαι, καὶ εἰκότως. 17. τίς γὰρ τῶν πώποτε βασιλέων τοσοῦτον ἀρετῆς ἠνέγκατο ὡς πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων ἀκοὴν καὶ γλῶτταν ἐμπλῆσαι τῆς αὐτοῦ προσηγορίας; τίς βασιλεὺς νόμους εὐσεβεῖς οὕτω καὶ σώφρονας διαταξάμενος, ἀπὸ περάτων γῆς καὶ εἰς ἄκρα τῆς ὅλης οἰκουμένης εἰς ἐπήκοον ἅπασιν ἀνθρώποις ἀναγινώσκεσθαι διαρκῶς ἐκράτυνεν; 18. τίς ἀνημέρων ἐθνῶν ἔθη βάρβαρα καὶ ἀνήμερα τοῖς ἡμέροις αὐτοῦ καὶ φιλανθρωποτάτοις παρέλυσε νόμοις; τίς αἰῶσιν ὅλοις ὑπὸ πάντων πολεμούμενος

τὴν ὑπὲρ ἄνθρωπον ἀρετὴν ἐπεδείξατο, ὡς ἀνθεῖν ὁσημέραι καὶ νεάζειν διὰ παντὸς τοῦ βίου; 19. τίς ἔθνος τὸ μηδ' ἀκουσθὲν ἐξ αἰῶνος, οὐκ ἐν γωνίᾳ ποι γῆς λεληθὸς, ἀλλὰ καθ' ὅλης τῆς ὑφ' ἡλίῳ ἱδρύσατο; τίς εὐσεβείας ὅπλοις οὕτως ἐφράξατο τοὺς στρατιώτας ὡς ἀδάμαντος τὰς ψυχὰς κραταιοτέρους ἐν τοῖς πρὸς τοὺς ἀντιπάλους ἀγῶσι διαφαίνεσθαι; 20. τίς βασιλέων εἰς τοσοῦτον κρατεῖ καὶ στρατηγεῖ γε μετὰ θάνατον, καὶ τρόπαια κατ' ἐχθρῶν ἵστησι, καὶ πάντα τόπον καὶ χώραν καὶ πόλιν, Ἑλλάδα τε καὶ βάρβαρον, βασιλικῶν οἴκων αὐτοῦ πληροῖ, καὶ θείων ναῶν ἀφιερώμασιν, οἷα τάδε τὰ τοῦδε τοῦ νεὼ περικαλλῆ κοσμήματά τε καὶ ἀναθήματα, ἃ καὶ αὐτὰ σεμνὰ μὲν ὡς ἀληθῶς καὶ μεγάλα, ἐκπλήξεώς τε καὶ θαύματος ἄξια, καὶ οἷα τῆς τοῦ σωτῆρος ἡμῶν βασιλείας ἐναργῆ δείγματα, ὅτι καὶ νῦν αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν, — τί γὰρ καὶ ἔμελλε τοῦ παμβασιλέως καὶ πανηγεμόνος καὶ αὐτοῦ θεοῦ λόγου ἐνστήσεσθαι τῷ νεύματι; — σχολῆς τε λόγων οἰκείας εἰς ἀκριβῆ θεωρίαν τε καὶ ἑρμηνείαν τυγχάνει δεόμενα· 21. οὐ μὴν ὅσα καὶ οἷα τὰ τῆς τῶν πεπονηκότων προθυμίας κέκριται παρ' αὐτῷ τῷ θεολογουμένῳ, τὸν ἔμψυχον πάντων ἡμῶν καθορῶντι ναὸν, καὶ τὸν ἐκ ζώντων λίθων καὶ βεβηκότων οἶκον ἐποπτεύοντι, εὖ καὶ ἀσφαλῶς ἱδρυμένων ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ὃν ἀπεδοκίμασαν μὲν οὐχ οἱ τῆς παλαιᾶς καὶ μηκέτ' οὔσης ἐκείνης μόνον, ἀλλὰ καὶ τῆς εἰσέτι νῦν τῶν πολλῶν ἀνθρώπων οἰκοδομῆς κακοὶ κακῶν ὄντες ἀρχιτέκτονες, δοκιμάσας δὲ ὁ πατὴρ καὶ τότε καὶ νῦν εἰς κεφαλὴν γωνίας τῆσδε τῆς κοινῆς ἡμῶν ἐκ-

κλησίας ἱδρύσατο. 22. τοῦτον δὴ οὖν τὸν ἐξ ὑμῶν αὐτῶν ἐπεσκευασμένον ζῶντος θεοῦ ζῶντα ναὸν — τὸ μέγιστον καὶ ἀληθεῖ λόγῳ θεοπρεπὲς ἱερεῖόν φημι, οὗ τὰ ἐνδοτάτω ἄδυτα τοῖς πολλοῖς ἀθεώρητα καὶ ὄντως ἅγια καὶ τῶν ἁγίων ἅγια — τίς ἂν ἐποπτεύσας ἐξειπεῖν τολμήσειε; τίς δὲ κἂν εἰσκῦψαι περιβόλων ἱερῶν εἴσω δυνατὸς, ὅτι μὴ μόνος ὁ μέγας τῶν ὅλων ἀρχιερεὺς, ᾧ μόνῳ θέμις πάσης λογικῆς ψυχῆς τὰ ἀπόρρητα διερευνᾶσθαι; 23. τάχα δὲ καὶ ἄλλῳ δευτερεύειν μετὰ τοῦτον ἑνὶ μόνῳ τῶν ἴσων ἐφικτὸν, τῷδε τῷ προκαθημένῳ τῆσδε τῆς στρατιᾶς ἡγεμόνι, ὃν αὐτὸς ὁ πρῶτος καὶ μέγας ἀρχιερεὺς δευτερείοις τῶν τῇδε ἱερείων τιμήσας, ποιμένα τῆς ὑμετέρας ἐνθέου ποίμνης, κλήρῳ καὶ κρίσει τοῦ πατρὸς τὸν ὑμέτερον λαχόντα λαὸν, ὡσὰν θεραπευτὴν καὶ ὑποφήτην αὐτὸς ἑαυτοῦ κατετάξατο, τὸν νέον Ἀαρὼν ἢ Μελχισεδὲκ, ἀφωμοιωμένον τῷ υἱῷ τοῦ θεοῦ, μένοντά τε καὶ πρὸς αὐτοῦ τηρούμενον εἰς τὸ διηνεκὲς ταῖς κοιναῖς ἁπάντων ὑμῶν εὐχαῖς. 24. τούτῳ δὴ οὖν ἐξέστω μόνῳ μετὰ τὸν πρῶτον καὶ μέγιστον ἀρχιερέα, εἰ μὴ τὰ πρῶτα, τὰ δεύτερα γοῦν ὅμως ὁρᾶν τε καὶ ἐπισκοπεῖν τῆς ἐνδοτάτω τῶν ὑμετέρων ψυχῶν θεωρίας, πείρᾳ μὲν καὶ χρόνου μήκει ἕκαστον ἀκριβῶς ἐξητακότι, σπουδῇ τε τῇ αὐτοῦ καὶ ἐπιμελείᾳ τοὺς πάντας ὑμᾶς ἐν κόσμῳ καὶ λόγῳ τῷ κατ' εὐσέβειαν διατεθειμένῳ, δυνατῷ τε ὄντι μᾶλλον ἁπάντων, ὧν αὐτὸς σὺν θείᾳ δυνάμει κατηρτίσατο, τούτων τοῖς ἔργοις ἐφαμίλλως ἀποδοῦναι τοὺς λόγους. 25. ὁ μὲν οὖν πρῶτος καὶ μέγας ἡμῶν ἀρχιερεὺς, ὅσα βλέπει τὸν πατέρα ποιοῦντα, ταῦτα, φησὶν,

30 Ioann. 5, 19.

ὁμοίως καὶ ὁ υἱὸς ποιεῖ· ὁ δὲ καὶ αὐτὸς ὡσὰν ἐπὶ διδάσκαλον τὸν πρῶτον καθαροῖς νοὸς ὄμμασιν ἀφορῶν, ὅσα βλέπει ποιοῦντα, ὡσὰν ἀρχετύποις χρώμενος παραδείγμασι, τούτων τὰς εἰκόνας, ὡς ἔνι μάλιστα δυνατὸν, εἰς τὸ ὁμοιότατον δημιουργῶν ἀπειργάσατο, οὐδὲν ἐκείνῳ καταλιπὼν τῷ Βεσελεὴλ, ὃν αὐτὸς ὁ θεὸς πνεύματος ἐμπλήσας σοφίας καὶ συνέσεως καὶ τῆς ἄλλης ἐντέχνου καὶ ἐπιστημονικῆς γνώσεως, τῆς τῶν οὐρανίων τύπων διὰ συμβόλων ναοῦ κατασκευῆς δημιουργὸν ἀνακέκληται. 26. ταύτῃ δ' οὖν καὶ ὅδε Χριστὸν ὅλον, τὸν λόγον, τὴν σοφίαν, τὸ φῶς, ἐν τῇ αὐτὸς αὐτοῦ ἀγαλματοφορῶν ψυχῇ, οὐδ' ἔστιν εἰπεῖν οἵᾳ σὺν μεγαλοφροσύνῃ, πλουσίᾳ τε καὶ ἀπλήστῳ διανοίας χειρὶ, καὶ σὺν οἵᾳ πάντων ὑμῶν φιλοτιμίᾳ, τῇ τῶν εἰσφορῶν μεγαλοψυχίᾳ, τῆς αὐτῆς αὐτῷ προθέσεως κατὰ μηδένα τρόπον ἀπολειφθῆναι φιλονεικότερον μεγαλοφρονουμένων, τὸν μεγαλοπρεπῆ τόνδε θεοῦ τοῦ ὑψίστου νεὼν, τῷ τοῦ κρείττονος παραδείγματι ὡσὰν ὁρώμενον μὴ ὁρωμένου, τὴν φύσιν ἐμφερῆ συνεστήσατο, χῶρον μὲν τόνδε, ὅτι καὶ ἄξιον εἰπεῖν πρῶτον ἁπάντων, πάσης οὐ καθαρᾶς ὕλης ἐχθρῶν ἐπιβουλαῖς κατακεχωσμένον οὐ παριδὼν, οὐδὲ τῇ τῶν αἰτίων παραχωρήσας κακίᾳ, ἐξὸν ἐφ' ἕτερον ἐλθόντα, μυρίων ἄλλων εὐπορουμένων τῇ πόλει, ῥᾳστώνην εὕρασθαι τοῦ πόνου καὶ πραγμάτων ἀπηλλάχθαι. 27. ὁ δὲ πρῶτον αὐτὸν ἐπὶ τὸ ἔργον ἐγείρας, εἶτα δὲ τὸν σύμπαντα λαὸν προθυμίᾳ ῥώσας καὶ μίαν ἐξ ἁπάντων μεγάλην χεῖρα συναγαγὼν, πρῶτον ἆθλον ἠγωνίζετο, αὐτὴν δὴ μάλιστα τὴν ὑπὸ τῶν ἐχθρῶν πεπολιορκημένην, αὐτὴν τὴν προπονήσασαν, καὶ τοὺς αὐτοὺς ἡμῖν καὶ πρὸ ἡμῶν διωγμοὺς ὑπομείνασαν, τὴν μητρὸς δίκην τῶν

τέκνων ἐρημωθεῖσαν ἐκκλησίαν συναπολαῦσαι δεῖν οἰόμενος τῆς τοῦ παναγάθου μεγαλοδωρεᾶς. 28. ἐπειδὴ γὰρ τοὺς παῖδας αὖθις ὁ μέγας ποιμὴν, τοὺς θῆρας καὶ τοὺς λύκους καὶ πᾶν ἀπηνὲς καὶ ἄγριον γένος ἀποσοβήσας, καὶ τὰς μύλας τῶν λεόντων, ᾗ φησι τὰ θεῖα λόγια, συντρίψας, ἐπὶ ταυτὸν αὖθις συνελθεῖν ἠξίωσε, δικαιότατα καὶ τῆς ποίμνης τὴν μάνδραν ἀνίστη, τοῦ καταισχῦναι ἐχθρὸν καὶ ἐκδικητὴν, καὶ ὡς ἂν ἔλεγχον ταῖς θεομάχοις τῶν ἀσεβῶν προαγάγοι τόλμαις. 29. καὶ νῦν οἱ μὲν οὐκ εἰσὶν, οἱ θεομισεῖς, ὅτι μηδὲ ἦσαν· εἰς βραχὺ δὲ ταράξαντες καὶ ταραχθέντες, εἶθ' ὑποσχόντες τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτοὺς καὶ φίλους καὶ οἴκους ἄρδην ἀναστάτους κατέστησαν, ὡς τὰς πάλαι στήλαις ἱεραῖς καταγραφείσας προρρήσεις ἔργοις πιστὰς ὁμολογεῖσθαι, δι' ὧν τά τε ἄλλα ὁ θεῖος ἐπαληθεύει λόγος, ἀτὰρ καὶ τάδε περὶ αὐτῶν ἀποφαινόμενος· 30. "ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ, ἐνέτειναν τόξον αὐτῶν, τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ· ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς καρδίαν αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη." καὶ πάλιν "ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου, καὶ τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ὅτι δὴ καὶ ἐν κακοῖς γενόμενοι ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν. ἀλλ' οἱ μὲν συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν." καὶ τό γε ἐν τούτοις προαναφωνοῦν "κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα

---

5 Psalm. 57 (58), 7. 8 Psalm. 8, 3. 18 Psalm. 36 (37), 14. 22 Psalm. 9, 7. 6. 25 Psalm. 17 (18), 42. 29 Psalm. 72 (73), 20.

αὐτῶν ἐξουδενώσεις" ἀληθὲς ὑπ' ὀφθαλμοῖς πάντων ἀναπέφανται. 31. ἀλλ' οἱ μὲν γιγάντων τρόπον θεομαχίαν ἐνστησάμενοι τοιαύτην εἰλήχασι τὴν τοῦ βίου καταστροφήν· τῆς δ' ἐρήμου καὶ παρ' ἀνθρώποις ἀπεγνωσμένης τοιαῦτα οἷα τὰ ὁρώμενα τῆς κατὰ θεὸν ὑπομονῆς τὰ τέλη, ὡς ἀναφωνεῖν αὐτῇ τὴν προφητείαν Ἡσαΐου ταῦτα 32. "εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα. ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα· παρακαλέσατε, ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε. ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· ὅτι, φησὶν, ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ, καὶ ἡ ἄνυδρος ἔσται εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται." 33. καὶ τάδε μὲν λόγοις πάλαι προθεσπισθέντα βίβλοις ἱεραῖς καταβέβλητο· τά γε μὴν ἔργα οὐκέτ' ἀκοαῖς, ἀλλ' ἔργοις ἡμῖν παραδέδοται. ἡ ἔρημος ἥδε, ἡ ἄνυδρος, ἡ χήρα καὶ ἀπερίστατος, ἧς ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς πύλας ἐπὶ τὸ αὐτὸ, ἐν πέλυκι καὶ λαξευτηρίῳ συντρίψαντες αὐτὴν, ἧς καὶ τὰς βίβλους διαφθείραντες, ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριον τοῦ θεοῦ, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματος αὐτοῦ, ἣν ἐτρύγησαν πάντες οἱ παραπορευόμενοι τὴν ὁδὸν, προκαθελόντες αὐτῆς τοὺς φραγμοὺς, ἣν ἐλυμήνατο ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο, Χριστοῦ δυνάμει παραδόξῳ νῦν, ὅτε θέλει αὐτὸς, γέγονεν ὡς κρίνον· ἐπεὶ καὶ τότε αὐτοῦ νεύματι, ὡσὰν προκηδομένου πατρὸς,

7 Ies. 35, 1 seqq. 20 Psalm. 73 (74), 5. 25 Psalm. 79 (80), 13.

ἐπαιδεύετο· ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. 34. μέτρῳ δῆτα κατὰ τὸ δέον ἐπιστραφεῖσα, αὖθις ἄνωθεν ἐξ ὑπαρχῆς ἀγαλλιᾶν προστάττεται, ἐξανθεῖ τε ὡς κρίνον, καὶ τῆς ἐνθέου εὐωδίας εἰς πάντας ἀποπνεῖ ἀνθρώπους· ὅτι, φησὶν, ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, τὸ νᾶμα τῆς θείας τοῦ σωτηρίου λουτροῦ παλιγγενεσίας· καὶ νῦν γέγονεν ἡ πρὸ μικροῦ ἔρημος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν ἔβρυσε πηγὴ ὕδατος ζῶντος· ἴσχυσάν τε ὡς ἀληθῶς χεῖρες αἱ τὸ πρὶν ἀνειμέναι, καὶ τῆς τῶν χειρῶν ἰσχύος ἔργα τάδε τὰ μεγάλα καὶ ἐναργῆ δείγματα· ἀλλὰ καὶ τὰ πάλαι σεσαθρωμένα καὶ παρειμένα γόνατα τὰς οἰκείας ἀπολαβόντα βάσεις, τὴν ὁδὸν τῆς θεογνωσίας εὐθυποροῦντα βαδίζει, ἐπὶ τὴν οἰκείαν ποίμνην τοῦ παναγάθου ποιμένος σπεύδοντα. 35. εἰ δὲ καὶ ταῖς τῶν τυράννων ἀπειλαῖς τὰς ψυχάς τινες ἀπενάρκησαν, οὐδὲ τούτους ὁ σωτήριος ἀθεραπεύτους παρορᾷ λόγος· εὖ μάλα δὲ καὶ αὐτοὺς ἰώμενος εἰς τὴν τοῦ θείου παράκλησιν παρορμᾷ λέγων· 36. "παρακαλέσατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε." τούτων δεῖν ἀπολαῦσαι τὴν διὰ θεὸν γενομένην ἔρημον, τοῦ λόγου προαγορεύοντος ἐπακούσας ὀξείᾳ διανοίας ἀκοῇ οὗτος ὁ νέος ἡμῶν καὶ καλὸς Ζοροβάβελ, μετὰ τὴν πικρὰν ἐκείνην αἰχμαλωσίαν καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως οὐ παριδὼν τὸ πτῶμα νεκρὸν, πρώτιστα πάντων παρακλήσεσι καὶ λιταῖς ἵλεων τὸν πατέρα μετὰ τῆς κοινῆς ὑμῶν ἁπάντων ὁμοφροσύνης καταστησάμενος, καὶ τὸν μόνον νεκρῶν ζωοποιὸν σύμμαχον παραλαβὼν καὶ συνεργὸν,

---

1 Hebr. 12, 6. 6 Ies. 35, 6.

τὴν πεσοῦσαν ἐξήγειρε, προαποκαθάρας καὶ προθεραπεύσας τῶν κακῶν· καὶ στολὴν οὐ τὴν ἐξ ἀρχαίου παλαιὰν αὐτῇ περιτέθεικεν, ἀλλ᾽ ὁποίαν αὖθις παρὰ τῶν θείων χρησμῶν ἐξεπαιδεύετο, σαφῶς ὧδε λεγόντων "καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη, ὑπὲρ τὴν προτέραν." 37. ταύτῃ δ᾽ οὖν πολὺ μείζονα τὸν χῶρον ἅπαντα περιλαβὼν, τὸν μὲν ἔξωθεν ὠχυροῦτο περίβολον τῷ τοῦ παντὸς περιτειχίσματι, ὡς ἂν ἀσφαλέστατον εἴη τοῦ παντὸς ἕρκος. 38. πρόπυλον δὲ μέγα καὶ εἰς ὕψος ἐπηρμένον πρὸς αὐτὰς ἀνίσχοντος ἡλίου ἀκτῖνας ἀναπετάσας, ἤδη καὶ τοῖς μακρὰν περιβόλων ἔξω ἱερῶν ἑστῶσι τῆς τῶν ἔνδον παρέσχεν ἀφθονίαν θέας, μονονουχὶ καὶ τῶν ἀλλοτρίων τῆς πίστεως ἐπὶ τὰς πρώτας εἰσόδους ἐπιστρέφων τὰς ὄψεις, ὡς ἂν μὴ παρατρέχοι τις, ὅτι μὴ τὴν ψυχὴν κατανυγεὶς πρότερον μνήμῃ τῆς τε πρὶν ἐρημίας, καὶ τῆς νῦν παραδόξου θαυματουργίας, ὑφ᾽ ἧς τάχα καὶ ἑλκυσθήσεσθαι κατανυγέντα, καὶ πρὸς αὐτῆς τῆς ὄψεως ἐπὶ τὴν εἴσοδον προτραπήσεσθαι ἤλπισεν. 39. εἴσω δὲ παρελθόντι πυλῶν, οὐκ εὐθὺς ἐφῆκεν ἀνάγνοις καὶ ἀνίπτοις ποσὶ τῶν ἔνδον ἐπιβαίνειν ἁγίων, διαλαβὼν δὲ πλεῖστον ὅσον τὸ μεταξὺ τοῦ τε νεὼ καὶ τῶν πρώτων εἰσόδων, τέτταρσι μὲν πέριξ ἐγκαρσίοις κατεκόσμησε στοαῖς, εἰς τετράγωνόν τι σχῆμα περιφράξας τὸν τόπον, κίοσι πανταχόθεν ἐπαιρομέναις, ὧν τὰ μέσα διαφράγμασι τοῖς ἀπὸ ξύλου δικτυωτοῖς ἐς τὸ σύμμετρον ἥκουσι μήκους περικλείσας, μέσον αἴθριον ἠφίει εἰς τὴν τοῦ οὐρανοῦ κάτοψιν, λαμπρὸν καὶ ταῖς τοῦ φωτὸς ἀκτῖσιν ἀνειμένον ἀέρα παρέχον. 40. ἱερῶν

5 Hagg. 2, 9.

δ' ἐνταῦθα καθαρσίων ἐτίθει σύμβολα, κρήνας ἄντικρυς εἰς πρόσωπον ἐπισκευάζων τοῦ νεὼ, πολλῷ τῷ χεύματι τοῦ νάματος τοῖς περιβόλων ἱερῶν ἐπὶ τὰ ἔσω προϊοῦσι τὴν ἀπόρρυψιν παρεχομένας. καὶ πρώτη μὲν εἰσιόντων αὕτη διατριβὴ, κόσμον ὁμοῦ καὶ ἀγλαΐαν τῷ παντὶ, τοῖς τε τῶν πρώτων εἰσαγωγῶν ἔτι δεομένοις κατάλληλον τὴν μονὴν παρεχομένη. 41. ἀλλὰ γὰρ καὶ τὴν τούτων θέαν παραμειψάμενος, πλείοσιν ἔτι μᾶλλον τοῖς ἐνδοτάτω προπύλοις τὰς ἐπὶ τὸν νεὼν παρόδους ἀναπεπταμένας ἐποίει, ὑπὸ μὲν ταῖς ἡλίου βολαῖς αὖθις τρεῖς πύλας ὑφ' ἓν καταθεὶς πλευρὸν, ὧν τὸ πολὺ τὰς παρ' ἑκάτερα μεγέθει τε καὶ πλάτει πλεονεκτεῖν τῇ μέσῃ χαρισάμενος, παραπήγμασί τε χαλκοῦ σιδηροδέτοις καὶ ποικίλμασιν ἀναγλύφοις διαφερόντως αὐτὴν φαιδρύνας, ὡσὰν βασιλίδι ταύτῃ τοὺς δορυφόρους ὑπέζευξε. 42. τὸν αὐτὸν δὲ τρόπον καὶ ταῖς παρ' ἑκάτερα τοῦ παντὸς νεὼ στοαῖς τὸν τῶν προπύλων ἀριθμὸν διατάξας, ἄνωθεν ἐπὶ ταύταις ἄλλῳ πλείονι φωτὶ διαφόρους τὰς ἐπὶ τὸν οἶκον εἰσβολὰς ἐπενόει, ταῖς ἀπὸ ξύλου λεπτουργίαις καὶ τὸν περὶ αὐτὰς κόσμον καταποικίλλων. τὸν δὲ βασίλειον οἶκον πλουσιωτέραις ἤδη καὶ δαψιλέσι ταῖς ὕλαις ὠχύρου, ἀφθόνῳ φιλοτιμίᾳ τῶν ἀναλωμάτων χρώμενος. 43. ἔνθα μοι δοκῶ περιττὸν εἶναι τοῦ δομήματος μήκη τε καὶ πλάτη καταγράφειν, τὰ φαιδρὰ ταῦτα κάλλη, καὶ τὰ λόγου κρείττονα μεγέθη, τήν τε τῶν ἔργων ἀποστίλβουσαν ὄψιν τῷ λόγῳ διεξιόντι, ὕψη τε τὰ οὐρανομήκη, καὶ τὰς τούτων ὑπερκειμένας πολυτελεῖς τοῦ Λιβάνου κέδρους, ὧν οὐδὲ τὸ θεῖον λόγιον τὴν μνήμην ἀπεσιώπησιν· "εὐφρανθήσεται" φάσκον "τὰ ξύλα τοῦ

31 Psalm. 103 (104), 16.

κυρίου, καὶ αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσε." 44. τί με δεῖ νῦν τῆς πανσόφου καὶ ἀρχιτεκτονικῆς διατάξεως καὶ τοῦ κάλλους τῆς ἐφ' ἑκάστου μέρους ὑπερβολῆς ἀκριβολογεῖσθαι τὴν ὑφήγησιν, ὅτε τῆς ὄψεως τὴν διὰ τῶν ὤτων ἀποκλείει μάθησιν ἡ μαρτυρία; ἀλλὰ γὰρ ὧδε καὶ τὸν νεὼν ἐπιτελέσας, θρόνοις τε τοῖς ἀνωτάτω εἰς τὴν τῶν προέδρων τιμήν, καὶ προσέτι βάθροις ἐν τάξει τοῖς καθ' ὅλου κατὰ τὸ πρέπον κοσμήσας, ἐφ' ἅπασί τε τὸ τῶν ἁγίων ἅγιον θυσιαστήριον ἐν μέσῳ θεὶς, αὖθις καὶ τάδε, ὡς ἂν εἴη τοῖς πολλοῖς ἄβατα, τοῖς ἀπὸ ξύλου περιέφραττε δικτύοις, εἰς ἄκρον ἐντέχνου λεπτουργίας ἐξησκημένοις, ὡς θαυμάσιον τοῖς ὁρῶσι παρέχειν τὴν θέαν. 45. ἀλλ' οὐδὲ τοὔδαφος ἄρα εἰς ἀμελὲς ἔκειτο αὐτῷ· καὶ τόδε γοῦν λίθῳ μαρμάρῳ εὖ μάλα κόσμῳ παντὶ λαμπρύνας, ἤδη λοιπὸν καὶ ἐπὶ τὰ ἐκτὸς τοῦ νεὼ μετήει, ἐξέδρας καὶ οἴκους τοὺς παρ' ἑκάτερα μεγίστους ἐπισκευάζων εὐτέχνως, ἐπὶ ταυτὸν εἰς πλευρὰ τῷ βασιλείῳ συνεξευγμένους καὶ ταῖς ἐπὶ τὸν μέσον οἶκον εἰσβολαῖς ἡνωμένους· ἃ καὶ αὐτὰ τοῖς ἔτι καθάρσεως καὶ περιρραντηρίων τῶν διὰ ὕδατος καὶ ἁγίου πνεύματος ἐγχρῄζουσιν ὁ εἰρηνικώτατος ἡμῶν Σολομῶν ὁ τὸν νεὼν τοῦ θεοῦ δειμάμενος ἀπειργάζετο, ὡς μηκέτι λόγον, ἀλλ' ἔργον γεγονέναι τὴν ἄνω λεχθεῖσαν προφητείαν. 46. γέγονε γὰρ καὶ νῦν, ὡς ἀληθῶς ἐστὶν ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν προτέραν. ἔδει γὰρ καὶ ἀκόλουθον ἦν, τοῦ ποιμένος αὐτῆς καὶ δεσπότου ἅπαξ τὸν ὑπὲρ αὐτῆς θάνατον καταδεξαμένου, καὶ μετὰ τὸ πάθος ὃ χάριν αὐτῆς ῥυποῦν ἐνεδύσατο σῶμα, ἐπὶ τὸ λαμπρὸν καὶ ἔνδοξον μεταβεβληκότος, αὐτήν τε σάρκα τὴν λυθεῖσαν ἐκ φθορᾶς εἰς ἀφθαρ-

σίαν ἀγαγόντος, καὶ τήνδε ὁμοίως τῶν τοῦ σωτῆρος οἰκονομιῶν ἐπαύρασθαι· ὅτι δὴ καὶ τούτων πολὺ κρείττονα λαβοῦσα παρ' αὐτοῦ τὴν ἐπαγγελίαν, τὴν πολὺ μείζονα δόξαν τῆς παλιγγενεσίας ἐν ἀφθάρτου σώματος ἀναστάσει μετὰ φωτὸς ἀγγέλων χορείας ἐν τοῖς οὐρανῶν ἐπέκεινα τοῦ θεοῦ βασιλείοις σὺν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ πανευεργέτῃ καὶ σωτῆρι διαρκῶς ἐπὶ τοὺς ἑξῆς αἰῶνας ἀπολαβεῖν ποθεῖ. 47. ἀλλὰ γὰρ τέως ἐπὶ τοῦ παρόντος τούτοις ἡ πάλαι χήρα καὶ ἔρημος θεοῦ χάριτι περιβληθεῖσα τοῖς ἄνθεσι γέγονεν ἀληθῶς ὡς κρίνον, ᾗ φησιν ἡ προφητεία, καὶ τὴν νυμφικὴν ἀναλαβοῦσα στολήν, τόν τε τῆς εὐπρεπείας περιθεμένη στέφανον, οἷα χορεύειν διὰ Ἡσαΐου παιδεύεται, τὰ χαριστήρια τῷ βασιλεῖ θεῷ φωναῖς εὐφήμοις γεραίρουσα, αὐτῆς λεγούσης ἐπακούσωμεν 48. "ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης· περιέθηκέ μοι ὡς νυμφίῳ μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς· καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἀνατελεῖ, οὕτως κύριος κύριος ἀνέτειλε δικαιοσύνην καὶ ἀγαλλίαμα ἐνώπιον πάντων τῶν ἐθνῶν." 49. τούτοις μὲν οὖν αὕτη χορεύει· οἵοις δὲ καὶ ὁ νυμφίος λόγος ὁ οὐράνιος, αὐτὸς Ἰησοῦς Χριστὸς αὐτὴν ἀμείβεται, ἄκουε λέγοντος κυρίου "μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς ὅτι ὠνειδίσθης· ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ. οὐχ ὡς γυναῖκα ἐγκαταλελειμμένην καὶ ὀλιγόψυχον κέκληκέ σε κύριος, οὐδ' ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην,

---

16 Ies. 61, 10. 26 Ies. 54, 4.

εἶπεν ὁ θεός σου. χρόνον μικρὸν ἐγκατέλιπόν σε, καὶ ἐν ἐλέῳ μεγάλῳ ἐλεήσω σε· ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ, καὶ ἐν ἐλέῳ αἰωνίῳ ἐλεήσω σε, εἶπεν ὁ ῥυσάμενός σε κύριος. 50. ἐξεγείρου, ἐξεγείρου ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ· ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου, ἐξέπιες καὶ ἐξεκένωσας. καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου ὧν ἔτεκες, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου. ἰδοὺ εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου. καὶ οὐ προσθήσεις ἔτι πιεῖν αὐτό· καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε καὶ τῶν ταπεινωσάντων σε. 51. ἐξεγείρου, ἐξεγείρου, ἔνδυσαι τὴν ἰσχύν, ἔνδυσαι τὴν δόξαν σου. ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι. κάθισον, ἔκλυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε συνηγμένα τὰ τέκνα σου· ἰδοὺ συνήχθησαν καὶ ἦλθον πρός σε· ζῶ ἐγώ, λέγει κύριος, ὅτι πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ καὶ περιθήσῃ αὐτοὺς ὡς κόσμον νύμφης, ὅτι τὰ ἔρημά σου καὶ τὰ διεφθαρμένα καὶ τὰ καταπεπτωκότα νῦν στενοχωρήσει ἀπὸ τῶν κατοικούντων σε· καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνοντές σε. 52. ἐροῦσι γὰρ εἰς τὰ ὦτά σου οἱ υἱοί σου οὓς ἀπολώλεκας, στενός μοι ὁ τόπος, ποίησόν μοι τόπον ἵνα κατοικήσω. καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου, τίς ἐγέννησέ μοι τούτους; ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, τούτους δὲ τίς ἐξέθρεψέ μοι; ἐγὼ δὲ κατελείφθην μόνη, οὗτοι δέ μοι ποῦ ἦσαν;" 53. ταῦτα Ἡσαΐας προεθέσπισε, ταῦτα πρόπαλαι περὶ ἡμῶν ἐν

---

4 Ies. 51, 17. 14 Ies. 52, 1. 17 Ies. 49, 18.

ἱεραῖς βίβλοις καταβέβλητο, ἐχρῆν δέ που τούτων τὴν ἀψεύδειαν ἤδη ποτὲ ἔργοις παραλαβεῖν. 54. ἀλλὰ γὰρ τοιαῦτα τοῦ νυμφίου λόγου πρὸς τὴν ἑαυτοῦ νύμφην τὴν ἱερὰν καὶ ἁγίαν ἐκκλησίαν ἐπιφωνοῦντος, εἰκότως ὁ νυμφοστόλος ὅδε αὐτὴν τὴν ἔρημον, τὴν πτῶμα κειμένην, τὴν παρὰ ἀνθρώποις ἀνέλπιδα, ταῖς κοιναῖς ἁπάντων ὑμῶν εὐχαῖς, χεῖρας τὰς ὑμῶν αὐτῶν ὀρέξας, ἐξήγειρε καὶ ἐξανέστησε, θεοῦ τοῦ παμβασιλέως νεύματι καὶ τῆς Ἰησοῦ Χριστοῦ δυνάμεως ἐπιφανείᾳ, τοιαύτην τε ἀναστήσας κατεστήσατο, οἵαν ἐκ τῆς τῶν ἱερῶν χρησμῶν καταγραφῆς ἐδιδάσκετο. 55. θαῦμα μὲν οὖν μέγιστον τοῦτο καὶ πέρα πάσης ἐκπλήξεως, μάλιστα τοῖς ἐπὶ μόνῃ τῇ τῶν ἔξωθεν φαντασίᾳ τὸν νοῦν προσανέχουσι. θαυμάτων δὲ θαυμασιώτερα τά τε ἀρχέτυπα, καὶ τούτων τὰ πρωτότυπα νοητὰ καὶ θεοπρεπῆ παραδείγματα, τῆς ἐνθέου φημὶ παὶ λογικῆς ἐν ψυχαῖς οἰκοδομῆς ἀνανεώματα· 56. ἣν αὐτὸς ὁ θεόπαις κατ᾽ εἰκόνα τὴν αὐτὸς αὐτοῦ δημιουργήσας, πάντῃ τε καὶ κατὰ πάντα τὸ θεοείκελον δεδωρημένος, ἄφθαρτον φύσιν, ἀσώματον, λογικὴν, πάσης γεώδους ὕλης ἀλλοτρίαν, αὐτονοερὰν οὐσίαν, ἅπαξ τὸ πρῶτον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι συστησάμενος, νύμφην ἁγίαν καὶ νεὼν πανίερον ἑαυτῷ τε καὶ τῷ πατρὶ κατειργάσατο. ὃ καὶ σαφῶς αὐτὸς ὁμολογῶν ἐκφαίνει, λέγων "ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός." καὶ τοιαύτη μὲν ἡ τελεία καὶ κεκαθαρμένη ψυχὴ, ἀρχῆθεν οὕτω γεγενημένη, οἵα τὸν οὐράνιον λόγον ἀγαλματοφορεῖν. 57. ἀλλὰ γὰρ φθόνῳ καὶ ζήλῳ τοῦ φιλοπονήρου δαί-

25 Levit. 26, 12.

μονος φιλοπαθὴς καὶ φιλοπόνηρος ἐξ αὐτεξουσίου αἱρέσεως γενομένη, ὑπαναχωρήσαντος αὐτῆς τοῦ θείου ὡσὰν ἔρημος προστάτου, εὐάλωτος καὶ εἰς ἐπιβουλὴν εὐχερὴς τοῖς ἐκ μακροῦ διαφθονουμένοις ἀπελήλεγκται, ταῖς τε τῶν ἀοράτων ἐχθρῶν καὶ νοητῶν πολεμίων ἑλεπόλεσι καὶ μηχαναῖς καταβληθεῖσα, πτῶμα ἐξαίσιον καταπέπτωκεν, εἰς ὅσον οὐδ' ἐπὶ λίθῳ λίθον τῆς ἀρετῆς ἑστῶτα ἐν αὐτῇ διαμεῖναι, ὅλην δὲ διόλου χαμαὶ κεῖσθαι νεκρὰν, τῶν περὶ θεοῦ φυσικῶν ἐννοιῶν πάμπαν ἀπεστερημένην. 58. πεπτωκυῖαν δὴ ταύτην ἐκείνην τὴν κατ' εἰκόνα θεοῦ κατασκευασθεῖσαν ἐλυμήνατο οὐχ οὗς οὗτος ὁ ἐκ δρυμοῦ τοῦ παρ' ἡμῖν ὁρατοῦ, ἀλλά τις φθοροποιὸς δαίμων, καὶ θῆρες ἄγριοι νοητοὶ, οἳ καὶ τοῖς πάθεσιν οἷα πεπυρακτωμένοις τῆς σφῶν κακίας βέλεσιν αὐτὴν ἐξυφάψαντες, ἐνεπύρισαν ἐν πυρὶ τὸ θεῖον ὄντως ἁγιαστήριον τοῦ θεοῦ, εἰς τὴν γῆν τε ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματος αὐτοῦ· εἶτα πολλῷ τῷ προσχώματι τὴν ἀθλίαν κατορύξαντες, εἰς ἀνέλπιστον πάσης περιέτρεψαν σωτηρίας. 59. ἀλλ' ὅ γε κηδεμὼν αὐτῆς λόγος, ὁ θεοφεγγὴς καὶ σωτήριος, τὴν κατ' ἀξίαν δίκην τῶν ἁμαρτημάτων ὑποσχοῦσαν αὖθις ἐξ ὑπαρχῆς ἀνελάμβανε, πατρὸς παναγάθου φιλανθρωπίᾳ πειθόμενος. 60. αὐτὰς δὴ οὖν πρώτας τὰς τῶν ἀνωτάτω βασιλευόντων ψυχὰς προελόμενος, τῶν μὲν δυσσεβῶν καὶ ὀλεθρίων πάντων, αὐτῶν τε τῶν δεινῶν καὶ θεομισῶν τυράννων τὴν οἰκουμένην ἅπασαν δι' αὐτῶν τῶν θεοφιλεστάτων ἐκαθήρατο· εἶτα δὲ τοὺς αὐτῷ γνωρίμους ἄνδρας, τοὺς πάλαι διὰ βίου ἱερωμένους αὐτῷ, κρύβδην γε μὴν ὡς ἐν κακῶν χειμῶνι πρὸς τῆς αὐτοῦ σκέπης καλυπτομένους, εἰς φανερὸν ἀγαγὼν, καὶ ταῖς τοῦ πνεύματος

μεγαλοδωρεαῖς ἐπαξίως τιμήσας, αὖθις καὶ διὰ τούτων τὰς μικρῷ πρόσθεν ἐρρυπωμένας ψυχὰς, ὕλης τε παντοίας καὶ χώματος ἀσεβῶν ἐπιταγμάτων συμπεφορημένας, ὄρυξι καὶ δικέλλαις ταῖς πληκτικαῖς τῶν μαθημάτων διδασκαλίαις ἐξεκάθηρέ τε καὶ ἀπέσμηξε· 61. λαμπρόν τε καὶ διαυγῆ τῆς πάντων ὑμῶν διανοίας τὸν χῶρον ἀπειργασμένος, ἐνταῦθα λοιπὸν τῷ πανσόφῳ καὶ θεοφιλεῖ τῷδε παραδέδωκεν ἡγεμόνι, ὃς τά τε ἄλλα κριτικὸς καὶ ἐπιλογιστικὸς τυγχάνων, τὴν τῶν αὐτῷ κεκληρωμένων ψυχῶν εὖ διαγινώσκων καὶ φυλοκρινῶν διάνοιαν, ἐκ πρώτης ὡς εἰπεῖν ἡμέρας οἰκοδομῶν οὔπω καὶ εἰς δεῦρο πέπαυται, τοτὲ μὲν διαυγῆ τὸν χρυσὸν, τοτὲ δὲ δόκιμον καὶ καθαρὸν τὸ ἀργύριον καὶ τοὺς τιμίους καὶ πολυτελεῖς λίθους ἐν πᾶσιν ὑμῖν ἁρμόττων, ὡς ἱερὰν αὖθις καὶ μυστικὴν ἔργοις τοῖς εἰς ὑμᾶς ἀποπληροῦν προφητείαν, δι' ἧς εἴρηται 62. "ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου, καὶ τὰ θεμέλιά σου σάπφειρον, καὶ τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτοὺς, καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέκνα σου· καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ." 63. δικαιοσύνῃ δῆτα οἰκοδομῶν κατ' ἀξίαν τοῦ παντὸς λαοῦ διῄρει τὰς δυνάμεις, οἷς μὲν τὸν ἔξωθεν αὐτὸ μόνον περιφράττων περίβολον, τὴν ἀπλανῆ πίστιν περιτειχίσας, (πολὺς δὲ ὁ τοιοῦτος καὶ μέγας λεὼς, οὐδὲν κρεῖττον φέρειν οἰκοδόμημα διαρκῶν), οἷς δὲ τὰς ἐπὶ τὸν οἶκον ἐπιτρέπων εἰσόδους, θυραυλεῖν καὶ ποδηγεῖν τοὺς εἰσιόντας κατατάττων, οὐκ ἀπεικότως τοῦ νεὼ

---

17 Ies. 54, 11.

πρόπυλα νενομισμένους, ἄλλους δὲ πρώτοις τοῖς ἔξωθεν ἀμφὶ τὴν αὐλὴν ἐκ τετραγώνου κίοσιν ὑπεστήριζε, ταῖς πρώταις τῶν τεττάρων εὐαγγελίων τοῦ γράμματος προβολαῖς ἐμβιβάζων, τοὺς δ' ἤδη ἀμφὶ τὸν βασίλειον οἶκον ἑκατέρωθεν παραζεύγνυσιν, ἔτι μὲν κατηχουμένους καὶ ἐν αὔξῃ καὶ προκοπῇ καθεστῶτας, οὐ μὴν πόρρω που καὶ μακρὰν τῆς τῶν ἐνδοτάτω θεοπτίας τῶν πιστῶν διεζευγμένους· 64. *ἐκ δὴ τούτων τὰς ἀκηράτους ψυχὰς θείῳ λουτρῷ χρυσοῦ δίκην ἀποσμηχθείσας παραλαβών, κἀνταῦθα τοὺς μὲν κίοσι τῶν ἐξωτάτω πολὺ κρείττοσιν ἐκ τῶν ἐνδοτάτω μυστικῶν τῆς γραφῆς δογμάτων ὑποστηρίζει, τοὺς δὲ τοῖς πρὸς τὸ φῶς ἀνοίγμασι καταυγάζει.* 65. *προπύλῳ μὲν ἑνὶ μεγίστῳ τῆς τοῦ παμβασιλέως ἑνὸς καὶ μόνου θεοῦ δοξολογίας τὸν πάντα νεὼν κατακοσμῶν, Χριστοῦ δὲ καὶ τοῦ ἁγίου πνεύματος παρ' ἑκάτερα τῆς τοῦ πατρὸς αὐθεντίας τὰς δευτέρας αὐγὰς τοῦ φωτὸς παρασχόμενος, τῶν τε λοιπῶν διὰ τοῦ παντὸς οἴκου ἄφθονον καὶ πολὺ διάφορον τῆς καθ' ἕκαστον ἀληθείας τὸ σαφὲς καὶ φωτεινὸν ἐνδεικνύμενος, πάντῃ δὲ καὶ πανταχόθεν τοὺς ζῶντας καὶ βεβηκότας καὶ εὐπαγεῖς τῶν ψυχῶν λίθους ἐγκρίνας, τὸν μέγαν καὶ βασιλικὸν ἐξ ἁπάντων οἶκον ἐπισκευάζεται, λαμπρὸν καὶ φωτὸς ἔμπλεω τά τε ἔνδοθεν καὶ τὰ ἐκτός, ὅτι μὴ ψυχὴ μόνον καὶ διάνοια, καὶ τὸ σῶμα δὲ αὐτοῖς ἁγνείας καὶ σωφροσύνης πολυανθεῖ κόσμῳ κατηγλάϊστο.* 66. *ἔνεισι δ' ἐν τῷδε τῷ ἱερῷ καὶ θρόνοι βάθρα τε μυρία καὶ καθιστήρια, ἐν ὅσαις ψυχαῖς τὰ τοῦ θείου πνεύματος ἐφιζάνει δωρήματα, οἷα καὶ πάλαι ὤφθη τοῖς ἀμφὶ τοὺς ἱεροὺς ἀποστόλους, οἷς ἐφάνησαν διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισάν τε ἐφ' ἕνα*

ἕκαστον αὐτῶν. 67. ἀλλ' ἐν μὲν τῷ πάντων ἄρχοντι ἴσως αὐτὸς ὅλος ἐγκάθηται Χριστὸς, ἐν δὲ τοῖς μετ' αὐτὸν δευτερεύουσιν ἀναλόγως, καθ' ὅσον ἕκαστος χωρεῖ Χριστοῦ δυνάμεως καὶ πνεύματος ἁγίου μερισμούς. βάθρα δ' ἂν εἶεν καὶ ἀγγέλων καὶ αἵ τινων ψυχαὶ, τῶν εἰς παιδαγωγίαν καὶ φρουρὰν ἑκάστῳ παραδεδομένων. 68. σεμνὸν δὲ καὶ μέγα καὶ μονογενὲς θυσιαστήριον ποῖον ἂν εἴη ἢ τῆς τοῦ κοινοῦ πάντων ἱερέως τῆς ψυχῆς τὸ εἰλικρινὲς καὶ ἁγίων ἅγιον; ᾧ παρεστὼς ἐπὶ δεξιᾷ ὁ μέγας τῶν ὅλων ἀρχιερεὺς αὐτὸς Ἰησοῦς, ὁ μονογενὴς τοῦ θεοῦ, τὸ παρὰ πάντων εὐῶδες θυμίαμα καὶ τὰς δι' εὐχῶν ἀναίμους καὶ ἀΰλους θυσίας φαιδρῷ τῷ βλέμματι καὶ ὑπτίαις ὑποδεχόμενος χερσὶ, τῷ κατ' οὐρανὸν πατρὶ καὶ θεῷ τῶν ὅλων παραπέμπεται, πρῶτος αὐτὸς προσκυνῶν, καὶ μόνος τῷ πατρὶ τὸ κατ' ἀξίαν ἀπονέμων σέβας, εἶτα δὲ καὶ πᾶσιν ἡμῖν εὐμενῆ διαμένειν καὶ δεξιὸν εἰς ἀεὶ παραιτούμενος. 69. τοιοῦτος ὁ μέγας νεὼς, ὃν καθ' ὅλης τῆς ὑφ' ἥλιον οἰκουμένης ὁ μέγας τῶν ὅλων δημιουργὸς λόγος συνεστήσατο, τῶν ἐπέκεινα οὐρανίων ἁψίδων πάλιν καὶ αὐτὸς νοερὰν ταύτην ἐπὶ γῆς εἰκόνα κατεργασάμενος, ὡς ἂν διὰ πάσης τῆς κτίσεως τῶν τε ἐπὶ γῆς λογικῶν ζῴων ὁ πατὴρ αὐτῷ τιμῷτό τε καὶ σέβοιτο. 70. τὸν δ' ὑπερουράνιον χῶρον καὶ τὰ ἐκεῖσε τῶν τῇδε παραδείγματα, τήν τε ἄνω λεγομένην Ἱερουσαλὴμ καὶ τὸ Σιὼν ὄρος τὸ ἐπουράνιον, καὶ τὴν ὑπερκόσμιον πόλιν τοῦ ζῶντος θεοῦ, ἐν ᾗ μυριάδες ἀγγέλων πανηγύρεις καὶ ἐκκλησία πρωτοτόκωνπο- ἀ γεγραμμένων ἐν οὐρανοῖς ταῖς ἀρρήτοις καὶ ἀνεπιλογίστοις ἡμῖν θεολογίαις τὸν σφῶν ποιητὴν καὶ πανηγεμόνα τῶν ὅλων γεραίρουσιν, οὔτις θνητὸς

οἷός τε κατ' ἀξίαν ὑμνῆσαι, ὅτι δὴ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, αὐτὰ δὴ ταῦτα ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. 71. ὧν ἤδη ἐν μέρει καταξιωθέντες ἄνδρες ἅμα παισὶ καὶ γυναιξὶ, μικροὶ καὶ μεγάλοι, πάντες ἀθρόως ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ μὴ διαλίπωμεν ἐξομολογούμενοι, καὶ τὸν τῶν τοσούτων ἡμῖν ἀγαθῶν παραίτιον ἀνευφημοῦντες, "τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις ἡμῶν, τὸν ἰώμενον πάσας τὰς νόσους ἡμῶν, τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, τὸν στεφανοῦντα ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, τὸν ἐμπιμπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν ἡμῶν, ὅτι οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν, ὅτι καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν· καθὼς οἰκτείρει πατὴρ υἱοὺς αὐτοῦ, ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν." 72. ταῦτα καὶ νῦν καὶ εἰς τοὺς ἑξῆς ἅπαντας χρόνους ταῖς μνήμαις ἀναζωπυροῦντες, ἀτὰρ καὶ τῆς παρούσης πανηγύρεως καὶ τῆς φαιδρᾶς ταύτης καὶ λαμπροτάτης ἡμέρας τὸν αἴτιον καὶ πανηγυριάρχην νύκτωρ καὶ μεθ' ἡμέραν διὰ πάσης ὥρας καὶ δι' ὅλης, ὡς εἰπεῖν, ἀναπνοῆς ἐν νῷ προορώμενοι, στέργοντες καὶ σέβοντες ψυχῆς ὅλῃ δυνάμει, καὶ νῦν ἀναστάντες, μεγάλῃ διαθέσεως φωνῇ καθικετεύσωμεν, ὡς ἂν ὑπὸ τὴν αὐτοῦ μάνδραν εἰς τέλος ἡμᾶς σκεπάζων διασῴζοιτο, τὴν παρ' αὐτοῦ βραβεύων ἀρραγῆ καὶ ἄσειστον αἰωνίαν εἰρήνην, ἐν Χριστῷ Ἰησοῦ τῷ σωτῆρι ἡμῶν, δι' οὗ αὐτῷ ἡ δόξα εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1 1 Cor. 2, 9. 8 Psalm. 102 (103), 3.

V. [Nic. H. E. VII, 41.] *Φέρε δὴ λοιπὸν καὶ τῶν βασιλικῶν διατάξεων Κωνσταντίνου καὶ Λικιννίου τὰς ἐκ τῆς Ῥωμαίων φωνῆς μεταληφθείσας ἑρμηνείας παραθώμεθα.*

Ἀντίγραφον βασιλικῶν διατάξεων ἐκ Ῥωμαϊκῆς γλώσσης μεταληφθεισῶν.

2. *"Ἤδη μὲν πάλαι σκοποῦντες τὴν ἐλευθερίαν τῆς θρησκείας οὐκ ἀρνητέαν εἶναι, ἀλλ' ἑνὸς ἑκάστου τῇ διανοίᾳ καὶ βουλήσει ἐξουσίαν δοτέον τοῦ τὰ θεῖα πράγματα τημελεῖν κατὰ τὴν αὐτοῦ προαίρεσιν, ἕκαστον κεκελεύκειμεν, τοῖς τε Χριστιανοῖς, τῆς αἱρέσεως καὶ τῆς θρησκείας τῆς ἑαυτῶν τὴν πίστιν φυλάττειν.* 3. *ἀλλ' ἐπειδὴ πολλαὶ καὶ διάφοροι αἱρέσεις ἐν ἐκείνῃ τῇ ἀντιγραφῇ, ἐν ᾗ τοῖς αὐτοῖς συνεχωρήθη ἡ τοιαύτη ἐξουσία, ἐδόκουν προστεθεῖσθαι σαφῶς, τυχὸν ἴσως τινὲς αὐτῶν μετ' ὀλίγον ἀπὸ τῆς τοιαύτης παραφυλάξεως ἀνεκρούοντο. ὁπότε εὐτυχῶς ἐγὼ Κωνσταντῖνος ὁ Αὔγουστος κἀγὼ Λικίννιος ὁ Αὔγουστος ἐν τῇ Μεδιολάνῳ ἐληλύθειμεν, καὶ πάντα ὅσα πρὸς τὸ λυσιτελὲς καὶ τὸ χρήσιμον τῷ κοινῷ διέφερεν, ἐν ζητήσει ἔσχομεν, ταῦτα μεταξὺ τῶν λοιπῶν, ἅτινα ἐδόκει ἐν πολλοῖς ἅπασιν ἐπωφελῆ εἶναι, μᾶλλον δὲ ἐν πρώτοις διατάξαι ἐδογματίσαμεν, οἷς ἡ πρὸς τὸ θεῖον αἰδώς τε καὶ τὸ σέβας ἐνείχετο, τοῦτ' ἔστιν, ὅπως δῶμεν καὶ τοῖς Χριστιανοῖς καὶ πᾶσιν ἐλευθέραν αἵρεσιν τοῦ ἀκολουθεῖν τῇ θρησκείᾳ, ᾗ δ' ἂν βουληθῶσιν· ὅπως, ὅ τί ποτέ ἐστι θειότης καὶ οὐρανίου πράγματος, ἡμῖν καὶ πᾶσι τοῖς ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν διάγουσιν εὐμενὲς εἶναι δυνηθῇ.* 5. *τοίνυν ταύτην τὴν βούλησιν τὴν ἡμετέραν ὑγιεινῷ καὶ ὀρθοτάτῳ λογισμῷ ἐδογματίσαμεν, ὅπως*

μηδενὶ παντελῶς ἐξουσία ἀρνητέα ᾖ τοῦ ἀκολουθεῖν καὶ αἱρεῖσθαι τὴν τῶν Χριστιανῶν παραφύλαξιν ἢ θρησκείαν, ἑκάστῳ τε ἐξουσία δοθείη τοῦ διδόναι ἑαυτοῦ τὴν διάνοιαν ἐν ἐκείνῃ τῇ θρησκείᾳ, ἣν αὐτὸς ἑαυτῷ ἁρμόζειν νομίζῃ, ὅπως ἡμῖν δυνηθῇ τὸ θεῖον ἐν πᾶσι τὴν ἔθιμον σπουδὴν καὶ καλοκἀγαθίαν παρέχειν. 6. ἅτινα οὕτως ἀρέσκειν ἡμῖν ἀντιγράψαι ἀκόλουθον ἦν, ἵν' ἀφαιρεθεισῶν παντελῶς τῶν αἱρέσεων, αἵτινες τοῖς προτέροις ἡμῶν γράμμασι τοῖς πρὸς τὴν σὴν καθοσίωσιν ἀποσταλεῖσι περὶ τῶν Χριστιανῶν ἐνείχοντο, καὶ ἅτινα πάνυ σκαιὰ καὶ τῆς ἡμετέρας πραότητος ἀλλότρια εἶναι ἐδόκει, ταῦτα ὑφαιρεθῇ, καὶ νῦν ἐλευθέρως τε καὶ ἁπλανῶς ἕκαστος τῶν τὴν αὐτὴν προαίρεσιν ἐσχηκότων τοῦ φυλάττειν τὴν τῶν Χριστιανῶν θρησκείαν ἄνευ τινὸς ὀχλήσεως τοῦτο αὐτὸ παραφυλάττοι. 7. ἅτινα τῇ σῇ ἐπιμελείᾳ πληρέστατα δηλῶσαι ἐδογματίσαμεν, ὅπως εἰδείης ἡμᾶς ἐλευθέραν καὶ ἀπολελυμένην ἐξουσίαν τοῦ τημελεῖν τὴν ἑαυτῶν θρησκείαν τοῖς αὐτοῖς Χριστιανοῖς, δεδωκέναι. 8. ὅπερ ἐπειδὴ ἀπολελυμένως αὐτοῖς ὑφ' ἡμῶν δεδωρῆσθαι, θεωρεῖ ἡ σὴ καθοσίωσις, καὶ ἑτέροις δεδόσθαι ἐξουσίαν τοῖς βουλομένοις τοῦ μετέρχεσθαι τὴν παρατήρησιν καὶ θρησκείαν ἑαυτῶν· ὅπερ ἀκολούθως τῇ ἡσυχίᾳ τῶν ἡμετέρων καιρῶν γίνεσθαι φανερόν ἐστιν, ὅπως ἐξουσίαν ἕκαστος ἔχῃ τοῦ αἱρεῖσθαι καὶ τημελεῖν ὁποῖον δ' ἂν βούληται θεῖον. τοῦτο δὲ ὑφ' ἡμῶν γέγονεν, ὅπως μηδεμιᾷ τιμῇ μηδὲ θρησκείᾳ τινὶ μεμειῶσθαί τι ὑφ' ἡμῶν δοκοίη. 9. καὶ τοῦτο δὲ πρὸς τοῖς λοιποῖς εἰς τὸ πρόσωπον τῶν Χριστιανῶν δογματίζομεν, ἵνα τοὺς τόπους αὐτῶν, εἰς οὓς τὸ πρότερον συνέρχεσθαι ἔθος ἦν αὐτοῖς, περὶ ὧν καὶ τοῖς πρότερον δοθεῖσι πρὸς τὴν σὴν

καθοσίωσιν γράμμασι τύπος ἕτερος ἦν ὡρισμένος τῷ προτέρῳ χρόνῳ, ἵν', εἴ τινες ἢ παρὰ τοῦ ταμείου τοῦ ἡμετέρου, ἢ παρά τινος ἑτέρου φαίνοιντο ἠγορακότες τούτους, τοῖς αὐτοῖς Χριστιανοῖς ἄνευ ἀργυρίου καὶ ἄνευ τινὸς ἀπαιτήσεως τῆς τιμῆς ὑπερτεθείσης, δίχα πάσης ἀμελείας καὶ ἀμφιβολίας, ἀποκαταστήσωσι· καὶ εἴ τινες κατὰ δῶρον τυγχάνουσιν εἰληφότες τοὺς αὐτοὺς τόπους, ὅπως τοῖς αὐτοῖς Χριστιανοῖς τὴν ταχίστην ἀποκαταστήσωσιν· 10. οὕτως εἰ ἢ οἱ ἠγορακότες τοὺς αὐτοὺς τόπους, ἢ οἱ κατὰ δωρεὰν εἰληφότες αἰτῶσί τι παρὰ τῆς ἡμετέρας καλοκἀγαθίας, προσέλθωσι τῷ ἐπὶ τόπων ἐπάρχῳ δικάζοντι, ὅπως καὶ αὐτῶν διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται. ἅτινα πάντα τῷ σώματι τῷ τῶν Χριστιανῶν παρ' αὐτὰ διὰ τῆς σῆς σπουδῆς ἄνευ τινὸς παρολκῆς παραδίδοσθαι δεήσει. 11. καὶ ἐπειδὴ οἱ αὐτοὶ Χριστιανοὶ οὐ μόνον ἐκείνους, εἰς οὓς συνέρχεσθαι ἔθος εἶχον, ἀλλὰ καὶ ἑτέρους τόπους ἐσχηκέναι γινώσκονται, διαφέροντας οὐ πρὸς ἕκαστον αὐτῶν, ἀλλὰ πρὸς τὸ δίκαιον τοῦ αὐτῶν σώματος, τοῦτ' ἔστι τῶν Χριστιανῶν, ταῦτα πάντα ἐπὶ τῷ νόμῳ, ὃν προειρήκαμεν, δίχα παντελοῦς τινος ἀμφισβητήσεως τοῖς αὐτοῖς Χριστιανοῖς, τοῦτ' ἔστι τῷ σώματι αὐτῶν καὶ τῇ συνόδῳ, ἑκάστῳ αὐτῶν ἀποκατασταῆναι κελεύσεις, τοῦ προειρημένου λογισμοῦ δηλαδὴ φυλαχθέντος, ὅπως αὐτοὶ οἵτινες τοὺς αὐτοὺς ἄνευ τιμῆς, καθὼς προειρήκαμεν, ἀποκαθιστῶσι, τὸ ἀζήμιον τὸ ἑαυτῶν παρὰ τῆς ἡμετέρας καλοκἀγαθίας ἐλπίζοιεν. 12. ἐν οἷς πᾶσι τῷ προειρημένῳ σώματι τῶν Χριστιανῶν τὴν σπουδὴν δυνατώτατα παρασχεῖν ὀφείλεις, ὅπως τὸ ἡμέτερον κέλευσμα τὴν ταχίστην παραπληρωθῇ, ὅπως καὶ ἐν τούτῳ διὰ τῆς

ἡμετέρας χρηστότητος πρόνοια γένηται τῆς κοινῆς καὶ δημοσίας ἡσυχίας. 13. τούτῳ γὰρ τῷ λογισμῷ, καθὼς καὶ προείρηται, ἡ θεία σπουδὴ περὶ ἡμᾶς, ἧς ἐν πολλοῖς ἤδη πράγμασιν ἀπεπειράθημεν, διὰ παντὸς τοῦ χρόνου βεβαίως διαμενεῖ. 14. ἵνα δὲ ταύτης τῆς ἡμετέρας νομοθεσίας καὶ τῆς καλοκἀγαθίας ὅρος πρὸς γνῶσιν πάντων ἐνεχθῆναι δυνηθῇ, ταῦτα τὰ ὑφ᾽ ἡμῶν γραφέντα πανταχοῦ προθεῖναι καὶ εἰς γνῶσιν πάντων ἀγαγεῖν ἀκόλουθόν ἐστιν, ὅπως ταύτης τῆς ἡμετέρας καλοκἀγαθίας ἡ νομοθεσία μηδένα λαθεῖν δυνηθῇ."

15. Ἀντίγραφον ἑτέρας βασιλικῆς διατάξεως, ἣν αὖθις πεποίηνται, μόνῃ τῇ καθολικῇ ἐκκλησίᾳ τὴν δωρεὰν δεδόσθαι ὑποσημηνάμενοι.

"Χαῖρε Ἀνυλῖνε, τιμιώτατε ἡμῖν. ἔστιν ὁ τρόπος οὗτος τῆς φιλαγαθίας τῆς ἡμετέρας, ὥστε ἐκεῖνα ἅπερ δικαίῳ ἀλλοτρίῳ προσήκει, μὴ μόνον μὴ ἐνοχλεῖσθαι, ἀλλὰ καὶ ἀποκαθιστᾶν βούλεσθαι ἡμᾶς, Ἀνυλῖνε τιμιώτατε. 16. ὅθεν βουλόμεθα ἵν᾽, ὁπόταν ταῦτα τὰ γράμματα κομίσῃ, εἴ τινα ἐκ τούτων τῶν τῇ ἐκκλησίᾳ τῇ καθολικῇ τῶν Χριστιανῶν ἐν ἑκάσταις πόλεσιν ἢ καὶ ἄλλοις τόποις διέφερον, καὶ κατέχοιντο νῦν ἢ ὑπὸ πολιτῶν ἢ ὑπό τινων ἄλλων, ταῦτα ἀποκατασταθῆναι παραχρῆμα ταῖς αὐτῶν ἐκκλησίαις ποιήσῃς, ἐπειδήπερ προῃρήμεθα, ταῦτα ἅπερ αἱ αὐταὶ ἐκκλησίαι πρότερον ἐσχήκεσαν, τῷ δικαίῳ αὐτῶν ἀποκατασταθῆναι. 17. ὁπότε τοίνυν συνορᾷ ἡ καθοσίωσις ἡ σή, ταύτης ἡμῶν τῆς κελεύσεως σαφέστατον εἶναι τὸ πρόσταγμα, σπούδασον, εἴτε κῆποι, εἴτε οἰκίαι, εἴθ᾽ ὁτιουνδήποτε τῷ δικαίῳ τῶν αὐτῶν ἐκκλησιῶν διέφερον, σύμπαντα αὐταῖς

ἀποκατασταθῆναι ὡς τάχιστα, ὅπως τούτῳ ἡμῶν τῷ προστάγματι ἐπιμελεστάτην σε πειθάρχησιν παρεσχηκέναι καταμάθοιμεν. ἔρρωσο, Ἀνυλῖνε, τιμιώτατε καὶ ποθεινότατε ἡμῖν."

18. Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς δι' ἧς σύνοδον ἐπισκόπων ἐπὶ Ῥώμης κελεύει γενέσθαι ὑπὲρ τῆς τῶν ἐκκλησιῶν ἑνώσεώς τε καὶ ὁμονοίας.

"Κωνσταντῖνος Σεβαστὸς Μιλτιάδῃ ἐπισκόπῳ Ῥωμαίων καὶ Μάρκῳ. ἐπειδὴ τοιοῦτοι χάρται παρὰ Ἀνυλίνου τοῦ λαμπροτάτου ἀνθυπάτου τῆς Ἀφρικῆς πρός με πλείους ἀπεστάλησαν, ἐν οἷς ἐμφέρεται, Καικιλιανὸν τὸν ἐπίσκοπον τῆς Καρταγεννησίων πόλεως παρά τινων κολλήγων αὐτοῦ τῶν κατὰ τὴν Ἀφρικὴν καθεστώτων ἐν πολλοῖς πράγμασιν εὐθύνεσθαι, καὶ τοῦτό μοι βαρὺ σφόδρα δοκεῖ, τὸ ἐν ταύταις ταῖς ἐπαρχίαις, ἃς τῇ ἐμῇ καθοσιώσει αὐθαίρετος ἡ θεία πρόνοια ἐνεχείρισε, (κἀκεῖσε πολὺ πλῆθος λαοῦ), ὄχλον ἐπὶ τὸ φαυλότερον ἐπιμένοντα εὑρίσκεσθαι ὡσανεὶ διχοστατοῦντα, καὶ μεταξὺ ἐπισκόπους διαφορὰς ἔχειν, 19. ἔδοξέ μοι, ἵν' αὐτὸς ὁ Καικιλιανὸς μετὰ δέκα ἐπισκόπων, τῶν αὐτὸν εὐθύνειν δοκούντων, καὶ δέκα ἑτέρων οὓς αὐτὸς τῇ ἑαυτοῦ δίκῃ ἀναγκαίους ὑπολάβοι, εἰς τὴν Ῥώμην πλῷ ἀπιέναι μὴ ἀναβάλοιτο, ἵν' ἐκεῖσε ὑμῶν παρόντων, ἀλλὰ μὴν καὶ Ῥετεκίου καὶ Ματέρνου καὶ Μαρίνου, τῶν κολλήγων ὑμῶν, οὓς τούτου ἕνεκεν εἰς τὴν Ῥώμην προσέταξα ἐπισπεῦσαι, δυνηθῇ ἀκουσθῆναι, ὡς ἂν καταμάθοιτε τῷ σεβασμιωτάτῳ νόμῳ ἁρμόττειν. 20. ἵνα μέντοι καὶ περὶ πάντων αὐτῶν τούτων πληρεστάτην δυνηθῆτε ἔχειν γνῶσιν, τὰ ἀντίτυπα τῶν ἐγγράφων τῶν πρός με παρὰ Ἀνυλίνου ἀποσταλέν-

των, γράμμασιν ἐμοῖς ὑποτάξας, πρὸς τοὺς προειρημένους κολλήγας ὑμῶν ἐξέπεμψα, οἷς ἐντυχοῦσα ἡ ὑμετέρα στερρότης δοκιμάσει, ὅντινα χρὴ τρόπον τὴν προειρημένην δίκην ἐπιμελέστατα διευκρινῆσαι, καὶ κατὰ τὸ δίκαιον τερματίσαι, ὁπότε μηδὲ τὴν ὑμετέραν ἐπιμέλειαν λανθάνει, τοσαύτην με αἰδῶ τῇ ἐνθέσμῳ καθολικῇ ἐκκλησίᾳ ἀπονέμειν, ὡς μηδὲν καθόλου σχίσμα ἢ διχοστασίαν ἔν τινι τόπῳ βούλεσθαί με ὑμᾶς καταλιπεῖν. ἡ θειότης ὑμᾶς τοῦ μεγάλου θεοῦ διαφυλάξοι πολλοῖς ἔτεσι, τιμιώτατε."

21. *Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς, δι' ἧς προστάττει δευτέραν γενέσθαι σύνοδον ὑπὲρ τοῦ πᾶσαν τῶν ἐπισκόπων περιελεῖν διχοστασίαν.*

"Κωνσταντῖνος σεβαστὸς Χρήστῳ ἐπισκόπῳ Συρακουσίων. ἤδη μὲν πρότερον, ὅτε φαύλως καὶ ἐνδιαστρόφως τινὲς περὶ θρησκείας τῆς ἁγίας καὶ ἐπουρανίου δυνάμεως καὶ τῆς αἱρέσεως τῆς καθολικῆς ἀποδιίστασθαι ἤρξαντο, ἐπιτέμνεσθαι βουληθεὶς τὰς τοιαύτας αὐτῶν φιλονεικίας, οὕτω διετετυπώκειν ὥστε ἀποσταλέντων ἀπὸ τῆς Γαλλίας τινῶν ἐπισκόπων, ἀλλὰ μὴν καὶ τούτων κληθέντων ἀπὸ τῆς Ἀφρικῆς τῶν ἐξ ἐναντίας μοίρας καταλλήλως ἐνστατικῶς καὶ ἐπιμόνως διαγωνιζομένων, παρόντος τε καὶ τοῦ τῆς Ῥώμης ἐπισκόπου, τοῦτο, ὅπερ ἐδόκει κεκινῆσθαι, δυνηθῇ ὑπὸ τῆς παρουσίας αὐτῶν μετὰ πάσης ἐπιμελοῦς διακρίσεως κατορθώσεως τυχεῖν. 22. ἀλλ' ἐπειδή, ὡς συμβαίνει, ἐπιλαθόμενοί τινες καὶ τῆς σωτηρίας τῆς ἰδίας καὶ τοῦ σεβάσματος τοῦ ὀφειλομένου τῇ ἁγιωτάτῃ αἱρέσει, ἔτι καὶ νῦν τὰς ἰδίας ἔχθρας παρατείνειν οὐ παύονται, μὴ βουλόμενοι τῇ ἤδη ἐξενεχθείσῃ κρίσει συντίθεσθαι, καὶ

διοριζόμενοι, ὅτι δὴ ἄρα ὀλίγοι τινὲς τὰς γνώμας καὶ τὰς ἀποφάσεις ἑαυτῶν ἐξήνεγκαν, ἢ καὶ μὴ πρότερον ἁπάντων τῶν ὀφειλόντων ζητηθῆναι ἀκριβῶς ἐξετασθέντων πρὸς τὸ τὴν κρίσιν ἐξενέγκαι πάνυ ταχέως καὶ ὀξέως ἔσπευσαν, ἔκ τε τούτων ἁπάντων ἐκεῖνα συμβαίνει γενέσθαι, τὸ καὶ τούτους αὐτοὺς ἀδελφικὴν καὶ ὁμόφρονα ὀφείλοντας ἔχειν ὁμοψυχίαν αἰσχρῶς, μᾶλλον δὲ μυσερῶς ἀλλήλων ἀποδιεστάναι, καὶ τοῖς ἀνθρώποις τοῖς ἀλλοτρίας ἔχουσι τὰς ψυχὰς ἀπὸ τῆς ἁγιωτάτης θρησκείας ταύτης πρόφασιν χλεύης διδόναι, — ὅθεν προνοητέον μοι ἐγένετο, ὅπως τοῦτο, ὅπερ ἐχρῆν μετὰ τὴν ἐξενεχθεῖσαν ἤδη κρίσιν αὐθαιρέτῳ συγκαταθέσει πεπαῦσθαι, κἂν νῦν ποτὲ δυνηθῇ πολλῶν παρόντων τέλους τυχεῖν. 23. ἐπειδὴ τοίνυν πλείστους ἐκ διαφόρων καὶ ἀμυθήτων τόπων ἐπισκόπους εἰς τὴν Ἀρελατησίων πόλιν εἴσω Καλανδῶν Αὐγούστων συνελθεῖν ἐκελεύσαμεν, καὶ σοὶ γράψαι ἐνομίσαμεν, ἵνα λαβὼν παρὰ τοῦ λαμπροτάτου Λατρωνιανοῦ τοῦ κορρήκτορος Σικελίας δημόσιον ὄχημα, συζεύξας σεαυτῷ καὶ δύο γέ τινας τῶν ἐκ τοῦ δευτέρου θρόνου, οὓς ἂν σὺ αὐτὸς ἐπιλέξασθαι κρίνῃς, ἀλλὰ μὴν καὶ τρεῖς παῖδας τοὺς δυνησομένους ὑμῖν κατὰ τὴν ὁδὸν ὑπηρετήσασθαι παραλαβών, εἴσω τῆς αὐτῆς ἡμέρας ἐπὶ τῷ προειρημένῳ τόπῳ ἀπάντησον, 24. ὡς ἂν διά τε τῆς σῆς στερρότητος καὶ διὰ τῆς λοιπῆς τῶν συνιόντων ὁμοψύχου καὶ ὁμόφρονος συνέσεως καὶ τοῦτο, ὅπερ ἄχρι τοῦ δεῦρο φαύλως δι' αἰσχράς τινας ξυγομαχίας παραμεμένηκεν, ἀκουσθέντων πάντων τῶν μελλόντων λεχθήσεσθαι παρὰ τῶν νῦν ἀπ' ἀλλήλων διεστώτων, οὕσπερ ὁμοίως παρεῖναι ἐκελεύσαμεν, δυνηθῇ εἰς τὴν ὀφειλομένην θρησκείαν καὶ πίστιν, ἀδελφικήν

τε ὁμόνοιαν κἂν βραδέως ἀνακληθῆναι. ὑγιαίνοντά σε ὁ θεὸς ὁ παντοκράτωρ διαφυλάξαι ἐπὶ πολλοῖς ἔτεσιν."

Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς, δι' ἧς χρήματα ταῖς ἐκκλησίαις δωρεῖται.

VI. [Nic. H. E. VII, 42.] "Κωνσταντῖνος Αὔγουστος Καικιλιανῷ ἐπισκόπῳ Καρταγένης. ἐπειδήπερ ἤρεσε, κατὰ πάσας ἐπαρχίας, τάς τε Ἀφρικὰς καὶ τὰς Νουμιδίας καὶ τὰς Μαυριτανίας, ῥητοῖς τισι τῶν ὑπηρετῶν τῆς ἐνθέσμου καὶ ἁγιωτάτης καθολικῆς θρησκείας εἰς ἀναλώματα ἐπιχορηγηθῆναί τι, ἔδωκα γράμματα πρὸς Οὖρσον τὸν διασημότατον καθολικὸν τῆς Ἀφρικῆς, καὶ ἐδήλωσα αὐτῷ, ὅπως τρισχιλίους φόλλεις τῇ σῇ στερρότητι ἀπαριθμῆσαι φροντίσῃ. 2. σὺ τοίνυν, ἡνίκα τὴν προδηλουμένην ποσότητα τῶν χρημάτων ὑποδεχθῆναι ποιήσεις, ἅπασι τοῖς προειρημένοις κατὰ τὸ βρέουιον τὸ πρὸς σὲ παρὰ Ὁσίου ἀποσταλὲν ταῦτα τὰ χρήματα διαδοθῆναι κέλευσον. 3. εἰ δ' ἄρα πρὸς τὸ συμπληρωθῆναί μου τὴν εἰς τοῦτο περὶ ἅπαντας αὐτοὺς προαίρεσιν ἐνδεῖν τι καταμάθοις, παρὰ Ἡρακλείδα τοῦ ἐπιτρόπου τῶν ἡμετέρων κτημάτων ἀναμφιλέκτως ὅπερ ἀναγκαῖον εἶναι καταμάθοις αἰτῆσαι ὀφείλεις. καὶ γὰρ παρόντι αὐτῷ προσέταξα, ἵν' εἴ τι ἂν χρημάτων παρ' αὐτοῦ ἡ σὴ στερρότης αἰτήσῃ, ἄνευ δισταγμοῦ τινὸς ἀπαριθμῆσαι φροντίσῃ. 4. καὶ ἐπειδὴ ἐπυθόμην τινὰς μὴ καθεστώσης διανοίας τυγχάνοντας ἀνθρώπους τὸν λαὸν τῆς ἁγιωτάτης καὶ καθολικῆς ἐκκλησίας φαύλῃ τινὶ ὑπονοθεύσει βούλεσθαι διαστρέφειν, γίνωσκέ με Ἀνυλίνῳ ἀνθυπάτῳ, ἀλλὰ μὴν καὶ Πατρικίῳ τῷ οὐικαρίῳ τῶν ἐπάρχων παροῦσι τοιαύτας

ἐντολὰς δεδωκέναι, ἵν' ἐν τοῖς λοιποῖς ἅπασι καὶ τούτου μάλιστα τὴν προσήκουσαν φροντίδα ποιήσωνται, καὶ μὴ ἀνάσχωνται περιορᾶν τοιοῦτο γινόμενον. 5. διόπερ εἴ τινας τοιούτους ἀνθρώπους ἐν αὐτῇ τῇ μανίᾳ ἐπιμένειν κατίδοις, ἄνευ τινὸς ἀμφιβολίας τοῖς προειρημένοις δικασταῖς πρόσελθε, καὶ αὐτὸ τοῦτο προσανένεγκε, ὅπως αὐτοὺς ἐκεῖνοι, καθάπερ αὐτοῖς παροῦσιν ἐκέλευσα, ἐπιστρέψωσιν. ἡ θειότης τοῦ μεγάλου θεοῦ σε διαφυλάξοι ἐπὶ πολλοῖς ἔτεσιν."

VII. [Nic. H. E. VII, 42.] Ἀντίγραφον βασιλικῆς ἐπιστολῆς, δι' ἧς τοὺς προεστῶτας τῶν ἐκκλησιῶν πάσης ἀπολελύσθαι τῆς περὶ τὰ πολιτικὰ λειτουργίας προστάττει.

"Χαῖρε, Ἀνυλῖνε, τιμιώτατε ἡμῖν. ἐπειδὴ ἐκ πλειόνων πραγμάτων φαίνεται, παρεξουθενηθεῖσαν τὴν θρησκείαν, ἐν ᾗ ἡ κορυφαία τῆς ἁγιωτάτης ἐπουρανίου αἰδὼς φυλάττεται, μεγάλους κινδύνους ἐνηνοχέναι τοῖς δημοσίοις πράγμασιν, αὐτήν τε ταύτην ἐνθέσμως ἀναληφθεῖσαν καὶ φυλαττομένην μεγίστην εὐτυχίαν τῷ Ῥωμαϊκῷ ὀνόματι, καὶ σύμπασι τοῖς τῶν ἀνθρώπων πράγμασιν ἐξαίρετον εὐδαιμονίαν παρεσχηκέναι, τῶν θείων εὐεργεσιῶν τοῦτο παρεχουσῶν, ἔδοξεν ἐκείνους τοὺς ἄνδρας τοὺς τῇ ὀφειλομένῃ ἁγιότητι καὶ τῇ τοῦ νόμου τούτου παρεδρίᾳ τὰς ὑπηρεσίας τὰς ἐξ ἑαυτῶν τῇ τῆς θείας θρησκείας θεραπείᾳ παρέχοντας, τῶν καμάτων τῶν ἰδίων τὰ ἔπαθλα κομίσασθαι, Ἀνυλῖνε τιμιώτατε. 2. διόπερ ἐκείνους τοὺς εἴσω τῆς ἐπαρχίας τῆς σοι πεπιστευμένης ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ᾗ Καικιλιανὸς ἐφέστηκε, τὴν ἐξ ἑαυτῶν ὑπηρεσίαν τῇ ἁγίᾳ ταύτῃ θρησκείᾳ παρέχοντας, οὕσπερ κληρικοὺς ἐπονομάζειν εἰώθασιν, ἀπὸ πάντων ἁπαξαπλῶς τῶν

λειτουργιῶν βούλομαι ἀλειτουργήτους διαφυλαχθῆναι, ὅπως μὴ διά τινος πλάνης ἢ ἐξολισθήσεως ἱεροσύλου ἀπὸ τῆς θεραπείας τῆς τῇ θειότητι ὀφειλομένης ἀφέλκωνται, ἀλλὰ μᾶλλον ἄνευ τινὸς ἐνοχλήσεως τῷ ἰδίῳ νόμῳ ἐξυπηρετῶνται, ὧνπερ μεγίστην περὶ τὸ θεῖον λατρείαν ποιουμένων πλεῖστον ὅσον τοῖς κοινοῖς πράγμασι συνοίσειν δοκεῖ. ἔρρωσο, Ἀνυλῖνε, τιμιώτατε καὶ ποθεινότατε ἡμῖν."

VIII. [Nic. H. E. VII, 44.] *Τοιαῦτα μὲν οὖν ἡμῖν ἡ θεία καὶ οὐράνιος τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας ἐδωρεῖτο χάρις, τοσαύτη τε ἅπασιν ἀνθρώποις ἀγαθῶν ἀφθονία διὰ τῆς ἡμετέρας ἐπρυτανεύετο εἰρήνης. καὶ ὧδε μὲν τὰ καθ' ἡμᾶς ἐν εὐφροσύναις καὶ πανηγύρεσιν ἐτελεῖτο.* 2. *οὐκ ἦν δὲ ἄρα τῷ μισοκάλῳ φθόνῳ, τῷ τε φιλοπονήρῳ δαίμονι φορητὸς ἡ τῶν ὁρωμένων θέα, ὥσπερ οὖν οὐδὲ Λικιννίῳ πρὸς σώφρονα λογισμὸν ἐτύγχανεν αὐτάρκη τὰ τοῖς πρόσθεν δεδηλωμένοις τυράννοις συμβεβηκότα· ὃς εὖ φερομένης τῆς ἀρχῆς αὐτῷ, βασιλέως τε μεγάλου Κωνσταντίνου δευτερείων τιμῆς, ἐπιγαμβρίας τε καὶ συγγενείας τῆς ἀνωτάτω ἠξιωμένος, μιμήσεως μὲν τῆς τῶν καλῶν ἀπελιμπάνετο, τῆς δὲ τῶν ἀσεβῶν τυράννων μοχθηρίας ἐζήλου τὴν κακοτροπίαν, καὶ ὧν τοῦ βίου τὴν καταστροφὴν ἐπεῖδεν αὐτοῖς ὀφθαλμοῖς, τούτων ἕπεσθαι τῇ γνώμῃ μᾶλλον ἢ τῇ τοῦ κρείττονος ἐμμένειν φιλίᾳ τε καὶ διαθέσει ᾑρεῖτο.* 3. *διαφθονηθείς γέ τοι τῷ πανευεργέτῃ πόλεμον δυσαγῆ καὶ δεινότατον πρὸς αὐτὸν ἐκφέρει, οὐ φύσεως νόμων φεισάμενος, οὐχ ὁρκωμοσιῶν, οὐχ αἵματος, οὐ συνθηκῶν μνήμην ἐν διανοίᾳ λαβών.* 4. *ὁ μὲν γὰρ αὐτῷ οἷα πανάγαθος βασιλεὺς, εὐνοίας παρέχων ἀληθοῦς σύμβολα, συγγενείας τῆς πρὸς*

αὐτὸν οὐκ ἐφθόνησε, γάμων τε λαμπρῶν ἀδελφῆς μετουσίαν οὐκ ἀπηρνήσατο, ἀλλὰ καὶ τῆς ἐκ πατέρων εὐγενείας, βασιλικοῦ τε ἀνέκαθεν αἵματος κοινωνὸν γενέσθαι ἠξίωσε, τῆς τε κατὰ πάντων ἀπολαύειν ἀρχῆς οἷα κηδεστῇ καὶ συμβασιλεῖ παρεῖχε τὴν ἐξουσίαν, οὐκ ἔλαττον μέρος τῶν ὑπὸ Ῥωμαίους ἐθνῶν διέπειν αὐτῷ καὶ διοικεῖν κεχαρισμένος. 5. *ὁ δ' ἔμπαλιν τούτοις τἀναντία διεπράττετο, παντοίας ὁσημέραι κατὰ τοῦ κρείττονος μηχανὰς ἐπιτεχνώμενος, πάντας τε ἐπινοῶν ἐπιβουλῆς τρόπους, ὡς ἂν κακοῖς τὸν εὐεργέτην ἀμείψοιτο. τὰ μὲν οὖν πρῶτα πειρώμενος τὴν συσκευὴν ἐπικρύπτειν, φίλος εἶναι προσεποιεῖτο, δόλῳ τε καὶ ἀπάτῃ πλειστάκις ἐπιθέμενος ῥᾷστα ἂν τυχεῖν τοῦ προσδοκωμένου ἤλπισε.* 6. *τῷ δὲ ἄρα ὁ θεὸς ἦν φίλος, κηδεμών τε καὶ φύλαξ, ὃς αὐτῷ τὰς ἐν ἀπορρήτῳ καὶ σκότει μηχανωμένας ἐπιβουλὰς εἰς φῶς ἄγων διήλεγχε. τοσοῦτον ἀρετῆς τὸ μέγα τῆς θεοσεβείας ὅπλον πρὸς ἄμυναν μὲν ἐχθρῶν, οἰκείας δὲ φυλακὴν σωτηρίας ἰσχύει· ᾧ δὴ πεφραγμένος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς τὰς τοῦ δυσωνύμου πολυπλόκους ἐπιβουλὰς διεδίδρασκεν.* 7. *ὁ δὲ τὴν λαθραίαν συσκευὴν ὡς οὐδαμῶς ἑώρα κατὰ γνώμην αὐτῷ χωροῦσαν, τοῦ θεοῦ πάντα δόλον τε καὶ ῥᾳδιουργίαν τῷ θεοφιλεῖ βασιλεῖ κατάφωρα ποιοῦντος, οὐκέθ' οἷός τε ὢν ἐπικρύπτεσθαι προφανῆ πόλεμον αἱρεῖται.* 8. *ὁμόσε δῆτα Κωνσταντίνῳ πολεμεῖν διαγνοὺς, ἤδη καὶ κατὰ τοῦ θεοῦ τῶν ὅλων, ὃν ἠπίστατο σέβειν αὐτὸν, παρατάττεσθαι ὡρμᾶτο, κἄπειτα τοὺς ὑπ' αὐτῷ θεοσεβεῖς, μηδὲν μηδ' ὅλως πώποτε τὴν ἀρχὴν αὐτοῦ λυπηρὸν διαθεμένους, ἠρέμα τέως καὶ ἡσυχῇ πολιορκεῖν ἐπεβάλλετο· καὶ τοῦτ' ἔπραττε, δεινῶς ἀβλεπτεῖν ὑπὸ*

τῆς ἐμφύτου κακίας ἠναγκασμένος. 9. οὔτ' οὖν τὴν μνήμην τῶν πρὸ αὐτοῦ Χριστιανοὺς ἐκδιωξάντων πρὸ ὀφθαλμῶν ἔθετο, οὐδ' ὧν αὐτὸς ὀλετὴρ καὶ τιμωρὸς δι' ἃς μετῆλθον ἀσεβείας κατέστη. ἀλλὰ γὰρ τοῦ σώφρονος ἐκτραπεὶς λογισμοῦ, διαρρήδην δὲ μανεὶς τὰς φρένας, τὸν θεὸν αὐτὸν, οἷα δὴ Κωνσταντίνου βοηθὸν, ἀντὶ τοῦ βοηθουμένου πολεμεῖν ἐγνώκει. 10. καὶ πρῶτα μὲν τῆς οἰκίας τῆς αὐτοῦ πάντα Χριστιανὸν ἀπελαύνει, ἔρημον αὐτὸς αὐτὸν ὁ δείλαιος τῆς τούτων καθιστὰς ὑπὲρ αὐτοῦ πρὸς τὸν θεὸν εὐχῆς, ἣν ὑπὲρ ἁπάντων αὐτοῖς ποιεῖσθαι πάτριον μάθημα τυγχάνει· εἶτα δὲ τοὺς κατὰ πόλιν στρατιώτας ἐκκρίνεσθαι καὶ ἀποβάλλεσθαι τοῦ τῆς τιμῆς ἀξιώματος, εἰ μὴ τοῖς δαίμοσι θύειν αἱροῖντο, παρακελεύεται. καὶ ἔτι γε ταῦτα ἦν μικρὰ, τῇ τῶν μειζόνων συγκρινόμενα παραθέσει. 11. τί δεῖ τούτων τὰ καθέκαστα καὶ κατὰ μέρος τῷ θεομισεῖ πεπραγμένα μνημονεύειν, ὅπως τε νόμους ἀνόμους ὁ παρανομώτατος ἐξηῦρε; τούς γέ τοι ἐν ταῖς εἱρκταῖς ταλαιπωρουμένους ἐνομοθέτει μηδένα μεταδόσει τροφῆς φιλανθρωπεύεσθαι, μηδ' ἐλεεῖν τοὺς ἐν δεσμοῖς λιμῷ διαφθειρομένους, μηδ' ἁπλῶς ἀγαθὸν εἶναι μηδένα, μηδ' ἀγαθόν τι πράττειν τοὺς καὶ πρὸς αὐτῆς τῆς φύσεως ἐπὶ τὸ συμπαθὲς τῶν πέλας ἑλκομένους. καὶ ἦν γε νόμων οὗτος ἄντικρυς ἀναιδὴς καὶ ἀπηνέστατος, πᾶσαν ἥμερον ὑπερεξάγων φύσιν· ἐφ' ᾧ καὶ τιμωρία προσέκειτο, τοὺς ἐλεοῦντας τὰ ἴσα πάσχειν τοῖς ἐλεουμένοις, δεσμοῖς τε καὶ φυλακαῖς καθείργνυσθαι, τὴν ἴσην τοῖς καταπονουμένοις ὑπομένοντας τιμωρίαν, τοὺς τὰ φιλάνθρωπα διακονουμένους. 12. τοιαῦται αἱ Λικιννίου διατάξεις. τί χρὴ τὰς περὶ γάμων καινοτομίας ἀπαριθμεῖσθαι, ἢ τοὺς

ἐπὶ τοῖς τὸν βίον μεταλλάττουσι νεωτερισμοὺς αὐτοῦ, δι' ὧν τοὺς παλαιοὺς Ῥωμαίων εὖ καὶ σοφῶς κειμένους νόμους περιγράψαι τολμήσας, βαρβάρους τινὰς καὶ ἀνημέρους ἀντεισῆγε νόμους, ἀνόμους ὡς ἀληθῶς καὶ παρανόμους; ἐπισκήψεις τε μυρίας κατὰ τῶν ὑποχειρίων ἐθνῶν ἐπενόει, χρυσοῦ τε καὶ ἀργύρου παντοίας εἰσπράξεις, ἀναμετρήσεις τε γῆς, καὶ τῶν κατ' ἀγροὺς μηκέτ' ὄντων ἀνθρώπων, πρόπαλαι δὲ κατοιχομένων, ἐπιζήμιον κέρδος. 13. οἵους δ' ἐφηῦρεν ἐπὶ τούτοις ὁ μισάνθρωπος κατὰ μηδὲν ἠδικηκότων ἐξορισμούς, οἵας εὐπατριδῶν καὶ ἀξιολόγων ἀνδρῶν ἀπαγωγάς, ὧν δὴ τὰς κουριδίας ἀποζευγνὺς γαμετὰς μιαροῖς τισὶν οἰκέταις ἐφ' ὕβρει πράξεως αἰσχρᾶς παρεδίδου, ὅσαις δὲ αὐτὸς ὁ ἐσχατόγηρως γυναιξὶν ὑπάνδροις, παρθένοις τε κόραις ἐμπαροινῶν, τὴν ἀκόλαστον τῆς αὐτοῦ ψυχῆς ἐπιθυμίαν ἐπλήρου — τί χρὴ ταῦτα μηκύνειν, τῆς τῶν ἐσχάτων αὐτοῦ πράξεων ὑπερβολῆς μικρὰ τὰ πρῶτα καὶ τὸ μηδὲν εἶναι διελεγχούσης; 14. τὸ γοῦν τέλος αὐτῷ τῆς μανίας ἐπὶ τοὺς ἐπισκόπους ἐχώρει. ἤδη τε τούτους, ὡσὰν τοῦ ἐπὶ πάντων θεοῦ θεράποντας, ἐναντίους ὑπάρχειν οἷς ἔδρα ἡγούμενος, οὔπω μὲν ἐκ τοῦ φανεροῦ διὰ τὸν ἀπὸ τοῦ κρείττονος φόβον, λάθρα δὲ αὖθις καὶ δολίως συνεσκευάζετο, ἀνῄρει τε τούτων δι' ἐπιβουλῆς τῶν ἡγεμόνων τοὺς δοκιμωτάτους. καὶ ὁ τρόπος δὲ τοῦ κατ' αὐτῶν φόνου ξένος τις ἦν, καὶ οἷος οὐδεπώποτε ἠκούσθη. 15. τὰ γοῦν ἀμφὶ τὴν Ἀμάσειαν καὶ τὰς λοιπὰς τοῦ Πόντου πόλεις κατεργασθέντα πᾶσαν ὑπερβολὴν ὠμότητος ὑπερηκόντισεν, ἔνθα τῶν ἐκκλησιῶν τοῦ θεοῦ αἱ μὲν ἐξ ὕψους εἰς ἔδαφος αὖθις κατερρίπτοντο, τὰς δὲ ἀπέκλειον, ὡς ἂν μὴ συνάγοιτό τις τῶν εἰω-

θότων, μηδὲ τῷ θεῷ τὰς ἐποφειλομένας ἀποδιδῷ λατρείας. 16. συντελεῖσθαι γὰρ οὐχ ἡγεῖτο ὑπὲρ αὐτοῦ τὰς εὐχὰς, συνειδότι φαύλῳ τοῦτο λογιζόμενος, ἀλλ' ὑπὲρ τοῦ θεοφιλοῦς βασιλέως πάντα πράττειν ἡμᾶς καὶ τὸν θεὸν ἱλεοῦσθαι πέπειστο· ἔνθεν ὡρμᾶτο καθ' ἡμῶν τὸν θυμὸν ἐπισκήπτειν. 17. καὶ δῆτα τῶν ἡγεμόνων οἱ κόλακες, τὰ φίλα πράττειν τῷ δυσαγεῖ πεπεισμένοι, τῶν ἐπισκόπων τοὺς μὲν συνήθως ταῖς τῶν κακούργων ἀνδρῶν περιέβαλλον τιμωρίαις, ἀπήγοντό τε καὶ ἐκολάζοντο ἀπροφασίστως τοῖς μιαιφόνοις ὁμοίως οἱ μηδὲν ἠδικηκότες· ἤδη δέ τινες καινοτέραν ὑπέμενον τελευτὴν, ξίφει τὸ σῶμα εἰς πολλὰ τμήματα κατακρεουργούμενοι, καὶ μετὰ τὴν ἀπηνῆ ταύτην καὶ φρικτοτάτην θέαν τοῖς τῆς θαλάσσης βυθοῖς ἰχθύσι εἰς βορὰν ῥιπτούμενοι. 18. φυγαὶ δὴ αὖθις ἐπὶ τούτοις τῶν θεοσεβῶν ἐγίνοντο ἀνδρῶν, καὶ πάλιν ἀγροὶ, καὶ πάλιν ἐρημίαι, νάπαι τε καὶ ὄρη τοὺς Χριστοῦ θεράποντας ὑπεδέχοντο. ἐπεὶ δὲ καὶ ταῦτα τοῦτον προυχώρει τῷ δυσσεβεῖ τὸν τρόπον, λοιπὸν καὶ τὸν κατὰ πάντων ἀνακινεῖν διωγμὸν ἐπὶ διάνοιαν ἐβάλλετο. 19. ἐκράτει τε γνώμης καὶ οὐδὲν ἐμποδὼν ἦν αὐτῷ μὴ οὐχὶ ἐν ἔργῳ χωρεῖν, εἰ μὴ τάχιστα τὸ μέλλον ἔσεσθαι προλαβὼν ὁ τῶν οἰκείων ψυχῶν ὑπέρμαχος θεὸς ὡς ἐν βαθεῖ σκότῳ καὶ νυκτὶ ζοφωδεστάτῃ φωστῆρα μέγαν ἀθρόως καὶ σωτῆρα τοῖς πᾶσιν ἐξέλαμψε, τὸν αὐτοῦ θεράποντα Κωνσταντῖνον ὑψηλῷ βραχίονι ἐπὶ τὰ τῇδε χειραγωγήσας.

IX. [Nic. H. E. VII, 45. 46.] Τούτῳ μὲν οὖν ἄνωθεν ἐξ οὐρανοῦ καρπὸν εὐσεβείας ἐπάξιον, τὰ τρόπαια τῆς κατὰ τῶν ἀσεβῶν παρεῖχε νίκης, τὸν δ' ἀλιτήριον, αὐτοῖς συμβούλοις ἅπασι καὶ φίλοις,

ὑπὸ τοῖς Κωνσταντίνου ποσὶ πρηνῆ κατέβαλεν. 2. ὡς γὰρ εἰς ἔσχατα μανίας τὰ κατ᾽ αὐτὸν ἤλαυνεν, οὐκέτ᾽ ἀνεκτὸν εἶναι λογισάμενος βασιλεὺς ὁ τῷ θεῷ φίλος, τὸν σώφρονα συναγαγὼν λογισμὸν, καὶ τὸν στερρὸν τοῦ δικαίου τρόπον φιλανθρωπίᾳ κερασάμενος, ἄσμενος ἐπαμῦναι κρίνει τοῖς ὑπὸ τῷ τυράννῳ ταλαιπωρουμένοις, καὶ τό γε πλεῖστον ἀνθρώπων γένος, βραχεῖς λυμεῶνας ἐκποδὼν ποιησάμενος, ἀνασώσασθαι ὁρμᾶται. 3. μόνῃ γὰρ αὐτῷ χρωμένῳ φιλανθρωπίᾳ τὸν πρὸ τούτου χρόνον, καὶ τὸν οὐ συμπαθείας ἄξιον ἐλεοῦντι, τῷ μὲν οὐδὲν ἐγίνετο πλέον, τῆς κακίας οὐκ ἀπαλλαττομένῳ, αὔξοντι δὲ μᾶλλον τὴν κατὰ τῶν ὑποχειρίων ἐθνῶν λύτταν, τοῖς δὲ κακουμένοις οὔτις ἐλείπετο σωτηρίας ἐλπὶς, ὑπὸ δεινῷ θηρίῳ καταπονουμένοις. 4. διὸ δὴ τῷ φιλαγάθῳ μίξας τὸ μισοπόνηρον ὁ τῶν ἀγαθῶν ἀρωγὸς, πρόεισιν ἅμα παιδὶ Κρίσπῳ βασιλεῖ φιλανθρωποτάτῳ, σωτήριον δεξιὰν ἅπασι τοῖς ἀπολλυμένοις ἐκτείνας· εἶθ᾽ οἷα παμβασιλεῖ θεῷ, θεοῦ παιδὶ σωτῆρι ἁπάντων ποδηγῷ καὶ συμμάχῳ χρώμενοι, πατὴρ ἅμα καὶ υἱὸς, ἄμφω κύκλῳ διελόντες τὴν κατὰ τῶν θεομισῶν παράταξιν, ῥᾳδίαν τὴν νίκην ἀποφέρονται, τῶν κατὰ τὴν συμβολὴν πάντων ἐξευμαρισθέντων αὐτοῖς ὑπὸ τοῦ θεοῦ κατὰ γνώμην. 5. ἀθρόως δῆτα καὶ λόγου θᾶττον οἱ μὲν χθὲς καὶ πρὸ ἡμέρας θανάτου πνέοντες καὶ ἀπειλῆς οὐκέτ᾽ ἦσαν, οὐδὲ μέχρις ὀνόματος μνημονευόμενοι· γραφαί τε αὐτῶν καὶ τιμαὶ τὴν ἀξίαν αἰσχύνην ἀπελάμβανον. καὶ ἃ τοῖς πάλαι δυσσεβέσι τυράννοις ἐνεῖδεν αὐτοῖς ὀφθαλμοῖς Λικίννιος, ταῦτα ὁμοίως καὶ αὐτὸς ἔπασχεν, ὅτι μηδ᾽ αὐτὸς ἐδέξατο παιδείαν, μηδὲ ταῖς τῶν πέλας ἐσωφρονίσθη μάστιξι, τὴν ὁμοίαν δ᾽ ἐκείνοις τῆς ἀσεβείας μετελθὼν ὁδὸν,

ἐπὶ τὸν ἴσον αὐτοῖς ἐνδίκως περιηνέχθη κρημνόν. 6. ἀλλ' οὗτος μὲν ταύτῃ πῃ βεβλημένος ἔκειτο, ὁ δ' ἀρετῇ πάσῃ θεοσεβείας ἐκπρέπων μέγιστος νικητὴς Κωνσταντῖνος σὺν παιδὶ Κρίσπῳ βασιλεῖ θεοφιλεστάτῳ καὶ κατὰ πάντα τοῦ πατρὸς ὁμοίῳ τὴν οἰκείαν ἑῴαν ἀπελάμβανον, καὶ μίαν ἡνωμένην τὴν Ῥωμαίων κατὰ τὸ παλαιὸν παρεῖχον ἀρχήν, τὴν ἀπ' ἀνίσχοντος ἡλίου πᾶσαν ἐν κύκλῳ κατὰ θάτερα τῆς οἰκουμένης, ἄρκτον τε ὁμοῦ καὶ μεσημβρίαν, εἰς ἔσχατα δυομένης ἡμέρας ὑπὸ τὴν αὐτῶν ἄγοντες εἰρήνην. 7. ἀφῄρητο δ' οὖν ἐξ ἀνθρώπων πᾶν δέος τῶν πρὶν αὐτοὺς πιεζόντων, λαμπρὰς δ' ἐτέλουν καὶ πανηγυρικὰς ἑορτῶν ἡμέρας· ἦν δὲ φωτὸς ἔμπλεα πάντα, καὶ μειδιῶσι προσώποις, ὄμμασί τε φαιδροῖς οἱ πρὶν κατηφεῖς ἀλλήλους ἔβλεπον, χορεῖαι δ' αὐτοῖς καὶ ὕμνοι κατὰ πόλεις ὁμοῦ καὶ ἀγρούς· τὸν παμβασιλέα θεὸν πρώτιστα πάντων, ὅτι δὴ τοῦτ' ἐδιδάχθησαν, κἄπειτα τὸν εὐσεβῆ βασιλέα παισὶν ἅμα θεοφιλέσιν ἐγέραιρον. 8. κακῶν δ' ἀμνηστία παλαιῶν ἦν, καὶ λήθη πάσης δυσσεβείας, παρόντων δ' ἀγαθῶν ἀπόλαυσις, καὶ προσέτι μελλόντων προσδοκίαι. ἤπλωντο δ' οὖν κατὰ πάντα τόπον τοῦ νικητοῦ βασιλέως φιλανθρωπίας ἔμπλεοι διατάξεις, νόμοι τε μεγαλοδωρεᾶς καὶ ἀληθοῦς εὐσεβείας γνωρίσματα περιέχοντες. 9. οὕτω δῆτα πάσης τυραννίδος ἐκκαθαρθείσης, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ τοῖς αὐτοῦ παισίν, οἳ τῶν πρόσθεν πάντων ἀποσμήξαντες τὴν θεοστυγίαν τοῦ βίου, τῶν ἐκ θεοῦ πρυτανευθέντων ἀγαθῶν αὐτοῖς ᾐσθημένοι, τὸ φιλάρετον καὶ θεοφιλὲς τό τε πρὸς τὸ θεῖον εὐσεβὲς καὶ εὐχάριστον δι' ὧν εἰς προὖπτον ἅπασιν ἀνθρώποις παρέσχον ὁρᾶν ἐπεδείξαντο.

INDEX

LOCORUM SCRIPTURAE SACRAE AB EUSEBIO LAUDATORUM *).

Genes. 1, 26. — 4, 29.
15, 6. — 19, 7.
18, 1. — 5, 18.
18, 18. — 19, 14.
18, 25. — 5, 23.
19, 24. — 6, 7.
22, 18. — 19, 14.
32, 28. — 6, 11.
32, 30. — 6, 14.
49, 10. — 21, 26.
Exod. 3, 4. — 7, 13.
12, 19. — 28, 2.
15, 1. — 435, 3.
15, 4. — 434, 11.
15, 10. — 434, 28.
20, 3. — 364, 14.
20, 5. — 305, 28.
22, 20. — 364, 14.
25, 40. — 11, 30.
Levit. 26, 12. — 467, 25.
Numer. 36, 6. — 29, 2.
Deuteron. 19, 14. — 301, 21.
Josuae 5, 13. — 6, 29.
1 Paral. 16, 22. — 18, 28.
Job. 9, 10. — 452, 13.
Psalm. 2, 1 et 7. — 13, 6.
2, 8. — 100, 12.
7, 16. — 434, 20.
Psalm. 8, 3. — 459, 8.
9, 6. 7. — 459, 22.
17 (18), 42. — 459, 25.
18 (19), 5. — 49, 24. 100, 15.
25 (26), 8. — 452, 4.
32 (33), 9. — 5, 3.
32 (33), 16. — 440, 22.
36 (37), 14. — 459, 18.
36 (37), 35. — 448, 10.
43 (44), 2. — 451, 13.
44 (45), 7. — 15, 7.
45 (46), 9. — 448, 1.
47 (48), 2. — 452, 8.
47 (48), 9. — 451, 23.
57 (58), 7. — 459, 5.
67 (68), 31. — 47, 20.
72 (73), 20. — 459, 29.
73 (74), 5. — 460, 20.
79 (80), 13. — 460, 25.
86 (87), 3. — 451, 29.
88 (89), 40. — 350, 12.
97 (98), 1. — 447, 12.
102 (103), 3. — 472, 8.
103 (104), 16. — 463, 31.
106 (107), 20. — 6, 4.
106 (107), 40. — 351, 3.
109 (110), 1. — 15, 24.
112 (113), 7. — 452, 16.

*) Numeri paginas et versus huius editionis indicant.

Digitized by Google

Psalm. 121 (122). 1. — 452, 3.
135 (136). 4. 17. 23. — 452, 26.
145 (146). 3. — 446, 10.
Proverb. 8, 12 — 7, 26.
Jesaiae 3, 10. — 78, 29.
7. 14. — 208, 12.
35, 1. — 460, 7.
35, 6. — 461, 6.
43, 19. — 322, 6.
49, 8. — 310, 20.
49, 18. — 466, 17.
51, 17. — 466, 4.
52, 1. — 466, 14.
53, 8. — 3, 30.
54, 4. — 465, 26.
54, 11. — 469, 17.
61, 1. — 15, 3.
61, 10. — 465, 16.
65, 15. — 17, 17.
66, 3. 4. — 305, 19.
66, 8. — 17, 14.
Thren. Jerem. 2, 1. 2. — 350, 12.
4, 20. — 13, 3.
Ezech. 13, 3. — 305, 8.
37, 7. — 449, 23.
Daniel. 7, 9. — 10, 29.
9, 26. — 24, 7.
12, 10. — 126, 29.
Michae 5, 2. — 29, 17.
Hagg. 2, 9. — 462, 5.
Salom. Sap. 6, 20. — 207, 27.
Tob. 12, 7. — 306, 13.
Matthaei 1, 15. — 25, 23.
1, 16. — 26, 1.
1, 18. — 45, 7.
2, 22. — 33, 2.
4, 12. — 113, 30.
7, 20. — 223, 9.
10, 9. — 222, 29.
10, 10. — 245, 17.
10, 18. — 394, 27.
11, 27. — 4, 1.
13, 7. — 447, 20.
16, 17. — 327, 18.
16, 18. — 271, 3.
18, 7. — 378, 11.
19, 12. — 249, 13.
19, 23. — 284, 32.
Matthaei 24, 19. — 95, 29.
24, 24. — 429, 6.
28, 19. — 88, 10.
Marci 1, 14. — 114, 2.
Lucae 1, 3. — 86, 23.
1, 52. — 452, 18.
3, 1. — 26, 27.
3, 20. — 114, 4.
3, 23. — 25, 25.
10, 22. — 4, 1.
19, 42. — 96, 25.
21, 20. — 97, 5.
21, 23. — 97, 1.
Joannis 1, 1. — 4, 19. 329, 7.
1, 14. — 329, 7.
2, 11. — 114, 14.
3, 24. — 114, 18.
5, 19. — 457, 30.
16, 2. — 186, 24.
19, 15. — 54, 11.
21, 25. — 271, 8.
Act. Apost. — 38, 5. 75, 24.
85, 25. 86, 11.
1, 23. — 135, 5.
2, 3. — 470, 32.
2, 28. — 55, 21.
2, 45. — 65, 30.
4, 34. — 66, 4.
5, 29. — 231, 24. 306, 28.
5, 36. — 59, 3.
5, 37. — 20, 29.
7, 60. — 199, 15.
8, 1—5. — 46, 15.
11, 19. — 46, 19.
11, 29. — 55, 21. 59, 29.
12, 1. — 55, 29.
12, 3. — 56, 13.
12, 20. — 56, 26.
13, 5. — 328, 23.
13, 13. — 328, 26.
17, 34. — 87, 9.
18, 2. — 72, 3.
21, 8. — 123, 24.
21, 38. — 74, 12.
28, 30. — 74, 21.
Rom. 2, 16. — 86, 28.
8, 18. — 184, 14.
15, 19. — 270, 28.

Digitized by Google

Rom. — 16, 14. — 85, 10.
1 Corinth. 1, 1. — 38, 7.
2, 9. — 472, 1.
5, 3. — 308, 15.
15, 5. 7. — 38, 21.
2 Corinth. 3, 3. — 416, 15.
3, 6. — 270, 27.
11, 1. — 306, 10.
11, 6. — 271, 19.
Galat. 1, 19. — 45, 26.
2, 9. 13. — 38, 10.
2, 11. — 38, 6.
4, 25. — 408, 9.
Philipp. 2, 6. — 198, 13.
4, 3. — 87, 8. 104, 18.
4, 8. — 414, 23.
Coloss. 4, 10. — 74, 20.
2 Tim. 2, 8. — 86, 29.
4, 6. — 75, 19.
4, 10. — 87, 1.
4, 11. — 75, 21.
2 Tim. 4, 16. — 75, 2.
4, 21. — 203, 29.
Tit. 3, 10. — 153, 6.
Hebr. 10, 34. — 283, 19.
12, 6. — 461, 1.
12, 22. — 408, 10.
1 Petr. 1, 1. 85, 26.
5, 6. — 199, 10.
5, 13. 64, 9. 270, 19.
1. Joann. 1, 1. 2. — 327, 15. 329, 7.
Apoc. 1, 1. 2. — 327, 6.
1, 4. — 327, 11.
1, 9. — 327, 26.
2, 6. 15. — 120, 29.
10, 4. — 271, 10.
13, 5. — 304, 7.
14, 4. — 185, 22.
22, 7. 8. — 326, 18. 327, 30.
22, 11. — 196, 29.

Digitized by Google

INDEX

FONTIUM HISTORIAE EUSEBIANAE *).

Abgari epistola ad Christum Christique responsum 1, 13, 6. et 10.
Acta synodi de Beryllo Bostrensi habitae 6, 33, 3. Acta synodi Palaestinensis de celebratione festi paschalis 5, 23, 3.
Africani scripta 6, 31. Eius epistola ad Aristidem 1, 6, 2. 1, 7, 1.
Agrippae Castoris ἔλεγχος κατὰ Βασιλείδου (τοῦ γνωστικοῦ) 4, 7, 6.
Alexandri, episcopi Hierosolymitani, epistolae ad Antinoitas 6, 11, 3. ad Antiochenses 6, 11, 5. ad Origenem 6, 14, 8. ad Demetrium 6, 19, 17.
Anatolii, episcopi Laodiceni, κανόνες περὶ τοῦ πάσχα 7, 32, 13.
Anonymi liber πρὸς τὴν λεγομένην κατὰ Φρύγας αἵρεσιν 5, 16, 1.
Anonymi liber κατὰ τῆς Ἀρτέμωνος αἱρέσεως 5, 28, 1.
Apollinaris, episcopi Hierap. liber quidam, fortasse ejus apologia pro Christianis 5, 5, 4.
Apollonii liber adversus τὴν κατὰ Φρύγας καλουμένην αἵρεσιν 5, 18, 1.
Aristo Pellaeus 4, 6, 3.

Bruttius (sive Brettius) historicus significari creditur 3, 18, 4. collato Eusebio Chron. p. 382 ed. Mai. Dixit de eo Muellerus in Fragm. Histor. vol. 4 p. 352 post Bentleium in Epistola ad Millium p. 71 ed. Bonn.

Caji presbyteri Romani disputatio adversus Proculum Montanistam 2, 25, 6. 3, 28. 3, 31, 4. 6, 20, 3.
Clemens Alexandrinus
ejus Hypotyposes 5, 11, 2. 6, 14, 1.
lib. V. — p. 38, 9.
lib. VI. — p. 45, 11. 64, 3. 76, 27.
lib. VII. — p. 45, 22. 56, 2. 79, 18.

*) Numeri huius indicis sunt librorum, capitum et sectionum, nisi ubi littera „p.“ praescripta est, quae paginas huius editionis indicat.

Digitized by Google

Strom. 1, 1, 11. — p. 211, 3.
— 1, 21, 139 seqq. — p. 248, 27.
— 3, 4, 25. — p. 121, 2.
— 3, 6, 52. — p. 122, 2.
— 7, 11, 63. — p. 122, 11.
quis div. salv. §. 42. — p. 109, 5.
liber de pascha 4, 26, 4.
Cornelii episcopi Romani epistolae ad Fabium episcopum Antiochensem datae de Novatiano ejusque schismate 6, 43, 3.
Cornelii, episcopi Romani, epistolae ad Fabium, episcopum Antiochens. 6, 43, 3.
Cypriani episcopi Carthag. epistolae de Novatiano 6, 43, 3.

Dionysii, Corinthiorum episcopi, epistola ad Romanos 2, 25, 8. 4, 23, 9. ceterae ejus epistolae 4, 23, 2.
Dionysii, episcopi Alexandrini, libri duo περὶ ἐπαγγελιῶν 3, 28, 3. 7, 24, 1. ejus epistola ad Germanum episcopum 6, 40, 1. 7, 11, 1. epistola ad Fabium episcopum Antiochensem 6, 41, 1. 7, 32, 5. epistola ad Novatianum 6, 45, 1. ad Cornelium episc. Rom. 6, 46, 3. ad Hermammonem 7, 1, 1. 7, 10, 2. 7. 22, 11. 23. ad Stephanum de baptismo haereticorum 7, 2. 4. 5. ad Xystum de eadem quaestione 7, 5, 3. ad Philemonem presbyterum Romanum de re eadem 7, 7, 1. ad Dionysium presbyterum Romanum 7, 7, 6. ad eundem altera 7, 9, 6. epistola altera ad Xystum episcopum Romanum 7, 9, 1. epistola ad Xystum et ecclesiam Romanam 7, 10, 6. ad Domitium et Didymum 7, 11, 20. epistola paschalis ad Hieracem episcopum 7, 21, 2. alia epistola paschalis de pestilentia, quae Alexandriam urebat 7, 22, 1. reliquae ejusdem epistolae recensentur 6, 46. 7. prooem. 7, 20. 7, 22, 11. 7, 26, 1. 7, 27, 2.

Eusebii oratio de templo Christiano Tyri exstructo 10, 4, 2.

Hadriani edictum ad Minucium Fundanum 4, 9, 1. 4, 26, 10.
Hegesippi Commentarii (ὑπομνήματα) 3, 11. 16. 19. 20. 32, 4, 8, 1. 4, 22, 1. 4. 7. 8. eorum lib. V. 2, 23, 3.
Hippocrates p. 78 Foes. — p. 453, 14.
Homerus (Il. 2, 204) — p. 384, 6.

Ignatii Epistolae p. 128, 1.
Ep. ad Rom. 4. — p. 129, 29.
Ep. ad Rom. 5. — p. 128, 25.
Ep. ad Smyrn. 3. — p. 129, 23.
Josephus 1, 5, 3. 1, 8, 4. 1, 11, 9. 2, 23, 20.
Lib. c. Apion. 1, 8. — p. 101, 16.
Antiq. Jud. 14, 1, 3 — p. 22, 6.
14, 7, 3. — p. 22, 6.
17, 6, 5. — p. 30, 17.
17, 7. — p. 32, 20.
17, 8. — p. 33, 8.
18, 1, 1. — p. 20, 25. 21, 5.
18, 3, 2. — p. 33, 18. 34, 29.
18, 3, 3. — p. 37, 12.
18, 4, 3. — p. 23, 30.
18, 5. — p. 35, 29.
18, 5, 2. — p. 36, 19.
18, 6, 10. — p. 51, 5.
18, 8, 1. — p. 51, 20.
19, 8, 2. — p. 57, 8.
20, 1, 1. — p. 23, 30.
20, 5, 1. — p. 59, 11.
20, 5, 2. — p. 59, 24.
20, 5, 3. — p. 72, 12.
20, 8, 8. — p. 72, 22.

Digitized by Google

Antiq. Jud. 20, 9, 1. — p. 79, 31.
20, 10. — p. 23, 23.
20, 11, 2. — p. 102, 15.
Lib. de vita sua c. 65. — p. 102, 29.
Bell. Jud. 1 Prooem. — p. 100, 22.
1, 8, 9. — p. 22, 6.
1, 33, 5. — p. 33, 7.
1, 33, 7. — p. 32, 20.
1, 33, 9. — p. 33, 8.
2, 8, 1. — p. 21, 18.
2, 9, 2 et 4. — p. 54, 2.
2, 12, 1. — p. 72, 12.
2, 13, 3. — p. 73, 9.
2, 13, 5. — p. 73, 23.
2, 14, 9. — p. 82, 29.
2, 18, 2. — p. 83, 7.
5, 10, 2. — p. 89, 30.
5, 12, 3. — p. 91, 29.
5, 13, 6. — p. 93, 2.
6, 3, 3. — p. 93, 9.
6, 5, 3. — p. 98, 8.
6, 5, 3. — p. 100, 5.
6, 9, 2. — p. 96, 4.
7, 8, 1. — p. 20, 25.
Irenaeus adv. Haereses
1, 21, 3. — p. 148, 17.
1, 23. — p. 61, 11.
1, 23, 5. — p. 117, 28.
1, 24, 1. — p. 142, 1.
1, 25. — p. 142, 28.
1, 26, 1. — p. 120, 13.
1, 27, 1. — p. 147, 29.
1, 27, 4. — p. 208, 1.
1, 28, 1. — p. 180, 6.
2, 22, 5. — p. 108, 26.
2, 31, 2. — p. 204, 30.
2, 32, 4. — p. 205, 7.
3, 1, 1. — p. 206, 18.
3, 3, 3. — p. 147, 12. 203, 25.
3, 3, 4. — p. 109, 1. 120, 16. 132, 5. 152, 5.
3, 4, 3. — p. 147, 18.
3, 21, 1. — p. 208, 1.
4, 6, 2. — p. 169, 16. 208, 1.
4, 20, 2. — p. 207, 23.
4, 38, 3. — p. 207, 27.
5, 6, 1. — p. 206, 2.
5, 26, 2. — p. 169, 21.
Irenaeus adv. Haereses
5, 28, 4. — p. 129, 28. 208, 1.
5, 30, 1. — p. 207, 4.
5, 30, 3. — p. 105, 19. 207, 11.
5, 33, 3. — p. 208, 1.
5, 33, 4. — p. 133, 4.
Epistola ad Florinum 5, 20, 4.
Epistola ad Victorem pontificem Romanum 5, 24, 10.
fragm. — p. 152, 1. 225, 29. 226, 12. 232, 21.
Justini Martyris
Apol. maj. c. 1. — p. 150, 5.
— c. 26. — p. 60, 19. 117, 29. 149, 14.
— c. 29. — p. 144, 30.
— c. 31. — p. 145, 9.
— c. 68. — p. 146, 6. 150, 19.
Apol. min. c. 2. — p. 165, 12.
— c. 3. — p. 163, 20.
— c. 12. — p. 145, 17.
Dial. c. Tryph. c. 17. — p. 168, 21.
Fragmenta — 4, 16, 7. 9, 4, 18, 9.

Lugdunensis et Viennensis ecclesiae epistola ad ecclesias Asiae et Phrygiae 5, 1, 2. 5, 2, 1. 5, 3, 1.
Lugdunensium martytum epistola ad Eleutherum episc. Rom. 5, 4, 1.

Melitonis episcopi Sardiani liber de pascha 4, 26, 3. ejusdem apologia pro Christianis 4, 26, 5. ejusdem liber ἐκλογῶν 4, 26, 13.

Olympiadum ἀναγραφαί 2, 7.
Origenis Comment. in Genes. lib. III. — p. 84, 7.

Origenis Comment. in Genes. lib. IX. — p. 268, 18.
Comment. in Psalmum I. — p. 269, 12.
Homil. in Psalm. LXXXII. — p. 279, 1.
Comment. in Thren. — p. 268, 32.
Comment. in Evang. Matth. Tom. I. — p. 270, 10.
Comment. in Evang. Joann. Tom. V. — p. 270, 26.
Comment. in Evang. Joann. Tom. VI. — p. 268, 19.
Comment. in Evang. Joann. Tom. XXII. — p. 273, 17.
Homil. in Ep. ad Hebr. — p. 271, 16.
Epistolae quaedam p. 264, 7. 273, 17. 278, 6. 280, 21.

Papiae episcopi Hierapolitani *Λογίων κυριακῶν ἐξηγήσεις* — 2, 15, 2. 3, 39, 1, 3.
Phileae epistola 8, 10, 1.
Philonis Judaei scripta 2, 18, 1.
Legatio ad Gaium — p. 52, 22. 53, 11.
Lib. in Flacc. §. 1. — p. 52, 30.
Lib. de virtut. — p. 53, 26.
Lib. de vit. contempl. — p. 65, 8. 66, 10. 67, 18. 68, 19. 28. 69, 18.
Pinyti, ecclesiae Gnossiorum antistitis, epistola ad Dionysium 4, 23, 8.
Plinii Secundi epistolae p. 126, 7.
Polycarpi Epistolae ad Philipp. c. 9 et 13. — p. 130, 3.
Polycratis, Ephesiorum episcopi, epistolae ad Victorem, episcopum Romanum 3, 31, 2. 5, 24, 2.
Porphyrii opus *κατὰ Χριστιανῶν* 6, 19, 9. ibidem (6, 19, 4—8.) e tertio ejus operis libro loci quidam afferuntur.

Quadrati apologia pro Christianis 4, 3, 2.

Rhodonis liber adversus Marcionem 5, 13, 2.
Romanorum imperatorum edicta: Hadriani ad Minucium Fundanum 4, 9, 1. cf. 4, 26, 10. Marci Antonini (ut Eusebius tradit: revera M. Aurelii) ad commune Asiae 4, 13, 1. Galerii, Constantini, Licinii de Christianis 8, 17, 3. Maximini 9, 10, 7. Constantini et Licinii 10, 5, 2.
Romanorum imperatorum epistolae: Gallieni ad Dionysium et reliquos Aegypti episcopos 7, 13, 2. Maximini ad civitatem Tyriorum 10, 7, 2. ad Sabinum praefectum praetorio 10, 9, 1. Constantini ad Anulinum duae 10, 5, 15 et 7, 1. ejusdem epistola ad Miltiadem, episc. Rom. 10, 5, 18. ad Chrestum, Syracusanorum episcopum 10, 5, 21. ad Caecilianum episc. Carthag. 10, 6, 1. epistola Sabini, praefecti praetorio, missa ad praesides provinciarum orientis ex mandato Maximini 9, 1, 3.

Scriptores gentiles (*οἱ πόρρω τοῦ καθ' ἡμᾶς λόγου συγγραφεῖς*) 2, 8, 1. et 5, 5, 3. *Ἑλλήνων οἱ τὰ κατὰ τοὺς αὐτοὺς χρόνους γραφῇ παραδόντες* 4, 2, 5.
Serapionis epistola adversus Cataphrygas 5, 19, 1. ejusdem liber de Evangelio Petri 6, 12, 2.
Smyrnaeorum epistola ad Philomelienses de martyrio Polycarpi 4, 15, 2. 4, 15, 46.

Digitized by Google

Synodi Antiochensis epistola de Paulo Samosateno ad Dionysium Romanum et reliquos episcopos 7, 30, 2.

Tatiani Orat. ad Graecos
c. 18. et 19. — p. 164, 25.

Tertulliani Apolog.
c. 2. — p. 126, 28.
c. 5. — p. 48, 29. 81, 24. 107, 16. 202, 25.

Theoctisti Epistola ad Demetrium 6, 19, 17.

Titulus statuae Constantini imperatoris 9, 9, 1.

Digitized by Google

INDEX

HISTORICUS ET GEOGRAPHICUS*).

Abdus Edessenus, Abdi filius, sanatur a Thaddaeo I, 13, 18.
Abgarus rex Edessenorum litteras mittit ad Christum, qui ei rescribit I, 13. sanatur a Thaddaeo apostolo I, 13, 11. II, 1, 6.
Abrahamus Christum agnovit et coluit I, 2, 7. I, 4, 13. ἀρχηγὸς καὶ προπάτωρ Ἑβραίων I, 4, 5. justificatur per fidem suam I, 4, 11.
Achaeus, praeses Palaestinae VII, 15, 3.
Achillas, ecclesiae Alexandrinae presbyter VII, 32, 30.
Achior Ammanites I, 7, 13.
Acta Apostolorum proximus post quattuor Evangelia liber I, 25, 1. reiecta ab Severianis IV, 29, 5.
Acta Pilati, conficta a paganis I, 9, 3. I, 11, 9. IX, 5, 1. 7, 1.

*) Indices in Eusebii Historiam ecclesiasticam alii alios confecerunt, nemo meliorem quam A. Schweglerus in editione a. 1852, qui nec molesta verbositate neque incommoda lectoribus brevitate laborat. Hunc igitur paucis mutatis adscivi, ut F. A. Heinichenus quoque in editione altera (1868) fecit. Omisi vero brevem quam Schweglerus addiderat tabulam chronologicam, qua imperatores Romanos inde ab Octaviano Augusto usque ad Constantinum (a. 324) enumeravit, de quibus nulla est dubitatio, et pontifices Romanos usque ad Eusebii aetatem, quorum nec de annis per quos singuli sedem apostolicam tenuerint nec de nominibus omni ex parte constat: de quo videnda quae allatis scriptorum testimoniis dixit Clintonus in Appendice ad Fastos Romanos vol. 2. p. 537—539. Non minor de episcopis Alexandrinis, Antiochenis et Hierosolymitanis dissensus est, quos Clintonus ib. enumeravit p. 535, 536. Pontifices Romanos, qui post Petrum sedem apostolicam tenuerint, Eusebius in Historia ecclesiastica memorat unum et triginta, ut videre licet in Indice s. v. Roma, omissis tamen duobus (28 30).

Digitized by Google

Actium, promontorium et urbs VI, 16, 2. ubi libri alii Ἀκτίοις alii Ἀκτίῳ.
Adauctus martyr VIII, 11, 2.
Adiabeni II, 12, 3. VIII, 17, 3.
Adrianus martyr De mart. Pal. XI, 29.
Aedesius martyr ib. V, 2.
Aegyptiis evangelium praedicat Marcus II, 16. Aegyptius pseudopropheta II, 21. Magi Aegyptii VII, 10, 4. Aegypti metalla III, 7, 2.
Aelia Capitolina, quondam Hierosolyma II, 12, 3. IV, 6. 4. VII, 5, 1. De mart. P. XI, 4. sic appellata εἰς τὴν τοῦ κρατοῦντος Αἰλίου Ἀδριανοῦ τιμήν IV, 6, 4. bibliotheca ibi condita ab Alexandro episcopo VI, 20, 1.
Aelianus episcopus VII, 30, 2.
Aelius Publius Julius, episcopus Develti V, 19, 3.
Aemilianus, praefectus Aegypti VII, 11, 3.
Aemilius, M. II, 2, 5.
Aemilius Frontinus, proconsul Asiae V, 18, 9.
Aethiopicae reginae δυνάστης quidam a Philippo baptizatur, unde religio Christiana propagatur in Aethiopiam II, 1, 13.
Africani, Julii, scripta VI, 31. epistola ad Aristidem de evangeliorum dissensu in recensenda stirpe Christi I, 6, 2. I, 7, 1. VI, 31, 3.
Agabus propheta I, 17, 3. praedicit famem futuram sub Claudio II, 3, 4. II. 8, 1.
Agapius, episcopus Caesareae III, 2, 24.
Agapius martyr De mart. P. III, 1. VI, 3.
Agapius alter, martyr De mart. P. III, 4.
Agathobuli duo, magistri cognominati VII, 32, 16.
Agathonica martyr IV, 15, 48.
Agrippa major fit rex Judaeae II, 4. 1. Jacobum apostolum fratrem Joannis interficit II, 9, 1. Petrum apostolum in vincula conjicit II, 9, 4. moritur II, 10, 1. quam diu vixerit et regnaverit II, 10, 9.
Agrippa minor fit rex Judaeorum II, 19, 2. Ananum pontificem sacerdotio exuit II, 23, 24. interest bello Judaico III, 10, 10.
Agrippa Castor scripsit adversus Basilidem IV, 7, 6.
Agrippinus episcopus nonus ecclesiae Alexand. IV, 19. V, 9.
Alabarches. V. Alexander.
Albinus procurator Judaeae II, 23, 21.
[Albinus philosophus Platonicus VI, 19, 8 ex emendatione Ruhnkenii (De Longino p. 83 ed. Weisk.) pro Λογγίνου.]
Alburnus II, 2, 5.
Alce, soror Nicetae IV, 15, 41.
Alcibiades, martyr Lugdunensis V, 3, 2.
Alcibiades Montanista V, 3, 4. Eius nomen pro Ἀλκιβιάδης recte restitui videtur V, 16, 3 pro Μιλτιάδης.
Alexander maritus Salomes, Herodis Magni sororis I, 8, 13.
Alexander ἀλαβάρχης II, 5, 4.
Alexander episcopus quintus ecclesiae Romanae IV, 1, 4. V, 7, 4.
Alexander, martyr Lugdunensis V, 1, 49.
Alexander, martyr Apameae V, 16, 22.
Alexander Montanista V, 18, 6.
Alexander episcopus tricesimus quintus eccl. Hierosolym. VI, 8, 7. VI, 11, 1. VI, 13, 3

Digitized by Google

Clementis Alex. et Pantaeni mentionem facit VI, 14, 8. Origenem ordinat VI, 8, 4. ejus epistola ad Demetrium VI, 19, 12. Origenem colit et summo studio audit VI, 27. conditor bibliothecae urbis Aeliae VI, 20, 1. martyrium subit VII, 5, 1. VI, 39, 1. VI, 46, 4. Ad eundem VII, 5, 1 recte rettulit Valesius, verbis κοιμηθέντος Ἀλεξάνδρου post ἐν Αἰλίᾳ transpositis cum Rufino, ut postulat VI, 39, 3.

Alexander Severus imp. Rom. VI, 21, 2. 22, 1. 24, 3. 28, 1.

Alexander, martyr Alexandriae VI, 41, 17.

Alexander, martyr Caesareae VII, 12, 1.

Alexander Aegyptius, martyr De m. P. III, 3.

Alexander Gazensis, martyr ib.

Alexander Phryx V, 1, 49.

Alexandriae sub Gaio imp. seditio II, 5, 2. ibidem Judaei tumultum excitant sub Trajano imp. IV, 2. ingens ibi hominum multitudo religionem Christianam amplectitur II, 16. Therapeutae ibi plurimi II, 17, 8. Alexandrina ecclesia fundatur II, 16. magna Alexandriae martyrum multitudo sub Severo VI, 1. quomodo Alexandriae adversus Christianos saevitum sit in persecutione Deciana VI, 41, 1. Alexandria Dionysii aetate seditionibus et turbis intestinis laborat, deinde pestilentia et fame VII, 21, 2. 9. 22, 1. quibus mirum quantum imminuitur incolarum numerus VII, 21, 9. Alexandriae obsessio quae fuit aetate Aureliani VII, 32, 7. — Alexandrina schola catechetica V, 10, 1. 4. VI, 3, 1. 3. 8. 6, 1. 8, 1. 3. 14, 11. 26. 29, 5. Alexandrinae ecclesiae episcopi post Marcum (II, 15, 1. III, 39, 15.) 1. Annianus. 2. Avilius. 3. Cerdo. 4. Primus. 5. Justus. 6. Eumenes. 7. Marcus. 8. Celadio. 9. Agrippinus. 10. Julianus. 11. Demetrius. 12. Heraclas. 13. Dionysius. 14. Maximus. 15. Theonas. 16. Petrus.

Allegorica Therapeutarum interpretatio II, 17, 10. 20.

Alphaeus martyr De m. P. I, 5.

Amasia, urbs Ponti X, 8, 14.

Amastris urbs IV, 23, 6.

Ambrosius Valentinianus ab Origene ad rectam fidem conversus VI, 18, 1. Origenem ad scribendos in sacram scripturam commentarios impellit VI, 23, 1. confessor sub Maximino imp. VI, 28.

Ammia prophetissa Christiana V, 17, 2. 3. 4.

Ammon, miles legionarius martyr Alexandriae VI, 41, 22.

Ammon, episcopus Berenices VII, 26, 1.

Ammonarium virgo, martyr Alexandriae VI, 41, 18.

Ammonius presbyter et martyr VIII, 13, 7.

Ammonius philosophus VI, 19, 6. 7. 9. 10. Ammonii liber de consensu Moysis et Christi VI, 19, 10.

Ananus minor, pontifex Judaeorum II, 23, 21.

Anatolius, episcopus Laodiceae VII, 32, 6.

Anchialus urbs V, 19, 3.

Ancyra, urbs Galatiae V, 16, 4.

Andreas apostolus III, 39, 4. in Scythia evangelium praedicat III, 1, 1. Andreae acta apocrypha III, 25, 6.

Anea vicus De m. P. X, 2.

Anencletus. episcopus secundus ecclesiae Romanae III, 13 et 15 et 21. V, 6.

Anicetus episcopus decimus eccl. Romanae IV, 11, 1. 7. IV, 14, 1. 5. IV, 19. 22, 3. V, 6, 4. 24, 14 et 16.

Annas pontifex Judaeorum I, 10, 2. 4. Ἄνναvoς vel Ἄνανος in excerptis ex Josepho I, 10, 5.

Annianus episcopus primus ecclesiae Alexandrinae II, 24. III, 14. III, 21, 1.

Anteros episcopus decimus octavus ecclesiae Rom. VI, 29, 1.

Anthimus episcopus Nicomediae et martyr VIII, 6, 6. 13, 1.

Antinoïa, urbs Aegypti VI, 11, 3. ubi gentile Ἀντινοΐτας vel Ἀντινοείτας.

Antinous servus Hadriani IV, 8, 2. 3. in ejus honorem condita urbs et certamen (ἀγὼν Ἀντινόειος) institutum IV, 8, 2.

Antiochia urbs II, 4, 3. III, 4, 6. VI, 21, 4. 46, 3. VII, 5, 1. VIII, 12, 2. 3. 5. 13, 2. 4. IX, 6, 3. IX, 11, 5. De m. P. II, 1. Christiani Antiochenses sublevant inopiam Christianorum Hierosolymitanorum II, 8, 2. 12, 2. schola philosophica Antiochensis VII, 29, 2. Antiochenses petunt a Maximino ut Christiani urbe sua expellantur IX, 2. synodus Antiochensis de Paulo Samosatensi: v. Paulus Samosatensis. Antiochensis ecclesiae episcopi post Petrum (de quo v. s. Petrus). 1. Evodius. 2. Ignatius. 3. Heros. 4. Cornelius. 5. Eros. 6. Theophilus. 7. Maximinus. 8. Serapio. 9. Asclepiades. 10. Philetus. 11. Zebinus. 12. Babylas. 13. Fabius. 14. Demetrianus. 15. Paulus Samosatensis. 16. Domnus. 17. Timaeus. 18. Cyrillus. 19. Tyrannus. V. locos sub his nominibus indicatos.

Antipater, Herodis Magni pater I, 6, 3. 7, 11.

Antoninus Pius, imp. Rom. IV, 8, 3. 10, 1. 11, 11. IV, 12. 15, 10. 17, 10. 18, 2. quae de Christianis praeceperit IV, 26, 10. V, 6, 7. ei attribuit Eusebius epistolam ad commune Asiae, quae est de Christianis IV, 13.

Antoninus episcopus vicesimus septimus eccl. Hierosol. V, 12, 2., ubi Ἀντωνῖνον addendum ex Euseb. Chron.

Antoninus presbyter, martyr De mart. P. IX, 5.

Antonius triumvir I, 5, 2. 7, 12.

Anulinus proconsul Africae X, 5, 15. 20. X, 6, 4. 7, 1.

Apamea urbs V, 16, 18.

Apellaeus mensis De m. P. X, 1.

Apelles Marcionita V, 13, 2. 5. 9.

Apion scriptor ecclesiasticus V, 27.

Apion grammaticus, legatus Alexandrinorum idemque adversarius Judaeorum II, 5, 3. scripsit adversus eum Josephus III, 9, 4. Petri et Apionis dialogi apocryphi III, 39, 5.

Apollinaris episcopus Hierapolitanus IV, 21. 26, 1. ejus apologia pro Christianis IV, 26, 2. 27. eius scripta ib. impugnat Montanistas V, 16, 1. 19, 1. 2.

Apollonia virgo, martyr Alexandriae VI, 41, 7.

Apollonides haereticus V, 28, 17.

Apollonius, scriptor adversus Montanistas V, 18, 1.

Digitized by Google

Apollonius martyr Romae V, 21, 2.
Apollophanes philosophus Stoicus VI, 19, 8.
Apostatae ad ecclesiam denuo admissi VII, 7, 4.
Apostoli Jesu Christi I, 10, 7. 12, 1. II, 1, 4. III, 5, 2. 24, 5. 32, 8. 36, 13. 37, 1. 39, 4. 10. ubi singuli quique evangelium praedicaverint III, 1. qui ex iis habuerint uxores III, 30. sermonis elegantiae haud student III, 24, 3. eorum imagines VII, 18, 4. *αἱ διδαχαὶ τῶν ἀποστόλων* (liber apocryphus) III, 25, 4.
Apphianus martyr De m. P. IV, 2.
Aquila et Priscilla II, 18, 9.
Aquila Ponticus, interpres Veteris Testamenti V, 8, 10. VI, 16, 1. 4.
Aquila, praefectus Alexandriae VI, 3, 3. 5, 2.
Aquila presbyter Alexandrinus VII, 11, 24.
Arabia VI, 19, 5. VI, 37. VII, 6, 2. VIII, 12, 1. Arabum haereses VI, 37.
Arabianus, scriptor ecclesiasticus V, 27.
Ἀράβιον ὄρος Aegypti VI, 42, 3. 4.
Archelaus Herodis Magni filius et successor I, 6, 9. 10. I, 8, 17. 9, 1.
Ardaba, vicus Phrygiae V, 16, 7.
Arelate, urbs Galliae X, 6, 23.
Ares martyr De m. P. X, 1.
Areta, uxor Herodis minoris I, 11, 1.
Aretas Petraeorum rex I, 11, 2.
Aristarchus Pauli ap. in captivitate socius II, 22, 1.
Aristides quidam I, 7, 1. VI, 31, 3.
Aristides auctor apologetici pro Christianis IV, 3, 3.
Aristion quidam laudatus a Papia III, 39, 4. 5. 7. 14.
Aristo Pellaeus IV, 6, 3.
Aristobulus pontifex Judaeorum I, 6, 6. VII, 12.
Aristobulus philosophus Peripateticus VI, 13, 7. VII, 32, 16.
Aristoteles philosophus V, 28, 14. VII, 32, 6.
Armenia VI, 46, 2. Armeniorum natio VIII, 17, 3. Maximini bellum adversus Armenios Christianos IX, 8, 2. 4.
Arsinoitica praefectura (*ὁ Ἀρσινοΐτης* sc. *νομός*) VII, 24, 6.
Artaxerxes Persarum rex III, 10, 3. 4. V, 8, 15.
Artemisius mensis III, 8, 5.
Artemonis haeresis V, 28. VII, 30, 16. 17.
Ascalon, urbs Palaestinae I, 7, 11. De m. P. X, 1.
Asclepiades episcopus nonus ecclesiae Antioch. VI, 11, 4. 21, 2.
Asclepiades haereticus V, 28, 16.
Asclepiodotus haereticus V, 28, 8.
Asclepius, episcopus Marcionitarum, martyr De m. P. X, 3.
Asphaltites lacus I, 8, 10.
Asterius Urbanus V, 16, 17.
Astyrius, vir senatorius et Christianus VII, 16 et 17.
Ater, martyr Alexandriae VI, 41, 19.
Atheniensis ecclesia III, 5, 10. IV, 23, 2. Eius episcopi ab Eusebio memorantur Dionysius Areopagita, Publius, Quadratus. Litteras ad eam dat Dionysius Corinthiorum episcopus VI, 23, 2. Athenis commoratur Origenes IV, 23, 2.
Athenodorus, auditor Origenis, episcopus in Ponto VI, 30. VII, 14. 28, 1.
Attalus Pergamenus, martyr

Digitized by Google

Lugduni V, 1, 17. 37. 43. 50. V, 3. 2.
Atticus, vir consularis, legatus Syriae III, 32. 3. 6.
Atticus, episcopus Synnadae VI, 19, 18.
Audynaeus mensis De m. P. X, 2.
Augustus imp. Rom. I, 5, 2. 6, 2. 8. I, 7, 12. 9, 1. IV, 26, 7. 8.
Aurelianus imp. Rom. VII, 28, 4. 30, 19. 20. 22.
Aurelius imp. Rom. V. Marcus Aurelius.
Aurelius Cyrenius martyr V, 19, 3.
Aurelius Cyrenius, procurator summae rei VII, 13.
Autolycus, homo Christianus IV, 24.
Auxentius martyr De m. P. VII, 4.
Avilius episcopus Alexandriae III, 14.
Avircius Marcellus V, 16, 3.

Babylas episcopus duodecimus eccl. Antiochensis VI, 29, 5. 39, 4.
Babylon in priori Petri epistola Romam significat II, 15, 2.
Bacchylides, homo Christianus IV, 23, 6.
Bacchyllus Corinthiorum episcopus V, 22. 23, 4.
Baptismus aegrotorum in lecto VI, 43, 14. quaestio de baptismo haereticorum VII, 2, 3. VII, 5, 4. VII, 7. 9, 6.
Barcabbas et Barcoph IV, 7, 7.
Barcochebas, Judaeorum dux IV, 6, 2. Christianos persequitur IV, 8, 4.
Bardesanes Syrus ejusque scripta IV, 30.
Barnabas unus ex septuaginta Christi discipulis I, 12, 1. II, 4. 3. 8, 2. 12, 2. ejus epistola III, 25, 4. VI, 13, 6. 14, 1.
Bartholomaeus Indis evangelium praedicasse dicitur V, 10, 3.
Basilicae Tyri descriptio X, 4. 63. Basilicae XL Romae tempore Diocletiani VI, 43, 11.
Basilicus Marcionita V, 13, 3.
Basilides Gnosticus, ejus doctrina et scripta IV, 7, 3. Basilidiani IV, 22, 5.
Basilides martyr Alexandriae VI, 5, 1.
Basilides, episcopus Pentapoleos VII, 26, 3.
Bathezor, oppidum trans Jordanem situm III, 6, 21.
Beneficiarii milites IX, 9, 7. ubi libri alii *βενεφικιαλίων*. Itidem *ὀφφικιάλιοι* IX, 10, 8.
Benjamin episcopus ecclesiae Hierosol. IV, 5, 3.
Berenice, urbs Aegypti VII, 26, 1.
Beryllus, Bostrorum episcopus VI, 20, 2. 33, 1. ejus christologia VI, 33, 1. ab Origene ad rectam fidem revocatur VI, 33, 2.
Berytus urbs De m. P. IV, 3. 5.
Besas, martyr Alexandriae VI, 41, 16.
Beseleel X, 4, 3. 25.
Bethlehem I, 5, 2. 8, 1. 9, 16.
Biblias (*Βιβλιὰς, ἡ*) martyr Lugdunensis V, 1, 25.
Bithynia III, 1, 1. 4, 2. VII, 5, 2.
Bitthera urbs Judaeae munitissima IV, 6, 3.
Blandina martyr V, 1, 17. 37. 41. 53. 55.
Blastus haereticus V. 15. 20, 1.
Bolanus episcopus VII, 30, 2.
Bostra, Arabiae urbs VI, 20, 2. 33, 1. VII, 28, 1.
Bruchium, pars urbis Alexandriae VII, 32, 7, ubi libri *Προυχείου, Περουχείου, Πυρουχίου, Περουχίου, Βρουχίου*

Caecilianus, episcopus Carthaginiensis X, 5. 18. 19. 6, 1.
Caesarea s. Stratonis turris, urbs Palaestinensis II, 10, 1. 3. III, 32, 5. V, 22. 23, 3. VI, 8, 4. 23, 4. VI, 26. 30. 32. 39, 2. VII, 5, 1. VII, 12. 14. 28, 1. 32, 21. 24. VIII, 13, 6. De m. P. II, 2. III, 4. IV, 5. VI, 1. VII, 1. 7. VIII, 3. 8. IX, 7. X, 2. XI, 2. 6. 29. 30.
Caesarea, urbs Cappadocum VI, 26. 45, 3. VII, 14. 28, 1. 30, 3.
Caesarea Philippi (s. Paneas s. Neapolis), urbs Phoenices VII, 17. 18.
Caiphas pontifex Judaeorum I, 10, 2.
Caius Caesar (Caligula) Tiberio succedit II, 4, 1. ejus φρενοβλάβεια et θεοστυγία II, 5, 1. 18, 8. legatos Judaeorum male habet et Judaeos odit et vexat II, 5, 5. 6, 1. templa Judaeorum replet statuis et imaginibus suis et templum Hierosolymitanum ex se appellari jubet II, 6, 2. vita decedit II, 8, 1.
Caius, scriptor catholicus, qui Romae vixit sub Zephyrino, ejusque disputatio adversus Proculum Montanistam II, 25, 6. 31, 4. VI, 20, 3. De apocalypsi Joannis III, 28, 1.
Caius episcopus vicesimus primus ecclesiae Hierosol. V, 12, 2.
Caius episcopus vicesimus tertius eccl. Hierosol. V, 12, 2.
Caius, martyr Apameae V, 16, 22.
Caius, clericus Alexandriae VII, 11, 22.
Caius episcopus vicesimus septimus ecclesiae Romanae VII, 32, 1.
Callirrhoë locus in Judaea aquis calidis illustris I, 8, 10.
Callistio quidam V, 13, 8.
Callistus episcopus decimus quintus eccl. Rom. VI, 21, 2.
Candidus, scriptor ecclesiasticus V, 27.
Canon ecclesiasticus librorum Veteris Testamenti secundum Melitonem IV, 26, 12. secundum Origenem VI, 25. librorum Novi Testamenti secundum Irenaeum V, 8. secundum Clementem Alex. VI, 14. secundum Origenem VI, 25, 3. secundum Eusebium III, 25. Veteris Testamenti libros summatim recenset Josephus: de quo III, 10.
Capito episcopus decimus quintus eccl. Hierosol. V, 12, 2.
Cappadocia III, 1, 2. 4, 3. VI, 11, 2. 26. VII, 5, 1. 4. VIII, 12, 1. De m. P. XI, 21. 27.
Capparattea, vicus Samariae III, 26, 3.
Caracalla imp. Rom. VI, 8, 7. 16, 4, 21, 1.
Caricus, vir ecclesiasticus V, 19, 1. VI, 12, 1.
Carinus imp. Rom. VII, 31, 22.
Carpocrates Gnosticus IV, 7, 9. Carpocratiani IV, 22, 5.
Carporum natio VIII, 17, 3.
Carpus martyr IV, 15, 48.
Carthago VII, 3. X, 5, 18. 6, 1.
Carus imp. Rom. VII, 31, 22.
Cassianus, episcopus decimus septimus ecclesiae Hierosol. V, 12, 2.
Cassianus chronographus VI, 13, 7.
Cassius episcopus Tyri V, 25.
Cataphryges. V. Montanistae.
Cathari (Novatiani) VI, 43, 1.
Celadio episcopus octavus eccl. Alexandrinae IV, 11, 6. IV, 19.

Digitized by Google

Celerinus, confessor Romae VI, 43, 6.
Celsus, episcopus Iconii VI, 19, 18.
Celsus Epicureus VI, 36, 2.
Cephas, de quo loquitur Paulus in epistola ad Galatas, fuit unus e septuaginta Christi discipulis, ut perhibet Clemens Alex. I, 12, 2.
Cephro, vicus Aegypti VII, 11, 5. 10. 12. 15. 17.
Cerdo episcopus tertius ecclesiae Alexandrinae III, 21, 1. IV, 1.
Cerdo haereticus IV, 10. 11, 1. 2.
Cerinthus ejusque doctrina III, 28, 1 seqq. VII, 25. creditur a quibusdam composuisse apocalypsin Joannis III, 28, 2. VII, 25, 2. Joannes apostolus ejus congressum fugit III, 28, 6. IV, 14, 6.
Chaeremon, philosophus Stoicus VI, 19, 8.
Chaeremon, episcopus urbis Nili VI, 42, 2.
Chaeremon, diaconus ecclesiae Alex. VII, 11, 3. 5. 24.
Chrestus, episcopus Syracusanorum X, 5, 21.
Christianorum nomen primo Antiochiae usurpatur II, 3, 3. Christianorum mores et instituta teste Plinio III, 33. confictum adversus eos crimen infanticidii et incestus V, 1, 14, 26. 52. unde illud natum IV, 7, 11.
Christi *οἰκονομία* et *θεολογία*, praesertim ejus *προΰπαρξις* exponuntur I, 2, 1. Christus omnibus prophetis et viris justis Veteris Testamenti apparuit atque ab iis agnitus est I, 2, 6. Christi nomen a Moyse et a prophetis pronunciatur et honoratur I, 3, 1. Christus, ὁ *προὼν λόγος*, ante incarnationem suam *τὰ θεοσεβείας σπέρματα* multorum hominum animis injecit I, 2, 22. Christi *ἐνανθρώπησις* I, 2, 23. ejus annus natalis I, 5, 1. Christi *ἐπιφάνειαν* congruere cum vaticinio Moysis demonstratur ex defectu regum et sacerdotum vernaculorum I, 6, 1. Christi genealogia I, 7, 1. Christus quando baptizatus sit a Joanne, quando docendi initium fecerit et quamdiu docuerit I, 10, 1. duodecim discipulos et alios septuaginta eligit I, 10, 7. Christi discipuli septuaginta qui fuerint I, 12, 1. Christi miracula IV, 3, 2. Christi epistola ad Abgarum I, 13, 10. Christi vaticinium de Hierosolymis III, 7, 1. 4. vaticinium de Christi regno I, 8, 11. Christi *συγγενεῖς κατὰ σάρκα* I, 7, 11. 14. III, 11. III, 19. 32, 5. 6. Josephi de Christo testimonium I, 11, 7. Thaddaei apostoli de rebus Christi narratio I, 13, 20. Christi statua in urbe Caesareae Philippi VII, 18, 1. Christi imagines pictae VII, 18, 4.
Chrysophora, mulier Christiana IV, 23, 13.
Cilicia VII, 5, 1. 4. De m. P. IX, 13. X, 1. XI, 6.
Clarus, episcopus Ptolemaidis V, 25.
Claudius imperator succedit Gaio et sub eo fames magna II, 8, 11, 3. 12, 1. Judaeos Roma pellit II, 18, 9. Agrippam minorem constituit regem Judaeorum II, 19. moritur ib.
Claudius II. imp. Rom. VII, 28, 4.
Clemens Romanus, comes Pauli et ecclesiae Romanae episco-

Digitized by Google

pus tertius III, 5, 9. III, 15. 21. 34. V, 7. 2. 11, 1. VI, 25, 14. ejus epistola ad Corinthios III, 16. III, 38, 1. IV, 22, 1. 23, 11. V, 7, 3. VI, 13, 6. ejus epistola secunda et alia scripta (Petri et Apionis dialogi) temere ei tributa III, 39, 4. epistolam ad Hebraeos convertisse dicitur in Graecum sermonem III, 39, 2. et eam conscripsisse VI, 25, 14.

Clemens Flavius, consul Romanus III, 19, 4.

Clemens Alexandrinus V, 11, 1. 28, 4. VI, 15, 9. praeest scholae catecheticae Alexandrinae VI, 6. ejus scripta VI, 13. quomodo libros Novi Testamenti recenseat VI, 14. Clementis libros ab Eusebio citatos v. in indice scriptorum.

Clemens quidam presbyter VI, 11, 6.

Cleobiani haeretici IV, 22, 5.

Cleopas frater Josephi, patris Christi III, 11. pater Symeonis ib. III, 32, 1. 3. 6. IV, 22, 4.

Cnossus, urbs Cretae IV, 23, 7.

Cochaba, vicus Judaeae I, 7, 14.

Colluthio, locus quidam Mareoticae praefecturae in Aegypto VII, 11, 15.

Comane vicus V, 16, 17.

Cometes indicat obsidionem Hierosolymorum III, 8, 2.

Commodus imperator Rom. V, 9. V, 21, 1. 22, 1. 26. VI, 6.

Concilium Hierosolymitanum de creando successore Jacobi justi III, 11, 1.

Conon episcopus Hermopolitanus VI, 46, 2.

Constantinus imperator VIII, 13, 12. 14. 15. Augustus a militibus proclamatur VIII. app. §. 5. cum Galerio et Licinio Caesaribus edictum edit de Christianis (edictum anni 311. p. Chr.) VIII, 17, 5. ejus bellum adversus Maxentium IX, 9. victo Maxentio crucis signum Romae erigit IX, 9, 10. alterum ejus edictum de Christianis IX, 9, 12. et in append. c. 9, 11. edictum tertium (anni 313) X, 5, 2. ejus epistola ad Anulinum prima X, 5, 15. altera X, 7, 1. epistola ad Miltiadem, episcopum Romanum IX, 5, 18. epistola ad Chrestum episcopum Syracusanorum X, 5, 21. epistola ad Caecilianum, episcopum Carthaginiensium X, 6, 1. affinitatem jungit cum Licinio X, 8, 2. Licinium debellat X, 9.

Constantius Chlorus imp. Rom. VIII, 13, 11. 12. 13. VIII append. §. 4.

Coracio chiliasta VII, 25, 9.

Corinthia ecclesia a Petro et Paulo apostolis fundata II, 26, 8. dissidio turbatur III, 16. V, 7, 3. Hegesippi de ea testimonium IV, 21, 2. ad Corinthiam ecclesiam litteras dat Clemens Romanus. V. Clemens Romanus.

Corinthiorum episcopi Dionysius, Primus, Bacchyllus: quos vide.

Cornelius centurio a Petro baptizatur II, 3, 3.

Cornelius episcopus quartus ecclesiae Antioch. IV, 20.

Cornelius episcopus vicesimus ecclesiae Romanae VI, 39, 1. 43, 3. VII, 2. ejus epistola ad Fabium episc. Antioch. de schismate Novatiani VI, 43, 3. ad Dionysium episcopum Alex. VI, 46, 3. ei rescribit Dionysius ib.

Cornutus philosophus VI, 19, 8.

Digitized by Google

Corrector (κοῤῥήκτωρ) Siciliae X, 5, 23, in libris in κοντήκτορος vel κοντίκτορος corruptum. De correctoribus dixerunt Boecking. Notit. Dign. II. p. 1180 aliique ab interpretibus indicati.
Crescens a Paulo apostolo missus in Galliam III, 4, 8.
Crescens, philosophus cynicus IV, 16, 1. 3. 7. 8.
Cretae insulae ecclesiae III, 4, 5.
Crispus, Constantini filius X, 9, 4. 6.
Cronio, martyr Alexandriae VI, 41, 15.
Cronius philosophus VI, 19, 8.
Culcianus IX, 11, 4.
Cynica philosophorum schola IV, 16, 1.
Cyprianus episcopus Carthag. VI, 43, 3. ejus sententia de baptismo haereticorum VII, 3.
Cyrene IV, 2, 2 seqq.
Cyrillus episcopus decimus octavus ecclesiae Antiochensis VII, 32, 2. 4.

Damas, episcopus Magnesiae III, 36, 5.
Damascus urbs IX, 5, 4.
Davidis posteri conquiri jubentur a Vespasiano III, 12. a Domitiano III, 19. sub Trajano III, 32, 4. Symeon Clopae filius defertur ὡς ὢν ἀπὸ Δαβίδ III, 32, 3.
Decius imp. Romanus VI, 39, 1. 40, 2. 41, 1. VII, 1. 11, 18. 23, 12. VIII, 4, 2. ejus edictum adversus Christianos VI, 41, 10.
Demetrianus episcopus decimus quartus ecclesiae Antiochensis VI, 46, 4. VII, 5, 1. 14, 1. 27, 1. 30, 17.
Demetrius scriptor Judaicus VI, 13, 7.
Demetrius episcopus undecimus eccl. Alexandrinae V, 22. VI, 2, 2. 3, 2. 8. VI, 8, 3. 15, 11. 19, 5. 17. 19. VI, 26. 29, 5.
Demetrius, presbyter Alexandriae VII, 11, 24.
Desius mensis De m. P. 1, 2.
Develtum, colonia Thraciae V, 19, 3.
Diaconi septem primi II, 1, 1.
Didymus homo Christianus VII, 11, 20. VII, 20.
Diocletianus imp. Rom. VII, 30, 21. VIII, 2, 4. 13, 11. (τῷ πρωτοστάτῃ τῶν εἰρημένων) VIII append. § 3. (ὁ πρωτείων ἠξιωμένος). IX, 9, 1. 10, 8. De m. P. prooem. 1.
Dionysia, martyr Alexandriae VI, 41, 18.
Dionysius Aeropagita III, 4, 10. IV, 23, 3.
Dionysius Corinthiorum episcopus II, 25, 8. III, 4, 10. IV, 21. 23, 1. ejus epistolae IV, 23, 1.
Dionysius, presbyter, postea episcopus ecclesiae Romanae vicesimus quartus VII, 7, 6. 9, 6. VII, 13. 26, 1. 27, 1. 30, 1. 2. 23.
Dionysius episcopus decimus tertius ecclesiae Alexandrinae III, 28, 3. VI, 35. VII prooem. antea rector scholae catecheticae VI, 29, 5. ejus fata in persecutione Deciana et Valeriana VI, 40. VII, 11. Dionysii mors VII, 28, 3. 32, 3. Novatianum ad ecclesiam catholicam revocare studet litteris ad eum datis VI, 45. agit cum Stephano et Xysto de baptismo haereticorum VII, 2. 5, 3. Conf. VII, 5, 6. 7, 1. 6. sententiam suam de Paulo Samosatensi exponit per epistolam VII, 27, 2. Conf. VII, 30.

Digitized by Google

3. ejus sententia de lapsis VI, 42, 5. 45, 5. VII, 8. impugnat chiliasmum VII, 24, 3. ejus judicium de Cerintho et de apocalypsi Joannis III, 28, 3. VII, 25. Scripta ejus v. in indice scriptorum.

Dionysius presbyter Romanus VII, 6, 6.

Dionysius martyr De m. P. IV, 3.

Dionysius alter, martyr ib. 4.

Dioscorus adulescentulus, confessor VI, 41, 19.

Dioscorus, presbyter Alexandriae VII, 12, 24.

Diospolis urbs De m. P. IV, 3.

Dius episcopus tricesimus primus eccl. Hieros. VI, 10.

Dius, presbyter Alexandrinus, martyr VIII, 13, 7.

Dius mensis De m. P. I, 5. VI, 1. VII, 3. IX, 5.

Docetae VI, 12, 6.

Dolichianus, episcopus vicesimus nonus ecclesiae Hierosol. V, 12.

Domitianus succedit Tito III, 13. ejus saevitia III, 17. 21, 7. persequitur Christianos III, 17. 18, 4. 20, 5. IV, 26, 9. Davidis posteros conquiri jubet, interrogat et illaesos dimittit III, 19. III, 20, 3. 32, 5. moritur III, 20.

Domitilla Flavia III, 18, 4.

Domitius, homo Christianus, Dionysii Alex. aequalis VII, 11, 20. VII, 20.

Domninus, unus ex lapsis VI, 12, 1.

Domninus martyr De m. P. VII, 4.

Domnus, episcopus Caesareae VII, 14.

Domnus episcopus decimus sextus ecclesiae Antiochensis VII, 30, 17. 32, 2.

Dorotheus, presbyter Antiochensis VII, 32, 2.

Dorotheus cubicularius, martyr VIII, 1, 4. VIII, 6.

Dositheus Samaritanus IV, 22, 5.

Ducenarius VII, 30, 8.

Dyster mensis VIII, 2, 4. De m. P. IV, 4. XI, 30.

Ebionitae III, 27, 1. V, 8, 10. VI, 17.

Edessa (ἡ Ἔδεσσα et τὰ Ἔδεσσα) urbs I, 13, 4. II, 1, 6.

Elcesaitae haeretici VI, 38.

Eleazar pontifex Jud. I, 10, 5.

Eleutheropolis urbs De m. P. IX, 5. X, 2.

Eleutherus episcopus duodecimus eccles. Romanae IV, 11, 7. 22, 3. V prooem. V, 3, 4. 4, 2. 5, 9. 7, 4. V, 22.

Elias martyr De m. P. X, 1.

Elpistus, homo Christianus IV, 23, 6.

Emisa, urbs Phoeniciae VIII, 13, 4. IX, 6, 1.

Encratitarum haeresis IV, 28. 29.

Ennathas martyr De m. P. IX, 6.

Enochi liber VI, 32, 19.

Ephesus urbs III, 1, 1. 4, 5. 21, 9. 23, 4. 6, 8. 31, 3. 39, 6. IV, 13, 7. 14, 6. V, 8, 4. 18, 9. 14. V, 22. 24, 3. Ephesia ecclesia a Paulo apostolo fundata et a Joanne gubernata III, 23, 4. Ephesiae ecclesiae episcopi Onesimus et Polycrates, quos v. ad ecclesiam Ephesiam litteras dat Ignatius III, 36, 5. Ephesi duo sepulcra, quorum utrumque appellabatur Joannis III, 39, 6. VII, 25, 16.

Ephres episcopus decimus tertius eccl. Hierosol. IV, 5, 3.

Digitized by Google

Epimachus martyr Alexandriae VI, 41, 17.
Eros episcopus quintus ecclesiae Antioch. IV, 20.
Esra V, 8, 15.
Essaei IV, 22, 7.
Eubulus martyr De m. P. XI, 29.
Euclides, mathematicus Alexandrinus V, 28, 14.
Euelpis, vir ecclesiasticus VI, 19, 18.
Eumenea urbs V, 17, 22. 24, 4.
Eumenes episcopus sextus eccl. Alexandr. IV, 5, 5. 11, 6.
Eunus, qui et Cronio dicebatur, martyr Alexandriae VI, 41, 15.
Euphranor, Dionysii Alex. aequalis VII, 26, 1. 2.
Eupolemus, scriptor Judaicus VI, 13, 7.
Euporus quidam, Dionysii Alex. aequalis VII, 26, 1.
Eusebius, diaconus ecclesiae Alex. VII, 11, 3. 12, 24. 32, 8. 11. postea episcopus Laodiceae VII, 12, 26. 32, 5. 21.
Eusebius Caesareensis exponit historiae suae ecclesiasticae consilium I, 1. ait se primum omnium moliri ejusmodi opus I, 1. 3 et 5. ad historiam conscribendam utitur monumentis historicis, in bibliotheca urbis Aeliae Capitolinae asservatis VI, 20, 1. historiam suam incipiendam esse censet a Christi οἰκονομίᾳ καὶ θεολογίᾳ I, 1, 7. exponit sententiam suam de Christo ejusque divinitate I, cap. 1—3. visiones Dei tribuit Dei λόγῳ I, 2, 8. I, 4, 12. demonstrat antiquitatem religionis Christianae I, 4, 1. cur non prius manifestata sit explicat I, 2, 17. definit notionem hominis Christiani I, 4, 7. pios Veteris Testamenti viros quanquam non nomine, tamen re et facto Christianos fuisse adfirmat I, 4, 6. 11. 15. Eusebii canon librorum Novi Testamenti. V. Canon. Eusebii judicia de haeresibus et haereticis I, 1, 1. II, 1, 12. III, 26, 4. 27, 1. IV, 7, 2. 30, 3. VII, 31, 1. Cf. v. Haeretici. haeresium auctor ei esse videtur diabolus II, 1, 12. 13, 1. 14, 1. III, 26, 1. 4. 27, 1. IV, 7, 1. V, 14. VII, 31, 1. idem auctor persecutionum adversus Christianos institutarum IV, 7, 1. V, 21, 1. VI, 39, 5. VIII, 1, 6. 4, 2. 4. X, 4, 14. Conf. V, 1, 5. 14. 23. 27. 38. 42. V, 2, 6. VI, 43, 6. De m. P. IX, 1. XIII, 3. Eusebii sententia de lapsis V, 2, 8. X, 4, 35. judicium de cultu imaginum VII, 18, 4. Eusebius se ipsum significat verbis τις τῶν μετρίως ἐπιεικῶν X, 4, 1, ubi ejus oratio de templo Christiano Tyri exstructo affertur. Eusebius laudat libros suos chronicorum canonum I, 1, 6. laudat I, 2, 27. commentarios suos, in quibus composuerit τὰς περὶ Χριστοῦ προφητικὰς ἐκλογάς (qui liber ex uno cod. Vindob. ab Gaisfordo editus est Oxon. 1842.) idem verbis I, 6, 11. εἰς ἑτέραν ἀπόδειξιν et περὶ ὧν ἐν ἑτέροις διειλήφαμεν laudat vel libros Demonstrationis Evangelicae (VIII. p. 381.), vel, quod probabilius videtur Schweglero, libros Eclogarum Propheticarum (p. 149 seqq. ed. Gaisf.). laudat opus suum, quod inscribebatur συναγωγὴ τῶν μαρτυρίων vel τῶν ἀρχαίων μαρτυρίων (semel περὶ μαρ-

τύρων, V prooem. §. 2, ubi haud dubie μαρτυρίων scribendum cum Valesio) IV, 15, 47. V, 4, 3. 21, 5. promittit librum de martyribus iis, quorum martyria ipse viderit VIII, 13, 7. laudat opus suum apologiae Origenis VI, 23, 4. 33, 4. 36, 4. libros suos de vita Pamphili VI, 32, 3. VII, 32, 25. VIII, 13, 6. De m. P. XI, 3. Eusebii Quaestiones ad Stephanum I, 7, 1. 16.

Eutychianus, episcopus vicesimus sextus ecclesiae Romanae VII, 32, 1.

Eutychius VII, 30, 2.

Evangelia quattuor III, 25, 1. inter evangelia tria priora et evangelium Joannis quae intercedat ratio III, 24, 7. VI, 14, 7. evangelium secundum Hebraeos III, 25, 5. 27, 5. 39, 17. IV, 22, 8. dictum Christi quoddam desumptum ex Evangelio secundum Hebraeos VII, 7, 4. evangelia apocrypha III, 25, 6.

Evarestus episcopus quartus ecclesiae Romanae III, 34. IV, 1. V, 7, 4.

Evocatus III, 20, 1. Nomen in codicibus variis modis corruptum. In plerisque est Ἰουόκατος. Ἰούκατος apud Syncellum p. 652 ed. Bonn.

Evodius episcopus primus ecclesiae Antiochensis III, 22.

Fabianus episcopus decimus nonus eccl. Rom. VI, 29, 1. 36, 4. 39, 1.

Fabius (Fabianus) episcopus decimus tertius eccl. Antioch. VI, 39, 4. 41, 1. 43, 4. 44, 1. 46, 4. VII, 14, 1.

Fadus procurator Judaeae II, 11, 2.

Faustinus presbyter Alexandrinus VII, 12, 24.

Faustus diaconus ecclesiae Alex. VII, 11, 3. 6. 22. 24. 26.

Faustus, presbyter Alexandrinus, martyr VIII, 13, 7.

Felix procurator Judaeae II, 19, 2. 20, 1. 23, 21. 22. opprimit seditionem pseudoprophetae Aegyptii II, 21, 2.

Felix episcopus vicesimus quintus ecclesiae Romanae VII, 31, 23. 32, 1.

Festus procurator Judaeae II, 22, 1. 23, 2.

Firmilianus, Caesareae Cappadocum episcopus VI, 26. 27. VI, 46, 3. VII, 5, 1. 4. VII, 14. VII, 28, 1. 30, 3.

Firmilianus praeses Palaestinae De m. P. VIII, 1. IX, 5. XI, 8. 24. 26. 29. 31.

Flavia Neapolis, urbs Palaest. IV, 12.

Flavia Domitilla III, 18, 4.

Flavianus praeses Palaestinae De m. P. prooem. §. 1.

Flavius Clemens, consul Romanus III, 18, 4.

Flavius quidam, Dionysii Alexandrini aequalis VII, 20.

Florinus presbyter, postea haereticus V, 15. V, 20, 1.

Florus procurator Judaeae II, 26, 1.

Frumentarius miles VI, 40, 2.

Fundanus. V. Minucius.

Galatia III, 1, 2. 4, 2. V, 16, 4. VII, 6, 4.

Galba imperator Rom. III, 5, 1.

Galenus medicus et philosophus V, 28, 14.

Galerius Augustus ejusque edictum de Christianis VIII, 17, 3. idem significatur VIII append. §. 4.

Galilaeorum secta IV, 22, 7.

Digitized by Google

Gallia V, 1, 1. 3, 4. 23. 3. 24, 11. X, 5, 21. De m. P. XIII, 12.
Gallienus imp. Rom. VII, 10, 1. 11, 8. VII, 13. VII, 22, 12. 23, 1. 2. 28, 4. ejus edictum de re Christiana VII, 13.
Gallus imp. Rom. VII, 1. VII, 10, 1.
Gamala oppidum I, 5, 5.
Gamaliel Judaeus I, 11, 1.
Gaza urbs VIII, 13, 5. De m. P. III, 1. IV, 3. VIII, 4. 8. XIII, 4.
Germanicus martyr Smyrnensis IV, 15, 5.
Germanio episcopus tricesimus secundus eccl. Hieros. VI, 10.
Germanus episcopus, Dionysii Alexandrini obtrectator VI, 40, 1. VII, 11, 1. 18. 19.
Germanus martyr Palaest. De m. P. IX, 5.
Gittae (Γίτται) urbs Samariae II, 13, 3.
Gnostici IV, 7, 9.
Gordianus imp. Rom. VI, 29, 1. VI, 34.
Gordius episcopus tricesimus tertius eccl. Hieros. VI, 10.
Gorgonius, imperatoris cubicularius, martyr VIII, 1, 4. 6, 5.
Gorthaeus haereticus IV, 22, 5.
Gortyna, urbs Cretae IV, 23, 5. IV, 25. ad ecclesiam Gortynensem litteras dat Dionysius Corinth. episcopus IV, 23, 5.
Gratus, proconsul Asiae V, 16, 7.
Gregorius Neocaesareensis, auditor Origenis, episcopus in Ponto VI, 30. VII, 14. 28, 1. 30, 2. (Theodorus).

Hadrianus imperator Rom. IV, 3. 4. 5, 2. 5. 6, 3. 4. 8, 2. V, 12. ejus decretum de Christianis IV, 8, 6. 26, 10. V, 6, 7. ejus mors IV, 10, 1.
Hadrianus martyr De m. P. XI. 29.
Haeretici nonnisi post mortem apostolorum errores suos palam proferre ausi sunt II, 15, 3. III, 32, 7. haeresium initia IV, 22, 5. haereses emerserunt Ignatii maxime aetate III, 36, 4. haeretici Christianorum nomen fraudulenter usurpant et rem Christianam diffamant IV, 7, 2. 10. 13. a pastoribus ecclesiarum ubique refutantur IV, 24. haeretici libros sub Apostolorum nomine confingunt III, 25, 6. IV, 22, 9. VI, 20, 3. sacram scripturam et virorum ecclesiasticorum scripta adulterant IV, 23, 12. V, 28, 16. VI, 20, 3. quaestio de haereticorum baptismo. V. Baptismus. Eusebii judicia de haeresibus et haereticis. V. Eusebius.
Hebraeorum natio I, 2, 22. natio antiquissima I, 4, 5. VI, 14, 7. genuit viros pietate et justitia conspicuos I, 4, 5. Hebraeis evangelium praedicavit Matthaeus III, 24, 5. Evangelium secundum Hebraeos. V. s. v. Evangelia.
Hegesippus ἐπὶ τῆς πρώτης τῶν ἀποστόλων γενόμενος διαδοχῆς II, 23, 3. ejus scripta IV, 8, 1. 22, 1. quo tempore vixerit IV, 8, 1. IV, 21. quo tempore venerit Romam IV, 11. Plura vid. in Ind. scriptorum.
Helena Adiabenorum regina II, 12, 1. 3.
Helena meretrix, comes Simonis Magi II, 13, 4. 6.
Helenus, episcopus Tarsensis VI, 46, 3. VII, 5, 1. 4. 28, 1. 30, 2.

Heliodorus, episcopus Laodiceae VII, 5, 1.
Heliogabalus (Elagabalus) imp. Rom. VI, 21, 1. 2.
Hemerobaptistae, Judaeorum secta IV, 22, 7.
Heraclas, Origenis discipulus VI, 3, 2. ab Origene adjutor in docendo ac socius eligitur VI, 15. traditum sibi ab Origene suscipit regimen scholae catecheticae VI, 26. episcopus duodecimus ecclesiae Alexandrinae VI, 3, 2. VI, 26. 29, 5. 31, 2. VI, 35. VII, 10, 2. ejus fama VI, 31, 2. ejus regula de haereticis recipiendis VII, 7, 4.
Heraclas presbyter, Origenis condiscipulus, pallium philosophicum gestat VI, 19, 13. 14.
Heraclides, Origenis discipulus, martyr VI, 4, 3.
Heraclides, procurator Constantini X, 6, 3.
Heraclitus, auctor commentarii in Apostolum V, 27.
Herais, catechumena, martyr VI, 4, 3.
Hermae liber qui dicitur Pastor III, 3, 6. 25, 4. V, 8, 7.
Hermammon, amicus Dionysii episcopi Alex. VII, 1, 1. 10, 2.
Hermogenes haereticus IV, 24, 1.
Hermon episcopus tricesimus nonus ecclesiae Hierosolym. VII, 32, 29.
Hermophilus haereticus V, 28, 17.
Hermopolis, urbs Aegypti VI, 46, 2.
Herodes Magnus ejusque origines I, 6, 1. 7, 11. succedit patri suo Antipatro I, 7, 12. pontifices maximos constituit vilis originis I, 6, 9. familiarum Judaearum tabulas genealogicas combūrit I, 7, 13. infantes Bethlehemiticos occidit I, 8, 1. occidit tres filios suos I, 8, 15. ejus exitus I, 8, 3. moriens nobilissimos Judaeorum in circo inclusos trucidari jubet I, 8, 12.
Herodes junior (Antipas) I, 9, 1. 10, 1. Joannem baptistam occidit I, 11, 1. a Gaio imperatore εἰς Βίενναν τῆς Γαλλίας πόλιν relegatur cum uxore Herodiade I, 11, 3. Conf. II, 4, 1.
Herodes Agrippa major. V. Agrippa major.
Herodes irenarcha Smyrnaeorum IV, 15, 15. 41.
Herodias, uxor Herodis minoris I, 11, 1. II, 4, 1.
Heron, Origenis discipulus, martyr VI, 4, 3.
Heron Aegyptius, martyr Alexandriae VI, 41, 19.
Heros episcopus Antioch. III, 36, 15. IV, 20.
Hesychius, episcopus et martyr VIII, 13, 7.
Hierapolis urbs III, 31, 3. 4. 36, 2. 39, 9. IV, 26, 1. V, 19, 2. 24, 2.
Hierax, episcopus Aegypti VII, 21, 1. 30, 2.
Hierosolyma seditionibus turbatur sub Claudio II, 19, 20. 21. urbis obsidio sub Vespasiano et fames II, 6, 8. III, 5 et 6. 7, 3. Hierosolymam ingredi Judaei vetantur IV, 6, 3. Hierosolymae nomen inditur Aeliae Capitolinae IV, 6, 4. cfr. v. Aelia Capitolina. ecclesiae Hierosolymitanae persecutio prima post martyrium Stephani II, 1, 8. primus ejus ecclesiae episcopus Jacobus: v. Jacobus. concilium Hierosolymitanum de creando suc-

cessore Jacobi justi III, 11. usque ad Hadrianum omnes episcopi ecclesiae Hierosol, erant ἐκ περιτομῆς IV, 5, 4. V, 12, 1. atque universa ecclesia constabat ex Hebraeis IV, 5, 2. primus episcopus ἐξ ἐθνῶν Marcus IV, 6, 4. V, 12, 1. ecclesiae Hieros. episcopi sunt 1. Jacobus. 2. Simeon. 3. Justus. 4. Zacchaeus. 5. Tobias. 6. Benjamin. 7. Joannes. 8. Matthias. 9. Philippus. 10. Seneca. 11. Justus. 12. Levi. 13. Ephres. 14. Joseph. 15. Judas. 16. Marcus. 17. Cassianus. 18. Publius. 19. Maximus. 20. Julianus. 21. Caius. 22. Symmachus. 23. Caius. 24. Julianus. 25. Capito. 26. Maximus. 27. Antoninus. 28. Valens. 29. Dolichianus. 30. Narcissus. 31. Dius. 32. Germanio. 33. Gordius. 34. Narcissus. 35. Alexander. 36. Mazabanes. 37. Hymenaeus. 48. Zambdas. 39. Hermon.

Hierosolyma coelestis X, 4, 70. De m. P. XI, 9. Chiliastarum III, 28, 2. V, 18, 2.

Hippocratis medici dictum quoddam laudatur X, 4, 11.

Hippolytus episcopus VI, 20, 2. ejus scripta VI, 22.

Hippolytus quidam VI, 46, 5.

Hispania De m. P. XIII, 12.

Homeri dictum οὐκ ἀγαθὸν κτλ. (Il. 2, 204.) laudatur De m. P. 1, 1.

Hosius, episcopus Cordubensis X, 6, 2.

Hyginus episcopus octavus ecclesiae Romanae IV, 10. IV, 11, 1. 2. 6. V, 7, 4. 24, 14.

Hymenaeus episcopus tricesimus septimus eccl. Hierosol. VII, 14. 28, 1. 30, 2. 32, 29.

Hyrcanus, Judaeorum pontifex maximus I, 6, 3. 6. 7, 11, 12.

Jacobus apostolus, frater Joannis III, 39, 4. VII, 25, 7. capitis supplicio afficitur ab Agrippa majori II, 1, 5. 9, 1. III, 5, 2.

Jacobus frater domini I, 13, 5. II, 1. 2. 5. 23, 1. 4. 20. 22. III, 7, 8. III, 22. IV, 5, 3. VII, 19. Justus cognominatus II, 1, 2. 4. 5. 23, 4. 7 (ubi δίκαιος καὶ ὠβλίας). 10. IV, 22, 4. ejus sanctimonia II, 23, 5. episcopus primus ecclesiae Hierosolymitanae II, 1, 2. 3. 23, 1. 4. III, 5, 2. 7. 8. III, 22. IV, 5, 3. 22, 4. VII, 19. ei et Joanni et Petro Christus tradidit τὴν γνῶσιν II, 1, 4. ejus martyrium II, 1, 5. 23, 2. III, 5, 2. 11, 1. IV, 22, 4. ejus epistola II, 23, 24. III, 25, 3. ejus cathedra religiose servata VII, 19. 32, 29.

Jamnia urbs Palaest. De m. P. XI. 5.

Iconium urbs VI, 19. 38. VII, 7, 5. 28, 1.

Jericho I, 8, 11. VI, 16, 3.

Jesus, Dammaei filius, pontifex Judaeorum II, 23, 24.

Jesus quidam, Ananiae filius III, 8, 7.

Ignatius episcopus secundus ecclesiae Antiochensis III, 22. 36, 2. laudatur a Polycarpo III, 36, 13. ab Irenaeo V, 8, 9. ejus martyrium III, 36. 3. 12. ejus epistolae III, 36. 5. 38.

Illyricum II, 18, 9. III, 1, 2. 4, 1. VI, 25, 7.

Indis evangelium praedicant Bartholomaeus V, 10, 2. Pantaenus V, 10. 3.

Digitized by Google

Ingenuus, martyr Alexandriae VI, 41, 22.
Joannes baptista I, 10, 1. capitis supplicio afficitur I, 11, 1. Josephi de eo testimonium I, 11, 5.
Joannes apostolus II, 1, 3. 4. III, 39, 4. VII, 25, 7. praedicat evangelium in Asia III, 1, 1. relegatur in insulam Patmum III, 18, 2. VII, 25, 11. ab exilio reversus Ephesi considit III, 21, 9. 23, 1. 6. V, 8, 4. ecclesias Asiae gubernat vitamque producit usque ad tempora Trajani III, 23, 1. 3. 4. narratio Clementis de juvene in sceleratam vitam delapso et a Joanne ad virtutem revocato III, 23, 6. Cerinthi haeretici congressum fugit III, 28, 6. IV, 14, 6. gestat laminam sacerdotalem (τὸ πέταλον) III, 31, 3. V, 24, 3. mortuum in vitam revocat V, 18, 14. moritur et sepelitur Ephesi III, 1, 1. 31, 3. 39, 6. V, 24, 3. distinguitur a presbytero ejusdem nominis III, 39, 4. Conf. VII, 5, 16. Polycarpus familiaribus suis de eo narrat V, 20, 6. ad ejus auctoritatem provocat V, 24, 16. quo consilio Joannes evangelium scripserit III, 24, 2. VI, 14, 7. Irenaei de ejus evangelio testimonium V, 8, 4. Origenis de ejus evang. testimonium VI, 25, 6. 9. ejus epistolae III, 24, 17. 25, 2. 39, 17. V, 8, 7. VI, 25, 10. VII, 25, 7. 11. quando apocalypsin scripserit III, 18, 2. V, 8, 6. de hujus libri authentia III, 24, 18. 25, 2. 4. 28, 2. 4. 39, 6. IV, 18, 8. IV, 24. 26, 2. V, 8, 5. 18, 14. VI, 25, 9. VII, 25, 1. Irenaei de numero Antichristi testimonium V, 8, 5. Joannis acta apocrypha III, 25, 6.
Joannes Marcus, Pauli et Barnabae socius VII, 25, 15.
Joannes presbyter III, 39, 4. 5. 7. 14. Conf. VII, 25, 16. apocalypsin Joannis composuisse creditur III, 39. 6.
Joannes episcopus eccl. Hierosol. septimus IV, 5, 3.
Joannes martyr De m. P. XIII, 6.
Jonathas, pontifex Judaeorum II, 20, 6.
Ionicus V, 11, 4.
Jordanes fluvius II, 11, 12. VII, 17, 1.
Josephus pater Christi II, 1, 2. V, 8, 11. VI, 17.
Josephus cognomine Barsabas III, 39, 10.
Josephus historiographus, ubi et quo genere natus III, 9, 1. ejus scripta III, 9, 3. ejus testimonium de Christo I, 11, 7. commendat opus suum de bello Judaico, incusat Justum Tiberiensem historicum III, 10, 8. asserit vetustatem nationis Judaicae VI, 13, 7. citatur ab Anatolio VII, 32, 16.
Joseph, episcopus ecclesiae Hierosol. decimus quartus IV, 5, 3.
Irenaeus, presbyter Lugdunensis IV, 21. V, 4. contingit primam apostolorum successionem V, 20, 1. est auditor Polycarpi V, 6, 8. 20, 4. fit episcopus V, 6, 8. praeest ecclesiis Galliae V, 23, 3. 24, 11. docet divinitatem Christi V, 28, 5. chiliasta III, 39, 13. narrat quaedam ὡς ἐκ παραδόσεως Πολυκάρπου III, 28, 6. Salomonis librum proverbiorum appellat σοφίαν πανάρετον IV, 22, 9. ejus opus adversus haereses II, 14, 5.

adversus Marcionem IV, 25. V, 8, 9. epistola ad Blastum et ad Florinum V, 20, 1. 4. ad Victorem pontificem Romanum de quaestione paschali V, 24, 10. ejus opus περὶ ὀγδοάδος (Valentini) V, 20, 1. alia ejus scripta V, 26. quomodo libros Novi Testamenti recenseat V, 8, 1. memoratur a Clemente Alex. VI, 13, 9. Cf. Ind. scriptorum s. v. Irenaeus.
Ischyrion, martyr Alexandriae VI, 42, 1.
Isidorus Aegyptius, martyr Alexandriae VI, 41, 19.
Ismael, Phabi filius, pontifex Jud. I, 10, 5.
Judaei primum sub judicibus, postea sub regibus egere, post captivitatem usi sunt πολιτείᾳ ἀριστοκρατικῇ μετὰ ὀλιγαρχίας, postremo Romanis tributarii facti sunt I, 6, 2. 5. Judaeorum miseria et seditio sub Gaio imp. II, 5, 1. 6. Judaei fame laborant sub Claudio imp. II, 8, 1. 12, 1. Roma pelluntur a Claudio II, 18, 9. Judaeorum miseriae sub Floro procuratore II, 26. Iudaici belli initium II, 25. Hierosolymorum obsidio et excidium III, 5. magna in eo bello Judaeorum strages III, 7, 2. Alexandriae Judaei tumultum excitant adversus Graecos IV, 2, 2. Judaeorum seditio sub Hadriano duce Barchocheba IV, 6, 2. 8, 4. Hierosolymam ingredi vetantur IV, 6, 3. Christianos enixe persequuntur et vexant IV, 15, 29. 41. V, 16, 12. religionis Christianae propagationem student impedire IV, 18, 7. Judaeorum αἱρέσεις II, 23, 8. IV, 22, 5. 7. Judaeorum libri sacri secundum Josephum III, 10, 5. Judaei sancte habent scripturam Veteris Testamenti III, 10, 5.
Judas Galilaeus I, 5, 3.
Judas, unus ex fratribus Christi III, 19. 20, 1. 32, 5. ejus epistola II, 23, 25. III, 25, 3. VI, 13, 6. 14, 1. ejus posteri III, 19. 20, 1. 32, 5.
Judas Iscariotes I, 13, 3. II, 1, 1. III, 39, 10. V, 16, 13.
Judas qui et Thomas, apostolus I, 13, 11.
Judas propheta V, 17, 3.
Judas episcopus ecclesiae Hierosol. decimus quintus IV, 5, 3. 5.
Judas, scriptor ecclesiasticus VI, 7.
Juliana quaedam VI, 17.
Julianus, episcopus decimus ecclesiae Alexandrinae V, 9, 22. VI, 2, 2.
Julianus, episcopus vicesimus ecclesiae Hieros. V, 12, 2.
Julianus, episc. vicesimus quartus eccl. Hieros. V, 12, 2.
Julianus, episcopus Apameae V, 16, 17.
Julianus, martyr Alexandriae VI, 41, 15.
Julianus, martyr Palaest. De m. P. XI, 25.
Juppiter Philius IX, 3.
Justinus martyr et philosophus IV, 8, 3. 11, 8. V, 8, 9. ubi et e quibus natus IV, 11. 11. quo tempore vixerit IV, 8, 3. 11, 8. exponit causas, quibus impulsus a Graeca philosophia transierit ad fidem Christianam IV, 8, 5. docet divinitatem Christi V, 28, 4. scribit adversus Marcionem IV, 11. 8. 18, 9. adversus haereses omnes IV, 11, 10. ejus apologiae pro Christianis IV, 11, 11. 18, 2. apologia secunda IV, 16, 1.

ejus scripta IV, 18, 1. ejus martyrium IV, 16, 1. 17, 7.
Justus Tiberiensis historicus III, 10, 8.
Justus episcopus tertius ecclesiae Hieros. III, 35. episcopus undecimus ejusdem eccl. IV, 15, 3.
Justus episcopus quintus ecclesiae Alexandrinae IV, 4.
Justus cognomine Barsabas III, 29, 9. 10.

Lacedaemoniis litteras mittit Dionysius Corinthiorum episcopus IV, 23, 2.
Lacus Asphaltites I, 8, 10.
Laetus, praefectus Aegypti VI, 2, 2.
Laodicea, urbs Lydiae IV, 26, 3. V, 24, 5. urbs Syriae VII, 5, 1. 12, 26. 32, 5. 12. 21. 22. 23.
Lapsis nullam spem salutis superesse contendebant Novatiani V, 2, 8. VI, 43, 1. concilii Romani decretum de lapsis VI, 43, 2. martyrum Lugdunensium clementia adversus lapsos V, 2, 6. Dionysii Alexandrini et Eusebii sententias de lapsis v. s. v. Dionysius et Eusebius.
Laranda, urbs Lycaoniae VI, 19, 18.
Latronianus, corrector Siciliae X, 5, 23.
Legio fulminatrix V, 5, 4.
Leonides, pater Origenis, martyr VI, 1. 2, 5. 7. 10. 12.
Levi episcopus ecclesiae Hieros. duodecimus IV, 5, 3.
Libya VII, 11, 14, 23.
Licinius imperator Rom. VIII, 13, 14. IX, 9, 1. 12. 11, 6. edictum edit de Christianis (anno p. Chr. 311) VIII, 17, 5. alterum ejus edictum (anni 313) X, 5, 2. ejus bellum adversus Constantinum, clades et mors X, 8, 2.
Linus episcopus ecclesiae Romanae primus post Petrum III, 2, 1. 4, 8. 13. 21. V, 6, 1.
Longinus philosophus Platonicus VI, 19, 8. V. Albinus.
Lucas comes Pauli II, 22, 1. 6. III, 4, 6. 24, 15. V, 8, 3. medicus cum apostolis multum versatus III, 4, 6. conscripsit evangelium III, 4, 6. V, 8, 3. VI, 25, 6. et acta apostolorum II, 22, 6. III, 4, 6. quo consilio evangelium conscripserit III, 24, 17. traditur in Graecum sermonem convertisse Pauli epistolam ad Hebraeos III, 39, 2. VI, 14, 2. conscripsisse eam VI, 25, 14.
Lucianus quidam VII, 9, 6.
Lucianus, Antiochensis, ecclesiae presbyter et martyr VIII, 13, 2. IX, 6, 3.
Lucius Verus imperator IV, 12. IV, 14, 10. V, 2, 1. 4, 3.
Lucius martyr IV, 17, 12.
Lucius episcopus vicesimus primus eccl. Rom. VII, 2.
Lucius episcopus VII, 30, 2.
Lucius, presbyter Alexandriae VII, 11, 24.
Lucuas, seditionis Judaicae dux IV, 2, 3. 4.
Lugdunum, urbs Galliae V, 1, 1. Lugdunensis persecutio Christianorum V, 1, 4.
Lupus, praefectus Aegypti IV, 2, 2.
Lusius Quietus fit legatus Palaestinae IV, 2, 5.
Lysanias tetrarcha I, 9, 1. 10, 1.

Macarius, martyr Alexandriae VI, 41, 17.
Maccabaeorum libri III, 10, 6.
Machaerus castellum I, 11, 6.

Macrianus VII, 10, 5. 23. 1. 2.
Macrinus imperator VI, 21, 1.
Magia Simonis magi II, 13, 1. 3. Menandri III, 26, 3. magicae artis flagitia VII, 10, 4. VIII, 14, 5. IX, 3.
Magnesia ad Maeandrum III, 36, 5. ad ecclesiam ejus urbis litteras dat Ignatius III, 36, 5. hujus ecclesiae episcopus Damas ib.
Malchio, rector scholae Antiochensis VII, 29. 2.
Malchus, martyr Caesareae VII, 12.
Mammaea, Alexandri Severi imp. mater VI, 21, 3.
Manes et Manichaei VII, 31.
Manganaea regio De m. P. XI, 29.
Marcella, mater Potamiaenae VI, 5. 1.
Marcellinus, episcopus vicesimus octavus ecclesiae Romanae VII, 32, 1.
Marcellus quidam VII, 11, 6.
Marcianus Irenaei frater V, 26, 1.
Marcianus Doceta VI, 12, 5.
Marcion Gnosticus IV, 10. 11, 1. 2. 8. IV, 14. 5. 7. 15, 46. 18, 9. 23, 4. IV, 24. 25. 29, 2. 3. 30, 1. V, 8, 7. 13, 1. 13, 3. 4. 16, 21. VI, 22. VII, 12. Marcionistae IV, 22, 5. V, 16, 21. De m. P. X, 3.
Marcius Turbo IV, 2, 3.
Marcus Aurelius Verus, imp. Rom. IV, 12. IV, 13, 1. 17, 12. 18, 2. V, 5, 1, 6, 6. succedit Antonino Pio IV, 15, 10. ejus epistolae V, 6, 6. ejus epistola ad commune Asiae de Christianis IV, 13. ei apologiam pro Christianis tradunt Melito IV, 13, 8. 26, 1. et Apollinaris IV, 26, 1. quam diu regnaverit V, 9.
Marcus, comes Petri II, 15. 1. III, 39, 15. ἑρμηνευτὴς Πέτρου III, 39, 15. V, 8, 3. quomodo adductus sit ad conscribendum evangelium II, 15. 1. Conf. III, 24, 14. VI, 14, 6. Papiae de ejus evangelio testimonium III, 39, 15. Irenaei de ejus evang. testimonium V, 8, 3. Origenis de ejus evang. testimonium VI, 25, 5. Marcus praedicat evangelium in Aegypto II, 16, 1. primus episcopus ecclesiae Alexandrinae ib. et II, 24.
Marcus episcopus ecclesiae Hieros. decimus sextus IV, 6, 4. V, 12, 1.
Marcus episcopus eccles. Alexandrinae septimus IV, 11, 6.
Marcus quidam (fortasse idem qui episcopus Romanus fuit post Sylvestrum papam) X, 5. 18.
Marcus hæreticus ejusque asseclæ IV, 11, 4.
Maria palus juxta Alexandriam II, 17, 8. Mareotica praefectura (ὁ Μαρεώτης sc. νομός) et Mareotae VII, 11, 14. 22.
Maria mater Christi III, 27, 2. VI, 17.
Maria, mulier Judaea, in obsidione Hierosolymitana filium suum occidit et comedit III, 6, 21.
Maria, Clopae filia, Symeonis mater III, 32, 4.
Marinus episcopus Tyri VII, 5. 1.
Marinus episcopus Galliae X, 5, 19.
Marinus martyr Caesareae VII, 15, 1.
Masbothei haeretici IV, 22, 5.
Maternus episcopus Galliae X, 5, 19.

Digitized by Google

Matthaeus apostolus III, 39, 4. quo consilio evangelium scripserit III, 24, 6. Papiae de ejus evangelio testimonium III, 39, 16. Irenaei de ejus evangelio testimonium V, 8, 2. Origenis de ejus evang. test. VI, 25, 4. ejus evangelium differtur usque ad Iudos IV, 10, 3. impugnatur a Symmacho Ebionaeo VI, 17.
Matiathias (Matthias), Josephi historici pater III, 9, 1.
Matthias, unus e septuaginta discipulis, postea apostolus I, 12, 2. II, 1, 1. III, 39. 10. ejus dictum quoddam III, 29, 4. Matthiae evangel. apocryphum III, 25, 6.
Matthias episcopus ecclesiae Hierosol. octavus IV, 5, 3.
Maturus martyr Lugdunensis V, 1, 17. 37. 38.
Mauretania X, 7, 1. De m. P. XIII, 12.
Maurorum gens VIII, 6, 10.
Maxentius Augustus, filius Maximiani, tyrannidem Romae arripit VIII, 14, 1. persecutionem Christianorum edicto cohibet in exordio principatus VIII, 14, 1. ejus crudelitas et libido et magicae artes VIII, 14, 2. 16. vincitur a Constantino IX, 9, 1.
Maximianus Herculius, imp. Rom. IX, 9. 14. 10, 8. significatur VIII, 13, 11. (τῷ δευτερείοις τετιμημένῳ) VIII, 13, 15. (ὁ δεδηλωμένος). VIII append. 3. (ὁ δὲ κτλ.).
Maximilla Montani V, 14. 16, 13. 17. 18. V, 18, 4. 13.
Maximinus episcopus septimus ecclesiae Antioch. IV, 24. V, 19, 1.
Maximinus imp. Rom. VI, 28. 29, 1. VIII, 13, 15. IX, 1, 1. 2. 3. 4, 2. 6, 4. 7, 2. 8. 13. 9, 12 De m. P. IV, 8. VI, 1. VII, 7. 8. VIII, 3. 13. IX, 2. XIII, 10. ejus superstitio, avaritia, ebrietas, libido, crudelitas VIII, 14, 8. De m. P. IV, 1.
Maximus episcopus decimus nonus eccl. Hieros. V, 12, 2.
Maximus episc. vicesimus sextus eccl. Hieros. V, 12, 2.
Maximus, scriptor ecclesiasticus V, 27, 1.
Maximus, presbyter ecclesiae Romanae et confessor VI, 43, 6.
Maximus, ecclesiae Alex. presbyter et postea episcopus decimus quartus VII, 11, 3. 6. 24. 26. 28, 3. 30, 1. 2. 32, 30.
Maximus episcopus Bostrensis VII, 28, 1. 30, 2.
Maxys tribunus militum De m. P. IX, 7.
Mazabanes episcopus tricesimus sextus eccl. Hierosolym. VI, 39, 3. VII, 5, 1. VII, 14.
Mediolanum urbs X, 5, 4.
Medorum natio VIII, 17, 3.
Melchisedecus I, 3, 16. 17. X, 4, 23.
Meletius Ponticarum ecclesiarum episcopus VII, 32, 26.
Melitina regio minoris Armeniae V, 5, 1. VIII, 6, 8.
Melitina legio V, 5, 1.
Melito Sardianus episcopus IV, 13, 8. IV, 21. 26, 1. VI, 14, 9. εὐνοῦχος V, 24, 5. ejus apologia pro Christianis IV, 13, 8. 26, 1. 3. 7. ejus scripta IV, 26, 2. enumerat libros Veteris Testamenti IV, 26, 9. 12. docet divinitatem Christi V, 28, 5.
Menander haeresiarcha III, 26.

IV, 7, 3. 4. Menandrianistae IV, 22, 5.
Mercuria martyr Alexandriae VI, 41, 18.
Meruzanes Armeniorum episcopus VI, 46, 2.
Mesopotamia VII, 5, 2. VIII, 12, 1.
Metras martyr Alexandriae VI, 41, 3.
Metrodorus Marcionitarum presbyter et martyr IV, 15, 46.
Miltiades episcopus Romanus tricesimus primus X, 5, 18.
Miltiades scriptor ecclesiasticus IV, 17. V, 28, 4.
Miltiades, auctor sectae Cataphrygum VI, 16, 3. corrupte pro Ἀλκιβιάδης.
Minucius Fundanus, proconsul Asiae IV, 8, 6. 9, 10. 26, 10.
Moderatus philos. Pythagoricus VI, 19, 8.
Modestus scriptor ecclesiasticus IV, 21. 25.
Monasteria Therapeutarum II, 17, 9.
Montanistarum vel Cataphrygum secta II, 25, 6. IV, 27. V, 16, 1. 22. 18, 4. VI, 20, 3.
Montanus IV, 27. V, 3, 4. V, 14. 16, 7. 12. 13. 15. 22. 17, 4. 5. 18, 1. 12.
Moses, prophetarum omnium antiquissimus I, 2, 4. antiquior viris illustribus Graecorum IV, 29, 7. VI, 13, 7. μέγας θεοῦ θεράπων I, 2, 6. ejus leges et instituta fuere εἰκόνες καὶ σύμβολα I, 2, 22. 3, 2. 12. 4, 8. Christi nomen primus cognoscit et enunciat et honore prosequitur I, 3, 2.
Moses martyr Romae VI, 43, 20.
Musaeus scriptor Judaicus VII, 32, 16.
Musanus scriptor ecclesiasticus IV, 21. 28.
Mysia V, 16, 7.

Narcissus eccles. Hieros. episcopus tricesimus ejusque miracula V, 12, 1. 2. V, 22. 23, 3. V, 25. VI, 8, 7. VI, 9. 10. VI, 11, 2. 3.
Natalis confessor V, 28, 8.
Nazareth I, 7, 14.
Neapolis urbs. V. Caesarea Philippi.
Nemesio Aegyptius, martyr Alexandriae VI, 41, 21.
Neon episcopus Larandensis VI, 19, 18.
Nepos episcopus Aegypti, propugnator chiliasmi, scribit confutationem allegoristarum VII, 24, 1. 2.
Nero imperator succedit Claudio II, 19. Festum procuratorem mittit in Judaeam II. 22. 1. significatur a Paulo apostolo II, 22, 4. Conf. §. 8. ejus saevitia II, 22, 4. 25, 1. III, 21, 7. primam instituit Christianorum persecutionem II, 25. III, 17. IV, 26, 9. quam diu regnaverit III, 5, 1.
Nerva imperator III, 20, 8. 21, 1.
Nicetas Herodis irenarchae pater IV, 13, 15. 15, 41.
Nicolaus et Nicolaitae III, 29.
Nicomachus philosophus Pythagoricus VI, 19, 8.
Nicomas episcopus Iconii VII, 28, 1. 30, 2.
Nicomedia urbs VIII, 5. 6, 6. 7. 13, 1. 2. IX, 6, 3. 9. 17. 18.
Nicomediensibus litteras mittit Dionysius Corinthiorum episcopus IV, 23, 4.
Nicopolis, urbs Epiri VI, 16, 2.

Nilus, episcopus Aegyptius, martyr VIII, 13, 5. De m. P. XIII, 3.
Nilus urbs Aegypti VI, 43, 3.
Novatianus (a Graecis perperam *Νοουᾶτος* dictus) ejusque schisma V, 2, 8. VI, 43. 45. 46, 3. 5. VII, 4, 8.
Numenius philosophus VI, 19, 8.
Numerianus imp. Rom. VII, 30, 22.
Numidia X, 6, 1.

Onesimus, episcopus Ephesius III, 36, 5.
Onesimus, aequalis Melitonis IV, 26, 13.
Origenis pueritia et juventus VI, 1, 2. Orig. semet ipsum castrat VI, 8, 1. 2. a duobus episcopis ordinatur VI, 8, 4. 23, 4. quod postea improbat Demetrius, episcopus Alexandrinus VI, 8, 5. cognominatus ὁ *Ἀδαμάντιος* VI, 14, 10. iter facit Romam ib. avocatur in Arabiam et sedem suam ad tempus transfert Caesaream VI, 19. 15. 16. VI, 26. 30. 32, 2. Athenis commoratur VI, 32, 2. ejus scholae VI, 3, 1. 8. 8, 1. 15, 11. 18, 2. VI, 26. Beryllum episcopum Bostrensem et alios quosdam, qui in Arabia exstiterant pravae doctrinae de animarum immortalitate auctores, ad rectam fidem convertit VI, 33. 37. commentarios suos in sacram scripturam quomodo perfecerit et ubi commorans conscripserit eos commentarios et alios quosdam libros VI, 23. 24, 32. Origenis constantia in persecutione Deciana VI, 39, 5. ejus mors VII, 1. Porphyrii de Origene judicium VI, 19, 2. Origenis scripta VI, 24. 32. 36. VI, 38. ejus liber de martyrio VI, 28. epistola ad Africanum VI, 31, 1. ad Philippum imp. et ad Philippi conjugem Severam VI, 36, 3. ad Fabianum episcopum Rom. VI, 36, 4. ejus opus adversus Celsum VI, 36, 2. ejus hexapla V, 16, 3. tetrapla ib. 4. quomodo libros sacros Veteris et Novi Testamenti recenseat VI, 25. Dionysii episc. Alex. ad Origenem epistola de martyrio VI, 46, 2. Origenis epistolas collegit Eusebius VI, 36, 3. apologiam Origenis scripserunt Pamphilus et Eusebius VI, 23, 4. 33, 4. 36, 4. Origenis discipuli: Dionysius, postea episc. eccl. Alexandrinae VI, 29, 5. Plutarchus et Heraclas VI, 3, 2. Sereni duo VI, 4, 2. 3. Heraclides VI, 4, 3. et Hero VI, 4, 3. Theodorus et Athenodorus VI, 30. VII, 14. Theotecnus episc. Caesareensis VII, 14.
Osroëne V, 23, 4.
Ostiensis via II, 25, 7.
Otho imperator III, 5, 1.

Pachymius episcopus et martyr VIII, 13, 7.
Paësis martyr De m. P. III, 3.
Pagae (?), Lyciae urbs De m. P. IV, 5.
Palma episcopus Amastrensium IV, 23, 6. V. 23, 3.
Pamphilus, ecclesiae Caesareensis presbyter, Eusebii familiaris VII, 32, 25. confecit *βιβλιοθήκην τῶν ἐκκλησιαστικῶν συγγραφέων* VI, 32, 3. scripsit apologiam Origenis una cum Eusebio VI, 33, 4. martyr VI, 32, 3. 33, 4. VII, 32, 25. VIII, 13, 6. De m. P. VII, 4.

XI, 1. ejus vitam conscripsit Eusebius. V. Eusebius.

Paneas, urbs Phoenices (s. Caesarea Philippi s. Neapolis) VII, 17, 1. 18, 1.

Panemus mensis III, 8, 12.

Panius mons, mons Phoenices VII, 17.

Pantaenus scholae Alexandrinae rector V, 10. VI, 6. Indis evangelium praedicasse dicitur V, 10. ejus mentionem faciunt Clemens Alexandrinus V, 11, 2. VI, 13, 1. Alexander episc. Hierosol. VI, 14, 8. Origenes VI, 19, 3.

Papias episcopus ecclesiae Hierapol. II, 15. 2. III, 36, 2. 39, 2. 7. ejus libri III, 39, 1. narrationes ejus quaedam III, 39, 8. defensor est regni millenarii III, 39, 8. 12. σφόδρα σμικρὸς τὸν νοῦν III, 39, 13. ejus testimonium de evangelio Marci III, 39, 14. de evangelio Matthaei III, 39, 16. primam Joannis et priorem Petri epistolam usurpat III, 39, 17. Conf. ind. script.

Papirius episcopus V, 24. 5.

Papylus martyr IV, 15, 48.

Paraetonium urbs Libyae prope Alexandriam VII, 11, 23.

Parthis evangelium praedicat Thomas apostolus III, 1, 1.

Paschalis quaestio V, 23. quo tempore festum paschale celebrari debeat disquirit Dionysius Alexandrinus VII, 20. docet Anatolius VII, 32, 14.

Pastor Hermae. V. Hermas.

Patermuthius martyr De m. P. XIII, 3.

Patmus insula III, 18, 2. 23, 6. VII, 25, 11.

Patricius vicarius X, 6, 4.

Paulinus vir ecclesiasticus VI, 19, 18.

Paulinus Tyriorum episcopus X, 1, 2. 4, 1. 23.

Paulus persequitur primo ecclesiam Christi, convertitur et fit apostolus II, 1, 9. 14. iter facit ab Hierosolymis usque ad Illyricum, praedicans evangelium II, 18, 9. III, 1, 2. VI, 25, 7. fundat ecclesiam Corinthiam et Romanam II, 26, 18. ecclesiam Ephesiam III, 23, 4. Romam vinctus perducitur, ejusque captivitas Romana prima, secunda II, 22, 1. capite truncatur sub Nerone II, 25. 5. III, 1, 3. ejus sepulcrum in via Ostiensi II, 25, 5. 7. 31, 1. ejus imagines VII, 18, 4. pauca litteris mandavit III, 24, 4. VI, 25, 7. ejus epistolae quattuordecim III, 3, 5. 25, 2. ejus epistola ad Hebraeos II, 17, 12. III, 3, 5. 39, 1. V, 26. VI, 13, 6. 14, 2. 20, 3. Origenis de authentia atque de auctore hujus epistolae sententia VI, 25, 11. Pauli acta apocrypha III, 3, 5. 25, 4. Paulum ut apostatam aversantur ejusque epistolas rejiciunt Ebionitae III, 27, 5. item Severiani IV, 29, 5. Paulus in epistola quadam uxoris suæ meminit III, 30, 1.

Paulus Samosatensis, episcopus decimus quintus ecclesiae Antioch. VII, 27, 1. Artemonis haeresin renovat V, 28, 1. VII, 30, 16. 17. Christum docet fuisse κοινὸν τὴν φύσιν ἄνθρωπον VII, 27, 2. synodus inde Antiochensis VII, 27, 2. 32, 5. 21. Paulus episcopatu demovetur VII, 29, 1. 30, 17. Synodi Antiochensis de ejus moribus judicium VII, 30, 2.

Paulus, maritus ejus feminae, cujus liberalitate sustentabatur Origenes VI, 2, 14.
Paulus, clericus Alexandriae VII, 11, 22.
Paulus episcopus VII, 30, 2.
Paulus martyr Palaestinensis De m. P. VIII, 9.
Paulus alter, martyr cum Pamphilo De m. P. XI, 5.
Peleus, episcopus Aegyptius, martyr VIII, 13, 5. De m. P. XIII, 3.
Pella oppidum Peraeae III, 5, 3.
Pentapolis regio Cyrenaicae VII, 6. 26, 3.
Pepuza, vicus Phrygiae V, 18, 2. 13.
Peraea II, 19, 2. III, 5, 3. 6, 22.
Perennius, praefectus praetorii sub Commodo V, 21, 3. 4.
Pergamus urbs IV, 15, 48.
Peritius mensis De m. P. XI, 7.
Persia mater Manichaicae doctrinae VII, 31, 2.
Persae VIII, 17, 3.
Pertinax imperator Rom. V, 26.
Petrus apostolus II, 1, 3. 4. 12. 4, 3. ἀποστόλων ἁπάντων προήγορος II, 14, 6. ἐφ' ᾧ οἰκοδομεῖται ἡ Χριστοῦ ἐκκλησία VI, 25, 8. ab Agrippa majori in vincula conjicitur II, 9, 4. refutat Simonem magum II, 14, 5. probat evangelium Marci II, 15, 2. Conf. VI, 25, 5. Marci mentionem facit in priori epistola II, 15, 2. fundat cum Paulo ecclesiam Corinthiam et Romanam II, 26, 8. praeest ecclesiae Antiochensi III, 36, 2. in Ponto, Galatia, Bithynia praedicat evangelium τοῖς ἐν διασπορᾷ Ἰουδαίοις III, 1, 2. 4, 2. uxorem habuit et liberos ex ea suscepit III, 30, 1. Romae crucifixus sub Nerone II, 25, 5. III, 1, 2. 31, 1. ejus sepulcrum in campo Vaticano II, 25, 5. 7. III, 31, 1. ejus imagines VII, 18, 4. ejus uxor martyrio coronata III, 30, 2. ejus epistola prima III, 3, 1. 4. 25, 2. 39, 17. IV, 14, 9. V, 8, 7. VI, 25, 8. secunda III, 3, 1. 25, 3. VI, 25, 8. Petri acta, evangelium, κήρυγμα, apocalypsis sunt apocrypha III, 3, 2. 25, 4. 6. de apocrypho Petri evangelio VI, 12, 2. Petri apocalypsis citatur a Clemente Alexandrino VI, 14, 1. Petri et Apionis dialogi apocryphi III, 38, 5.
Petrus, clericus Alexandriae VII, 11, 22. 23.
Petrus episcopus decimus sextus ecclesiae Alexandrinae, martyr VII, 32, 31. VIII, 13, 7. IX, 6, 2.
Petrus cubicularius imperatoris, martyr VIII, 6, 4.
Petrus, martyr Palaestinensis De m. P. X, 2.
Peucetius, rationalis Maximini IX, 11, 4.
Phaeno, metallum Palaestinae VIII, 13, 5.
Phamenoth mensis Aegyptiorum VII, 32, 14. 15.
Pharisaei II, 23, 10. 12. 14. IV, 22, 7.
Philadelphenae ecclesiae litteras mittit Ignatius III, 36, 10. Philadelpheni martyres IV, 15, 45.
Philadelphia urbs V, 17, 3.
Phileas, Thmuitarum episcopus, martyr VIII, 9, 7. 13, 7. ejus epistola ad Thmuitas VIII, 10.
Philemon presbyter Romae VII, 6, 6. 7, 1.
Philetus episcopus decimus eccl. Antioch. VI, 21, 2. 23, 3.

Philippus Herodis filius I, 9, 1. 10, 1. II, 11, 9.
Philippus apostolus III, 39, 4. uxorem habuit et ex ea liberos suscepit III, 30, 1. mortuus et sepultus Hierapoli III, 31, 3. 32, 4. 39, 9. V, 24, 2. ejus filiae prophetissae III, 31, 3. 4. 5. 37, 1. 39, 9. V, 17, 3. 24, 2.
Philippus diaconus evangelium praedicat in Samaria II, 1, 10. baptizat dynasten reginae Aethiopicae ib. 13.
Philippus ecclesiae Hierosol. episcopus nonus IV, 5, 3.
Philippus Gortynensium episcopus VI, 21. 23, 5. IV, 25.
Philippus imp. Rom. VI, 34. 39, 1.
Philo Judaeus II. 4, 2. legatus mittitur ad Gaium imperatorem II, 5, 1. 18, 7. quinque libris enarrat quae Judaeis acciderint sub Gaio II, 5, 1. Petrum apostolum convenit Romae, librum suum de virtutibus recitat coram senatu Romano II, 18, 8. describit Therapeutarum ἀγωγήν II, 16, 2. II, 17. Moysen antiquiorem esse asserit quam auctores nominis Graeci VI, 13, 7. de Philonis ingenio et scriptis, quae singillatim recensentur II, 18, 1. ejus libri digni habentur qui Romae in bibliothecis publicis reponantur II. 18, 8. citatur ab Anatolio VII, 32, 16.
Philomelium urbs IV, 15, 3.
Philoromus martyr VIII, 9, 7.
Philumene Apellis V, 13, 2.
Phrygia IV, 15, 7. V, 1, 2. 3. 3, 4. V, 14. 16, 7. 18, 1. 2. VIII, 11, 1. homo natione Phryx IV, 15, 7. V, 1, 49. V, 16, 9.
Pierius, presbyter ecclesiae Alexandrinae VII, 32, 26. 30.
Pilatus procurator Judaeae I, 9, 2. 10, 1. Christum supplicio afficit I, 11, 8. relationem mittit ad Tiberium de miraculis Christi II, 2, 1. 2. vexat Judaeos II, 5, 7. 6, 4. mortem sibi consciscit II, 7. Pilati acta: v. Acta.
Pinna, episcopus VII. 13.
Pinytus Cretensium episcopus IV, 21. 23, 7. 8.
Pionius martyr IV, 15, 47.
Pius episcopus nonus Rom. eccl. IV, 11, 1. 6. 7. V, 7, 4. 24, 14.
Plato philosophus II, 4, 3. IV, 8, 5. VI, 19, 8. Platonis locus quidam citatur IV, 16, 6.
Plinii Secundi testimonium de Christianis III, 33.
Plutarchus, Origenis discipulus, martyr VI, 3, 2. 9.
Polybius Trallianorum episcopus III, 36, 5.
Polycarpus episcopus ecclesiae Smyrnensis III, 28, 6. 36, 1. 5. 10. IV, 14, 3. 15, 39. V. 24, 4. ejus epistolae V, 20, 8. epistola ad Philippenses III. 36, 13. IV, 14, 8. 9. ejus ἑταῖρος Papias III, 39, 1. ejus auditor Irenaeus V, 6, 8. 20, 4. Romam proficiscitur et cum Aniceto de quaestione paschali agit IV, 14, 1. V, 24, 16. Irenaei de Polycarpo testimonium IV, 14, 3. V, 20, 6. Polycarpus Marcionis haeretici congressum et salutationem respuit IV, 14, 7. haereses aversatur V, 20, 7. ejus martyrium IV, 15.
Polycrates episcopus ecclesiae Ephesiae III, 31, 2. V, 22. V, 24, 1. 6.

Pompejus I, 7, 12. Hierosolyma expugnat I, 6, 6.
Pontia insula III, 18, 4.
Pontianus episcopus decimus septimus ecclesiae Romanae VI, 23, 3. 29, 1.
Ponticus puer, martyr Lugdunensis V, 1, 53. 54.
Pontifices maximi praeerant Judaeorum genti post captivitatem I, 6, 6. 10, 2. pontificum Hierosolym. στάσις adversus sacerdotes II, 20.
Pontius, vir ecclesiasticus V, 19, 1. VI, 12, 1.
Pontus, regio Asiae minoris III, 1. 4, 2. IV, 15, 2. 23, 6. V, 16, 4. 23, 3. VI, 30. VII. 5, 2. VII, 14. 28, 1. 32, 26. VIII, 12, 6. X, 8, 15. homo Ponticus Timolaus De m. P. III, 3.
Porphyrites locus in Thebaide De m. P. VIII, 1.
Porphyrii judicium de Origene VI, 19, 2.
Porphyrius martyr Palaest. De m. P. XI, 19.
Potamiaena Alexandrina, martyr VI, 5, 1.
Pothinus, episcopus Lugdunensis V, 1, 29. 5, 8.
Potitus Marcionita V, 13, 4.
Primus episcopus quartus ecclesiae Alexandrinae IV, 1, 4. IV, 4.
Primus Corinthiorum episcopus IV, 22, 1.
Prisca sive Priscilla Montani V, 14. V, 18, 3. 19, 3.
Priscilla et Aquilas II, 18, 9.
Priscus, pater Justini martyris IV, 12.
Priscus martyr Caesareae VII, 12.
Probus imp. Rom. VII, 30. 22.
Probus martyr De m. P. X, 1.
Procopius martyr De m. P. I, 1.
Proculus Montanista II, 25, 6. III, 32, 4. VI, 20, 3.
Proculus episcopus VII, 30, 2.
Promus (unus codex Πρόβος) martyr De m. P. X, 2.
Protoctetus presbyter et confessor VI, 28.
Protogenes episcopus VII, 30, 2.
Ptolemaeus Lagi V, 8, 11.
Ptolemaeus Philadelphus VII, 32, 16.
Ptolemaeus martyr Romae IV, 17, 8.
Ptolemaeus, martyr Alexandriae VI, 41, 22.
Ptolemais urbs Phoeniciae V, 25. urbs Cyrenaicae VII, 6.
Publius, episcopus ecclesiae Atheniensis IV, 23, 2.
Publius, episcopus decimus octavus eccl. Hieros. V, 12.
Pythagoras philosophus II, 43. Pythagorei V, 19, 8. Pythagoreorum silentium quinquennale IV, 7, 7.

Quadratus propheta III, 37, 1. V, 17, 2, 3. 4.
Quadratus ejusque apologia pro Christianis IV, 3, 1.
Quadratus episcopus ecclesiae Atheniensis IV, 23, 3.
Quinta, martyr Alexandriae VI, 41, 4.
Quintus Phryx IV, 15, 7.
Quirinius ejusque ἀπογραφή I, 5, 2. 4.

Rationalis s. procurator summae rei qui ὁ ἐπὶ τῶν καθόλου λόγων dicitur VII, 10, 20. ὁ τῶν καθόλου λόγων ἔπαρχος IX, 11, 4. ὁ τὰς καθόλου διοικήσεις ἐγκεχειρισμένος VIII, 11, 2. Vid. Vales. ad Ammian. Marc. 15, 5. 28, 2.

Digitized by Google

Rechab, filius Rechabim II, 23, 17.

Reticius, episcopus Galliae X, 5, 19.

Rhodanus fluvius V, 1, 1. 62.

Rhodon, Tatiani discipulus scribit adversus Marcionem V, 13, 1. alia ejus scripta V, 13, 8.

Rhossus, oppidum Syriae VI, 12, 2.

Roma figurate Babylon vocatur II, 15, 2. Romana ecclesia a Paulo et Petro fundata II, 25, 8. IV, 1. V, 6, 1. 8, 2. Dionysii, Corinthiorum episcopi, epistola ad Romanos II, 25, 8. IV, 23, 8. Ignatii epistola ad ecclesiam Romanam III, 36, 6. Dionysii Alexandrini epistolae ad Romanos VI, 46, 5. VII, 10, 6. Conf. Dionys. in ind. script. Romanorum episcoporum auctoritas ab Aureliano imp. confirmatur VII, 30, 19. Romanæ ecclesiae episcopi post Petrum (III, 4, 8. V, 28, 3.) 1. Linus. 2. Anencletus. 3. Clemens. 4. Evarestus. 5. Alexander. 6. Xystus. 7. Telesphorus. 8. Hyginus. 9. Pius. 10. Anicetus. 11. Soter. 12. Eleutherus. 13. Victor. 14. Zephyrinus. 15. Callistus. 16. Urbanus. 17. Pontianus. 18. Anteros. 19. Fabianus. 20. Cornelius. 21. Lucius. 22. Stephanus. 23. Xystus. 24. Dionysius. 25. Felix. 26. Eutychianus. 27. Caius. 28. Marcellinus. 31. Miltiades.

Romanus diaconus, martyr Antiochiae De m. P. II, 1.

Romulus martyr De m. P. III, 3.

Rufus, martyr Christianus, a Polycarpo laudatus III, 36, 13.

Rufus, praefectus Judaeae IV, 6, 1.

Ruth Moabitis I, 7, 13.

Sabellii haeresis VII, 6. 26, 1.

Sabinus, praefectus Aegypti sub Decio VI, 40, 2. VII, 11, 18.

Sabinus, praefectus praetorio sub Maximino IX, 1, 2. 9, 14.

Sadducaei II, 23, 21. IV, 22, 7.

Sadducus Pharisaeus I, 5, 5.

Sagaris episcopus et martyr IV, 26, 3. V, 24, 5.

Salome soror Herodis Magni I, 8, 13.

Salomonis liber proverbiorum appellabatur σοφία πανάρετος IV, 22, 9. Conf. IV, 26, 14. V, 8, 8. V, 26. VI, 13, 6.

Samaria II, 1, 8. 10.

Samaritae Simonem Magum ut summum deum venerantur II, 13, 4. Samaritae, secta Judaeorum IV, 22, 7.

Samosata urbs V, 28, 1. VII, 27, 1.

Sanctus diaconus V, 1, 17. 20. 37.

Saraceni VI, 42, 4.

Sardes urbs IV, 13, 8. 26, 1. V, 24, 5.

Saturninus Gnosticus IV, 7, 3. 4. 22, 5. 29, 2. 3.

Schola Alexandrina. V. Alexandria.

Scythis evangelium praedicat Andreas apost. III, 1, 1.

Scythopolis urbs De m. P. IX, 6.

Seianus Judaeis infensus II, 5, 7.

Seleucus, martyr Palaest. De m. P. XI, 20.

Seneca episcopus ecclesiae Hieros. decimus IV, 5, 3.

Septuaginta interpretes V, 8, 10. VI, 16, 1. 4. VII, 32, 16.

Septuaginta Christi discipuli I, 10, 7. I, 12. II, 1, 4. III, 24, 5.
Serapio, episcopus octavus eccl. Antioch., ejusque scripta V, 19, 1. V, 22. VI, 11, 4. VI, 12.
Serapio, martyr Alexandriae VI, 41, 8.
Serapio, lapsus Alexandriae VI, 44, 2.
Serenius Granianus, proconsul Asiae IV, 8, 6. 9, 1.
Serenus, Origenis discipulus, martyr VI, 4, 2.
Serenus alter, Origenis discipulus, martyr VI, 4, 3.
Servilius Paulus proconsul Asiae IV, 26, 3.
Severa, conjux imperatoris Philippi VI, 36, 3.
Severus et Severiani IV, 29, 4.
Severus, imp. Rom. V, 26. 28, 7. VI, 1. 2, 2. 4, 2. 3. 8, 7.
Sextus, scriptor ecclesiasticus V, 27.
Sicilia X, 6, 23.
Sidon urbs VIII, 13, 3.
Sidonius confessor Romae VI, 43, 6.
Silas propheta V, 17, 3.
Silvanus, episcopus Emesenus, martyr VIII, 13, 3. IX, 6, 1.
Silvanus, episcopus Gazae, martyr VIII, 13, 5. De m. P. VII, 3. XIII, 14.
Simon, Camithi filius, pontifex Judaeus 1, 10, 5.
Simon magus IV, 22, 5. baptizatur a Philippo diacono II, 1, 11. Romam venit ibique multos praestigiis suis decipit II, 13, 1. refutatur a Petro apostolo II, 15, 3. ejus statua II, 13, 3. 15, 5. haereticorum omnium dux et signifer II, 13, 6. ejus asseclae horumque mysteria nefanda II, 1, 12. 14, 6. IV, 22, 5. ejus discipulus et successor Menander III, 26. IV, 7, 3. 4. ex ejus secta prodiere Carpocratiani IV, 7, 9. Cerdo IV, 11, 2.
Siracides IV, 22, 9.
Smyrna urbs III, 36, 1. 5. 10. IV, 14, 3. 15, 3. 26. 39. 45. 46. V, 24, 4. ad Smyrnensem ecclesiam litteras dat Ignatius III, 36, 10.
Socratis (apud Platonem) effatum quoddam IV, 16, 6.
Socrates, episcopus Laodiceae VII, 32, 5.
Sosthenes unus e septuaginta Christi discipulis I, 12, 1.
Sotas, Anchiali episcopus V, 19, 3.
Soter, episcopus undecimus ecclesiae Romanae IV, 19. 22, 3. 23, 9. 10. 30, 3. V, 6, 4. 24, 14.
Stephanus diaconus, primus martyr Christi II, 1, 1. 8. III, 5, 2. V, 2, 5.
Stephanus episcopus vicesimus secundus ecclesiae Rom. VII, 2. 3. VII, 6, 3.
Stephanus, episcopus Laodicenus VII, 32, 22.
Stoicorum secta V, 10, 1.
Symeon, Clopae filius, episcopus ecclesiae Hierosol. III, 11. 22. 32, 1. IV, 22, 4. ejus martyrium III, 32, 2. III, 35.
Symmachus episcopus vicesimus secundus ecclesiae Hieros. V, 12, 2.
Symmachus Ebionaeus VI, 16, 1. 2. 4. VI, 17.
Syneros haereticus V, 13, 4.
Synnada urbs Phrygiae VI, 19, 18. VII, 7, 5.
Syracusae X, 5, 21.

Tabularii De m. P. IX, 9.
Taposiris, urbs Aegypti prope Alexandriam VI, 40, 4.

Tarsus, Ciliciae urbs VI, 46, 3. VII, 5, 1. 28, 1. 30, 5.
Tatianus apologeta IV, 16, 7. V, 13, 1. 8. 28, 4. ejus scripta IV, 16, 7. 29, 6. V, 13, 8. VI, 13. 7. ejus haeresis IV, 29, 2. evangelium διὰ τεσσάρων IV, 28, 6.
Telesphorus, episcopus septimus ecclesiae Romanae IV, 5, 5. IV, 10. V, 6, 4. 24, 14.
Telesphorus quidam, Dionysii Alex. aequalis VII, 26, 1.
Tertullianus vir inter Romanos illustris legumque Romanarum peritissimus II, 2, 4. ejus apologeticus pro Christianis ib. Conf. indicem script.
Testamenti Veteris atque Novi canon. V. canon.
Thaddaeus unus e septuaginta Christi discipulis I, 12, 3. 13, 4. a Thoma apostolo Edessam missus manus impositione Abgarum sanat et evangelium Christi Edessenis praedicat I, 13, 4. II, 1, 6.
Thebais Aegypti VI, 1. VIII, 6, 10. 9, 1. 13, 7. De m. P. VIII, 1.
Thebuthis haereticus IV, 22, 5.
Thecla martyr De m. P. III, 1.
Thelymidres episcopus Laodicenus VI, 46, 2. VII, 5, 1.
Themiso Montanista V, 16, 17. 18, 5.
Theoctistus episcopus Caesareae VI, 19, 17. VI, 27. 46, 3. VII, 5, 1. VII, 14.
Theodorus, vir ecclesiasticus VI, 19, 18.
Theodorus, episcopus et martyr VIII, 13, 7.
Theodorus. V. Gregorius.
Theodosia virgo, martyr Caesareae De m. P. VII, 1.
Theodotio Ephesius, interpres Veteris Testamenti V, 8, 10. VI, 16, 1. 4.
Theodotus Montanista V, 3, 4. 16, 14. 15.
Theodotus ὁ σκυτεύς V, 28, 6. 9.
Theodotus ὁ τραπεζίτης V, 28, 9.
Theodotus, episcopus Laodicenus VII, 32, 23.
Theodulus, martyr Palaest. De m. P. XI, 24.
Theonas episcopus ecclesiae Alexandrinae decimus quintus VII, 32, 30. 31.
Theophilus episcopus sextus ecclesiae Antioch. IV, 20. IV, 24.
Theophilus episcopus Caesareae V, 22. 23, 3. V, 25.
Theophilus, martyr Alexandriae VI, 41, 22.
Theophilus episcopus Caesareae V, 22. 23, 3. V, 25.
Theophrastus philosophus V, 28, 14.
Theotecnus episcopus Caesareae VII, 14. 15, 4. 28, 1. 30, 2. 32, 21. 24.
Theotecnus, curator urbis Antiochiae IX, 2. 11, 5. 6.
Therapeutae Philonis II, 17, 2. ejus nominis origo ib.
Theudas seditionem movet II, 11, 1. interficitur ib.
Thmuis, urbs Aegypti VIII, 9, 7.
Thomas apostolus III, 39, 4. Thaddaeum mittit ad regem Abgarum I, 13, 4. 11. II, 1, 6. Parthis evangelium praedicat III, 1, 1. Thomae evangelium apocryphum III, 25, 6.
Thraseas episcopus et martyr V, 18, 13. 24, 4.
Tiberius imp. Rom. I, 9, 2. 10, 1. ad senatum refert de Christo inter deos adsciscendo II, 2, 1. religioni Christianae

favet II, 2, 1. 3. 6. ejus mors II, 4, 1.
Timaeus episcopus decimus septimus ecclesiae Antiochensis VII, 32, 2.
Timolaus martyr De m. P. III, 4.
Timotheus, Pauli discipulus, primus Ephesiorum episcopus III, 4, 5.
Timotheus, Dionysii Alexandrini filius VI, 40, 4. VII, 26, 2.
Timotheus, martyr Palaest. De m. P. III, 1.
Titus, discipulus Pauli, ecclesiarum Cretae insulae episcopus III, 4, 5.
Titus imperator suscipit a patre Vespasiano bellum Judaicum III, 5, 1. ingemiscit adspecta Judaeorum strage III, 6, 15. magni facit et publicari jubet Josephi de bello Judaico libros III, 10, 11. succedit patri suo Vespasiano III, 13. moritur ib.
Tobias Edessenus I, 13, 11.
Tobias episcopus ecclesiae Hieros. quintus IV, 5, 3.
Trajanus imperator III, 21, 1. 32, 1. 4. 6. III, 34. IV, 1. 2, 1. 3. 5. IV, 3, 1. quae de Christianis praescripserit III, 33, 2. V, 6, 7.
Trallianae ecclesiae litteras mittit Ignatius III, 36, 5. ejus episcopus Polybius ib.
Tripolis, urbs Phoeniciae De m. P. IV, 3.
Tryphon Judaeus IV, 18, 6.
Tymium Phrygiae oppidum V, 18, 2.
Tyrannio, ecclesiae Tyriae episcopus, martyr VIII, 13, 3.
Tyrannus episcopus decimus nonus ecclesiae Antiochensis VII, 32, 4.
Tyrus urbs V, 25. VII, 5, 1. 32, 3. VIII, 7, 1. VIII, 8. 13, 3. X, 4, 1. De m. P. V, 1, VII, 1.

Ulpianus martyr De m. P. V, 1.
Urbanus episcopus decimus sextus eccl. Rom. VI, 21, 2. 23, 3.
Urbanus, confessor Romae VI, 43, 5.
Urbanus, praeses Palaestinae De m. P. III, 1. 3. IV, 8. VII, 5. VIII, 1.
Urbicius praefectus urbis IV, 17, 8.
Ursus rationalis X, 6, 1.

Valens episcopus vicesimus octavus ecclesiae Hieros. V, 12, 2.
Valens martyr De m. P. XI, 4.
Valentina martyr De m. P. VIII, 8.
Valentinus Gnosticus IV, 10. 11, 1. 3. 14, 5. 29, 3. 30, 3. V, 20, 1. Valentiniani IV, 22, 5. VI, 18, 1.
Valerianus imperator VII, 10, 1. 3. 7. 9. 11, 8. VII, 12. 13. VIII, 4, 2.
Valerius Gratus, procurator Judaeae I, 10. 5.
Vaticanus campus II, 25, 7.
Vespasianus fit imperator III, 5, 1. sub eo obsessio Hierosolymorum: v. Hierosolyma. Davidis posteros jubet conquiri III, 12. Christianos non vexat III, 17. V, 5, 7. vaticinium de Vespasiani imperio III, 8, 10. quam diu regnaverit III, 13.
Vettius Epagathus, martyr Lugdunensis V, 1, 9.
Victor episcopus ecclesiae Romanae decimus tertius III, 31, 2. V, 22. 23, 3. 24, 1. 9. 10. 11. 28, 4.
Vienna, urbs Galliae I, 11, 3. V, 1, 1. 2. 3. 17.

Virginitas mulierum apud Therapeutas II, 17, 19. apud Christianos II, 17, 18. VI, 5, 1. 41, 18. De m. P. V, 3. VII, 1. IX, 6. sacerdotum quarundam apud Graecos II, 17, 19.

Xanthicus mensis III, 8, 2 De m. P. prooem. §. 1. IV, 15. IV, 15. VII, 1.
Xystus episcopus sextus ecclesiae Romanae IV, 4. 5, 5. V, 6, 4. 24, 14. VII, 14.
Xystus episcopus vicesimus tertius ecclesiae Romanae VII, 5, 3. 9, 1. 6. 27, 1.

Zacchaeus martyr De m. P. I, 5.
Zacchaeus episcopus ecclesiae Hierosol. quartus IV, 5, 3.
Zambdas, episcopus tricesimus octavus ecclesiae Hierosol. VII, 32, 29.
Zebinas martyr De m. P. IX, 5.
Zebinus, episcopus undecimus ecclesiae Antiochensis VI, 23, 3. 29, 5.
Zeno, martyr Alexandriae VI, 41, 22.
Zenobius, Sidoniorum ecclesiae presbyter, martyr VIII, 13, 3. 4.
Zephyrinus episcopus ecclesiae Romae decimus quartus II, 25, 6. V, 28, 4. 7. 12. VI, 15, 10. 20, 3. 21, 1.
Zorobabel X, 4, 3. 36.
Zosimus martyr, a Polycarpo laudatus III, 36, 13.
Zoticus Otrenus presbyter V, 16, 5.
Zoticus Comanensis episcopus V, 16, 17. 18, 13.

	Thlr.	Ngr.
Gellius, 2 voll.	—	27
Historia Apollonii regis Tyri	—	10
Horatii carmina	—	7½
Jurisprudentiae antejustinianae reliquiae	1	24
Iustinian	—	9
Iustinus	—	27
— — Editio minor	—	7½
Iuvenalis satirae	—	4½
Livii opera, 6 voll.	1	24
Lucretius	—	12
Macrobius	1	24
Martialis epigrammata	—	12
Martianus Capella	1	15
Metrologici scriptores, 2 voll.	1	21
Ovidii opera, 3 voll.	—	27½
Daraus einzeln:		
Ovidii tristia	—	3¾
— — **fasti**	—	5
— — **metam. delectus**	—	5
Persius	—	3
Phaedri fabulae	—	2½
Plauti comoediae, 2 voll.	—	22
Jedes Stück einzeln à	—	3¾
Plini epistulae	—	10
Plinii nat. hist., 6 voll.	4	—
Propertii carmina	—	6
Quintiliani inst., 2 voll.	—	18
— — — lib. X.	—	3
Rutilius Namatianus	—	7½
Salustius	—	3¾
Scriptores hist. Aug., 2 voll.	1	21
Senecae opera philos., 3 voll.	2	6
Senecae tragoediae	1	15
Statius, 2 voll.	1	—
Suetonius	—	15
Taciti opera, 2 voll.	—	18
Daraus einzeln:		
— — libri minores	—	3¾
Terenti comoediae	—	9
Tibulli carmina	—	3
Ulpianus	—	7½
Valerius Maximus	1	7½
Velleius Paterculus	—	4½
Vegetius	1	—
Virgilii opera	—	11¼
Daraus einzeln:		
— — **Bucolica et Georgica**	—	3¾
— — **Aeneis**	—	7½

B. G. Teubner's
Schulausgaben griechischer und lateinischer Classiker
mit deutschen erklärenden Anmerkungen.

Erschienen sind bis jetzt (August 1871):

Aeschylos' Agamemnon. Von Rob. Enger	12 Ngr.
— **Perser.** Von W. S. Teuffel	10 „
Anthologie aus den Lyrikern der Griechen. Von Dr. E. Buchholz.	
I. Bändchen. Die Elegiker und Iambographen enthaltend	10 „
II. Bdchn. Die Melischen u. Chorischen Dichter u. die Bukoliker enth.	15 „
Aristophanes, die Wolken. Von W. S. Teuffel	12 „
Arrian's Anabasis. Von Dr. K. Abicht. I. Heft. Mit 1 Karte	15 „
Caesaris commentarii de bello Gallico. Von A. Doberenz. 5. Aufl.	20 „
— — **de bello civili** von A. Doberenz. 3. Aufl.	15 „
Chrestomathia Ciceroniana. Von C. F. Lüders. I. Heft 10 Ngr., II. Heft	18 „
Ciceronis de officiis libris tres. Von J. v. Gruber. 2 Aufl.	12 „
— **Laelius.** Von G. Lahmeyer. 2. Aufl.	6 „
— **Cato major.** Von G. Lahmeyer. 2. Aufl.	5 „
— **Tusculanarum libri V.** Von O. Heine	18 „
— **Rede für Cn. Plancius.** Von E. Köpke	9 „
— **Rede für P. Sestius.** Von H. A. Koch	7½ „
— **Rede für Sex. Roscius.** Von Fr. Richter	7½ „
— **Rede für T. Annius Milo.** Von Fr. Richter	7½ „
— **divinatio in Q. Caecilium.** Von Fr. Richter	4½ „
— **Rede gegen C. Verres. IV. Buch.** Von Fr. Richter	7½ „
— — **V. Buch.** Von Fr. Richter	10 „
— — **für P. Sulla.** Von Fr. Richter	5 „
— **Reden gegen L. Catilina.** Von Fr. Richter	9 „
— **Reden für Marcellus, für Ligarius und Deiotarus.** Von Fr. Richter	6 „
— **Rede für L. Murena.** Von H. A. Koch	6 „
— — **üb. d. Imperium des Cn. Pompejus.** Von Fr. Richter	5 „
— **Erste und zweite Philippische Rede.** Von H. A. Koch	6 „
— **de oratore.** Von K. W. Piderit. 3. Aufl.	1 Thlr. 6 „
— **Orator.** Von K. W. Piderit	15 „
— **Brutus de claris oratoribus.** Von K. W. Piderit	22½ „
— **partitiones oratoriae.** Von K. W. Piderit	10 „
— **Ausgewählte Briefe.** Von Josef Frey	18 „
Cornelius Nepos. Von J. Siebelis. 6 Aufl.	12 „
Curtius Rufus. Von Th. Vogel. I. Bändchen. Buch III—V.	15 „
Demosthenes' ausgewählte Reden. Von C. Rehdantz. I. Theil.	
I. Heft: I-III. Olynthische Reden. IV: Erste Rede gegen Philippos. 3. Afl.	9 „
II. Heft: V. Rede über den Frieden. VI. Zweite Rede gegen Philippos. VIII. Rede über die Angelegenheiten im Cherrones. IX. Dritte Rede gegen Philippos. Indices. 2. Aufl.	12 „
Herodotos. Von Dr. K. Abicht. I. Band. 2. Aufl. I. Heft. Buch I. nebst Einleitung und Uebersicht über den Dialekt 15 Ngr. II. Heft. Buch II	12 „
— II. Band. Buch III u. IV.	21 „
— III. Band. Buch V u. VI.	15 „
— IV. Band. Buch VII.	15 „
— V. Band. Buch VIII u. IX Mit 2 Karten	18 „

Homer's Odyssee. Von K. Fr. Ameis. I. Bd. I. Heft, Gesang I—VI. 4. Aufl.	12	Ngr.
— — I. Band. II. Heft, Gesang VII—XII. 4. Aufl.	12	„
— — II. Band. I. Heft, Gesang XIII—XVIII. 4. Aufl.	12	„
— — II. Band. II. Heft, Gesang XIX—XXIV. 4. Aufl.	12	„
— — Anhang. 1. u. 2. Heft à 6 Ngr. 3. Heft 9 Ngr.		
— **Ilias.** Von K. Fr. Ameis. I. Heft.	9	„
— — Anhang. 1. Heft	7½	„
Horaz, Oden und Epoden. Von C. W. Nauck. 6. Aufl.	18	„
— **Satiren und Episteln.** Von G. T. A. Krüger. 6. Aufl.	21	„
Isocrates' ausgewählte Reden. Von O. Schneider. I. Bdchn.: Demonicus. Euagoras, Areopagiticus	9	„
— — II. Bändchen: Panegyricus und Philippus	12	„
Livi, Titi, ab urbe condita liber I. Von Josef Frey	9	„
— — liber II. Von Josef Frey	9	„
Lucian, ausgewählte Dialoge. Von C. Jacobitz. I. Bdchn.: Traum. Timon. Prometheus. Charon	7½	„
— — II. Bdchn.: Die Todtengespräche. Ausgew. Göttergespräche. Der Hahn	10	„
— — III. Bdchn.: Demonax. Der Fischer. Anacharsis	10	„
Lysias, ausgewählte Reden. Von H. Frohberger. I. Bändchen	18	„
— — II. Bändchen	15	„
— — III. Bändchen.	15	„
Ovid's Metamorphosen. Von J. Siebelis. I. Heft, Buch I—IX. 6. Aufl.	15	„
— — II. Heft. Buch X—XV. 6. Aufl.	15	„
Phaedri fabulae. Von J. Siebelis. 4. Aufl. Von F. A. Eckstein	7½	„
Platon's ausgewählte Schriften. I. Bändchen: Die Vertheidigungsrede des Sokrates. Kriton. Von Chr. Cron. 4. Aufl.	9	„
— — II. Bändchen: Gorgias. Von J. Deuschle. 2. Aufl.	18	„
— — — Anhang	9	„
— — III. Bändchen: Laches. Von Chr. Cron. 2. Aufl.	6	„
— — IV. Bändchen: Protagoras. Von J. Deuschle. 2. Aufl.	10	„
Plautus' ausgewählte Komödien. Von E. J. Brix. I. Bdchn.: Trinummus	10	„
— — II. Bändchen: Captivi. 2. Aufl.	7½	„
— — III. Bändchen: Menaechmi	7½	„
Plutarch's Biographien. Von Otto Siefert. I. Bd. Philopoemen und Flamininus	7½	„
— — II. Bändchen: Timoleon und Pyrrhos	10	„
M. Fabii Quintiliani institutionis oratoriae liber decimus. Von Dr. G. T. A. Krüger	6	„
Sallustius. Von R. Dietsch. I. Theil: De Catilinae conjuratione	18	„
Sophokles. Von Gust. Wolff. I. Theil: Aias. 2. Aufl.	10	„
— — II. Theil. Elektra	10	„
— — III. Theil: Antigone	10	„
— — IV. Theil: König Oidipus	10	„
Supplementum lectionis Graecae. Von C. A. J. Hoffmann	15	„
Tacitus' Historien. Von K. Heraeus. I. Bändchen. I. u. II. Buch	15	„
— — II. Bändchen. Buch III—V.	15	„
— Annalen. Von A. A. Draeger. I. Band. Buch I—VI.	22½	„
II. Band. Buch XI—XVI.	18	„
— Agricola. Von A. A. Draeger.	5	„
Theokrit's Idyllen. Von A. T. H. Fritzsche. 2. Aufl.	24	„
Thukydides. Von G. Böhme. I. Bd. 2. Aufl. I. Heft. Buch I u. II, II. Heft. Buch III u. IV à	12	„
— II. Band. 2. Aufl. I. Heft. Buch V u. VI, II. Heft. Buch VII u. VIII à	12	„
Xenophon's Anabasis. Von F. Vollbrecht. I. Bdchn. Buch I—III. Mit Holzschnitten, 2 Figurentafeln und 1 Karte von H. Lange. 3. Aufl.	15	„
— — II. Bdchn. Buch IV—VII. 3. Aufl.	12	„
— — Von R. Kühner. Mit 1 Karte	15	„
— Cyropädie. Von L. Breitenbach. 2. Aufl. 2 Hefte à I. Heft.: Buch I—IV. — II. Heft: Buch V—VII.	12	„
— Griechische Geschichte. Von B. Büchsenschütz. I. Heft. Buch I—IV. 3. Aufl.	12	„
— — II. Heft. Buch V—VII und Index. 2. Aufl.	12	„
— Memorabilien. Von R. Kühner. 2. Aufl.	12	„

Diese Sammlung wird alle in Schulen gelesenen Werke der classischen Schriftsteller enthalten. Bekanntlich zeichnen sich die bis jetzt erschienenen Ausgaben dadurch aus, dass sie, aus der Praxis des Schulunterrichts hervorgegangen, vor allem das Bedürfnis der Schule ins Auge fassen, ohne dabei die Ansprüche der Wissenschaft unberücksichtigt zu lassen. Die in der Sammlung noch fehlenden wenigen Schul-Autoren werden in kürzester Frist erscheinen.

LIPSIAE.

SUMPTIBUS ET TYPIS B. G. TEUBNEI

MDCCCLXXI

Digitized by Google

Digitized by Google

Digitized by Google